23855/B

Digitized by the Internet Archive
in 2017 with funding from
Wellcome Library

https://archive.org/details/b29339339_0010

# MEDICORVM GRAECORVM
# OPERA
## QVAE EXSTANT.

---

EDITIONEM CVRAVIT

D. CAROLVS GOTTLOB KÜHN

PROFESSOR PHYSIOLOGIAE ET PATHOLOGIAE IN LITERARVM VNIVERSITATE LIPSIENSI PVBLICVS ORDINARIVS ETC.

---

VOLVMEN X.

CONTINENS

CLAVDII GALENI T. X.

---

LIPSIAE

PROSTAT IN OFFICINA LIBRARIA CAR. CNOBLOCHII

1825.

WELLCOME
LIBRARY
INSTITUTE

## CONTENTA TOMI X.


| | | | |
|---|---|---|---|
| De methodo medendi lib. I. | - | 1 — | 77. |
| — — — — II. | - | 78 — | 156. |
| — — — — III. | - | 157 — | 231. |
| — — — — IV. | - | 232 — | 304. |
| — — — — V. | - | 305 — | 383. |
| — — — — VI. | - | 384 — | 455. |
| — — — — VII. | - | 456 — | 529. |
| — — — — VIII. | - | 530 — | 598. |
| — — — — IX. | - | 599 — | 660. |
| — — — — X. | - | 661 — | 733. |
| — — — — XI. | - | 734 — | 809. |
| — — — — XII. | - | 810 — | 873. |
| — — — — XIII. | - | 874 — | 944. |
| — — — — XIV. | - | 945 — | 1021. |

# ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ Α.

Ed. Chart. X. [1.] Ed. Baf. IV. (34.)

*Κεφ. α'.* Ἐπειδὴ καὶ σύ με πολλάκις, ὦ Ἱέρων φίλτατε, καὶ ἄλλοι τινὲς νῦν ἑταῖροι παρακαλοῦσι θεραπευτικὴν μέθοδον αὐτοῖς γράψαι, ἐγὼ δὲ μάλιστα μὲν καὶ ὑμῖν χαρίζεσθαι βουλόμενος, οὐχ ἥκιστα δὲ καὶ τοὺς μεθ' ἡμᾶς ἀνθρώπους ὠφελῆσαι καθ' ὅσον οἷός τέ εἰμι προαιρούμενος, ὅμως ὤκνουν τε καὶ ἀνεβαλλόμην ἑκάστοτε διὰ πολλὰς αἰτίας, ἄμεινον εἶναί μοι δοκεῖ καὶ νῦν αὐτὰς διελθεῖν, πρὶν ἄρξασθαι τῆς πραγματείας, ἔχουσι γάρ τι χρήσιμον εἰς τὰ μέλλοντα ῥηθήσεσθαι. κεφάλαιον μὲν οὖν ἁπασῶν αὐτῶν ἐστι τὸ κινδυ-

# GALENI METHODI MEDENDI LIBER I.

Cap. I. Quum et tu me multoties, Hiero cariſſime, et alii quidam amici nunc hortentur ſibi medendi methodum conſcribere, quumque ego ſane tum vobis maxime gratiſicari deſiderem, tum vero nec minime poſteros homines pro viribus juvare conſtituam, ſemper tamen ſim cunctatus ac diſtulerim multas ob cauſas, eas nunc quoque ſatius, opinor, fuerit prius quam opus ipſum aggrediar exponere, habent enim ad ea quae poſt dicentur nonnihil utilitatis. Earum igitur omnium illa praecipua fuit, quod fruſtra me

νεῦσαι μάτην γράψαι, μηδενὸς τῶν νῦν ἀνθρώπων ὡς ἔπος εἰπεῖν ἀλήθειαν σπουδάζοντος, ἀλλὰ χρήματά τε καὶ δυνάμεις πολιτικὰς καὶ ἀπλήστους ἡδονῶν ἀπολαύσεις ἐζηλωκότων ἐς τοσοῦτον ὡς μαίνεσθαι νομίζειν εἴ τις ἄρα καὶ γένοιτο σοφίαν ἀσκῶν ἡντιναοῦν. αὐτὴν μὲν γὰρ τὴν πρώτην καὶ ὄντως σοφίαν, ἐπιστήμην οὖσαν θείων τε καὶ ἀνθρωπίνων πραγμάτων, οὐδ' εἶναι νομίζουσι τὸ παράπαν· ἰατρικὴν δὲ καὶ γεωμετρίαν καὶ ῥητορικὴν ἀριθμητικήν τε καὶ μουσικὴν [2] ἁπάσας τε τὰς τοιαύτας τέχνας εἶναι μὲν ὑπολαμβάνουσιν, οὐ μὴν ἐπί γε τὸ τέλος αὐτῶν ἰέναι δικαιοῦσιν. ἀλλ' ἔμοιγε καὶ τῶν πάνυ δοκούντων με φιλεῖν ἔνιοι πολλάκις ἐπετίμησαν ὡς πέρα τοῦ μετρίου τὴν ἀλήθειαν σπουδάζοντι καὶ ὡς οὔθ' ἑαυτῷ μέλλοντι χρησίμῳ γενήσεσθαι παρ' ὅλον τὸν βίον οὔτε ἐκείνοις, εἰ μὴ σχολάσαιμι μέν τι τῆς τοσαύτης περὶ τὴν ἀλήθειαν σπουδῆς, προσαγορεύοιμι δὲ περιερχόμενος ἕωθεν, εἰς ἑσπέραν τε συνδειπνοῖμι τοῖς δυναμένοις· ἐκ τούτων γὰρ καὶ φιλεῖσθαι καὶ προσάγεσθαι καὶ τοὺς τεχνίτας πιστεύεσθαι, οὐκ ἐκ τῆς οἰκείας παρασκευῆς· οὐδὲ γὰρ εἶναι τοὺς κρίνοντας

ſcripturum timebam, quum hominum nemo, ut uno verbo dicam, hac noſtra aetate veritatis inquiſitioni ſit deditus, ſed pecuniam et civilem potentiam et inexplebiles voluptatum delicias omnes eousque ſuſpiciant ut ſi quis ſapientiae quodvis ſtudium ſectetur, pro inſano hunc habeant, quippe qui primam ipſam et vere ſapientiam, quae divinarum humarumque rerum eſt ſcientia, ne eſſe quidem omnino exiſtiment, medicinam vero, geometriam, rhetoricen, arithmeticen, muſicen ac omnes id genus artes eſſe quidem autument, caeterum finem earum ſtudioſe perſequendum minime cenſeant. Me vero ex iis qui me unice diligere ſunt viſi nonnulli ſaepe increpant, quod plus juſto veritatis ſtudio ſim addictus, quaſi nec mihi ipſi, nec ipſis in tota vita ſim profuturus, niſi et ab hoc tanto veritatis indagandae ſtudio deſiſtam et mane ſalutando circumeam et veſperi apud potentes coenem. His enim *artibus* tum amari, tum benevolentiam conciliari, tum vero artifices haberi, non ex propria profeſſione, neque enim eſſe qui de ea judicent,

ἐκείνην, ἁπάντων δι᾽ ὅλης ἡμέρας ἀσχολουμένων, ἕωθεν μὲν ἐν προσαγορεύσεσι κοινῇ, μετὰ ταῦτα δ᾽ ἤδη σχιζομένων, ἐπὶ μὲν τὴν ἀγορὰν καὶ τὰς δίκας οὐ σμικροῦ τινος ἔθνους, ἐπὶ δ᾽ αὖ τοὺς ὀρχηστάς τε καὶ τοὺς ἡνιόχους ἑτέρου πλείονος, οὐκ ὀλίγου δέ τινος ἄλλου τοῖς κύβοις, ἤ τισιν ἔρωσιν, ἢ λουτροῖς, ἢ μέθαις, ἢ κώμοις σχολάζοντος, ἤ τισιν ἄλλαις ἡδοναῖς τοῦ σώματος, ἐς ἑσπέραν δὲ κοινῇ πάντων αὖθις συναθροιζομένων εἰς τὰ συμπόσια, κἀπειδὰν ἐμπλησθῶσιν οἴνου, οὐ λύρας ἐν κύκλῳ περιφερομένης, ἢ κιθάρας, ἤ τινος ἄλλου τῶν μουσικῶν ὀργάνων ὧν ἅπτεσθαι πάλαι κατὰ τὰς τοιαύτας συνόδους καλὸν ἐνενόμιστο καὶ δεινῶς αἰσχρὸν τοὐναντίον ἦν, ἀλλ᾽ οὐδὲ λόγων τινῶν ἀνακοινουμένων, οἵους ἐν τοῖς συμποσίοις συνέγραψαν ἡμῖν οἱ παλαιοὶ γινομένους, ἀλλ᾽ οὐδ᾽ ἄλλου τῶν καλῶν οὐδενὸς, ἀλλὰ προπινόντων μὲν ἀλλήλοις, ἁμιλλωμένων δὲ περὶ μεγέθους ἐκπωμάτων. ἄριστος γὰρ ἐν τούτοις οὐχ ὁ πλείστων ἁψάμενος ὀργάνων μουσικῶν ἢ λόγων φιλοσόφων, ἀλλ᾽ ὁ παμπόλλας καὶ μεγίστας ἐκπιὼν κύλικας· ὥστ᾽ ἔμοιγε καὶ περὶ τὴν ἕω

ubi omnes totum diem diverſis ſtudiis tranſigant, mane quidem omnes ſimul ſalutationibus occupati, poſt autem diſtracti, ad forum et lites non exigua turba, ad ſaltationes autem et aurigas alia major, jam teſſeris, vel amoribus, vel balneis, vel ebrietati, vel comeſſationi, vel quibusdam caeteris corporis voluptatibus deditus ſane non exiguus numerus, veſperi vero rurſum omnes ad ſympoſia ſimul collecti, ubi poſtquam vino ſe implevere, non lyra citharave aut aliud muſicum inſtrumentum in orbem circumfertur, quod ſicut olim in ejusmodi congreſſu tetigiſſe honeſtum, ſic contra non tetigiſſe admodum erat turpe; ſed nec ſermones ulli habentur, quales in ſympoſiis agitari ſolere veteres prodiderunt, nec aliud honeſtum quicquam, imo invicem ſibi propinant, et de magnitudine poculorum certant, utpote inter quos optimus cenſetur non qui plurimis inſtrumentis muſicis, aut etiam ſermone philoſophico uti novit, ſed qui multos, eosque maximos calices potavit, adeo ut mihi mane

Ed. Chart. X. [2.] Ed. Baſ. IV. (54. 35.)

δοκοῦσιν ἔτι μεθύειν οἱ πολλοὶ τῶν τοιούτων, καί τινες αὐτῶν ὄζουσιν οἴνου σαφῶς οὕτως ὡς ἄρτι προσενηνεγμένοι. ὥστ᾽ εἰκότως, ἐπειδὰν νοσεῖν ὑπάρξωνται, μετακα(35)λοῦνται τῶν ἰατρῶν οὐ τοὺς ἀρίστους, οὓς γε μηδὲ πώποτε κρῖναι προὐθυμήθησαν ὑγιαίνοντες, ἀλλὰ τοὺς συνηθεστάτους τε ἅμα καὶ κολακευτικωτάτους, οἳ καὶ ψυχρὸν δώσουσιν, ἢν αἰτηθῶσι, καὶ λούσουσιν, ἢν κελευσθῶσι, καὶ χιόνα καὶ οἶνον ὀρέξουσι καὶ πᾶν ὑπηρετήσουσι τὸ προστασσόμενον ὥσπερ ἀνδράποδα, ἔμπαλιν ἐκείνοις τῶν ἰατρῶν τοῖς παλαιοῖς Ἀσκληπιάδαις, οἳ τῶν νοσούντων ἠξίουν ἄρχειν ὡς στρατηγοὶ στρατηγουμένων καὶ βασιλεῖς ὑπηκόων, οὐκ ἄρχεσθαι καὶ δεσπόζεσθαι, καθάπερ Γέται καὶ Τίβιοι καὶ Φρύγες καὶ Θρᾷκες ἀργυρώνητοι. οὔκουν οὐχ ὁ κρείττων τὴν τέχνην, ἀλλ᾽ ὁ κολακεύειν δεινότερος ἐντιμότερος αὐτοῖς ἐστι, καὶ τούτῳ ἅπαντα βάσιμα καὶ πόριμα, καὶ τῶν οἰκιῶν ἀνεῴγασιν αἱ θύραι τῷ τοιούτῳ, καὶ πλουτεῖ τε ταχέως οὗτος καὶ πολὺ δύναται, καὶ μαθητὰς ἔχει τοὺς ἐκ κοιτῶνος πολλούς, ὅταν ἔξωροι γένωνται. καὶ τοῦτο κατανοήσας ὁ Θεσσαλὸς

etiamnum ebrii ex his plerique videantur, nonnulli vero etiam evidenter adeo vinum olent ac ſi modo hauſiſſent. Eoque jure ſit ut quum aegrotare coeperint, medicos advocent, non quidem optimos, utpote quos per ſanitatem noſcere nunquam ſtuduerunt, ſed eos quos maxime familiares habent, quique ipſis maxime adulantur, qui et frigidam dabunt, ſi hanc popoſcerint, et lavabunt, quum juſſerint, et nivem vinumque porrigent, poſtremo quicquid jubebitur, mancipiorum ritu ſubminiſtrabunt, contra quam veteres illi medici ab Aesculapio oriundi, qui tanquam duces militibus et reges ſubditis imperare aegris voluerunt, non quemadmodum Getae et Tibii et Phryges et Thraces empti pecunia parere atque obſequi. Itaque non qui melius artem callet, ſed qui adulari aptius novit, apud iſtos magis in pretio eſt, huicque omnia plana perviaque ſunt, huic aedium fores patent, hic brevi efficitur dives plurimumque poteſt, huic diſcipuli multi a cubiculis, ubi jam fuerint exoleti, traduntur. Quod Theſſalus ille intelligens non ſolum caetera

ἐκεῖνος οὐ τὰ ἄλλα μόνον ἐκολάκευε τοὺς ἐπὶ τῆς Ῥώμης πλουσίους, ἀλλὰ καὶ τῷ μησὶν ἓξ ἐπαγγείλασθαι διδάξειν τὴν τέχνην ἑτοίμως ἐλάμβανε μαθητὰς παμπόλλους. εἰ γὰρ οὔτε γεωμετρίας οὔτε ἀστρονομίας οὔτε διαλεκτικῆς οὔτε μουσικῆς οὔτε ἄλλου τινὸς μαθήματος τῶν καλῶν οἱ μέλλοντες ἰατροὶ γενήσεσθαι δέονται, καθάπερ ὁ γενναιότατος ἐπηγγείλατο Θεσσαλὸς, ἀλλ' οὐδὲ μακρᾶς ἐμπειρίας χρήζουσι καὶ συνηθείας τῶν ἔργων τῆς τέχνης, ἕτοιμον ἤδη προσιέναι παντὶ γενησομένῳ ῥαδίως ἰατρῷ. διὰ τοῦτο καὶ σκυτοτόμοι καὶ τέκτονες καὶ βαφεῖς καὶ χαλκεῖς ἐπιπηδῶσιν ἤδη τοῖς ἔργοις τῆς ἰατρικῆς, τὰς ἀρχαίας αὐτῶν ἀπολιπόντες τέχνας. οἱ μὲν γὰρ τὸν ῥῶπον διατιθέμενοι καὶ περὶ πρωτείων ἐρίζουσι. καὶ διὰ τοῦτο κἀγὼ γράφειν ὤκνουν θεραπευτικὴν μέθοδον, ἣν εἰσηγήσαντο μὲν ἄνδρες παλαιοὶ, τελειῶσαι δ' ἐπεχείρησαν οἱ μετ' αὐτούς. [3] καὶ πρόσθεν μὲν ἔρις ἦν οὐ σμικρὰ, νικῆσαι τῷ πλήθει τῶν εὑρημάτων ἀλλήλους ὀριγνωμένων τῶν ἐν Κῷ καὶ Κνίδῳ· διττὸν γὰρ ἔτι τοῦτο τὸ γένος ἦν τῶν ἐπὶ

Romae divitibus affentabatur, fed etiam artem fex menfibus traditurum fe profeffus, quamplurimos difcipulos facile comparavit. Si enim neque geometriae neque aftronomiae neque dialectices neque mufices nec ullius denique bonarum difciplinarum indigent qui medici funt futuri, quemadmodum Theffalus ifte generofiffimus promittebat, nec etiam longam experientiam et operum artis ufum defiderant, cuivis promptum fit artem aggredi, ceu facile medico futuro. Atque hinc adeo fit ut nunc etiam futores et tinctores et fabri tum materiarii tum ferrarii, proprio magifterio relicto, in medicinae artis opera infiliant. Nam qui pictoribus et unguentariis mixturas fuas praeparant, etiam de primo loco certant. Atque ob haec ipfe medendi methodum fcribere fum cunctatus, quam utique et viri veteres inceperunt et pofteri eorum perficere funt conati. Atque olim quidem non parva lis erat eorum, qui in Co atque Cnido habitabant, utri videlicet inventorum multitudine reliquos fupe-

τῆς Ἀσίας Ἀσκληπιαδῶν, ἐπιλιπόντος τοῦ κατὰ Ῥόδον· ἤριζον δ' αὐτοῖς τὴν ἀγαθὴν ἔριν ἐκείνην, ἣν Ἡσίοδος ἐπῄνει καὶ οἱ ἐκ τῆς Ἰταλίας ἰατροὶ, Φιλιστίων τε καὶ Ἐμπεδοκλῆς καὶ Παυσανίας καὶ οἱ τούτων ἑταῖροι· καὶ τρεῖς οὗτοι χοροὶ θαυμάσιοι πρὸς ἀλλήλους ἁμιλλωμένων ἐγένοντο ἰατρῶν· πλείστους μὲν οὖν καὶ ἀρίστους χορευτὰς ὁ Κῷος εὐτυχήσας εἶχεν, ἐγγὺς δ' ἔτι τούτῳ καὶ ὁ ἀπὸ τῆς Κνίδου, λόγου δ' ἦν ἄξιος οὐ σμικροῦ καὶ ὁ ἀπὸ τῆς Ἰταλίας. ἀλλ' οὐδεὶς τούτων οὔτε ἕωθεν ἐπὶ τὰς τῶν πλουσίων ἐφοίτα θύρας προσαγορεύσων αὐτοὺς οὔτ' εἰς ἑσπέραν δειπνησόμενος, ἀλλ' ὥσπερ Ἡσίοδός φησιν,

*Εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων*
*Πλούσιον, ὃς σπεύδει μὲν ἀρόμμεναι ἠδὲ φυτεύειν,*

οὕτω κἀκεῖνοι διὰ παντὸς ἤριζον ἀλλήλοις οὐκ ἀροῦν ἢ φυτεύειν γῆν, σμικρότερα γὰρ ταῦτα τοῦ τῶν Ἀσκληπιαδῶν γένους καὶ Ἀσκραίῳ πρέποντα ποιητῇ, ἀλλ' ἀσκεῖν καὶ αὔξειν ἀεὶ καὶ τελειοῦν πειρᾶσθαι τὴν Ἀπόλλωνός τε καὶ Ἀσκληπιοῦ

rarent, quippe geminum hoc genus Asclepiadarum adhuc in Afia fupererat, deficiente nimirum quod in Rhodo viguerat. Certabant autem cum his honeftum illud certamen, quod Hefiodus praedicabat, etiam medici qui Italiam incolebant, Philiftion, Empedocles, Paufanias et horum fectatores, erantque tres hae certantium inter fe nobilium medicorum fcholae. Plurimos quidem atque optimos difcipulos Coae fortuna contulit, ab hoc Cnidiae, nec tamen in parvo habenda pretio erat et quae Italia florefcebat. At horum nemo nec mane potentium fores, ipfos falutaturus, nec vefperi coenaturus, frequentabat, fed ficut Hefiodus cecinit:

*Namque alium ditem cernens, cui deeft, quod agatur,*
*Ipfe folum vertit tauris et femina ponit,*

ita et illi inter fe perpetuo certabant, non utique de aranda ferendave terra, quippe quae ut Asclepiadarum genere inferiora, fic Ascraeo poetae erant non indecora, fed de Apollinis Aesculapiique arte tum exercenda tum vero femper au-

τέχνην, νυνὶ δ᾽ ἀπόλωλε μὲν ἡ ἀγαθὴ ἔρις, ἢ σμικρὸν ἔτι καὶ ἀμυδρὸν αὐτῆς ἐν ἀνθρώποις ἐστίν· ἐπικρατεῖ δ᾽ ἡ πονηρὰ καὶ ὁ ἀποτρέψων οὐδεὶς οὐδ᾽ ὁ ἰασομένος, ὥσπερ Ἡσίοδος,

*Μηδέ σ᾽ ἔρις κακόχαρτος ἀπ᾽ ἔργου θυμὸν ἐρύκοι.*

αὕτη γὰρ ἡ Ἔρις, ὡς ὁ θειότερος αὖ πάλιν Ἡσιόδου ποιητής φησιν·

*Ἡ δ᾽ ὀλίγη μὲν πρῶτα κορύσσεται, αὐτὰρ ἔπειτα*
*Οὐρανῷ ἐστήριξε κάρη, καὶ ἐπὶ χθονὶ βαίνει.*

Κεφ. β΄. Ὑπὸ ταύτης τῆς ἔριδος ἐκμανεὶς ὁ Θεσσαλὸς ἐκεῖνος Ἱπποκράτει τε καὶ τοῖς ἄλλοις Ἀσκληπιάδαις ἐπιτιμᾷ, καὶ κοινὸν τῆς οἰκουμένης θέατρον ἐν ταῖς ἑαυτοῦ βίβλοις πληρῶν, ἐπ᾽ ἐκείνου κρίνεται καὶ νικᾷ καὶ στεφανοῦται κατὰ τῶν παλαιῶν ἁπάντων, ἀνακηρυττόμενος αὐτὸς ὑφ᾽ ἑαυτοῦ. ταυτὶ μὲν οὖν ἔν τε τῷ περὶ τῶν κοινοτήτων ἐποίησε κἀν τοῖς συγκριτικοῖς, ἐν ἅπασι δὲ τοῖς ἄλλοις ὑβρίζων οὐ παύεται, καθάπερ, οἶμαι, καὶ δι᾽ ὧν ἐπιστέλλει Νέρωνι,

genda ac pro viribus perſicienda. Nunc vero honeſtum illud certamen intercidit, aut certe minimum ejus inter homines adhuc ſupereſt, regnat autem inhoneſtum, nec eſt qui hoc avertat, aut malo medeatur ut Heſiodus:

*Lis ne te inducat mala devitare laborem,*
*Dulce malum alterius cui ſit.*

Haec enim lis, ut Heſiodo etiam divinior poeta cecinit,

*Armatur primum tenuis, mox improba coelo*
*Inſerit alta caput, terris veſtigia figens.*

Cap. II. Hujus litis ſtimulis agitatus ille Theſſalus Hippocratem ac reliquos Aſclepiadas maledictis inceſſit, ac totius terrarum orbis theatrum in ſuis ipſius libris conſtituens, inibi judicatur vincitque et contra omnem antiquitatem coronatur, ipſeque a ſe victor declaratur. Haec facit tum in eo libro quem de communitatibus ſcripſit tum in ſyncriticis, quin in reliquis quoque omnibus contumelioſus eſſe non deſiſtit, veluti in epiſtola quam ad Neronem

*κατ᾽ ἀρχὰς μὲν εὐθέως γράφων αὐτοῖς ὀνόμασιν οὕτως· παραδεδωκὼς νέαν αἵρεσιν καὶ ὡς μόνην ἀληθῆ διὰ τὸ τοὺς προγενεστέρους πάντας ἰατροὺς μηδὲν παραδοῦναι συμφέρον πρός τε ὑγείας συντήρησιν καὶ νόσων ἀπαλλαγήν. ἐπὶ προήκοντι δὲ τῷ γράμματι προϊών φησιν ὡς Ἱπποκράτης μὲν ἐπιβλαβῆ τὴν παράδοσιν πεποίηται, ἐτόλμησε δὲ καὶ τοῖς ἀφορισμοῖς ἀντιλέγειν, ἀσχημοσύνην ἀσχημονήσας μεγίστην, καὶ δείξας ὅτι μηδ᾽ εἰσήχθη πρός τινος εἰς τὴν Ἱπποκράτειον θεωρίαν μηδ᾽ ἀνέγνω παρὰ διδασκάλου τὰ συγγράμματα αὐτοῦ· καὶ ὅμως ὁ τοιοῦτος ἑαυτὸν οὐκ αἰδεῖται στεφανῶν. διό μοι δοκῶ κἀγὼ, καίτοι γε οὐκ εἰθισμένος ἐξελέγχειν πικρῶς τοὺς σκαιοὺς, ἐρεῖν τι πρὸς αὐτὸν ὑπὲρ τῆς τῶν παλαιῶν ὕβρεως. τί πειρᾷ διαβάλλειν ὦ οὗτος τὰ χρηστὰ διὰ τὸ παρὰ τοῖς πολλοῖς εὐδοκιμεῖν, ἐνὸν ὑπερβάλλεσθαι τοῖς ἀληθέσιν, εἰ φιλόπονός τέ τις εἴης καὶ ἀληθείας ἐραστής; τί δὲ τῇ τῶν ἀκροατῶν ἀμαθίᾳ συμμάχῳ κέχρησαι κατὰ τῆς τῶν παλαιῶν βλασφημίας; [4] μὴ τοὺς ὁμοτέχνους τῷ πατρί σου κριτὰς καθίσῃς ἰατρῶν, τολμηρότατε Θεσσαλέ· νικήσεις*

mittit, his ipfis inter initia verbis ufus: *Quum novam fectam condiderim et quae fola vera fit, propterea quod qui ante medici fuerunt omnes nihil utile prodiderunt, vel ad fanitatem tuendam, vel morbos propulfandos.* Pergens autem in epiftola: *Hippocrates*, inquit, *noxia praecepta tradidit.* Aufus eft et aphorismis cum fummo dedecore contradicere. Et quum oftendat fe in Hippocratica difciplina nec a quoquam inftitutum, nec ejus opera fub praeceptore legiffe, tamen non veretur etiam, talis quum fit, palmam fibi ipfi tribuere. Quo magis aliquae effe meae partes videntur, quamquam alias parum affuevi improbos acerbe arguere, aliquid contra hunc ob veterum contumeliam dicere. Quid, improbe, quae bona funt calumniari tentas, ut multitudini placeas, quum liceret tibi in veritatis contemplatione excellere, fi diligens effes ac veritatis amator? Quid ita ruditatis auditorum patrocinio abuteris ad veterum obtrectationem? Noli paternae artis focios, impudentiffime Theffale, judices medicorum ftatuere. Illis enim judicibus

γὰρ ἐπ᾽ αὐτοῖς καὶ καθ᾽ Ἱπποκράτους λέγων καὶ κατὰ Διοκλέους καὶ κατὰ Πραξαγόρου καὶ κατὰ πάντων τῶν ἄλλων παλαιῶν, ἀλλ᾽ ἄνδρας παλαιοὺς, διαλεκτικοὺς, ἐπιστημονικοὺς, ἀληθὲς καὶ ψευδὲς διακρίνειν ἠσκηκότας, ἀκόλουθον καὶ μαχόμενον ὡς χρὴ διορίζειν ἐπισταμένους, ἀποδεικτικὴν μέθοδον ἐκ παίδων μεμελετηκότας, τούτους εἰς τὸ συνέδριον εἰσάγαγε δικαστὰς, ἐπὶ τούτων τόλμησον Ἱπποκράτει τι μέμψασθαι, τούτων κρινόντων ἐπιχείρησόν τι τῇ μιαρᾷ καὶ βαρβάρῳ σου φωνῇ πρὸς Ἱπποκράτην διελθεῖν, πρῶτον μὲν ὡς οὐ χρὴ φύσιν ἀνθρώπου πολυπραγμονεῖν· ἔπειτα δὲ ὡς εἰ καὶ τοῦτο συγχωρήσειέ τις, ἀλλ᾽ ὅτι γε κακῶς αὐτὴν ἐζήτησεν ἐκεῖνος καὶ ψευδῶς ἀπεφήνατο σύμπαντα. τίς οὖν ἔσται κριτής; εἰ βούλει, Πλάτων, ἐπειδὴ τοῦτον γοῦν οὐκ ἐτόλμησας λοιδορεῖν. ἐγὼ μὲν γὰρ οὐδὲ τοὺς μαθητὰς αὐτοῦ φύγοιμ᾽ ἂν, οὔτε τὸν Σπεύσιππον οὔτε τὸν Ξενοκράτην· τὸν Ἀριστοτέλην δὲ κἂν παρακαλέσαιμί σε κριτὴν ὑπομεῖναι καὶ σὺν αὐτῷ Θεόφραστον· εὐξαίμην δ᾽ ἂν σε καὶ Ζήνωνα καὶ Χρύσιππον ἅπαντάς τε τοὺς ἀπ᾽ αὐτῶν ἑλέσθαι κριτάς.

vinces proculdubio, ſive contra Hippocratem, ſive contra Dioclem, ſive contra Praxagoram, ſive contra reliquos omnes veteres dixeris, quin potius viros antiquos, dialecticos, ſcientes, qui verum falſumque diſcernere ſunt periti, qui conſequens ac repugnans diſtinguere, qui demonſtrandi methodum a pueris ſunt meditati, hos, inquam, judices in conſeſſum introducito; his ſedentibus aude quippiam Hippocratem accuſare; his pronunciaturis aggredere ſceleſta illa tua barbaraque voce contra Hippocratem primum illud differere, non oportere de hominis natura curioſum eſſe, deinde ſi quis hoc donet, male illum de ea inquiſiviſſe ac falſo omnia praecepiſſe. Ergo quis judex erit? num Plato? quando huic ſaltem injurius eſſe minime es auſus. Ego vero ne diſcipulos quidem ejus refugiam, non Speuſippum, non Xenocratem. Ariſtotelis vero vel rogem judicium ſubeas et cum eo Theophraſti. Optem utique et Zenonem et Chryſippum et eorum, qui hos ſectantur, quemlibet judi-

οὐδεὶς τούτων, ὦ τολμηρότατε Θεσσαλὲ, τῶν Ἱπποκράτους κατέγνω περὶ φύσεως ἀνθρώπου δογμάτων, ἃ τὴν ἀρχὴν οὔτ' ἀνεγνωκέναι μοι δοκεῖς οὔτ', εἴπερ ἀνέγνως, συνιέναι· καὶ εἰ συνῆκας δὲ, κρῖναι γοῦν ἀδύνατον ἦν σοι, τραφέντι μὲν ἐν γυναικωνίτιδι παρὰ πατρὶ μοχθηρῶς ἔρια ξαίνοντι. μὴ γὰρ ἀγνοεῖσθαί μοι δόκει τὸ θαυμαστόν σου γένος καὶ τὴν ἀοίδιμόν σου παιδείαν, μηδ' ὡς ἐν κωφῷ θεάτρῳ λοιδορεῖν Ἱπποκράτην τε καὶ τοὺς ἄλλους παλαιούς· ἀλλὰ τίς ὢν καὶ πόθεν, ἐκ ποίου γένους, ἐκ ποίας ἀνατροφῆς, ἐκ ποίας παιδεύσεως, ἐπίδειξον πρότερον, εἶθ' οὕτως λέγε, τοῦτ' αὐτὸ πρῶτον μαθὼν, ὦ θρασύτατε, ὅτι λέγειν οὐκ ἐφεῖται πᾶσι δημοσίᾳ ἐν οὐδε(36)μιᾷ τῶν εὐνομουμένων πόλεων, ἀλλ' εἴ τις ἐπίσημός ἐστι καὶ γένος ἔχει καὶ ἀνατροφὴν δεῖξαι καὶ παιδείαν ἀξίαν τοῦ δημηγορεῖν, τούτῳ συγχωροῦσιν ἀγορεύειν οἱ νόμοι· σὺ δ' οὐδὲν τούτων ἔχων ἐπιδεῖξαι τολμᾷς ὦ γενναιότατε κατηγορεῖν Ἱπποκράτους, καὶ καθίζεις μὲν ἐν ταῖς ληρώδεσί σου βίβλοις δικαστὰς τοὺς Ἕλληνας, ἀποφαίνῃ δ' αὐτὸς οὐκ ἀναμείνας ἐκείνους καὶ στεφανοῖς σεαυτὸν, ἐνίοτε μὲν κατὰ πάντων

cem eligas. Horum nemo, audaciſſime Theſſale, Hippocratis de natura hominis ſcita damnavit, quae tu mihi nec legiſſe unquam videris, nec, ſi legiſti, intellexiſſe, et ſi intellexiſti, judicare certe de iis minime gentium potuiſti, ut qui ſub patre male lanas carpente in gynaeceo ſis educatus. Nec enim putes nobis vel egregium genus tuum, vel claram doctrinam latere, nec te Hippocrati et reliquis veteribus in ſurdo theatro maledicere, ſed qui ſis et unde venias, quo genere ortus, qua educatione uſus, qua diſciplina imbutus, prius oſtende atque ita demum dicito, illud ipſum prius, hominum audaciſſime, monitus, non eſſe cuivis in ulla bene inſtituta civitate conceſſum, publice dicere, ſed ſiquis vir clarus eſt, qui genus poſſit et educationem, tum eruditionem concione dignam oſtendere, huic dicere permittunt leges. Tu quum nihil horum oſtendere habeas, audes tamen, generoſiſſime, Hippocratem accuſare, et in nugacibus libellis tuis Graecos conſtituis judices, fers autem ipſe ſententiam, nec illos expectas et palmam tibi ipſi das, modo de omnibus

Ed. Chart. X. [4.] Ed. Baf. IV. (36.)

τῶν ἰατρῶν, ἐνίοτε δὲ κατὰ πάντων ἁπλῶς Ἑλλήνων. τοῦτο γάρτοι τὸ θαυμαστόν ἐστι τόλμημα τοῦ σοφωτάτου Θεσσαλοῦ, νικῆσαι μὲν ἅπαντας ἰατροὺς, αὐτὸν ἀγωνιστὴν, αὐτὸν ἀγωνοθέτην, αὐτὸν κριτὴν γενόμενον· ἐφεξῆς δὲ καὶ τοὺς ἄλλους Ἕλληνας εἰς ἀγῶνα προσκαλέσασθαι, ῥήτορας, γεωμέτρας, γραμματικοὺς, ἀστρονόμους, φιλοσόφους, εἶτ᾽ ἐν αὐτοῖς καταστάντα, καὶ τῇ τῶν ἐριουργῶν ἑρμηνείᾳ χρησάμενον, ἀξιοῦν ἁπάντων εἶναι πρῶτον· ἰατρικὴν μὲν γὰρ ἁπασῶν τῶν τεχνῶν πρωτεύειν, ἑαυτὸν δὲ τοὺς ἰατροὺς ἅπαντας νενικηκέναι. τοῦτο μόνον ἐκ τύχης ἀληθῶς συνελογίσατο Θεσσαλός· εἰ γὰρ ἰατρικὴ μὲν ἁπασῶν ἐστι τῶν τεχνῶν ἀρίστη, πρῶτος δ᾽ ἐν αὐτῇ Θεσσαλὸς, εἴη ἂν οὕτω γε πάντων ἀνθρώπων πρῶτος καὶ Σωκράτους δηλονότι καὶ Λυκούργου καὶ τῶν ἄλλων, οὓς ὁ Πύθιος ἐπήνεσεν ἢ ὡς ἀγαθοὺς, ἢ ὡς σοφοὺς, ἢ ὡς Μουσῶν θεράποντας, ἢ ὡς Διὸς ὑπηρέτας, ἢ ὡς ἄλλο τι θεοφιλὲς ἔχοντας. ἄγε δὴ λοιπὸν ὕμνους ᾀδόντων ἅπαντες Θεσσαλοῦ, καὶ γραφόντων ἐπινίκια μέλη, καὶ κοινὸν τῆς οἰκουμένης τὸ θέατρον γενέσθω, καὶ παρελθὼν ᾀδέτω τις ὡς παρὰ τοῖς

medicis, modo de omnibus in univerfum Graecis. Haec enim infignis audacia fapientiffimi Theffali eft, omnes fe medicos viciffe, fed fe ipfo litigatore, fe ipfo agonotheta, fe ipfo judice, poft hos etiam reliquos Graecos in certamen provocaffe, rhetores, geometras, grammaticos, aftronomos, philofophos, inter quos conftitutum ac lanificorum eloquutione ufum, cenfere fe omnium primum effe, quippe medicinam reliquas omnes artes praecellere, fe vero medicos omnes fuperaffe, quod unum forte fortuna recte collegit Theffalus. Si enim medicina eft omnium artium praeftantiffima, in ea vero Theffalus primas partes obtinet, omnium hominum ita primus fuerit, ac Socratem et Lycurgum praecellat caeterosque omnes quos Pythius vel ut viros bonos, vel ut fapientes, vel ut Mufarum miniftros, vel ut Jovis famulos, vel ut alio quodam *munere* diis grato praeditos laudavit. Agedum igitur Theffalo hymnos de caetero omnes cantent fcribantque victoriae carmina et publicum orbis theatrum conftituatur, acceditoque aliquis qui canat eum qui in

ἱστοῖς ὑφαίνων ἐνίκησε μὲν Δημοσθένην καὶ Λυσίαν καὶ τοὺς ἄλλους ῥήτορας, ἐνίκησε δὲ Πλάτωνα καὶ Σωκράτην καὶ τοὺς ἄλλους φιλοσόφους, [5] ἐνίκησε δὲ καὶ Λυκοῦργον καὶ Σόλωνα καὶ τοὺς ἄλλους νομοθέτας, ἐστεφάνωται δὲ κοινῇ κατὰ πάντων ἀνθρώπων, ῥητόρων, φιλοσόφων, νομοθετῶν. εἰ γὰρ δὴ γεωμετρῶν ἔτι καὶ γραμματικῶν καὶ μουσικῶν ὀνομαστὶ μνημονεύοιμι μετὰ τὰς τηλικαύτας νίκας, ὑβρίζειν δόξω τὸν ἄνθρωπον· ὅπου γὰρ Λυκοῦργος καὶ Σόλων καὶ Πλάτων καὶ Σωκράτης καὶ Πυθαγόρας ἐνικήθησαν, ἦπου ἄρα καλὸν ἔτι μνημονεύειν Ἱππάρχου καὶ Ἀρχιμήδους καὶ Ἀριστοξένου καὶ Ἀριστάρχου καί τινων ἑτέρων τοιούτων οὐδενὸς ἀξίων, ὡς ἂν εἴποι Θεσσαλός; ἀλλὰ τίς ἡμῖν οὕτω μεγαλόφωνος ποιητὴς ὃς ᾄσεται ταῦτα; τίνος Ὁμήρου νῦν εὐπορήσομεν ἐν ἑξαμέτρῳ τόνῳ τὴν Θεσσάλειον ὑμνήσοντος νίκην; ἢ τίνος μελοποιοῦ κατὰ Πίνδαρον ᾄσοντος ὑψηλῶς ἐν διθυράμβοις ὡς πάλαι τὸν Διόνυσον, οὕτως νῦν τὸν Θεσσαλόν; ἢ τούτων μὲν οὐδενὸς χρῄζομεν, Ἀρχιλόχου δὲ

textrina fit altus, viciffe Demofthenem, Lyfiam et reliquos rhetoras, fuperaffe Platonem, Socratem et caeteros philofophos, palmam eripuiffe Lycurgo, Soloni et aliis legislatoribus, victorem denique totius hominum generis coronatum effe, rhetorum, philofophorum, legislatorum. Nam fi geometras etiam et grammaticos ac muficos nominatim poft tantas victorias commemorem, contumeliofus in hominem videar. Ubi enim Lycurgus, Solon, Plato, Socrates et Pythagoras dant manus, num pulchrum etiam fit Hipparchi, Archimedis, Ariftoxeni, Ariftarchi et aliorum quorundam id genus meminiffe, hominum, ut Theffalus dixerit, nullius pretii? Sed quis tam magniloquus poeta nobis exiftet qui haec canat? Quis nunc dabitur Homerus qui hexametro tono hanc Theffali victoriam celebret? aut quis lyricus qui veluti Pindarus alte in dithyrambis canat, quique ficut olim Bacchi, ita nunc Theffali praeconium efferat? An horum potius nullum requirimus, fed eorum qui jambos fcribunt,

τινος ἢ Ἱππώνακτος ἰάμβους γραφόντων, ἤ τινος τῶν ἀπὸ τῆς τραγικῆς σκηνῆς, ὅς ἐρεῖ πρὸς αὐτόν·

Μέν' ὦ ταλαίπωρ' ἀτρέμα σοῖς ἐν δεμνίοις,
Ὁρᾷς γὰρ οὐδὲν ὧν δοκεῖς σάφ' εἰδέναι.

ὄνειρον Ὀρέστειον διηγῇ Θεσσαλέ. οἷον τοῦτο τὸ θέατρον, ἐν ᾧ νικᾷς Ἱπποκράτην; τίνες οἱ κριταὶ καθεδοῦνται; τίνες οἱ ἀγωνοθετοῦντες; ἆρα βούλει πρῶτον Πλάτωνος ἀναγνῶμεν τὴν ψῆφον; ἴσως γὰρ οὐκ ἀναίνῃ τοιοῦτον ἑλέσθαι κριτήν· ἀλλά τοί φησιν οὗτος αὐτοῖς ὀνόμασι· ψυχῆς οὖν φύσιν ἀξίως λόγου κατανοῆσαι οἴει δυνατὸν εἶναι ἄνευ τῆς τοῦ ὅλου φύσεως; εἰ μὲν Ἱπποκράτει τῷ τῶν Ἀσκληπιαδῶν δεῖ τι πείθεσθαι, οὐδὲ περὶ σώματος, ἄνευ τῆς μεθόδου ταύτης. καλῶς γὰρ, ὦ ἑταῖρε, λέγεις· χρὴ μὲν πρὸς τῷ Ἱπποκράτει τὸν λόγον ἐξετάζοντας σκοπεῖν εἰ συμφωνεῖ. φημί. τῷ τοίνυν περὶ φύσεως σκοπεῖν τί ποτε λέγει Ἱπποκράτης τε καὶ ὁ ἀληθὴς λόγος; ἆρ' οὐχ ὧδε; δεῖ διανοεῖσθαι περὶ τῆς ὁτουοῦν φύσεως, πρῶτον μὲν εἰ ἁπλοῦν ἢ καὶ πολυειδές ἐστιν οὗ πέρι βουλευ-

Archilochum aliquem, aut Hipponactem, aut ex Tragica ſcena quempiam, qui ſic hominem compellet:

*Quieſce dum, miſerrime, in ſtratis tuis,*
*Namque haud vides, quae te putas noſſe probe.*

Oreſtis mihi ſomnium narras Theſſale. Qualenam id theatrum eſt, in quo tu vincis Hippocratem? Qui judices erunt? Quinam praemia proponent? Visne primum Platonis ſuffragium legamus, fortaſſis enim hanc judicem non rejicies. Atqui ille haec ad verbum ait: *Animae igitur naturam apte putas intelligi poſſe, non cognita totius natura? Immo ſiquidem Hippocrati uni ex Asclepiadarum genere fides eſt habenda, ne corporis quidem naturam absque hac methodo. Recte ais, amice; oportet tamen cum Hippocrate ſermonem conferentes, num cum eo concordet, aeſtimemus. Sane quidem. Igitur de natura conſideranda quid eſt quod Hippocrates rectaque ratio dicit? Non ad hunc modum? de cujusque rei natura primum illud perpendi oportet, ſitne id cujus volumus vel ipſi artifices eſſe, vel alios facere ar-*

σόμεθα, αὐτοί τε εἶναι τεχνικοὶ καὶ ἄλλους δυνατοὶ ποιεῖν. ἔπειτα δὲ ἂν μὲν ἁπλοῦν ᾖ, σκοπεῖν τὴν δύναμιν αὐτοῦ, τίνα πρὸς τί πέφυκεν εἰς τὸ δρᾷν ἔχον, ἢ τίνα εἰς τὸ παθεῖν ὑπό του· ἐὰν δὲ πλείω εἴδη ἔχῃ, ταῦτα ἀριθμησάμενον, ὅπερ ἐφ᾽ ἑνὸς, τοῦτο ἰδεῖν ἐφ᾽ ἑκάστου, τὸ τί ποιεῖν αὐτὸ πέφυκεν, ἢ τὸ τί παθεῖν ὑπό του. ἤκουσας, ὦ γενναιότατε, Πλάτωνος ὁμοίᾳ μεθόδῳ τὰ κατὰ τὴν ψυχὴν ἀξιοῦντος εὑρίσκειν, οἵᾳ περ Ἱπποκράτης τὰ κατὰ τὸ σῶμα· πότερον ἔτι βούλει πολλὰς πολλαχόθι αὐτοῦ τῶν συγγραμμάτων ἐκλέξω σοι ῥήσεις, ἐν αἷς ζηλοῖ τὸν Ἱπποκράτην πάντων μάλιστα τῶν ἔμπροσθεν αὐτοῦ γεγονότων; ἢ τοῦτο μὲν ἐν ἑτέρᾳ πραγματείᾳ πεποιηκὼς, ἐν ᾗ περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπισκέπτομαι, εἰς ἐκείνην ἀναπέμψω τὸν βουλόμενον; ἀποδέδεικται γὰρ, ὡς ἐγὼ νομίζω, πάνυ σαφῶς ἡ περὶ πλεῖστά τε καὶ μέγιστα δόγματα συμφωνία τῶν ἀνδρῶν· μεταβὰς δὲ τὸν ἕτερον ἤδη σοι καλέσω χορὸν μάρτυρα, τὸν ἐκ τοῦ περιπάτου, τὰς Ἱπποκράτους ἀρχὰς τῆς φυσιολογίας τιθέμενον;

*tifices posse, simplex, an varias species habeat. Mox, si simplex sit, facultas ejus tota aestimanda est, quam videlicet ad quid agendum obtineat, aut quam ad patiendum ab alio sit sortitum. Sin plures habeat species, his enumeratis, quod in una feceris, id in unaquaque exigere oportebit, nempe quid illa facere per suam naturam sit apta, vel quid ab alio pati.* Audisti o generosissime Platonem simili methodo animae naturam inveniendam esse censere qua corporis naturam Hippocrates. An adhuc vis multas hominis dictiones ex multis librorum ejus locis deligam, in quibus ille Hippocratem omnium qui ante se fuerunt maxime admiratur? An potius quum id alibi fecerim, nempe in eo opere in quo de Hippocratis et Platonis placitis disserui, illuc qui id scire volet remittam, ubi, ut arbitror, clarissime ostendimus in plurimis maximisque rebus horum virorum inter se consensum, atque alio me conferens alium tibi jam advocem in testem coetum, nempe peripataticum, qui et ipse Hippocratis physiologiae principia confirmat?

ἀλλά τοι καὶ περὶ τούτου δέδεικταί μοι δι᾽ ἑτέρων ὑπομνημάτων, ὧν ἓν μέν ἐστι τὸ περὶ τῶν καθ᾽ Ἱπποκράτην στοιχείων, ἐφεξῆς δ᾽ ἕτερα τρία τὰ περὶ κράσεων, εἶθ᾽ ἑξῆς ἕτερα δύο, τὸ μὲν περὶ τῆς ἀνωμάλου δυσκρασίας, ἐκ τῆς περὶ κράσεων ἔτι πραγματείας ὑπάρχον, ἄλλο δὲ περὶ τῆς ἀρίστης κατασκευῆς τοῦ σώματος, εἶτ᾽ ἐπὶ τούτοις τὰ περὶ φυσικῶν δυνάμεων τρία· ταῦτ᾽ οὖν εἴπερ ἀναγνοίη τις, ἐπιγνώσεται σαφῶς ἐξηγητὴν ὄντα τῶν περὶ φύσεως λογισμῶν Ἱπποκράτους Ἀριστοτέλη. καὶ μὲν δὴ καὶ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς, ὁπόσα τέ ἐστι [6] καὶ ὁποῖα, καὶ περὶ συμπτωμάτων ὡσαύτως, ἔτι τε καὶ τῶν καθ᾽ ἑκάτερον αἰτιῶν, Ἱπποκράτης μὲν πρῶτος ἁπάντων ὧν ἴσμεν ὀρθῶς ὑπάρξασθαι φαίνεται, μετ᾽ αὐτὸν δ᾽ Ἀριστοτέλης ἐπὶ πλεῖστον ἐξηγήσατο· εἴσεται δὲ καὶ περὶ τούτων ὁ βουληθεὶς ἀναγνῶναι τὰ καθ᾽ ἕκαστον αὐτῶν ὑπομνήματά μοι γεγραμμένα. ὥστ᾽ εἴπερ οἱ ἐκ τοῦ περιπάτου κριταὶ καθίσαιεν, Ἱπποκράτης μὲν, οἶμαι, νικήσει, Θεσσαλὸς δ᾽ ὡς ἀναίσχυντός τε καὶ ἰταμὸς ἐκβληθήσεται. εἰ δὲ τοὺς ἀπὸ τῆς στοᾶς φιλοσόφους εἰς τὸ συνέδριον εἰσαγαγόντες ἐπιτρέψαιμεν καὶ τούτοις τὴν

Quin de hoc quoque proditum a me in aliis commentariis eſt, quorum unus de elementis ſecundum Hippocratem inſcribitur, poſt hunc alii tres de temperamentis, mox alii duo, alter de inaequali intemperie, qui etiam ad tractatum de temperamentis pertinet, alter de optima corporis conſtitutione, deinde etiam tres de naturalibus facultatibus; hos igitur ſi quis leget, clare perſpiciet rationum Hippocratis de natura Ariſtotelem interpretem eſſe. Quinetiam de morborum differentiis, quot hi quique ſint, ac de ſymptomatis pari modo, praeterea de horum utrorumque cauſis primus omnium quos novimus Hippocrates recte principia dediſſe videtur, poſt eum vero Ariſtoteles fuſiſſime ea eſt interpretatus. Haec ita eſſe intelliget qui commentarios noſtros, quos de ſingulis horum ſcripſimus, legere voluerit. Quare ſi Peripatetici judicium exercebunt, Hippocrates, arbitror, vincet, Theſſalus ut impudens et nequam ejicietur. Sin Stoicis philoſophis in conſeſſum admiſſis judicium permittetur,

ψῆφον, ἐξ ὧν αὐτοὶ τίθενται δογμάτων, ἐκ τούτων Ἱπποκράτην στεφανώσουσι. τὸ γὰρ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρὸν Ἱπποκράτης μὲν πρῶτος εἰσηγήσατο, μετ' αὐτὸν δ' Ἀριστοτέλης ἀπέδειξεν· ἕτοιμα δ' ἤδη παραλαβόντες οὐκ ἐφιλονείκησαν οἱ περὶ τὸν Χρύσιππον, ἀλλ' ἐκ τούτων τὰ σύμπαντα κεκρᾶσθαι λέγουσι, καὶ ταῦτ' εἰς ἄλληλα πάσχειν καὶ δρᾷν καὶ τεχνικὴν εἶναι τὴν φύσιν, ἅπαντά τε τἄλλα τὰ περὶ φύσεως Ἱπποκράτους δόγματα προσίενται, πλὴν περὶ μικροῦ τινός ἐστιν αὐτοῖς ἡ διαφορὰ πρὸς Ἀριστοτέλη. λέγοντος γὰρ Ἱπποκράτους ὀρθῶς ὡς σύμπνουν καὶ σύῤῥουν ἐστὶν ἅπαν τὸ σῶμα, καὶ πάντα συμπαθέα τὰ τῶν ζώων μόρια, προσίενται μὲν ἀμφότεροι τουτὶ, διαφέρονται δὲ ἐν τῷ τὰς μὲν ποιότητας μόνας τὸν Ἀριστοτέλη δι' ἀλλήλων ἰέναι καὶ κεράννυσθαι πάντη, τοὺς δ' ἀπὸ τῆς στοᾶς οὐ ταύτας μόνας, ἀλλὰ καὶ τὰς οὐσίας αὐτὰς ὑπολαμβάνειν. ὅτι δὲ τοῦτο διο(37)ρίζεσθαι περιττὸν ἰατρῷ, καὶ ὡς ἀρκεῖ μόνον ὁμολογηθέντα εἰς τὰ τῆς ἰατρικῆς ἔργα τὰ πρὸς ἀμφοτέρων ἀποδεικνύμενα, καὶ ὡς αἱ ποιότητές τε καὶ αἱ δυνάμεις

ex iis placitis quae ipsimet statuunt, Hippocrati palmam dabunt. Quippe calidum et frigidum et siccum et humidum primus Hippocrates invexit, post eum Aristoteles demonstratione asseruit. Eadem Chrysippi sectatores parata quum accepissent, minime sunt obluctati, sed omnia ex horum mixtione constare confirmant, atque haec inter se mutuo agere ac pati, artificemque naturam esse. Omnia denique alia Hippocratis dogmata de natura recipiunt, nisi quod in re tenui est illis cum Aristotele dissensio, quippe cum recte Hippocrates affirmet totum corpus esse conspirabile et confluxile, omnesque animalis partes mutuo a se affici, recipiunt quidem hoc utrique, dissident tamen in eo, quod Aristoteles qualitates tantum in se mutuo transire omninoque misceri, Stoici non has solas, sed etiam substantias ipsas existiment. Quod autem hoc definire medico supervacuum sit, quodque ad medicinae opus abunde sit, si tantum concedantur ea quae ab utrisque sunt demonstrata, itemque qualita-

ἐν τοῖς κεραννυμένοις ὅλαι δι' ὅλων ἀναμίγνυνται, δέδεικταί μοι πρόσθεν ἤδη καὶ νῦν, εἴ τι δεήσει, δειχθήσεται. ὥστε καὶ κατὰ Πλάτωνα καὶ κατὰ τοὺς ἐκ τοῦ περιπάτου καὶ κατὰ τοὺς ἐκ τῆς στοᾶς ἡ Ἱπποκράτους νικᾷ φυσιολογία· καὶ πολὺ δὴ μᾶλλον ἐκ τῆς φυσιολογίας ἅπαντες ἐπιδεικνύουσιν οἱ προειρημένοι φιλόσοφοι μὴ δύνασθαί τινα καλῶς ἰάσασθαι τὰ νοσήματα, πρὶν ὅλου τοῦ σώματος ἐπισκέψασθαι τὴν φύσιν. ἆρ' οὖν ἐνίκησεν ἂν ἐν τούτοις τοῖς φιλοσόφοις ὁ Θεσσαλὸς ἀγωνιζόμενος ὑπὲρ τῶν πρωτείων, οἳ τῆς ἑαυτῶν ἁπάσης φυσιολογίας Ἱπποκράτην προὐστήσαντο; τί δὲ, εἰ τοῖς γεωμέτραις, ἢ τοῖς ἀστρονόμοις, ἢ τοῖς μουσικοῖς, ἢ τοῖς ῥήτορσιν ἐπιτρέψειε τὴν κρίσιν; ἆρ' οἰόμεθα καὶ τούτους Ἱπποκράτην παρελθόντας ἕτερόν τινα στεφανώσειν; ἐγὼ μὲν οὔτ' ἄλλον τινὰ πέπεισμαι τὰ πρωτεῖα λήψεσθαι, καὶ πάντων ἥκιστα τὸν ἰταμώτατον Θεσσαλόν· οὐδεὶς γὰρ οὕτως ἠτίμησεν οὐ γεωμετρίαν, οὐκ ἀστρονομίαν, οὐ μουσικὴν, οὐ ῥητορικὴν, ὡς ἐκεῖνος, ὥστε ταύτῃ γ' ἐν ἐχθρῶν θεάτρῳ γένοιτ' ἂν ὁ ἀγὼν αὐτῷ. ἀλλ' ἴσως τούτους μὲν οὐκ ἂν εἰς

tes facultatesque in mixtis totae fint totis permixtae, haec et ante a me funt jam demonftrata et, fi res pofcet, nunc demonftrabuntur. Quare et Platonis et Peripateticorum et Stoicorum judicio Hippocratis phyfiologiae victoria dabitur. Imo vero ex phyfiologia omnes ante dicti fapientiae profeffores oftendunt neminem poffe morbos commode curare, qui corporis univerfi naturam non perfpexerit. Nunquid igitur, fi de palma fub horum fapientiae profefforum judicio certaffet Theffalus, viciffet, qui omnis fuae phyfiologiae Hippocratem auctorem habent? Quid autem fi geometris, aftronomis, muficis aut rhetoribus judicium concedet? putemusne hos Hippocrate praetermiffo alii ulli palmam daturos? Ego fane nec alium quemvis primas effe laturum arbitror; minimeque omnium impudentiffimum Theffalum, ut quo nemo geometriam, aftronomiam, muficen ac rhetoricen magis dehoneftarit. Itaque hac faltem ratione apud hos in hoftium theatro certaverit. Verum hos fortaffis in theatrum

Ed. Chart. X. [6. 7.] Ed. Baf. IV. (37.)

τὸ θέατρον ἐκάθισεν, οὓς γε αὐτὸς φθάνων ἐχθροὺς ἐποιήσατο, μόνοις δὲ τοῖς ἐν διαλεκτικῇ γυμνασθεῖσι φιλοσόφοις, ὡς ἂν ἀληθῶν τε καὶ ψευδῶν λόγων τὸ κριτήριον ἠσκηκόσιν, ἐπιτρέψειε τὴν κρίσιν. ἀλλ' ἐὰν τοὺς περὶ Πλάτωνα καὶ Ἀριστοτέλη καὶ Χρύσιππον ὡς ἀγυμνάστους ἐν τῇδε παρέλθωμεν, οὐχ εὑρήσομεν ἑτέρους. εἰ τοίνυν οὔτε τοὺς ἀπὸ τῶν ἄλλων τεχνῶν ὑπομένει δικαστὰς ὁ Θεσσαλὸς οὔθ' οἱ διαλεκτικώτατοι τῶν φιλοσόφων οἴσουσιν αὐτῷ τὴν ψῆφον, ὑπὸ τίνων ἔτι κριθήσεται νικᾷν; τίνες πληρώσουσιν αὐτῷ τὸ θέατρον; τίνες ἀναγορεύσουσιν; τίνες στεφανώσουσιν; αὐτὸς ἑαυτὸν δηλονότι, τοῦτο γὰρ ἐν ταῖς ἑαυτοῦ βίβλοις ταῖς θαυμασταῖς ἐποίησεν, αὐτὸς ἑαυτὸν καὶ κρίνας καὶ στεφανώσας καὶ ἀναγορεύσας.

Κεφ. γ'. [7] Ἀλλ' ἴσως ὑπενόησε τοῦτ' αὐτῷ τιμὴν γενήσεσθαι καὶ μνήμης ἀφορμὴν, εἰ λοιδορησάμενος τοῖς ἀρίστοις ἀνδράσιν ἀναγκάσειεν ἡμᾶς ἀντιλέγειν αὐτῷ. ἀλλ' οὕτω γε καὶ Ζωΐλος ἔνδοξος τὴν Ὁμήρου μαστίζων εἰκόνα καὶ Σαλμωνεὺς τὸν Δία μιμούμενος καὶ ἄλλο πλῆθος οὐκ

minime inducet, quos ipfe prior inimicos reddiderit, fed folis fapientiae profefforibus, qui in dialectica exercitati, ut qui verae falfaeque orationis judicandae facultatem adepti fint, judicum partes concedet. Atqui fi Platonem, Ariftotelem et Chryfippum ceu parum in ea exercitatos tranfibimus, alios non inveniemus. Quare fi nec aliarum artium profeffores judices admittet Theffalus, nec qui in dialectice caeteris omnibus fapientiae profefforibus praeftiterunt, illi fuffragabuntur, qui tandem erunt qui eum viciffe judicabunt? Qui illi frequens theatrum conftituent? Qui victorem renunciabunt? Qui denique coronabunt? Ipfe videlicet fe ipfum, id quod in illis egregiis libris fuis fecit, in quibus fe ipfum judicavit, coronavit, victoremque declaravit.

Cap. III. At fortaffis illud fibi gloriae memoriaeque occafionem fore eft arbitratus, fi optimis viris laceffitis, nos fibi refpondere cogeret. Verum ita et Zoilus celeber clarusque fit, qui Homeri ftatuam flagellavit, et Salmoneus, qui Jovem eft imitatus, reliquaque flagitioforum hominum non

ὀλίγον ἐπιτρίπτων ἀνθρώπων, ἢ τοὺς βελτίονας οὐκ αἰδουμένων, ἢ καὶ τοῖς θεοῖς αὐτοῖς λοιδορουμένων. ἀλλ' οὐκ ἀγαθὴν οὗτοί γε δόξαν ὑπελίποντο σφῶν αὐτῶν, οὐδὲ ζηλοῖ νοῦν ἔχων ἀνὴρ οὐδεὶς οὔτε τὸν Ὁμηρομάστιγα Ζωΐλον οὔτε τὸν παραπλῆγα Σαλμωνέα, καίτοι τοῖς μὲν φιλολοιδόροις ζηλωτὸς ὁ Ζωΐλος, τοῖς δ' ἱεροσύλοις ὁ Σαλμωνεύς. ἀλλὰ τί τοῦτο; καὶ γὰρ οἱ βαλαντιοτόμοι τὰ τῶν βαλαντιοτόμων ζηλοῦσι καὶ οἱ προδόται τὰ τῶν προδοτῶν καὶ οὐδείς ἐστιν ἁπλῶς ἄνθρωπος ὃς οὐκ ἂν σχοίη χορὸν οἰκεῖον ἐν ᾧ στεφθήσεται. καὶ εἴπερ ἔγραψε Θεσσαλὸς ὡς ἐν μαγείροις καὶ βαφεῦσι καὶ ἐριουργοῖς καὶ σκυτοτόμοις καὶ ὑφάνταις τε καὶ κναφεῦσιν ἀγωνιζόμενος, ἀποίσεται τὴν νίκην καὶ καθ' Ἱπποκράτους καὶ οὐδεὶς ἂν ἡμῶν ἀντεῖπεν· ἐπεὶ δὲ πάντας ἀνθρώπους καθίζει δικαστὰς, ἐκ τῶν πάντων δ' ἐστὶ δήπου καὶ Πλάτων καὶ Ἀριστοτέλης καὶ Θεόφραστος καὶ Χρύσιππος, οὐκ ἂν ἔτι πάσας μόνος ἀποστρέφοιτο τὰς ψήφους, ἀλλ' ἴσως ἐνέσται δίκην ἐφέσιμον ἀγωνίσασθαί τινι. κἂν γὰρ Ἱπποκράτης καταφρονήσῃ, μικρότερον ἑαυτοῦ νομίσας ἀγωνίσασθαι πρὸς Θεσσαλὸν, ἀλλ' ἴσως Ἐρασίστρατος οὐ κατα-

exigua turba, qui vel meliores non ſunt reveriti, vel in deos ipſos fuerunt contumelioſi. Verum hi non bonam de ſe opinionem reliquerunt, nec aemulatur quispiam qui compos ſit mentis nec Homeromaſtiga Zoilum, dementem Salmoneum, quamvis maledicis Zoilus in admiratione ſit et Salmoneus ſacrilegis. Sed quid hoc? etenim ſacculari ſaccularios aemulantur, et qui produnt proditores, nec prorſus eſt ullus vir qui proprium coetum in quo palmam ferat non habeat. Adeo ſi Theſſalus inter coquos, tinctores, laniſicos, ſutores, textores ac fullones, de victoria certans ſcripſiſſet, utique et retuliſſet de Hippocrate victoriam et nemo noſtrum ei repugnaſſet. Nunc quum omnes homines judices conſtituat, ex horum autem numero ſint et Plato et Ariſtoteles et Theophraſtus et Chryſippus, nequaquam omne punctum ſolus feret; ſed alicui fortaſſis provocare ad alium judicem licebit. Quanquam enim Hippocrates certare cum Theſſalo ſe inferiori ſpernet, at forte Eraſiſtratus non negliget, multoque

φρονήσει, καὶ πολύ γε μᾶλλον Ἡρόφιλος, καὶ τούτων ἔτι μᾶλλον Ἀσκληπιάδης ἄλλοι τε πολλοὶ τῶν νεωτέρων ἰατρῶν ἔχοντές τι φύσει φιλόνεικον οὐ καταφρονήσουσι τῆς ὕβρεως, ἣν εἰς ἅπαντας ἅμα τοὺς Ἕλληνας ὑβρίζει Θεσσαλὸς, ἀλλ' εἰς τὸ μέσον τε προάξουσιν, ἐπιδείξουσί τε τοῖς Ἕλλησιν ἁπάσας αὐτοῦ τὰς βίβλους ἀμαθίας ἐσχάτης μεστὰς, ὃς τοσαῦτά τε καὶ τηλικαῦτα γράψας βιβλία καὶ τοσαύτας ληρήσας ἐπῶν χιλιάδας, ἀπόδειξιν οὐδεμίαν οὐδαμόθι τῶν ἑαυτοῦ συγγραμμάτων ἐπεχείρησεν εἰπεῖν, ἀλλ' ὡς τύραννος κελεύει δύο μόνα εἶναι τὰ πάντα κατὰ δίαιταν νοσήματα, ῥοῶδες καὶ στεγνὸν, οὐκ εἰδὼς ὅτι διαφοράν τινα νοσημάτων εἴρηκεν, ἐγνωσμένην μὲν καὶ τοῖς ἔμπροσθεν ἰατροῖς, ὡς ἐπιδείξομεν, ἀλλ' οὐδεὶς ἦν οὕτως ἀπαίδευτος ὡς τὰς διαφορὰς τῶν νοσημάτων αὐτὰ νομίζειν εἶναι τὰ νοσήματα καὶ τῆς θεραπείας τὴν ἔνδειξιν ἐξ ἐκείνων λαμβάνειν ὑπερβὰς τὴν οὐσίαν. ἀλλὰ τοῦτο τὸ σφάλμα τοῦ Θεσσαλοῦ σμικρὸν μὲν ὦ Ζεῦ καὶ θεοὶ, σμικρότατον, ὃ καὶ παιδάριον ἐν ἐλευθέροις μαθήμασι τεθραμμένον εὐθέως γνωρίσειεν· ὅμως δ' οὖν τοῦτο τὸ σφάλμα τὸ

minus Herophilus; atque his etiam minus Asclepiades aliique multi juniorum medicorum, quibus eſt ad contentionem natura propenſior, minime impune abire contumeliam ſinent, qua pariter omnes Graecos Theſſalus laedit, ſed producto in medium homine omnes ejus libros extrema ignorantia refertos Graecis oſtendunt, qui tot ac tantis libris ſcriptis et tot verſuum millibus nugaciſſime effuſis, nusquam in ullo operum ſuorum demonſtrationem ullam afferre tentavit, ſed tyranni ritu duos tantum eſſe in omni victus ratione morbos jubet, nempe fluxum et aſtrictum, non intelligens ſe differentiam quandam morborum dixiſſe, quam utique priſci, ut oſtendemus, probe norunt, caeterum nemo tam rudis fuit ut differentias morborum ipſos eſſe morbos putaret ac remediorem indicationem ab iis ſumeret ſubſtantia ipſa praetermiſſa. Atqui hic Theſſali quidem error o Jupiter ac dii, minimus, quem vel puer in liberalibus diſciplinis educatus ſtatim animadvertiſſet, hic tamen parvus error eo inſolen-

Ed. Chart. X. [7. 8.] Ed. Baf. IV. (37.)

σμικρὸν εἰς τοσοῦτον ἐπῆρεν αὐθαδείας αὐτὸν ὥστε νομίζειν εὑρηκέναι τι μέγα καὶ σεμνὸν, ὁμοίως ὡς εἴ καί τις εἰπὼν πᾶν ζῶον ἢ λογικὸν ὑπάρχειν ἢ ἄλογον, ἄλλο τι νομίζει καὶ μὴ διαφορὰς εἰρηκέναι ζώων, ὡσαύτως οὖν τούτῳ κἀκείνου ῥηθέντος, ἅπαν ζῶον ἢ θνητόν ἐστιν ἢ ἀθάνατον· ἡ γὰρ ἐν ἑκάστῃ τῶν διαφορῶν ἀντίθεσις ὅλη κατὰ πάντων λέγεται τῶν εἰδῶν· ἅπαν οὖν ζῶον ἢ ἄγριόν ἐστιν ἢ ἥμερον· ἅπαν οὖν ζῶον ἢ ὑπόπουν ἐστὶν ἢ ἄπουν· ἅπαν οὖν ζῶον ἢ κερασφόρον ἐστὶν ἢ ἄκερον· καὶ οὐδέν γε τιμιωτέραν ἑτέρας ἑτέραν ἀντίθεσιν ἐν ταῖς διαφοραῖς ἔστιν εὑρεῖν, οὐδὲ μᾶλλον ὑπάρχουσαν ἅπασι τοῖς κατὰ μέρος. ἀλλ' οὐ χρὴ περὶ ζώων ἐρωτηθέντας [8] ὁπόσα τὰ πάντα ἐστὶ ἀποκρίνασθαι μίαν ἀντίθεσιν διαφορῶν· οὕτω μὲν γὰρ ἔσται δύο τὰ πάντα, καὶ οὐδὲν μᾶλλον ἢ λογικὸν καὶ ἄλογον, ἢ θνητὸν καὶ ἀθάνατον, ἢ ἄγριον καὶ ἥμερον, ἢ τῶν ἄλλων τις ἀντιθέσεων. εἰ δὲ τὰς διαφορὰς ἐάσας τις, ὡς οὖν ἐστι δίκαιον, ἵππον ἀποκρίναιτο καὶ βοῦν καὶ κύνα καὶ ἄνθρωπον, ἀετόν τε καὶ μέλιτταν καὶ

tiae hominem evexit ut magnum et praeclarum aliquid invenisse se putaret, perinde ac si quis, quum omne animal rationale esse aut irrationale dixerit, non animalium differentias, sed aliud quippiam dixisse se putet, quum scilicet huic illud quoque similiter sit dictum, omne animal mortale est vel immortale. Quippe oppositio, quae in singulis differentiis *notatur*, conjuncta de omnibus speciebus dicitur. Omne enim animal aut mansuetum est aut ferum. Omne animal aut pedatum est aut non pedatum. Omne animal aut cornutum est aut cornuum expers. Nec est inter differentias invenire oppositionem ullam quae sit altera praestantior, nec quae magis omnibus insit particularibus. Verum non convenit, quum de animalium omnium numero quaeritur, unam differentiarum oppositionem respondere. Hoc enim pacto duo erunt *animalia* universa, nec ullum magis rationale quam mortale vel immortale, aut ferum vel mansuetum, aut reliquarum oppositionum quaelibet. Quod si quis differentiis omissis, sicut plane ratio exigit, equum, bovem, canem, hominem, aquilam, apem,

μύρμηκα καὶ λέοντα καὶ πρόβατον, ἅπαντά τε τἄλλα κατ' εἶδος ἐπέλθοι ζῶα, δῆλον ὡς οὗτος ὀρθῶς ἀποκεκριμένος ἐστὶ τῷ πυθομένῳ ὁπόσα τὰ πάντ' ἐστὶ ζῶα· κἂν εἰ πολλὰ μὲν διέλθοι τῷ λόγῳ ζῶα, πάντα δ' ἐξαριθμήσασθαι μὴ δυνατὸν εἶναι λέγοι, καὶ οὕτως ἂν εἴη δεόντως ἀποκεκριμένος. ὁμοίας οὖν οὔσης τῆς ζητήσεως ἐπὶ τοῦ τῶν νοσημάτων ἀριθμοῦ παρὰ πᾶσι τοῖς παλαιοῖς ἰατροῖς, καὶ τῶν μὲν εἰπόντων ἑπτὰ τὰ πάνθ' ὑπάρχειν αὐτὰ, τῶν δ' ἐλάττω τούτων ἢ πλείω, πάντων δ' οὖν εἰς τὰ κατὰ τὴν οὐσίαν εἴδη βλεπόντων, οὐκ εἰς τὰ κατὰ τὴν διαφοράν· οὐδεὶς γὰρ ἦν οὕτως ἀπαίδευτος οὐδ' ἀμαθὴς λογικῆς θεωρίας ὡς διαφορὰν εἰδῶν εἰπεῖν ἀντ' οὐσίας· ὁ δ' ἐκ τῆς γυναικωνίτιδος ἐκπηδήσας Θεσσαλὸς ἐπιτιμᾷ τηλικούτοις ἀνδράσιν, οὐ γένος ἔχων εἰπεῖν, οὐκ ἀνατροφὴν, οὐ παιδείαν οἵαν ἐκείνων ἕκαστος, ὁ μὲν Ἀριστοτέλους, ὁ δὲ Πλάτωνος, ὁ δὲ Θεοφράστου γενόμενος ὁμιλητὴς, ἢ τινος ἄλλου τῶν ἐν τῇ λογικῇ θεωρίᾳ γεγυμνασμένων ἀνδρῶν. ὡς οὖν εἴτις ἐρωτηθεὶς ὁπόσα τῆς

formicam, leonem et ovem refpondeat, reliquaque omnia per fpecies animalia connumeret, conftat hunc quaerenti, quot fint cuncta animalia, recte refpondiffe. Quin fi multa quidem fermone animalia memoret, teftetur autem enumerare fe omnia non poffe, fic quoque commodiffime refponderit. Similis agitata quaeftio de morborum numero et omnibus antiquis medicis eft, aliis feptem eos in totum effe affirmantibus, aliis plures his paucioresve dicentibus, omnibus tamen ad fpecies, quae in fubftantia, non quae in differentia effent, refpectum habentibus. Nemo enim ita erat indoctus, aut logicae fpeculationis rudis, ut differentias fpecierum pro fubftantia loquendo ufurparet. At Theffalus ifte e gynaeceo exiliens tantis viris maledicit, ipfe nec genus habens quod referat, nec educationem nec eruditionem, qualem illorum quisque, quorum alius Ariftotelis, alius Platonis, alius Theophrafti, aut denique alterius cujusquam eorum virorum, qui in logica contemplatione fuere exercitati, familiaris fuit. Veluti igitur rogatus quispiam, quot

φωνῆς τὰ (38) πάντ᾽ ἐστὶ στοιχεῖα, δύο φήσειεν ὑπάρχειν, ἤτοι γὰρ φωνῆεν εἶναι φήσει πάντως ἢ σύμφωνον ὅπερ ἂν εἴη στοιχεῖον φωνῆς, ἀληθὲς μὲν εἴρηκεν, οὐ μὴν πρός γε τὴν ἐρώτησιν ἀπεκρίνατο, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον ὅστις ἂν ὁπόσα τὰ πάντ᾽ ἐστὶ νοσήματα διελέσθαι βουληθεὶς ὑπερβῇ μὲν εἶδός τι λέγειν νοσήματος, οἷον ἤτοι φλεγμονὴν, ἢ σκίῤῥον, ἢ οἴδημα, διαφορὰς δ᾽ εἴπῃ μόνας, εἴτ᾽ οὖν στεγνὸν καὶ ῥοῶδες, εἴτ᾽ ἀραιὸν καὶ πυκνὸν, εἴτε σκληρὸν καὶ μαλακὸν, εἴτε συντεταμένον καὶ κεχαλασμένον, ἀληθὲς μὲν εἴρηκεν, οὐ μὴν πρός γε τὴν ἐρώτησιν ἀπεκρίνατο. πρῶτον μὲν γὰρ οὐδὲ πᾶσα διαφορὰ προστιθεμένη τῷ γένει συντελεῖ τι πρὸς τὴν τοῦ εἴδους γένεσιν, ἀλλ᾽ ἥτις ἂν ἐκ τῆς τοῦ γένους οἰκείας ᾖ διαιρέσεως· αὗται γάρ εἰσιν εἰδοποιοὶ μόναι τῶν διαφορῶν, αἱ δ᾽ ἄλλαι πᾶσαι περιτταί. ζώου μὲν γὰρ οἰκεῖαι διαφοραὶ τὸ θνητὸν καὶ ἀθάνατον, ἄλογόν τε καὶ λογικὸν, ἥμερόν τε καὶ ἄγριον, ὅσα τ᾽ ἄλλα τοιαῦτα· μαλακὸν δὲ καὶ σκληρὸν, καὶ βαρὺ καὶ κοῦφον, καὶ ἀραιὸν καὶ πυκνὸν, καὶ μέγα καὶ μικρὸν, οὐ ζώου, ἀλλ᾽ οὐσίας εἰσὶ δια-

ſint in univerſum vocis elementa, ſi duo ea eſſe reſponderit, quippe aut vocalem omnino, aut conſonantem eſſe quicquid vocis ſit elementum, is verum quidem dixerit; caeterum ad quaeſtionem non reſponderit. Ad eundem modum, arbitror, ſiquis omnium morborum numerum comprehendere ſtudens, ſpeciem quidem ullam morborum, veluti phlegmonem, ſcirrhum vel oedema, referre non curet, ſolas autem differentias memoret, ſive aſtrictum et fluidum, ſive rarum et denſum, ſive durum et molle, ſive tenſum et laxum, verum hic quoque dixerit, minime tamen ad quaeſtionem reſponderit. Primum namque non omnis differentia generi addita ad ſpeciei conſtitutionem aliquid conducit, ſed quae ex generis propria diviſione naſcitur, quippe hae demum differentiae ſunt, quae ſpecies conſtituant, reliquae omnes alienae. Etenim animalis propriae differentiae ſunt mortale et immortale, rationale et irrationale, manſuetum et ferum et quaecunque alia id genus. Molle vero ac durum, grave et leve, rarum et denſum, magnum et parvum animalis differentiae non ſunt, ſed ſub

φοραί. καὶ τοίνυν εἰ μὲν προστεθείη τῷ ζώῳ τὸ μαλακὸν καὶ τὸ σκληρὸν, ἢ τὸ πυκνὸν ἢ τὸ ἀραιὸν, ἢ τὸ μικρὸν ἢ τὸ μέγα, πλεῖον οὐδὲν εἰς εἴδους γένεσιν συντελέσει· εἰ δ᾽ ἤτοι λογικὸν καὶ ἀθάνατον, ἢ λογικὸν καὶ θνητὸν, εἴη ἂν τὸ μὲν εἴδει θεὸς, τὸ δὲ ἄνθρωπος· οὕτω δὲ κἂν εἰ προσθείης τῷ λογικῷ ζώῳ διττὰς οἰκείας διαφορὰς, τὸ πεζὸν καὶ τὸ δίπουν, εἶδος ἐργάσῃ τι καὶ οὕτως, τὸν ἄνθρωπον· ὅθεν ἀδύνατόν ἐστιν οὐδενὸς τῶν ὄντων εἰδοποιοὺς εὑρεῖν διαφορὰς ἄνευ τοῦ τὸν ὁρισμὸν, ἢ τὸν λόγον τῆς οὐσίας ἀκριβῶς αὐτοῦ περιγράψασθαι. δεύτερον δ᾽ ἐπὶ τούτου σφάλμα τοῖς ἀγυμνάστοις περὶ λόγον, ἐπειδὰν ἐξευρήσουσι μίαν τινὰ διαφορᾶς ἀντίθεσιν, εἶδός τι τοῦ προβεβλημέ(9)νου γένους ὑπολαμβάνειν εὑρηκέναι, ὥσπερ ὀλίγον ἔμπροσθεν ὑπὲρ τῶν τῆς φωνῆς στοιχείων ἐλέγετο. φωνῆεν γάρ τις εἰπὼν καὶ σύμφωνον οὔπω τὰ πάντα στοιχεῖα τῆς ἀνθρώπου φωνῆς εἴρηκεν, ἀλλὰ δύο τὰς πρώτας γενικὰς διαφοράς· εἰ δὲ τὰ μὲν φωνήεντα τέμνων αὖθις εἰς μακρὰ καὶ βραχέα καὶ δίχρονα, τὰ σύμφωνα

ſtantiae. Itaque etiamſi cum animali vel molle, vel durum, vel denſum, vel rarum, vel magnum, vel parvum componas, ad ſpeciem conſtituendam nihil ſane plus contulerint, ſin vel rationale et immortale, vel rationale et mortale animali adjeceris, efficitur ſpecie illic deus, hic homo. Ita vero et ſi rationali animali duas alias differentias peculiares addideris, quae ſunt greſſile et bipes, ſic quoque ſpeciem quampiam effeceris, nempe hominem. Unde fieri non poteſt ut ullius rei ſpecificas differentias inveniat qui eam definitione, ſive ſubſtantiae ipſius oratione, ad unguem non circumſcripſerit. Alius deinde error incidere ſolet iis quibus parum exercitata ratio eſt, quod quum unam aliquam differentiarum oppoſitionem invenerint, ſpeciem aliquam propoſiti generis ſe putent inveniſſe, ceu paulo ante de vocis elementis eſt dictum. Siquidem qui vocalem et conſonantem dixit, nondum omnia humanae vocis elementa dixit, ſed duas tantum primas et generales differentias. Quod ſi vocales rurſus in longas, breves ancipitesque diducat, tum

δ᾽ εἰς ἡμίφωνά τε καὶ ἄφωνα, καὶ αὖθις τὰ μὲν μακρὰ διχῆ, καθάπερ οὖν καὶ τὰ βραχέα, τὰ δ᾽ αὖ δίχρονα τριχῆ· καὶ δὴ καὶ τὰ ἄφωνα πρῶτον μὲν εἰς δασέα καὶ ψιλὰ καὶ μέσα, καὶ τούτων ἕκαστον αὖθις τριχῆ, τὰ δ᾽ ἡμίφωνα πάλιν, εἰ καὶ ταῦτα κατὰ τὴν οἰκείαν τέμνοις τομὴν, ἵνα μὴ μακρολογῶ περιττῶς, οὕτως ἂν ἐξεύροις τὰ τέτταρα καὶ εἴκοσι στοιχεῖα τῆς φωνῆς ᾗ χρώμεθα. τὸ μὲν γὰρ εἰπεῖν αὐτὸ τοῦτο μόνον, ὡς ἔστι τῶν στοιχείων τῆς φωνῆς τὰ μὲν φωνήεντα, τὰ δὲ σύμφωνα, τεχνικὸν οὔπω ποιεῖ τὸν ἀκροατὴν οὐδ᾽ ἀκριβῶς ἐπιστήμονα συμπάντων τῶν στοιχείων· ἀλλ᾽ ἐὰν διελόμενος εἰς βραχέα καὶ μακρὰ καὶ δίχρονα, βραχέα μὲν εἶναι φῇ δύο, τό τε ε καὶ τὸ ο, μακρὰ δ᾽ ὁμοίως δύο, τό τε η καὶ τὸ ω, δίχρονα δὲ τρία, τό τε ἄλφα καὶ τὸ ι καὶ τὸ υ, τεχνικὸν οὕτω ποιήσει τὸν ἀκούσαντα περὶ τῶν φωνηέντων ἁπάντων· ὡσαύτως δὲ καὶ περὶ τῶν συμφώνων κατὰ τὸν αὐτὸν τρόπον. οὕτως οὖν καὶ ὅστις ἐπιχειρεῖ λέγειν ὑπὲρ τοῦ τῶν νοσημάτων ἀριθμοῦ, πόσα τὰ σύμπαντ᾽ ἐστὶν, οὐ χρὴ τοῦτον ἐν τῇ πρώτῃ καταμεῖναι διαφορᾷ, τέμνοντα δ᾽ αὐτὴν ἐπεξιέναι, μέχρι περ ἂν ἐπί τι τῶν ἐσχάτων εἰδῶν ἀφί-

conſonantes in ſemivocales et mutas, itemque tum longas tum breves *vocales* biſariam, ancipites vero triſariam, ſed mutas primum in aſpiratas, tenues ac medias, dein rurſus tripartito harum ſingulas, mox ſemivocales propria, ne fruſtra multis morer, ſectione ſecet, ita quatuor et viginti elementa vocis qua utimur inveniat. Quippe id tantum dixiſſe, quod elementorum vocis quaedam vocales ſint, quaedam conſonantes, nondum omnium elementorum artificem, aut plane ſcientem auditorem reddit, ſed ſiquis ubi in longas, breves et ancipites diduxerit, adjiciat duas eſſe breves, nempe ε et ο, duas praeterea longas η et ω, tres vero ancipites α ι υ, ſic ſane artificem auditorem de omnibus vocalibus effecerit, itemque de conſonis ad eundem modum. Itidem ſi quis tradere de morborum numero inſtituat, quot hi in univerſum ſint, non debet is in prima ſtatim differentia ſubſiſtere, ſed diviſa ea procedere, donec ad aliquam in-

κηται τῶν μηκέτι τμηθῆναι δυναμένων εἰς ἕτερον εἶδος. ὅτι δ' οὐ τοῦ τυχόντος ἐστὶ τοῦτο ποιεῖν, ἀλλ' ἀνθρώπου γεγυμνασμένου μεγάλως ἐν τῇ διαιρετικῇ μεθόδῳ, μαθεῖν ἔνεστι τῷ βουλομένῳ πρῶτον μὲν ἅπαντα ἀναγνόντι κατὰ τὴν ἀρχὴν τοῦ Φιλήβου Πλάτωνι γεγραμμένα περὶ τῆς τοιαύτης μεθόδου, μετὰ ταῦτα δὲ τόν τε Σοφιστὴν ἀναλεξαμένῳ καὶ τὸν Πολιτικόν· ἔτι δὲ μᾶλλον αὐτῷ χαλεπώτερον φανεῖται τὸ πρᾶγμα τὸ πρῶτον περὶ μορίων ζώων Ἀριστοτέλους ἀναγνόντι· πειρᾶται μὲν γὰρ ἐν ἐκείνῳ τὰς διαφορὰς ἁπάσας ἐξαριθμήσασθαι τῶν ζώων, ἀπορίας τε παμπόλλας κινήσας, μόγις ὑπόπτως τε καὶ δειλῶς ἀποφαίνεσθαί τι τολμᾷ. εἶτ' Ἀριστοτέλους τε καὶ Πλάτωνος οὕτω μέγα καὶ χαλεπὸν εἶναι νομιζόντων εἰς τὰς οἰκείας διαφορὰς ἀκριβῶς τὰ γένη τέμνειν καὶ μετ' αὐτοὺς Θεοφράστου τε καὶ τῶν ἄλλων φιλοσόφων ἐξεργάζεσθαι πειρωμένων τὸν τρόπον, ὡς οὔπω κατωρθωμένον οὐδὲ παρ' ἐκείνοις, ὁ τολμηρότατος Θεσσαλὸς ἁπλῶς ἀποφηνάμενος ἀξιοῖ πιστεύεσθαι δύο τὰ πάντ' εἶναι κατὰ δίαιταν νοσήματα τὰ γοῦν ἁπλᾶ καὶ πρῶτα καὶ οἷον στοιχεῖα,

fimarum fpecierum et quae amplius in aliam dividi non poffit, perveniat. Id vero quam haud cuique fit promptum, fed homini duntaxat, qui in dividendi methodo magnopere fit exercitatus, intelligere quisque poterit, primum fi omnia legerit quae de eo genere methodi in principio Philebi a Platone funt prodita, dein fi Sophiftam etiam et Politicum legerit. Jam vero difficilior adhuc res videbitur, fi quis primum Ariftotelis librum de partibus animalium legerit. Conatur enim in eo libro omnes animalium differentias enumerare; at ubi multas dubitationes movit, vix tandem fufpecte ac timide pronunciare quippiam audet. Et quum Ariftoteles et Plato tantam tamque difficilem rem effe cenfuerint genera in propias differentias exacte dividere, ac poft hos Theophraftus et alii philofophi rationem abfolvere tentaverint, utpote ne apud illos quidem fatis adhuc conftantem, audaciffimus Theffalus abfolute pronuncians, credi fibi vult duos in totum effe in victus ratione morbos et eos quidem fimplices ac primos et veluti elementares; nam ter-

τρίτον γὰρ ἐξ αὐτῶν ἄλλο γεννᾶται τῷ λόγῳ σύνθετον, ἐπιπεπλεγμένον ἐξ ἀμφοῖν. ἀλλ᾽ εἴπερ μεθόδῳ τινὶ ταῦτ᾽ ἐξεῦρες, ὥσπερ οὖν ἀλαζονεύῃ τί οὐχὶ καὶ ἡμῖν ἔφρασας αὐτὴν, ἀλλὰ πᾶν τοὐναντίον, ἢ κατὰ τοὔνομα τὸ σεμνὸν, ᾧ προσαγορεύεις σαυτὸν, ἀμεθοδώτατε καὶ προπετέστατε, τὴν ἀπόφασιν ἐποιήσω, μηδ᾽ οὖν μηδὲ τῆς ἀρχῆς αὐτῆς ἐφαψάμενος, ἀφ᾽ ἧς ἀναγκαῖόν ἐστιν ἄρξασθαι τὸν μέλλοντα καλῶς ὁτιουοῦν πράγματος ἐξευρήσειν εἴδη τε καὶ διαφορὰς οἰκείας; περὶ παντὸς γὰρ, ὦ παῖ, μία ἀρχὴ ἀρίστη, εἰδέναι περὶ ὅτου ἡ ζήτησις, ἢ πάντα ἁμαρτάνειν ἀνάγκη, Πλάτων πού φησιν, οὐκ εἰς τὸ διαιρεῖν μόνον ὁτιοῦν ἀξιῶν ἡμᾶς ἀπ᾽ αὐτῆς ἄρχεσθαι τοῦ ζητουμένου τῆς οὐσίας, ἀλλ᾽ εἰς ἅπαν ἀεὶ χρῆσθαι σκέμμα τῷ τοιούτῳ τρόπῳ τῆς ἀρχῆς. [10] ἐχρῆν μὲν οὖν κἀνταῦθα τί ποτέ ἐστιν νόσημα καὶ τί σύμπτωμα καὶ τί πάθος ἀκριβῶς εἰπόντα, καὶ διορισάμενον ὅπῃ ταὐτόν ἐστιν ἕκαστον τῶν εἰρημένων καὶ ὅπῃ μὴ ταὐτὸν, οὕτως ἤδη πειρᾶσθαι τέμνειν εἰς τὰς οἰκείας διαφορὰς αὐτὰ, καθ᾽ ἣν ἐδίδαξαν ἡμᾶς οἱ φιλόσοφοι μέθοδον· ἢ εἴπερ ἑτέραν τινὰ βελτίω

tium ab his ratione gignit ex ambobus compoſitum. At ſi ulla methodo haec, ſicut jactas, inveſtigaſti, cur hanc nobis non dixiſti? Sed contra plane quam pro gravitate nominis quod tibi arrogas, homo temerarie atque a methodo alieniſſime, rem pronunciaſti, qui ne principium quidem ipſum unquam attigeris, a quo coepiſſe neceſſe ſit eum, qui recte cujuslibet rei ſpecies et differentias peculiares ſit inventurus? *De re enim qualibet o puer unum principium optimum, noſſe id de quo propoſita quaeſtio eſt, aut prorſus eſt aberrandum,* ait alicubi Plato, non ad dividendum modo quidvis ab ipſa quaeſitae rei eſſentia nobis eſſe inchoandum cenſens, ſed etiam in omni disquirenda re ejusmodi ſemper principio utendum. Ergo hic quoque par erat, ubi quid morbus ſit, quid ſymptoma et quid paſſio diligenter prius dixiſſes, ac dein qua conveniant differantque ipſorum ſingula definiviſſes, ſic demum tentare in proprias ea differentias diducere, ſecundum eam quam ſapientiae profeſſores tradiderunt methodum, aut ſi quam potiorem ea quae

τῆς παρ᾽ ἐκείνων γεγραμμένης ἐξεῦρες, αὐτὸ τοῦτο πρότερον ἀγωνίσασθαι, καὶ δεῖξαι καὶ διδάξαι τοὺς Ἕλληνας ὡς ὁ παρὰ τοῖς ἱστοῖς τραφεὶς ὑπερεβάλετο μὲν Ἀριστοτέλη καὶ Πλάτωνα μεθόδοις λογικαῖς, κατεπάτησε δὲ Θεόφραστόν τε καὶ τοὺς Στωϊκοὺς ἐν διαλεκτικῇ, φανερῶς δ᾽ ἐξήλεγξε τοὺς ἑταίρους αὐτῶν ἅπαντας, οὐδὲ τίνα ποτ᾽ ἐστὶ τὰ πρῶτα νοσήματα γινώσκοντας, τὸν Ἡρόφιλον ἐκεῖνον τὸν διαλεκτικὸν, καὶ τὸν συμφοιτητὴν αὐτοῦ Φιλότιμον, καὶ τὸν διδάσκαλον αὐτοῦ Πραξαγόραν τὸν ἀπὸ Ἀσκληπιοῦ, καὶ σὺν τούτοις γε καὶ πρὸ τούτων Ἐρασίστρατον, Διοκλέα, Μνησίθεον, Διευχῆ, Φιλιστίωνα, Πλειστόνικον, αὐτὸν Ἱπποκράτην. τὸ δ᾽ ἁπλῶς ἀποφήνασθαι δύο εἶναι τὰ πάντα πάθη κατὰ δίαιταν, οὐ μέθοδον, οὐκ ἀπόδειξιν, οὐ πιθανὴν πίστιν, οὐ παραμυθίαν, οὐδ᾽ ὅλως οὐδὲν ἄλλο προσθέντα, πλὴν εἰς τοὺς παλαιοὺς βλασφημήσαντα, προστάττοντός ἐστιν ἔργον, οὐ διδάσκοντος. ἔστω, σιωπᾷς, ἐκ ποίας εὗρες αὐτὰ μεθόδου λογικῆς· ἀλλά τοι κἂν κριτήριόν γέ τι τῶν λόγων τῆς ἀληθείας ἐχρῆν σε παρασχέσθαι. τοῦ μὲν γὰρ εὑρεῖν τὸ ζητού-

ab iis prodita eſt, exploraſſes, hanc ipſam prius aſtruere, tum illud oſtendere ac Graecos docere, hunc qui in textrina ſit altus ſuperaſſe Ariſtotelem et Platonem in methodis logicis, conculcaſſe Theopraſtum et Stoicos in dialectice, clare oſtendiſſe omnes eorum ſectatores ne primos quidem morbos qui eſſent unquam noviſſe, Herophilum illum dialecticum et condiſcipulum ejus Philotimum et praeceptorem ejus Praxagoram, qui ab Aesculapio originem traxit et qui cum his et ante hos fuerunt, Eraſiſtratum, Dioclem, Mneſitheum, Dieuchem, Philiſtionem, Pliſtonicum, ipſum denique Hippocratem. Porro ſimplici verbo dicere, omnes in victu morbos eſſe duos; non methodo, non demonſtratione, non ratione ulla probabili, non lenimento aliquo, non alia re prorſus adhibita, praeterquam in veteres blasphemia, *id facere*, imperantis hominis munus eſt, non docentis. Eſto, taceas, qua logica methodo haec inveneris, at certe unde ſaltem de veritate ſermonis judicaris, adhibitum aliquid oportuit. Nam invenienti ejus quod quaeritur logicae

μενον αἱ λογικαὶ μέθοδοι τὴν δύναμιν (39) ἔχουσι, τοῦ δὲ πιστώσασθαι τὰ καλῶς εὑρημένα δύο ἐστὶν ἅπασιν ἀνθρώποις κριτήρια, λόγος καὶ πεῖρα. πρὸς γοῦν τὸν ἐρωτήσαντα διὰ τί τῷδέ τινι τῷ πυρέττοντι συνεχώρησας ὕδατος πιεῖν ψυχροῦ, δύο εἰσὶν ἀποκρίσεις, ἡ μὲν ἑτέρα γένεσίν τε καὶ φύσιν ἐκδιδάσκουσα πυρετοῦ, καὶ περὶ τοῦ τῶν νόσων καιροῦ διεξιοῦσα, καὶ κατὰ τὸν αὐτὸν τρόπον ὕδατος ψυχροῦ φύσιν ἐξηγουμένη, κἄπειδὰν ταῦτα διεξέλθῃ, πειρωμένη διδάσκειν, ὡς τῷ τοιῷδε νοσήματι κατὰ τὸν τοιόνδε καιρὸν εὔλογόν ἐστιν ἴαμα γενέσθαι τὸ ὕδωρ τὸ ψυχρόν· ἡ δ᾽ ἑτέρα τῶν ἀποκρίσεων οὐδενὸς τούτων τῆς φύσεως ἐφαψαμένη καταφεύγει πρὸς τὴν πεῖραν, ἐν τοιῷδε νοσήματι καὶ καιρῷ τὸ ψυχρὸν ὕδωρ ἑωρᾶσθαι φάσκουσα πολλάκις ὠφελεῖν. ἐχρῆν οὖν, οἶμαι, καὶ τὸν Θεσσαλὸν ἤτοι πεῖραν ἢ λόγον ἐφ᾽ οἷς ἀποφαίνεται κριτήριον ἐπάγειν, οὐχ ὡς τύραννον ἡμῖν ἐπιτάττειν, ἀξιοῦντα πιστεύεσθαι χωρὶς ἀποδείξεως. καὶ τίνα, φασὶν, ἀκούειν ἀπόδειξιν ἀξιοῖς; οὕτω γὰρ ἀντερωτῶσιν ἡμᾶς οἱ ἀπ᾽ αὐτοῦ· καὶ δικαίως γε τοῦτο ποιοῦσιν, οὐδ᾽ εἰς ἔννοιάν

methodi facultatem praeftant, at quae fidem iis faciant quae recte funt inventa, duo funt apud omnes homines judiciaria *inftrumenta*, ratio et experientia. Quippe ad eum qui interrogaverit cur huic febricitanti frigidae bibendae poteftatem feceris, duplex refponfio eft, altera quae ortum naturamque febris docet ac de morborum temporibus differit, tum ad eundem modum aquae frigidae naturam explanat, et ubi haec propofuit, conatur docere in hoc morbo atque hoc tempore aquam frigidam idoneum remedium effe; altera de nullius horum natura follicita ad experientiam confugit, quod in tali morbo atque occafione faepe frigidam profeciffe viderit. Debebat igitur, opinor, et Theffalus vel experimentum, vel rationem affertioni fuae judiciariam probationem adhibuiffe, non ficuti tyrannus imperare, ac fibi citra demonftrationem credendum exigere. At quam, inquiunt, audire demonftrationem poftulas? ita enim contra nos interrogant ejus fectatores, neque id injuria, ut qui nec eo unquam pervenerint ut notionem demonftrationis tene-

Ed. Chart. X. [10. 11.] Ed. Baf. IV. (39.)

ποτε παρελθόντες ἀποδείξεως, ὡς ἂν οὔτε γεωμετρίας οὔτ᾽ ἀριθμητικῆς οὔτε διαλεκτικῆς οὔτε ἀναλυτικῆς οὐθ᾽ ὅλως λογικῆς τινος ἁψάμενοι θεωρίας. ἀποκριτέον οὖν αὐτοῖς, ὡς ὀψὲ πάνυ μανθάνειν ἐφίεσθε τί ποτ᾽ ἐστὶν ἀπόδειξις, καὶ ὡς οὐκ ἐνδέχεται χρόνῳ βραχεῖ λεπτῆς γνώμης δεομένῃ παρακολουθῆσαι θεωρίᾳ μήτ᾽ ἠσκημένους ἀκούειν ἀκριβῶν λόγων ἐν διαστροφῇ τε πολυχρονίῳ γεγονότας. ἐκείνους μὲν οὖν ἀποπέμψωμεν, ὡς μηδὲ συνιέναι δυναμένους ἀληθῶν μαθημάτων, μήτιγε δὴ μαθεῖν ἢ κρῖναι καλῶς.

Κεφ. δ΄. [11] Ἡμεῖς δὲ μετὰ τῶν ἠσκημένων τε ἅμα παρακολουθεῖν ἀποδείξει καὶ φύσει συνετῶν, οὐ γὰρ δὴ ὄνους Θεσσαλείους ἐπαγγελλόμεθα διδάσκειν, ἐπὶ τὸ προκείμενον ἐξ ἀρχῆς ἴωμεν, εὐθὺς ἅμα τῇ διδασκαλίᾳ τῆς θεραπευτικῆς μεθόδου καὶ ὧν ἐσφάλησαν οἱ πλεῖστοι τῶν ἰατρῶν ἐπιχειρησάντων ἐξευρεῖν αὐτὴν ἐξηγούμενοι τὰς αἰτίας· εἰς γάρτοι τὴν βεβαιοτέραν πίστιν τῶν ἀληθῶν οὐδὲ τοῦτο σμικρὸν φαίνεται συντελεῖν. πρῶτον μὲν οὖν εὐλαβηθῶμεν ἀμ-

rent, quum nec geometriam nec arithmeticen nec dialecticen nec refolutoriam nec denique logicam ullam fpeculationem attigerint. Quocirca refpondendum his ita eft, nimis fero, quid demonftratio fit, difcere poftulatis, nec fieri poteft ut brevi tempore fpeculationem, quae fubtilitatem mentis defiderat, affequamini, praefertim qui nec accuratis rationibus audiendis exercitati et in diuturna perverfitate volutati fitis. Sed iftos mittamus, ut qui ne intelligere quidem quae verae difciplinae fint valeant, nedum ipfas difcere, aut recte judicare.

Cap. IV. Nos vero una cum iis qui exercitati funt et demonftrationem intelligunt et natura funt fagaces, neque enim Theffalios afinos docere profitemur, ad id quod propofitum nobis ab initio eft accingamur, ac ftatim una cum ipfa medendi methodo etiam caufas ipfas unde errarint medicorum plurimi, qui tradere eam funt conati, exponamus; quippe ad firmiorem veritatis fidem id quoque non parum conducere videtur. Ac primum quidem illud cave-

φοῖν ἅμα μεμνῆσθαι, μεθόδου τε λογικῆς καὶ πείρας ἀλόγου· πρόκειται γὰρ οὐ περὶ πάσης εὑρέσεως ἰαμάτων εἰπεῖν νῦν, ἀλλὰ μόνης τῆς κατὰ μέθοδον· ὥσπερ καὶ περί γε τῆς ἐμπειρικῆς ἡμῖν τε δι᾽ ἑτέρου γράμματος εἴρηται καὶ αὐτοῖς ἐμπειρικοῖς καλουμένοις ἰατροῖς ἐπὶ πλεῖστον ἐξείργασται. καὶ οὕτως ἂν εὐξαίμην καὶ τοὺς λογικοὺς ἅπαντας ἰατροὺς ἔχεσθαι τοῦ προκειμένου, καὶ μὴ συγχεῖν, μηδὲ ταράττειν, μηδὲ συνάγειν εἰς ταὐτὸν ἀναλογισμόν τε καὶ πεῖραν, ἀλλ᾽ ἑκάτερον ἰδίᾳ μεταχειρίζεσθαι καὶ σκοπεῖσθαι τίνα δύναμιν ἔχει καὶ πόσον εἰς τὸ τέλος τῆς τέχνης συνεργεῖ. τὸ τοίνυν μεθόδῳ τι ζητεῖν ἐξευρεῖν ἀντίκειται μὲν τῷ κατὰ τύχην τε καὶ αὐτομάτως· ἔστι δὲ τὸ τοιοῦτον μετά τινος ὁδοῦ καὶ τάξεως, ὡς εἶναί τι πρῶτον ἐν τῇ ζητήσει καὶ δεύτερον καὶ τρίτον καὶ τέταρτον καὶ οὕτως ἐφεξῆς τἄλλα σύμπαντα, μέχρι περ ἂν ἀφίκηταί τις ἐπ᾽ αὐτὸ τὸ προκείμενον ἐξ ἀρχῆς. οἱ μὲν οὖν ἀπὸ τῆς ἐμπειρίας καλῶς ποιοῦντες ὁμολογοῦσιν ὡς οὔτε τῆς εὑρέσεως οὔτε τῆς διδασκαλίας ἀναγκαία τάξις ἐστὶ παρ᾽

bimus, ne fimul de ambobus, tum methodo, quae ratione nititur, tum experientia, quae ratione non utitur, agamus. Non enim de omni remediorum inventione nunc loqui ftatuimus, fed tantum de ea quae methodo fit, ita utique ut de empirica ipfa et a nobis in alio opere eft proditum et ab ipfis empiricis medicis quos vocant plurimum elaboratum. Atque utinam rationales omnes medici propofitum ita premerent, nec experientiam et rationem mifcerent atque in unum confunderent, fed quam utraque vim habeat, quantumque ad propofitum artis finem conducat, feorfum tractarent atque perpenderent. Ergo methodo quippiam inquirere invenireque ex adverfo opponitur ei quod eft fortuito temereque. Eft autem id cum via quadam et ordine, ita ut in disquifitione aliquid primum fit, aliquid fecundum et tertium et quartum, atque ita de reliquis omnibus deinceps, quoad demum ad ipfum quod ab initio eft propofitum fit perventum. Ac empirici quidem rationabiliter fatentur nec inventionis nec doctrinae apud ipfos effe necefarium ordinem, nam nec arte ulla rationeve experientia

αὐτοῖς· ἄτεχνον γάρ τι καὶ ἄλογον ἡ πεῖρα καὶ τύχης ἀγαθῆς δεόμενον εἰς τὴν τῶν ζητουμένων εὕρεσιν. ὅσοι δὲ λόγον ἡγεμόνα τῆς εὑρέσεως ἐποιήσαντο καὶ τάξιν, ὁδόν τε μίαν τὴν ἐπὶ τὸ τέλος ἄγουσαν ὑπέθεντο, τούτοις ἀναγκαῖον μὲν ἦν ἀπὸ πρώτου τινὸς ἀρξαμένοις ὁμολογουμένου πᾶσιν ἀνθρώποις, οὕτως ἤδη μετιέναι πρὸς τὰ λοιπά· ποιοῦσί γε μὴν οὐχ οὕτως, ἀλλὰ καὶ τὰς ἀρχὰς οἱ πλεῖστοι διαφωνουμένας λαμβάνουσιν, οὐκ ἀποδείξαντες δὲ ἐπὶ τὰ λοιπὰ κατὰ τὸν αὐτὸν τρόπον μετέρχονται, νομοθετοῦντες μᾶλλον ἢ ἀποδεικνύντες. ἅπαντα δ' αὐτοῖς τὰ τοιαῦτα συμβαίνει διὰ τὸ μηδὲν ὑπὲρ ἀποδείξεως ἐπεσκέφθαι πρότερον, ἀλλ' ἅμα τε τοῖς ζητουμένοις ἐφίστασθαι καὶ τολμᾷν χρῆσθαι πρὸς τὴν πίστιν αὐτῶν ἀποδείξεσιν, ὅμοιόν τι ποιοῦσιν ἀνθρώπῳ μετρεῖν ἐπιχειροῦντι σφαῖραν, ἢ κύβον, ἢ κῶνον, ἢ κύλινδρον, ἤ τι τοιοῦτον ἕτερον, οὔτε γεωμετρίας οὔτε λογιστικῆς ἐπιστήμονι θεωρίας, ἀλλὰ μηδὲ πῆχυν, ἢ παλαιστὴν, ἢ πόδα παρεσκευασμένῳ, κἄπειτα ἀγανακτοῦντι πρὸς τοὺς ἀπόδειξιν ζητοῦντας,

nititur, imo fortunam proſperam ad ea quae quaerit invenienda requirit. Qui vero rationem inventionis ſuae auctorem ſtatuerunt, ac ordinem unamque viam, quae ad finem ducat, propoſuerunt, iis fuerat quidem neceſſarium a primo aliquo auſpicatis, de quo inter omnes homines conveniret, ſic tranſire ad reliqua. Caeterum hanc rationem non ſequitur *pleraque medicorum pars*, imo principia quoque ipſa controverſa ſumit, nec illa demonſtratione confirmat, tum ad reliqua ſimili modo tranſit, legislatorum ritu ſanciens verius quam demonſtrans. Quae omnia inde adeo his accidunt, quod nihil prius de demonſtratione ſunt meditati, ſed ſimul et inquiſitis inſiſtunt et ad eorum fidem demonſtratione uti audent, ſimile profecto quiddam iis molientes, qui ſphaeram, aut cubum, aut conum, aut cylindrum, aliudve id genus metiri aggrediuntur, quum tamen omnis geometricae ac logiſticae rationis ſint ignari, imo vero nec cubiti, palmive aut pedis menſuram praeparatam habeant, ac deinde ſuccenſent iis, qui vel demonſtrationem ab ipſis exigunt,

Ed. Chart. X. [11. 12.] Ed. Baf. IV. (39.)

ἢ καὶ σιωπᾷν ἀξιοῦντας. ὡς γὰρ κἀκεῖ γελοῖος ὁ φάσκων ὀρθογωνίου τριγώνου, τῆς μὲν ἑτέρας τῶν περὶ τὴν ὀρθὴν γωνίαν πεντάποδος, εἰ οὕτως ἔτυχεν, ὑπαρχούσης, τῆς δ᾽ ἑτέρας δωδεκάποδος, οὐ τριάκοντα ποδῶν γίγνεσθαι τὸ ἐμβαδὸν, ἀλλὰ τετταράκοντα, [12] καὶ τούτων μηδεμίαν ἀπόδειξιν ἔχων εἰπεῖν, οὕτω κἀνταῦθα γελοῖος ὁ ἀποφηνάμενος μὲν ὁτιοῦν, ἀποδεῖξαι δ᾽ οὐ δυνάμενος. ὡς οὖν τῆς κατὰ τὸ τρίγωνον ἀποδείξεως, οὐ γὰρ ἀφεκτέον ἡμῖν ἐστι τοῦ παραδείγματος, ἀπεληλακόσιν ἤδη τοῦ λόγου τοὺς ἀπαιδεύτους μεθοδικοὺς, αὐτὸ μὲν τὸ προκείμενον ἐκ δυοῖν τούτων ἐπεραίνετο προτάσεων, μιᾶς μὲν τῆς τὸ περιεχόμενον χωρίον ὑπό τε τῆς πεντάποδος καὶ δωδεκάποδος, ἑξηκοντάπουν γίγνεσθαι, δευτέρας δὲ τῆς ἥμισυ τρίγωνον ἐκείνου τοῦ χωρίου λεγούσης καὶ δεικνυούσης ὑπάρχειν, ἑκατέρα δὲ πάλιν τούτων ἑτέρων τινῶν εἰς ἀπόδειξιν ἐδεῖτο προτάσεων, εἶτ᾽ ἐκεῖναι πάλιν ἑτέρων, ἄχρι περ ἂν ἐπὶ τὰς πρώτας ἀνέλθωμεν, αἳ δὲ οὐκ ἐξ ἄλλων, οὐδὲ δι᾽ ἀποδείξεως, ἀλλ᾽ ἐξ ἑαυτῶν ἔχουσι τὴν πίστιν, οὕτως, οἶμαι, κἀπὶ τῶν τὴν ἰατρικὴν τέχνην ἀποδεικνυ-

vel tacere jubent. Quemadmodum enim in illo ridiculus erit is qui rectanguli trigoni, cujus alterum exempli caufa latus circa rectum angulum quinque fit pedum, alterum duodecim, dicat aream non effe triginta pedum, fed quadraginta, nec ejus rei demonftrationem ullam afferat, ita hic quoque ridiculus eft, qui quicquam affirmat, quod demonftrare non poffit. Ergo ficut in demonftratione de triangulo, neque enim recedendum nobis ab exemplo eft, qui indoctos methodicos a difputatione noftra jam abegimus, ipfum quod propofitum eft, ex duabus his propofitionibus colligebatur, una, quae fpatium id, quod lateribus pedum quinque et pedum duodecim continetur, fexaginta pedum effici dicit, altera, quae triangulum dimidium ejus effe fpatii proponit atque oftendit, harum utraque rurfus ut demonftrationis fidem reciperet, aliis propofitionibus egebat, mox illae aliis, quoad perventum ad primas effet, hae vero nec ex aliis nec per demonftrationem, fed ex fe fidem faciunt: fic arbitror et in iis omnibus quae in medicina demonftran-

μένων ἁπάντων εἰς πρώτας τινὰς ἀναποδείκτους προτάσεις καὶ ἐξ ἑαυτῶν πιστὰς ἀνάγεσθαι χρῆναι πάντα. καὶ εἴπερ οὕτως ἅπαντες ἐπεχείρησαν εἰπεῖν τι περὶ τῆς θεραπευτικῆς μεθόδου, πάντως ἄν που καὶ συνεφώνησαν ἀλλήλοις, ὥσπερ οἱ ἀριθμητικοί τε καὶ γεωμέτραι καὶ οἱ λογιστικοί· μαθεῖν γοῦν ἔστι παρ᾽ ἐκείνων εὐθὺς κατ᾽ ἀρχὰς ὁποῖον μέν τι δηλοῦται πρὸς ἑκάστου τῶν ὀνομάτων οἷς μέλλουσι χρῆσθαι, τίνας δὲ προτάσεις ἀναποδείκτους παραλήψονται πρὸς τὸν λόγον, ἅσπερ δὴ καὶ ἀξιώματα καλοῦσιν, οἷον ὅτι γραμμὴν μὲν ὀνομάζω μῆκος ἀπλατὲς, ἐπιφάνειαν δὲ τὸ μῆκος καὶ πλάτος μόνον ἔχον, καὶ τρίγωνον μὲν τόδε τι, τετράγωνον δὲ τόδε τι, καὶ τῶν ἄλλων ὁμοίως ἕκαστον· εἶθ᾽ ὅτι καὶ τοῖς τοιούτοις ἀξιώμασι χρήσοιτο, προειπὼν ὡς τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἐστὶν ἴσα, καὶ ἐὰν ἴσοις ἴσα προστεθῇ, τὰ ὅλα ἴσα ἔσται· μετὰ ταῦτ᾽ ἤδη πειρᾶται δεικνύναι τὰ θεωρήματα, μηδὲν τούτων ἔξωθεν ὧν ἐξ ἀρχῆς ὑπέθετο προλαμβάνων. οἱ πολλοὶ δὲ τῶν ἰατρῶν, ὡς οἶσθα καὶ αὐτὸς, Ἱέρων κράτιστε, πόθεν ἤρξαντο τῆς εὑρέσεως ἣν εὑρηκέναι φασὶν ἐρω-

tur, ad primas et indemonſtrabiles propoſitiones et quae ex ſe fidem faciant, omnia eſſe perducenda. Ac ſi omnes de medendi methodo ſic dicere aliquid inſtituiſſent, prorſus ſicuti inter arithmeticos, geometras et logiſticos, ita inter ipſos quoque conveniſſet, quippe apud quos diſcere ab ipſo ſtatim initio licet, quid quoque nomine quo uſuri ſunt, ſignificetur, quas praeterea propoſitiones indemonſtrabiles, quae axiomata vocant, ad disceptationem ſint ſumpturi, veluti lineam eſſe longitudinem citra latitudinem, ſuperficiem, quae longitudinem latitudinemque tantum habeat, et triangulum eſſe hoc, quadrangulum illud, ac reliqua ad eundem modum. Ab his, ubi axiomata hujusmodi uſurpanda ſibi eſſe praedixerint, ſcilicet quae eidem ſunt aequalia, inter ſe etiam eſſe aequalia, et ſi aequalibus aequalia ſint adjecta, tota fore aequalia, demonſtrata theoremata jam tentant, nihil extra ea quae a principio praeſumſerunt adjicientes. Plerique tamen medicorum, ſicut ipſe ſcis, Hiero cariſſime, interrogati undenam principium inventionis ſuae ſumſerint,

Ed. Chart. X. [12.] Ed. Baf. IV. (39. 40.)

τάμενοι τοσοῦτον ἀποδέουσι τοῦ λέγειν ἀναποδείκτους τε καὶ ἅπασιν ὁμολογουμένας ἀρχὰς, ὥστ᾽ οὐδ᾽ ἀποκρίνεσθαι σύμφωνον ἑαυτοῖς οὐδὲν (40) ἐξευρίσκουσιν, ἀλλ᾽ Εὐρίπου δίκην ἄνω τε καὶ κάτω μεταβάλλονται, τἀναντία τιθέμενος ἕκαστος ἑαυτῷ τοῦ λόγου προϊόντος ὧν ἐξ ἀρχῆς ὑπέθετο. φαινομένας γοῦν εἰπὼν εἶναι τὰς κοινότητας ὁ σοφώτατος Θεσσαλὸς, ὀλίγον ὕστερον οὐ μόνον οὐδένα τῶν ἔμπροσθεν ἰατρῶν ἰδεῖν αὐτάς φησιν, ἀλλ᾽ οὐδὲ τὸν πρῶτον γεννήσαντα Θεμίσωνα· τούτῳ γὰρ οὖν δὴ μόνῳ παραχωρεῖ καθάπερ πατρὶ τέκνα γνήσια τὰς τερατώδεις ἐκείνας κοινότητας. εἶθ᾽ οἱ μετ᾽ αὐτοὺς ἅπαντες ἀλλήλοις τε καὶ τῷ Θεσσαλῷ διηνέχθησαν, οὔτε τὰς αὐτὰς εἰσηγούμενοι κοινότητας οὔθ᾽ ὅλως ἀλλήλοις ὁμολογοῦντες οὐδὲ καθ᾽ ἓν, ὥσπέρ σοι καὶ τοῦτο πολλάκις ἀπέδειξα παρόντων αὐτῶν τῶν μεθοδικῶν· ἴσως δ᾽ ἂν που καὶ γράψαιμι κατὰ πολλὴν σχολὴν ὑπὲρ τῆς διαφωνίας αὐτῶν, ἀλλὰ νῦν γε τοσοῦτον εἰς τὰ προκείμενα προσήκει λαβεῖν, ὡς ἐχρῆν ἀρχηγοὺς αἱρέσεως καθισταμένους αὐτοὺς ἐξηγήσασθαι πρότερον ἐφ᾽ ὅτου πράγματος ἕκαστον

tantum abeſt ut indemonſtrabilia principia et quae omnibus hominibus in confeſſo ſint proferant, ut nec quod ſibi ipſis conſonum reſpondeant inveniant, ſed ſurſum ac deorſum Euripi more agantur, contraria quisque in progreſſu ſermonis iis quae ab initio ſtatuerunt aſſerentes. Siquidem ſapientiſſimus iſte Theſſalus, quum apparentes eſſe communitates dixiſſet, paulo poſt non ſolum non alium quenquam priorum medicorum vidiſſe eas aſſeverat, ſed nec ipſum qui primus eas peperit, Themiſonem. Hujus namque unius eſſe monſtroſas illas communitates ſatetur, ceu patris legitimos filios. Poſt hos vero qui ſequuti ſunt omnes et inter ſe et ab ipſo Theſſalo diſſentiunt, nec easdem communitates tradentes, nec omnino inter ſe vel in uno concordantes. Id quod ſaepenumero tibi, ipſis etiam methodicis praeſentibus, oſtendi, ac fortaſſe aliquando majus otium nactus, de eorum diſſenſione ſcribam. At nunc tantum ſaltem ad rem propoſitam ſumi expedit, oportuiſſe eos, praeſertim ſectae auctores, expoſuiſſe prius de qua re ſingula nomina dici

τῶν ὀνομάτων ἐπιφέρουσιν, ὥσπερ οὖν καὶ οἱ ἐμπειρικοὶ ποιοῦσι, φαίνεσθαι μὲν λέγοντες τὰ ταῖς αἰσθήσεσιν ὑποπίπτοντα, γινώσκεσθαι δὲ τὰ μνημονευόμενα, φαίνεσθαι δ' ἅμα καὶ γινώσκεσθαι τὰ καὶ πρότερόν ποτε ταῖς αἰσθήσεσιν ὑποπεσόντα καὶ νῦν ὁμοίως ὑποπίπτοντα. πότερον οὖν οὕτω καὶ αὐτοὶ φαίνε[13]σθαι λέγουσι τὰς κοινότητας ὡς αἰσθήσει γνωριζομένας, ἢ καὶ τὰ διὰ λόγου λαμβανόμενα φαινόμενα καλοῦσιν; οἱ μὲν γὰρ ἀπὸ τῆς ἐμπειρίας οὐ πάνυ τι συγχωροῦσιν οὐδὲν τῶν τῷ λόγῳ μόνῳ δοκούντων ἐγνῶσθαι φαινόμενον ὀνομάζειν· οἱ δ' αὖ παλαιοὶ φιλόσοφοι διττὸν γένος εἶναί φασι τῶν φαινομένων, ἓν μὲν, ὅπερ καὶ τοῖς ἐμπειρικοῖς ὁμολογεῖται, τῶν αἰσθήσει τινὶ διαγινωσκομένων, οἷον λευκοῦ καὶ μέλανος καὶ σκληροῦ καὶ μαλακοῦ καὶ θερμοῦ καὶ ψυχροῦ καὶ τῶν ὁμοίων, ἕτερον δὲ τῶν ὑποπιπτόντων νοήσει κατὰ πρώτην ἐπιβολὴν ἀναπόδεικτον, ὡς τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ὑπάρχειν ἴσα, καὶ ἐὰν ἴσοις ἴσα προστεθῇ, καὶ τὰ ὅλα ἴσα γίγνεσθαι, καὶ ἐὰν ἀπὸ ἴσων ἴσα ἀφαιρεθῇ, καὶ τὰ λοιπὰ ἴσα εἶναι. τοῦ τοιούτου γένους εἶναί φασι καὶ τὸ μηδὲν ἀναιτίως γίγνεσθαι· καὶ πάντ' ἐξ ὄντος τινὸς, ἐκ δὲ

vellent, ſicut empirici faciunt, qui apparere ea dicunt quae ſub ſenſum cadunt, noſci vero quae memoria tenentur, apparere ſimul et noſci quae et ante aliquando ſub ſenſum venerunt et nunc ſimili modo veniunt. Num igitur ita ipſi quoque apparere communitates dicunt, ceu ſenſu cognitas, an et quae ratione comprehendimus, apparentia nominant? Empirici namque non admodum concedunt quicquam ex iis, quae ſola ratione noſci videntur, apparens dici. Rurſus veteres philoſophi duplex eſſe genus apparentium decernunt, unum quod ipſi empirici comprobant, nempe eorum quae ſenſu aliquo noscuntur, veluti albi, nigri, duri, mollis, calidi, frigidi et ſimilium, alterum eorum quae intelligentiae primo occurſu indemonſtrabili patent, veluti quae eidem ſunt aequalia, ea etiam inter ſe eſſe aequalia, et ſi aequalibus aequalia addantur, tota etiam aequalia fieri, et ſi aequalibus aequalia demas, quae reſtant etiam aequalia fore. Hujus eſſe generis ajunt et quod nihil citra cauſam fiat, et

τοῦ μηδόλως ὄντος οὐδέν· οὕτω δὲ καὶ τὸ φθείρεσθαι μηδὲν εἰς τὸ τέως οὐκ ὄν, καὶ τὸ περὶ παντὸς ἀναγκαῖον ἢ καταφάσκειν ἢ ἀποφάσκειν, ἕτερά τε τοιαῦτα πολλὰ, περὶ ὧν ἐν ταῖς λογικαῖς πραγματείαις ἐπισκέπτονται, καὶ ἡμῖν δὲ εἰς ὅσον οἷόν τε σαφέστατα διὰ τῶν ὑπὲρ ἀποδείξεως ὑπομνημάτων εἴρηται. περὶ τούτων ἐν ταῖς τοιαύταις ἀρχαῖς, ἃς δὴ καὶ λογικὰς ὀνομάζομεν, ἀμφισβητοῦσιν ἔνιοι τῶν φιλοσόφων ἐρίζοντες· ἀλλ' ἐκεῖνοι μὲν ἄχρι γοῦν τοσούτου σωφρονοῦσιν, ὡς ἀπιστεῖν ἀποδείξει πάσῃ, γινώσκοντες, οἶμαι, κἂν μὴ λέγωσιν, ὡς αὐτὸ γοῦν τοῦτο βεβαίως ἐπίστανται, τὸ μηδὲν ἀποδειχθῆναι δύνασθαι, τῶν λογικῶν ἀρχῶν ἀπιστουμένων· ὅσοι δ' ἄχρι τοσούτου σκαιοὶ καὶ ἀνόητοι τυγχάνουσιν ὄντες, ὡς μηδὲ αὐτῷ τούτῳ παρακολουθεῖν, ἀποδεικνύναι μὲν πειρῶνται, τίνες δέ εἰσι καὶ ποῖαι καὶ πόσαι τῶν ἀποδείξεων ἀρχαὶ μήτε γινώσκειν μήτε ζητεῖν ἐθέλειν μήτ' ἄλλου διδάσκοντος ἀκούειν ὑπομένειν, ἀλλ' ἁπλῶς ἀποφαίνεσθαι καὶ φθέγγεσθαι ῥήματα μηδ' ὅ τι σημαίνει σαφῶς εἰπεῖν δυνάμενοι. εὐλόγως οὖν ἑκατοντάβιβλοι πραγματεῖαι γράφονται

quod omnia ex ente quopiam, et quod ex eo quod omnino non ſit nihil fiat; ſimili modo nihil corrumpi in id quod ante non ſit, item quod affirmare, vel negare de quoque ſit neceſſe, aliaque id genus non pauca, de quibus in logicis tractatibus agitur et ipſe in commentariis de demonſtratione quam potui dixi clariſſime. De his inter eiusmodi principia, quae logica nuncupamus, quidam philoſophorum contendunt atque ambigunt, hi tamen hactenus ſaltem ſunt modeſti, quod omni demonſtrationi fidem abrogant, intelligentes, arbitror, tametſi id non dicunt, illud ſaltem ſe certo ſcire, nihil omnino demonſtrari poſſe, ſi logicis principiis fides non ſit adhibita. At qui eousque rudes amentesque ſunt, ut ne id quidem intelligere queant, hi demonſtrare quidem conantur, caeterum quae qualiave et quot demonſtrationum principia ſint, nec noſcere nec quaerere volunt, nec alium docentem audire ſuſtinent, ſed abſolute pronunciant et verba loquuntur, quae nec quid ſignificent ipſi clare explicare valeant. Merito igitur eorum aemulis centum vo-

τοῖς ἀπ᾿ αὐτῶν, ἅμα μὲν ζητοῦσι καθ᾿ ὅτου πράγματος ἕκαστον τῶν ὀνομάτων ὁ Θεσσαλὸς ἐπέφερεν, ἅμα δ᾿ οὐχ εὑρίσκουσιν οὐδὲν τοιοῦτον ᾧ συμφωνήσει πάντα τὰ κατὰ μέρος ὑπ᾿ αὐτοῦ λεγόμενα. τίνες γὰρ οὖν αἱ φαινόμεναι κοινότητές εἰσιν, ἢ πῶς φαινόμεναι, λέγειν οὐκ ἔχουσιν, οὐδ᾿ ἂν πολλαπλασίους ἄλλας γράψωσι βίβλους. ἤτοι γὰρ αἰσθήσει πάντως ὑποπίπτειν χρὴ τὸ φαινόμενον, ἢ νοήσει κατὰ μίαν ἐπιβολὴν ἀθρόως, ἑκάτερα χωρὶς ἀποδείξεως· εἴ τι δ᾿ ἐκπέπτωκεν ἐκ τοῦ κατὰ μίαν προσβολὴν εἰς γνῶσιν ἥκειν, εὐθὺς μὲν τοῦτο καὶ διαπεφώνηται πάντως καὶ ἀποδείξεως δεῖται καὶ τέχνην οὐδεμίαν ἀπὸ τοιούτου πράγματος ἄρχεσθαι προσήκει. ταῦτ᾿ οὖν εἰ μὲν ἐγυμνάσαντο κατὰ τὰς λογικὰς μεθόδους, αὐτοί τ᾿ ἂν ᾔδεσαν ἡμῶν τε οὐκ ἂν μάτην κατέτριβον τὸν χρόνον· ἐπεὶ δ᾿ ἀγύμναστοι καὶ ἀμαθεῖς ὄντες, ἐξ ἀπονοίας ἐτόλμησαν ἀποδείξει χρήσασθαι, πρὶν ὅ τί ποτέ ἐστιν ἀπόδειξις μαθεῖν, ἀναγκαῖον ἤδη τοὺς τοιούτους ἅπαντας σφάλλεσθαι καὶ ληρεῖν μακρὰ, καὶ μηδὲ τοῖς ὀρθῶς ἀποδεικνύουσιν ἀκολουθεῖν, ἀλλ᾿ ἀναλίσκειν μάτην τὸν χρόνον. μὴ τοίνυν αὐτοῖς

luminum opera fcribuntur, partim inveftigantibus de quo quodque nomen dici Theffalus voluerit, partim nihil tale invenientibus, cui omnia ab eo particulatim dicta confentiant. Nam quae demum apparentes illae communitates fint, aut quo modo apparentes, dicere non poffunt, nec fi iterum atque iterum totidem libros fcripferint, quippe quod apparet, aut fub fenfum omnino cadat oportet, aut fub intelligentiam uno femel occurfu, utrumque fine ulla demonftrationis ope; quod vero intellectui fe uno occurfu non exhibet, protinus id controverfum eft ac demonftratione eget, nec artem ullam a tali principio incepiffe convenit. Haec fi in logicis methodis exercuiffent, et ipfi ea intelligerent et tempus noftrum fruftra non contererent. Nunc quoniam inexercitati rudesque, per amentiam audent demonftratione uti, priusquam quid ea fit, didicerint, neceffe eft cum fimilibus fui omnes aberrent, prorfusque nugentur ac eos qui recte demonftrant minime intelligant, fed tempus inaniter confumant. Ergo cum his nequaquam ut cum ra-

μηδ' ὡς ζώοις λογικοῖς ἔτι διαλεγώμεθα, μηδ' ἀντιλέγωμεν μακρὰ, πρὶν ἂν ἐθελήσωσι μαθεῖν οἷόν τι πρᾶγμά ἐστιν ἀπόδειξις, ὅπως τε δεῖ τὸν μέλλοντα καλῶς αὐτῇ χρήσασθαι γεγυμνάσθαι.

Κεφ. ε΄. [14] Καί σοι τὸν ἑξῆς λόγον ἤδη ἅπαντα ποιήσομαι, χρώμενος ταῖς μεθόδοις ἃς ἐν τοῖς περὶ τῆς ἀποδείξεως ὑπομνήμασι κατεστησάμην. ὅτι τε γὰρ ἀρχαὶ πάσης ἀποδείξεώς εἰσι τὰ πρὸς αἴσθησίν τε καὶ νόησιν ἐναργῶς φαινόμενα καὶ ὡς ἐπὶ πάντων τῶν ζητουμένων εἰς λόγον χρὴ μεταλαμβάνεσθαι τοὔνομα, δι' ἐκείνων ἀποδέδεικται· νυνὶ δ' ὅπως μὲν ἢ εὑρίσκειν, ἢ ἀποδεικνύναι προσήκει, λέγειν οὐ πρόκειται, τοῖς δ' ἤδη μεμαθηκόσι τε καὶ ἠσκηκόσιν ἅμα μὲν ἀποδοῦναι τινὰ καρπὸν τῶν πόνων εὐκαιρότατον, ἐξευρόντας οὐ σμικρὸν πρᾶγμα τὸ νῦν ἡμῖν προκείμενον· ἅμα δ' εἴ τινες ἐπιθυμηταὶ τῆς μεγίστης τέχνης εἰσὶν, ἣ περὶ τὴν ψυχὴν τοῦ ἀνθρώπου καταγίνεται, προγυμνάσαι καὶ τούτους εὔλογον ἐν τοῖς σμικροτέροις· τούτου γὰρ χρὴ μάλιστα κατὰ πάσας τὰς μεθόδους ἀντέχεσθαι, τοῦ γυμνάζεσθαι κατ' αὐτὰς

tionalibus animalibus vel difputandum amplius eft, vel iisdem impenfe contradicendum, priusquam didiciffe quaenam res demonftratio fit, velint, et quatenus exercitatum effe oporteat qui ea probe fit ufurus.

Cap. V. Ac tecum jam omnem deinceps fermonem conferam et illis utar methodis, quas in commentariis de demonftratione tradidi. Quippe non folum principia omnis demonftrationis effe ea, quae tum fenfui tum intelligentiae manifefte fe exhibent, fed etiam in omni re quaerenda, nomen ipfum affumi in difputationem oportere, in illis docuimus. Nunc vero neutrum praecipere ftatui, nec quemadmodum invenire nec quemadmodum demonftrare conveniat, fed iis qui jam didicerunt et exercitati funt, fimul aliquem laboris opportunum fructum reddere, inventa nimirum non tenui re, quam nunc inftituimus, fimul fi qui funt quibus artium maxima cordi eft, quae circa animum hominis verfatur, ipfos quoque in minoribus prius exercitare convenit. Nam id maxime fervare in omni methodo oportet, ut in ea te

ἐπὶ πολλῶν πολλάκις προβλημάτων μικροτέρων, πρὶν ἐπιχειρεῖν τοῖς μείζοσιν. ἥδ' οὖν ἡμῖν ἀρχὴ τῆς ἀληθοῦς ἔστω διδασκαλίας, ἣν ἂν εὐθὺς ἀπ' ἀρχῆς ἐποιησάμεθα, ζητοῦντές τε τὴν τέχνην αὐτοὶ καὶ ποδηγοῦντες ἑτέρους μηδέπω διεστραμμένους οὕτως ὥστ' ἐπεὶ πρόκειται θεραπείας εὑρεῖν ἁπάντων τῶν νοσημάτων, ἀναγκαῖον ἐπίστασθαι πρότερον ὁπόσα τὰ σύμπαντά ἐστιν· ἀλλ' ἐπεὶ μήτε διαφορὰς μήτε εἴδη δυνατὸν ἐξευρεῖν γένους μηδενὸς ἄνευ τοῦ βεβαίως αὐτὸ τὸ τεμνόμενον ἐπίστασθαι, χρὴ δήπου καὶ νῦν ὅ τί ποτέ ἐστι νόσημα τῷ λόγῳ διελθεῖν, ἵν' οὕτως ἐπιχειρήσωμεν ὀρθῶς αὐτοῦ τῇ διαιρέσει. πῶς οὖν ἐξεύρωμεν αὐτὸ ὀρθῶς μεθόδῳ; πῶς δ' ἄλλως ἢ ὡς ἐν τοῖς περὶ ἀποδείξεως ἐλέγετο; τῆς ἐννοίας πρότερον ὁμολογηθείσης, ἧς χωρὶς οὐχ οἷόν τέ ἐστιν εὑρεθῆναι τὴν οὐσίαν τοῦ προκειμένου πράγματος· αὐτὴν δὲ τὴν ἔννοιαν ὁμολογουμένην ἅπασιν ἐλέγομεν χρῆναι λαμβάνειν, ἢ οὐδ' ἂν ἀρχὴν δεόντως ὀνομάζεσθαι. τίς οὖν ὑπὸ πάντων ἐστὶν ἀνθρώπων ὁμολογουμένη περὶ τοῦ νοσεῖν ἔννοια; καὶ κατὰ τίνος μάλιστα φέρουσιν ὑποκειμένου πράγμα-

multis faepe levioribus problematis prius exerceas quam majoribus manum admoveas. Hoc igitur nobis verae difciplinae principium efto, quod utique ftatim inter initia facturi fueramus, tum artem ipfi inquirentes tum aliis praeuntes, qui adhuc perverfi non effent hoc modo. Quoniam omnis morbi curationem invenire propofitum eft, neceffe eft omnium numerum prius fciri. At quoniam fieri nequit ut aut differentias generis ullius, aut fpecies invenias, ipfo quod dividitur non plane explorato, oportet profecto nunc etiam quid morbus fit narremus, quo fic divifionem ejus rite adeamus. Qua igitur ratione id methodo inveniamus? Quanam alia nifi ea quam in libris de demonftratione praecepimus? *Nempe* ut de notione ipfa prius conveniat, quum fine hac propofitae rei fubftantiam invenire non liceat. Ipfam vero notionem quae omnibus conceffa fit, fumendam diximus, ut quae alias principium jure non dicatur. Quae igitur eft de aegrotando ab omnibus hominibus conceffa notio, et de qua maxime fubjecta re verbum hoc aegrotare

*τος τουτὶ τὸ ῥῆμα τὸ νοσεῖν; ἆρ᾽ οὐκ ἐπειδὰν μὲν ἀνεμπόδιστοι ταῖς ἐνεργείαις ἁπάντων (41) ὦσι τῶν τοῦ σώματος μορίων, ὑγιαίνειν τε σφᾶς αὐτοὺς τηνικαῦτά φασι καὶ οὐδὲν οἴονται δεῖσθαι τῶν ἰατρῶν, ἐπειδὰν δὲ τῶν κατὰ φύσιν ἔργων τοῦ σώματος ὁτιοῦν αἰσθάνωνταί σφισιν ἢ κακῶς ἢ μηδόλως ἔτι γινόμενον, ἡγοῦνταί γε νοσεῖν ἐν ἐκείνῳ τῷ μέρει τοῦ σώματος, οὗ τὴν ἐνέργειαν ὁρῶσι βεβλαμμένην, ἰατρῷ τε συμβούλῳ χρῶνται περὶ τῆς ἰάσεως; ἐγὼ μὲν οὕτως ὁρῶ πάντας ἀνθρώπους τῷ τε τῆς ὑγείας καὶ τῷ τῆς νόσου χρωμένους ὀνόματι, καὶ τὴν ἔννοιαν ἣν εἶπον ἅπαντας διασώζοντας ἐπί τε τούτων αὐτῶν καὶ ἔτι πρὸς τούτοις οὐδὲν ἧττον ἐπὶ τῶν παρακειμένων αὐτοῖς ὀνομάτων τε καὶ ῥημάτων ἁπάντων. καὶ γὰρ ὑγιαίνειν ἐκεῖνον ὑπειλήφασιν ᾧ μηδεμία βέβλαπται μηδενὸς ἐνέργεια μορίου, καὶ νοσεῖν ᾧ βέβλαπται· καὶ ὑγιαίνων οὗτος ὀνομάζεται παρ᾽ αὐτοῖς ᾧ πάντα τοῦ σώματος τὰ μόρια κατὰ φύσιν ἐνεργεῖ, καὶ νοσῶν ᾧ βέβλαπταί τι· καὶ οὐδεὶς ὅλως Ἑλλήνων οὔτ᾽ ὠνόμασεν ἄλλως οὔτ᾽ ἐπ᾽ ἄλλό τι πρᾶγμα φέρει τῶν εἰρημένων ὀνομά-*

enuneiant? Nunquid ubi citra offenfam omnium corporis partium actiones obeunt, et valere fe tunc dicunt et minime medicis egere putant, ubi vero earum quae fecundum naturam funt corporis actionum fenferint quampiam vel male fieri, vel prorfus non fieri, et aegrotare fe illa corporis exiftimant, cujus actionem laefam vident et medicum de remedio confulunt? Ego fane omnes homines ita video tum morbi tum fanitatis nomen ufurpare. Quinetiam eam quam dixi notionem omnes obfervant, non in his modo nominibus, fed etiam nihilo minus in omnibus quae eum his conjugata funt tum nominibus tum verbis. Etenim et fanum effe illum exiftimant cui nullius partis actio fit laefa, et aegrotare cui fit vitiata, et fanum eum nominant cujus omnes corporis partes actiones fuas fecundum naturam edunt, et aegrotantem cui pars aliqua laefa fit. Nec quisquam omnino Graecorum aut aliis nominibus utitur, aut de alia re enunciat jam dictorum nominum quodvis, id

των ἕκαστον, ὡς ἐπὶ πλεῖστον ἐδείξαμεν ἐν τῇ τῶν ἰατρικῶν ὀνομάτων ἐξηγήσει, καὶ αὐτοῦ γε τούτου μέ[15]μνησό μοι διὰ παντὸς τοῦ λόγου μάλιστα, διότι τὰς μὲν τῶν ὀνομάτων ἐξηγήσεις ἐκ τῆς τῶν Ἑλλήνων συνηθείας ποιησόμεθα, καθότι κἀν τοῖς περὶ τῆς ἀποδείξεως ὑπομνήμασιν ἐλέγετο· τὰς δὲ τῆς οὐσίας αὐτῆς τοῦ πράγματος εὑρέσεις τε καὶ ζητήσεις καὶ ἀποδείξεις οὐκέτ᾽ ἐκ τῶν τοῖς πολλοῖς δοκούντων, ἀλλ᾽ ἐκ τῶν ἐπιστημονικῶν λημμάτων, ὑπὲρ ὧν τοῦ τρόπου τῆς εὑρέσεως ἐν ἐκείνοις εἴρηται. λαβόντες οὖν ἀρχὴν ὁμολογουμένην ἅπασιν, ὡς ἐν τῇ θεραπευτικῇ μεθόδῳ τοῦτ᾽ εἴη τὸ προκείμενον, ὑγείαν ἐκπορίζεσθαι τοῖς νενοσηκόσι σώμασι, τουτέστι τὰς κατὰ φύσιν ἐνεργείας τῶν μορίων, εἴπερ βεβλαμμέναι τύχοιεν, ἐπανορθοῦσθαι· τὸ μετὰ τοῦτ᾽ ἤδη ζητήσομεν ὁπόσα τὰ σύμπαντά ἐστι κατὰ τὸν τόπον ἀλλήλοις παρακείμενα πράγματα, μή που τύχωμέν τινα τοῦ λόγου προϊόντος ἢ νοσήματα νομίσαντες, ὅταν ᾖ παραπλήσια τούτοις, ἢ ὑγείαν, ὅταν καὶ τῇ ταύτης φύσει πλησιάζῃ. προκεχειρίσθω δέ τινα μόρια σαφηνείας ἕνεκεν, ἐφ᾽ ὧν ὁ λόγος ἡμῖν περανθήσεται·

quod diffuse in medicorum nominum interpretatione ostendimus. Atque hoc saltem mihi per omnem disceptationem memoria teneri maxime velim, nominum quidem interpretationem ex Graecorum me consuetudine facturum, sicut in commentariis de demonstratione dixi, ipsius autem rerum essentiae tum inventionem tum inquisitionem tum demonstrationem non ex iis quae multitudini videntur, imo ex sumptionibus scientificis, de quarum inveniendi ratione in illis est proditum. Ergo accepto eo quod omnes concedunt principio, nempe illud in medendi methodo propositum esse, ut aegrotis corporibus sanitas comparetur, id est ut ad naturalem statum partium actiones, si oblaesae sint, instaurentur, jam quod deinceps est inquiremus, quot numero in totum res sint, quae loco inter se sibi sunt propinquae, necubi aliqua procedente sermone vel pro morbis accipiamus, quum sint his similia, vel pro sanitate, quum ad hujus naturam prope accedant. Proponamus autem claritatis causa partes aliquas, in quibus confirmetur quod di-

πρῶτον μὲν ἁπάντων ὀφθαλμός· ὁμολογεῖται γὰρ οὖν ἐπὶ τούτου πᾶσιν ἀνθρώποις, οὐκ ἰατροῖς μόνον, ἀλλὰ καὶ τοῖς τυχοῦσιν, ὡς ἔστιν ἔργον αὐτῷ τὸ βλέπειν. εἴτε δ᾽ ἔργον εἴποιμι κατὰ τὸν λόγον, εἴτ᾽ ἐνέργειαν, οὐδὲν ἔν γε τῷ νῦν διαφέρει· κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδ᾽ εἰ τὸ βλέπειν εἴποι τις ἔργον εἶναι τῶν ὀφθαλμῶν, οὐδ᾽ εἰ τὴν βλέψιν, οὐδ᾽ εἰ τὴν ὄψιν ἢ τὴν ὅρασιν, ἢ ὅπως ἂν ἄλλως ὀνομάσῃ, διαφέρει· καὶ γὰρ εἰ σολοικίζων ὀνομάσοι, πρός γε τὴν αὐτὴν τοῦ πράγματος ἐπιστήμην οὐδὲν τοῦτο βλάπτει, μόνον εἰ καθ᾽ ὅτου πράγματος φέρει τοὔνομα, διηγήσοιτο σαφῶς, ἐν τούτῳ γάρ ἐστι τὸ κῦρος τῆς διδασκαλίας. ὀνομαζέσθω τοίνυν ὀφθαλμὸς μὲν τὸ μόριον τοῦ σώματος, οὐδὲν οὐδ᾽ ἐνταῦθα διαφέρον εἴτε μέρος εἴτε μόριον εἴποι τις· ὅ τι γὰρ ἂν ᾖ τοῦ παντὸς συμπληρωτικὸν, ἐκεῖνο μόριόν τε καὶ μέρος ὀνομάζεται, τοῦ ὅλου δηλονότι σώματος, οὗ συμπληρωτικὸν ὑπάρχει. ἐν γὰρ τῷ πρὸς τί τὸ μέρος· ὅλου γὰρ καὶ παντός ἐστι τὸ μέρος, ὥσπερ, οἶμαι, καὶ τὸ πᾶν καὶ τὸ ὅλον πρὸς τὴν τῶν οἰκείων μερῶν τε καὶ μορίων ἀναφορὰν ὀνομάζεται,

cimus, ac primum quidem ante caeteras oculum. De hoc igitur omnibus hominibus, non medicis modo, fed etiam aliis quibuslibet convenit ejus opus effe ut videat. Seu vero opus, feu actionem inter loquendum dicam, in praesentia faltem non refert. Ad eundem modum nec fi quis afpicere oculorum effe opus dixerit, nec fi quis afpectum, aut vifionem, aut quomodocunque aliter nominet, quicquam refert, quando etiamfi quis foloecismum committens nominet, ad rei ipfius fcientiam nihil id afferat incommodi, modo de qua re nomen pronunciet clare explicet, in hoc enim praecipua doctrinae vis eft. Nominetur igitur oculus pars corporis, neque hic referat partemne án particulam quis dixerit. Quicquid enim totum complet atque integrat, id totius videlicet corporis quod complet particula five pars nominatur. Eft enim pars ex iis quae ad aliquid dicuntur, quippe pars totius integrique pars dicitur, aeque profecto ut totum et integrum per relationem ad partes et particulas

Ed. Chart. X. [15.] Ed. Baſ. IV. (41.)

καὶ ἔστιν ὥσπερ τὸ δεξιὸν πρὸς τὸ ἀριστερὸν καὶ τὸ ἀριστερὸν πρὸς τὸ δεξιὸν, οὕτω καὶ τὸ πᾶν πρὸς τὸ μέρος καὶ τὸ μέρος πρὸς τὸ πᾶν. εἴ τις οὖν ταύτην φυλάττων τὴν ἔννοιαν αἱρεῖται μέρος λέγειν, οὐ μόριον, ἢ εἴ τις ἔμπαλιν οὐ μόριον, ἀλλὰ μέρος, ἐμοὶ μὲν οὐδὲν εἰς τὴν εὕρεσιν τῶν πραγμάτων ἐμποδίζει, δείκνυσι δ᾽ αὑτὸν ὀψιμαθῆ τῆς τῶν Ἑλλήνων φωνῆς· ὥσπέρ γε καὶ εἴ τις ὅλον καὶ τὸ πᾶν διορίζει, καὶ οὗτος ἀγνοεῖ τὴν τῶν Ἑλλήνων διάλεκτον. εἴρηται δ᾽, ὡς οἶσθα, περὶ τῆς τῶν ὀνομάτων χρήσεως ἐπὶ πλέον ἑτέρωθι, καὶ νῦν ὅσον ἀναγκαῖον εἰς τὸ προκείμενον δίειμι, τοῦτ᾽ ἐνδεικνύμενος μόνον, ὡς οὐ χρὴ περιέλκεσθαι τοῖς ὀνόμασιν, οὐδὲ τοὺς ἐν τούτοις διαφερομένους ἤδη κἀν τοῖς πράγμασιν αὐτοῖς ἡγεῖσθαι διαφέρεσθαι. καὶ τούτου δ᾽ αὐτοῦ πάντας ὡς ἔπος εἰπεῖν ὁρᾷς ἀγυμνάστους, οὐ τοὺς ἰατροὺς μόνον τοὺς νῦν ὄντας, ἀλλὰ καὶ τῶν φιλοσόφων τοὺς πλείστους· ὀλίγοι γὰρ αὐτῶν ἴσασι διακρίνειν τὰς ἐν τοῖς ὀνόμασι διαφωνίας τῶν ἐν τοῖς πράγμασιν· ἀλλ᾽ ἐδείχθη καὶ ἡ τούτου μέθοδος ἐν τῇ λογικῇ θεωρίᾳ, καὶ νῦν ἥκει καιρὸς αὐτῆς,

proprias nominatur, eſtque ſicuti dextrum ad ſiniſtrum et ſiniſtrum ad dextrum, ita et totum ad partem et pars ſe habens ad totum. Ergo ſi quis hac ſervata notione malit partem dicere quam particulam, aut ſi quis contra particulam potius quam partem, is mihi ad rerum inventionem impedimento non ſit, caeterum imperitum ſe linguae Graecae prodit, quemadmodum certe, ſi quis integrum a toto ſecernat, is quoque linguae Graecae eſt ignarus. Dictum vero alibi, ut ſcis, diffuſe de nominum uſu eſt. Ac nunc quantum ſatis ad rem ſit propoſitam adjiciam, illud duntaxat indicans, non oportere nominibus ſeduci, nec qui in iis diſſentiunt, hos ſtatim in rebus quoque ipſis diſſentire putare. In quo genere omnes, ut uno verbo dicam, non medicos modo noſtrae tempeſtatis, ſed etiam philoſophorum plerosque parum exercitatos vides, ut quorum pauciſſimi nominum diverſitatem a rerum diverſitate diſtinguere norint. Verum hujus quoque rei methodum in logicis ſpeculationibus tradidimus, cujus opportunitas, ſi quando alias, utique nunc quoque

εἴπέρ ποτε καὶ ἄλλοτε. τίς δ' ἦν ἡ μέθοδος; ἡ ἀπὸ τῆς τῶν πραγμάτων ἄρξασθαι διαφορᾶς, [16] οὐκ ἀπὸ τῆς τῶν ὀνομάτων, καὶ δεῖξαι λόγου χάριν ἀλλήλοις παρακείμενα τέτταρα πράγματα, κἄπειθ' ἑξῆς ἀποδείξει βεβαιώσασθαι τὸ μήτε πλείω τούτων εἶναι μήτ' ἐλάττω τὰ κατὰ τὸ προκείμενον σκέμμα περιεχόμενα· μετὰ τοῦτο δ' ἤδη καὶ καθ' ἕκαστον τῶν πραγμάτων ἴδιον ὄνομα θέμενον, οὕτω περαίνειν ἅπαντα τὸν ἑξῆς λόγον, οὐκέτ' οὐδαμόσε μετατιθέντα καὶ μεταφέροντα τῶν ὀνομάτων οὐδὲν, ἀλλ' ἀκριβῶς διαφυλάττοντα καθ' οὗπερ ἂν αὐτὸς ἐξ ἀρχῆς ἐπιτίθηται πράγματος. καὶ γὰρ σαφὴς οὕτως ἡ διδασκαλία γίνεται καὶ τῶν παρὰ τὰς ὁμωνυμίας σοφισμάτων ἐκτὸς, καὶ ῥαδίως ἐξελέγχεται τὰ μάτην προσκείμενα καὶ διὰ ταχέων εὑρίσκεται τὰ λείποντα, καὶ τά τε διαφωνούμενα καὶ τὰ συμφωνούμενα μάλιστα ἐν ταῖς τοιαύταις ἑρμηνείαις ἀκριβῶς γνωρίζεται.

Κεφ. στ'. Λεγέσθω δὴ πάλιν ἡμῖν ἀναλαβοῦσιν. ὄψις μὲν ὀφθαλμῶν ἐνέργεια, διάλεξις δὲ γλώττης, βάδισις δὲ σκελῶν· ἡ δὲ ἐνέργεια πάλιν αὕτη κίνησις δραστική· τούτων δ',

ad ufum venit. Quaenam igitur fuit ea methodus? Ut a rerum incipias differentia, non autem nominum, tum oftendas quatuor exempli gratia effe res quae in vicino funt pofitae, poft deinde ut demonftratione confirmes neque plura effe neque pauciora, quae in propofita difceptatione contineantur, poftremo ut accommodato rerum cuique fuo nomine fic reliquum fermonem abfolvas, nec mutans dehinc nec transferens nomen ullum, fed cui rei ipfe ab initio impofueris, de eadem perpetuo ufurpans. Quippe ita et dilucida doctrina efficitur atque a cavillationibus quas homonymia parit libera, et quod fruftra eft additum, facile deprehenditur, et quod deficit cito invenitur, et quae confonant diffonantque maxime in ejusmodo explicationibus exacte difcernuntur.

Cap. VI. Ergo illud repetamus denuo. Vifus oculorum actio eft, loquutio linguae, inceffus crurum. Ipfa rurfus actio motus eft activus. At horum ipforum motus

Ed. Chart. X. [16.] Ed. Baf. IV. (41.)

αὐτῶν ἡ μὲν κίνησις ἐξάλλαξις τοῦ προϋπάρχοντος, ἡ δραστικὴ δὲ ἡ ἐξ ἑαυτοῦ, ὥσπέρ γε καὶ παθητικὴ κίνησις ἡ ἀπό τινος τῶν ἔξω· οἷον ἡ μὲν πτῆσις ἐνέργεια τοῦ πτηνοῦ καὶ ἡ βάδισις τοῦ βαδιστικοῦ· τὸ δ᾽ ὑφ᾽ ἑτέρου φερόμενον, ὡς ἀμείβειν τόπους, οὐκ ἐνεργεῖν, ἀλλὰ πάσχειν ἐστίν. ἐνήργησε μὲν γὰρ ὁ βαδίσας ἐκ Πειραιέως ἐπὶ Σούνιον, ἐκινήθη γὰρ δραστικῶς, τουτέστιν ἐξ ἑαυτοῦ τε καὶ κατὰ τὴν οἰκείαν φύσιν· ἔπαθε δὲ ὁ πλεύσας ἐπὶ τὸ Σούνιον ἐκ τοῦ Πειραιέως, ἠνέχθη γὰρ ὑπὸ τῆς νεώς. ἐπεὶ δ᾽ ἐξάλλαξιν εἶπον εἶναι τοῦ προϋπάρχοντος τὴν κίνησιν, ἐξαλλάττεται δὲ διχῶς τὸ προϋπάρχον, ἢ κατὰ ποιότητα, ἢ κατὰ τόπον, ἡ μὲν οὖν κατὰ τόπον ἐξαλλαγὴ αὐτοῦ φορὰ ὀνομάζεται, ἡ δὲ κατὰ ποιότητα μεταβολὴ, ἀλλοίωσις· ὥστε εἶναι φορὰν μὲν ἐξάλλαξιν, ἢ ὑπάλλαξιν, ἢ ἀλλαγὴν, ἢ μεταβολὴν τοῦ προϋπάρχοντος τόπου, ἐξεπίτηδες γὰρ ἐχρησάμην πολλοῖς ὀνόμασιν, αὐτὸ τοῦτ᾽ ἐνδείκνυσθαι βουλόμενος, ὡς ἔνεστι παμπόλλους ὁρισμοὺς ποιεῖν ἑνὸς πράγματος, ἐν ταῖς φωναῖς μόνον, οὐκ ἐν τοῖς νοήμασι διαφέροντας, ἀλλοίωσιν δὲ ἢ μεταβολὴν κατὰ

prioris habitus eſt immutatio, activus qui a ſe editur, ut et paſſivus motus qui ab aliquo externo excitatur, veluti volatus actio eſt animalis volatilis, et inceſſus animalis greſſilis, quod autem ab alio ſic agitur ut locum mutet, id utique non agit, ſed patitur. Egit namque qui ex Piraeeo Sunium inceſſit, quippe motus active eſt, id eſt ex ſe ipſo et propria natura; contra paſſus eſt qui ex Piraeeo Sunium navigavit, utpote qui navi vectus eſt. At quoniam motum prioris eſſe habitus mutationem diximus, ea vero immutatio dupliciter fit, nempe aut in qualitate, aut in loco, utique mutatio quae in loco agitur latio dicitur, quae in qualitate alteratio, ita videlicet ut latio ſit immutatio, vel demutatio, vel mutatio, vel permutatio prioris loci, de induſtria enim multis ſum uſus nominibus, maxime ſcilicet indicare ſtudens, quod licet unius rei multas definitiones efficere, quae vocibus tantum, non etiam notionibus differant, alteratio vero vel mutatio in qualitate, vel demutatio ejus quae

τὸ ποιὸν, ἢ ἀλλαγὴν τῆς προϋπαρχούσης ποιότητος, ἢ ὑπαλλαγὴν (42) κατὰ τὸ ποιὸν, ἢ ὑπάλλαξιν ποιότητος, ἢ ὅπως ἂν ἄλλως ἐλπίσῃς μάλιστα συνήσειν τοῦ λεγομένου τὸν ἀκούοντα· τὸ γὰρ πολυειδὲς τῆς ἑρμηνείας εἰς τοῦτο ἔστω σοι χρήσιμον. ἡ μὲν οὖν ὄψις, αὖθις γὰρ ἐπὶ τὸν ὀφθαλμὸν ἰτέον, ἐνέργεια τοῦ μέρους ἐστίν· ὁ δ᾽ ὀφθαλμὸς αὐτὸς τὸ τοῦ ζώου μόριον, οὐδὲν γὰρ, ὡς εἴρηται, διαφέρει μόριον εἰπεῖν, ἢ μέρος. ὄργανον δὲ ὀνομάζω μέρος ζώου τελείας ἐνεργείας ἀπεργαστικὸν, οἷον ὀφθαλμὸν ὄψεως καὶ γλῶτταν διαλέκτου καὶ σκέλη βαδίσεως· οὕτω δὲ καὶ ἀρτηρία καὶ φλὲψ καὶ νεῦρον, ὄργανά τε καὶ μόρια ζώων ἐστί. κατὰ ταύτην γοῦν τὴν χρῆσιν τῶν ὀνομάτων οὐ πρὸς ἡμῶν μόνον, ἀλλὰ καὶ πρὸς τῶν παλαιῶν Ἑλλήνων ὁρισθεῖσαν, ὁ μὲν οὖν ὀφθαλμὸς ὀνομασθήσεται καὶ μόριον ζώου καὶ μέρος καὶ ὄργανον· ὁ δὲ κερατοειδὴς χιτὼν μόριον μὲν καὶ μέρος, ὄργανον δ᾽ οὔ· κατὰ ταὐτὰ δὲ καὶ ὁ ῥαγοειδὴς καὶ ὁ ἀραχνοειδὴς καὶ ὁ ἀμφιβληστροειδής· ἕκαστος γὰρ τούτων πρῶτον μὲν καὶ μάλιστα μόριόν ἐστιν ὀφθαλμοῦ, διότι δ᾽ οὗτος προσώπου,

prius fuit qualitatis, vel immutatio in qualitate, vel transmutatio qualitatis, vel quomodocunque aliter auditori quod dicitur clarum fore fperaveris, quippe huc tibi varietas interpretationis fit utilis. Ergo vifio, nam redeundum ad oculum eft, actio partis eft, oculus vero ipfe animalis eft pars, nam particulam an partem dicas, ut praediximus, nihil refert. Inftrumentum vero appello animalis partem, quae perfectam edit actionem, veluti oculus vifionem et lingua loquelam et crura inceffum. Sic et arteria et vena et nervus tum inftrumenta tum partes animalium funt. Pro hoc namque nominum ufu non a nobis modo, fed etiam a veteribus Graecis definito, oculus quidem et pars animalis et particula et inftrumentum vocabitur, cornea vero tunica particula quidem et pars, non autem inftrumentum. Simili modo et uvea et aranea et reticulata, harum enim fingulae primum quidem ac maxime oculi particulae funt, at quia is etiam faciei *pars eft*, itidem et illae faciei *funt par-*

Ed. Chart. X. [16. 17.] Ed. Baf. IV. (41.)

διὰ τοῦτο κἀκεῖνοι [17] κατὰ δεύτερον ἤδη λόγον· οὕτω δὲ καὶ τοῦ σώματος ὅλου, διότι καὶ τὸ πρόσωπον ὅλου τοῦ σώματός ἐστι μόριον. ὁμοιομερὲς δέ ἐστι μόριον, ὡς καὶ τοὔνομα αὐτὸ σαφῶς ἐνδείκνυται, τὸ διαιρούμενον εἰς ὅμοια πάντη μόρια, καθάπερ ἐν ὀφθαλμῷ τό θ' ὑαλοειδὲς καὶ τὸ κρυσταλλοειδὲς καὶ τῶν χιτώνων ἡ ἴδιος οὐσία. δείκνυται δὲ καὶ ταῦτα ἐπὶ πλέον ἐν τοῖς τῶν ἀνατομικῶν ἐγχειρήσεων ὑπομνήμασιν, ἐνταῦθα δὲ ἀρκεῖ μόνον εἰπεῖν ὧν εἰς τὰ παρόντα δεόμεθα μνημονεῦσαι· δεόμεθα δὲ καθ' ἕκαστον μόριον ἐπιδεῖξαι πλείω πράγματα, διαφέροντα μὲν ἀλλήλων, οὐχ ὁρώμενα δὲ ἐνίοις τῶν ἰατρῶν· ἔφαμεν δὲ τοῦτο χρήσιμον ὑπάρχειν εἴς τε τὸ χρῆσθαι τοῖς ὀνόμασιν ὀρθῶς, οὗπερ ἕνεκα καὶ νῦν αὐτὸ μετεχειρισάμεθα, καὶ μέντοι καὶ πρὸς αὐτὴν τὴν προκειμένην μέθοδον ἀναγκαιότατον ἐπιδειχθήσεται. τὸ μὲν γὰρ ὄργανον ὀφθαλμὸς, ἐνέργεια δ' ἡ ὄψις· ἓν δ' αὐτοῦ τῶν μορίων ὁμοιομερές τε καὶ πρῶτον ὄργανον ὄψεως, τὸ κρυσταλλοειδὲς ὑγρὸν, ὡς ἐν τοῖς περὶ αὐτῶν λόγοις ἀποδέδεικται· τοῦτο γάρ ἐστι τὸ δεόμενον ἀλλοιωθῆναι πρός τινος τῶν

*tes*, fed fecunda quadam ratione, ita vero et totius corporis *partes funt*, propterea quod facies ipfa totius corporis eft pars. Similaris vero pars eft, ficut ipfum clare indicat nomen, quae undique in fimiles dividitur particulas, veluti in oculo vitreus humor et cryftallinus et tunicarum propria cujusque fubftantia. Porro haec latius indicata funt in disfectionum commentariiis. Hic vero ea tantum dixiffe fat eft, quorum ad id quod inftat, meminiffe eft opus. Eft autem opus oftendere, in fingulis partibus plura ineffe, quae inter fe diffideant, nec tamen a medicis quibusdam fint percepta, hoc autem utile effe praediximus ut nominibus recte utamur, utique cujus caufa nunc etiam id tractandum fufcepimus; indicabitur autem et ad ipfam nobis propofitam methodum maxime neceffarium. Eft enim inftrumentum oculus, actio vero vifio, una ex particulis ejus fimilaris ac primum vifionis inftrumentum, cryftallinus humor, ficuti in libris ubi de iis egimus, demonftratum eft; id namque eft quod alterari debet ab aliquo extrinfecus occur-

ἔξωθεν χρωμάτων, ἵν᾽ ἴδῃ τὸ ζῶον. ἀλλοιοῦσθαι δ᾽ οὐκ ἠδύνατο, μὴ καθαρὸν ἀκριβῶς καὶ διαφανὲς γινόμενον· οὕτω δ᾽ εἶναι καὶ καθαρὸν καὶ διαφανὲς οὐκ ἠδύνατο χωρὶς τῆς νῦν ὑπαρχούσης αὐτῆς κράσεως· ἐδείχθη γὰρ ἕκαστον τῶν ὄντων τοιοῦτον ὂν οἷόν πέρ ἐστι διὰ τὴν τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ κρᾶσιν· ὥστ᾽ εἴ τι τούτων ἐξαλλαχθείη μεγάλως, ἢ οὐκ ὄψεται τὸ ζῶον, ἢ κακῶς ὄψεται. ἀλλὰ τοῦτο μὲν οὔπω γινώσκομεν, ἀρχόμενοι ζητεῖν τὴν τέχνην, οὐδὲ χρὴ τῶν ἔπειτά τι μελλόντων ζητεῖσθαι προλαμβάνειν ὡς ἐπισταμένους, οὐδ᾽ ἐγὼ τούτου χάριν ἐμνημόνευσα τῶν ὑπὲρ τοῦ κρυσταλλοειδοῦς μοι δεδειγμένων ἐν ἑτέροις, ἀλλ᾽ ἕνεκα τῆς τῶν νῦν μελλόντων ῥηθήσεσθαι σαφηνείας. ὁρῶντες γὰρ ὀφθαλμὸν ἀκριβῶς ἐνεργοῦντα, καὶ αὖθις μὴ βλέποντα, καὶ τὸ μὲν ὑγείαν αὐτοῦ, τὸ δὲ νόσον ἢ πάθος ἢ ὅ τι βούλει καλοῦντες, οὐδὲν γὰρ τοῦτο διαφέρει πρός γε τὰ παρόντα, ζητοῦμεν ἑξῆς τίς ποτ᾽ ἐστὶν ἡ τῆς βλάβης αἰτία.

Κεφ. ζ. Πόθεν, φήσεις, ἐπὶ τοῦτ᾽ ἐλθόντες; ἐξ

rentium colorum, ut animal videat; alterari vero non potuit, nifi purum omnino perfpicuumque effet. At purum ita pellucidumque effe non poteft fine eo quod nunc obtinet temperamento, quippe oftenfum eft unamquamque rerum talem effe qualis eft propter calidi, frigidi, humidi et ficci temperamentum. Ideoque fi quid horum magnopere immutatum fit, aut plane non videbit, aut male videbit animal. Verum hoc nobis parum adhuc conftat, modo artem quaerere orfis, nec oportet aliquid ex iis quae poft funt inquirenda velut fcitum praefumere, nec ipfe hujus gratia eorum quae de cryftallino alibi demonftravi mentionem feci, fed claritatis caufa eorum quae nunc funt dicenda. Videntes enim oculum probe actionem fuam obire, ac rurfus nequaquam videre, atque illud fanitatem ejus, hoc morbum vel affectum vel quicquid libet vocantes, nihil enim ad rem propofitam refert, quaerimus deinceps quae demum fit ejus laefionis caufa.

Cap. VII. Unde, inquies, ad hoc moti? Certe ex

ἀναποδείκτου μὲν ἀξιώματος, ὁμολογουμένου δὲ πᾶσιν, ὅτι πρὸς τὴν νόησιν ἐναργὲς ὑπάρχει. τί δὲ τοῦτ᾽ ἔστι; τὸ μηδὲν χωρὶς αἰτίας γίνεσθαι· τούτου γὰρ μὴ συγχωρηθέντος, οὐδὲ ζητεῖν δυνάμεθα τὴν αἰτίαν τοῦ βεβλάφθαι τὴν ὄψιν, ἢ ἀπολωλέναι παντελῶς· ἀλλ᾽ ἐπεὶ τῶν πρὸς νόησιν ἐναργῶν ἐστιν, ὑποθέμενοί τινα τῆς βλάβης ὑπάρχειν αἰτίαν, ἐπὶ τὸ ζητεῖν αὐτὴν ἀφικνούμεθα. ταύτην οὖν τὴν αἰτίαν, εἴτε διάθεσίν τινα σώματος, εἴτέ πως διακείμενον σῶμα προσαγορεύειν ἐθέλοις, οὐδὲν μὲν εἴς γε τὰ παρόντα διαφέρει· πάντως δ᾽ οὖν ἤτοι τὸ νόσημα αὐτὸ φήσεις ὑπάρχειν αὐτὴν, ἢ εἴπερ τὸ νόσημά ἐστιν ἡ βλάβη τῆς ἐνεργείας, ἡ βλάπτουσα διάθεσις αὐτὴν αἰτία τοῦ νοσήματος ὑπάρξει. καὶ γίνεται κἀνταῦθα πάλιν ὑπὲρ ὀνόματος ἡ ἀμφισβήτησις, ἤτοι τὴν ἐν τοῖς ὀφθαλμοῖς διάθεσιν, ὑφ᾽ ἧς ἡ ὄψις βλάπτεται, νόσον ἡμῶν ὀνομαζόντων, ἢ αὐτὴν τὴν βλάβην τῆς ἐνεργείας· [18] ἀλλ᾽ εἴτε τὴν βεβλαμμένην ἐνέργειαν ἐθέλοι τις ὀνομάζειν νόσον, ἀνάγκη δήπου τοῦτον πολὺ πρότερον ὑγείαν ὑποθέσθαι τὴν κατὰ φύσιν ἔχουσαν ἐνέργειαν· εἴτε τὴν διάθεσιν, ὑφ᾽ ἧς ἡ

indemonſtrabili axiomate, de quo tamen inter omnes convenit, propterea quod intelligentiae evidens eſt. Quod ergo eſt id *axioma?* Nihil absque cauſa fieri; quippe hoc non conceſſo non datur aut laeſae viſionis, aut prorſus amiſſae cauſam requirere. Sed quoniam id ex iis eſt quae intelligentiae ſunt manifeſta, praeſumentes jam aliquam ſubeſſe laeſionis cauſam, ad ejus inquiſitionem venimus. Ergo hanc cauſam, ſeu affectum aliquem corporis, ſeu corpus certo modo affectum appellare velis, nihil ſane ad rem propoſitam intereſt. Illud omnino fateberis, aut morbum ipſum hanc eſſe, aut ſi quidem morbus eſt ipſa actionis laeſio, affectum qui huic officit, morbi cauſam eſſe. Exiſtitque hoc loco rurſus de nomine controverſia, ipſumne oculorum affectum, a quo viſus laeditur, morbum vocemus, an ipſam actionis laeſionem. Verum ſive quis actionem laeſam morbum dici velit, utique multo prius ſtatuat neceſſe eſt ſanitatem eſſe ſecundum naturam ſe habentem actionem, ſive affectum qui

*ἐνέργεια βλάπτεται, καὶ τοῦτον πολὺ πρότερον ἐπὶ τῆς κατὰ φύσιν εἴτ᾽ οὖν διαθέσεως εἴτε καὶ κατασκευῆς ἐθέλει καλεῖν, ἐπιφέρειν τὸ τῆς ὑγείας ὄνομα. τὸ δ᾽ ἐν ταῖς ἐνεργείαις ὑποθέμενον εἶναι τὴν ὑγίειαν, ἐν ταῖς διαθέσεσιν ὑπολαμβάνειν συνίστασθαι τὴν νόσον, ἢ ἔμπαλιν ἐν μὲν τῇ κατασκευῇ τῶν μορίων τὴν ὑγείαν, ἐν δὲ τῇ βλάβῃ τῶν ἐνεργειῶν τὴν νόσον, ἄξιον τῶν τε ἄλλων μεθοδικῶν ἐστι καὶ δὴ καὶ τοῦ τῆς ἐμπληξίας αὐτῶν ἀρχηγοῦ Θεσσαλοῦ. πάντες γοῦν σχεδὸν οἱ ἀπὸ τῆς ἀμεθόδου τε καὶ μανιώδους ταύτης αἱρέσεως τὴν μὲν ὑγείαν εὐστάθειαν τῶν κατὰ φύσιν ἐνεργειῶν εἶναί φασι καὶ ἰσχὺν, τὴν δὲ νόσον οὐκ ἔτι βλάβην ἐνεργείας καὶ ἀσθένειαν, ἀλλ᾽ οἱ μὲν διάθεσίν τινα σώματος, οἱ δὲ σῶμά πως διακείμενον· ἧς τίς ἂν εὑρεθείη μείζων ἐμπληξία; τοῦτο μέντοι κἂν ὁ τυχὼν ἐξεύροι, τὸ μὴ δεῖν ἐν ἑτέρῳ μὲν γένει τὴν ὑγείαν, ἐν ἑτέρῳ δὲ τὴν νόσον, ἀλλ᾽ ἐν ταὐτῷ πάντως ἄμφω τίθεσθαι· τὰ γὰρ ἐναντία κατὰ πλεῖστόν ἐστιν ἀλλήλων διεστηκότα ἐν τῷ αὐτῷ γένει, καθάπερ λευκὸν καὶ μέλαν, ἓν γὰρ ἀμφοῖν γένος τὸ χρῶμα. καὶ τοίνυν εἴπερ ἐναντία ἐστὶν ὑγεία καὶ νόσος, ἐν ᾧπερ ἂν ᾖ τῷ*

actionem laedit, multoque ante qui fecundum naturam eft, five hunc affectum, five conftitutionem dici velit, fanitatis vocabulo appellet. Quippe committere ut quum in actionibus pofueris fanitatem, in affectibus exiftimes ftatuendum morbum, aut contra, quum in partium conftitutione fanitatem, in actionis laefione morbum, tum reliquis methodicis tum vero principe hujus infaniae Theffalo digna fententia eft. Etenim omnes fere qui funt indocti hujus infanique dogmatis fectatores, fanitatem effe naturalium actionum firmitatem ac robur ajunt, morbum vero nequaquam actionis laefionem et infirmitatem, fed alii corporis quendam affectum, alii corpus certo modo affectum. Quo quisnam, obfecro, major ftupor fit? Hoc enim vel quivis deprehendat, non oportere in altero fanitatem, in altero morbum, fed in eodem omnino genere ambo conftitui, fiquidem contraria funt quae in eodem genere plurimum inter fe diffident, veluti candidum et nigrum, etenim unum eft horum genus, color. Ideoque fi contraria inter fe funt fanitas et morbus,

Ed. Chart. X. [18.] Ed. Baf. IV. (42.)
γένει τῶν κατὰ φύσιν ἡ ὑγεία, τούτου τοῦ γένους ἐν τῷ παρὰ φύσιν ἡ νόσος ὑπάρξει· ὥστε εἰ μὲν ἐνέργεια κατὰ φύσιν ἡ ὑγεία, πάντως δή που παρὰ φύσιν ἐνέργειά τις ἡ νόσος ἐστίν· εἰ δ' ἤτοι διάθεσίς τις [ἢ] κατασκευὴ κατὰ φύσιν ἡ ὑγεία ἐστὶ, καὶ ἡ νόσος ἐξ ἀνάγκης ἔσται διάθεσίς τις ἢ κατασκευὴ παρὰ φύσιν. ὁ μὲν οὖν Θεσσαλὸς οὐδ' ἐπεχείρησεν ὅλως ἀφορίσασθαι νόσον, ἀλλὰ χρὴ μαντεύεσθαι κατὰ τίνος ἐπιφέρει τοὔνομα πράγματος. ὅτι μὲν γὰρ οὐδὲν διαφέρειν ἡγεῖται νόσημα πάθους ἐπεδείξαμέν σοι δι' αὐτῶν τῶν συγγραμμάτων αὐτοῦ, παράλληλα τιθέντος ἄμφω καὶ μεταλαμβάνοντος ἑκάτερον εἰς θάτερον, ὡς οὐδὲν διαφέρον ἢ οὕτως ἢ ἐκείνως εἰπεῖν· οἱ δ' ἀπ' αὐτοῦ πάντες ἄνω καὶ κάτω στρέφονται, λογιζόμενοί τε καὶ παρακαλυπτόμενοι, καὶ πάντα ποιοῦντες ὡς ἤτοι παντάπασιν ἀσαφῶς εἰπεῖν ἢ μηδ' ὅλως, ὥσπερ αὐτὸς ὁ Θεσσαλὸς καὶ πρὸ τούτου Θεμίσων ὁ τὴν ῥίζαν αὐτοῖς τῆς ἐμπληξίας ταύτης ὑποθέμενος. εἰ δή σοι τὰ Πρόκλου καὶ Ῥηγίνου καὶ Ἀντιπάτρου λέγοιμι, καὶ πρὸς

in quocunque genere eorum quae fecundum naturam fe habent, ftatuetur fanitas, in eodem quum praeter naturam fe habet, ponetur morbus. Quare fi fanitas actio eft quae fecundum naturam fe habeat, omnino morbus praeter naturam actio fuerit. Sin autem affectio quaepiam, aut conftitutio fecundum naturam fe habens fanitas eft, et morbus affectio conftitutiove praeter naturam neceffario fuerit. Ac Theffalus quidem definire morbum ne aggreffus quidem usquam eft, quin potius hariolandum nobis reliquit, de qua re vocabulum id enunciet. Quod enim nihil intereffe cenfeat inter morbum et pathos, jam tibi ex ipfius hominis commentariis oftendimus, in quibus translatitie ambo ponit transfertque utrumque in alterius locum, ceu nihil interfit hoc an illo modo loquaris. Ejus vero fectatores univerfi furfum deorfumque aguntur, ratiocinantes ac fe tegentes, omniaque facientes ut vel obfcure loquantur, vel omnino nihil, ut Theffalus ipfe, atque ante hunc Themifo, qui fundamentum illis hujus infaniae jecit. Quod fi tibi ea quae Proclus et Rheginus et Antipater

τούτοις Εὐδήμου καὶ Μνασέου καὶ Φίλωνος καὶ Διονυσίου, λάθοιμ᾽ ἂν ἐμαυτὸν ἐκπεσὼν τῆς προκειμένης νῦν πραγματείας, ἐπιστημονικῆς τε οὔσης καὶ τὸ χρήσιμον αὐτὸ πειρωμένης ἐκδιδάσκειν. ἀλλὰ τῆς μὲν ἐκείνων διαφωνίας ἴσως ἂν ποτε καὶ ὕστερον εἴη (43) μνημονεῦσαι, καὶ σὺν αὐτοῖς γε τοῖς νῦν εἰρημένοις τοῦ πάντα σοφώτερον ἐπιταράξαντός τε καὶ συγχέαντος αὐτῶν τὰ πράγματα Μενεμάχου, καὶ τοῦ ληρώδους Ὀλυμπικοῦ, καὶ μετ᾽ αὐτοῦ Ἀπολλωνίδου καὶ Σωρανοῦ καὶ τοῦ νῦν ἔτι ζῶντος Ἰουλιανοῦ· τούτῳ μέν γε καὶ ἡμεῖς ἐνετύχομεν, ἵνα καὶ παρὰ ζῶντος ἀνθρώπου φωνῆς ἐκμάθωμεν λήρους μακρούς, εἶχε δ᾽ οὖν οὐδ᾽ οὗτος λέγειν ὅ τί ποτ᾽ ἐστὶ πάθος καὶ νόσημα. καὶ τεκμήριόν γε τούτου μέγιστον· ἐτῶν γὰρ ἤδη πλειόνων ἢ εἴκοσι γεγονότων ἐξ οὗπερ ἡμεῖς ἐπὶ τῆς Ἀλεξανδρείας αὐτῷ τούτῳ συνεγενόμεθα, γεγραφὼς εἰσαγωγὰς ἄλλας ἐπ᾽ ἄλλαις, ἀεὶ γὰρ αὐτὰς μετατίθησί τε καὶ μεταῤῥυθμίζει τῷ μηδέποτ᾽ ἀρκεῖσθαι ταῖς γραφείσαις, κατ᾽ οὐδεμίαν αὐτῶν ἐτόλμησεν εἰπεῖν ὅ τί ποτ᾽ ἐστὶ νόσος, καίτοι γε μηδὲν πρὸς ἔπος ἐν αὐταῖς διεξέρχεται

ad haec quae Eudemus, Mnaseas, Philo et Dionysius in hoc genere prodiderunt, dicere velim, utique a proposita tractatione, quae et scientifica est et ipsum quod utile sit, docere conatur, imprudens excidam. Verum de horum diffidentia licebit aliquando fortasse etiam in sequentibus mentionem facere, unaque cum his Menemachi, qui omnes eorum res astutius turbavit atque confudit, et nugacis Olympici, cumque hoc etiam Apollonidae et Sorani et qui adhuc vivit Juliani, quem utique et nos convenimus, ut viva videlicet hominis voce meras nugas condisceremus, sed nec is explicare potuit quid pathos et morbus esset. Cujus rei vel maximum signum est quod cum viginti plus anni jam sint ex quo illum Alexandriae convenimus, scripseritque iterum atque iterum institutiones, nam has assidue transponit transformatque, nunquam iis quas scripsit contentus, in nulla tamen earum est ausus quid morbus sit prodere, tametsi certe adeo ea quae nihil ad rem pertinent, in

μέχρι τοῦ καὶ τὰ τοιαῦτα ζητεῖν, εἰ ζωγραφία χρήσιμος ἰατροῖς ἐστιν· ἀλλ' ὅμως τοσαῦτά τε [19] καὶ τοιαῦτα γράφων, καὶ δῆλος ὤν, ὥσπερ καὶ Μενέμαχος, ὅτι σαφῶς ἔγνωκε τῆς μεθοδικῆς αἱρέσεως τὴν ἀτοπίαν, οὐδέπω καὶ τήμερον ἔγραψεν ἐν ταῖς εἰσαγωγαῖς ὅ τί ποτε νόσον ἢ πάθος ὀνομάζει. ἐμοὶ δ' οὖν ἐρομένῳ ποτ' αὐτὸν οὕτω μακρῶς τε ἅμα καὶ ἀσαφῶς διῆλθεν, ὡς ὧν μὲν ἔλεγε συνιέναι μηδενὸς, ἀναγκασθῆναι δὲ τό γε τοσοῦτον εἰπεῖν πρὸς αὐτὸν, ὡς διαφέρεσθαί μοι δοκοίη πρὸς Ὀλυμπικὸν, καίτοι πάππον αὐτοῦ τῆς διδασκαλίας ὄντα· μαθητὴς γάρ ἐστιν οὗτος ὁ Ἰουλιανὸς Ἀπολλωνίου τοῦ Κυπρίου, ἐκεῖνος δ' ἦν Ὀλυμπικοῦ φοιτητής. ὁ τοίνυν Ὀλυμπικὸς, ὡς ἔφην, ὁρίσασθαι τολμήσας ὑγείαν τε καὶ πάθος, τὴν μὲν ὑγείαν διάθεσιν ἔφησε κατὰ ἐκτότητα νόσου· τὸ δ' αὖ πάθος τροπὴν τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν, ἐπίμονον. ἔστι μὲν δὴ καὶ τούτων ἑκάτερον ἀλογίας παμπόλλης ἀνάπλεων, ἣν καὶ τότε διῆλθον τῷ Ἰουλιανῷ καὶ νῦν ἐπὶ κεφαλαίων ἐρῶ. τὸ γοῦν συγχέον, ἔφην, ἐστὶν ἐκεῖνο, τὸ μὴ μόνον ἁπλῶς οὕτως εἰπεῖν τὸν

iis agitat ut etiam illud inquirat, fitne pictura medicis ex ufu. Et tamen tam multa taliaque quum fcribat, nec diffimulare queat, ficut nec Menemachus, quin methodicae fectae abfurditatem clare norit, ne in hodiernum quidem diem inftitutionibus fuis usquam fcripfit quid morbum pathosve nominet. Mihi certe ipfum interroganti adeo multa obfcuraque refpondit, ut nihil eorum quae dixit plane intelligerem, cogererque illud tantum homini dicere, quod mihi defcifcere ab Olympico videretur, quamquam is avus doctrinae ipfius fuerat. Nam Julianus hic Apollonii Cyprii, ille Olympici difcipulus fuerat. Ergo Olympicus, ut dixi, fanitatem morbumque definire aufus, illam effe affectum dixit, qui in abfentia fit morbi, rurfus morbum, mutationem naturalis ftatus in eum qui praeter naturam fit, ftabilem. Quorum fane utrique permulta infunt a ratione aliena, quae et tunc Juliano expofui et nunc fummatim dicam. Quod enim, inquam, confufionem facit, id eft, quod Olympicus

Ὀλυμπικὸν ὑγείαν εἶναι διάθεσιν κατὰ ἐκτότητα νόσου, ἀλλὰ προσθεῖναι τῷ λόγῳ ἣν διάθεσιν ὁριζόμεθα εὐστάθειαν τῶν κατὰ φύσιν ἐνεργημάτων καὶ ἰσχύν· οὐ γὰρ ἔχω συμβαλεῖν εἴτε ἐν τῇ τῶν ἐνεργειῶν εὐσταθείᾳ μόνῃ τὴν ὑγείαν, εἴτε ἐν τῇ τοῦ σώματος διαθέσει, εἴτ᾽ ἐν ἀμφοῖν ὑποτίθεται· τάχα δ᾽ ὥσπερ εἴωθε χρῆσθαι τοῖς τῶν Ἑλλήνων ὀνόμασιν ἀλλοκότως τε καὶ τεταραγμένως ἅμα τοῖς ἄλλοις ἅπασι μεθοδικοῖς, οὕτω καὶ νῦν οὐκ ἐπὶ τὸ σῶμα τὴν διάθεσιν, ἀλλ᾽ ἐπὶ τὰς ἐνεργείας ἀναφέρει, ὥστε ἡμᾶς ἀκοῦσαι τοῦ λόγου κατὰ τοῦτον τὸν τρόπον· ὑγεία ἐστὶ διάθεσις ἐνεργειῶν κατὰ ἐκτότητα νόσου. δίκαιον δ᾽ ἦν, οἶμαι, προσθεῖναι τῷ λόγῳ δυοῖν θάτερον αὐτὸν, ἢ ἐνεργειῶν, ἢ σώματος, ἵν᾽ ἤτοι γένηται τοιοῦτος ὁ λόγος, ὑγεία ἐστὶ διάθεσις ἐνεργειῶν κατὰ ἐκτότητα νόσου· ἢ νὴ Δία τοιοῦτος, ὑγεία ἐστὶ διάθεσις σώματος κατὰ ἐκτότητα νόσου· καὶ μέν γε καὶ εἰ ἄμφω συνθεῖναι προῄρητο, καὶ οὕτως ἐνεχώρει σαφῶς τε ἅμα καὶ διὰ βραχέων εἰπεῖν, ὑγεία ἐστὶ διάθεσις ἐνεργειῶν τε καὶ σώματος κατὰ ἐκτότητα νόσου. τί δ᾽, ὅταν ἐπιφέρων εἴπῃ, ἣν διάθεσιν

non illud tantum abfolute dicit, fanitatem affectum effe pofitum extra morbum, fed etiam illud definitioni adjicit, quem affectum definimus naturalium actionum conftantiam et firmitudinem, haud enim coniicere valeo in folane actionum conftantia, an in corporis affectu, an in omnibus, fanitatem ftatuat, fed forte ut utique cum reliquis methodicis affolet confufe alieneque abuti Graecorum vocibus, ita nunc quoque affectum non ad corpus, fed ad actiones refert, ut nimirum ad hunc modum definitionem intelligas; fanitas affectio eft actionum, in abfentia morbi. Porro juftum, arbitror, fuerat, alterum duorum definitioni adiecisse ipfum, aut actionum, aut corporis, ut aut ita fe haberet definitio: fanitas eft affectus actionum in abfentia morbi; aut certe talis: fanitas eft affectio corporis in abfentia morbi. Quin etiam fi ambo jungere voluiffet, ita quoque licuiffet ut dilucide, fic breviter dicere: fanitas eft affectio tum actionum tum corporis in abfentia morbi. Quid autem quum fubiicit: *Quem affectum definimus conftantiam ac robur actio-*

Ed. Chart. X. [19.] Ed. Baſ. IV. (43.)

ὁριζόμεθα εὐστάθειαν τῶν κατὰ φύσιν ἐνεργημάτων καὶ ἰσχύν; πότερον μέρος ὑποληπτέον εἶναι τοῦτο τοῦ προειρημένου καὶ χρὴ συνάπτειν ἡμᾶς ὅλον τὸν λόγον ὡδί πως· ὑγεία ἐστὶ διάθεσις σώματος κατὰ ἐκτότητα νόσου καὶ εὐστάθεια τῶν κατὰ φύσιν ἐνεργημάτων καὶ ἰσχύς· ἢ τέλειός ἐστιν ὁ λόγος οὗτος αὐτὸς καθ' ἑαυτὸν, ὅ τί ποτ' ἐστὶν ὑγεία διδάσκων, ὥσπέρ γε καὶ ἤρεσεν ἐνίοις τῶν μεθοδικῶν, εὐστάθειαν ἀποφηναμένοις εἶναι τῶν κατὰ φύσιν ἐνεργειῶν τὴν ὑγείαν; ἀλλ' εἴπερ οὗτος τέλειος, ὁ προειρημένος οὐκ οἶδ' ὅ τι διδάσκει, διάθεσιν εἶναι λέγων τὴν ὑγείαν. ἐκεῖνο μὲν γὰρ ὃ ἔφη, τὸ κατὰ ἐκτότητα νόσου, τοιοῦτόν ἐστιν οἷον καὶ παῖδα γελάσαι. εἰ γὰρ δὴ συγχωρήσομεν οὕτως ὁρίζεσθαι, δηλονότι καὶ ἡ νόσος ἔσται διάθεσις σώματος κατὰ ἐκτότητα ὑγείας, ἵνα ἕκαστος τῶν ὅρων ἡμῖν οὐ τοῦ τί ποτ' ἐστὶ τὸ ὑποκείμενον, ἀλλὰ τοῦ τί ποτ' οὐκ ἔστι, γένηται διδάσκαλος. ἐάσθω δ', ἔφην, εἰ βούλει καὶ ταῦτα, καὶ γὰρ πάρεργά πώς ἐστιν· ἀλλ' ἐκεῖνό γε παρελθεῖν τε καὶ παριδεῖν οὐκ ἐγχωρεῖ, τὸ κατὰ μὲν τὴν τῆς ὑγείας διδασκαλίαν ἅπαντα προσέρχεσθαι ταῖς ἐνερ-

*num ſecundum naturam?* utrumne pars haec putanda eſt ejus quod praedictum eſt, jungendaque tota deſinitio eſt ad hunc modum: ſanitas eſt affectus corporis in abſentia morbi et conſtantia actionum, quae ſecundum naturam ſe habent ac robur: an iſta ipſa per ſe ipſam perfecta deſinitio eſt, ac quid ſanitas ſit, docens, prout ſane nonnullis methodicorum placuit, qui ſanitatem eſſe dixerunt conſtantiam ſecundum naturam ſe habentium actionum? Verum ſi haec abſoluta eſt, haud ſcio quid doceat ea quae ante dicta eſt, quae affectum eſſe ſanitatem praecipit. Quippe illud quod dixit, in abſentia morbi, ejusmodi plane eſt quod vel puer rideat, quum ſi ita deſinire permittetur, manifeſtum ſit et morbum fore affectum corporis in abſentia ſanitatis, ita videlicet ut utraque deſinitio, non quid ſit id quod quaeritur, ſed quid non ſit, doceat. Sed mittamus, inquam, ſi placet, et haec, quum ſint ad rem non admodum neceſſaria. Illud certe praeterire diſſimulareque non licet, quod in ſanitatis explicatione omnia actionibus tribuantur vel ſolis,

γείαις ἤτοι μόναις ἢ μετὰ τοῦ συγχέαι καὶ περιπλέξαι καὶ ἀναμῖξαί πως ἀσαφῶς τὸ τῆς διαθέσεως ὄνομα, καθάπερ ὁ Ὀλυμπικός· ἐν δὲ τῷ τοῦ πάθους οὐκέτι μεμνῆσθαι τῶν ἐνεργειῶν· ἀπέχρησε γὰρ εἰπεῖν αὐτῷ, πάθος ἐστὶ τροπὴ τοῦ σώματος ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ἐπίμονος. ἐχρῆν δ᾽, ἔφην, ἐν ταῖς ἐνεργείαις, ἢ ἐν ταῖς διαθέσεσιν, ἄμφω τάττειν αὐτόν. ὃ δέ [20] μοι πρὸς ταῦτ᾽ ἀπεκρίνατο, καὶ ἤδη μέν σοι πολλάκις εἶπον, Ἱέρων κράτιστε, καὶ νῦν τ᾽ ἀναμνῆσαι προσήκει, τὸ μηδὲν εἶναι θαυμαστὸν, ἐν μὲν τῇ τῶν ἐνεργειῶν εὐσταθείᾳ σὺν ἰσχύι τετάχθαι τὴν ὑγείαν, ἐν δὲ τῇ παρὰ φύσιν τοῦ σώματος διαθέσει τὴν νόσον· οὐ γάρ ἐστιν ἐναντία, καθάπερ σὺ νομίζεις, ἔφησεν, ἔστι γάρ τι μέσον αὐτῶν, ὃ μήθ᾽ ὑγεία μήτε νόσος ἐστίν. ἀκούσας οὖν ἐγὼ τὸν λόγον τοῦτον ἐχωρίσθην ἐκπεπληγμένος τε καὶ λυπούμενος ἅμα, χρὴ γὰρ ὁμολογεῖν τὸ συμβάν· ἔμπροσθεν μὲν γὰρ οὐδενὶ τῶν ἐν τοιαύτῃ δόξῃ τελέως ἐνετετυχήκειν ἐμπλήκτῳ, τότε δ᾽ ἐντυχὼν πρῶτον εἰκότως ἐξεπλάγην, οὐχ ὅτι μόνος ἐκεῖνος οὕτως ἦν ἀναίσθητος, ἀλλ᾽ ὅτι πολλῷ σκαιοτέρους

vel etiam confundendo involvendoque ac obfcure quodam modo mifcendo ipfum affectionis vocabulum, quemadmodum *fecit* Olympicus, in ipfius vero morbi definitione nulla fit actionum mentio; nam illud dicere fatis habuit, morbum effe mutationem corporis a naturali ftatu ad eum, qui praeter naturam fit, ftabilem. At debuerat, inquam, aut in actionibus, aut in affectibus utrumque conftituere. Quid vero mihi refponderit et faepe tibi jam, mi Hiero, narravi et nunc repetere non erit alienum. Nihil, inquit, miri eft, in actionum quidem conftantia cum robore fanitatem poni, in affectu autem corporis praeter naturam morbum. Neque enim contraria funt, ut tu reris, inquit, eft enim eorum aliquid medium, quod nec fanitas fit nec morbus. Quo ego fermone audito abii ftupefactus fimul ac dolens, fatendum enim eft quod accidit. Antea enim in neminem eorum qui in ea opinione funt prorfus ftupidum incideram, tum autem primum cum incidiffem, merito obftupui, non quod is folus adeo fine fenfu effet, fed quod multo etiam agreftiores

ἑαυτοῦ τοσούτους εἶχε μαθητὰς, οἵ κατὰ τὴν αὐτὴν ἀρχὴν τῆς διδασκαλίας ὁρῶντες οὕτως ἐσφαλμένους τοὺς μεθοδικοὺς, οὐκ ἀφίστανται τῆς αἱρέσεως, ἢ εἴπερ οὐδ' ὅλως ὁρῶσι, τελέως εἰσὶν ἀπόπληκτοι. τί γὰρ δὴ καὶ πρὸς ἔπος οὐκ εἶναι τὴν νόσον ἐναντίον ὑγείᾳ, διότι μέσον αὐτῶν ἐστί τι; δῆλον γὰρ ὡς οὐδὲ τὸ λευκὸν ἐναντίον ἔσται τῷ μέλανι, διότι μέσον αὐτῶν ἐστι τὸ ξανθόν τε καὶ τὸ φαιὸν, ἐρυθρόν τε καὶ ὠχρὸν ἕκαστόν τε τῶν ἄλλων χρωμάτων· οὐδὲ τὸ θερμὸν τῷ ψυχρῷ, καὶ γὰρ καὶ τούτων ἐστὶ μέσα χλιαρόν τε καὶ εὔκρατον. οἱ μὲν δὴ σοφώτατοι μεθοδικοὶ κατὰ τὴν ἀρχὴν εὐθέως πεπτωκότες οὐ σμικρὸν οὐδὲ τὸ τυχὸν πτῶμα τί ἂν ἔτι τῶν ἐφεξῆς ἀληθῶν καταμάθοιεν; οὐδὲ ἓν δήπου, δειχθήσεται γὰρ ἅπαντα τὰ κατὰ τὴν ἰατρικὴν τέχνην ἐκ τούτων ἠρτημένα καὶ δεόντως, εἴ γ' ἐν ταῖς μεθόδῳ τινὶ συνισταμέναις τέχναις ἀρχὴ τῆς συστάσεως ἡ τοῦ τέλους ἐστὶν ἔννοια. πεπλημμέληται μὲν οὖν καὶ ἄλλοις πολλοῖς εἰς τὴν τοῦ τέλους ἔννοιαν οὐκ ὀλίγα, τῶν μὲν τὸ ὑγιάζειν ὡς τὸ πολὺ τέλος εἶναι λεγόντων τῆς ἰατρικῆς, τῶν δὲ τὰ σύμφορα πράττειν ὡς πρὸς τὴν ὑγείαν,

tot haberet difcipulos, qui quum ftatim in initio doctrinae fuae methodicos ita errare viderent, tamen a fecta non defcifcerent, aut fi omnino non viderent, prorfus effent attoniti. Nam quid, quaefo, ad rem, morbum fanitati non effe contrarium, propterea quod aliud eorum fit medium? Patet enim *hac fcilicet ratione* non fore album nigro contrarium, propterea quod horum fint media flavum et fufcum et rubrum et pallidum et reliquorum calorum finguli, nec calidum frigido, quippe horum quoque funt media tepidum et temperatum. Ac fapientes iftos methodicos, quum nec levi nec fpernendo lapfu fic fint inter initia ftatim lapfi, fperemusne veritatem ullam eorum quae fequantur, poffe intelligere? minime profecto, nam quae in arte medica fpectantur, omnia ex his pendere docebimus, idque merito, fiquidem in iis artibus, quae methodo aliqua traduntur earum conftituendarum principium eft finis ipfius notio. Ac in hujus quidem notitia aliis quoque permultis varie eft erratum, aliis medicinae finem effe affirmantibus ut plurimum fanare,

τῶν δ᾽ ἐκκόπτειν τὰς νοσώδεις αἰτίας, τῶν δὲ τὰ παρ᾽ ἑαυτῶν ἅπαντα ποιεῖσθαι, τῶν δ᾽ ὡς ἂν ἑκάστῳ παραστῇ καὶ δεήσῃ, καὶ περὶ τούτων ἰδίᾳ διορίσασθαι· ἀλλ᾽ οὐδεὶς οὕτως ἔμπληκτος ὡς ἐν ἄλλῳ μὲν γένει τὴν ὑγείαν, ἐν ἄλλῳ δὲ ὑποθέσθαι τὴν νόσον, ἀλλ᾽ ἤτοι ταῖς κατὰ φύσιν ἐνεργείαις προσέχων ἢ ταῖς κα(44)τασκευαῖς τῶν μορίων, ἃς ἔνιοι διαθέσεις ὀνομάζουσιν· εἴτε δ᾽ ἐν ταῖς κατὰ φύσιν ἐνεργείαις ἐστὶ τὸ ὑγιαίνειν, ἐν ταῖς παρὰ φύσιν ἔσται τὸ νοσεῖν· εἴτε ἐν ταῖς κατασκευαῖς ταῖς κατὰ φύσιν, ἐν ταῖς παρὰ φύσιν ἔσται κατασκευαῖς ἡ νόσος· εἴτ᾽ ἐν ταῖς διαθέσεσιν, ἐν ταύταις καὶ τὸ νοσεῖν. οὐδὲ γὰρ οὐδὲ βαθείας τινὸς εἰς τοῦτο θεωρίας ἐστὶ χρεία, μόνον δ᾽ ἀπόχρη τὸ μὴ διεστράφθαι. τίς γὰρ οὐκ οἶδεν ὡς εἰ τὸ βλέπειν ὑγιαίνειν ἐστὶν, ὅτι τὸ νοσεῖν ἔσται τὸ ἀμβλυώττειν, ἢ ὅλως τὸ μὴ βλέπειν; τίς δ᾽ οὐ συνίησιν ὡς εἰ τὸ ἀκούειν ὑγιαίνειν ἐστὶν, ὅτι νοσεῖν ἔσται τό τε μόγις ἀκούειν καὶ τὸ μηδ᾽ ὅλως ἀκούειν; οὕτω δὲ καὶ εἰ τὸ πέττειν ὑγιαίνειν ἐστὶ, τὸ ἀπεπτεῖν τε καὶ δυσπεπτεῖν ἔσται νοσεῖν; καὶ εἰ τὸ κινεῖσθαι

aliis ea facere quae ſint ad ſanitatem conducibilia, aliis morborum cauſas adimere, aliis, pro ſe quemque omnia peragere, aliis prout cuique ſuccurrit et convenit, ac de his ſeorſum deſinire. Nemo tamen adeo fuit ſtupidus ut in alio genere poneret ſanitatem, in alio morbum, ſed vel actionibus ſecundum naturam ſe habentibus tribuit, vel partium conſtitutionibus, quos aliqui affectus vocant. Sive autem in actionibus ſecundum naturam ſit ſanitas, in iis quae praeter naturam ſunt erit morbus, ſive in conſtitutionibus ſecundum naturam, in conſtitutionibus praeter naturam erit morbus, ſive in affectibus, in his ipſis erit et morbus. Neque enim profunda ulla ſpeculatione ad hoc opus, tantum ſufficit non eſſe perverſum. Nam quis dubitet, ſi videre ſanitas ſit, morbum eſſe vel caecutire, vel omnino non videre? Quis non intelligit, ſi audire ſanitas ſit, eſſe morbum vel aegre audire, vel prorſus non audire? Pari modo ſi concoquere bona valetudo ſit, male concoquere, vel plane non concoquere, invaletudo eſt; et ſi ſuo arbitrio moveri ſanitas

καθ' ὁρμὴν ἔστιν ὑγεία, νόσος ἂν εἴη δήπου σπασμὸς καὶ παλμὸς καὶ παράλυσις καὶ τρόμος καὶ συλλήβδην εἰπεῖν ἅπαν ὅ τί περ ἂν ἤτοι τελέως ἀναιρεῖ τὴν καθ' ὁρμὴν κίνησιν ἢ ἐμποδίζει γέ πως αὐτήν. ὡσαύτως δὲ εἰ τὸ κατὰ φύσιν αἰσθάνεσθαι τῆς ὑγείας ἐστὶν, ἡ ἀναισθησία καὶ δυσαισθησία καὶ νάρκη καὶ ὀδύνη νόσοι γενήσονται· καὶ εἰ τὸ τεταγμένως ἀναπνεῖν ὑγεία, ἄπνοια καὶ δύσπνοια νόσος. ἀλλ' εἴπερ ταῦτα νόσοι, πρόδηλον ὡς αἱ διαθέσεις τῶν μορίων ὑφ' ὧν ἀποτελοῦνται, νόσων εἰσὶν αἰτίαι, καὶ οὐ χρὴ λέγειν οὔτε φλεγμονὴν οὔτε σκίῤῥον οὔτ' ἐρυσίπελας οὔτε ἀπόστασιν οὔθ' ἕλκος οὔτε οἴδημα νοσήματα· καὶ εἴπερ ταῦτα νοσήματα, πρόδηλον ὡς οὐδὲν ἐκείνων [21] νόσημα. δύο γάρ ἐστι γένη πραγμάτων οὐδὲν ὁμοίων, ἀλλὰ πάντη τε διαλλαττόντων καὶ ὅλῃ τῇ φύσει διαφερόντων· ὀνομάζουσι δὲ τὸ μὲν ἕτερον τῶν γενῶν σῶμα, τὸ δ' ἕτερον ἐνέργειαν. ὀφθαλμὸς μὲν οὖν καὶ γλῶττα καὶ οὖς καὶ σκέλος ἕκαστόν τε τῶν τοιούτων σῶμά πως ἔχον ἐστίν· ὄψις δὲ καὶ ἀκοὴ καὶ διάλεξις καὶ βάδισις ἐνέργειαι τῶν εἰρημένων σωμάτων. εἴπερ οὖν ἐν

eft, utique morbus fuerit et convulfio et palpitatio et paralyfis et tremor et denique quicquid voluntarium motum vel penitus deftruit, vel etiam certo modo impedit. Ad haec fi fecundum naturam fentire fanitatis opus fit, fenfus vacuitas et difficilis fenfus et ftupor et dolor morbi erunt. Rurfus fi ordinate refpirare fanitas fit, utique fpirandi defectus et difficultas morbus erit. Atqui fi hi morbi fint, dubium non eft partium affectus, a quibus haec efficiuntur, morborum effe caufas, neque phlegmonen neque fcirrhum neque eryfipelas neque abfceffum neque ulcus neque oedema morbos dicendos effe. Quod fi haec morbi fint, manifeftum eft nullum illorum effe morbum. Quippe duo rerum genera funt nusquam inter fe fimilium, fed omnifariam diffidentium et tota natura differentium, alterum horum generum corpus vocant, alterum actionem. Ergo oculus et lingua et auris et crus atque id genus fingula corpora funt certo modo affecta; vifus, auditus, fermo, inceffus, actiones praedictorum funt corporum. Si itaque in certo quo-

τῷ πῶς ἔχειν τὰ σώματα τὸ νοσεῖν ἐστιν, ἐν τῷ πῶς ἔχειν τὰς ἐνεργείας τὸ νοσεῖν οὐκ ἔσται· εἰ δέ γ' ἐν τούτῳ τὸ νοσεῖν εἴη, πρόδηλον αὖ πάλιν ὡς οὐκ ἔστιν ἐν τῇ τῶν σωμάτων διαθέσει. τὸ μέντοι τὴν μὲν διάθεσιν αἰτίαν εἶναι, τὴν δὲ ἐνέργειαν τὸ γιγνόμενον ὑπὸ τῆς τοῦ σώματος διαθέσεως, ὁμολογεῖσθαι χρὴ καὶ φυλάττεσθαι παντὸς μᾶλλον, ὥστε καὶ ὅστις ἀγνοεῖ τοῦτο, περί τι τῶν ἀναγκαίων ἔσφαλται πραγμάτων· ὁ δ' ἤτοι τὴν βλάβην τῆς ἐνεργείας ἢ τὴν διάθεσιν τοῦ σώματος ὀνομάζων νόσημα, κἂν εἰ μὴ δεόντως ὀνομάζοι, δύναται γοῦν ὀρθὴν ἔχειν τὴν δόξαν ὑπὲρ αὐτῶν τῶν πραγμάτων· ἔστι δ' οὐκ ἐκ τῶν ὀνομάτων τὸ καλῶς ἰάσασθαι τὰς νόσους, ἀλλ' ἐκ τῆς τῶν πραγμάτων ὀρθῆς ὑπολήψεως. εὐθὺς δὲ καὶ τοῦτ' αὐτὸ πολλοὺς τῶν ἰατρῶν ἔστιν εὑρεῖν ἀγνοοῦντας, καὶ νομίζοντας ἐν πράγμασί τι διαφέρεσθαι τοὺς τὰς διαθέσεις τῶν σωμάτων ἡγουμένους εἶναι νοσήματα πρὸς τοὺς ἐν ταῖς βλάβαις τῶν ἐνεργειῶν ὑπολαμβάνοντας αὐτὰ συνίστασθαι· καὶ τούτων πάντων τῶν ἁμαρτημάτων, ὅπερ εἴρηταί τε πολλάκις ἤδη καὶ αὖθις εἰρήσεται, ἓν αἴτιον ὑπάρχει τὸ

dam corporum habitu morbus conftituatur, certe in certo quodam actionum habitu morbus non ftatuetur, quando fi in hoc morbus confiftat, planum rurfus eft in corporum affectu non effe. Verum quod affectus ipfa caufa fit, actio vero id quod ab affectu corporis efficitur, id vero eft quod omnium maxime et fatendum *medico* fit et tenendum. Adeo quisquis hoc ignorat, is in re labitur quae plane eft ex neceffariis. At qui vel actionis laefionem, vel corporis affectum morbum appellat, quamquam parum convenienter nominat, poteft tamen de rebus ipfis rectam habere fententiam. Contingit autem non ex nominum, fed rerum recta opinione probe morbos curari. Jam hoc ipfum multos medicorum ignorantes invenias putantesque in rebus diffidere eos qui corporum affectus morbos effe cenfent ab iis qui in actionis vitio eosdem conftituunt. Atque horum omnium errorum, quod et faepe jam dictum eft et poft dicetur, unica caufa eft, quod qui invenire quidvis logice funt aggreffi, non

μὴ γεγυμνάσθαι κατὰ τὴν λογικὴν μέθοδον τοὺς ἐπιχειροῦντας ὁτιοῦν ἐξευρίσκειν λογικῶς, ἀλλ' ἅμα μὲν ἀποχωρεῖν τῆς ἐμπειρίας, ὡς γεγυμνασμένους τὸν λογισμὸν, ἅμα δ' ἀγυμνάστους ὄντας ἐν αὐτῷ σφάλλεσθαι μέγιστα. μυριάκις γοῦν ὑπὲρ ὀνομάτων αὐτοὺς εὑρίσκω διαφερομένους ὡς ὑπὲρ πραγμάτων· αὖθις δ' ἂν, εἰ τύχοι, πρᾶγμά τι μέγιστον ἀγνοοῦντες, ὄνομα νομίζουσιν ἀγνοεῖν, ὥσπέρ γε κἀπὶ τοῦ προκειμένου νῦν ἡμῖν οὐκ ἴσασι διακρίνειν, ὡς ἡ μὲν κατασκευὴ τῶν σωμάτων αἰτίας ἔχει λόγον, ἡ δ' ἐνέργεια τὸ πρὸς ἐκείνης ἐστὶν ἀποτελούμενον, οὐδ' ὡς τὸ θεραπευόμενον ἡ τοῦ σώματός ἐστι διάθεσις· ἕπεται γὰρ ἐξ ἀνάγκης ταύτῃ κατὰ φύσιν μὲν ἐχούσῃ κατὰ φύσιν ἐνεργεῖν, ἐξισταμένῃ δὲ τοῦ κατὰ φύσιν εὐθὺς καὶ τὴν ἐνέργειαν εἰς τὸ παρὰ φύσιν ἐκτρέπειν. ἐν τούτῳ δὲ τὸ πᾶν ἐστι, καὶ τοῦτο ἀρχὴ καὶ οἷον στοιχεῖόν τι πρῶτον ἁπάσης τῆς θεραπευτικῆς ὑπάρχει μεθόδου· τὸ δὲ εἴτ' αὐτὸ τοῦτο χρὴ προσαγορεύειν νόσον, εἴτε τὴν βλάβην τῆς ἐνεργείας, ὑπὲρ ὀνόματός ἐστιν ἀμφισβητούντων. εἰρήσεται μὲν οὖν τί μοι καὶ περὶ τῆς τῶν ὀνομάτων χρήσεως, ὥσπερ εἴρηται καὶ πρόσθεν ἤδη δι' ἑτέρων.

fuere in logica methodo exercitati, ſed ſimul veluti ratione exercitati fuiſſent, ab experientia deſciverunt, ſimul et quum in illa inexercitati fuiſſent, magnopere ſunt lapſi. Siquidem millies eos de nominibus tanquam de rebus litigantes inveni; rurſum ubi rem quampiam maximam ignorarint, nomen ſe ignorare putant, veluti in eo quod nunc eſt propoſitum, diſcernere nequeunt, corporis quidem ſtatum cauſae rationem ſuſtinere, actionem ejus, quod ab eo perficitur, ſed nec quod ſanatur, id eſſe corporis affectum. Quippe comitatur neceſſario hunc ſecundum naturam ſe habentem naturalis actio, contra ſi a naturali ſtatu receſſerit, actio ſtatim praeter naturam habeat *neceſſe eſt.* Porro in hoc totum vertitur, eſtque hoc principium ac veluti primum quoddam elementum omnis methodi medendi. Caeterum an hoc ipſum appellare morbum oporteat an actionis laeſionem; id eſt de nomine dubitare. Dicetur autem a me aliquid et de nominum uſu, ſicut in aliis prius jam fecimus. Verum nunc de

ἀλλὰ νῦν οὔπω διαστέλλομαι περὶ αὐτῶν, ἵν᾽ ἔργῳ τοῦτ᾽ αὐτὸ μᾶλλον βεβαιώσωμαι, καὶ δείξω τίς ἀρχὴ καὶ ῥίζα τῆς θεραπευτικῆς ἐστι μεθόδου, περὶ ἣν εὐθὺς ἄλλοι τε πολλοὶ τῶν λογικούς τε καὶ δογματικοὺς ἑαυτοὺς ὀνομασάντων καὶ οἱ βέλτιστοι σφάλλονται μεθοδικοί. τοῦτο μὲν οὖν καὶ ἤδη πως φαίνεται τοῖς συνετοῖς, ὡς οὐδὲν ἄλλο ἐστὶ τὸ θεραπευόμενον ὑπὸ τῶν ἰατρῶν πλὴν ἡ τῶν σωμάτων διάθεσις, ὡς ἐν τῷ μετὰ ταῦτα λόγῳ δειχθήσεται.

Κεφ. η΄. [22] Τὸ δὲ τὴν ἄγνοιαν ἐπανορθώσασθαι τῶν μὴ γινωσκόντων ὅσα τὰ σύμπαντά ἐστι πράγματα κατὰ τὸν ἐνεστῶτα λόγον ἀλλήλοις παρακείμενα, νῦν ἡμῖν προὔκειτο. φαίνεται γὰρ ἕν μέν τι γένος εἶναι τῶν σωμάτων αὐτῶν, ἕτερον δὲ τὸ τῶν ἐνεργειῶν· καὶ τὸ μὲν τῶν σωμάτων ἡγεῖσθαί τε καὶ ποιεῖν τὰς ἐνεργείας, ἕπεσθαι δ᾽ ἐκείνας κατὰ φύσιν μὲν ἔχουσι τοῖς σώμασιν ἀμέμπτως τε καὶ κατὰ φύσιν αὐτὰς διακειμένας, παρὰ φύσιν δ᾽ ἐχόντων ἢ μὴ γιγνομένας παντάπασιν, ἢ παρεμποδιζομένας γε πάντως. τρίτον δ᾽ ἐπὶ τούτοις ἐστὶ γένος τὸ τῶν ἐργαζομένων τὰς διαθέσεις αἰτίων· ὃν γὰρ ἡ διάθεσις ἔχει πρὸς

ipſis nondum diſtinguo, quo videlicet hoc ipſum rerum fide magis comprobem oſtendamque, quodnam ſit medendi methodi principium et radix. In quo cum alii multi ex iis qui rationales ſe dogmaticosque appellant, tum vero probi iſti methodici falluntur. Atque illud quidem iis qui prudentes ſunt jam quodam modo apparet nihil eſſe aliud quod a medicis curetur quam corporum affectum, veluti proximo libro monſtrabitur.

Cap. VIII. Nunc illud nobis propoſitum erat, ut ignorantiam eorum emendaremus qui quot in univerſum res ſint, quae in praeſenti diſputatione proximae inter ſe habeantur, ignorant. Videtur enim unum genus eſſe ipſorum corporum, alterum actionum. Ac corporum quidem *genus* praecedere actiones easque gignere, has vero ſequi corpora ſecundam naturam ſe habentia, citra laeſionem et ſecundum naturam affectas; ſin praeter naturam ſint affecta, aut nullas prorſus, aut omnino certe impeditas Tertium praeter haec genus eſt cauſarum, quae hos affectus creant. Nam quam rationem ha-

τὴν ἐνέργειαν λόγον, τοῦτον ἕτερόν τι χρὴ πάντως ἔχειν πρὸς τὴν διάθεσιν, ἑνὶ μόνῳ διαλλάττον τῷ τὴν μὲν διάθεσιν ἅμα ταῖς ἐνεργείαις ὑπάρχειν καὶ μὴ δύνασθαί ποτε μήτε τὴν κατωρθωμένην ἐνέργειαν εἶναι χωρὶς τῆς τῶν σώματων κατὰ φύσιν διαθέσεως μήτε τὴν βεβλαμμένην ἄνευ τοῦ καὶ τὰ σώματα βεβλάφθαι. τὰ δ' αἴτια τῆς διαθέσεως ταύτης τῆς ἐμποδιζούσης τὴν ἐνέργειαν δύναται μὲν καὶ μηκέτ' εἶναι, δύναται δὲ καὶ νῦν ἔτι παραμένειν· ἕτερα δ' οὖν πάντως ἐστὶ τῶν διαθέσεων αὐτῶν σοι, καὶ τοῦτο τρίτον εὕρηται γένος ἕτερον ἐνεργείας τε καὶ τῆς ἐργαζομένης αὐτὴν διαθέσεως. ἐπ' αὐτῷ δ' ἄλλο τέταρτον γένος διαθέσεως, ὅσα τοῖς σώμασιν ὑπάρχει κατὰ φύσιν τε καὶ παρὰ φύσιν ἔχουσι, μηδὲν μήτ' ὠφελοῦντα μήτε βλάπτοντα τὰς ἐνεργείας· οἷον εἰ τύχοι τὸ χρῶμα τοῦ σώματος παντὸς ἢ μέλαν ἐκ λευκοῦ γιγνόμενον, ἐν ἡλίῳ διατριψάντων ἐπὶ πλέον, ἢ λευκὸν ἐκ μέλανος, ἐν σκιᾷ διαιτηθέντων, ἢ ἐρυθρὸν λουσαμένων, ἢ ὠχρὸν φοβηθέντων· οὔτε γὰρ ἐνέργεια τοῦτ' ἔστιν οὔτε διάθεσις σώματος ἐνεργείας αἰτία, καὶ πολὺ δὴ μᾶλλον οὐδ' ἡ τὰς παρὰ

bet affectus ad actionem, hanc alterum quippiam ad ipfum affectum omnino habeat oportet, uno duntaxat evarians, quod affectus cum actione una confiftit, nec poteft unquam aut proba actio effe fine eo qui fecundum naturam eft corporis affectu, aut laefa, nifi quum corpus fit vitio affectum. Ejus autem affectus qui actionem impedit caufae poffunt quidem non etiam effe, poffunt autem et adhuc nunc manere. Ergo diverfae omnino ab ipfis affectibus *caufae* funt. Ac tertium hoc jam inventum genus diverfum eft et ab actione et ab eo qui hanc gignit affectu. Ab hoc quartum aliud genus eft affectus eorum quae quum corporibus et fecundum naturam et praeter naturam fe habentibus infint, actionibus nec conducant nec actiones laedant, ficut exempli caufa color totius corporis ex diuturna in fole mora niger ex candido factus, aut contra, ubi verfatus in umbra quis fit, ex nigro candidus, aut ruber lotis, aut pallidus expavefactis. Quippe haec nec actiones funt nec corporis affectus, qui fint actionis caufae, multoque minus ipfae cau-

Ed. Chart. X. [22.] Ed. Baf. IV. (44. 45.)

*φύσιν ἐργαζομένη διαθέσεις αἰτία, σύμπτωμα δ᾽ ἐστὶ συμβαῖνον ἐξ ἀνάγκης ἐπὶ ταῖς διαφόροις τῶν σωμάτων ἀλλοιώσεσιν, εἴτ᾽ οὖν κατὰ φύσιν, εἴτε καὶ παρὰ φύσιν ἔχοιεν. ἐπειδὴ τοίνυν ἤδη τέτταρα γένη διώρισται, κἂν τῷ ταῦτα γινώσκειν ἢ μὴ τὸ καλῶς ἄρχεσθαι τῆς (45) θεραπευτικῆς μεθόδου δείξομεν ὑπάρχον, ἐξέστω λοιπὸν τῷ βουλομένῳ κατ᾽ αὐτῶν ἃς ἂν ἐθέλῃ τίθεσθαι προσηγορίας· οἷον, εἰ βούλοιτο, τὴν μὲν παρὰ φύσιν τῶν σωμάτων διάθεσιν, ὅταν ἐνέργειάν τινα βλάπτῃ, νόσημα προσαγορευέτω, αὐτὴν δὲ τὴν βλάβην τῆς ἐνεργείας ἐξαίρετόν τι σύμπτωμα νοσήματος· ὅσα δ᾽ ἄλλως συμβέβηκεν, ὥσπερ τὰ χρώματα, καὶ ταῦτ᾽, εἰ βούλοιτο, καλείτω συμπτώματα, διοριζέτω μέντοι τῆς βλάβης τῶν ἐνεργειῶν αὐτὰ, καὶ εἴπερ ἐκεῖνα ἐξαίρετα συμπτώματα νοσημάτων ὀνομάζει, ταῦτ᾽ οἰκεῖά τε καὶ ἴδια καλείτω, καί τινα πρὸς τούτοις, εἰ βούλοιτο, μήτ᾽ οἰκεῖα μήτ᾽ ἴδια, συμπίπτοντα δὲ κατά τινα τύχην· τέταρτον δ᾽ ἐπὶ τοῖσδε γένος τιθέσθω τὸ τῶν νοσωδῶν αἰτίων, καὶ τούτων τὰ μὲν ἐν αὐτῷ τοῦ ζώου*

ſae, quae affectus qui praeter naturam ſunt creant, ſed ſunt ſymptomata, quae diverſas corporum alterationes necessario ſequuntur, ſive hae ſecundum naturam, ſive praeter naturam ſe habeant. Ergo quum quatuor definita genera jam ſint, ex quibus vel noſcendis, vel non noſcendis, probe ſecusve incipiendam eſſe medendi artem monſtrabimus, liceat de caetero cuivis, prout volet, iis nomina imponere, veluti affectum corporum praeter naturam ſe habentem, quum actionem aliquam laedit, morbum, ſi volet, appellato, ipſam vero functionis laeſionem inſigne quoddam morbi ſymptoma. Quae alia ratione accidunt, ceu colores, ea quoque, ſi volet, appellato ſymptomata, caeterum ea diſtinguat a functionum laeſione, et ſi illa inſignia morborum ſymptomata vocet, haec familiaria propriaque nominet. Quaedam etiam praeter haec, ſi volet, nec familiaria nec propria, ſed forte quadam incidentia. Quartum vero ab iis genus ſtatuito, quod ſit morboſarum cauſarum. Atque harum quae quidem in ipſo animalis corpore conſiſtunt, ante-

τῷ σώματι συνιστάμενα προηγούμενα καλείτω, τὰ δ' ἔξωθεν προσπίπτοντα προκατάρχοντα. θέμενος δ' οὕτως ἢ ἄλλως ὅπως ἂν ἐθέλη σαφῶς [23] καὶ χρησίμως τοῖς ἀκούουσι, μηκέτι μετατιθέσθω, μηδ' ἐξαλλαττέτω τὴν χρῆσιν, ἀλλ' ἀεὶ φυλαττέτω παρ' ὅλον τὸν λόγον, ἵνα καὶ μανθάνωμεν ἃ λέγει ῥᾳδίως, καὶ τὰς ἀντιλογίας καὶ τοὺς ἐλέγχους πρός τι σαφὲς καὶ διωρισμένον ποιώμεθα. πῶς καὶ τίνα τρόπον; ἐνδείξασθαι γὰρ ἔτι τοῦτ' αὐτὸ χρὴ διὰ τοὺς ἀναισθήτους μεθοδικούς. ἔστω τινὰ λέγειν ὡς ἡ μὲν φλεγμονὴ διάθεσίς ἐστι παρὰ φύσιν, τὸ δ' ἔργον τοῦ φλεγμαίνοντος μέρους τὸ βεβλαμμένον οἰκεῖον ἐξαίρετον τοῦ πάθους σύμπτωμα, ποδῶν μὲν βάδισις, ὀφθαλμῶν δὲ ὄψις, ὤτων δ' ἀκοή· τὸ δ' ἔρευθος, εἰ τύχοι, καὶ ἡ τάσις, ἥ τ' ἀντιτυπία καὶ ὁ παρὰ φύσιν ὄγκος ὁ ταῖς φλεγμοναῖς ἑπόμενος, ἕτερόν τι γένος εἴτε συμπτωμάτων, εἴτε συμβεβηκότων, εἴθ' ὅπως ἂν ἄλλως ἐθέλη τις ὀνομάζειν, ἀλλ' οὖν ὅτι γε μὴ ταὐτὸ γένος ἐστὶ τῇ βλάβῃ τῶν ἐνεργειῶν, ἴστω τε καὶ διοριζέσθω σαφῶς· ἡ πληθώρα δ', εἰ τύχοι, τῆς φλεγμονῆς αἰτία προηγουμένη,

cedentes nominet, quae vero extrinfecus accidunt, primitivas. Pofitis autem pro arbitrio vel hoc vel alio modo nominibus, dummodo clare et ex ufu legentium nec mutet poftea nec transponat eorum ufum, fed perpetuo per omnem difputationem obfervet quo et quae dicat facile intelligamus et refutationes redargutionesque ad aliquid clarum diftinctumque referamus. Qualiter, *inquis*, et ad quem modum? Nam id ipfum quoque indicandum adhuc propter ftupidos iftos methodicos. Efto, dicat aliquis, phlegmonem affectum effe praeter naturam, ipfam vero laefam phlegmone laborantis partis functionem, morbi infigne fymptoma, veluti pedum quidem inceffum, oculorum vifum, aurium auditum; ruborem autem, tenfionem, renixum et tumorem qui praeter naturam fit ac phlegmonae fuccedat, diverfum quoddam genus five fymptomatum, five accidentium, five quo alio nomine appellare malit, illud modo fciat clareque definiat, non effe idem genus cum actionis laefione; rurfus fanguinis redundantiam, fi forte haec fuit, antecedentem phleg-

καὶ ταύτης προκατάρχουσα τὸ πλῆθος τῶν ἐδεσμάτων. ὡς οὖν ἐγὼ καὶ παραδείγματα πεποίημαι σαφῆ τοῦ λόγου καὶ τέτταρα γένη διώρισμαι καὶ τὰς αἰτίας καὶ ἐννοίας αὐτῶν εἴρηκα, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον ἐχρῆν ποιῆσαι τὸν Θεσσαλὸν ἐπὶ τοσούτοις τε καὶ τηλικούτοις ἀνδράσι καθ' ὧν ἑαυτὸν ἀνεκήρυττε, μέλλοντα νεωτέραν αἵρεσιν συνίστασθαι· νυνὶ δ' οὔτε αὐτὸς οὐδὲν εἶπε σαφὲς οὔτέ τις τῶν ἀπ' αὐτοῦ.

Κεφ. θ'. Τολμήσας γοῦν ὁ Ὀλυμπικὸς ἀφορίσασθαι τί ποτ' ἐστὶ πάθος, οὐ πάθους, ἀλλὰ συμπτωμάτων εἴρηκεν ἔννοιαν. ὅλως μὲν οὖν οὐδ' ὅ τί ποτ' ἐστὶ τὸ πάθος, οὐδ' ὅπη τοῦ νοσήματος διαφέρει, γινώσκουσιν· ἀλλὰ τοῦτο μὲν ἐν τοῖς ἑξῆς διοριῶ, πάντα γὰρ ἅμα λέγειν οὐκ ἐγχωρεῖ. συγχωρηθέντος δ' αὐτοῖς τοῦ ταὐτὸν εἶναι νόσημά τε καὶ πάθος, ἴδωμεν ὅ τί ποτέ φασι. πάθος ἐστὶ τροπὴ τοῦ σώματος ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν ἐπίμονος. εἶτα μικρὸν προελθών φησιν· ἰστέον δ' ὅτι διαφέρει πάθος συμπτώματος· πάθος μὲν γάρ ἐστιν, ὡς ὀλίγον ἔμπροσθεν ἔφην, διά-

mones caufam, et hujus primitivam ciborum abundantiam Ergo ut ego exempla fermonis clara pofui et quatuor genera diftinxi ac notiones et caufas eorum dixi, ita et Theffalo, arbitror, faciendum fuit praefertim poft tot et tantos viros quos fe viciffe praedicavit, novam fectam condituro. Nunc vero nec ipfe quicquam attulit nec fectatorum ejus quisquam.

Cap. IX. Olympicus enim quum aufus fit definire quid pathos fit, non patheos, fed fymptomatis retulit notionem. In fumma igitur nec quid pathos fit nec quatenus a morbo differat, intelligunt. Verum hoc nos in fequentibus, fimul enim omnia dici non poffunt. Verum conceffo iis idem effe morbum ac pathos, infpiciamus ea quae dicunt. *Pathos eft mutatio corporis ab eo qui fecundum naturam eft ftatu in eum qui praeter naturam eft permanens.* Poft paulum progreffus ait: *Sciendum eft differre a fymptomate pathos, nam pathos, ut paulo ante dixi,*

θεσις παρὰ φύσιν τοῦ σώματος ἐπίμονος· σύμπτωμα δὲ ὃ τῷ πάθει συμβαίνει, εἰδικὴν ὥσπερ τινὰ καὶ μερικωτέραν ἐν τοῖς παρὰ φύσιν ἔχον τύπωσιν. αὕτη μὲν ἡ θαυμαστὴ ῥῆσις Ὀλυμπικοῦ τοῦ σοφοῦ, τολμήσαντος ἀφορίσασθαι πάθος τε καὶ σύμπτωμα· τοσούτων δ' ἐστὶν ἁμαρτημάτων μεστὴ ὥστέ μοι παρίσταται τὸ τοῦ μωροῦ τοῦ πρὸς κόσκινον εἰπόντος οὐχ εὑρίσκειν ὅ τι βύσειεν ἢ μὴ βύσειεν αὐτοῦ. τί γὰρ δὴ καὶ πρῶτον ἐξ αὐτῶν εἴποι τις, ἢ τί παραλίποι; πάντα μὲν γὰρ ἐξελέγχειν ὅσα κακῶς ἀποφαίνονται μακρὸν ἂν εἴη. ἢ ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν τροπὴ πᾶσα νόσος ἐστὶν, εἰ μόνον αὐτῇ προσείη τὸ ἐπίμονον; ἀλλὰ τὴν ἄχροιαν ὑμεῖς αὐτοὶ καὶ τὴν ἀτροφίαν ἐν τοῖς συμπτώμασιν, οὐκ ἐν τοῖς πάθεσιν ἀριθμεῖτε· τί δ' ἡ κακοχυμία; τί δὲ ἡ ἔνδεια; τί δὲ ἡ καχεξία; τί δὲ τὸ πλῆθος; οὐ παρὰ φύσιν; εἰ τοίνυν αὐτοῖς προσείη τὸ ἐπίμονον, ἐν τοῖς νοσήμασιν ἀριθμηθήσεται. καὶ μὴν οὐδ' αὐτοὶ βούλεσθε, καὶ καλῶς γε τοῦτο ποιεῖτε· προσεῖναι γὰρ χρὴ τῷ παρὰ φύσιν εἶναι τὴν διάθεσιν ἐνέρ-

*affectus corporis eſt praeter naturam permanens, ſymptoma quod pathei accidit, quodque in iis quae praeter naturam ſunt ſpecialem ac magis etiam particularem figurationem habet.* Haec eſt egregia interpretatio ſapientis Olympici, qui pathos ac ſymptoma finire eſt auſus. Quae ſane tot erroribus ſcatet ut mihi in mentem veniat illud ſtulti ad cribrum, negantis invenire ſe quid ejus ejus obturet aut non obturet. Quid enim primum ex ipſis dicas aut quid omittas? quippe omnia refutare quae prave enunciant longum ſit. Num omnem mutationem ab eo quod ſecundum naturam ſe habet ad id quod praeter naturam eſt morbum cenſetis, ſi modo permanſio illi adſit? At vos tum decolorationem tum atrophiam ſymptomatis, nequaquam morbis annumeratis. Quid autem cacochymia? quid defectus? quid cachexia? quid vero redundantia? nonne praeter naturam ſunt? Si ergo perſeverantia his accedat, inter morbos numerabuntur. Atqui nec ipſi id vultis et merito ſane agitis. Etenim ſupra id quod praeter naturam ſit affectus,

[24]γειάν τινα πρὸς αὐτῆς βλάπτεσθαι· μέχρι δ᾽ ἂν ἀβλαβεῖς αἱ πᾶσαι φυλάττωνται, κἂν μυριάκις ἐξαλλάττηται καὶ τρέπηται καὶ μεταβάλληται τὸ σῶμα, νόσος οὔπω τῶν διαθέσεων ἐκείνων ἐστὶν οὐδεμία. τό γέ τοι τῆς θεραπείας δεόμενον οὐδὲν ἄλλο ἐστὶ πλὴν τῆς βλαπτούσης τὴν ἐνέργειαν διαθέσεως. οὗ μὲν γὰρ δεόμεθα πρώτου καὶ μάλιστα πάντων, ἡ κατὰ φύσιν ἐστὶν ἐνέργεια· δι᾽ ἐκείνην δὲ καὶ τῆς κατὰ φύσιν εἴτε διαθέσεως εἴτε κατασκευῆς ὀνομάζειν ἐθέλοις. ὁρᾷν γὰρ δεόμεθα καὶ ἀκούειν καὶ διαλέγεσθαι καὶ βαδίζειν, οὐκ ὀφθαλμῶν, οὐδ᾽ ὤτων, οὐδὲ γλώττης, οὐδὲ σκελῶν· εἰ γοῦν ἦν ὁρᾷν δι᾽ ἑτέρου μορίου, τίς ἂν ἦν ὀφθαλμῶν ἡ χρεία; καὶ εἴπερ ἦν ἀκούειν δι᾽ ἄλλου τινὸς ὀργάνου, τί τῶν ὤτων ἐδεήθημεν ἄν; οὕτω δὲ καὶ τῆς γλώττης καὶ τῶν σκελῶν οὐκ ἂν δήπουθεν οὐδὲν ὄφελος ἦν ἡμῖν, εἰ διαλέγεσθαι καὶ βαδίζειν οἷόν τ᾽ ἦν ἄνευ τούτων. τοῦ μὲν οὖν ὁρᾷν δι᾽ ἑαυτῶν χρήζομεν· ὀφθαλμῶν δὲ οὐ δι᾽ ἑαυτοὺς, ἀλλὰ διὰ τοῦτο. καὶ γλώττης δὲ καὶ ὤτων καὶ σκελῶν, οὐχ ἵνα ἔχωμεν ὄργανα καὶ πολλὰ μόρια, χρήζομεν, ἀλλὰ διαλέξεως ἕνεκα καὶ ἀκοῆς καὶ

adjici oportet etiam aliquam ab eo laedi actionem, nam quoad illaefae hae omnes fervantur, etiamfi millies corpus fit alteratum mutatumque, nullus tamen eorum affectuum adhuc morbus eft. Quod autem curationem defiderat, aliud plane non eft quam affectus, qui laedit actionem. Siquidem quod primum maximeque omnium defideramus, id fecundum naturam eft actio, propter hanc et eum qui fecundum eft, five affectum, five conftitutionem nominare velis. Videre namque et audire et loqui et incedere indigemus, non autem oculis, non auribus, non lingua, non cruribus; nam fi videre alia parte liceret, quis oculorum effet ufus? Et fi alio quovis inftrumento audire liceret, quae aurium effet utilitas? Pari modo et lingua et cruribus minime profecto effet opus, fi loqui atque incedere fine his poffemus. Ac videre quidem noftra ipforum caufa indigemus, oculis non noftra, fed ideo, *ut videamus.* Jam linguam, aures, crura non propterea requirimus, ut iftis inftrumentis et multis affluamus partibus, fed loquelae gratia et auditus et inceffus,

ῥᾳδίως. ὅταν γοῦν νεκρωθῇ τι μόριον ἀποτμηθῆναι δυνάμενον, οἷον δάκτυλος, ἢ πούς, ἢ ἄκρα χείρ, οὐκ ἀνεχόμεθα βαστάζειν ἀργὸν αὐτὸ, καὶ περιφέρειν οἷον ἄχθος ἀλλότριον, ἐναργῶς δηλοῦντες ἐν τούτῳ ὅτι μὴ τῶν μορίων αὐτῶν, ἀλλὰ τῶν ἐνεργειῶν χρήζομεν. ὥσπερ οὖν ὅλον τὸ μόριον τῆς ἐνεργείας ἕνεκα ἔχειν δεόμεθα, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον καὶ τῆς κατὰ φύσιν αὐτοῦ κατασκευῆς διὰ τὴν ἐνέργειαν ὀρεγόμεθα. ὡς γὰρ καὶ πρόσθεν ἐλέγετο, λόγον αἰτίας ἡ κατασκευὴ πρὸς τὴν ἐνέργειαν ἔχει· τὰ δὲ ἐξ ἀνάγκης ἑπόμενα ταῖς κατασκευαῖς ἀφ᾽ ὧν ἐνεργοῦμεν ὑγιαινόντων μὲν ἡμῶν συμβεβηκότα, νοσούντων δὲ συμπτώματα καλεῖται. καὶ τέτταρα ταῦτ᾽ ἐστὶ γένη πάντων τῶν περὶ τὸ σῶμα κατὰ φύσιν τε καὶ παρὰ φύσιν ἐχόντων ἡμῶν, ἐνέργειαι, κατασκευαὶ, τὰ προηγούμενα τούτων, τὰ ἑπόμενα· τιθέσθω λοιπὸν ὁ βουλόμενος ὀνόματα καθ᾽ ἕκαστον αὐτῶν ἰδίᾳ, κἂν εἰ Δίωνα, κἂν εἰ Θέωνα βούλοιτο καλεῖν ὁτιοῦν ἐξ αὐτῶν, οὔ μοι διαφέρει, μόνον ἴστω τοῦτο καὶ φυλαττέτω διαπαντὸς, ὡς τέτταρα τὰ

quippe demortua quavis parte quae abfcindi poteft, veluti digito, pede aut fumma manu, non fuftinemus hanc ociofam geftare ac veluti pondus alienum circumferre, illud clare hoc ipfo declararantes, haudquaquam nos partibus illis, fed functionibus egere. Quemadmodum igitur totam partem actionis caufa requirimus, eodem, arbitror, modo ejus quae fecundum naturam eft conftitutionem actionis gratia defideramus. Sicuti enim fupra diximus, caufae vicem ad actionem conftitutio praeftat. Quae vero conftitutionem, unde actio nafcitur, neceffario fequuntur, fanis quidem nobis accidentia, aegrotantibus fymptomata nuncupantur. Atque haec quatuor genera funt omnium, quae in corpore noftro habentur, feu fecundum naturam nos, feu praeter naturam habeamus, actiones, conftitutiones, quae has praecedunt, quae fequuntur; his dehinc nomina qui volet imponito fingulis feorfum, et fi Dionem aut Theonem appellare velit eorum quodlibet, mea nihil refert; illud modo intelligat fervetque ubique, quatuor in univerfum res effe

πάντ᾽ ἐστὶν ἀλλήλοις παρακείμενα πράγματα. ἐπεὶ δὲ κατὰ τοῦτο τοῦ λόγου γέγονα, δοκῶ μοι δικαίαν ἀξίωσιν ἐνεγκεῖν, ἵν᾽ ὡς ἡμεῖς ἐκείνοις συγχωροῦμεν ἅττα ἄν γ᾽ ἐθέλωσιν ὀνόματα τίθεσθαι, κατὰ τὸν αὐτὸν τρόπον κἀκείνους ἡμῖν συγχωρεῖν Ἑλληνικοῖς τε χρῆσθαι καὶ παλαιοῖς· ἢ δεινὸν ἂν εἴη σολοικίζειν μὲν ἐκείνοις ἐξεῖναι καθάπερ τυράννοις, Ἑλληνίζειν δ᾽ ἡμῖν οὐκ ἐξεῖναι. καλείτωσαν, εἰ βούλοιντο, τὴν ὑγείαν εὐστάθειαν αὐτῶν ἐνεργειῶν, καίτοι δέδεικται πρὸς ἡμῶν ὡς ἡ διάθεσίς τε καὶ ἡ κατασκευὴ τῶν μορίων, ἀφ᾽ ἧς κατὰ φύσιν ἐνεργοῦμεν, ὑγεία πρὸς ἁπάντων Ἑλλήνων ὀνομάζεται· καὶ τοῦτο θέμενοι τὴν ὑγείαν, ὅμως τὴν νόσον οὐκ (46) ἐνεργείας βλάβην, ἀλλὰ παρὰ φύσιν ἡγείσθωσαν εἶναι διάθεσιν. ὡς οὖν ἡμεῖς ἐκείνους μήθ᾽ Ἑλληνιστὶ μήτε διαλεκτικῶς ὀνομάζοντας οὐ κωλύομεν, οὕτω κἀκεῖνοι συγχωρείτωσαν ἡμῖν Ἑλληνιστί τε ἅμα καὶ διαλεκτικῶς οὐχ ἅπασαν τὴν παρὰ φύσιν διάθεσιν, ἀλλ᾽ ἥτις ἂν ἐνέργειαν βλάπτῃ νόσημα προσαγορεύειν· ἥτις δ᾽ ἂν παρὰ φύσιν μὲν ᾖ, μὴ μέντοι βλάπτῃ γ᾽ ἐνέργειαν, οὐ νόσον, ἀλλὰ σύμπτωμα νοσήματος.

quae fitae inter fe proxime fint. Et quoniam huc fermonis veni, videor mihi hoc jufte exigere, ut ficuti nos illis permittimus quae velint nomina indere, ita illi invicem nos Graecis ufitatis et antiquis uti finant. Alioqui fane grave fit, fi illis foloecismum committere tyrannorum ritu licebit, nobis Graece loqui non concedetur. Vocanto, fi placet, fanitatem ipfarum functionum conftantiam, quanquam oftenfum a nobis eft affectum conftitutionemque partium, cujus ope functiones fecundum naturam edimus, hygian, *fanitatem*, ab omnibus Graecis appellari. Atque id quum ftatuerint fanitatem, morbum tamen cenfento non actionis laefionem, fed qui praeter naturam fit affectum. Tanquam ergo nos illos nec Graece nec dialectice nominantes non impedimus, ita illi nobis permittant et Graece et dialectice non omnem qui praeter naturam fit affectum, fed qui actionem laedat, morbum nominare, qui praeter naturam fit, nec tamen actionem laedat, non morbum, fed morbi fymptoma. Rur-

Ed. Chart. X. [24. 25.] Ed. Baf. IV. (46.)

αὖθις δ᾽ ὥσπερ ἐκεῖνοι τὸ ἐπίμονον προστιθέασιν, οὐ δηλοῦντες ἄχρι πόσων ὡρῶν ἡ παρὰ φύσιν αὕτη [25] διάθεσις παραμείνασα νόσος ἐστὶν, οὕτως ἡμῖν συγχωρείτωσαν ἀφαιρεῖν τὸ ἐπίμονον· εἴτε γὰρ τρισὶν ὥραις, εἴτε τέτρασιν, εἴτε καὶ ἡμίσει μόνον ὥρας ὅλῳ τις τῷ σώματι καταληφθείη σφοδρῶς, ὡς μήτ᾽ αἰσθάνεσθαι μήτε κινεῖσθαι, τοῦτον ἡμεῖς ἀπόπληκτον ὀνομάζομεν· ὥσπερ εἰ καὶ σπασθείη σύμπαντι τῷ σώματι, καὶ τοῦτον ἐπίληπτον, οὔθ᾽ ὡρῶν ἀριθμὸν οὔθ᾽ ἡμερῶν ἔτι προσλογιζόμενοι. μόνης γὰρ τῆς τοῦ πράγματος φύσεως, οὐ τῆς τοῦ χρόνου ποσότητος ὑπάρχει δηλωτικὰ τὰ τοιαῦτα τῶν ὀνομάτων, ὥσπερ οἶμαι καὶ λευκὸν καὶ μέλαν καὶ θερμὸν καὶ ψυχρόν· ἢ θαυμαστὸν ἂν εἴη τὸ ὕδωρ τὸ θερμὸν οὐκ εἶναι θερμὸν, ἂν μὴ δι᾽ ὅλης ἡμέρας ὑπάρχοι τοιοῦτον, ἢ τὸν ἓξ ὥραις πυρέξαντα μὴ πεπυρεχέναι, χρῆναι γὰρ καὶ τοῦτον, εἴπερ ἐπύρεξεν, ἐπίμονον ἔχειν τὸ πάθος· καίτοι τίς ὁ χρόνος οὗτός ἐστιν ὁ κρίνων τὸ ἐπίμονον καὶ τὸ μὴ τοιοῦτον οὐδεὶς αὐτῶν ὥρισεν, ἆρά γε ἡμερῶν τις ἀριθμὸς, ἢ μηνῶν, ἢ ὡρῶν,

ſus ut illi permanſionem adjiciunt, nec indicant quot horas ejusmodi praeter naturam affectus moratus morbus ſit cenſendus, ita illi nobis concedant illam permanſionem ſubtrahere. Nam ſi quis ſive tribus horis, ſive quatuor, ſive horae tantum dimidio, toto corpore vehementer ſit arreptus, ſic ut neque ſentiat neque moveatur, hunc nos apoplexia correptum dicimus. Aeque ſi quis convulſus toto corpore ſit, hunc etiam comitiali morbo laborare, nulla nec horarum nec dierum ratione habita, quippe nomina id genus naturae rei, non temporis modi ſunt indicia, non aliter, credo, quam album et nigrum et calidum et frigidum; alioqui mirum mehercule ſit, ſi aqua calida calida non ſit, niſi perpetuum diem talis perduret, aut qui ſex horis febricitavit non febricitaverit, opertuiſſe enim ut febricitaverit duraſſe malum, quanquam quod tempus id ſit, quod permanſionem, juſtane fuerit aut ſecus determinet, nemo eorum tradidit, utrumne dierum aliquis numerus ſit, an menſium, an horarum.

ἢ διὰ τί λέγουσιν ἐπίμονον, ἐνὸν εἰπεῖν πολυχρόνιον, ἢ τοῦτο μὲν καὶ μετατιθέντες ἔνιοι ἐξ αὐτῶν δύσλυτον ὀνομάζουσιν. ἀλλὰ τοῦτό γε τὸ δύσλυτον οὐ νοσήματος ἁπλῶς, ἀλλὰ χρονίου νοσήματός ἐστιν ἴδιον, ὥσπερ γε, οἶμαι, καὶ τὸ ῥαδίως λυόμενον ὀξέος. τὸ δ' οἴεσθαι διαφέρειν ἢ δύσλυτον, ἢ ἐπίμονον, ἢ χρόνιον εἰπεῖν, ἆρ' οὐκ ἐσχάτης ἀμαθίας ἐστίν; ἔτι δὲ θαυμαστότερον, ὅταν οὗτοι μὲν ὥσπερ ἐξ ὕπνου βαθέος ἐγερθέντες ἐπιχειρῶσι διορίζεσθαι πάθος συμπτώματος, ὁ δὲ τῆς ἐμπληξίας αὐτῶν ἡγεμὼν ἐν τῷ δευτέρῳ περὶ μεθόδου γράφει· τὰ γὰρ αὐτὰ προηγησάμενα μὲν πάθη λέγεται, ἐπιγενόμενα δὲ συμπτώματα· καίτοι τοῦτό γε πολὺ θαυμαστότερον ὧν ἐκεῖνοι λέγουσι, τὴν τοῦ ἥπατος φλεγμονὴν, εἰ μὲν εὐθὺς εἰσβάλοι κατὰ τὴν πρώτην ἡμέραν, πάθος εἶναι συγχωρεῖν, εἰ δ' ἐφ' ἑτέρῳ τινὶ γένοιτο, κατὰ τὴν δευτέραν ἢ τρίτην εἰς τὰ συμπτώματα μετατιθέναι. καίτοι τί λέγω δευτέραν ἡμέραν; ἄμεινον γὰρ εἰπεῖν ὥραν δευτέραν ἀπὸ τῆς εἰσβολῆς τοῦ νοσήματος. οὐ γὰρ δή που κατὰ μὲν τὴν δευτέραν ἡμέραν ἡ τοῦ ἥπατος φλεγμονὴ

aut cur durabile dicant, cum licuerit diuturnum dicere, aut cur haec quidem mutantes nonnulli eorum difficile folutu dicant. At certe hoc non abfolute morbi, fed diuturni morbi proprium eft, perinde ac, exiftimo, facile folubile brevis. Verum exiftimare referre aegre folubilem, an durabilem, an diuturnum dixeris, nonne extremae eft infcitiae? Jam illud profecto magis mirum, quod ipfi velut e gravi fomno experrecti diftinguere pathos a fymptomate aggrediuntur, quum auctor ftipiditatis eorum in fecundo de methodo fic fcribat: *Eadem namque quum praecedunt, pathea dicuntur, quum fuccedunt, fymptomata.* Quamvis etiam longe mirabilius hoc ipfum fit quam ea quae ab illis dicuntur, utique jecoris phlegmonen, fi primo ftatim die irruat, noftrum effe concedere; fin alteri cuipiam fecundo aut tertio die fuccedat, inter fymptomata referre; quamquam quid diem fecundum memoro, quum melius fit horam fecundam a morbi invafione dicere? non enim in fecundo

σύμπτωμα γενήσεται, κατὰ δὲ τὴν δευτέραν ὥραν ἀπὸ τῆς ἀρχῆς ἄλλο τι καὶ οὐ σύμπτωμα· τὸ γὰρ ἐπιγίγνεσθαί τινι προηγουμένῳ πάντως που καὶ τοῦθ᾽ ἕξει. ἀλλὰ τὸ οὕτω, φασὶ, ταχέως ἐπιγιγνόμενον οὐδὲν διαφέρει τοῦ συνεισβάλλοντος. πάλιν οὖν αὐτὸν ἐχρῆν εἰρηκέναι σαφῶς ὁπόσαις ὥραις ὁρίζεται καὶ διακρίνει τοῦ συνεισβάλλοντος τὸ ἐπιγιγνόμενον. ὁ Θεσσαλὸς μὲν δὴ τοιοῦτος. οἱ δὲ περὶ τὸν Ὀλυμπικὸν, ὡς ἂν εἰς ἄκρον ἥκοντες σοφίας, οὐχ οὕτω διορίζουσι πάθος συμπτώματος, ἀλλὰ τὸ μὲν πάθος ὡς προείρηται, τὸ σύμπτωμα δὲ τὸ τῷ πάθει συμβαῖνον ὑπάρχειν φασὶ, θαυμαστῶς πάνυ καὶ σαφῶς ἐξηγησάμενοι τὴν οὐσίαν αὐτοῦ. τί γὰρ δὴ καὶ ὂν τὸ σύμπτωμα, ὃ τῷ πάθει συμβέβηκεν, ἐχρῆν, οἶμαι, προσθεῖναί τε καὶ διορίσασθαι, ἆρά γε διάθεσίς τίς ἐστι σώματος, ἢ βλάβη τινὸς ἐνεργείας, ἢ συναμφότερον. ἐκεῖνοι μὲν οὖν οὐ λέγουσιν, ἡμᾶς δὲ δηλονότι μαντεύσασθαι χρή. τὸ δὲ καὶ προσθεῖναι τῷ λόγῳ τοῦτ᾽ αὐτὸν, εἰδικὴν, ὥσπερ καὶ μερικωτέραν ἔχον ἐν τοῖς παρὰ φύσιν ἐντύπωσιν, ὑπερβολὴν οὐκ ἀπολέλοιπε σαφηνείας, ἅμα τῷ

die phlegmone jecoris ſymptoma fiet, in ſecunda ab initio hora aliud quidpiam, non ſymptoma, nam alicui quod praeceſſit ſupervenire omnino competet. At quod tam celeriter, inquiunt, ſupervenit, ab eo quod una irruit non diſtat. Rurſum igitur dictum ab illo clare oportuit, quot horis determinet diſtinguatque quod ſupervenit ab eo quod una invadit. Ac Theſſalus quidem ejusmodi eſt. Olympicus vero ceu in arcem ipſam ſapientiae evectus, non ita pathos a ſymptomate diſcernit, ſed pathos id eſſe ait quod dictum eſt, ſymptomata vero quod huic accidit, mirifice videlicet ac dilucide eſſentiam ejus interpretatus; quippe quid ipſum ſymptoma, quod pathos comitatur, ſit, adjicere, ut arbitror, ac definire oportuit, num corporis aliquis affectus, num laeſio alicujus actionis, num pariter utrumque eſſet. At illi quidem minime id dicunt, ſed nobis videlicet divinare eſt opus. Illud vero quod definitioni appoſuit, nempe ſpecialem atque etiam magis particularem in iis quae praeter naturam ſunt figurationem habens, excellentiam clari-

καὶ τοῖς ὀνόμασιν Ἑλληνιστὶ καὶ παγκάλως ἑρμηνεύεσθαι, εἰδικώτερόν τινα τύπον ἐν τοῖς παρὰ φύσιν ἔχειν τὸ σύμπτωμα. τί ποτ᾽ οὖν ἐστι τὸ γενικώτερον ἔχον τὸν τύπον; οὐ γὰρ εἴρηκας εἰ χωρὶς τῆς πρὸς ἐκεῖνο παραβολῆς ἐγχωρεῖ τὸ εἰδικώτερον ἐξευρεῖν. εἰ δ᾽ ὅλως πρὸς οὐδὲν παραβάλλοντες εἰδικώτερον ὀνομάζουσιν, ἀκριβῶς τε [26] πάνυ καὶ σαφῶς ἑρμηνεύουσι, καίτοι διὰ συντόμων τε ἅμα καὶ σαφῶν οἷόν τ᾽ ἦν εἰπεῖν ὡς τὰ παρὰ φύσιν ἅπαντα τὰ κατὰ τὸ σῶμα τῶν ζώων ἤτοι νοσήματ᾽ ἐστὶν, ἢ αἴτια, ἢ συμπτώματα· κοινοῦ δ᾽ αὐτοῖς ὄντος τοῦ παρὰ φύσιν, ἡ νόσος μὲν ἐνέργειαν βλάπτει, τὸ δ᾽ αἴτιον ταύτης προηγεῖται, τὸ σύμπτωμα δ᾽ ἕπεται ταύτῃ, διττὸν ὂν τὴν φύσιν, ἐνεργείας μὲν βλάβη τὸ ἕτερον, διάθεσις δέ τις ἀκολουθοῦσα τῷ νοσήματι τὸ λοιπόν. ἀλλὰ γὰρ, ὥσπερ ἔφην, εἰ πάντα τις ἐπέρχοιτο τὰ σφάλματ᾽ αὐτῶν, οὐκ ἂν ἐπιθείη τέλος τῷ λόγῳ, καὶ γινώσκεις τοῦτο ἀκριβῶς καὶ σὺ, φίλτατε Ἱέρων, ὅτι μηδὲ τὸ χιλιοστὸν αὐτῶν μέρος ἐξελέγχειν ἐπεχείρησα. τοσοῦτον οὖν ἔτι προσθεὶς ἐνταυθοῖ που καταπαύσω τὸ πρῶτον γράμμα, διότι κατὰ τὴν

tatis habet atque etiam nominum Graecam perlepidamque interpretationem. Si magis fpecialem quandam figurationem, in iis quae praeter naturam funt, fymptoma habere, quid ergo eft quod magis generalem notam habet? non enim dixifti an fine collatione ad generale magis fpeciale liceat invenire. Sin ad nihil omnino referens magis fpeciale pronunciat, oppido quam diligenter clareque interpretatur, quanquam et paucis et dilucidis verbis dicere ei licebat omnia quae circa corpus animalis praeter naturam funt, vel morbum effe, vel caufam, vel fymptoma. Quibus omnibus quum illud praeter naturam fit commune, morbus actioni officit, caufa ipfum praecedit, fymptoma eum fequitur, ipfum videlicet natura duplex, alterum actionis laefio, alterum affectio quaedam morbum fequens. Verum, ut dixi, fi quis omnes eorum errores excutere velit, finem dicendi non inveniat, ipfeque, mi Hiero, optime fcis eorum nos ne millefimam quidem partem refutare conatos. Ergo fi illud tantum adjecero, primum hunc librum hoc loco claudam,

ἀρχὴν τῆς μεθόδου σφάλλονται πολλοὶ τῶν ἰατρῶν, οἱ μὲν ἀπὸ Θεσσαλοῦ καὶ Θεμίσωνος, οἵπερ δὴ καὶ μεθοδικοὺς ἑαυτοὺς ὀνομάζουσιν, ἔσχατά τε καὶ μέγιστα σφάλματα, σὺν αὐτοῖς δ' οὐκ ὀλίγοι τῶν ἀναλογιστικῶν τε καὶ δογματικῶν καὶ λογικῶν ὀνομαζομένων. εἰ μὴ γὰρ ἐξεύροι τις ἁπάσας τὰς διαθέσεις ὑφ' ὧν ἐνέργεια βλάπτεται, τὸ πλῆθος αὐτῶν τῶν νοσημάτων ὁπόσον τ' ἐστὶ καὶ ὁποῖον ἀδύνατον ἀκριβῶς ὁρισθῆναι· τοῦτο δ' οὐδ' ἐπιχειρήσαντες ἔνιοι ποιῆσαι τυράννων δίκην ἀποφαίνονται τὰ δόξαντά σφισι χωρὶς ἀποδείξεως. ἔνιοι δ' οὐ μόνον οὐκ ἀπέδειξαν, ἀλλ' οὐδὲ παρὰ τῶν ἀποδεικνύντων μανθάνουσι· καὶ τό γε πλεῖστον γένος, ὡς οἶσθα, τῶν νῦν ἐπιπολαζόντων ἰατρῶν, ἔστι τοιοῦτον· καὶ θαυμαστὸν ἴσως οὐδέν· ὅπου γὰρ καὶ τῶν φιλοσόφων οἱ πολλοὶ χωρὶς ἀποδείξεως ἀξιοῦσι πιστεύεσθαι, τί χρὴ θαυμάζειν τινὰ τῶν ἰατρῶν; οὐδὲ γὰρ σχολή γε αὐτοῖς ἔστιν ἀλήθειαν ζητεῖν, ἕωθεν μὲν ἐν ἀσπασμοῖς διατρίβουσιν, οὓς αὐτοὶ καλοῦσιν ἀσπασμοὺς, εἰς ἑσπέραν δ' ἐμπιπλαμένοις τε καὶ μεθυσκομένοις. ἀλλὰ κατὰ τὸν παλαιὸν

nempe quod in ipso statim methodi principio non pauci medicorum falluntur, ut qui Thessali et Themisonis sunt aemuli, quique methodicos se appellant postremis, extremis ac maximis erroribus, cum his vero non pauci eorum, qui se analogisticos, dogmaticos ac logicos nominant. Siquidem nisi quis omnes affectus, a quibus actio laeditur, invenerit, numerum ipsum morborum, quantus qualisque sit, ad unguem definire non potest. Id quum quidam eorum facere nunquam vel tentaverint, tyrannorum more quae ipsis videntur citra demonstrationem pronunciant. Alii non modo ipsi non demonstrant, sed nec a demonstrantibus discunt. Ac plurima, ut scis, medicorum pars, qui nunc sunt in pretio, ejusmodi est, nec id fortasse mirum. Nam ubi philosophorum plerique citra demonstrationem credi sibi postulant, quid medicos mirere, quibus nec vacat veritatis inquisitioni vacare? ut qui mane in salutationibus, ita enim appellant, sint occupati, vesperi cibo distenti ac ebrii. Verum

Ed. Chart. X. [26.] Ed. Baf. IV. (46.)

αὐλητὴν, ὦ Ἱέρων, ἁμιλλαίμην ἂν καὶ ταῖς Μούσαις· αἰσχρὸν γὰρ αὐλητὴν μὲν οὕτως εὑρεθῆναι φιλόκαλον, οὐ μέγα τὸ πρᾶγμα κατορθοῦντα, μέθοδον δὲ θεραπευτικὴν ἐκ παλαιοῦ μὲν ζητουμένην, ἀκριβῶς δ' οὔπω γεγραμμένην, ἐξευρεῖν τε καὶ τελειῶσαι δυναμένους ἡμᾶς ὀκνεῖν καὶ μέλλειν καὶ ἀναβάλλεσθαι διὰ τὴν ἐπιπολάζουσαν ἐν τῷ νῦν χρόνῳ ῥαθυμίαν. ὥστ' ἔμπαλιν ἤδη μοι δοκῶ διακεῖσθαι νῦν ἢ πρόσθεν· οὐδὲ γὰρ ὑμῖν χάριν οἰκείαν δίδωμι, προτρεψαμένοις με τὴν θεραπευτικὴν μέθοδον ἅπασαν ἐφεξῆς διελθεῖν. ὁ μὲν δὴ πρῶτός μοι λόγος ἐνταυθοῖ τελευτάτω, τοῦ δ' ἑξῆς παντὸς ὁ δεύτερος ἀρχέσθω τοῦτον τὸν τρόπον.

ego veteris tibicinis exemplo, mi Hiero, vel cum Mufis ipfis certavero, quum alioqui turpe putem tibicinem, qui praefertim haud magnam rem profpere moliebatur, adeo repertum fuiffe laudis cupidum, me autem qui medendi methodum ab antiquis inquifitam, non tamen hactenus exacte proditam, inveftigare abfolvereque valeam, propter eam quae hac tempeftate regnat ignaviam gravari atque cunctari ac differe. Quare contra nunc affectus quam ante mihi videor. Nec enim propriam vobis, qui me ad medendi artem totam ordine perfcribendam hortati eftis, gratiam tribuo. Ac primus liber hic mihi finiatur, totius quod fequitur operis fecundus ad hunc modum deinceps incipiatur.

# ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ Β.

Ed. Chart. X. [27.] Ed. Baſ. IV. (47.)

Κεφ. α'. Τῶν συμβαινόντων τοῖς σώμασιν ἐν τῷ παρὰ φύσιν ἔχειν, Ἱέρων κράτιστε, τέτταρες ἐδείχθησαν αἱ πᾶσαι διαφοραὶ, μία μὲν αὐτῆς τῆς βεβλαμμένης ἐνεργείας, ἑτέρα δὲ τῆς ἐργαζομένης αὐτὴν διαθέσεως, ἄλλη τε τρίτη τῶν ταύτης αἰτιῶν, καὶ τετάρτη τῶν ἐξ ἀνάγκης ἑπομένων αὐτῇ συμπτωμάτων. ὅτι μὲν οὖν ἤτοι πάντα ταῦτ' εἶναι χρὴ τὴν νόσον, ἢ τινὰ τούτων, ἢ πάντως γ' ἓν ἐξ αὐτῶν, ἕτοιμον συλλογίσασθαι· μηδενὸς γὰρ παρὰ τὰ προειρημένα τοῖς νοσοῦσιν ὑπάρχοντος, οὐδὲ ἔξω τούτων ἔσται τὸ νόσημα. λείπεται

# GALENI METHODI MEDENDI LIBER II.

Cap. I. Quae corporibus praeter naturam ſeſe habentibus accidunt, Hiero optime, eorum omnes quatuor traditae differentiae ſunt, una ipſius functionis laeſae, altera affectus hanc efficientis, alia etiam tertia cauſarum ejus affectus, quarta ſymptomatum, quae hunc neceſſario conſequuntur. Quod itaque vel cuncta haec eſſe morbum oporteat, vel horum quaedam, vel certe ex his unum, id colligere facile eſt. Quum enim aegrotantibus praeter praedicta nihil inſit, utique praeter haec morbus non fuerit. Ergo

τοίνυν ἢ τὸ πάντων ἄθροισμα λέγειν τὴν νόσον εἶναι, ἢ τινὰ τούτων, ἢ ἕν γέ τι πάντως. ἀλλὰ τὸ μὲν ἐξ ἁπάντων ἄθροισμα πρὸς τῷ μηδ᾽ εἰρῆσθαι πρός τινος οὐδ᾽ ἐγχωρεῖ λεχθῆναι· τί γὰρ ἔσται νόσου αἴτιον, ἢ τί σύμπτωμα νοσήματος, εἰ τὸ πάντων ἄθροισμα νόσημα νομισθήσεται; οὐδὲ ἓν δήπουθεν. ἀναγκαῖον οὖν ἀπολιπεῖν δύο ἄλλα γένη παρὰ τὰς νόσους, ἕτερον μὲν τῶν ἐργαζομένων αὐτὰς αἰτιῶν, ἕτερον δὲ τῶν ἑπομένων μὲν ἐξ ἀνάγκης, λυπούντων δ᾽ οὐδὲν τὸν ἄνθρωπον, ἀλλ᾽ εἰ ταῦτ᾽ ἀφέλοιμεν, ἐν δυοῖν ἐστι τούτοιν ἡ νόσος, ἢ ταῖς βεβλαμμέναις ἐνεργείαις, ἢ ταῖς ἐργαζομέναις αὐτὰς διαθέσεσι. [28] καὶ δὴ καὶ διηνέχθησαν εὐθὺς ἐκ παλαιοῦ καὶ περὶ τοῦδε καὶ νῦν ἔτι διαφέρονται πάντες οὐκ ἰατροὶ μόνον, ἀλλὰ καὶ φιλόσοφοι, τῶν ἐνεργειῶν μὲν τὰς βλάβας ἕτεροι, τῶν δ᾽ ἐργαζομένων αὐτὰς διαθέσεων ἕτεροι προσαγορεύσαντες νοσήματα. τὸ μὲν οὖν διαφέρεσθαι τοὺς ἄνδρας ἐν οὕτως ἀσαφέσι πράγμασιν οὐδὲν θαυμαστόν· τὸ δὲ μὴ διαγιγνώσκειν ὡς ὑπὲρ ὀνόματος ἐρίζουσιν ἐπιτιμήσεως ἄξιον. εἴπερ γὰρ ὡμολόγηται πρὸς ἁπάν-

reliquum eſt enunciare, aut omnium horum collectionem morbum eſſe, aut horum quaedam, aut unum omnino. Sed enim omnium eſſe collectionem, praeter id quod neminem usquam habuit auctorem, etiam dici non poteſt. Nam quae morbi cauſa aut quod morbi ſymptoma erit, ſi omnium pariter collectio morbus cenſebitur? Neutrum profecto erit. Ergo duo praeter morbos genera relinqui neceſſe eſt, alterum cauſarum quae hos creant, alterum eorum quae neceſſario ſequuntur, non tamen homini officiunt. Verum ſi haec abſtuleris, in altero duorum ſtatuitur morbus, aut in laeſis functionibus, aut qui has efficiunt affectibus. Fuitque et antiqua ſane de hoc controverſia et hodie diſſident inter ſe omnes non modo medici, ſed etiam philoſophi, alii ipſius actionis laeſiones, alii affectuum, unde actio prodit, morbos nominantes. Et diſſidere viros in rebus ita obſcuris minime eſt mirum, non intelligere tamen eos quod de nomine contendant, ſane increpatione dignum eſt. Quippe ſi inter

*των ἡ θεραπεία τῆς ἐμποδιζούσης τὴν ἐνέργειαν εἶναι διαθέσεως, οὐδὲν ἔτι χρήσιμον εἰς τὰ τῆς τέχνης ἔργα τὸ διελέσθαι πότερα τὴν διάθεσιν, ἢ τὴν βεβλαμμένην ἐνέργειαν ὀνομαστέον ἐστὶ νόσημα. ἑκατέρως γὰρ ὀνομαζόντων, ὁ κάμνων ὑγιαίνων ἀποδειχθήσεται, μόνον εἰ τὰ δέοντά τις ἰάματα προσφέροι ταῖς διαθέσεσιν· αὗται γάρ εἰσιν ἃς ἀλλοιοῦν χρὴ καὶ μεταβάλλειν καὶ τελέως ἐκκόπτειν, οὐχ αἱ βλάβαι τῶν ἐνεργειῶν. οὐδεὶς γοῦν ἰᾶται τὸ χωλεύειν βαδίζοντα, καὶ γὰρ γελοῖον· ἀλλὰ τὴν ἐργαζομένην αὐτὸ διάθεσιν, οἷον τὴν φλεγμονὴν, εἰ διὰ ταύτην χωλεύει· καὶ ταύτην καὶ καταντλεῖ καὶ καταπλάττει καὶ σχάζει καὶ διαφορεῖ καὶ παντὶ τρόπῳ λύειν ἐπιχειρεῖ· τὸ γὰρ ὀρθῶς βαδίζειν ἕπεται ταύτῃ λυθείσῃ, καὶ οὐδὲν ἔτι δεόμεθα τὴν χωλείαν ἐπανορθοῦσθαι τῆς φλεγμονῆς οἰχομένης· οὐδὲ γὰρ ὑπομένει τι τῆς βεβλαμμένης ἐνεργείας, ἐὰν ἐκκόψῃ τις ἀκριβῶς τὴν ἐργαζομένην αὐτὴν διάθεσιν, ἔστ᾽ ἂν δ᾽ ὑπολείπηταί τι τῆς διαθέσεως, ἀνάγκη καὶ τὴν ἐνέργειαν ἀνάλογον ἐκείνῃ βεβλάφθαι. ταύτην οὖν τὴν διάθεσιν εἴτε νόσημα καλεῖν, εἴτε πάθος, εἴτ᾽ αἰτίαν νοσήματος, εἴτε*

omnes convenit ad affectum, qui functioni obest, curationis confilia dirigi, nihil ad artis officia confert definivisse affectusne, an laesa functio morbus fit appellandus. Utrovis enim modo appellantibus aeger fanitati restituetur, modo quis affectui commodis praesidiis occurrat, hic namque est quem alterare mutareque et prorfus fubmovere oportet, non laesiones functionum. Nemo enim ipsam claudicationem fanat, id enim esset ridiculum, fed affectum, qui hanc efficit, veluti phlegmonen, si hujus vitio claudicatur, atque hanc et perfundit et cataplasma imponit et fcarificat et difcutit et omni ratione folvere tentat, utpote cum hac abolita reddatur rectus incessus, nec hac fubmota claudicationem corrigere prorfus fit opus, quum nec remaneat quicquam pravae functionis, si qui huic obfuit, prorfus fit amotus, affectus, quoad vero hujus quicquam relinquitur, necessum est ad proportionem ejus actionem laedi. Hunc itaque affectum feu morbum appellasse, feu pathos, feu morbi patheosve cau-

πάθους ἐθέλοι τις, οὐδὲν εἰς τὴν θεραπείαν οὔτ᾽ ὄφελος οὔτε βλάβος ἐντεῦθεν· ἀλλ᾽ οὐδ᾽ εἰ Θέωνά τις ἢ Δίωνα προσαγορεύσας αὐτὴν, ἔπειτ᾽ ὀρθῶς ἰῷτο, βλάψειεν ἂν οὐδ᾽ οὗτος οὐδὲν τὸν νοσοῦντα· κἂν εἰ τελέως δέ τις ἀνώνυμον ἀπολιπὼν αὐτὴν ἃ χρὴ προσφέροι τῷ κάμνοντι βοηθήματα, πρὸς τῷ μὴ βλάπτειν μηδὲν, οὗτος ἔτι κάλλιστα θεραπεύσει. διδάσκειν μέν τοι βουλόμενος ἕτερον ἃ γινώσκει, δεήσεταί τε πάντως ὀνομάτων ἐπὶ τοῖς πράγμασιν, ὅρον τε τῆς χρήσεως αὐτῶν ἕξει τὴν σαφήνειαν· ὁ γὰρ ὡς ἂν ὁ μανθάνων ἐκμάθοι σαφέστατα μάλιστα σπουδάζων ὀνομάζειν, ἄριστος διδάσκαλος. ἐπεὶ τοίνυν καὶ ἡμεῖς ἐν τούτῳ νῦν καθεστήκαμεν, ἀνάγκη μέν που θέσθαι τοῖς πράγμασιν ὀνόματα· τὸ δ᾽ εἰ καὶ σαφῶς, ἡμῖν σκοπεῖσθαι πάρεστιν. ἡ μὲν δὴ τὴν ἐνέργειαν ἐμποδίζουσα διάθεσις ὀνομαζέσθω νόσος· εἴ τι δ᾽ ἕπεται τῇδε, σύμπτωμα· τὸ δ᾽ ἐργαζόμενον αὐτὴν, αἴτιον.

Κεφ. β΄. Οὕτω δὲ τούτων διωρισμένων ἐπιβλέπειν ἀκριβῶς χρὴ τὴν ἀνωμαλίαν τῶν ὀνομάτων, ἃ κατὰ τῶν νο-

fam quis velit, id nihil ad curationem nec profit nec obfit, fed neque fi Theonem aut Dionem hunc vocet quis, modo rite fanet, nec hic quidem aegrotanti officiat. Quin imo fiquis prorfus innominato eo, tamen quae ex ufu aegrotantis funt, adhibeat remedia, non folum hic nihil laedet, fed etiam belliffime curabit. Verum qui alterum docere volet, quae ipfe tenet, huic prorfus nominibus propter res uti eft opus. In quorum ufu perfpicuitas quafi meta fpectanda erit. Nam qui fic nominare quaeque ftudet, ut qui difcit clariffime intelligat, is optimus praeceptor fuerit. Quoniam igitur et nos jam docendi munus ingredimur, neceffe eft alicubi rebus nomina imponamus; an vero dilucide, id nos perpendere licet. Ergo affectus qui actionem laedit, morbus appelletur; hunc fi quid fequitur, fymptoma; quod illum efficit, caufa.

Cap. II. His ita diftinctis infpicienda diligenter eft diverfitas nominum, quae morbis impofuerunt ipforum

σημάτων ἐπήνεγκαν οἱ πρῶτοι θέμενοι· πολλαχόθι μὲν γὰρ ἀπὸ τοῦ βεβλαμμένου μορίου τὰ ὀνόματα, πλευρῖτις καὶ περιπνευμονία καὶ ἰσχίας καὶ ποδάγρα καὶ νεφρῖτις καὶ ἀρθρῖτις, ὀφθαλμία τε καὶ κεφαλαλγία καὶ δυσεντερία· πολλαχόθι δ' ἀπὸ τοῦ συμπτώματος, εἰλεὸς καὶ τεινεσμὸς καὶ σπασμὸς καὶ παλμὸς καὶ τρόμος καὶ παράλυσις, ἀπεψία τε [29] καὶ δύσπνοια καὶ ἄπνοια καὶ ἀγρυπνία καὶ παραφροσύνη καὶ κῶμα· πολλαχόθι δ' ἀπ' ἀμφοῖν ἅμα, ὡς κεφαλαλγία καὶ ὠταλγία καὶ καρδιαλγία καὶ ὀδονταλγία καὶ ὑστεραλγία· πολλαχόθι δ' ἀπὸ τῆς δοξαζομένης αἰτίας, ὡς ἡ μελαγχολία μὲν ὑπὸ πάντων, αἱ χολέραι δὲ ὑπὸ τῶν Κνιδίων ἰατρῶν, ἴσως δὲ καὶ ὁ λευκοφλεγματίας ὕδερος ἐντεῦθεν· ἐνίοτε δὲ ἀπὸ τῆς πρός τι τῶν ἐκτὸς ὁμοιότητος, ἐλέφας καὶ καρκῖνος καὶ πολύπους καὶ σταφυλὴ καὶ λεύκη καὶ μυρμηκία καὶ ἀθέρωμα καὶ στεάτωμα καὶ σταφύλωμα καὶ μελικηρὶς καὶ ἄνθραξ, ἀλωπεκία τε καὶ ὀφίασις καὶ σύκωσις καὶ σατυριασμὸς καὶ πριαπισμός· τῶν νοσημάτων δ' αὐτῶν ὀνόματα μήτε τόπου ἐμφαινόμενα πεπονθότος μήτε τῆς ποιούσης αἰτίας ὀλίγα, φλεγμονὴ καὶ γάγγραινα καὶ σκίῤῥος, ἐρυσίπελάς τε καὶ

primi auctores. Paſſim enim a laeſa parte ſunt nomina, pleuritis, peripneumonia, iſchias, podagra, nephritis, arthritis, ophthalmia et cephalalagia et dyſenteria. Frequenter ab ipſo ſymptomate, ut ileus, teneſmus, convulſio, palpitatio et tremor, paralyſis et apepſia, dyſpnoea, apnoea, pervigilatio et delirium et coma. Saepe ab ambobus ſimul, ut cephalalgia, otalgia, cardialgia, odontalgia, hyſteralgia. Saepenumero a cauſa putata, ut melancholia quidem ab omnibus, cholerae autem a Cnidiis medicis, ſed et hinc fortaſſis leucophlegmatias hyderus. Nonnunquam a ſimilitudine ad aliquid extra poſitum, ut elephas, cancer, polypus, ſtaphyle, vitiligo alba, formica, atheroma, ſteatoma, ſtaphyloma, meliceris, carbunculus, alopecia, ophiaſis, ficus, ſatyriaſmus et priapiſmus. Ipſorum vero morborum, quae nec locum affectum repraeſentant nec cauſam efficientem, perpauca ſunt nomina, phlegmone, gangraena

Ed. Chart. X. [29.] Ed. Baſ. IV. (47.)

ἀπόστημα καὶ οἴδημα καὶ ἐμπύημα καὶ ἕλκος ἐξάρθρημά τε καὶ κάταγμα καὶ σπάσμα καὶ ῥῆγμα καὶ κολόβωμα καὶ δοθιὴν καὶ ἴονθος καὶ φῦμα· καίτοι καὶ τούτων αὐτῶν ἔνια τὰ μὲν καὶ τὸν τόπον τοῦ σώματος, ἤτοι τὸ πεπονθὸς μέρος ἐμφαίνειν ἔοικεν, ἔνια δὲ ἀπὸ τοῦ πλεονεκτοῦντος ὀνομάζεται συμπτώματος· εἰ δ' ἄρα τι καὶ χωρὶς παρεμφάσεως ὀνομάζεται, τάς γ' ἐν αὐτῷ διαφορὰς καὶ τοῦτο πολυειδεῖς ἔσχηκεν, οἷον ἕλκος, εἰ καὶ μὴ συνεχείας ἦν ἡ λύσις ἐν σαρκώδει μορίῳ, καὶ ταύτῃ παραδηλοῦν ἐδόκει τὸν πεπονθότα τόπον, ἀλλ' αἵ γε κατὰ μέρος αὐτοῦ διαφοραὶ ποικίλαι τοῖς ὀνόμασι, χειρώνειον καὶ τηλέφιον καὶ καρκῖνος, ἕρπης τε καὶ φαγέδαινα, καὶ πάνθ' ὅσα τοιαῦτα, τὰ μὲν ἀπὸ τῶν πρώτως ἰασαμένων, ὡς τὸ χειρώνειον· ἔνια δ' ἀπὸ τῶν πεπονθότων, ὡς τὸ τηλέφιον· ἀπὸ δὲ τῆς πρὸς τὸ ζῶον ὁμοιότητος ὁ καρκῖνος· ἡ φαγέδαινα δ' ἀπὸ τοῦ συμπτώματος, ὥσπέρ γε καὶ οἱ ἕρπητες. ἀλλ' ἡ μὲν φαγέδαινα πάντως ἐστὶν ἕλκος ἐσθιόμενον, ἢ ἀναβιβρῶσκον, ἢ ὅπως ἂν ἐθέλῃ τις ὀνομάζειν· ὁ δ' ἕρπης οὔθ' ἕλκος ἀεὶ, καὶ ὁπότε μεθ' ἑλκώσεως, οὐ κατέχων

ſcirrhus, eryſipelas, abſceſſus, oedema, empyema, ulcus, luxatio, fractura, ſpasma, ruptura, coloboma, ſurunculus, varus, phyma. Quamquam horum quoque nonnulla partim locum corporis, ſive partem affectam ſubindicare videntur, quaedam vero ab exuperante ſymptomate nominantur. Quod ſiquis citra ſignificationem nominetur, differentias et is varias habet, veluti ulcus, quamvis unitatis ſolutio in carnoſa parte non eſſet, atque ita affectam partem una ſubindicaret, at particulares ejus differentiae variae ſunt nominibus, chironium, telephium, cancer, herpes, phagedaena omniaque id genus, quaedam ab iis qui primum ea ſanarunt, ut chironium, quaedam ab ipſis affectis, ut telephium, carcer autem a ſimilitudine ad animantem, phagedaena a ſymptomate, ut et herpetes. Verum phagedaena ulcus omnino eſt depaſcens, aut exedens, aut quomodocunque quis appellare voluerit. Herpes autem non ſemper ulcus eſt, quotiesque cum exulceratione eſt, non ſervata ve-

τὴν ἀρχαίαν ἕδραν, ἐπινέμεται τὰ πλησίον, (48) ἀλλ' ὥσπερ τοὔνομα δηλοῖ, δίκην ἕρποντος θηρίου, καταλείπει μὲν τὰ πρότερα, μετέρχεται δ' ἐφ' ἕτερα. κοῖλον δ' ἕλκος καὶ ῥυπαρὸν καὶ καθαρὸν, ὁμαλές τε καὶ ὑπερσαρκοῦν, οἰκειοτέρας μὲν ἔσχηκε τὰς προσηγορίας, οὐ μὴν ὡσαύτως γε πάσας, ἀλλὰ τὸ μὲν ὁμαλὲς ἀπὸ τῆς οἰκείας διαφορᾶς, ὡσαύτως δὲ καὶ τὸ κοῖλον ἢ ὑπερσαρκοῦν· ἔναιμον δὲ καὶ καθαρὸν καὶ ῥυπαρὸν οὐ κατὰ τὰς οἰκείας διαφορὰς, ἀλλ' ἀπὸ τῶν ἔξωθεν ὀνομάζεται συμπτωμάτων. οὕτως οὖν ἀνωμάλου τῶν ὀνομάτων τῆς θέσεως τοῖς ἀρχαίοις γεγενημένης, καὶ πολὺ μᾶλλον, ὅταν ἐπινυκτίδα καὶ ἀκροχορδόνα καὶ νυκτάλωπα προσαγορεύωσι, τὸ μὲν ὅτι νύκτωρ ἐγένετο, τὸ δ' ὅτι κατ' ἄκρας ὀχεῖται τῆς ἐπιφανείας τοῦ δέρματος, τὸ δ' ὅτι τῆς νυκτὸς ἀποφαίνει μὴ βλέποντας, ἕτερά τε πολλὰ τοιαῦτα ποιῶσιν, εἰ γὰρ ἐπεξίοιμι πάντα, κινδυνεύσω σπουδάζειν δοκεῖν ὃ φεύγειν ἐκέλευσα, πειρᾶσθαι οὖν χρὴ παντὶ τρόπῳ τὸν τῆς ἀληθείας αὐτῆς ὀρεγόμενον ἀποχωρεῖν μὲν τοῦ προσδοξαζομένου τοῖς ὀνόμασιν, ἐπὶ δὲ τὴν οὐσίαν τῶν πραγμάτων αὐτὴν ἰέναι καὶ ταύτην ἐπισκέπτεσθαι καὶ ζητεῖν, ὁπόσα τὰ σύμπαντ' ἐστὶ

teri fede, vicinas partes depafcit, fed ficuti nomen ipfum indicat, ritu ferpentis beftiae, relicto priore loco, tranfit ad alterum. Cavum vero ulcus et fordidum et purum et planum et fupercrefcens magis proprias fortita funt appellationes, non tamen fimiliter omnes, fed planum a propria differentia, ficut et cavum et fupercrefcens. At cruentum et purum et fordidum non a propriis differentiis, fed ab externis fymptomatis appellantur. Ergo quum tam impar nominum impofitio veteribus fuerit multoque etiam magis, quum epinyctida et acrochordona et nyctalopa dicunt, primum quod noctu fit enatum, alterum quod fummam occupet cutem, tertium quod noctu vifum auferat, aliaque ejusmodi multa faciant, nam fi omnia numerem, periclitabor videri ftudio fequi quod fugere juffi, ergo omni modo enitendum eft ei qui veritatem ipfam expetit, ab ipfa nominum imaginatione recedere et ad ipfam rerum fubftantiam fe conferre atque hanc fpeculari, tum quot in univerfum fint et

νοσήματά τε καὶ συμπτώματα, καὶ προσέτι τὰ προηγούμενα τούτων αἴτια. τοῦτ᾽ οὖν ἡμεῖς ἐποιήσαμεν ἐν ἑτέροις ὑπομνήμασιν, ὧν ἐστι περὶ μὲν τοῦ πλήθους τῶν νοσημάτων ἕν, ἐπιγέγραπται δὲ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς, ἕτερον δὲ περὶ τῆς τῶν συμπτωμάτων ἐστὶ διαφορᾶς· οὕτω δὲ καὶ τὰς αἰτίας αὐτῶν ἐπειράθημεν ἐξευρεῖν ἑκατέρας ἰδίᾳ, τάς τε τῶν νοσημάτων καὶ τὰς τῶν συμπτωμάτων ἁπάντων, ὡς μηδὲν ἔτι λείπειν, ἀλλ᾽ ἑτοίμην εἶναι τὴν παρασκευὴν ἅπασιν εἰς τὴν νῦν ἡμῖν προκειμένην πραγματείαν. ὅθεν οὐδ᾽ ἀναγινώσκειν ἔτι τὰ μετὰ ταῦτα ῥηθησόμενα συμβουλεύω, πρὶν ἐν [30] ἐκείνοις γυμνάσασθαι· παρακούσας γάρ τις οὕτω πολλῶν θεωρημάτων οὔτ᾽ αὐτὸς ὠφεληθήσεται καὶ μάτην ἐγκαλέσει τοῖς ὀρθῶς λεγομένοις.

Κεφ. γ΄. Ἐν ἐκείνοις μὲν οὖν ἅπαντα κατὰ μέρος ἐπεξέρχομαι, τά τε νοσήματα καὶ τὰ συμπτώματα καὶ τὰς αἰτίας· ἐνταυθοῖ δὲ δύο ἔτι προσθεὶς ταῦτα, ἀναγκαῖα γιγνώσκεσθαι τοῖς ἀσκήσουσι τὴν θεραπευτικὴν μέθοδον, ἐπὶ τὸ χρῆσθαι τοῖς εὑρισκομένοις τηνικαῦτα μεταβήσομαι. τίνα δὲ

morbi et fymptomata ac praeterea antecedentes horum caufae, requirere. Nos igitur id in aliis commentariis fecimus, quorum unus de morborum multitudine eft. infcriptus autem eft de morborum differentia, alter de fymptomatum eft differentia. Adeo vero caufas horum utrisque feorfum explorare ftuduimus tum morborum tum fymptomatum omnium, ut ad praefentem difputationem nihil amplius defideretur, fed praeparata omnia jam fint. Itaque ne legenda quidem quae hic dicemus ulli fuaferim, priusquam in illis fit exercitatus. Quippe tam numerofis theorematis neglectis nec ipfe fructum percipiet et quae recte funt tradita temere incufabit.

Cap. III. Ac in illis quidem particulatim omnia tum morbos tum fymptomata tum caufas oratione perfequor, hic duobus adhuc additis quae cognitu neceffaria erunt iis, qui medendi methodum exercebunt, tum me ad ufum inventorum prodendum conferam. Quaenam, *inquis*, duo illa

τὰ δύο ταῦτ᾽ ἐστὶν ἃ μέλλω λέξειν; ἓν μὲν ὅπῃ διαφέρει νόσημα πάθους· ἕτερον δὲ ὅτι χωρὶς τοῦ γνῶναι τὰ στοιχεῖα τοῦ σώματος, ἐξ ὧν πρῶτον γέγονεν, ἀμήχανον ἐξευρεῖν τὰ νοσήματα. ταῦτ᾽ οὖν ἐγὼ μὲν πειράσομαι διελθεῖν ἐπιμελέστατα, τοὺς δ᾽ ἀναλεξομένους αὐτὰ παρακαλῶ μὴ πρότερον ἐπ᾽ αὐτὴν μετιέναι τὴν θεραπευτικὴν μέθοδον, πρὶν ὁπόσα τὰ πάντα ἐστὶ νοσήματα καὶ αὐτοὺς ζητῆσαι κατὰ μόνας, καὶ τοῖς ὑφ᾽ ἡμῶν γεγραμμένοις ἐπιμελῶς ἐντυχεῖν. ὡς οὖν ταῦτα ποιησάντων, ἄρξομαι τοῦ λόγου. τρεῖς ἐδείχθησαν οὖσαι διαθέσεις ἐν τῷ σώματι παρὰ φύσιν, αἰτίων τε καὶ νοσημάτων καὶ συμπτωμάτων· αἰτίων μὲν οἷον τοῦ πλήθους, ἢ τῆς διαφθορᾶς· νοσημάτων δὲ οἷον τῆς φλεγμονῆς, ἢ τοῦ ἕλκους· συμπτωμάτων δὲ οἷον τῆς ἀχροίας, ἢ τῆς ἰσχνότητος. ἔξωθεν δὲ τούτων ἐστὶ τὰ ἀμέτρως ἐκκρινόμενα τοῦ σώματος, ἢ παρὰ φύσιν ἐπεχόμενα, καὶ τῶν ἐνεργειῶν αἱ βλάβαι, κοινῇ μὲν ἅπαντα προσαγορευόμενα συμπτώματα, γένος δ᾽ οὐχ ἓν ἔχοντα· διάθεσις μὲν γάρ τίς ἐστι σώματος ἡ ἀχροια· τὸ δὲ ἐκκρινόμενον ἢ ἐπεχόμενον ἕπεται μὲν, διάθεσις δ᾽ οὐκ ἔστιν·

quae dicere paro? Certe unum quid inter morbum et pathos interfit, alterum quod fine corporis elementis, ex quibus primum confiftit, nofcendis, non poffint morbi inveniri. Haec igitur nos accuratiffime tradere ftudebimus. Qui autem ea legent, oro ne prius ad ipfam methodum medendi fe conferant quam et ipfi quot in totum morbi fint, per fe inquifierint, et quae prodita a nobis funt curiofe infpexerint. Ergo tanquam haec fecerint, fermonem incipiam. Tres effe in corpore affectus praeter naturam oftenfum jam eft, caufas, morbos, fymptomata; caufas, veluti redundantiam vel corruptelam; morbos, ut phlegmonen, ulcus; fymptomata, ut decolorationem et gracilitatem. Diverfa ab his funt quae immodice a corpore excernuntur, aut quae praeter naturam retinentur et functionum laefiones, omnia fcilicet communi nomine fymptomata dicta, caeterum non uni generi fubjecta. Quippe affectus quidam corporis eft decoloratio, quod excernitur aut retinetur, affectus non eft, fed *affectum* fequi-

Ed. Chart. X. [30.] Ed. Baf. IV. (48.)

οὕτω δὲ καὶ ἡ ἐνέργεια βεβλαμμένη τε καὶ ἀβλαβὴς οὖσα διάθεσις μὲν οὐκ ἔστιν, ἕπεται δὲ ἐξ ἀνάγκης τῇ τοῦ μορίου διαθέσει. τὸ μὲν οὖν οἴδημα καὶ ἡ φλεγμονὴ τῶν ἁπλῶς ὄντων ἐστὶ, κατὰ ταὐτὰ δὲ καὶ τὸ πλῆθος, εἰ τύχοι, τοῦ αἵματος, ἢ τοῦ σώματος ἡ ὠχρότης· ἡ δ᾽ ἐνέργεια τῶν μὲν ἁπλῶς ὄντων οὐκ ἔστιν, ἢ οὐχ ὁμοίως γε τούτοις ὄντων· οὐδένα γὰρ αὐτῆς χρόνον ὑπομένει τὰ μόρια, καθάπερ οὐδὲ τὰ τῆς λέξεως, οὐδ᾽ ὅλως κινήσεως οὐδεμιᾶς, ἀλλ᾽ ἕκαστον τούτων ἐν τῷ γίνεσθαι τὸ εἶναι λαμβάνει. διττοῦ δ᾽ ὄντος γένους κινήσεως, τοῦ μὲν κατὰ τόπον, τοῦ δὲ κατὰ ποιότητα, φορὰ μὲν τὸ πρότερον, ἀλλοίωσις δὲ τὸ δεύτερον ὀνομάζεται. πᾶσα μὲν οὖν ἐνέργεια κίνησίς ἐστι δραστική· πᾶσα δ᾽ ἀλλοίωσις κίνησις παθητικὴ τοῦ ἀλλοιουμένου, πάσχει γάρ τι τὸ ἀλλοιούμενον. αἱ τοίνυν διαθέσεις, ἐπειδὰν ἀλλοιοῦνται, κινοῦνται· παυσάμεναι δὲ τοῦ κινεῖσθαι, ἠλλοίωνται μὲν, ἀλλοιοῦνται δ᾽ οὐκ ἔτι. πᾶν γὰρ τὸ ὁπωσοῦν ἔχον ἔν τινι πάντως ἐστὶ διαθέσει· τὸ δ᾽ ἐν δυσλύτῳ διαθέσει καθ᾽ ἕξιν

tur. Similiter actio vel laesa vel integra affectus sane non est, partis autem unde actio editur, affectum necessario comitatur. Ac oedema quidem et phlegmone ex iis sunt quae absolute esse dicuntur. Eodem modo et plenitudo, si accidat, sanguinis et corporis pallor. Actio vero ex eorum numero non est quae esse absolute dicuntur, aut certe non similiter, sicut jam comprehensa, siquidem nullo temporis spatio manent ejus partes, sicuti profecto nec sermonis nec etiam motus ullius, sed horum quilibet in ipso fieri esse suum obtinet. Quum vero duplex sit motus genus, unum in loco, aliud in qualitate, prius latio, secundum alteratio dicitur. Ac omnis quidem actio motus est activus, omnis alteratio ejus quod alteratur motus est passivus, patitur namque quod alteratur. Ergo affectus dum alterantur, moventur, quum a motu cessaverint, jam alterati sunt, non autem amplius alterantur. Quicquid enim quocunque modo se habet, in aliquo omnino affectu est, quod autem in difficilis solutionis affectu est, id habitu jam affectum est. Sane alteratur is qui nigresit, alteratus est qui jam obnigruit. Itaque

Ed. Chart. X. [30. 31.] Ed. Baf. IV. (48.)

ἤδη διάκειται· ἀλλοιοῦται μὲν ὁ μελαινόμενος, ἠλλοίωται δὲ ὁ μελανθείς· ὥστ' εἶναι τὴν ἀλλοίωσιν γένεσιν ποιότητος, ἢ διαθέσεως, ἢ ὅπως ἂν ἐθέλῃς ὀνομάζειν. οὐ μάχεται δὲ τὸ λέγειν ἀλλαγὴν εἶναι τοῦ προϋπάρχοντος τὴν ἀλλοίωσιν τῷ λέγειν γένεσιν αὐτὴν εἶναι ποιότητος· [31] ἅμα γὰρ ἄμφω συμπίπτει, καὶ ἡ πρόσθεν ὑπάρχουσα τῷ σώματι μεταβολὴ, καὶ νῦν ἄλλη γίγνεται. τοῦ γοῦν ἐν ἡλίῳ διατρίψαντος ἀλλοιοῦται μὲν ἡ λευκότης, γεννᾶται δὲ ἡ μελανότης· καὶ τοῦ παρὰ πυρὶ θαλπομένου μεταβάλλει μὲν ἡ ψυχρότης, γίγνεται δὲ ἡ θερμότης. ὅταν δὲ τοῦδέ τινος, ὃ οὐκ ἔστιν οὐσία, γένεσιν εἶναι λέγωμεν, οὐ ταὐτὸν δηλοῦμεν ἐν τῇ λέξει τῇδε κἀπειδὰν ἁπλῶς ὀνομάσωμεν γένεσιν· ἡ μὲν γὰρ ἁπλῶς ὀνομαζομένη γένεσις ὁδός ἐστιν εἰς οὐσίαν, ἡ δὲ τοῦδέ τινος γένεσις, εἰς τὴν ὡς ἂν εἴποι τις ὕπαρξιν ἐκείνου. ἀλλὰ τοῦτο μὲν ἐν παρέργῳ λελέχθω, ὃ δὲ ἐν τῷ λόγῳ μάλιστα προὔκειτο, σχεδὸν ἤδη διώρισται, τὸ τὰ μὲν ἐν γενέσει τε καὶ μεταβολῇ καὶ ἀλλοιώσει καὶ ἁπλῶς εἰπεῖν ἐν κινήσει τοῦ εἶναι μεταλαμβάνειν, τῶν δ' ὑπομένειν τὴν οὐσίαν· ὑγεία μὲν οὖν

alteratio generatio eſt qualitatis aut eſſectus, aut quomodocunque appellare velis. Nec ſi alterationem eſſe depoſitionem vel mutationem ejus quod prius fuit dicas, id pugnat cum eo quod dixi, alterationem generationem eſſe qualitatis, quum ambo in idem recidant, nam et quae prior in corpore qualitas fuit mutatur et nunc nova gignitur. Quippe ejus qui in ſole verſatur, candor mutatur, nigrities gignitur; rurſus ejus qui ad ignem caleſit, frigus mutatur, calor fit. Quoties vero cujuspiam quod ſubſtantia non ſit, generationem eſſe dicimus, non idem eo ſermone ſignificamus ſicut quum abſolute generationem nuncupamus. Nam quae abſolute generatio nominatur, via eſt in ſubſtantiam, quae vero hujus vel illius generatio dicitur, via eſt in illius, ut ſic loquar, exiſtentiam. Verum hoc veluti extra rem ſit dictum. Quod vero propoſitum nobis in diſputatione maxime fuit, ſermone jam definitum eſt, nempe aliqua in generatione et mutatione et alteratione et ut ſemel dicam, in motu ipſam eſſentiam habere, aliqua in ipſius ſubſtantiae conſtantia. Ac ſanitas quidem

καὶ νόσος, ὅσαι τε συμπτωμάτων ἢ αἰτίων εἰσὶ διαθέσεις, ἢ ἕξεις, ὑπομενόντων εἰσίν· αἱ δ' ἐνέργειαι πᾶσαι καὶ αἱ καθ' ὁτιοῦν ἀλλοιώσεις ἐν τῷ γίνεσθαι τὸ εἶναι κέκτηνται, καὶ τὸ καθ' ὁτιοῦν κινούμενον σῶμα κατ' ἐκεῖνο πάσχει, καὶ ἡ κίνησις αὐτοῦ πάθος ἐστίν. οἱ μὲν οὖν παλαιοὶ καὶ τὰς ἐν τῷ κατὰ φύσιν ἔχειν ἁπάσας κινήσεις, ὅσαι γε μὴ δραστικαὶ, πάθη προσαγορεύουσιν, ὥσπερ οὖν ἐνεργείας τὰς δραστικὰς, οὕτω καὶ αὐτὰς τῶν αἰσθήσεων τὰς ἀλλοιώσεις ὁ Πλάτων ὀνομάζει πάθη· τοῖς νεωτέροις δ' οὐκ οἶδ' ὅπως δόξαν, ἐπὶ τῆς παρὰ φύσιν μόνης κινήσεως κεῖται τοὔνομα. ἰδίως μὲν οὖν τὸ πάθος ἐπὶ πάσης τῆς ἔξωθεν κινήσεως ἐλέγετο παρὰ τῶν παλαιῶν, ἤδη δὲ καταχρώμενοι καὶ τὰς ἐκ πάθους μὲν γεγενημένας τῶν διαθέσεων, οὐκέτι δ' ἐν κινήσει, πάθη προσαγορεύουσιν· οὐ μὴν χρονιώτερόν γε οὐδὲ δυσλυτώτερον ἡ διάθεσις τῆς ἕξεως, ὥσπερ οὐδὲ ἡ ἀῤῥωστία· ἀλλ' αἱ τοιαῦται νομοθεσίαι τῶν ὀνομάτων ὑπὸ τῶν νεωτέρων ἐπεισήχθησαν. εἴρηται δὲ ἐπιπλέον ὑπὲρ τῶν ἰατρικῶν ὀνομάτων ἑτέ-

et morbus et quaecunque fymptomatum caufarumque affectus vel habitus funt, ex permanentium numero funt, actiones omnes alterationesque, in quacunque re fuerint, in ipfo fieri effentiam fuam poffident, et corpus fecundum quodcunque movetur, fecundum idem patitur motusque ejus pathos eft. Sane prifci motus omnes, etiam qui fecundum naturam fe habent, nifi activi fint, pathea, id eft paffiones nominant, ficuti etiam ipfos activos motus actiones. Eo pacto et Plato fenfuum alterationes pathea appellat, cum junioribus aliter nefcio quomodo fit vifum, ut videlicet de folo eo qui praeter naturam fit motu id nomen ufurpent. Ac a veteribus quidem pathos privatim de omni extrinfecus motu dicebatur, nunc per abufum etiam affectus qui ex paffione jam provenere, nec amplius in motu funt, pathea appellant, non tamen diuturnior aut folutu difficilior eft affectio quam habitus, quemadmodum neque imbecillitas. Sed ejusmodi nominum promulgationes a junioribus funt invectae. Diximus autem alibi diffufius de medicinalium nominum ufu,

ρωθι, καὶ νῦν οὐ τοῦτο πρόκειται σκοπεῖν, ἀλλ' ὅπως ἡμεῖς χρησόμεθα, διελέσθαι μόνον ἀναγκαῖον ἔδοξε σαφηνείας ἕνεκα. τὴν γὰρ ἐναντίαν ὑγιείᾳ διάθεσιν, ὑφ' ἧς (49) ἐνέργειαν λέγομεν βλάπτεσθαι, νόσημα μόνον προσαγορεύομεν, εἴτε πολυχρόνιος, εἴτε ὀλιγοχρόνιος, εἴτ' ἐν ἀκαρεῖ χρόνῳ γίγνοιτο· τὰς δ' ἄλλας ἁπάσας τὰς προηγουμένας τούτων ἐν αἰτίας λόγῳ διαθέσεις παρὰ φύσιν, αὐτὸ τοῦτο μόνον, αἰτίας, οὐ πάθη· τὰ δ' ἑπόμενα ταύταις, ὅσα μὲν ἐνεργειῶν εἰσι βλάβαι, συμπτώματά τε καὶ πάθη, κατὰ ταὐτὰ δὲ καὶ τὰς ἀμέτρους ἐκκρίσεις ἢ ἐπισχέσεις· ὅσαι δὲ διαθέσεις, ὥσπερ καὶ ἡ ἄχροια, πρὸς τῷ τοῦ πάθους τε καὶ τοῦ συμπτώματος ὀνόματι διαθέσεις ὀνομάζομεν, ὥσπερ οὖν καί εἰσι. κοινὸν μὲν δὴ τούτων ἁπάντων τὸ παρὰ φύσιν καὶ τῶν αἰτίων καὶ τῶν νοσημάτων καὶ τῶν συμπτωμάτων· ἴδιον δὲ τῶν μὲν νοσημάτων τὸ βλάπτειν ἐνέργειαν, τῶν δὲ συμπτωμάτων τὸ τούτοις ἕπεσθαι, τῶν δὲ αἰτίων τὸ προηγεῖσθαι. οὔτ' οὖν ὅστις κίνησιν εἶπε παρὰ φύσιν εἶναι τὴν νόσον οἶδεν ὃ λέγει, καθάπερ ἐν τῷ πρὸ τούτου λόγῳ διήλθομεν ἐνίους τῶν

nec illud nobis ad confiderationem propofitum nunc eft, fed tantum quemadmodum ipfi utemur, claritatis gratia diftinguere neceffarium eft vifum. Nam contrarium fanitati affectum, a quo laedi actionem dicimus, morbum tantum appellamus, five diuturnus hic, five brevis fit, five momento duret. Ex reliquis affectibus qui praeter naturam funt, eos qui hunc praecedunt caufaeque rationem obtinent, caufas tantum dicimus non pathea. Qui illum fequuntur, fi actionum laefiones funt, et fymptomata et pathea, eodem modo et immoderatas vel fuppreffiones. Qui vero affectus funt, veluti decoloratio, fupra paffionis et fymptomatis appellationem, etiam affectiones vocamus, ita nimirum ut funt. Omnium igitur horum commune id eft, quod praeter naturam funt, et caufarum et morborum et fymptomatum. Proprium autem morborum quidem eft actionem laedere, fymptomatum hos fequi, caufarum praecedere. Ergo nec is qui morbum effe motum praeter naturam dixit intellexit quid diceret, quemadmodum in proximo libro docui-

μεθοδικῶν οὕτως ἀφορίσασθαι προσθέντας ἐκ περιττοῦ τὸ ἐπίμονον· οὐδ᾽ ὅστις τροπὴν ἐκ τοῦ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν, οὐδὲν γὰρ μᾶλλον αἰτίας, ἢ νοσήματος, ἢ συμπτώματος ὁ λόγος· ἅπαντα γὰρ ταῦτα διαθέσεις εἰσὶ παρὰ φύσιν, [32] ἀλλ᾽ εἰ μὲν ὀλιγοχρόνια, δῆλον ὡς ὀξέα, εἰ δὲ δύσλυτα, χρόνια. διοίσει δ᾽ οὐδὲν ἢ νόσον, ἢ νόσημα λέγειν, ὥσπερ οὐδὲ πάθος, ἢ πάθημα· καὶ μὲν δὴ καὶ ὅτι τὸ πάθους ὄνομα καὶ κατὰ τοῦ νοσήματος ἐπιφέρουσιν οἱ παλαιοὶ, καθάπερ καὶ τὴν ἀῤῥωστίαν καὶ τὴν ἀσθένειαν, ἐπιδέδεικται καὶ τοῦτ᾽ ἐν τοῖς περὶ τῶν ἰατρικῶν ὀνομάτων, καὶ ὡς οὐδὲν διαφέρει λέγειν ἀῤῥωστίαν ἢ ἀῤῥώστημα· καὶ μέν γε καὶ ὡς τοὺς νοσοῦντας αὐτοὺς οὐ νοσοῦντας μόνον, ἀλλὰ καὶ ἀῤῥωστοῦντας καὶ ἀσθενοῦντας καὶ κάμνοντας ὀνομάζουσιν, ἐπιδέδεικται δὲ καὶ τοῦτο δι᾽ ἐκείνων τῶν ὑπομνημάτων. λοιπὸν δ᾽ ἂν εἴη νῦν, οὗπερ ἕνεκα ταῦτ᾽ εἴρηται πάντα, προσθέντας ἐπί τι τῶν ἑξῆς ἤδη μετιέναι. τί δὲ τοῦτ᾽ ἔστιν; οὐκ

mus methodicorum nonnullos definiviffe, adjecta ex fuperabundanti permanfione, nec is qui mutationem effe ab eo quod fecundum naturam, ad id quod praeter naturam voluit, quippe quae non magis morbi quam caufae et fymptomatis definitio fit, quando omnia ea affectus funt praeter naturam. Verum fi brevia fint, conftat acuta effe, fin aegre folvantur, diuturna. Morbum autem an aegritudinem dicas, nihil intereft, quemadmodum etiam non intereft, pathos an pathema dicas. Atqui patheos appellationem de morbo dixiffe veteres, quemadmodum et infirmitatem et imbecillitatem, oftenfum nobis eft in iis, quae de medicinalibus vocabulis fcripfimus. In quibus illud quoque traditum eft, nihil referre dicere valetudinem infirmam an infirmitatem valetudinis, nam et qui aegrotant, eos appellant non folum aegrotos, fed et infirmos et laborantes. Atque hoc in illis commentariis demonftratum eft. Reliquum nunc fuerit ut eo cujus caufa haec omnia diximus, in medium adducto, ad aliquid eorum quae proxime tractanda funt deinceps tranfeamus. Id quid fit, rogas? Certe non aliud

Ed. Chart. X. [32.] Ed. Baſ. IV. (49.)

ἄλλο τοῦ πολλάκις ἤδη καὶ πρόσθεν εἰρημένου, τοῦ πρῶτόν τε καὶ μάλιστα τοῦτο σπουδάζειν τοὺς ἰατροὺς, καὶ τοῦτο σχεδὸν αὐτῶν ἔργον ὑπάρχειν ἴδιον, ἐκκόπτειν τὰς νόσους· εὐθὺς γὰρ ἅμα τούτῳ καὶ ἡ βλάβη τῆς ἐνεργείας οἴχεται, καὶ τἄλλα συμπτώματα πάντα συναναιρεῖται. χρήζουσι μὲν γὰρ πάντες οἱ ἄνθρωποι πρώτης καὶ μάλιστα τῆς κατὰ φύσιν ἐνεργείας, δι᾽ ἐκείνην δὲ καὶ τῆς ὑγείας· καὶ ἀποθέσθαι γε βούλονται τὴν βλάβην τῆς ἐνεργείας, καὶ διὰ τοῦτο καὶ τὴν νόσον· οὐ μὴν τῇ γε βλάβῃ τῆς ἐνεργείας, ἀλλὰ τῇ νόσῳ προσφέρουσι τὰ βοηθήματα, τουτέστι τῇ παρὰ φύσιν διαθέσει τῇ βλαπτούσῃ τὴν ἐνέργειαν. ὅστις οὖν οὐκ οἶδεν αὐτῶν τῶν κατὰ φύσιν ὑπαρχόντων τοῖς μορίοις τά τ᾽ ἄλλως συμβεβηκότα καὶ τὰ τῆς ἐνεργείας αἴτια διορίσαι, πῶς τοῦτον εἰκὸς ἐξευρεῖν τὴν διάθεσιν ὑφ᾽ ἧς πρώτως ἡ ἐνέργεια βλάπτεται; τὰ μὲν γὰρ ἄλλως συμβεβηκότα τοῖς σώμασι, κἂν μυριάκις ἀλλοιωθείη, βλάπτειν τὴν ἐνέργειαν οὐ δύνανται, ἕως ἂν ὑφ᾽ ὧν ἐγίγνετο κατὰ φύσιν ἔχῃ πάντα· τούτων δ᾽ εἴπέρ τι κἂν ἓν ἀλλοιωθῇ, βλαβῆναι τὴν ἐνέργειαν εὐθὺς

quam quod multoties jam ante dictum eſt, primum ac maxime id medicos ſtudere, idque fere proprium eorum munus eſſe, ut morbos adimant, quippe ſimul cum hoc non modo actionis laeſio ſtatim evaneſcit, ſed etiam reliqua omnia ſymptomata tolluntur. Siquidem primum ac maxime actionis ipſius, quae ſecundum naturam eſt, omnes homines egent, propter illam vero et ſanitatis, ſed et functionis laeſionem amoliri omnes cupiunt, ob id vero etiam morbum ipſum. Caeterum non functionis laeſioni, ſed morbo ipſi, id eſt affectui praeter naturam qui actionem laedit, adhibent remedia. Quisquis igitur ex iis quae partibus ſecundum naturam inſunt et quae temere accidunt et quae actionis ſunt cauſae, diſtinguere non poteſt, quomodo credibile eſt, ut ipſe affectum, a quo primum actio laeditur, invenire poſſit? Nam quae temere corporibus accidunt, etiamſi millies ſint alterata, nocere profecto actioni non poſſunt, quamdiu a quibus fiebat, omnia naturam ſuam tuentur. Horum vero ſi vel unum quodlibet ſit alteratum, actionem quoque ipſam

ἀναγκαῖον εἰς τοσοῦτον εἰς ὅσόν περ καὶ ὠφελεῖται κατὰ φύσιν ἔχοντος.

Κεφ. δ'. Ἐμοὶ μὲν οὖν εἴρηται τὸ πᾶν, καὶ δέδεικται σαφῶς ἤδη τοῖς γε δυναμένοις ἕπεσθαι λόγοις ἀληθέσιν, ὡς οὐκ ἐγχωρεῖ ὁπόσα τὰ πάντ' ἐστὶ νοσήματα, μεθόδῳ περιλαβεῖν, εἰ μή τις εἰδείη ὁπόσα τὰ πάντ' ἐστὶν ὑπάρχοντα κατὰ φύσιν ἔχοντι τῷ σώματι τῆς ἐνεργείας αἴτια· μανθάνειν δ' οὔπω δυνατόν ἐστι τῶν εἰρημένων οὐδὲν, ὅσοι σκαιότεροί τέ εἰσι καὶ ἀργοὶ τὴν διάνοιαν, ἢ τοῖς τῆς μεθοδικῆς αἱρέσεως λήροις ἐνετράφησαν. αὖθις οὖν κἀκείνοις, ὃ καθόλου νῦν εἴρηται τοῖς συνετοῖς, ἐπέλθωμεν κατὰ μέρος, ἕν τι καὶ δεύτερον οἷον παραδείγματα τῷ λόγῳ προχειρισάμενοι. διὰ τί γὰρ ἡ γλῶττα τῶν χυμῶν αἰσθάνεται, τῶν δ' ἄλλων μορίων οὐδέν; ἆρά γε διὰ χρόαν, ἢ διὰ τὴν θέσιν, ἢ διὰ τὸ μέγεθος, ἢ διὰ τὸ σχῆμα; πασχούσης γὰρ αὐτῆς, οἶμαι, καὶ μηκέτ' αἰσθανομένης τῶν χυμῶν ἤτοι τὴν χρόαν ἐπανάξομεν εἰς τὸ κατὰ φύσιν, εἰ κατὰ ταύτην εἶχε τὴν ἐνέργειαν, ἢ τῶν ἄλλων ἕκαστον τῶν εἰρημένων, εἰ κατ' ἐκεῖνο·

ſtatim laedi in tantum eſt neceſſe in quantum ab eo quum ſecundum naturam ſe haberet eſt adiuta.

Cap. IV. Ac mihi quidem res tota explicata jam eſt, clareque oſtenſum iis praeſertim, qui intelligere vera poſſunt, fieri non poſſe ut omnium morborum numerum methodo quis comprehendat, niſi idem omnium cauſarum actionis numerum, corpore ſecundum naturam ſe habente, norit. Nihil tamen ex jam dictis intelligere adhuc poſſunt quicunque vel ſtolidiores ſunt et ingenio tardiore, vel methodicae ſectae nugis innutriti. Denuo igitur quod nunc generatim dictum intelligentibus illis quoque ſpeciatim exponamus, unum aliquod atque alterum veluti exemplum ſermoni proponentes. Cur lingua ſapores percipit nec ulla pars? Num propter colorem aut ſitum aut magnitudinem aut figuram? Quippe ea affecta nec commode ſapores ſentiente, aut colorem ejus ad naturam ſuam reducemus, ſi in eo actionem habet, aut jam dictorum quodvis, ſi ab illo agendi vim ac-

Ed. Chart. X. [33.] Ed. Baſ. IV. (49.)

[33] κἂν εἰ κατ᾽ ἄλλο δέ τι παρὰ ταῦτα, δῆλον ὡς κατ᾽ ἐκεῖνο μόνον, εἴπερ ἂν αὐτὴν ἐπανάγοιμεν εἰς τὸ κατὰ φύσιν, οὐδὲν τῶν ἄλλων ἔτι δεησόμεθα. φέρε γὰρ ὅτι πυκνὴ τοῖς πόροις ἐστὶν εἰς τοσόνδε, διὰ ταῦτ᾽ αὐτὴν αἰσθάνεσθαι τῶν χυμῶν· ἆρ᾽ οὐ τὴν ἐκείνων συμμετρίαν μὲν, ὁπόθ᾽ ὑγιαίνουσι, φυλάξομεν, τὴν ἀμετρίαν δ᾽ αὖθις ὁπότε νοσοῦσιν, ἐπανορθωσόμεθα; φέρε δ᾽ εἰ οὕτως ἔτυχε, διότι συμμέτρως ἔχει θερμότητος, αἰσθητικὴν εἶναι τὴν γλῶτταν τῶν χυμῶν· ἆρ᾽ οὐ κἀνταῦθα πρόδηλον ὡς τῶν ἄλλων ἁπάντων ἀμελήσαντες, ἐκεῖνο φυλάξομεν αὐτῆς μόνον, ἀφ᾽ οὗ τὴν ἐνέργειαν ἐκέκτητο; φέρε δ᾽ εἰ ξηρότητός τε καὶ ὑγρότητος ὡδέ πως ἔχουσα, διὰ τοῦτ᾽ αἰσθάνοιτο, τίς οὐκ ἂν ἁπάντων τῶν ἄλλων ἀμελῶν εἰς τοῦτ᾽ ἀποβλέψει μόνον αὐτῆς, ὅπως μήθ᾽ ὑγροτέρα τοῦ δέοντος ἔσται μήτε ξηροτέρα, τίς δ᾽ οὐκ ἂν εἴπερ τοῦτ᾽ ἐστιν ἀληθὲς, ἐξ ἑτοίμου συνελογίσατο δύο εἶναι τὰ πάντα τῆς γλώσσης νοσήματα, τὸ μὲν ὑγρὸν, τὸ δὲ ξηρόν; ὥσπερ αὖ καὶ εἰ θερμότητι καὶ ψυχρότητι συμμέτρῳ τὴν αἴσθησιν ἔχοι, τίς οὐκ ἂν κἀνταῦθα δύο εἶναι τὰ νοσήματα αὐτῆς ἐνόησεν, ἀμετρίαν θερμότητός τε καὶ ψύξεως;

cipit. Quod ſi propter alind ab his quippiam conſtat, ſi illo tantum tenus ad naturalem habitum ſit reſtituta, nullo etiam reliquorum fore opus. Nam eſto exempli gratia, denſitas certa pororum cauſa ſit, ſucci ſaporem dijudicet, nunquid horum ſymmetriam quae in ſanitate viſitur, tuebimur rurſusque ametriam, quoties laborat corrigemus? Age vero, ſi ita ſors tulerit, moderatus calor cauſa ſit cur ſaporem ſentiat lingua, non hic quoque manifeſtum eſt, caeteris neglectis unam adhibendam curam, ut illud ſervemus a quo agendi facultatem accepit? Jam ſi propterea quod ita in ſicco humidoque attemperata ſit, idcirco ſentiat, quis non reliquis poſthabitis, huc tantum intendat ut neque juſto ſiccior ſit nec etiam humidior? Quis rurſus ſi hoc verum eſt, non facile prompteque colligat duos eſſe univerſos linguae morbos, alterum humidum, alterum ſiccum? Veluti rurſum ſi per moderatum calorem et frigus habet quod ſentiat, quis non hic quoque duo eſſe morbos ejus intelligat, caloris fri-

ὥσπερ εἰ καὶ τῇ τῶν πόρων συμμετρίᾳ τὴν αἴσθησιν ἐκέκτητο, πρόχειρον ἦν δήπου κἀνταῦθα λογίσασθαι πάντως ὑπὸ τῆς ἀμετρίας αὐτὴν βλαβήσεσθαι, διττὴν δὲ ταύτην ἔσεσθαι, πύκνωσίν τε καὶ μάνωσιν τῶν πόρων. ἆρ᾽ οὖν ἔτι λέγω πολλὰ τοὺς ἀναισθήτους ἐπάγων, εἰ καὶ μηδ᾽ ἄλλο, τοῦτο γοῦν ἐννοῆσαι, τὸ μὴ δύνασθαί τι μήθ᾽ εὑρεῖν μήτ᾽ ἀποδεῖξαι τὸ πλῆθος τῶν νοσημάτων, ἄνευ τοῦ γνῶναι, τίνα μὲν τῶν ὑπαρχόντων τοῖς μορίοις αἴτια τῆς ἐνεργείας ἐστὶ, τίνα δ᾽ ἄλλως τούτοις συμβέβηκεν; ἢ καὶ δεύτερόν τι καὶ τρίτον ἔτι παράδειγμα προχειρίσομαι; πολλάκις γὰρ ὑπὸ τοῦ πλήθους αὐτῶν τιτρώσκονται τῶν ἀνοήτων αἱ ψυχαί. φέρε τοίνυν αὖθις ὡδί πως αὐτοὺς ἐρωτήσωμεν. ἆρ᾽ αἰσθάνεται τὸ σῶμα θερμῶν καὶ ψυχρῶν, καὶ σκληρῶν καὶ μαλακῶν, καὶ λείων καὶ τραχέων, καὶ ἁπλῶς ἁπάντων τῶν ἁπτῶν, ὅτι λευκὸν τὴν χρόαν ἐστὶν, ἢ ὅτι μέλαν, ἢ ὅτι πυῤῥὸν, ἢ ἁπλῶς εἰπεῖν ὅτι τοιόνδε τὴν χρόαν· ἢ κατ᾽ οὐδὲν μὲν τούτων, δι᾽ ἄλλο δέ τι; πρόδηλον γὰρ οἶμαι παντὶ, τὸ φυλάττειν αὐτῷ

gorisque ametriam? Quemadmodum etiam fi propter tenuium meatuum fymmetriam fenfum eft nacta, promptum profecto hic quoque colligere eft, omnino eam ex horum ametria oblaedi, duplexque vitium fore, denfitatem meatuum et raritatem. Num igitur etiam plura dico quo ftupidos iftos inducam, ut fi nihil aliud, illud faltem intelligant, non poffe quenquam nec invenire nec demonftratione afferere morborum numerum, qui non ex iis quae partibus infunt tum quae caufae actionis fint tum quae temere accidant norit? Num etiam alterum adhuc tertiumque exemplum adjiciam? faepe namque multitudine exemplorum ftupidorum animi veluti a fomno excitantur. Age igitur ita homines rurfum interrogemus. Idcircone corpus calida, dura, mollia, laevia et afpera, omnia denique fub tactum cadentia fentit, quod candidum colore eft aut quod nigrum aut quod rufum aut ut fummatim dicam, quod talis coloris eft, an propter horum nihil, fed aliud quippiam. Perfpicuum enim cuique arbitror, quod fi quid probe fentiendi munere utatur,

Ed. Chart. X. [33.] Ed. Baſ. IV. (49. 50.)

χρῆναι μόνον ἐκεῖνο μέλλοντί γε αἰσθήσεσθαι καλῶς, ἐξ οὗπερ ἐκέκτητο μόνου τὸ καλῶς αἰσθάνεσθαι. εἰ μὲν γὰρ ἐκ τοῦ λευκὸν εἶναι τοῦτ᾽ ἐκέκτητο, περὶ παντὸς ἐχρῆν ποιεῖσθαι καὶ φυλάττειν τοῦτο καὶ φεύγειν τὸ μέλαν· εἰ δ᾽ ἔμπαλιν ἐκ τοῦ μέλαν ὑπάρχειν ἦν αἰσθητικὸν, ἀποδιδράσκειν ἐχρῆν, οἶμαι, καὶ δεδιέναι τὰς ἄλλας ἁπάσας χρόας· οὕτω δὲ καὶ εἰ διότι ξανθὸν ἢ πυῤῥόν ἐστι, διὰ τοῦτ᾽ αἰσθάνοιτο, φευκτέον ἐστὶν, οἶμαι, τὰς ἄλλας ἁπάσας χρόας, ὡς ἀναισθησίας ἢ δυσαισθησίας ἀπεργαστικάς. καὶ μὲν δὴ καὶ εἰ τῷ σκληρὸν εἶναι τὴν αἴσθησιν εἶχε, τῷ μαλακὸν γενέσθαι βλαβήσεται· καὶ εἰ τῷ (50) πυκνὸν εἶναι, τῷ μανὸν ἀπεργασθῆναι· καὶ εἰ συμμετρίᾳ πόρων ᾐσθάνετο, πρὸς τῆς ἀμετρίας δήπου βλαβήσεται· καὶ καθόλου τοῦτ᾽ αὐτὸ μόνον ὑπάρχειν χρὴ πρὸς τὴν αἴσθησιν, ἀφ᾽ οὗ τὴν αἴσθησιν εἶχε, καὶ τοῦτ᾽ ἐπανορθοῦσθαι μόνον, ἐπειδὰν ἐξίσταται τῆς φύσεως, ὑφ᾽ οὗ τὴν αἴσθησιν βλάπτεται. ἆρ᾽ οὖν δεήσει τρίτου παραδείγματος, ἢ καὶ ταῦθ᾽ ἱκανά; τοῖς μὲν συνετοῖς, οἶμαι, καὶ ταῦτ᾽ ἐστὶ περιττὰ, τὸ καθόλου συνιέναι δυναμένοις ἄνευ τῶν παραδειγμάτων.

id tantum illi tuendum cuſtodiendumque ſit, ex quo uno probe ſentiendi facultatem accepit. Nam ſi ex eo quod candidum fuit, id dotis obtinuit, ejus tuendi maxima erat habenda cura, ſicut nigri fugiendi. Sin contra ex eo quod nigrum fuit ſentiendi vim habuit, omnes, arbitror, alios calores fugere formidareque oportebat. Ad eundem modum et ſi inde adeo ſentit quod flavum vel ruſum eſt, fugiendi, arbitror, alii colores omnes ſunt, ceu ſenſum vel penitus deperditum vel depravatum efficientes. Praeterea ſi eo quod durum ſit ſenſu eſt praeditum, ſi molle ſiat, laedetur. Ac ſi quod denſum ſit, laedetur, ſi rarum eſſiciatur. Quod ſi tenuium meatuum ſymmetria ſentiendi vim habeat, ab ametria certe laedetur. Et generaliter ut ſentiat, id tantum ipſum adſit oportet, unde ſenſum obtinuit, atque id tantum corrigatur, unde ſenſus eſt laeſus quum a natura receſſit. Num igitur tertio exemplo eſt opus, an haec abunde ſatisfaciunt? Sane prudentibus vel haec ſupervacua puto, ut qui univerſale intelligere ſine exemplis poſſint, rudibus autem

ἀμαθέσι δὲ καὶ σκαιοῖς καὶ φιλονείκοις, ἴσως οὐδ᾽ εἰ τρίτον προστεθείη παράδειγμα, πλέον οὐδέν. ἀλλ᾽ ὅμως ἐπειδή περ εἴρηται δύο, [34] καὶ κατατρίβουσιν ἀεὶ μάτην ἡμῶν τὸν χρόνον, εἴη ἂν καὶ νῦν οὐκ ἀπεικὸς ἓν αὐτοῖς ἔτι προσθεῖναι παράδειγμα. καὶ δὴ καὶ προβεβλήσθω μὲν ὅπως ἀπεπτοῦσαν ἐπανορθωσόμεθα γαστέρα· τὸν δὲ λόγον οὐ πρὸς τοὺς μεθοδικοὺς ἔτι μόνους, ἀλλ᾽ ἤδη καὶ πρὸς ἐκείνους ποιησόμεθα τῶν λογικῶν οἳ νομίζουσι μεθόδῳ τινὶ δύνασθαι καὶ λόγῳ τὴν τέχνην συστήσασθαι χωρὶς τοῦ γνῶναι τὴν πρώτην αἰτίαν τῆς ἐνεργείας, ἣν δὴ καὶ προσεχῆ καλεῖν εἰώθασιν. ἔστω δή τινα λέγειν, ἀπὸ γὰρ τῶν πρόχειρον ἐχόντων τὴν ἀτοπίαν ἄρξασθαι βέλτιον, ἵν᾽ ἐπαγάγωμεν αὐτοὺς, εἰ οἷόν τε, κατὰ βραχὺ πρὸς τὸ καὶ τῶν ἀμυδροτέρων αἰσθάνεσθαι· λέγειν οὖν ὑποκείσθω τινὰ διότι πολλαῖς ἐφεξῆς ἡμέραις ὅδε τις ἄνθρωπος ὁ νῦν ἀπεπτῶν, ἐπὶ γάλακτος μόνου διαιτηθεὶς, ἠλλοίωσε τὸ τῆς γαστρὸς χρῶμα, καὶ λευκὸν ἐποίησεν ἀντ᾽ ἐρυθροῦ, διὰ τοῦτ᾽ αὐτῷ βεβλάφθαι τὴν ἐνέργειαν· οἶμαί σε γελᾷν ἤδη, καὶ δικαίως γελᾷν· ἀλλ᾽ εἴπερ

et tardis et contentiofis, ne fi tertium quidem addam exemplum, quicquam fortaffe profecero. Verumtamen quando duo jam dicta funt et inaniter tempus noftrum femper terunt, non fuerit alienum unum etiamnum iis exemplum adjicere. Proponatur itaque jam quemadmodum ventriculus male concoquens nobis fit corrigendus. Verba autem faciemus non folum contra methodicos, fed etiam contra eos rationalium qui non cognita ipfius actionis prima caufa, quam continentem etiam nominare funt foliti, methodo quadam ac ratione conftitui poffe artem putent. Efto igitur quispiam dicat, ab iis enim quae obviam promptamque abfurditatem exhibent coepiffe praeftat, quo eos fi fieri poteft ad ea quae confufa magis funt intelligenda fenfim perducamus, efto, inquam, aliquis dicat, hunc hominem qui nunc cruditate laborat, quod multos deinceps dies folo lacte eft altus, ventris colorem mutaffe, albumque ex rubro reddidiffe idcircoque ventris fui functionem laefiffe. Fortaffe jam rides et jure profecto rides. Verum fi fcias quam fit

εἰδείης, ὡς ἴσον ἐστὶ καὶ τούτῳ περὶ χρωμάτων εἰπεῖν ὁτιοῦν ἄνευ τοῦ προσθεῖναι τὴν ἀπόδειξιν καὶ σοὶ περὶ τῆς τῶν πόρων, εἰ οὕτως ἔτυχε, συμμετρίας, ἢ ἄλλης ἡστινοσοῦν διαθέσεως, οὐκ οἶμαί σε γελάσειν εὐλόγως· ἢ γὰρ κἀπὶ σαυτῷ τὸν γέλωτα κίνησον, ἢ μηδ᾽ ἐφ᾽ ἑτέρῳ. ἔστω γὰρ ἰταμὸν εἶναι τὸν τὸ χρῶμα τῆς γαστρὸς αἰτιώμενον τοῦ μὴ πέττειν καλῶς καὶ φάσκειν ὡς ἐπειδὴ κατὰ φύσιν ἔχουσα, τὴν χρόαν ἐνερευθής ἐστι, νῦν δ᾽ ἀπειργάσθη λευκὴ ἀκριβῶς, διὰ τοῦτ᾽ ἀπεπτήσειν ἐξ ἀνάγκης αὐτὴν, ἡδέως ἂν ἀκούσαιμί σου τὴν πρὸς τοῦτον ἀντιλογίαν· ἐγὼ μὲν γὰρ οὐδ᾽ ἐπινοῆσαι δύναμαι τρόπον ἕτερον αὐτῆς, ἄνευ τοῦ κελεῦσαι τῷ ταῦτ᾽ εἰπόντι δεῖξαι πρότερον, εἰ διὰ τὴν χρόαν ὅλως ἐνεργεῖ κατὰ φύσιν ἡ γαστήρ· σὺ δὲ εἴπερ ἔχεις, ἡδέως ἂν ἀκούσαιμί σου. ἀλλ᾽ οὔτε ἔχεις οὔθ᾽ ἕξεις εἰπεῖν ἕτερόν τινα τρόπον ἀντιλογίας πρὸς τὸν τὴν χροιὰν αἰτιώμενον τῆς ἀπεψίας ἀλλ᾽ ἢ τὴν πρόκλησιν τοῦ δεῖξαι πῶς ἐκ τοῦ κατὰ φύσιν χρώματος ἡ γαστὴρ εἶχε τὸ πέττειν. εἶτ᾽ ἐκεῖνος μὲν οὐ πιστευθήσεται τὴν χρόαν αἰτιώμενος τῆς ἀπεψίας, πρὶν δεῖξαι κατὰ τοῦτ᾽ ἐνερ-

ſimile et huic de coloribus citra ullam demonſtrationem adhibitam quidvis pronunciare et tibi de exiguorum meatuum verbi gratia ſymmetria, aut alio quolibet affectu, non, arbitror, jure ridebis; nam aut in tete riſum verte, aut nec in alterum. Nam eſto, impudens ſit qui cauſam minus probe concoquendi colori imputet dicatque quod quoniam ex naturali colore ventriculus ruber eſt, nunc vero redditus eſt plane albus, idcirco cruditate laboret eſt neceſſe. Libens ſane audiam, quid tu contra hunc objicias. Ego enim aliam rationem non invenio, quam ut jubeam qui ita dicet prius oſtendat, an omnino propter colorem ſecundum naturam actionem ventriculus edat. Tu ſi quam aliam habeas, libenter audiam. Sed nec habes nec habere aliam contradicendi rationem potes contra eum, qui colorem cruditatis ventriculi cauſam eſſe dicit, quam exigere ut doceat quomodo ex naturali colore conſequutus ſit ut concoqueret ventriculus. An igitur huic qui colori cruditatis cauſam imputat fides non adhibebitur antequam doceat etiam hoc nomine agere

γοῦσαν αὐτὴν, σὺ δ᾽ ἤτοι τὴν ἀμετρίαν λέγων τῶν πόρων ἢ ὁτιοῦν ἄλλο πιστευθήσῃ πρὸ τοῦ δεῖξαι πῶς ἐνεργεῖ κατὰ τὴν ἐν ἐκείνῳ τῷ γένει συμμετρίαν; ἀλλ᾽ οὐδὲ τοῦτο λέγω, φησὶν, οὐδ᾽ ἄλλο τι τὸ προσεχὲς τῆς πέψεως αἴτιον, ἀλλ᾽ ὅλως ἀγνοεῖν ὁμολογῶ. καὶ μὴν εἰ τῷ μὲν τὴν χρόαν αἰτιωμένῳ τῆς ἐνεργείας ἀναγκαῖόν ἐστι καὶ τῆς βλάβης αἰτιᾶσθαι, τῷ δὲ τὴν συμμετρίαν τῶν πόρων, καὶ τούτῳ τὴν ἀμετρίαν τῶν αὐτῶν τούτων πόρων· καὶ τῷ τὴν εὐκρασίαν τῶν τεττάρων ποιοτήτων, θερμότητος καὶ ψυχρότητος καὶ ὑγρότητος καὶ ξηρότητος, καὶ τούτῳ τὴν δυσκρασίαν τῶν αὐτῶν· ἀναγκαῖον ἔσται καὶ σοὶ τὸ κατὰ φύσιν ὑποθεμένῳ πρότερον, οὕτως ἐξευρεῖν τὸ παρὰ φύσιν, εἰ δὲ μὴ γινώσκεις τὸ κατὰ φύσιν, οὐδὲ τὸ παρὰ φύσιν οἶσθα· καὶ γὰρ δὴ καὶ ὑμῶν αὐτῶν ἀκούω λεγόντων πρὸς τοὺς ἐμπειρικοὺς ἰατροὺς ὡς οὐκ ἐνδέχεται γνῶναι τὸ παρὰ φύσιν, εἰ μὴ πρότερον εἰδείη τις τὸ κατὰ φύσιν. ἀλλὰ γιγνώσκω, φησὶ, τὸ κατὰ φύσιν· ἆρά γε σύμπαν, ἢ μέρος αὐτοῦ

ventriculum? tu quum vel tenuium meatuum ametriae, vel alii cupiam hanc afcribas, credi tibi poftulabis priusquam doceas quo pacto ex fymmetria in illo genere agat? At non hoc ajo, inquit, nec aliud quicquam effe concoctionis continentem caufam, fed prorfus id ignorare me fateor. Atqui fi ei qui colori actionis caufam tribuit, neceffe eft etiam eidem laefionem actionis imputet, qui vero tenuium meatuum fymmetriam *actionis caufam dicit,* etiam horum ipforum pororum ametriam eandem vitiare fateatur, tum qui temperamento quatuor qualitatum, caloris, frigoris, humoris et ficcitatis *actionis caufam affignat*, etiam eorundem ipforum intemperiei *laefionem ejus afcribat*, utique et tibi neceffe erit eo quod fecundum naturam eft prius fuppofito, ita qued praeter naturam eft inquirere, aut fi ipfum quod fecundum naturam eft non nofti, nec quod praeter naturam eft nofti. Etenim vos etiam ipfos audio contra empiricos medicos dicere, fieri non poffe ut qui id quod fecundum naturam fit non norit, dignofcere id quod praeter naturam fit poffit. At nofco, inquit, quod fecundum naturam fe

τι; καὶ τουτὶ τὸ μέρος ὃ γινώσκεις ἆρά γε τὸ τῆς ἐνεργείας ἐστὶν αἴτιον, ἢ ἄλλως ὑπάρχει τῇ γαστρί; τί γὰρ δὴ καὶ γινώσκεις; αὐτῆς θέσιν δηλαδὴ καὶ μέγεθος καὶ πλοκὴν καὶ διάπλασιν· [35] ἀλλ᾽ οὐδὲν τούτων ἐστὶ τῆς ἐνεργείας αἴτιον. ἀλλ᾽ οὐδὲ ἀγνοεῖταί τι τούτων τοῖς ἐμπειρικοῖς, ὁμολογοῦσί τε γὰρ χρῆσθαι τῇ κατὰ περίπτωσιν ἀνατομῇ καὶ ταῦτ᾽ ἐξ ἐκείνης μανθάνειν, οὐ μὴν ἐνεργείας τε καὶ χρείας μορίων. ἀλλ᾽ οἶδα, φησὶ, καὶ τὴν ἐνέργειαν· ἔστι γὰρ περιστολὴ καὶ τρίψις. ἀλλ᾽ εἰ μὴ τὴν αἰτίαν εἰδείης αὐτῆς, οὐκ εἴσῃ τὴν νόσον· εἰ γὰρ ἡ εὐκρασία τῶν τεττάρων ποιοτήτων αἰτία τῆς ἐνεργείας ἐστὶν, ἡ δυσκρασία πάντως τῆς βλάβης αἰτία ἔσται· σὺ δ᾽ οἴει φλεγμονὴν καὶ σκίῤῥον, οἴδημά τε καὶ ἀπόστημα, καὶ τἄλλα ὅσα τοῖς ὀφθαλμοῖς ἰδεῖν ἔστι, μόνα τῆς γαστρὸς εἶναι παθήματα· καίτοι γ᾽ οὐδὲ ταῦτα τοῖς ἐμπειρικοῖς ὁμοίως ὀφθαλμοῖς μόνοις καὶ χερσὶ καὶ ταῖς ἄλλαις αἰσθήσεσι καταμανθάνεις, ἀλλ᾽ ἐπὶ τὴν οὐσίαν αὐτῶν ἀνέρχεσθαι πειρᾷ, καὶ ταύτην ἐξευρίσκειν ἀκριβῶς, οὐκ ἀρκούμενος τοῖς φαινομένοις αἰσθήσει συμπτώμασιν, ἃ τοῖς ἐμπειρικοῖς ὁρίζει τι καὶ

habet. Quaero totumne an partem ejus aliquam? atque pars ipfa quam nofti, eftne actionis ipfius caufa, an ventriculo ineft otiofe? Nam quid demum ejus nofti? fitum videlicet et magnitudinem et texturam et conformationem. At nihil horum actionis eft caufa. Sed nec empiricos horum quicquam latet, quippe qui et fe partium diffectione, quum occafio hanc offert, uti fatentur et ex illa fe haec intelligere, non tamen actiones ufusque partium. At novi, inquit, et actionem, eft enim circumplexus et attritio. At nifi caufam ejus noveris, nec morbum intellexeris. Nam fi quatuor qualitatum temperies actionis fit caufa, earum intemperies omnino laefionis caufa erit. Tu vero reris phlegmonen et fcirrhum et oedema et abfceffum et alia quae oculis ufurpari poffunt, folos effe ventriculi morbos, quamvis ne haec ipfa quidem veluti empirici folis oculis, manibus et reliquis fenfibus apprehendas, fed ad ipfam effentiam eorum tentas afcendere atque hanc diligenter disquirere, videlicet non contentus iis fymptomatis quae fenfui apparent, quae tamen fympto-

περιγράφει τὴν συνδρομήν· οὕτω γὰρ ἀξιοῦσιν ὀνομάζειν αὐτοὶ τὸ τῶν συμπτωμάτων ἄθροισμα τῶν ὑπαρχόντων τῷ πεπονθότι τόπῳ. καὶ τὴν ἔνδειξίν γε τῆς θεραπείας οὐκ ἐκ τῶν φαινομένων λαμβάνεις συμπτωμάτων· οὐδὲ γὰρ εἰ παρὰ φύσιν ὄγκος, οὐδ᾽ εἰ ἀντίτυπος, οὐδ᾽ εἰ ὀδυνηρὸς, οὐδ᾽ εἰ ἐρυθρὸς, ἀλλ᾽ εἰ σφήνωσις ἐν τοῖς πέρασι τῶν ἀρτηριῶν ἐπὶ παρεμπτώσει σκοπεῖς καὶ τὴν θεραπείαν, ὡς αὐτὸς ἔφης, πρὸς τοῦτ᾽ ἀναφέρων ἐξευρίσκεις. ἦ γὰρ οὐχ οὗτος ὁ Ἐρασιστράτου τρόπος τῆς διδασκαλίας ἐν τοῖς περὶ πυρετῶν, ὥσπερ αὖ Διοκλέους μὲν ἕτερος, Πραξαγόρου δ᾽ ἄλλος, Ἀσκληπιάδου δ᾽ ἄλλος; ὥστ᾽ οὐκ ἀπὸ τῶν περὶ τὸ φλεγμαῖνον μέρος φαινομένων συμπτωμάτων ἡ ἔνδειξις αὐτοῖς γίγνεται τῶν βοηθημάτων, ἀλλ᾽ ἀπὸ τῆς οὐσίας αὐτῆς· οὐ γὰρ εἰ παρὰ φύσιν ὄγκος, οὐδ᾽ εἰ ἀντίτυπος, οὐδ᾽ εἰ πόνος σφυγμώδης, ἀλλ᾽ εἰ παρέμπτωσίς τε καὶ σφήνωσις ἐν τοῖς ἐσχάτοις τῶν ἀρτηριῶν, ἢ ἔμφραξις ἐν τοῖς πέρασι τῶν φλεβῶν, ἢ σῆψίς τις τῶν χυμῶν, ἢ λόγῳ θεωρητῶν ὄγκων ἔντασις, ἐν λόγῳ θεωρητοῖς ἀραιώμασιν ἐπισκοποῦνται. ὥστε ἑκα-

mata empiricis definiunt ac circumfcribunt fuam fyndromen, fic enim ipfi appellandam cenfent fymptomatum congeriem quae in affecto funt loco. Sed nec curationis indicationem ex apparentibus fymptomatis accipis. Non enim an tumor praeter naturam, nec an renitens, nec an cum dolore, nec an ruber, fed an fit in finibus arteriarum impactio, ex paremptofi, *obreptione feu coincidentia*, confideras, ac curationem, ut ipfe fateris, ad hoc referens exploras. An non ea eft Erafiftrati docendi ratio, ubi de febribus agit, ficuti rurfus alia Dioclis, alia Praxagorae, alia Asclepiadis? Itaque non a fymptomatis, quae in phlegmones apparent loco, indicatio praefidii his fumitur, fed ab ipfa fubftantia. Neque enim an tumor praeter naturam, neque an renitentia, neque an dolor pulfatorius, fed an coincidentia et impactio in finibus arteriarum, aut obftructio in finibus venarum, aut putredo aliqua humorum, aut corpufculorum ratione contemplabilium in laxitatibus aeque ratione fpeculabilibus intentio fit, aefti-

Ed. Chart. X. [35.] Ed. Baſ. IV. (50. 51.)

στος τούτων ἀπὸ τῶν τῆς διαθέσεως τοῦ φλεγμαίνοντος μέρους, οὐκ ἀπὸ τῶν ἑπομένων αὐτῇ συμπτωμάτων ἔνδειξιν τῶν βοηθημάτων λαμβάνει. κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον καὶ ὅστις αἰτιᾶται τὸ θερμὸν καὶ ψυχρὸν καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρόν· ἀλλ᾽ οὗτος μὲν εἰ καὶ χωρὶς φλεγμονῆς, ἢ ἕλκους, ἢ ἀποστήματος, ἤ τινος ἑτέρου τοιούτου, μόνῳ τῷ ψυχρὰ γεγονέναι μὴ πέττοι καλῶς ἡ γαστὴρ, εὐπορεῖ τῶν βοηθημάτων· οἱ δὲ τὰς φλεγμονὰς καὶ τοὺς σκίῤῥους καὶ τἄλλα ὅσα τοῖς ὀφθαλμοῖς ἔστι θεάσασθαι μόνα νομίζοντες εἶναι νοσήματα, γελοίως πάνυ τὰς χωρὶς τούτων ἀπεψίας ἀτονίᾳ τῆς κοιλίας γίγνεσθαί φασιν, ὥσπερ διάθεσίν τινα λέγοντες τὴν ἀτονίαν ἰδίαν ἐξαίρετον, ἀλλ᾽ οὐχ ὥςπερ καὶ τοῖς ἐκπυϊσκομένοις τε καὶ σκιῤῥουμένοις καὶ φλεγμαίνουσι καὶ ἄλλως ὁπωσοῦν πεπονθόσιν ὑπάρχειν. πάντα γὰρ ταῦτα τὰ πάθη, κἂν ἐν γαστρὶ κἂν ἐν ἥπατι κἂν ἐν θώρακι κἂν ἐν ὁτῳδήποτε γένηται, παραχρῆμα τὸ μέρος ἀτονώ(51)τερον ἐργάζεται περὶ τὴν ἰδίαν ἐνέργειαν· ἀλλ᾽ οὐ τοῦτ᾽ ἄῤ ἦν αὔταρκες αὐτοῖς εἰς τὴν τῶν βοηθημάτων ἔνδειξιν, ἢ μάτην ζητοῦσι τὰς δια-

mant. Quare hi omnes ab affectu phlegmone laborantis partis, non a ſymptomatis quae hanc ſequuntur praeſidiorum indicationem ſumunt. Ad eundem, arbitror, modum et ſi quis calidum, frigidum humidum et ſiccum cauſatur. Verum hic etiam ſi ventriculus citra phlegmonen, aut ulcus, aut abſceſſum, aut aliud id genus, eo tantum quod frigidior evaſerit, non recte concoquat, tamen remediis non deſtituitur. At qui phlegmonas, ſcirrhos, aliaque quae oculis videre licet, tantum eſſe morbos putant, ridicule plane cruditates quae ſine iis fiunt ex imbecillitate ventriculi incidere dicunt, ceu affectum aliquem privatum ſejunctumque imbecillitatem eſſe velint, non autem velut in ſuppurantibus, aut ſcirrho, aut phlegmone affectis, aut alia quavis ratione laborantibus ineſſe. Quippe omnes hac affectiones ſive in ventriculo, ſive in jecinore, ſive in thorace, ſive in alio quovis accidant, illico partem in qua ſunt ad propriam functionem edendam imbecilliorem reddunt. Sed id non ſatis illis erat ad indicationem remediorum, alioqui fruſtra

θέσεις, ἀλλ᾿ ἐπ᾿ αὐτὴν ἀνέρχονται τὴν οὐσίαν τοῦ νοσήματος, ὡς οὐκ ἐνὸν ἄλλως εὐπορῆσαι τῆς προσηκούσης ἰάσεως. οὔκουν ἔτι τὸν ἔλεγχον ἐξ ἡμῶν ἀναμένουσιν, ἀλλ᾿ αὐτοὶ σφᾶς αὐτοὺς ἐξελέγχουσιν οἱ τὴν ἀτονίαν εἶναι λέγοντες τὸ πάθος, ἐν οἷς οὐδὲν ὧν ἐκεῖνοι παθῶν ὡρίσαντο πεπονθυίας τῆς γαστρὸς ἀπεπτεῖ τὸ ζῶον. οὔτε γὰρ ἴδιον, ἀλλὰ κοινὸν ἁπάντων λέγουσι, [36] καὶ τὴν θεραπείαν οὐδὲ κατ᾿ αὐτοὺς ἐκείνους δυνάμενον ἐνδείξασθαι εὐλόγως. ὄνομα γάρ ἐστι ψιλὸν τὸ ῥωννύναι τὴν ἀτονίαν, καὶ οἷον σκοπὸς μᾶλλον, οὐ θεραπεία. τί γὰρ χρὴ ποιοῦντας ῥώμην ἐντιθέναι τοῖς ἀῤῥωστοῦσι περὶ τὴν ἐνέργειαν οὐ λέγουσιν. ἐν τούτῳ δ᾿ ἦν ἡ θεραπεία. καὶ χωρὶς τοῦ τὴν διάθεσιν εὑρεθῆναι τῆς γαστρὸς εὐπορῆσαι βοηθημάτων ἀδύνατον· εἰ μὲν γὰρ ἔψυκται, θερμαντέον, εἰ δ᾿ ὕγρανται, ξηραντέον· ὡσαύτως δὲ καὶ εἰ μὲν ἀμέτρως τεθέρμανται, ψυκτέον, εἰ δ᾿ ἐξήρανται, ὑγραντέον. οὗτοι μὲν ἁπλοῖ τρόποι τῆς ἰάσεως τέτταρες. ἕτεροι δὲ τέτταρες σύνθετοι, εἰ μὲν ψυχροτέρα καὶ ξηροτέρα τὴν κρᾶσιν ἡ γαστὴρ ἐγένετο, θερμαντέον τ᾿ ἐστὶ

inquirunt affectus, fed ad ipfam morbi effentiam fubeunt, tanquam non aliter detur idonei compotes effe remedii. Non igitur qui imbecillitatem pathos effe dicunt, ubi nullo ex iis quae ipfi morbos definiunt affecto ventriculo animal cruditate laborat, ii dum a nobis refellantur expectant, fed ipfi fe ipfos redarguunt, quum non proprium aliquod, fed commune omnium dicant, quodque nec illis ipfis judicibus, remediorum inventionem indicare facile poffit. Quippe illud, roborare imbecillitatem, nomen nudum ac veluti fcopus potius eft, non curatio. Nam quid faciendo iis qui invalidi ad actionem funt robur vindices non dicunt, at in hoc curatio confiftebat, et nifi ventriculi affectu invento, ut remediorum fis compos fieri non poteft. Quippe fi refrixerit, calfaciendus eft, fi humentior effectus, ficcandus eft, pari modo fi immodice incaluit, refrigerandus eft, fi ficcatus, humectandus eft. Atque hae quatuor fimplices curationis rationes funt. Alterae quatuor compofitae funt. Si frigidiore et ficciore temperamento redditus ventriculus eft, cal-

καὶ ὑγραντέον αὐτήν· εἰ δὲ ὑγροτέρα καὶ θερμοτέρα, ξηραντέον τέ ἐστι καὶ ψυκτέον· οὕτω δὲ καὶ εἰ μὲν θερμοτέρα τε καὶ ξηροτέρα, ψυκτέον τε καὶ ὑγραντέον, εἰ δ᾽ ὑγροτέρα τε καὶ ψυχροτέρα, ξηραντέον τε καὶ θερμαντέον· ὥστε καὶ αἱ διαθέσεις ὀκτὼ τῆς γαστρὸς, αὐτῆς, ὡς ἐκεῖνοι λέγουσιν, ἀτονίας αἰτίαι, καὶ οἱ τρόποι τῆς ἰάσεως ὀκτώ.

Κεφ. έ. Καὶ οὐκ ἐγχωρεῖ λέγειν οὐδενὶ τῶν δογματιζόντων ὁμοίως τοῖς ἐμπειρικοῖς ὡς οὐδὲν δέοιντο γιγνώσκειν, εἴθ᾽ ὑπάρχουσιν, εἴτε μή· τελέως γὰρ ἀνατρέψουσι τὴν λογικὴν αἵρεσιν, ὁμολογήσαντες εὐπορεῖν μὲν τῆς θεραπείας, ἀγνοεῖν δὲ τὴν διάθεσιν· ἐκ πείρας γὰρ δήπου πάντες εὐπορήσουσι τῆς ἰάσεως, εἴπερ μὴ ἐκ τῆς τοῦ πράγματος αὐτοῦ φύσεως ἔνδειξιν ἔλαβον. οἱ μὲν οὖν ἐμπειρικοὶ καὶ τῷ μὴ δύνασθαι νομίζειν εὑρεθῆναί τι τῶν ἀδήλων, καὶ τῷ μὴ δεῖσθαι, κἂν εὑρεθῇ, τετηρῆσθαι γὰρ αὐτοῖς τὰς θεραπείας ἐπὶ ταῖς φαινομέναις συνδρομαῖς, εὐλόγος οὔτε γιγνώσκειν φασὶν εἰ ὀκτὼ διαθέσεις εἰσὶ καθ᾽ ἃς ἡ γαστὴρ ἀτονεῖ, καὶ

faciendus fimul humectandusque eft. Sin humidior et calidior jufto evafit, ficcandus ac refrigerandus eft. Pari modo fi calidior ac ficcior eft effectus, tum refrigerandus tum humectandus eft. Sin humidior ac frigidior, ficcandus ac calfaciendus eft. Quare et octo funt ipfius ventriculi affectus, qui funt caufae ipfius, ut ipfi dicunt, imbecillitatis, tum octo medendi rationes.

Cap. V. Neque ficut empiricis, fic ulli dogmaticorum dicere licet, fint haec an non fint, nihil effe opus intelligere. Funditus namque logicam fectam fubvertent, fi ignorato affectu, curationis tamen facultatem abunde fibi fupereffe dicant. Etenim ab ipfa experientia omnes quomodo curandum fit, intelligent, fi modo ab ipfius rei natura indicationem non fumpferint. Ac empirici quidem et quod invenire poffe non putent quicquam eorum quae abftrufa funt, et quod id etiamfi inventum fit non defiderent, quippe obfervatas a fe effe curationes in apparentibus concurfibus, merito nec fcire fe an octo affectus fint quibus ventriculus imbecillus fit ajunt, et citra ejusmodi fupervacuam cu-

χωρὶς τῆς τοιαύτης περιεργίας εὐπορεῖν τῶν ἰαμάτων· οἱ δὲ καὶ τὸν λόγον ὁμολογοῦντες ἔχειν, ᾧ καὶ περὶ τῶν ἀδήλων διασκέπτονται, καὶ τὴν εὕρεσιν αὐτῶν ἔνδειξιν ἰαμάτων παρέχεσθαι φάσκοντες, οὐκ οἶδ᾽ ὅπως οὐκ αἰδοῦνται λέγοντές ἢ μὴ γινώσκειν εἰ ὑπάρχουσιν αἱ ὀκτὼ διαθέσεις, ἢ μὴ δεῖσθαι πρὸς τὰς ἰάσεις αὐτῶν. οὐ γὰρ τοῦτ᾽ ἀπόχρη μόνον εἰπεῖν, ὡς οὐκ ἴσασιν, ἀλλ᾽ ἐξελέγξαι προσήκει τοὺς εἰδέναι φάσκοντας, ὡς οὐκ ἀληθεύουσιν· ἄχρι δ᾽ ἂν μήτ᾽ αὐτοὶ τοῦτο ποιῶσιν, ἕτεροί τε πολλὰς ἀποδείξεις λέγωσι τοῦ πᾶν σῶμα διὰ τὴν ἐκ τῶν τεττάρων ποιὰν κρᾶσιν ἐνεργεῖν, εὐλογώτερον ἐκείνοις πιστεύειν, εἰ μή τι ἄρα προφάσεις ψιλὰς λέγοντες ἀξιώσουσι πιστότεροι τῶν τὰς ἀποδείξεις λεγόντων εἶναι. καὶ μὴν ἐκεῖνοι μὲν εἰ καὶ μηδὲν ἄλλο, πείθειν γοῦν καὶ διδάσκειν τοὺς ἀκροατὰς, οὐ βιάζεσθαι καὶ προστάττειν ἐπιχειροῦσιν· οὗτοι δ᾽ αὖ τοὐναντίον ὡς τύραννοι κελεύουσι μὴ ζητεῖν τῆς ἐνεργείας τὴν αἰτίαν. ἀλλ᾽ ἡμεῖς μὲν καὶ Διονύσιον καὶ Φάλαριν καὶ τοὺς ἄλλους τυράννους διὰ τοῦτο μισοῦμεν, ὅτι κελεύουσι καὶ προστάττουσιν, οὐ πείθουσι καὶ δι-

riofitatem remediis fe abundare. Qui vero et rationem fe habere profitentur, cujus ope etiam abftrufa inquirant et ipforum inventionem praefidiorum praeftare indicationem dicunt, hos quomodo non pudeat dicere, aut non noffe fe an octo affectus fint, aut eos ad medendum fe non requirere? Neque enim id tantum dicere fatis eft, non noffe fe, fed refellere par eft eos, qui fe fcire affirmant, ceu parum vera profeffos. Quoad vero nec ipfi id faciunt, aliique non paucis demonftrationibus confirmant, omne corpus pro certo quatuor qualitatum temperamento opus fuum edere rationabilius eft illis accedere, nifi forte qui nuda afferunt verba plus fibi credi poftulabunt quam qui cum demonftrationum fide loquuntur. Atqui illi fi non aliud, faltem fuadere ac docere auditorem ftudent, non cogere jubereque, hi rurfum contra tyrannorum ritu jubent ne quaeramus actionis caufam. Verum nos hoc nomine Dionyfium, Phalarim caeterosque tyrannos odio profequimur, quod jubeant impe-

δάσκουσιν, ὡς Σόλων καὶ Δράκων καὶ Λυκοῦργος. ἀλλ' ἐγὼ, φησὶ, ἐν τοῖς ὅροις μένω τῆς τέχνης, ὑμεῖς δὲ ἀποχωρεῖτε, [37] καὶ πρὸς τὰς ἄλλας ἀρχὰς ἡμᾶς ἀνάγειν ἐπιχειρεῖτε τῆς φυσικῆς θεωρίας. εἶτα οὐκ ἀποδείξεις, ὦ γενναιότατε, κἂν αὐτὸ τοῦτο, τίνες εἰσὶν οἱ ὅροι τῆς ἰατρικῆς θεωρίας καὶ τίνα χρὴ γινώσκειν τὸν μέλλοντα λόγῳ ποιήσασθαι τὴν εὕρεσιν τῶν βοηθημάτων, ἀλλὰ μορμολυξάμενος οἴει καταπλήξειν ἡμᾶς; ἀκούω καὶ σοῦ λέγοντος ὡς οὐ χρὴ σκοπεῖσθαι τῆς ἐνεργείας τὴν αἰτίαν· ἀκούω δὲ καὶ τῶν ἐμπειρικῶν ὡς οὐδὲ τὰς ἐνεργείας αὐτὰς ἐπισκέπτεσθαι προσῆκεν· ἀκούω δὲ καὶ τοῦ λέγοντος ὡς οὐ μόνον ἐπισκεπτέον εἶναι δεῖ αὐτὰς, ἀλλὰ καὶ τὰς αἰτίας ὑφ' ὧν γίγνονται ζητητέον. ἆρ' οὖν κελεύεις με γίνεσθαι τῶν ἀδίκων κριτῶν, οἳ μὴ περιμείναντες ἁπάντων ἀκοῦσαι τῶν ἀμφισβητούντων ἀλλήλοις, ἐπιφέροντες ἔδοσαν τὴν ψῆφον; ἢ πρῶτον μὲν ἀκοῦσαι τοὺς λόγους ὑμῶν ἑκάστου καταμόνας, εἶτ' ἀλλήλοις παραβαλεῖν καὶ διασκέψασθαι τίς ἑαυτῷ τε καὶ τοῖς φαινομένοις ὁμολογεῖ καὶ τίς οὔτε τοῖς φαινομένοις οὔθ' ἑαυτῷ; καὶ μὴν εἰ τοῦτο

rentque, non fuadeant ac doceant, ficut Solon, Draco et Lycurgus. At, inquit, ego intra limites artis maneo, vos et ab iis exceditis et ad alia naturalis philofophiae principia nos reducere conamini. An igitur, homo lepidiffime, ne hoc quidem ipfum demonftrabis, quinam videlicet medicinae artis fint limites, quaeque noviffe expediat ei qui ratione remediorum inventionem molietur, fed terrifico vultu tuo nos reddere attonitos putas? Audio quidem et te illud dicere, non oportere actionis inquiri caufam, audio et empiricos dicere nec actiones ipfas effe confiderandas, audio non minus illum qui dicit non tantum has effe aeftimandas, fed etiam caufas unde nafcantur quaerendas. Non igitur ex eo effe me iniquorum judicum numero jubes, qui priusquam omnes qui inter fe diffident audierint, uni ftatim ferunt fuffragium? An primum quae veftrum quisque dicat feorfum audire *vis*, dein conferre atque perpendere, quis tum fibi tum apparentibus confentiat, quis rurfus nec fecum nec cum iis quae apparent? Atqui fi ita

Ed. Chart. X. [37.] Ed. Baf. IV. (51.)

ποιήσαιμι, τῶν μὲν ἐμπειρικῶν ἀκούσαιμι κἂν παραμυθεῖσθαι γοῦν πειρωμένων ἃ λέγουσιν, εἰ καὶ μὴ βεβαίως ἀποδεικνύουσιν· ὑμῶν δ᾽ οὐδὲ τοῦτο. τίς γὰρ ἢ παραμυθίαν ὑμῶν, ἢ ἀπόδειξιν εἰπεῖν ἐπεχείρησεν ἡδέως ἂν ἀκούσαιμι, δι᾽ ἣν οὐ χρὴ ζητεῖν τῆς ἐνεργείας τὴν αἰτίαν; ἡ μὲν γὰρ ἔμπροσθεν ὑπ᾽ ἐμοῦ ῥηθεῖσα μέθοδος ἀπέδειξεν ὡς δεῖ ζητεῖν· ὑμεῖς δ᾽ οὔτ᾽ ἀπόδειξιν οὐδεμίαν οὔτε λόγον οὐδένα πιθανὸν ἐπεχειρήσατε εἰπεῖν, ἀλλ᾽ ἀνατείναντες τὰς ὀφροῦς ἐπιτιμᾶτε μόνον ἡμῖν σεμνῶς, ἀποχωρεῖν τῆς ἄκρας φυσιολογίας κελεύοντες καὶ μὴ ζητεῖν οὕτω φύσιν ἀνθρώπου καταμαθεῖν ὡς οἱ φιλόσοφοι καταμανθάνουσιν, ἄχρι τῶν πρώτων στοιχείων ἀνιόντες τῷ λόγῳ καὶ τοῦτο ὑμῖν ἀπόχρη μόνον εἰπεῖν, ὡς ἀρτηρίαν καὶ φλέβα καὶ νεῦρον ἀρχὰς προσεχεῖς καὶ οἷον στοιχεῖα χρὴ τίθεσθαι τῆς περὶ τὸν ἄνθρωπον φυσιολογίας. καί τις ἐπήνεσεν ἐν τούτῳ τὸν Ἡρόφιλον εἰπόντα κατὰ λέξιν οὕτως· ἔστω ταῦτα εἶναι πρῶτα, εἰ καὶ μή ἐστι πρῶτα. τὸν δ᾽ εἰς ἀπόδειξιν προκαλούμενον ἐξελέγχοντά τε τὰς ὑποθέσεις τῶν ταῦτα δοξαζόντων ἑαυταῖς μαχομένας ἀπωθεῖσθε καὶ φεύγετε

faciam, empiricos audiam, etſi quae dicunt ſtabiliter non demonſtrent, ſaltem ea lenire conantes, vos ne id quidem *facitis*, nam ſane libenter audierim quis veſtrum vel lenimen aliquod, vel demonſtrationem aliquam afferre conatus eſt, cur actionis cauſam inquiri non expediat. Quae enim a me methodus ſupra eſt poſita, inquirendum eſſe demonſtravit. Vos nec demonſtrationem ullam nec rationem ullam probabilem afferre conamini, ſed tantum elato ſupercilio tetrice nos objurgatis, abſcedere a ſumma phyſiologia jubentes, nec ſic quaerere hominis naturam intelligere, ut philoſophi faciunt, qui ad prima usque elementa ratione aſcendunt, illudque vobis dixiſſe ſatis eſſe, arteriam et venam et nervum principia continentia et veluti elementa ejus phyſiologiae quae de homine inſtituitur ponenda eſſe. In quo quidam Herophilum laudavit, quod ita ad verbum dixerit: *Eſto haec prima eſſe, tametſi prima non ſint.* Sed qui ad demonſtrationem provocat ac hypotheſes illorum qui ſic opinantur pugnare ſecum oſtendit, hunc averſa-

καὶ τὴν ἀρχὴν οὐδὲ παρέχετε τὰ ὦτα καὶ καταφρονεῖν προσποιεῖσθε καὶ μισολόγοι γίγνεσθε νῦν, οἱ τὸν λόγον καὶ τὴν ἀπόδειξιν ἐπανατεινόμενοι τοῖς ἐμπειρικοῖς. ὅτι γὰρ ἑαυτοῖς οἱ λόγοι διαφέρονται ἁπάντων τῶν ἐξ ἡμίσεος δογματιζόντων, εὐφωρότατόν ἐστι τοῦτο τῷ κἂν βραχὺ γεγυμνασμένῳ κατὰ τὰς ἀποδεικτικὰς μεθόδους. ἐπειδὰν μὲν γὰρ φλεγμαίνῃ γαστὴρ καὶ διὰ τοῦτο πέττειν ἀῤῥωστῇ, τίς ἡ τῆς φλεγμονῆς ἐστιν αἰτία ζητεῖν δικαιοῦσι, κἀντεῦθεν εὐποροῦσι τῶν ἰαμάτων, ἀποχωροῦντες τῆς ἐμπειρικῆς εὑρέσεως· ἐπειδὰν δὲ χωρὶς φλεγμονῆς, ἢ τοιούτου τινὸς ἄλλου παθήματος, ὑπὸ δυσκρασίας μόνης ἀῤῥωστῇ πέττειν, ἐνταῦθα πάλιν ἐκ τῆς ἐμπειρίας αὐτῆς ἡ τῶν βοηθημάτων εὐπορία. καὶ μὴν ἀλλήλοις μὲν ταῦτα μάχεται, τὰ δὲ τῶν ἐμπειρικῶν ὁμολογεῖ, καὶ ἀποδείκνυσί τε καὶ περαίνει τὸ σφέτερον ἐξ ὧν αὐτοὶ ὑμεῖς συγχωρεῖτε λημμάτων. εἰ γὰρ ὅλως δυνατόν ἐστιν ἐπὶ φαινομένοις συμπτώμασι τετηρῆσθαι θεραπείαν, ἀγνοουμένης τῆς διαθέσεως, οὐκ ἐπὶ μὲν τῆσδε δυνατὸν, ἐφ᾽ ἑτέρας δ᾽ ἀδύνατον, ἀλλ᾽ ἐπὶ πασῶν ὁμοίως ἔσται δυνατόν. τοιγαροῦν

mini ac fugitis prorfusque non auditis et contemnere fimulatis ibique rationem faftiditis, qui contra empiricos rationem demonftrationemque extollitis. Nam quod fecum diffideant rationes omnium qui ex dimidio dogmatizant, etiam iis qui tenuiter in demonftrandi methodo funt exercitati, facile perfpicere licet. Quum enim phlegmone ventriculus laborat atque inde adeo concoquere non valet, quaenam phlegmones caufa fit quaerendum cenfent, atque inde praefidiorum copiam conjectant, fpreta empiricorum inventione; quum vero citra phlegmonen, aliudve id genus vitium, folius intemperantiae culpa concoquere non valet, hic rurfus auxiliorum facultatem ab experientia petunt. Atqui haec fecum non inveniunt, quum empiricorum opinio fibi conftet, praeterea demonftret efficiatque quod volunt, ex iis quae vos ipfi non inficiamini, lemmatis. Quippe fi fieri ullo modo poteft, ut ex iis quae apparent fymptomatis curandi ratio conjectetur, ignorato affectu, utique non hic poffibile, in alio fuerit impoffibile, fed aeque in omnibus

οὐδ᾽ ἐνταῦθα λόγον οὐδένα λέγειν ἕξετε τοῦ μὴ τὴν ἐμπειρίαν αὐτάρκη γίγνεσθαι πρὸς τὴν τῶν βοηθημάτων εὐπορίαν, ἐφ᾽ οἷς τὴν διάθεσιν (52) εὑρεῖν ἀδυνατεῖτε. πάντα οὖν ὡς [38] τύραννοι προστάττετε, χρῆσθαι δ᾽ ἀποδείξεσιν οὔτ᾽ αὐτοὶ βούλεσθε, βέλτιον γὰρ ἴσως εἰπεῖν τοῦτο τοῦ μὴ δύνασθαι, καὶ τοῖς βουλομένοις τε ἅμα καὶ δυναμένοις οὐχ ἕπεσθε. τί ποτ᾽ οὖν ἄλλο εἰσὶν ὑμᾶν οἱ λόγοι πλὴν ἔρις καὶ φιλονεικία καὶ πρόκλησις εἰς λοιδορίας καὶ μάχας, οἵας καὶ τῶν ὑμετέρων διδασκάλων τις ἐποιεῖτο διὰ παντὸς, ἢ καταγελῶν εἴ τις ἐφθέγξατο θερμὸν καὶ ψυχρὸν, ὡς βαλανεῦσι μᾶλλον, οὐκ ἰατροῖς προσηκόντων ὀνομάτων, ἢ σφοδρῶς ἐπιτιμῶν, ὡς ἀποχωροῦντι πόῤῥω τῆς ἰατρικῆς, ἢ τὴν Ἐρασιστράτου προχειριζόμενος ἀξιοπιστίαν. ἀλλὰ ταύτην μὲν πρῶτον ἀκούσας ἥσθην, δεύτερον δὲ καὶ τρίτον ἀκούων ἐμίσησα, βωμολοχίᾳ μᾶλλον, οὐκ ἰατρικῇ πρέπειν ἡγησάμενος. εἰ γὰρ ἅπαξ ἡ τῶν κελευσάντων μὴ προσωτέρω χωρεῖν ἀξιοπιστία μάρτυς ἱκανὴ πρὸς ἀπόδειξιν εἶναι νομισθήσεται, λῆρος ἤδη

poffibile erit. Ergo nec hoc quidem loco rationem ullam afferre poteritis, quo minus ubi affectum explorare nequitis, experientia ipfa fatis fit ad remediorum ubertatem. Omnia igitur ut tyranni imperatis, uti vero demonftrationibus nec ipfi vultis, praeftat enim id fortaffe dicere quam non poffe vos, nec iis qui uti tum volunt tum poffunt acceditis. Itaque quid aliud funt difceptationes veftrae quam lites et contentio et provocatio ad convitia et pugnas, cujusmodi praeceptorum veftrorum quidam perpetuo exercuit, aut irridens fi quis calidi vel frigidi mentionem faceret, tanquam balneatoribus magis quam medicis ea nomina convenirent, aut vehementar increpans, quafi longiffime a medendi arte digreffum, aut Erafiftrati gravem illam auctoritatem objiciens. Verum haec ut primo audita oblectabat, ita quum fecundo et tertio audivi, molefta fane fuit, ceu fcurris quam medicis magis congrua. Si enim femel auctoritas eorum qui ultra non effe procedendum jubent legitimus teftis effe ad demonftrationem putabitur, om-

μακρὸς ἔσται πάντα, καὶ πέρας οὐδὲν ἐν τοῖς διαλόγοις ἀλλ' ἢ τοῦθ' ὅπερ νῦν ὁρᾶτε γιγνόμενον, ἔχθρα καὶ μάχη καὶ λοιδορία. τοῖς γὰρ ἀποχωρήσασι μὲν τῶν λογικῶν ἀποδείξεων, ὅτι δ' Ἡρόφιλος οὕτως ἐκέλευσεν ἢ Ἐρασίστρατος, ἀξιοῦσι πιστεύειν, ἀνάγκη πᾶσαν λοιδορίαν καὶ μάχην ἀκολουθῆσαι, τὰ θαυμαστὰ τῶν νῦν διαλόγων ἆθλα. φέρε γὰρ ἑτέρου μέν τινος λέγοντος ὡς τῷδέ τινι τῷ μὴ πέπτοντι καλῶς ἡ γαστὴρ δύσκρατος ἐπὶ τὸ ξηρότερόν τε καὶ ψυχρότερον ἐγένετο, καὶ διὰ τοῦτ' αὐτὴν ὑγραντέον τ' ἐστὶ καὶ θερμαντέον, ἑτέρου δέ τινος, ἐκτροπῆς τοῦ κατὰ φύσιν ἐπὶ τὸ ψυχρότερόν τε καὶ ὑγρότερον ἀπεργασθείσης, θερμὰ καὶ ξηρὰ τὰ διαιτήματα προσφέρεσθαι συμβουλεύοντος· καὶ ἄλλος τις τρίτος παρελθὼν, ὡς μὲν οὐκ ὀρθῶς εἴρηται τῶν εἰρημένων ὁτιοῦν μηδ' ἐπιχειρήσειεν ἀντειπεῖν, μόνον δ' ἐπιτιμῶν ὡς περιττὰ ζητοῦσι, καὶ μάρτυρα τὸν Ἐρασίστρατον ἢ τὸν Ἡρόφιλον ἐπάγοιτο· πῶς οὐχ, ὅπερ ἔφην, ἀρχὴ διαφορᾶς ἐντεῦθεν ἔσται καὶ λοιδορίας τῆς πρὸς ἀλλήλοις; ἀνάγκη γὰρ δήπου κἀκείνους, Ἀθήναιον καὶ Μνησίθεον καὶ Διοκλέα καὶ Πλει-

nia jam merae nugae erunt, nec finis in difputatione ullus nifi qui nunc vifitur, inimicitia, pugna, convitium. Quippe qui a logicis demonftrationibus digreffi credi quippiam cenfent propterea quod Herophilus aut Erafiftratus ita juffit, hos neceffe eft omnis generis convitia pugnasque fequi, admiranda fcilicet difputationum quae nunc habentur praemia. Finge enim alius dicat, huic qui commode non concoquat, ventriculum frigidam et ficcam intemperiem contraxiffe proindeque humectandum ac calfaciendum effe; alius, quod flatus ejus fecundum naturam mutatus ad frigidiorem et humidiorem fit, calidum ficcumque victum adhibendum fuadeat; tertius autem quispiam accedens, quod quae comprehenfa funt, non recte fint dicta, id ne tentet quidem oftendere, fed tantum eos qui dixerint objurget, quafi fuperflua fcrutentur, et teftes adhibeat Erafiftratum vel Herophilum, nonne, ut dixi, diffidii hinc mutuique convitii initium excitabitur? Quippe illos contra neceffe eft Athenaeum et Mnefitheum et Dioclem et Pliftonicum et Hippocratem et

Ed. Chart. X. [38.] Ed. Baf. IV. (52.)

στόνικον, Ἱπποκράτην τε καὶ Φιλιστίωνα καὶ μυρίοις ἑτέρους τοιούτους ἐπικαλέσαθαι μάρτυρας. εἰ γὰρ δὴ κατὰ μάρτυρας χρὴ διαιρεῖσθαι τὸν λόγον, οὐ σμικρῷ τινὶ κρατήσουσιν· ὅτι τε γὰρ τῆς νοσώδους δυσκρασίας εἴδη πολλὰ καὶ ὅτι καθ' ἕκαστον ἡ θεραπεία διάφορος οὐχ Ἱπποκράτην μόνον, ἢ ἄλλους παμπόλλους ἰατροὺς, ἀλλὰ καὶ Πλάτωνα καὶ Ἀριστοτέλην καὶ Θεόφραστον καὶ Ζήνωνα καὶ Χρύσιππον, ἅπαντάς τε τοὺς ἐλλογίμους φιλοσόφους παρεχόμενοι μάρτυρας· ὅτι τε χωρὶς τοῦ τὴν φύσιν εὑρεθῆναι τοῦ σώματος ἀκριβῶς οὐχ οἷόν τ' ἐστὶν οὔτε περὶ νοσημάτων διαφορᾶς ἐξευρεῖν οὐδὲν οὔτε ἰαμάτων εὐπορῆσαι προσηκόντως, ἅπαντας πάλιν τοὺς νῦν εἰρημένους μοι φιλοσόφους τε καὶ ἰατροὺς, οὐ προστάττοντας μὰ Δί' ὡς οὗτοι δίκην τυράννων, ἀλλ' ἀποδεικνύντας παρέξονται. πρὸς ταῦτ' οὖν οἱ τὸ θερμὸν καὶ ψυχρὸν βαλανέων, οὐκ ἰατρῶν ὀνόματα φάσκοντες εἶναι βωμολοχεύσονται δηλονότι καὶ γελωτοποιήσουσιν, ἢ μωροὺς, ἢ Φρύγας, ἢ σχολαστικοὺς διηγούμενοι· συνίσασι γὰρ ἑαυτοῖς οὐ μόνον ἀποδεικτικὸν ἐπισταμένοις οὐδὲν, ἀλλ' οὐδ' ὅ τι

Philiftionem et fexcentos alios tales opponere teftes. Si enim teftibus decidenda lis erit, non medico hi vincent. Nam quod tum morbofae intemperiei multae fint fpecies tum cujusque earum diverfa curatio, ubi non Hippocratis modo et plurimorum aliorum medicorum, fed etiam Platonis, Ariftotelis, Theophrafti, Zenonis, Chryfippi et omnium illuftrium philofophorum teftimonio comprobarint, utique et quod citra naturam corporis exacte inventam fieri nequeat ut vel de morborum differentia quicquam invenias, vel auxiliorum convenientium copiae fis compos, iisdem ipfis tum philofophis tum medicis confirmabunt, hisque non tyrannorum ritu ficut ifti jubentibus, fed evidenti ratione probantibus. Contra haec igitur qui calidum et frigidum balneatorum dicunt effe vocabula, dicteriis videlicet utentur et rifus movebunt, moriones, Phrygas aut fcholafticos narrantes. Quippe confcii fibi funt non modo nihil demonftratione confirmatum fcire, fed nec quid demum demonftratio fit

ποτέ ἐστιν ἀπόδειξις ἐπαΐουσιν. ἐκ τούτων οὖν τῶν σκωμμάτων ἀνάγκη γενήσεσθαι διαφορᾶς ἀρχήν· ἵνα γὰρ τοῦ πρώτου πάντων ὧν οἱ χωρὶς ἀποδείξεως φλυαροῦντες οὐκ ὀκνοῦσι λέγειν ἐπιμνησθῶ, σκέψαι πῶς ἀναγκαῖόν ἐστιν ἀκολουθῆσαι μάχην αὐτῷ. [39] πρὸς γὰρ τὰς ἀναποδείκτους φάσεις αὐτῶν καὶ τοὺς ἀξιοπίστους μάρτυρας, ὅταν ἕτεροί τινες ἐνδοξοτέρους τε καὶ πολὺ πλείονας ἀντιπροτείνωνται μάρτυρας, ἀναγκαῖον ἢ συγχωρεῖν καὶ ἡττᾶσθαι κατ᾽ ἄμφω νενικημένους, ἔν τε τῷ μὴ συνακολουθῆσαι πρὸς τὴν ἀπόδειξιν κἀν τῷ κεκρατῆσθαι πρὸς τοῦ πλήθους τῶν μαρτύρων, ἢ ἀναισχυντήσαντας Ἐρασίστρατον ἁπάντων ἐκείνων τῶν μαρτύρων ἀποφαίνεσθαι πιστότερον. ἀνάγκη γὰρ ἐνταῦθα τὸν μὲν εἰπεῖν ὡς οὐκ ἦν πιστότερος οὔτε τῶν περὶ τὸν Ἱπποκράτην καὶ Μνησίθεον ἰατρῶν οὔτε τῶν περὶ τὸν Ἀριστοτέλη τε καὶ Πλάτωνα φιλοσόφων, τὸν δ᾽ ὡς ἀντειπεῖν· εἶτ᾽ ἄνω καὶ κάτω τῆς τοιαύτης ἀντιλογίας φερομένης οὕτως ἀπαίδευτά τε καὶ φιλόνεικα προαχθῆναι τὸν ἕτερον αὐτῶν εἰπεῖν ὡς οὐκ ἔσται οὕτω σοι καλῶς, ἢν Ἐρασίστρατον ἀτιμάζῃς. ταυτὶ γὰρ ὁρᾷς ἑκάστης ἡμέρας, ὦ Ἱέρων, γιγνόμενα κατὰ

intelligere. Ergo ex his dicteriis necesse est oriatur dissidii initium. Ut enim primum omnium memorem quae nugantes sine demonstratione dicere non dubitant, considera quo pacto necesse sit ex eo pugnam subsequi. Nam ubi contra dicta eorum demonstrationis expertia ac contra testes ipsos, quibus credendum censent, alii tum celebriores tum longe plures testes opponunt, necesse est vel cedere vincique utroque nomine, et quod demonstrare recusarint et quod numero testium sint impares, vel perfricta fronte Erasistratum omnibus illis testibus dicere majoris esse fidei. Siquidem hic necessum est alterum negare esse majoris fidei aut Hippocrate et Mnesitheo medicis, aut Aristotele et Platone philosophis, alterum esse majoris fidei instare, deinde varie ultro citroque tam immodesta contentiosaque contradictione jactata alterum eorum impelli ut dicat, non tibi sane ita bene erit, si Erasistratum negligas. Haec enim quotidie fieri in medicorum disputationibus, o Hiero, vides. Ea vero

τοὺς τῶν ἰατρῶν διαλόγους· τοιαύτης δ᾽ ἅπαξ ἀνοιχθείσης ὁδοῦ, πάντ᾽ ἐπιῤῥεῖ τὰ τῶν γυναικῶν ἤδη ῥήματα καὶ κακῶς εἰπόντες ἀλλήλους, οὐ διδάξαντές τι χρηστὸν ἢ μαθόντες ἀπαλλάττονται. καὶ τῆς τοιαύτης ἀσχημοσύνης οὐκ ἔστιν εἰπεῖν ὡς οὐχ οἱ τὰς ἀποδείξεις ἀποδιδράσκοντες ἄρχουσιν· ἀποδιδράσκουσι δ᾽, ὡς οἶσθα, πολυειδῶς, οἱ μὲν σεμνῶς ἐπιτιμήσαντες μόνον, οἱ δὲ κομψευσάμενοί τι βωμολοχικὸν, οἱ δ᾽ εἰς γέλωτα καὶ χλεύην ἐξάγοντες τὸν διάλογον· εἰ δέ τις καὶ τολμήσειε παραμεῖναί τε τῷ λόγῳ καὶ τῶν ἀποδείξεων ἐπακοῦσαι, μάλιστα μὲν οὐδ᾽ ἕπεται τὴν ἀρχὴν, οὐ γὰρ ἐνδέχεται τὸν ἀγύμναστον ἀποδεικτικῆς μεθόδου τοῖς χρωμένοις αὐτῇ παρακαλουθεῖν· εἰ δ᾽ ἄρα καὶ μέχρι τινὸς παρακολουθήσειεν, ἀλλὰ τῷ πάντως ἐπαμύνειν ἐθέλειν οἷς ἐνετράφη δόγμασιν, ἐπιχειρῶν ἀντιλέγειν, εἶτ᾽ ἐξελεγχόμενος, ἀπέραντα καὶ ἀσυλλόγιστα καὶ περιττὰ καὶ ληρώδη φλυαρῶν, ἀγανακτεῖ καὶ καταρᾶται τοῖς διαλεκτικοῖς, ὡς κακῶν αἰτίοις, ὅτι δηλαδὴ τὴν κόρυζαν ἀπομύττουσιν αὐτῶν καὶ θεραπεύειν πειρῶνται προσφέροντες οὐ μέλι καὶ πλακοῦντας, ἀλλὰ

ſemel data porta, omnia jam muliercularum verba ingeruntur; et quum mutuis ſe maledictis aſperſerint nihilque utile docuerint aut didicerint, diſcedunt. Atque hanc turpitudinem non eſt quod dicat aliquis non eſſe ab iis qui demonſtrationem fugiunt inceptam. Fugiunt autem multiſariam, ut ſcis, alii cum gravitate tantum increpantes, alii ſcurrile aliquid jactantes; alii in risum ſannasque disceptatione abrepta. Quod ſi quis ſermoni ſtare, demonſtrationesque audire audet, primum quidem omnino non intelligit; neque enim poteſt qui demonſtrativae methodi ſit imperitus eos qui ipſa utuntur intelligere. Quod ſi aliquatenus intelligit, at quod dogma ſuum in quo nutritus propugnare omnino decreverit, contra tendere aggreſſus, dein deprehenſus quae nec rite concludant nec colligant, ſed vana nugaciaque ſint dicere, irascitur et devovet dialecticos ceu malorum auctores, quod videlicet ſtiriam a natibus ipſorum detergent, ipſique mederi conantur, adhibitis non melle et placentis, ſed alliis et caepis, quae etiam

σκόροδά τε καὶ κρόμμυα, τὰ καὶ τοὺς κορυζῶντας ἀλεκτρυόνας ἰώμενα. παραγέγονας γὰρ δὴ μυριάκις αὐτοῖς ὡς ὑπὸ σκορόδων ὄντως καὶ κρομμύων τῶν ἐλέγχων ἀναγκαζομένοις δακρύειν· οἶσθα δὲ δήπουθεν ὡς καὶ πολλοὶ πολλάκις ἡμῖν ἐξωμολογήσαντο καταμόνας αἰσθάνεσθαι μὲν ἤδη τῶν κατὰ τὴν σφετέραν αἵρεσιν ἀτόπων, οὐ δύνασθαι δ' ἔν γε τῷ φανερῷ μεταθέσθαι διὰ τὸ μήτ' ἄλλα γινώσκειν ἀφ' ὧν τιμηθήσονται καὶ τοῖς πολλοῖς τῶν ἀνθρώπων ἐφθακέναι ἀπὸ τούτων γιγνώσκεσθαί τε καὶ τιμᾶσθαι. διὰ ταῦτα τοίνυν κἀγὼ πολλάκις ἀνεβαλλόμην ὑπομνήματα γράψαι μεθόδου θεραπευτικῆς, ὡς ἂν ἀκριβῶς εἰδὼς ὀλιγοστοὺς τῶν νῦν ἀνθρώπων ὑπ' αὐτῶν ὠφεληθησομένους. εἰ μὴ γὰρ μεγάλη τις γένοιτο καὶ δαιμονία μεταβολὴ τῶν ἀνθρωπείων πραγμάτων, οἴχεται πάντα τὰ καλὰ καὶ συγκέχυται καὶ διέφθαρται, μηδενὸς ἀλήθειαν σπουδάζοντος, ἀλλὰ τὸ δόξαι μόνον. οἶσθα γὰρ δήπου καὶ σὺ σαφῶς ὡς οὐδὲ πέντε τοῖς πᾶσιν ἀνθρώποις ἐνετύχομεν εἶναι μᾶλλον ἢ φαίνεσθαι σοφοῖς ὀρεγομένοις. καὶ μὴν εἰ μή τις ὀρεχθείη σοφίας αὐτῆς δι' ἑαυτὴν,

pituita tentatos gallinaceos fanare folent. Quippe millies affuifti iis, quum a diverfe concludentibus argumentis non aliter quam ab ipfo allio et caepis cogerentur lachrymari. Nec te profecto latet multos faepe nobis privatim faffos, fentire jam fe fuam fectam quam fit abfurda, nec tamen hanc poffe publice mutare, quum alioqui nec alia noffent, unde haberentur in pretio, et jam vulgo propter haec et noti et in pretio forent. Itaque ob haec ipfe quoque faepius diftuli commentarios de medendi methodo fcribere, pro comperto plane habens, paucifimos homines hujus tempeftatis ab iis adjutum iri. Etenim nifi magna quaepiam miraque mutatio humanarum rerum fiat, actum de bonis ftudiis eft, utpote confufis ac corruptis nemine veritatem ipfam, fed tantum fcientiae famam quaerente. Optime enim profecto fcis, ne quinque quidem usquam inveniffe nos qui effe potius quam videri docti cuperent. Atqui nifi quis fapientiam ipfam propter fe ipfam expetat, ne tem-

οὐδὲ καιρὸν ἕξει τοῦ γυμνάσασθαι κατὰ τὰς λογικὰς μεθόδους, ἀλλὰ περὶ πλοῦτον καὶ δόξαν καὶ δύναμιν πολιτικὴν ἐσπουδακὼς, περὶ τὴν ἐν ἐκείνοις ἀσχολίαν ἅπαντα κατατρίψει τὸν βίον.

Κεφ. στ΄. [40] Ἐάσαντες οὖν αὐτοὺς, πάλιν ἐπὶ τὸ προκείμενον ἴωμεν. ἔστι τὸ προκείμενον ἐξ ἀρχῆς, ὡς εἰ μή τις ἅπαντα τὸν ἀριθμὸν τῶν νοσημάτων (53) ἐξεύροι μεθόδῳ, πταίσει μέγιστον πταῖσμα κατὰ τὴν ἀρχὴν εὐθὺς αὐτῆς τῆς θεραπευτικῆς μεθόδου· πρόδηλον γὰρ ὡς τοσούτους χρὴ τρόπους εἶναι τῆς ἰάσεως ὅσαιπερ καὶ αἱ τῶν νοσημάτων ἰδέαι. τὸ τοίνυν μήτ᾽ ἄπειρα ποιῆσαι τὰ νοσήματα ταῖς κατὰ μέρος ἰδιότησι προσέχοντας μήτ᾽ εὐθὺς ἐν τοῖς πρώτοις καταμεῖναι γένεσιν οὐ τοῦ τυχόντος ἐστὶν, ἀλλ᾽ ἀνδρὸς, ὡς καὶ πρόσθεν ἐδείκνυτο, πάνυ γεγυμνασμένου κατὰ τὰς διαιρετικὰς μεθόδους. ἀρχὴ δὲ τῆς διαιρέσεως αὐτῶν, ὥς που καὶ τοῦτ᾽ ἐλέγετο, τὸν λόγον τῆς οὐσίας τοῦ διαιρουμένου πράγματος ἀφορίσασθαι. καὶ τοίνυν ἐδείκνυτο πάντως μὲν ἕν τι τῶν παρὰ φύσιν ὑπαρχόντων νόσημα. τεττάρων δ᾽ ὄντων τῶν παρὰ φύσιν, ἤτοι τῆς βεβλαμμένης ἐνεργείας,

pus quidem ullum inveniet quo fe in logica methodo exerceat, imo divitiis et famae et potentiae civili inhians, in horum occupatione vitam omnem confumet.

Cap. VI. Ergo dimiffis his rurfus ad propofitum redeamus. Eft autem ab initio propofitum illud, qui omnem morborum numerum methodo non invenerit, hunc maxime in ipfis medendi methodi foribus lapfurum, quum conftet totidem effe medendi rationes quot fint morborum ideae. Ergo fic in enumerandis morbis egiffe, ut neque privatis proprietatibus attentus infinitos ftatuat, nec in primis ftatim generibus fubfiftat, id in promptu cuique non eft, fed ei tantum, ficut antea dictum eft, qui in dividendi methodis fit exercitatiffimus. Principium vero divifionis eorum eft, ut etiam alibi diximus, ut effentiae ratio rei dividendae conftituatur. Igitur illud monftratum nobis eft, morbum omnino unum ex iis effe quae praeter naturam fint. Haec autem quatuor quum fint, actio oblaefa, affectus ipfam effi-

ἢ τῆς ἐργαζομένης αὐτὴν διαθέσεως, ἢ τὴν ταύτην ποιούσης αἰτίας, ἢ τῶν ἑπομένων αὐτῇ συμπτωμάτων, εἴτε τὴν βλάβην τῆς ἐνεργείας εἴτε καὶ τὴν ἐργαζομένην αὐτὴν διάθεσιν ἐθέλοι τις ὀνομάζειν νόσον, οὐδὲν τοῦτο τὴν θεραπευτικὴν μέθοδον ὑπαλλάττειν ἐδείκνυμεν, εἰ τοῦθ' ἓν μόνον γιγνώσκοι, τὸ τὴν πρώτην θεραπείαν, ἣν δήπου καὶ προσεχῆ καλοῦσιν ἔνιοι, τῆς τὴν ἐνέργειαν ἐμποδιζούσης εἶναι διαθέσεως. ἐπιδεδεῖχθαι δ' ἡμῖν ἐλέγομεν ὡς ταύτην εὐλογώτερον εἴη προσαγορεύειν νόσημα, μὴ μέντοι κωλύειν ἡμᾶς εἴ τις ἐθέλοι τὴν μὲν τῆς ἐνεργείας βλάβην ὀνομάζειν νόσημα, τὴν δ' ἐργαζομένην αὐτὴν διάθεσιν αἰτίαν τοῦ νοσήματος. ὑποθέμενοι δὲ καλεῖσθαι νόσημα διάθεσιν παρὰ φύσιν ἐνέργειαν βλάπτουσαν ἐξηγησάμεθα ἐφεξῆς ὁπόσα τὰ σύμπαντ' ἐστὶ νοσήματα. πρόδηλον δ' ἦν ἐν τούτῳ τὸ δεῖν ἐξευρεῖν πρῶτον, εἴ τις ὁδῷ καὶ τάξει μέλλει προϊέναι καὶ μὴ καθάπερ οἱ πολλοὶ τῶν ἰατρῶν ὡς τύραννοι προστάττειν, ἥτις ποτὲ διάθεσίς ἐστιν ἡ τῆς ἐνεργείας αἰτία δραστική. ταύτην οὖν ἡμεῖς μὲν εὐκρασίαν ἐλέγομεν εἶναι θερμοῦ καὶ ψυχροῦ, ὑγροῦ καὶ ξηροῦ· καὶ διὰ τοῦθ' ἡ πρώτη νόσος ἡ

ciens, affectus ipfius caufa, et quae hunc fubfequuntur fymptomata; five functionis laefionem, five etiam molientem hunc affectum morbum nominare velit aliquis, nihil in medendi methodum immutare oftenfum eft, modo unum illud intelligatur, primam ipfam curationem, quam etiam nonnulli continentem appellant, affectus effe qui actionem interturbat. Porro oftenfum a nobis diximus, rationabilius hunc morbum appellari, non tamen vetare nos quin, fi cui id cordi fit, actionis noxam morbum nominet; affectum, qui hanc creet, morbi caufam. Suppofito igitur quod morbus vocetur affectus is praeter naturam qui functioni officiat, inquifivimus deinceps quot in univerfum morbi effent; ubi clarum obiter fecimus, fi quis via ordineque procelfurus fit, nec, ficut vulgus medicorum facit, tyranni ritu imperaturus, huic primum inveniendum effe affectum illum, qui functionis effectrix fit caufa. Hunc fane nos temperiem diximus effe calidi, frigidi, humidi ac ficci, proin-

ἐν τοῖς ὁμοιομερέσι, τῇ δυσκρασίᾳ τούτων ἐδείκνυτο γίγνεσθαι. ἕτερος δέ τις ἐν ὄγκοις καὶ πόροις θήσεται τὴν τούτων συμμετρίαν, καὶ διὰ τοῦτ᾽ ἀμετρίᾳ τῶν πόρων αὐτῶν νοσήσειν τὰ ζῶα. τὸ δὲ μήτ᾽ αὐτὸν ἀποφήνασθαι τολμῆσαι τῆς ἐνεργείας τὴν αἰτίαν ἐν ὁτῳδήποτε γένει τῶν ὄντων ἐστὶ, μήτε τοῖς λέγουσιν ἀντειπόντα νομίζειν ἔτι λόγῳ καὶ μεθόδῳ προϊέναι, δεινῶς ἐλέγομεν εἶναι μοχθηρὸν, ἅμα μὲν ἄφυκτον ἐργαζόμενον τὴν ἐκ τῶν ἐμπειρικῶν κατηγορίαν, ἅμα δὲ αὐτῷ μαχόμενον· ἐξ ἡμίσεος γὰρ δὴ τοὺς τοιούτους εἶναι λογικούς· ὅπως μὲν δὴ γίγνεται φλεγμονὴ καὶ σκίῤῥος καὶ οἴδημα καὶ πάνθ᾽ ὅσα τοιαῦτα, πολυπραγμονοῦνται, ὅτι δὲ καὶ χωρὶς τούτων ἁπάντων κατὰ δυσκρασίαν μόνην ἐνέργεια βλάπτεται μὴ γινώσκονται, ἀλλ᾽ ἐμπειρικῶς τὰ τοιαῦτα θεραπεύονται. ὅστις οὖν βούλεται γνῶναι πόσον ἁμαρτάνουσιν οἱ τοιοῦτοι καὶ πόσον τι πλῆθος ὑπερβαίνουσι νοσημάτων καὶ ὡς πολὺ πλέον ἀγνοοῦσιν ἢ γιγνώσκουσι, τὸ περὶ διαφορᾶς νοσημάτων ἀναλεξάσθω γράμμα· μαθήσεται γὰρ ὡς ὀρθῇ μὲν ὁδῷ πρῶτος ἁπάντων Ἱπποκράτης ἐχρήσατο, δέον δ᾽ αὐτὴν τελειῶσαι

deque primum morbum in ſimilaribus eſſe ex horum intemperie oſtendimus. Alius quispiam corpusculorum et meatuum ſymmetriam ſtatuet, propterea que ex ametria meatuum ipſorum aegrotare animantes. Caeterum ſi quis nec ipſe actionis cauſam, in quonam entium ſit genere, audebit ſtatuere, nec iis, qui ſtatuunt contradicet, ac nihilo ſecius tamen ratione methodoque ſe procedere arbitrabitur, hunc egregie improbum eſſe diximus, ut qui nec tutum ſe ab empiricorum accuſatione facere poſſit et ſecum plane pugnet; quippe ejusmodi homines ex dimidio logicos eſſe, qui qua ratione phlegmone, ſcirrhus, oedema et alia id genus fiant, multo labore disquirunt, laedi autem etiam citra haec omnia ex ſola intemperie actionem non intelligunt, ſed empirice talia curant. Quisquis igitur quantum hi aberrent ſcire volet, tum quos morbos tranſiliant quantoque plures ignorent quam norint, librum de morborum differentiis perlegat; intelliget enim Hippocratem primum om-

Ed. Chart. X. [40. 41.] Ed. Baf. IV. (53.)

τοὺς μετ' αὐτὸν, οὐχ ὅπως οὐδεὶς ἐτελείωσεν, ἀλλὰ καὶ τὰ καλῶς εὑρημένα διέφθειραν οἱ πλεῖστοι. πλησίον δὲ τοῦ τελειῶσαί τε καὶ συμπληρῶσαι [41] τὴν ὑφ' Ἱπποκράτους παραδοθεῖσαν ὁδὸν οἱ περὶ τὸν Ἀριστοτέλην τε καὶ Θεόφραστον ἀφίκοντο, καὶ εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἐτελείωσαν δυνάμει διορισάμενοι τὸ μὴ ταὐτὸν εἶναι γένος τῶν νοσημάτων ἔν τε τοῖς ὁμοιομερέσι σώμασιν ἔν τε τοῖς ὀργανικοῖς ὀνομαζομένοις. ὑπὸ μὲν γὰρ τῶν ὁμοιομερῶν τὰς ἐνεργείας γίγνεσθαι καὶ διὰ τοῦτ' εἶναι καθ' ἕκαστον τῶν ὀργάνων ἓν ἴδιον ὁμοιομερές. ὅσα δ' ἄλλα μετὰ τούτου συμπληροῖτο πᾶν ὄργανον, ἕνεκα χρείας τινὸς ἐκείνου τοῦ πρώτου τῆς ἐνεργείας αἰτίου γεγονέναι. καὶ τούτων μέντοι πάλιν αὐτῶν ἑκάστου κατὰ μόνας ὑπάρχειν ἐνέργειαν, οἷον ἐπὶ τῶν ὀφθαλμῶν. ἄμεινον γὰρ ἴσως, ὡς ἐν ἑτέροις ἐπὶ πλέον ἐδείξαμεν, ἐνταυθοῖ διὰ βραχέων ὑπομνῆσαι ποιήσασθαι. τὸ μὲν τῆς ὄψεως ὄργανόν ἐστι τὸ κρυσταλλοειδὲς ὑγρὸν, ἕκαστον δὲ τῶν ἄλλων μορίων ἐκείνου χάριν ἐγένετο: καὶ πάντων εἰρήκαμεν αὐτῶν τὰς χρείας ἐν τῷ δεκάτῳ τῆς περὶ χρείας μορίων πραγματείας.

nium recta inftitiffe via, quae cum a pofteris abfolvenda fuerat, non modo nemo eorum abfolvit, fed plerique etiam quae probe fuere inventa corruperunt. Proxime autem, ut viam quae inchoata eft ab Hippocrate perficerent abfolverentque Ariftoteles et Theophraftus acceflerunt: et fi fateri verum oportet, poteftate abfolverunt, quum conftituerint aliud effe in corporibus fimilaribus morbi genus, alind in iis quae organica dicuntur: quippe a fimilaribus functiones edi, eoque effe cujusque organi unam propriam fimilarem, reliquas vero, quae cum hac quodvis organum perficiunt, eas ufus alicujus gratia, illius quae prima erat actionis caufa factas effe; fed et horum tamen rurfus cujusque effe per fe actionem veluti in oculis. Satius enim fortaffis fit, quae in aliis diffufe oftendimus, ftrictim hic commemoremus. Ipfum vifus organum eft cryftallinus humor; reliquae oculi partes ejus caufa funt factae; quarum omnium ufus narravimus in decimo operis de partium ufu libro.

ἀλλ' εἰ καὶ ὅτι μάλιστα τοῦ κρυσταλλοειδοῦς ἕνεκεν ἐγένετο σύμπαντα, κατὰ μέρος γοῦν ἕκαστον αὐτῶν ἐνεργείας τινὸς μετέχει, κοινῆς μὲν ὅλῳ τῷ ζώῳ φλὲψ καὶ ἀρτηρία καὶ νεῦρον· οἱ δ' ὑμένες οἱ κατὰ τὸν ὀφθαλμὸν, ὡς ἂν τρεφόμενοι δηλονότι καὶ τῶν φυσικῶν ἐξ ἀνάγκης μετέχουσι δυνάμεων, ὥστε καὶ τῶν κατ' αὐτὰς ἐνεργειῶν. ὅταν μὲν οὖν τὸ κρυσταλλοειδὲς ὑπὸ δυσκρασίας νοσήσῃ, βλάπτεται μὲν ἡ τῶν ὀφθαλμῶν ἐνέργεια πάντως, ἀλλ' οὐκ ἔστιν ὡς ὀργάνων αὐτῶν τὸ νόσημα. τὸ δ' ὑπόχυμα καλούμενον οὐδενὸς μὲν ὁμοιομεροῦς ἐστι πάθους, ὅλων δὲ τῶν ὀφθαλμῶν ὡς ὀργάνων. οὕτω δὲ κἂν εἰ γλίσχρων τινῶν ἢ παχέων χυμῶν ἔμφραξις ἐν τοῖς πέρασι τῶν κατὰ τὰ σιμὰ τοῦ ἥπατος εἴη φλεβῶν, ἐμποδισθήσεται μὲν ἡ ἀνάδοσις; ὅλου δ' ἔσται τοῦ ἥπατος ὡς ὀργάνου τὸ πάθος, οὐδενὸς τῶν ὁμοιομερῶν αὐτοῦ μορίων νοσήσαντος. εἰ δὲ δυσκρασία καταλάβοι τὰς φλέβας, αὐτῶν μὲν ἐκείνων ἔσται τὸ νόσημα πρῶτον, κατὰ συμβεβηκὸς δὲ καὶ τοῦ ἥπατος. Ἐρασίστρατος μὲν οὖν ἔσφαλται περὶ τὴν οὐσίαν αὐτῆς καὶ φλεγμονῆς. οὔτε γὰρ ἐν τοῖς πέρασι

Caeterum quanquam cryftallini maxime caufa omnes funt factae, fingulae tamen earum aliquam feorfum actionem funt nactae; ac vena quidem et arteria et nervus toti animanti communem, membranulae oculi omnes, quum fint nutrimenti participes, omnino naturalibus facultatibus funt praeditae ac perinde etiam functionibus quae ab his proficifcuntur. Quoties igitur cryftallinus humor ex intemperie laborat, omnino laeditur oculorum functio, caeterum non eft eorum ut organa funt morbus: at quod hypochyma vocant nullius fimilarium eft morbus, fed oculi totius ut organum. Ad eundem modum, fi in finibus venarum, quae in cavo jecinoris habentur, obftructio ex lentis aut craffis fuccis fubhaefit, diftributio quidem in corpus per has morabitur, morbus tamen totius jecinoris ceu organi cenfebitur, nulla fimilarium ejus partium aegrotante; quod fi intemperies venas ejus infeftaverit, ipfarum quidem illarum morbus primum erit, ex accidente vero etiam jecinoris. Ac Erafiftratus quidem in phlegmones fub-

τῶν ἀρτηριῶν γίγνεται σφήνωσις ἐξ ἀνάγκης ἐν τοῖς φλεγμαίνουσι μορίοις οὔτε πνεῦμα μόνον ἐν τῷ κατὰ φύσιν αἱ ἀρτηρίαι περιέχουσιν, ὡς ἐν τοῖς περὶ τούτων λογισμοῖς ἀπεδείξαμεν. εἰ δ᾽ οὖν ἐστί τι τοιοῦτον πάθος οἷον ἐκεῖνος οἴεται φλεγμονή, καὶ σκίῤῥος τοιοῦτον οἷον ἐκεῖνος νομίζει, καὶ τῶν ἄλλων ἕκαστον, ὡς αὐτὸς μὲν ἀσαφῶς ἐπὶ πολλῶν, οἱ δ᾽ ἀπ᾽ αὐτοῦ πειρῶνται διέρχεσθαι σαφέστερον, ὀλίγου δεῖν ἀπαθῆ καταλείπει τὰ στερεὰ, μόνον ἑλκωθῆναι δυνάμενα καὶ διαιμηθῆναι καὶ θλιβῆναι καί τι τοιοῦτον ἕτερον ὑπομεῖναι πάθημα. νοσεῖν δ᾽ αὐτὰ δι᾽ ὅλων ἑαυτῶν οὐδαμόθι φησὶ νόσους τοιαύτας οἵας ἡμεῖς ἀπεδείξαμεν εἶναι τὰς ὀκτὼ δυσκρασίας. καὶ μὴν ὁρᾶταί γε σύμπαντα τὰ σώματα, μέχρι καὶ τῶν δυσπαθεστάτων, οἷον χαλκοῦ καὶ λίθου καὶ σιδήρου, θερμαινόμενά τε καὶ ψυχόμενα καὶ ξηραινόμενα καὶ ὑγραινόμενα, καὶ θαυμαστὸν εἰ ἀρτηρία μόνη καὶ φλὲψ καὶ νεῦρον οὐδὲν τοιοῦτον πείσεται, καὶ τούτου θαυμαστότερον, εἰ πείσεται μὲν, ἐνεργήσει δὲ ἀμέμπτως, οἷον ἐπὶ τῆς καρδίας, εἰ

ſtantia tradenda eſt lapſus, quum nec in partibus phlegmone laborantibus in ſinibus arteriarum impactio neceſſario cernatur, nec arteriae ſpiritum tantum, quum ſecundum naturam ſunt, contineant, veluti in tractatione de his oſtendimus. Si igitur phlegmone ejus generis morbus ſit cujus autumat, et ſcirrhus ejus generis cujus ille opinatur, et reliquorum ſinguli, ſicut ipſe obſcure et multi ſequaces ejus clarius explicare conantur, utique ſolidas ipſas partes liberas propemodum a morbis relinquit, niſi quatenus ulcerari, collidi incidique valeant, atque id genus aliud quippiam pati. Laborare vero eas ſe totis ejusmodi morbis, quales nos octo intemperantias oſtendimus, id nusquam dicit. Atqui corpora univerſa, etiam quae difficillime afficiuntur, veluti aes, lapis, ferrum, ſaltem caleſieri, refrigerari, ſiccari, humeſcereque cernuntur, ut utique mirum ſit, ſi tantum arteria et vena et nervus nihil ejusmodi ſentient. Atque hoc etiam magis mirum, ſi ſapienter quidem, functionem tamen legitimam edent, veluti ſi ita ſors tulit,

τύχοι, δύναμις μέν τίς ἐστι καὶ κατ᾽ αὐτὸν τὸν Ἐρασίστρατον, ῃ̂ διαστέλλεται καὶ συστέλλεται. καὶ βλάπτεσθαι δὲ δήπου ταύτην χρὴ, τῆς καρδίας ἐξαιρεθείσης ζῶντος τοῦ ζώου, καθάπερ πολλάκις ὁρῶμεν ἐν ταῖς ἱερουργίαις γιγνόμενον· εἰ γὰρ μηδὲν βλάπτεται, κινηθήσεται διαπαντὸς, οὐχ ἕως χρόνου τινὸς, ὡς νῦν φαίνεται. δῆλον οὖν ὅτι βλάπτεται καὶ διὰ τοῦτο παύεται κινουμένη. τίς οὖν ἡ [42] βλάβη, καλῶς εἶχεν (54) ἐπισκέψασθαι, δυναμένης γε δηλονότι τὴν βλάβην ἀναδέξασθαι τῆς καρδίας καὶ πρὶν ἐξαιρεθῆναι τοῦ ζώου. τίς οὖν ἄλλη πλὴν δυσκρασίας ἐστίν; οὔτε γὰρ τὸ σχῆμα φαίνεται μεταλλαττόμενον αὐτῆς, οὔτε κοιλότης τις, οὔτε σύνδεσμος οὔτε στόμιον, ἀλλ᾽ οὐδ᾽ ἄλλο μόριον οὐδὲν ἀπολλύμενον, ἀλλὰ μόνον ἡ φυσικὴ κρᾶσις ἐξαλλαττομένη. ταῦτ᾽ οὖν ἅπαντα τῶν ὁμοιομερῶν, ὡς εἴρηται, νοσήματα τυγχάνοντα, τελείως αὐτῷ παραλέλειπται. τὸ γὰρ δὴ τοῦ αἵματος ἐν τοῖς πέρασι τῶν ἀρτηριῶν σφηνωθέντος ἐνέργειάν τινα βλαβῆναι τῶν ἀρτηριῶν ὡς ὀργάνων ἐστὶ τὸ πάθος· ὡς δ᾽ ὁμοιομερῶν σωμάτων, ὀκτὼ μὲν αἱ κατὰ ψιλὰς τὰς ποιότητας δυσ-

in corde facultas quaedam eſt, ut ipſe quoque Eraſiſtratus confirmat, qua dilatatur et contrahitur; hanc autem laedi profecto oportet, ſi viventi animali cor ſit exemptum, quemadmodum ſaepe factum in ſacrificiis videmus, quippe ſi non laedatur, perpetuo movebitur, nec tantum ad tempus aliquod, ut nunc cernitur. Manifeſtum eſt igitur laedi, proindeque movere deſinere. Quaenam igitur laeſio? id conſiderare decebat, quum poſſit nimirum cor laeſionem recipere, etiam antequam ab animali ſit exemptum. Quaenam alia praeter intemperiem? nam neque figura ejus mutata apparet nec cavitas ulla nec ligamentum nec oſculum, imo nec alia ulla pars deperdita, ſed tantum naturalis temperies mutata. Ergo omnes hi ſimilarium partium morbi omnino, ut dictum eſt, ab illo ſunt omiſſi. Si quidem ubi ſanguis in finibus arteriarum impactus actionem aliquam laedit, arteriarum ut organorum morbus eſt; ut vero ſimilarium partium octo quidem ſecundum nudas qualitates in-

Ed. Chart. X. [42.] Ed. Baf. IV. (54.)

κρασίαι, μετὰ ῥευμάτων δ᾽ ὀκτώ. χρὴ τοίνυν, ὅστις τὰς τούτων ἀποδείξεις ἐπιστήμῃ βούλεται περιλαβεῖν, ἀπὸ τοῦ περὶ τῶν στοιχείων ἄρξασθαι λόγου, κἄπειθ᾽ ἑξῆς ἕκαστον ἀναλέξασθαι τῶν ἄλλων, ὡς εἴρηται καὶ πρόσθεν. ἔστι δ᾽ ἐφεξῆς μὲν ἐκείνῳ τὰ περὶ κράσεων ὑπομνήματα. καὶ τούτων ἐφεξῆς τὸ περὶ τῆς ἀνωμάλου δυσκρασίας. εἶτα τὰ περὶ τῶν φυσικῶν δυνάμεων, ὅσα τ᾽ ἄλλα περὶ τῶν ψυχικῶν εἴρηται παθῶν ἐφεξῆς ἑκάστης ἰδίᾳ. τούτοις δ᾽ ἕπεται τὰ περὶ χρείας μορίων, οἷς τὰ περὶ τῶν νοσημάτων τε καὶ συμπτωμάτων διαφορᾶς. οἱ πολλοὶ δὲ τῶν ἰατρῶν, οὔτε τῇ πείρᾳ μόνῃ προσέχοντες τὸν νοῦν, ἐνὸν αὐτοῖς ἀγαθοὺς ἰατροὺς γίγνεσθαι καὶ κατὰ τὴν τῶν ἐμπειρικῶν ἀγωγὴν, ὀριγνώμενοί τε τοῦ τελείου, κἄπειτα χωρὶς ἀποδείξεως ἀποφάσεσι πιστεύοντες, ἢ μοχθηραῖς ἀποδείξεσι παραλογισθέντες, οὐ μόνον οὐδὲν ἐξευρίσκουσι χρηστὸν, ἀλλὰ καὶ τὰ διὰ τῆς ἐμπειρίας ἐγνωσμένα διαφθείρουσιν. οὐ γὰρ δήπου σμικρὰν ἔχει δύναμιν ὁ λόγος ὡς πρὸς τὸ κοσμῆσαι τὴν ἐμπειρίαν ἢ διαφθεῖραι, ἀλλ᾽ ὅσον ὁ χρηστὸς ἐπικοσμῶν προστίθησιν, τοσοῦτον

temperies, octo autem cum fluxione. Oportet igitur quisquis horum certa fcientia demonftrationes coepiffe velit, a libro de elementis incipiat, poft deinde reliquos figillatim, ut fupra dictum eft, legat. Sunt vero proximi huic commentarii de temperamentis. Ab iis proximus eft qui de inaequali intemperie infcribitur, mox qui de naturalibus facultatibus, aliique qui de animae affectibus funt proditi, idque de unoquoque, deinceps et feorfum. Hos excipiunt qui de partium ufu funt infcripti, quos fequuntur qui de morborum fymptomatumque differentiis titulum habent. Plerique vero medicorum nec tantum experientiae applicantes animum, quum tamen liceret ex empiricorum inftitutione bonis effe medicis, et perfectioris rationis cupidi, quum aut iis quae citra demonftrationem funt enunciata credant, aut vitiofis demonftrationibus fallantur, non folum nihil excogitant boni, fed etiam quae per experientiam funt cognita corrumpunt. Si quidem ratio non leve momentum obtinet ad experientiam vel ornandam, vel corrumpendam, fed quan-

ἢ καὶ πλέον ὁ μοχθηρὸς ἀφαιρεῖ. καὶ ταῦτ᾽ ἀκούεις λέγοντος ἑκάστοτε τοῖς πολλοῖς τῶν ἰατρῶν, ὅσοι πρὶν γυμνάσασθαι κατὰ τὰς λογικὰς μεθόδους ἢ ἀποδεικνύναι τι πειρώμενοι παραλογίζονται σφᾶς αὐτοὺς, ἢ διαιρεῖν ὁτιοῦν εἰς εἴδη τε καὶ διαφορὰς, εἶτα κἀνταῦθα κακῶν μαγείρων δίκην οὐ κατ᾽ ἄρθρα τέμνουσιν, ἀλλὰ συντρίβουσί τε καὶ θλῶσι καὶ διασπῶσιν, ὥσπερ κἀπὶ τοῦ νῦν ἡμῖν προκειμένου. συμβουλεύω δὴ πᾶσιν, ὡς οἶσθα, τοῖς τοιούτοις τῇ πείρᾳ προσέχειν τὸν νοῦν. οὐ σμικρὸς γὰρ ὁ κίνδυνος ἅπαντι τῷ μειζόνων ἢ καθ᾽ ἑαυτὸν ὀρεγομένῳ πραγμάτων μήτ᾽ ἐκείνων ἐφικέσθαι καὶ τῶν ἐνδεχομένων γνωσθῆναι παντάπασιν ἀτυχῆσαι. τοῖς οὖν καὶ πεφυκόσιν εἶναι ἄριστα καὶ τοῖς μανθάνειν ἄγουσι σχολὴν, αὖθις ἡμεῖς διαλεγώμεθα, τοσοῦτον ἀναμνήσαντες αὐτοὺς ὧν εὐθὺς κατ᾽ ἀρχὰς εἴπομεν, ὡς οὐ προσήκει συγχεῖν ἅμα καὶ φύρειν ἀμφότερα, τά τ᾽ ἐκ τῆς πείρας εὑρισκόμενα καὶ τὰ διὰ μόνου τοῦ λόγου, ἀλλ᾽ ὑπὲρ ἑκατέρων ἰδίᾳ διαλεχθέντας, αὖθις ἄμφω συναγαγεῖν. εἰρηκότες οὖν ἡμεῖς ὑπὲρ τῆς ἐμπει-

tum recta ratio ornando adjicit, tantum vel etiam amplius vitiofa detrahit. Atque haec me faepe medicorum vulgo praedicantem audis, qui prius quam in methodis logicis fe exercuerint, vel cum demonftrare aliquid tentant, fe ipfos fallunt, vel quum dividere quidvis in fpecies ac differentias, hic quoque imperitorum coquorum ritu non per articulos incidunt, fed conterunt, collidunt ac dilaniant, veluti in eo quod nunc eft propofitum. Confulo igitur, ut fcis, talibus omnibus experientiae animum intendant, quum non leve inftet periculum omnibus qui fupra vires aliquid moliuntur, ne et id non confequantur et quae intelligere alias poffent, omnino amittant. Ergo cum iis qui tum recto funt ingenio tum difcere parati, ipfi rurfus fermonem conferamus, illud tantum ex iis quae inter initia diximus commonentes, non effe committendum ut utraque fimul confundantur mifceanturque et quae per experientiam funt inventa et quae fola ratione funt inveftigata, fed cum utrumque feorfum fit tractatum, poft ambo conjungantur. Ergo quum ipfi de empirica inventione alibi egeri-

ρικῆς εὑρέσεως ἑτέρωθι, περὶ τῆς λογικῆς ἐν τοῖσδε τοῖς ὑπομνήμασι προὐθέμεθα διελθεῖν. καί μοι δοκῶ σαφῶς ἤδη δεδειχέναι, τοῖς γε τὰ περὶ τῆς τῶν νοσημάτων τε καὶ συμπτωμάτων διαφορᾶς ἀνεγνωκόσι, πρὸς οὓς ὁ μετὰ ταῦτα πᾶς ἔσται μοι λόγος, ὡς εὐθὺς ἐν ἀρχῇ μέγιστον πτῶμα πεπτώκασιν οἱ περὶ τὸν Θεσσαλόν. ἦν μὲν γὰρ οὐ σμικρὸν οὐδὲ τὸ Ἀσκληπιάδειον πτῶμα, διὰ τὸ κατ᾽ ἀρχὰς ἐσφάλθαι τὸν ἄνδρα περὶ τὰ τοῦ σώματος στοιχεῖα, πολὺ δ᾽ ἔτι μεῖζον αὐτοῦ καὶ ἀνιατότερον ἐποίησαν οἱ περὶ τὸν Θεσσαλὸν, εἰς δύο μὲν ἅπαντα τὰ κατὰ δίαιταν [43] νοσήματα διαθέσεις ἀναγαγόντες ὁμοίως ἐκείνῳ, πολλοὺς δὲ τῶν θεραπευτικῶν σκοπῶν ἀφελόντες, οἷς ἐκεῖνος ἐχρήσατο. χείριστον δὲ καὶ ἀνιατότερον ἁμαρτάνοντες, ὅτι μήτε τὰς τῶν ἐνεργειῶν βλάβας, ἀλλὰ μηδὲ τὰς αἰτίας αὐτῶν τὰς διαθέσεις ὑπολαμβάνουσιν εἶναι νοσήματα, μόναις δὲ ταῖς κενώσεσιν ἐπεχομέναις τε καὶ πλεοναζούσαις ἀξιοῦσι προσέχειν τὸν νοῦν, οὐδ᾽ οὖν οὐδὲ τί ποτ᾽ ἐστὶ τὸ πέρα τοῦ δέοντος ἢ κενοῦσθαι τὰ ἐκ τοῦ σώματος, ἢ ἐπέχεσθαι διδάξαντες ἡμᾶς σαφῶς. ἢ γὰρ ὡς πρὸς τὴν δύναμιν, ἢ ὡς πρὸς τὴν αἰτίαν, ἢ ὡς πρὸς τὴν

mus, de logica in his commentariis differere propofuimus. At mihi videor iis praefertim, qui commentarios noftros de morborum fymptomatumque differentiis perlegerunt, cum quibus fcilicet mihi deinceps fermo erit, jam clare oftendiffe ftatim per initia in maximum errorem lapfum Theffalum effe. Lapfus enim non levi lapfu et Asclepiades erat, ubi inter initia de elementis corporis male fenfit, caeterum multo et majore et graviore Theffalus, quippe qui omnes in victus ratione morbos in duos fimiliter illi contulit affectus, multos vero curativorum fcoporum ademit, quibus ille eft ufus. Peffimum autem graviffimumque illud admifit quod nec ipfas actionum laefiones, imo nec affectus qui earum caufae funt, morbos effe cenfet, fed folis vacuationibus vel retentis vel exuberantibus mentem intendi cenfet, quum nec quid fit plus jufto fifti exuberarive vacuationem clare nos doceat. Quippe vel ad vires, vel ad affectum, vel ad id quod per fanitatem cuique femper eft obfervatum, referri

διάθεσιν, ἢ ὡς πρὸς τὸ κατὰ τὴν ὑγείαν ἑκάστῳ τετηρημένον ἀναφέρεσθαι χρὴ τὴν τήρησιν. ὅθεν, οἶμαι, καὶ πόλεμος οὐ σμικρὸς τοῖς ἀπ᾽ αὐτῶν ἐγένετο κατά τε ἄλλα πάντα διενεχθεῖσι καὶ περὶ τῆς τῶν παθῶν ἐννοίας τε καὶ ὑπάρξεως. ἀλλ᾽ εἰ νῦν κινήσαιμι τὴν περὶ τῆς διαφωνίας αὐτῶν διέξοδον, ἀπάξω τοῦ χρησίμου τὸν λόγον. ὡς οὖν ἀνεγνωκόσιν ἤδη τὰ περὶ τῆς τῶν νοσημάτων τε καὶ συμπτωμάτων διαφορᾶς ὑπομνήματα καὶ πρὸς τούτοις ἔτι τὰ τῶν αἰτίων αὐτῶν, ἔτι τε πρὸς τούτοις ἐκεῖνα σύμπαντα διεληλυθόσιν ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα, τὸν ἑξῆς ἅπαντα ποιήσομαι λόγον, ἀρξάμενος ἐνθάδε. ἐπειδὴ τὰς ἐνεργείας ἁπάσας ἐδείξαμεν ὑπὸ τῶν ὁμοιομερῶν γιγνομένας σωμάτων, τὰ δ᾽ ἄλλα πάντα τὰ καθ᾽ ἕκαστον ὄργανον μόρια χρείαν τινὰ τούτοις παρέχοντα, διττὸν δήπου γένος ἔσται νοσημάτων, ἕτερον μὲν ἐν τοῖς ὁμοιομέρεσι σώμασιν, ἕτερον δὲ ἐν τοῖς ὅλοις ὀργάνοις· ἐν μὲν τοῖς ὁμοιομερέσιν αἱ δυσκρασίαι· τῶν δ᾽ ὅλων ὀργάνων ἓν μὲν τὸ παρὰ τὴν διάπλασιν, ἓν δὲ τὸ παρὰ τὸν ἀριθμὸν τῶν μορίων, ἄλλο δὲ τὸ παρὰ τὸ ποσὸν ἑκάστου, καὶ τέταρτον τὸ παρὰ τὴν θέσιν, κοινὸν δὲ τῶν ὁμοιομερῶν καὶ τῶν ὀργα-

judicium oportet. Ex quo factum arbitror ut pugna *inter ejus* ſequaces *non* parva ſit orta, ut qui tum de reliquis omnibus inter ſe diſſideant, tum de eorum quae πάθη vocant et notione et exiſtentia. Verum ſi nunc de pugna eorum hiſtoriam moveam, deflectam ad inutilia ſermonem. Omnem igitur deinceps ſermonem faciam, ceu cum illis agam qui commentarios de morborum ac ſymptomatum differentiis, praetera de cauſis eorum legerint, ad haec qui ea omnia quorum paulo ante memini revolverint, atque hinc ordiar. Quoniam actiones a ſimilaribus corporibus proficiſci oſtendimus, reliquas vero omnes ſingulorum organorum partes uſum aliquem ipſis praebere, duplex ſane morborum genus erit, alterum in partibus ſimilaribus, alterum in totis organis. In ſimilaribus intemperies, in totis organis, unum in conformatione ſpectatur, aliud in partium numero, aliud in cujusque quantitate obſervatur, quartum in ſitu. *Utrarumque vero partium,* ſimilarium organicarumque, mor-

Ed. Chart. X. [43.] Ed. Baf. IV. (54.)

νικῶν μορίων νόσημά ἐστιν ἡ τῆς συνεχείας λύσις. ἓξ οὖν ἐστι τὰ πάντα τῶν νοσημάτων γένη· ἓν μὲν ἴδιον τῶν ὁμοιομερῶν, ἡ δυσκρασία, τέτταρα δὲ ἑκάστου τῶν ὀργάνων, ὡς εἴρηται νῦν ἤδη, καὶ πρὸς τούτοις ἔστι κοινὸν ὀργανικῶν τε καὶ ὁμοιομερῶν ἡ τῆς συνεχείας λύσις. αἱ δὲ καθ᾽ ἕκαστον αὐτῶν διαφοραὶ μέχρι τῶν ἐσχάτων εἰδῶν ἐν τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς εἴρηνται.

Κεφ. ζ. Τούτων οὕτως ἐχόντων ἤδη λεκτέον ὑπὲρ τῶν θεραπευτικῶν ἐνδείξεων, αὐτὸ τοῦτο πρότερον ἐξηγησαμένους τὸ τῆς ἐνδείξεως ὄνομα. τὴν γὰρ οἷον ἔμφασιν τῆς ἀκολουθίας ἔνδειξιν λέγομεν. εὑρίσκεται μὲν κἀκ τῆς πείρας τὸ ἀκόλουθον, ἀλλ᾽ οὐχ ὡς ἐμφαινόμενον τῷ ἡγουμένῳ. καὶ διὰ τοῦτο τῶν ἐμπειρικῶν οὐδεὶς ἐμφαίνεσθαί φησι τῷδέ τινι τόδε τι. καίτοι γε ἀκολουθεῖν λέγουσι τόδε τῷδε καὶ προηγεῖσθαι τόδε τοῦδε καὶ συνυπάρχειν τόδε τῷδε, καὶ ὅλως ἅπασαν τὴν τέχνην τήρησίν τε καὶ μνήμην φασὶν εἶναι τοῦ τί σὺν τίνι καὶ τί πρὸς τίνος καὶ τί μετὰ τίνος πολλάκις

bus communis eſt ipſa unitatis ſolutio. Ergo ſex in univerſum morborum ſunt genera: unum ipſorum ſimilarium proprium, intemperies; quatuor, ut modo dictum eſt, organorum cujusque; et cum his ſextum quod tum ſimilaribus tum organicis eſt commune, ipſius unitatis ſolutio. Horum cujusque differentiae ad ultimas usque ſpecies in libro de morborum differentia ſunt traditae.

Cap. VII. His ſic ſe habentibus jam de medendi indicationibus eſt dicendum, ſed hoc ipſo indicationis vocabulo prius expoſito. Nam ipſam conſequentiae inſpectionem indictionem dicimus. Nam invenitur quidem et ab ipſa experientia id quod conſequens faciendumve ſit, caeterum non ita quaſi in praecedenti aliquo deſignatum, proindeque nemo empiricorum dicit, id iſto indicari, quamquam certe hoc ſequi illud dicunt et hoc praecedere illud et conſiſtere hoc cum illo. Denique omnem artem horum obſervationem memoriamque eſſe dicunt, nempe quid cum quo et quid poſt, quid a quo eſt, quid identidem ſit viſum.

ἑώραται. τὸν τοίνυν ἐξ αὐτῆς τῆς τοῦ πράγματος φύσεως ὁρμώμενον ἐξευρίσκειν τὸ ἀκόλουθον ἄνευ τῆς πείρας ἐνδείξεις καὶ εὕρεσίν ἐστι πεποιῆσθαι. διωρισμένου δὲ καὶ τοῦδε πάλιν ἀναμνήσαντες ὅπερ ἤδη καὶ πρόσθεν [44] εἴπομεν, ὡς ἡ θεραπευτικὴ πᾶσα μέθοδος ἄνευ τῆς ἐμπειρίας προέρχεται καὶ ὡς οὐκ ὀρθῶς ποιοῦσιν οἱ συνάγοντες εἰς ταὐτὸν καὶ συγχέοντες ἀμφοτέρας τὰς διδασκαλίας, ἐμπειρικήν τε καὶ λογικὴν, ἐχώμεθα τῶν ἑξῆς. εἴη δ᾽ ἂν πρῶτον ἁπάντων τῶν ἐφεξῆς, ὅπερ καὶ πρῶτον ἁπάντων ἕπεται τοῖς ὑποκειμένοις. ἕπεται δὲ πρῶτον καὶ μάλιστα τὸ δι᾽ (55) ἐνδείξεως ἅπασαν γίγνεσθαι τὴν θεραπευτικὴν μέθοδον. ὅσον γὰρ ἀποκεχώρηκε τῆς ἐμπειρίας, ἔνδειξις ὀνομάζεται σύμπαν. ὥστε καὶ ὅστις ἀκριβῶς βούλεται συστήσασθαι τὴν θεραπευτικὴν μέθοδον, ἄρξασθαι μὲν αὐτὸν ἀπὸ τῶν πρώτων ἐνδείξεων χρὴ, μεταβῆναι δὲ ἐντεῦθεν ἐπὶ τὰς ἐφεξῆς, εἶτ᾽ αὖθις ἐπὶ τὰς ἐκείνων ἐχομένας, καὶ τοῦτο ποιοῦντα μὴ παύσασθαι πρὶν ἐφικέσθαι τοῦ τέλους αὐτῶν. τέλος δ᾽ ἐστὶ τῆς νῦν ἡμῖν προκειμένης πραγματείας ἐξευρεῖν ἑκάστου τῶν νοσημάτων ἰάματα. τίς οὖν

Ergo ex ipſa rei natura ordiri, atque ab ipſa quod ſequens ſit, citra experientiam invenire, id eſt indicatione invenire. Definito jam hoc quoque ac rurſus quod ante diximus ad memoriam revocato, omnem medendi methodum ſejunctam ab experientia procedere, nec recte facere eos qui ambas doctrinas, empiricam logicamque, in unum cogunt atque confundunt, quae reliqua ſunt proſequamur. Fuerit autem omnium quae reliqua ſunt ordine primum quod et primum omnium propoſita jam proxime ſequitur. Sequitur autem primum ac maxime illud quod omnis medendi methodus per indicationem ſit, nam quicquid ab experientia ſejunctum eſt, id totum indicatio nominatur. Quare quisquis condere medendi methodum ad unguem parat, huic a primis eſt indicationibus auſpicandum, atque hinc ad eas quae deinceps ſunt transeundum, rurſusque ab his ad proximas, itaque pergenti non prius deſiſtendum quam ipſius compos ſit finis. Porro finis propoſitae nunc nobis tractationis eſt invenire cujusque morbi remedia. Quodnam igitur

ἀρχὴ τῆς ἐπὶ τοῦτο φερούσης ὁδοῦ; τοῦ νοσήματος ἡ γνῶσις, ὁποῖόν τι τὴν φύσιν ἐστὶν, ὡς ἀπεδείχθη καὶ πρόσθεν. εἰ γὰρ δὴ τὸ θεραπευόμενον αὐτὸ τοῦτ᾽ ἔστιν, εὔλογον δήπου καὶ τῶν ἐνδείξεων ἐντεῦθεν ἄρξασθαι. τίς οὖν ἡ γενικὴ καὶ κοινὴ πάντων τῶν νοσημάτων ἔνδειξις εὑρεῖν χρὴ πρῶτον, εἶτα ἐντεῦθεν ἐπὶ τὰς κατ᾽ εἴδη προελθεῖν. ἀνάγκη γὰρ δὴ τὰς νόσους ἁπάσας ἑνὸς καὶ ταὐτοῦ μεθέξει νόσους ὀνομάζεσθαι, καθάπερ, οἶμαι, καὶ ἄνθρωπον καὶ βοῦν καὶ κύνα καὶ τῶν ἄλλων ἕκαστον. ἓν γὰρ καὶ ταὐτὸν ἐν ἅπασι τοῖς ἀνθρώποις ἐστί. διὸ καὶ τῆς αὐτῆς προσηγορίας ἅπαντες ἐτύχομεν ἄνθρωποι καλεῖσθαι. παραπλησίως δὲ κἀν τοῖς κυσὶν ἅπασιν ἕν τι καὶ ταὐτόν ἐστιν, ἐφ᾽ ὃ δὴ καὶ τὴν διάνοιαν ἐπερειδόμεθα νοῆσαι βουληθέντες τὸν κύνα. καὶ μὲν δὴ καὶ τοῖς ἵπποις ὁμοίως ἕν τι καὶ ταὐτὸν ἅπασιν ἐστὶν ᾗ πάντες ἵπποι καλοῦνται. μάθοις δ᾽ ἂν ἐναργέστερον ἐπὶ τῶν ὁμωνύμων αὐτό. τοῖς μὲν γὰρ τετράποσι ζώοις ἅπασι τοῖς ὑλακτικοῖς ἓν καὶ ταὐτὸν ὑπάρχει, τὸ τετράποσί τ᾽ εἶναι σύμπασι καὶ ὑλακτικοῖς. τοῖς δ᾽ ἐναλίοις θηρίοις τοῖς ἁρπακτικοῖς, ἃ

viae quae huc perducit statuetur principium? Nempe morbi ipsius cognitio, qualis scilicet is natura sit, ut prius est ostensum, quippe si id quod curatur is est, ratio profecto est ab ipso quoque indicationes esse incipiendas. Ergo primum quae generalis communisque morborum omnium indicatio sit investigandum est, ab hac deinde ad alias speciatim descendendum. Quippe necesse est omnes morbos unius ejusdemque participatione morbos appellari, veluti, arbitror, et hominem et bovem et canem et reliquorum singula. Unum namque idemque in omnibus hominibus est, cujus gratia omnes eandem appellationem hominis sortimur. Pari modo canibus unum idemque omnibus inest, cui cogitatione innitimur, quum canem intelligere volumus. Similiterque in omnibus equis unum idemque inest, propter quod omnes equi dicuntur. In homonymis autem hoc clarius perspicere licet. Nam omnibus quadrupedibus animantibus quae latrant unum idemque inest utique quod et quadrupedes sunt et latrabiles. At marinis illis rapacibus belluis, quas

Ed. Chart. X. [44.] Ed. Baſ. IV. (55.)

δὴ καὶ αὐτὰ κύνας ὀνομάζομεν, ἓν αὖ κἀκείνοις ὑπάρχει ταὐτὸν, οὐχ ὑπάρχον τοῖς ἐπιγείοις. ὥστε μηδενὸς ἐκεῖνα τούτοις κοινωνεῖν ἄλλου κατὰ τὴν τῶν κυνῶν φύσιν πλὴν ὀνόματος. ἀνθρώπῳ μέντοι πρὸς ἄνθρωπον, οἷον Σωκράτει πρὸς Ἀλκιβιάδην, οὐκ ὀνόματος μόνον, ἀλλὰ καὶ τῶν ὑπαρχόντων ἐστὶν ἡ κοινωνία· καὶ γὰρ καὶ ζῶα καὶ δίποδα καὶ πεζὰ καὶ λογικὰ καὶ θνητὰ καὶ ὅλως οὐδὲν ἂν εὕροις ὑπάρχον οὐδενὶ τῶν κατὰ μέρος ἀνθρώπων ᾗ ἄνθρωπος, ὃ μὴ καὶ τοῖς ἄλλοις ἀνθρώποις ὑπάρχει. τοῖς μέντοι χερσαίοις κυσὶ πρὸς τοὺς ἄλλους θαλαττίους ὑπάρχει πολλὰ διαφέροντα καὶ κατὰ τὴν τοῦ σώματος ἰδέαν καὶ κατὰ τὸ τῆς ψυχῆς ἦθος. ἥμερον γὰρ τοῦτο καὶ φιλάνθρωπον, ἐπίβουλον δ᾽ ἐκεῖνο καὶ ἄγριον, καὶ χερσαῖον μὲν τοῦτο, θαλάττιον δ᾽ ἐκεῖνο, καὶ τὸ μὲν τετράπουν, τὸ δὲ οὔ, καὶ τὸ μὲν ὑλακτικὸν, τὸ δὲ οὐχ ὑλακτικόν. οὐ μὴν τῶν ἐπιγείων κυνῶν ὁ μὲν ὑλακτικός ἐστιν, ὁ δὲ οὐχ ὑλακτικὸς, καὶ τετράπους μὲν ὅδε τις, ἕτερος δὲ μὴ τοιοῦτος, ἀλλὰ πᾶσι μὲν αὐτοῖς ἓν εἶδός ἐστιν ᾗ κύνες ὀνομάζονται καὶ οὐ μόνον ταῖς οὐσίαις ἔοικεν ὑπάρχειν

ipſas quoque canes appellamus, unum rurſus idemque ineſt quod terreſtribus non eſt, ita ut his cum illis in canum natura nulla ſit niſi tantum nominis convenientia. At hominis cum homine, veluti Socratis cum Alcibiade, non nominis modo, verum etiam eorum quae iis inſunt ſocietas eſt, nam et animalia et bipedes et pedeſtres et rationales et mortales ſunt, denique nihil ulli ſingularium hominum qua homo eſt, ineſſe deprehendas quod non et reliquis hominibus inſit. Caeterum terreſtribus canibus ab iis qui ſunt marini multa inſunt diverſa, ſeu corporis ſpectes formam, ſeu animi mores. Quippe ille cicur eſt hominisque amans, hic inſidiator et ferus, ille terreſtris, hic marinus, ille quadrupes, hic non rurſum, ille latrabilis, hic ad latrandum minime habilis. At non terreſtrium canum hic latrabilis eſt, ille non, nec rurſus hic quadrupes, alter non quadrupes, ſed omnibus ipſis una forma ineſt, qua canes nominantur. Nec vero ſubſtantiis modo id ineſſe videtur, verum etiam

τὸ τοιοῦτον, ἀλλὰ καὶ τοῖς συμβεβηκόσιν αὐτοῖς ἢ ὡς διαθέσεσιν, ἢ ὡς ἐνεργήμασιν, ἢ ὡς παθήμασιν. οἷον ἄνθρωπος περιπατῶν ἀνθρώπου περιπατοῦντος οὐδὲν διαφέρει κατ᾽ αὐτὸ τὸ περιπατεῖν, καὶ καιόμενος δὴ καιομένου καὶ τεμνόμενος τεμνομένου καὶ λευκὸς λευκοῦ καὶ μέλας μέλανος· ἐν μέντοι τῷ μᾶλλόν τε καὶ ἧττον ἕκαστον τούτων οὐ σμικρὰν ἔχει διαφοράν· οἷον [45] λευκὸς μᾶλλον ἢ ἧττον· ἀλλ᾽ ᾗ λευκὸς, ἕν τι καὶ ταὐτὸν ἑτέρῳ λευκῷ κέκτηται· καθάπερ καὶ ᾗ ἄνθρωπος, ἕν τι ταὐτὸν ἀνθρώπῳ τῷ τυχόντι. καὶ καθ᾽ ἕκαστον δὴ τῶν σημαινομένων ἓν ἅπασιν ὑπάρχει ταὐτόν· οὕτω δὴ καὶ τὸ νοσεῖν καὶ τὸ ὑγιαίνειν· τὸ μὲν τοῖς νοσοῦσιν ἅπασιν ὑπάρχει, τὸ δὲ τοῖς ὑγιαίνουσιν, ἓν καὶ ταὐτὸν ἑκάτερον· καὶ ὥσπερ ἐκ τῆς ἄνθρωπος φωνῆς ἕν, οὕτω κἀκ τῆς ὑγείας ἓν σημαίνεται. δηλοῖ δὲ καὶ ἡ καθ᾽ ἑκάστην ἡμέραν ἡμῖν γιγνομένη πρὸς ἀλλήλους διάλεκτος, ὡς ἐν οἷς οὐκ ἔστιν ὁμωνυμία, τὸ σημαινόμενον ἓν ὑπάρχει. λέγοντος γάρ τινος ὑπὸ ἀνθρώπου πληγῆναι λίθῳ τὴν κεφαλὴν, οὐδενὶ τῶν ἀκουόντων ἀσαφὴς ὁ λόγος, οὐδ᾽ ἀμφίβολος, ὥσπερ εἰ καταβρωθῆναί τις, εἰ

ipfis accidentibus, vel ut affectus funt, vel ut actiones, vel ut paffiones. Verbi gratia homo inambulans ab homine inambulante nihil differt fecundum ipfam inambulationem, fed nec uftus ab ufto nec caefus a caefo nec albus ab albo nec niger a nigro, verum in majoris minorisque ratione finguli horum non parvam obtinent differentiam, veluti magis minusve albus; verum quatenus albus unum idemque cum altero albo poffidet, ita nimirum, ut, qua homo eft, unum idemque cum alio quolibet eft homine, et in fingulis denique fignificatorum unum idemque omnibus ineft, ita igitur et ipfum aegrotare et valere fe habent, illud enim aegrotantibus ineft, hoc valentibus, utique unum idemque utrumque, et veluti nomine hominis unum, ita etiam nomine fanitatis unum fignificatur. Declarat autem et quotidianus inter vos fermo quod in quibus homonymia non eft, in his unum eft quod fignificatur. Si enim dicat quispiam vulneratum fibi effe lapide caput, nemini, qui audiat, fermo eft obfcurus aut ambiguus, ficut eft quum dicitur, fi forte ita conti-

οὕτως ἔτυχε, Κορίσκον ὑπὸ κυνὸς διηγεῖτο· τίνος γὰρ κυνός; ὁ ἀκούσας ἐρήσεται, διότι, οἶμαι, δύο ἐστὶν εἴδη κυνῶν, τὸ μὲν ἐπίγειον, τὸ δὲ ἐνάλιον. οὐ μὴν ὑπὸ τίνος γε λίθου καὶ τίνα τὴν κεφαλὴν ἐρωτήσει· καὶ γὰρ λίθου παντὸς ἓν εἶδος ᾗ λίθος ἐστὶ καὶ κεφαλῆς ἁπάσης ᾗ κεφαλὴ, κυνὸς δ᾽ οὐχ ἓν ᾗ κύων, ὥσπερ οὐδὲ γλώττης ᾗ γλῶττα. καὶ γὰρ καὶ αὐλοῦ καὶ ὑποδήματος καὶ ζώου μόριον ἡ γλῶττα. καὶ εἴ τινος ἀκούσαις οἰκέτῃ προστάσσοντος ὠνήσασθαι γλῶτταν, ἄδηλόν ἐστιν ἥντινα λέγει γλῶτταν· οὐ μὴν εἰ γαστέρα τις, ἢ κύστιν ἢ ἧπαρ ὠνήσασθαι κελεύοι. καθ᾽ ἕκαστον οὖν τῶν σημαινομένων ἕν τι πρᾶγμά ἐστιν ὑποκείμενον, οὐ μὴν καθ᾽ ἑκάστην γε τῶν φωνῶν ἕν· ἐνίοτε μέντοι σημαίνεται μόνον πρὸς τῆς φωνῆς, ὑπόκειται δὲ οὐδέν. ἀλλὰ περὶ μὲν τῶν οὕτω λεγομένων οὐ πρόκειται νῦν διελθεῖν. ἐν οἷς δὲ οὐ σημαίνεταί τι μόνον ἐκ τῆς φωνῆς, ἀλλὰ καὶ πρᾶγμά τί ἐστιν ὑποκείμενον, ὅσαπερ ἂν ᾖ τὰ σημαινόμενα, τοσαῦται καὶ αἱ τῶν πραγμάτων ὑπάρχουσιν ἰδέαι· τῆς μὲν φωνῆς ἓν σημαινούσης ἓν ἐξ ἀνάγκης ἐστὶ καὶ τὸ τοῦ πράγματος εἶδος.

gerit, devoratum esse a cane Coriscum, siquidem a quo cane, statim rogabit auditor, propterea videlicet quod duo sunt canum genera, terrestre alterum, alterum marinum. At non quo lapide aut quod caput, rogabit, quum et omnis lapidis qua lapis est una species sit et omnis capitis qua caput, canis vero ut canis sane non una, sicut nec linguae qua lingua, quando et tibiae et calceamenti et animantis pars lingua est. Ac si quem audias ministro jubentem ut linguam emat, incertum est quam linguam dicat; sin ventrem aut vesicam, aut jecur emere jubeat, non item. Ergo singulis significatis una certa subjecta res est, non tamen cuique voci una res subjicitur, interdum enim tamtummodo significatur per vocem, nec quicquam subjicitur. Verum de his quae ita dicuntur differere praesentis propositi non est. Quibus autem non tantum significatur aliquid, sed etiam res aliqua subjecta est, his quotquot significata fuerint, totidem sunt et rerum ideae. Ac vocis quidem unum significantis una necessario erit et rei species, numero tamen

ἀριθμῷ μέντοι πολλὰ ταῦτα ἐγχωρεῖ γενέσθαι, καθάπερ τὸ α. καὶ διὰ τοῦτο ἑπτὰ μὲν τὰ φωνήεντά φαμεν ὑπάρχειν, στοιχεῖα δὲ τέτταρα καὶ εἴκοσι τὰ σύμπαντα, κατὰ τὴν ἡμετέραν δηλονότι διάλεκτον, ἐπὶ τὸ κοινὸν ἁπάντων εἶδος ἀποβλέποντες ἓν ὑπάρχον, οὐκ ἐπὶ τὰ κατὰ μέρος, ἐπὶ τὰ ἐν χάρταις καὶ ξύλοις καὶ διφθέραις καὶ λίθοις γεγραμμένα, πάμπολύ τι πλῆθος ὄντα καὶ μηδ' ἀριθμηθῆναι δυνάμενα καὶ σχεδὸν εἰς ἄπειρον ἐκτεινόμενα· δύναται γοῦν ἄχρι τοῦ παντὸς αἰῶνος α καὶ β καὶ γ γράφεσθαι μυρία, κατὰ ταὐτὰ δὲ καὶ τῶν ἄλλων ἕκαστον γραμμάτων. ἀλλὰ τά γε σύμπαντα τέτταρα καὶ εἴκοσι τὸν ἀριθμὸν εἶναί φαμεν, οὐ τὰ κατὰ μέρος προχειριζόμενοι, τὰ δ' εἴδη μόνον, καθ' ὥσπερ, οἶμαι, καὶ τὰ ὀνόματα φέρομεν. ἄλφα γὰρ οὐ τουτὶ μέν τι λέγεται τὸ γεγραμμένον ἐν χάρτῃ, τουτὶ δ' οὐ λέγεται τὸ γεγραμμένον ἐν ξύλῳ, ἀλλὰ καὶ τοῦτο κἀκεῖνο, κἂν εἰ κατὰ τῆς γῆς γράψαις, κἂν εἰ κατὰ λίθου, κἂν εἰ καταξύσαις, κἂν εἰ διὰ χρωμάτων. καὶ οὐδὲ πολλὰ τοὺς παῖδάς τις διδάσκει α καὶ β καὶ γ καὶ τῶν ἄλλων ἕκαστον, ἀλλ' ἓν μὲν ἕκαστον, ὁμοῦ δὲ σύμπαντα τέσσαρα καὶ εἴκοσιν. οὕτως δὲ κἂν ἵππον ἕνα

plures has eſſe licet, ſicuti *α*. Eoque ſeptem eſſe vocales dicimus, elementa noſtro videlicet idiomate cuncta quatuor et viginti, ad communem videlicet omnium ſpeciem, quae una eſt, referentes, non ad particulares, quae chartis, lignis, membranis et lapidibus ſunt ſcriptae, quarum maximus numerus eſt, nec potis numerari peneque in infinitum extenſus; nam poſſunt in toto temporis ſpatio infinita ſcribi tum *α* tum *β* tum *γ*, eodem modo et reliquarum literarum ſingulae. Verum ea in univerſum quatuor eſſe et viginti numero dicimus, non particulares intelligentes, ſed tantum ſpecies, quibus, ut arbitror, ipſa nomina indimus. Quippe non hoc quod in charta ſcribitur, *α* dicitur, illud quod in ligno pingitur, non *α* dicitur, imo tum hoc tum illud, idque ſive deſcribas in terra, ſive in lapide, ſive ſcalpas, ſive coloribus pingas. Sed nec pueros docet quiſpiam multa *α* et *β* et *γ* et reliquorum ſingula, imo quodque horum unum, ſimul autem omnia viginti quatuor. Simili genere,

Ed. Chart. X. [45. 46.] Ed. Baf. IV. (55. 56.)

δείξεις, ἢ κάμηλον παιδὶ, θεασάμενος αὖθις ἕτερον ἵππον, ἢ κάμηλον ἑτέραν, οὐκ ἐρωτᾷ τί ποτ᾽ ἐστὶ τὸ ζῶον, ἀλλὰ τὸ μὲν ἵππον ὀνομάζει, τὸ δὲ κάμηλον. καὶ ταὐτόν γε εἶναι ἐκεῖνό φησι τοῦτο τὸ πρόσθεν ὁραθὲν τῷ νῦν ὁρωμένῳ. καίτοι τὸ μὲν, εἰ οὕτως ἔτυχεν, ἀπέθανεν, ἕτερον δ᾽ ἐστὶ τὸ νῦν ὁρώμενον. οἶνον δὴ λέγουσιν οἱ ἄνθρωποι τὸν αὐτὸν χθὲς καὶ τήμερον πεπωκέναι, τῷ εἴδει δηλονότι τὸν αὐτόν· ἐνίοτε δέ φασι τρεῖς οἴνους πεπωκέναι τήμερον, ἢ νὴ Δία ἕνα, πανταχοῦ πρὸς τὸ εἶδος ἀποβλέποντες, [46] ἐπικεῖσθαί τε μίαν, εἰ τύχοι, σφραγῖδα πεντεκαίδεκα θύραις, ἐν ἅπασι τούτοις ἐπὶ τὸ εἶδος ἀναφέροντες τὸν λόγον. οὕτω δὲ ἐναργές ἐστι καὶ φύσει πᾶσιν ὑπάρχει καὶ ἀνθρώποις καὶ βοσκήμασιν (56) ἕτερον μέν τι ὡς ὑποκείμενον κατ᾽ οὐσίαν, ἕτερον δὲ ὡς εἶδος ἓν ἐπινοεῖν, ὥστε καὶ τοῖς ὄνοις, οἵπερ ἁπάντων τῶν θρεμμάτων ἀνοητότατοί γε δοκοῦσιν ὑπάρχειν, ἄλλο μὲν τὸ κατ᾽ εἶδος ἓν, ἄλλο δὲ τὸ κατ᾽ ἀριθμὸν, εἰς διαγνωσιν ἥκει. θεασάμενος γοῦν κάμηλον ὁ ὄνος ἐξίσταταί τε καὶ φεύγει καὶ δέδιεν, εἰ μηδέποτε τύχοι θεασάμενος· εἰ μέν τοι συνεθισθείη

fi equum unum puero indices aut camelum, ubi alium rurfus equum aut camelum alterum afpexit, non rogat quod animal id fit, fed illum equum, hunc camelum nominat, atque illum quem prius cum hoc quem nunc cernit eundem effe dicit, quamvis fortaffis alter mortuus jam fit, alter, hic videlicet quem cernit, fuperfit. Jam vinum homines heri hodieque idem bibiffe fe dicunt, nempe fpecie idem, interdum tria fe vina hodie bibiffe narrant, aut etiam unum, ad fpeciem ubique refpicientes, praeterea quindenas fores uno figillo obfignatas, ad fpeciem *fcilicet* in omnibus his fermonem referentes. Adeoque eft evidens ac omnibus natura infitum tum hominibus tum brutis ut aliud quid ceu in fubftantia fubjectum, aliud ceu fpecie unum intelligant, ut vel afinorum, qui tamen omnium brutorum ftupidiffimi videntur, aliud effe fpecie unum, aliud numero, notitiam non fugiat. Confpecta namque camelo afinus fe retrahit et fugit ac timet, fi nunquam antea camelum confpexit. Sin autem videre jam affuevit, quamvis aliam aliam-

τῷ θεάματι, κᾂν ἄλλην αὐτῷ καὶ ἄλλην ἐπιδείξῃς κάμηλον, οὐκέτι δέδιεν ὑπὸ συνηθείας, ἀλλ᾽ ὡς ἓν εἶδος ὁρᾷ κἀκείνην ᾗ συνειθίσθη καὶ ταύτην ᾗ πρώτως ἐντυγχάνει. οὕτω δὲ καὶ τοὺς ἀνθρώπους οὐ δέδιεν ὑπὸ συνηθείας, ἀλλ᾽ ὡς ἓν εἶδος ὁρᾷ καὶ τούτους· εἰ μέντοι θεάσαιτο τὸν ὀνηλάτην, οὐχ ὡς ἄνθρωπον μόνον, ἀλλὰ καὶ ὡς τόνδε τινα γνωρίζει καὶ σείει γε τὰ ὦτα πολλάκις καὶ τὴν κέρκον κινεῖ καὶ ὀγκᾶται καὶ σκιρτᾷ θεασάμενος, ἐμφαίνων ὅτι γνωρίζει τὸν οἰκεῖον. τοῦτον μὲν δὴ καὶ ὡς ἄνθρωπον καὶ ὡς συνήθη γνωρίζει· τὸν δὲ νῦν αὐτῷ πρῶτον ὀφθέντα, καθ᾽ ὅσον μὲν ἄνθρωπον ὡσαύτως, ὡς συνήθη δ᾽ οὐχ ὡσαύτως. ὥστ᾽ οὐ μόνον ἡμεῖς, ἀλλ᾽ ἤδη καὶ οἱ ὄνοι τὸ μὲν ὡς ἀριθμῷ ταὐτὸν ὁρῶσί τε καὶ διαγινώσκουσι καὶ μέμνηνται, τὸ δὲ ὡς εἴδει. καὶ τὸν Δίωνα τὸν ὀνηλάτην, ἔστω γὰρ, εἰ τύχοι οὕτως λεγόμενος, ἄλλως μὲν ὡς ἄνθρωπον, ἄλλως δὲ ὡς Δίωνα γνωρίζουσιν οἱ συνήθεις ὄνοι, τὸ μέντοι κοινὸν εἶδος αὐτοῦ καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους ὡς ἀνθρώπου λαμβάνοντες, τὸ δὲ ἴδιον ἐξαίρετον ὡς Δίωνος μόνου. καὶ τοσοῦτον τοίνυν δέον τοὺς πα-

que illi demonftres, tamen propter confuetudinem non amplius timet, fed veluti unam fpeciem intuetur et illam cui infuevit et hanc quae nunc primum apparet. Ad eundem modum nec homines timet propter confuetudinem, fed hos quoque velut unam fpeciem videt. Verum fi agafonem infpexit, non folum ut hominem, fed etiam ut hunc hominem agnofcit, et faepe micat auribus et caudam quatit et rudit et lafcivit, quum eum afpexit, utique indicans fe familiarem agnofcere. Hunc itaque tum ut hominem tum ut familiarem nofcit, eum autem quem primum jam videt ut hominem fimiliter, ut familiarem non fimiliter. Quare non nos modo, verum afini quoque jam aliud ut numero idem tum vident tum etiam dignofcunt ac meminerunt, aliud ut fpecie. At Dionem agafonem, efto enim ita vocetur, aliter ut hominem, aliter plane ut agafonem fuum agnofcunt confueti afini, utique communem ejus cum aliis hominibus fpeciem ut hominis capientes, privatam vero ac fecretam, ut Dionis tantum. Ergo tantum abeft ut veteres philofo-

Ed. Chart. X. [46.] Ed. Baf. IV. (56.)

λαιοὺς φιλοσόφους ἐπαινεῖν, ὡς μέγα τι καὶ σοφὸν ἐξευρόντας, ὅτι τὸ ταὐτὸν καὶ τὸ ἕτερον καὶ τὸ ἓν καὶ τὸ οὐχ ἓν οὐ μόνον κατ᾽ ἀριθμὸν, ἀλλὰ καὶ κατ᾽ εἶδος χρὴ νοεῖν, ὥστε καὶ τοῖς ὄνοις φημὶ τοῦτο ὑπάρχειν φύσει. πρόσκειται μὲν οὖν ὑπὸ τῶν παλαιῶν φιλοσόφων, ὡς οὐ μόνον ἀριθμῷ καὶ εἴδει λέγεταί τι ταὐτὸν, ἀλλὰ καὶ τῷ γένει. οὐ μὴν ἤδη γέ πω τοῦδε χρήζω πρὸς τὰ παρόντα· μόνον γὰρ ἀρκεῖ μοι τὸ δεῖξαι τῶν ὄνων ὑπάρχοντας ἀναισθητοτέρους ὅσοι μὴ συγχωροῦσιν ἕτερον μέν τι τῷ εἴδει τὸ ἓν, ἕτερον δ᾽ ἀριθμῷ λέγεσθαι, καὶ μᾶλλον ἔτι τοὺς ἕνα μὲν τὸν φρενιτικὸν εἶναι λέγοντας καὶ ἕνα τὸν ἐμπειρικὸν, ἕνα δὲ τὸν ἄνθρωπον εἶναι μὴ συγχωροῦντας, ἢ μὴ γινώσκοντας ὡς εἴδει μὲν ἓν ὁ ἄνθρωπος, ἀριθμῷ δ᾽ οὐχ ἕν. οὐδ᾽ ὁ Σωκράτης μὲν ἓν καὶ τὸ εἶδος καὶ τὸν ἀριθμὸν, ὁ φρενιτικὸς δὲ τὸ μὲν εἶδος εἷς, οὐχ εἷς δέ ἐστι τὸ πλῆθος. οὐ γὰρ ἐνδέχεται Δίωνα καὶ Σωκράτην καὶ Θέωνα καὶ Κορίσκον ἅμα παντας, εἰ τύχοι, φρενιτίζοντας ἕνα τῷ πλήθει τοὺς τέσσαρας ὑπάρχειν, ἀλλὰ τὸ μὲν εἶδος ἕνα, τὸ πλῆθος δ᾽ οὐχ ἕνα. παραλογώτερον δέ τι τῶν

phos laudem tanquam amplum aliquid magnaeque fubtilitatis invenerint, quod idem ac diverfum, unum ac non unum, non folum numero, fed etiam fpecie fit cogitandum, ut etiam ipfis afinis hoc ineffe natura dicam. Sane adjiciunt veteres philofophi non tantum numero ac fpecie aliquid idem dici, verum etiam genere. Verum id jam ad rem propofitam non defidero; mihi enim unicum illud fatisfacit, quod ipfis afinis ftupidiores oftendi qui non concedunt aliud fpecie unum, aliud numero dici, magisque his etiam qui unum effe phreniticum et unum empiricum dicunt, unum tamen effe hominem non concedunt, aut qui non intelligunt fpecie quidem unum effe hominem, numero non unum, nec Socratem unum effe tum fpecie tum numero, phreniticum autem fpecie effe unum, multitudine non unum, quum fieri non poffit ut Dion, Socrates, Theon et Corifcus pariter, fi ita fors tulit, phrenitide laborantes, quum quatuor fint, unus multitudine fint, fed fpecie unus, multitudine non unus. Abfurdius autem multo eft

ἐμπειρικῶν ἰατρῶν ἐστιν, ὅτι καὶ τὸν ἐμπειρικὸν ἕνα λέγουσιν, εἶτ᾽ ἐρωτηθέντες πῶς ἕνα φασὶ τὸν ζῶντα τῷ τεθνεῶτι, καὶ τὸν ἐπὶ τῆς Ἑλλάδος τῷ κατ᾽ Αἴγυπτον, ἀποκρίνονται πρὸς τοῦτο θαυμαστὴν ἀπόκρισιν. ᾗ γάρ φασιν ἐμπειρικός ἐστι, ταύτῃ καὶ εἷς. τοῦτο γὰρ δὴ τῆς ἐσχάτης ἀναισθησίας ἐστὶν, εἰ προστιθέντες τὸ ᾗ καὶ τὸ ταύτῃ, μηδ᾽ ὧν αὐτοὶ φθέγγονται συνίασιν. εἰ γὰρ δὴ ταύτῃ γε Σεραπίων καὶ Μηνόδοτος εἷς ἐστὸν ᾗ ἐμπειρικοὶ, κατ᾽ ἄλλα δήπουθεν οὐχ εἷς ἔσονται. ὥστ᾽ εἴ γε παντοίως εἷς ἦν, ἐκ περιττοῦ καὶ μάτην ἂν, οἶμαι, προσέκειτο τὸ ᾗ καὶ τὸ ταύτῃ, παρὸν ἁπλῶς εἰπεῖν ὡς εἷς ἐστι Σεραπίων καὶ Μηνόδοτος. [47] οὕτως οὖν ὡς ὑπὲρ αὐτοῦ μόνου Μηνοδότου τὸν λόγον ποιούμενος, οὐκ ἂν προσθήκης δεηθείης, ἀλλ᾽ ἁπλῶς ἂν εἴποις, εἷς ἐστι Μηνόδοτος. εἰ τοίνυν Μηνόδοτος μὲν εἷς ἁπλῶς, Μηνόδοτος δὲ καὶ Σεραπίων οὐχ ἁπλῶς εἷς, ἀλλ᾽ ᾗ ἐμπειρικοὶ, πάντως δήπουθεν αὐτοῖς ἐστιν ἕτερ᾽ ἄττα καθ᾽ ἃ δύο εἰσὶ καὶ οὐχ εἷς ἀμφότεροι, καὶ γίνεται τοῦτο ἐκεῖνο τὸ πρὸς τῶν

quod empirici dicunt, quum unum effe empiricum dicunt, deinde rogati quomodo unum dicant eum qui vivit cum eo qui mortuus eft et eum qui eft in Graecia cum eo qui eft in Aegypto, mirificum reponfum afferunt. Quatenus, inquiunt, empiricus eft, eatenus etiam unus eft. Hoc enim extremae ftupiditatis eft, fi adjectis illis, quatenus et eatenus, ne quae ipfimet loquuntur intelligunt. Si enim eatenus Serapion et Menodotus unus funt, qua empirici funt, profecto in aliis unus non erunt, quando fi omnifariam unus effent, fupervacue, arbitror, ac fruftra addita effent illa, quatenus et eatenus, cum promptum effet fimpliciter dicere unum effe Serapionem et Menodotum: ita nimirum ut fi de ipfo tantum Menodoto loquens, adjectione non egeres, fed abfoluto fermone diceres, Menodotus eft unus. Ergo fi unus abfoluto fermone eft Menodotus, Serapion autem et Menodotus non abfoluto fermone unus, fed quatenus empirici, omnino profecto ipfis alia quaepiam inerunt quibus duo funt et non unus ambo. Efficiturque hoc illud quod

παλαιῶν φιλοσόφων εἰρημένον, ἕτερον μὲν ἀριθμῷ καὶ ταὐτὸν καὶ ἓν, ἕτερον δὲ τῷ εἴδει, καὶ μηδὲν εἶναι θαυμαστὸν, εἰ Μηνόδοτος Σεραπίωνι κατά τι μὲν ὁ αὐτός ἐστι καὶ εἷς, κατά τι δὲ οὐχ ὁ αὐτὸς οὐδ᾽ εἷς. ᾗ μὲν γὰρ ἐμπειρικὸς ὁ αὐτὸς, ᾗ δ᾽ ὁ μὲν σιμὸς, ὁ δὲ γρυπὸς, ἢ μέλας, ἢ λευκὸς, ἢ μέγας, ἢ μικρὸς, οὐχ ὁ αὐτός. ἆρ᾽ οὖν οὕτως ἐστὶν ἑκάτερος αὐτῶν ἄνθρωπος, ὡσεὶ ἢ γρυπὸς ἢ σιμὸς, ἢ οὕτως ὡς ἐμπειρικός; ἢ κἂν παῖς τοῦτό γε νοήσειεν, ὡς ᾗ μὲν ἄνθρωπος εἷς ἐστιν, ᾗ δ᾽ ὁ μὲν σιμὸς, ὁ δὲ γρυπὸς, οὐχ εἷς. ἆρ᾽ οὖν οὐκ ἐσχάτης ἀναισθησίας, ἢ φιλονεικίας, ἢ οὐκ οἶδ᾽ ὅ τί ποτε καὶ προσειπεῖν ἄξιον, ἕνα μὲν ὁμολογεῖν εἶναι τὸν φρενιτικὸν ᾗ φρενιτικὸς, ὡσαύτως δὲ καὶ τὸν ληθαργικόν τε καὶ πλευριτικὸν, οὐδένα δὲ τὸν ἄνθρωπον ᾗ ἄνθρωπος· καὶ τὸν μὲν ἐμπειρικὸν ἕνα λέγειν ᾗ ἐμπειρικὸς, οὐχ ἕνα δὲ τὸν ἵππον ᾗ ἵππος, ἐνὸν ἀκοῦσαι λέγοντος Ἀριστοτέλους τε καὶ Θεοφράστου δύνασθαί τι τῷ μὲν εἴδει ταὐτὸν ὑπάρχειν ἕτερον ἑτέρῳ, τῷ δ᾽ ἀριθμῷ μὴ ταὐτὸν, ἔτι δὲ τούτων ἔμπροσθεν αὐτοῦ τοῦ κἀκείνοις ὑφηγησαμένου τὴν τοιαύτην

antiqui philofophi dixerunt, aliud numero et idem et unum esse, aliud specie, nec esse mirum, si Menodotus Serapioni in aliquo idem sit atque unus, in aliquo non idem neque unus; quatenus enim empiricus idem, quatenus autem hic resimus, ille naso adunco aut candidus, aut niger, aut magnus, aut parvus, non idem. Numquid igitur sic est uterque eorum homo ut vel naso est adunco, vel resimus, an sic ut empiricus est? An hoc quoque puer intelligat, quod qua homo unus sunt, qua hic resimus, ille grypus, non unus? Num igitur extremae stupiditatis est, aut pertinaciae, aut nescio quo nomine merito appellem, fateri unum esse phreniticum qua phreniticus, simili modo lethargicum et pleuriticum, hominem vero qua homo est, non unum? Praeterea empiricum unum dicere qua est empiricus, equum vero ut equus est, non unum? quum audire liceat Aristotelem et Theophrastum affirmantes specie quidem posse alterum alteri idem esse, numero vero non idem, atque etiam ante hos illum, qui ipsos hujusmodi significato-

Ed. Chart. X. [47.] Ed. Baſ. IV. (56.)

διαστολὴν τῶν σημαινομένων ἐπακοῦσαι λέγοντος, ὡς οὐδὲν θαυμαστόν ἐστιν ἓν εἶναι τὰ πολλὰ καὶ τὰ πολλὰ ἕν. οὕτω γὰρ σαφῶς ἅπαντα τοῦτον τὸν λόγον ὁ Πλάτων διῆλθεν ἐν ἀρχῇ τοῦ Φιλήβου, ὥστ᾽ ἐγὼ μὲν καὶ τοῖς ἀναισθήτοις αὐτὸν εἶναι νομίζω σαφῆ. γνωρίζουσι γοῦν οἱ ὄνοι καὶ ἄνθρωπον καὶ κάμηλον καὶ βοῦν, καὶ τόνδέ τινα τὸν ἄνθρωπον καὶ τήνδέ τινα τὴν κάμηλον, καὶ τόνδέ τινα τὸν βοῦν. οὕτω δὲ καὶ ὁδὸν οὐ μόνον ἁπλῶς ὡς ὁδὸν, ἀλλὰ καὶ ὡς τήνδέ τινα γνωρίζουσιν. ἐπιστησὰν γοῦν ὄνον ἐπ᾽ ἀρχὴν ὁδοῦ μὴ γνωρίμου καὶ θέασαι πῶς αὐτὴν βαδίζει τε καὶ διέρχεται πᾶσαν, οὐκ ἐκτρεπόμενος ἑκατέρωσε, πλὴν εἰ μὴ τύχοι που σχιζομένη, δῆλον ποιῶν ὡς αὐτὸ τὸ εἶδος ὅ τί ποτ᾽ ἐστὶν ὁδοῦ μέμνηται καὶ γιγνώσκει σαφῶς. βαδίζει γοῦν τὴν τετριμμένην· καθ᾽ ὅσον δὲ ἀγνοεῖ σφάλλεται· οὐ γὰρ δὴ τήν γε ἄτομον καὶ μίαν τῷ ἀριθμῷ μεμνημένος ἀπ᾽ ἐκείνης ἣν οὐκ οἶδε βαδίζειν δύναται. δῆλον δ᾽ ὅτι τὴν ὁδὸν ταύτην, ἣν νῦν βαδίζει πρῶτον, ᾗ μὲν ὁδὸς ὡς εἴδει γινώσκων βαδίζει, καθ᾽ ὅσον δὲ ἀριθμῷ μία, κατὰ τοσοῦτον ἀγνοεῖ τῷ τε μηδαμῶς

rum diſtinctionem docuit, audire dicentem nihil eſſe miri unum eſſe multa et multa unum. Nam adeo dilucide omnem hanc diſceptationem Plato in principio Philebi abſolvit, ut mihi vel ipſis ſtupidis videatur eſſe evidens. Aſini namque norunt tum hominem tum camelum tum bovem, praeterea huncce hominem quendam, huncce camelum, huncce bovem: eodem modo viam norunt non tantum abſolute ut viam, ſed etiam ut hanc aliquam viam. Nam in ingreſſu viae quam non novit, aſinum ſtatue attendeque, ut illam perambulet ac totam peragat in neutram partem declinans, niſi ſicubi in diverſa ſcinditur, utique declarans ſe ſpeciem ipſam viae meminiſſe et clare agnoſcere, quippe inambulat eam quae trita eſt, quatenus autem ignorat, fallitur, neque enim ex recordatione ejus quae inſectilis unaque numero eſt, hanc quam non novit peragere poteſt. Manifeſtum vero eſt eum hanc viam qua nunc primum inſiſtit, quatenus via eſt, ut ſpecie noſcentem inambulare, quatenus vero numero una eſt, eatenus ignorare propterea quod et

πρὸς τὰς ἀτρίπτους ἐκτρέπεσθαι καὶ τῷ καθ' ὃ σχίζεται μὴ γινώσκειν ὁποίαν ἰτέον· ὅπερ ἠπίστατο ἂν ἀκριβῶς, εἰ δεύτερον αὐτὴν ἢ τρίτον ἔτυχε νῦν βαδίζων. ἐπειδὴ γὰρ ἕτερον μὲν οἶδεν, ἕτερον δ' ἀγνοεῖ, καθ' ὅσον τὸ μὲν κοινὸν εἶδος ὁδοῦ γινώσκει, τὸ δ' ἴδιον ταύτης ἤ τινος ἀγνοεῖ, καθ' ὅσον μὲν οἶδεν οὐ σφάλλεται, βαδίζει γοῦν τὴν τετριμμένην, καθ' ὅσον δ' ἀγνοεῖ σφάλλεται πολλάκις ἐν ταῖς τριόδοις, οὐκ εἰδὼς ὁποίαν ἕληται. διττὰς οὖν ἔχουσι γνώσεις καὶ οἱ ὄνοι· τῶν μὲν κοινῶν εἰδῶν ἑτέρας, τῶν δ' ἰδίων ἄλλας. λοιπὸν εἴτε ἓν εἶδος ἐκεῖνο ἐθέλοις καλέσαι τὸ κοινὸν, εἴτε γένος, εἴτε κοινότητα, φυλάττων αὐτοῦ τὴν ἔννοιαν, ἣν ἐγὼ νῦν ἐξηγοῦμαι, περὶ μὲν ὀνομάτων ἀμφισβητήσεις, οὐ μὴν μεταθεῖναί γε δυνήσῃ τὸ πρᾶγμα. καίτοι πρὸς μὲν τὴν τῶν ὀνομάτων θέσιν ἴσως ἕτερος ἀμφισβητήσει παραπλησίως [48] σοι, τῆς περὶ τὰ πράγματα θεωρίας ἀγύμναστος. οὐ μὴν ἡμεῖς γε ἀμφισβητήσομεν, ἀλλ' ἐκείνου μόνον ἀξιώσομέν σε μεμνῆσθαι τοῦ παρὰ Πλάτωνος λεγομένου· ἓν γὰρ δὴ τὰ πολλὰ εἶναι

nusquam ad non tritam divertat, et qua in duas fcinditur, nefciat utra fit eundum. Quod tamen omnino non ignoraret, fi fecundo aut tertio nunc per hanc ingrederetur; nam quoniam alterum novit, alterum non novit, propterea videlicet quod communem viae fpeciem cognofcit, propriam sutem hujus vel illius ignorat, utique quatenus novit non fallitur, quippe qui tritae infiftit: quatenus ignorat fallitur multoties in triviis, nefcius quam eligat. Duplicem ergo cognitionem habent et afini, communium fpecierum alteram, privatarum alteram. In fumma five unam fpeciem appellare commune illud velis, five genus, five communitatem, fi illius hanc quam ipfe nunc interpretor notionem cuftodias, de nominibus contendes, rem tamen non mutare poteris. Et de nominum quidem impofitione alius fortaffe quispiam tecum contendet, utique qui aeque in rerum comtemplatione ut tu parum eft exercitatus. Caeterum nos faltem non contendemus; illud potius te monebimus meminiffe quod Plato ait: *Multa enim unum effe*

Ed. Chart. X. [48.] Ed. Baf. IV. (56. 57.)

καὶ τὸ ἓν πολλὰ, θαυμαστῶς λεχθὲν, καὶ οὐ ῥᾴδιον ἀμφισβητῆσαι τῷ τούτων ὁποτερονοῦν τιθεμένῳ· εἰ γὰρ δὴ τοῦτο διασώζοις, οὐκέθ' (57) ἕξεις ἐρίζειν, ὥσπερ νῦν ἐρίζεις τὰ μὲν ὑπὸ τῆς ἀμαθίας, τὰ δ' ὑπὸ τῆς φιλονεικίας ἀγόμενος. ἀλλ' εἴτέ τις ἕνα λέγοι τὸν φρενιτικὸν, ἕνα συγχωρήσεις ὑπάρχειν· εἴτε πολλοὺς, καὶ οὕτω συγχωρήσεις· ὡσαύτως δὲ καὶ τὸν ἐμπειρικόν τε καὶ δογματικὸν καὶ τὸν μεθοδικόν· οὕτω δὲ τὸν ἰατρὸν ἕνα τε καὶ πολλοὺς φήσεις· ἕνα μὲν ᾗ ἰατρὸν, οὐχ ἕνα δὲ τῷ κατὰ μέρος πλήθει. οὐ γὰρ δὴ ἐπὶ μὲν τοῦ ἐμπειρικοῦ τὸ ᾗ προσθήσεις, ἀφαιρήσεις δὲ ἐπὶ τοῦ ἰατροῦ, οὐδὲ ἐπὶ μὲν τοῦ ἰατροῦ προσθήσεις, ἀφαιρήσεις δὲ ἐπ' ἀνθρώπου, οὐδὲ τὸν φρενιτικὸν μὲν ἕνα φήσεις ᾗ φρενιτικὸς, τὸν νοσοῦντα δ' οὐχ ἕνα. καὶ γὰρ καὶ οὗτος ᾗ νοσῶν εἷς ἐστιν. ἐπιλαθοῦ τοίνυν ἤδη ποτὲ τῶν λήρων ἐκείνων, οὓς ἐν ἄλλοις βιβλίοις ἐρίζων λέγεις, ἀξιῶν δειχθῆναί σοι τὸν ἄνθρωπον αὐτὸν καθ' ἑαυτὸν μόνον ἄνευ τῶν κατὰ μέρος, ὥσπερ αὐτὸς δεῖξαι δυνάμενος τὸν ἐμπειρικὸν ἄνευ Μηνοδότου καὶ Σεραπίωνος καὶ τῶν ἄλλων τῶν κατὰ μέρος, ἢ νὴ Δία τὸν φρενιτικὸν

*et unum multa.* Mirificum fane dictum! Nec facile eft contendere cum eo qui horum utrumlibet ftatuat; etenim fi hoc obferves, non erit quod contendas, ut nunc contendis, partim ignorantia, partim adductus pertinacia. Sed five quis unum effe phreniticum dicat, unum effe confenties, five multos, ita quoque confenties. Simili modo et empiricum et dogmaticum et methodicum, ita vero et medicum unum effe ac multos dices, unum quidem qua medicum, non unum vero particulari multitudine. Non enim de empirico *loquens* illud, quatenus, adhibebis, de medico loquens id tolles; neque rurfus de medico *loquens* adjicies, de homine *loquens* auferes. Nec phreniticum unum effe dices qua phreniticus, aegrotantem vero non unum, fiquidem hic quoque qua aegrotans eft unus eft. Dedifce igitur tandem nugas illas, quibus in aliis libris captiofe utens cenfes oftendi tibi ipfum hominem folum et feorfum a particularibus hominibus, tanquam ipfe oftendere poffis empiricum citra Menodotum et Serapionem et alios particulares

Ed. Chart. X. [48.] Ed. Baſ. IV. (57.)

ἄνευ τῶν κατὰ μέρος φρενιτικῶν. ἐν τίνι τοίνυν τὸ σφάλμα καὶ πόθεν ἡ ἐκτροπὴ τοῦ καὶ τῶν ὄνων αὐτοὺς γίγνεσθαι μωροτέρους; ἐξ ὥνπερ καὶ ἄλλα μυρία σφάλλονται. μεταβῆναι γὰρ ἐπὶ τὰς οὐσίας τῶν πραγμάτων ἀπὸ τῶν ἐννοιῶν ἐπιχειροῦντες, εἶθ᾽ ὡς ἀγύμναστοι τῆς λογικῆς θεωρίας σφάλλονται, συνανατρέποντες τῇ περὶ τούτων ἀπορίᾳ καὶ τὰς ἐννοίας. ἐκδέχεται γὰρ αὐτοὺς ἐνταῦθα τὸ περὶ γενῶν καὶ εἰδῶν ζήτημα σφῆλαι δυνάμενον, οὐ μόνον ἀγυμνάστους ἀνθρώπους ἐν ταῖς λογικαῖς μεθόδοις, ἀλλὰ καὶ τῶν γεγυμνασμένων τινὰς, ἐὰν μὴ προσέχωσιν ἀκριβῶς τὸν νοῦν. ἀλλ᾽ οὐ χρὴ διότι περὶ τῆς οὐσίας ἀποροῦσι τῶν πραγμάτων, ἀφίστασθαι τῶν ἐναργῶν ἐννοιῶν· οὐδ᾽ ἡγεῖσθαι σοφὸν ἐξευρηκέναι τι τοὺς μὲν ἐμπειρικοὺς, ἐὰν ἓν εἴπωσιν, ἄνευ τοῦ προσθεῖναι κατὰ ποῖον σημαινόμενον ἕν ἐστι, τοὺς δὲ μεθοδικοὺς, ἐὰν ἀντὶ γένους, ἢ εἴδους, ἢ κοινοῦ κοινότητα λέγωσιν. ἐμοὶ μὲν γὰρ ἄμεινον ἐδόκει σαφῶς τῆς ἐννοίας ἤδη διωρισμένης, ὡς ᾗ μὲν φρενιτικοὶ, ταύτῃ πάντες εἷς· ᾗ δ᾽ ὁ μὲν νέος, ὁ δὲ γέρων, ἢ ἰσχνὸς, ἢ παχὺς, ἢ ἀνὴρ, ἢ γυνὴ,

empiricos, aut etiam phreniticum ſeorſum a particularibus phreniticis. Ubi igitur eſt error undeque haec mutatio, ut aſinis adeo ipſis ſint ſtolidiores? nempe unde in aliis quoque infinitis falluntur. Quippe ubi a notionibus ad rerum ſubſtantias tranſire tentant, deinde per logicae contemplationis imperitiam ſalluntur, utique ſubvertentes cum rerum addubitatione etiam ipſas notiones. Siquidem excipit eos hic quaeſtio de generibus et ſpeciebus, quae non modo homines qui in logicis methodis non ſunt exercitati, ſed etiam, niſi acriter intendant, aliquos ex iis qui ſunt exercitati poteſt ſallere. Caeterum non oportet propterea quod de rerum ſubſtantia dubitant, a manifeſtis recedere notionibus, nec putare conſultum aliquid inveniſſe utrosvis, vel empiricos, ſi unum dicant non adjecto quo ſignificato unum ſit, vel methodicos, ſi pro genere vel ſpecie vel communi communitatem uſurpent. Mihi enim melius viſum eſt notione ipſa clare jam deſinita, nempe qua phrenitici ſunt, hac eſſe omnes unum: qua vero hic juvenis, ille ſenex, aut

ταύτῃ πολλοὶ, χρήσασθαι λοιπὸν ἑρμηνείᾳ παλαιᾷ καὶ συγκινδυνεῦσαι κατὰ τὴν λέξιν Ἀριστοτέλει καὶ Θεοφράστῳ καὶ Πλάτωνι. πάντα τὰ τοιαῦτα τῷ μὲν εἴδει λέγουσιν ἓν ὑπάρχειν, τῷ πλήθει δ' οὐχ ἕν· οὐ φρενιτικὸν μόνον, ἢ ληθαργικὸν, ἢ ἐμπειρικὸν, ἀλλὰ καὶ δογματικὸν καὶ μεθοδικὸν καὶ ἄνθρωπον καὶ ἵππον καὶ ἄνδρα καὶ γυναῖκα καὶ τῶν ἄλλων ἕκαστον. εἰ δ' ἐπὶ τὰ κατὰ μέρος ἔλθοις, οἷον τήνδε τὴν γυναῖκα τὴν δειχθῆναι δυναμένην, ταύτην οὐκ ἐγχωρεῖ τῷ μὲν εἴδει λέγειν ἕν, τῷ πλήθει δὲ πολλὰ, κατ' ἄμφω γὰρ ἕν ἐστιν ἡ δειχθῆναι δυναμένη γυνὴ, καὶ τῷ εἴδει καὶ τῷ πλήθει, ὅπερ δὴ καὶ τῷ ἀριθμῷ καλοῦμεν. οἱ δέ γε οὐχ οὕτως ποιοῦσιν, ἀλλ' οἱ μὲν κοινότητας ὀνομάζουσιν, ὥσπερ οὐ μᾶλλον ἀπορηθῆναι δυναμένας εἰδῶν καὶ γενῶν, οἱ δ' ῇ μὲν τόδε τι λέγουσιν, ὑπάρχειν ἕν· ῇ δ' οὐχ ἕν, οὐκέτι λέγουσιν ἓν ὑπάρχειν. ἐχρῆν γὰρ δήπου καὶ τούτους ὥσπερ δή [49] ποτε ὅ τε Μηνόδοτος καὶ Σεραπίων καὶ Θεοδᾶς καὶ Γλαυκίας, Ἀπολλώνιός τε καὶ Καλλικλῆς καὶ Διόδωρος καὶ Ἡρακλεί-

gracilis, aut obefus, aut vir, mulier, hac multos, veteri elocutione de caetero uti, ac cum Ariftotele, Theophrafto et Platone loquendo periclitari, qui omnia id genus fpecie effe unum dicunt, multitudine vero non unum, non phreniticum modo aut lethargicum aut empiricum, fed etiam dogmaticum et methodicum et hominem et equum et virum et mulierem et reliquorum fingula. Quod fi ad particularia defcenderis, veluti hanc mulierem quae indicari digito poteft, hanc fane non poffis fpecie quidem unam dicere, multitudine vero multas. Quippe haec mulier quae indicari digito poteft una eft utroque modo, et fpecie et multitudine, quod etiam aliter numero dicere folemus. Ili vero ita non faciunt, fed alii communitates nominant, ceu vero non magis dubitari de iis quam generibus et fpeciebus poffit. Alii quatenus hoc quippiam eft unum effe dicunt, quatenus autem non unum, nequaquam explicant. Eterim par erat hos quoque, quemadmodum oftendunt, quod Menodotus et Serapio et Theodas, Glaucias et Apollonius et Callicles et

δης καὶ Λύκος, εἷς ἅπαντες ὑπάρχουσιν ᾗ ἐμπειρικοὶ, οὕτω πάλιν ᾗ οὐχ εἷς ἅπαντες, ἀλλὰ πάμπολλοί τινές εἰσιν, ἐξηγήσασθαι· ἐν αὐτῷ γὰρ τῷ ταῦτ᾽ ἐξηγεῖσθαι πάντως ἄν που κατενόησαν ὡς ἓν καὶ πολλὰ καὶ ταὐτὸν εἶναί τε λέγεσθαι δυνατόν ἐστι. Μηνόδοτος οὖν καὶ Σεραπίων ᾗ μὲν ἐμπειρικοὶ εἷς, καὶ νὴ Δία γε ᾗ ἰατροὶ καὶ ᾗ ἄνθρωποι. τί δὲ ᾗ ζῶα, καλὸν ἐρέσθαι τοὺς ἐμπειρικοὺς, ἆρά γε κατὰ ταῦτα Μηνόδοτος καὶ Σεραπίων εἷς ἐστι; εἰ μὲν γὰρ μὴ φαῖεν, οὐδ᾽ ἡμεῖς συγχωρήσομεν ᾗ ἐμπειρικοὶ, ταύτῃ γίγνεσθαι τοὺς δύο ἀνθρώπους ἕνα. συγχωρούντων δὲ καὶ ταύτῃ τοὺς δύο γίνεσθαι ἕνα, καθ᾽ ὅσον ἄμφω ζῶα, εὐθὺς μὲν ὑπομνήσομεν, ὡς ὀρθῶς ἄρα πρὸς τῶν παλαιῶν φιλοσόφων ἐλέγετο τὸ μὲν ἀριθμῷ, τὸ δὲ εἴδει, τὸ δὲ γένει ταὐτόν τε καὶ ἓν ὑπάρχειν. ἑξῆς δὲ πάλιν ἐρησόμεθα, φρενιτικὸς Μηνόδοτος, φρενιτικὸς Σεραπίων, πότερον ὁ αὐτός ἐστιν ἢ ἕτερος; ἀποκρινομένων δὲ ταύτῃ φρενιτικὸν εἶναι καὶ ἕνα καὶ τὸν αὐτὸν ἀμφοτέρους ᾗ φρενιτικοὶ, πάλιν ἐρησόμεθα, τί δὲ καθὸ νο-

Diodorus et Heraclides et Lycus, unus omnes funt qua empirici, ita rurfus quemadmodum non unus omnes, fed multi funt exponere. Siquidem in his exponendis alicubi plane deprehendiffent idem, tum unum, tum multa non modo effe, fed etiam dici poffe. Menodotus namque et Serapio qua empirici funt unus funt, imo et qua medici et qua homines. Quid vero qua animalia? Nam id quaeri ab his operae pretium eft. Num hactenus quoque Menodotus et Serapio unus funt? Nam fi id negent, nec nos concedemus, quatenus empirici funt, eatenus duos homines effe unum. Sin concedant hac quoque duos effe unum, quatenus ambo funt animalia, protinus illud fubjiciemus, recte igitur ab antiquis philofophis dictum eft aliud numero, aliud fpecie, aliud genere effe, quod tum idem tum unum eft. Dehinc rurfus interrogabimus, phreniticus Menodotus, phreniticus Serapio, idemne eft an diverfus? Si refpondeant eatenus unum phreniticum effe, unumque et eundem ambo qua phrenitici, rurfus perconctabimur, quid autem qua aegrotantes? num

σοῦντες οὐ καὶ ταύτῃ εἷς ἄμφω ἐστόν; εἰ μὲν οὖν μὴ φαῖεν, οὐδ' ἡμεῖς συγχωρήσομεν ἡ φρενιτικοί. συγχωρησάντων δὲ ἐρησόμεθα τί δηλονότι πρᾶγμα μίαν ἰδέαν ἔχον, ἐφ' οὗ τοῦτο τὸ ὄνομα φέρουσιν ἅπαντες ἄνθρωποι, νόσον. οὐ γὰρ δὴ φρενῖτις μέν τι γενήσεται πρᾶγμα μίαν ἰδέαν ἔχον καὶ ταύτῃ ποιοῦν ἅπαντας ἕνα τοὺς δεξαμένους αὐτὸ, νόσος δ' οὐχ ὡσαύτως ἕνα ποιήσει πάντας οἷς ἂν ἐγγένηται. ἀλλ' οὐκ ἔστι φησὶν, οὐδὲν οὕτως ἀφωρισμένον εἶδος ἢ ζώου ἢ νοσήματος ὡς ἀνθρώπου καὶ φρενίτιδος. τί φῂς ὦ οὗτος; ἆρά γε οὐδὲν αἱ φωναὶ δοκοῦσί σοι σημαίνειν, ἥ τε ζῶον καὶ ἡ νόσος, ἀλλ' ὁμοίως ἐκφωνεῖσθαι τῷ βλίτυρι καὶ σκινδαψός; ἢ σημαίνουσι μὲν, οὐδὲν δ' ὑπόκειται πρᾶγμα ταῖς φωναῖς, ὡς ἐν τῷ Σκύλλα καὶ Κένταυρος, ἢ καὶ σημαίνουσι καὶ τὸ σημαινόμενον ἓν ὑπάρχει; εἰ μὲν γὰρ οὐδέν ἐστι πρᾶγμα τὸ δηλούμενον ὑπὸ τῆς ζῶον ἢ τῆς νόσημα φωνῆς, οὐκ ὀρθῶς λέγεις τὸν ἄνθρωπον εἶναι ζῶον ἢ τὴν φρενῖτιν νόσον. εἰ δ' ἔστι καὶ λέγεις ἀληθῶς, τουτὶ μὲν τὸ προσερχόμενον ζῶον εἶναι, ἢ τὴν φρενῖτιν νόσον, τοῦτον δ' εἰ τύχοι τὸν κατακείμενον

hac quoque ambo unus funt? Si negent, neque nos illis concedemus qua phrenitici. Sin annuant, utique rem aliquam ponemus, cujus una fit fpecies de qua omnes homines morbi nomen enunciant. Non enim phrenitis res aliqua fuerit, cui una fit idea atque eatenus omnes qui ea funt affecti, unum efficiens, morbus autem fimiliter unum non faciet omnes quos occupaverit. At nulla eft, inquit, ita diftincta fpecies aut animalis aut morbi ficut hominis et phrenitidis. Quid ais improbe? An nihil tibi fignificare videntur hae voces, animal et morbus, fed fimiliter efferri ut blityri et fcindapfus? An fignificant quidem, verum nulla res fubftat quae vocibus refpondeat, veluti in Scylla et Centaurus? an etiam fignificant atque id quod fignificatur unum eft? Quippe fi nulla fit res quae his vocibus, animal et morbus, indicetur, non recte dicis hominem effe animal, aut phrenitim morbum. Sin eft res aliqua et vere dicis, tum hunc qui advenit, animal effe, tum huncce qui decumbit phrenitide laborare, eft utique omnino aliquid eorum

Ed. Chart. X. [49.] Ed. Baf. IV. (57.)

ἄνθρωπον νοσεῖν, ἔστι τι πάντως τῶν ὑπαρχόντων αὐτοῖς, ἐφ᾽ οὗ φέρεις ἕκαστον τῶν ὀνομάτων. ἀλλ᾽ οὐ γεγύμνασαι νοεῖν αὐτὰ, καίτοι γε ἐκ τῶν πρώτων εἰσαγωγῶν ὄντα τῆς λογικῆς θεωρίας. τί οὖν τοῦτο πρὸς τὸ ἀληθές; οὐ δήπου γὰρ ἐξ ὧν ἂν σὺ μὴ συνίεις, ἐκ τούτων χρὴ κρίνεσθαι τὴν ἀλήθειαν, ἀλλ᾽ ἐξ ὧν ἂν καὶ συνετός τις ὢν φύσει καὶ μαθὼν καὶ ἀσκήσας καὶ μὴ φιλονεικῶν καὶ τιμῶν τἀληθὲς, ὧν οὐδὲν ὑπάρχει σοι· καίτοι μὰ τοὺς θεοὺς οὐκ οἶδ᾽ εἴ τι προσδεῖταί τινος φύσει συνετοῦ τά γε τοιαῦτα. τίς γὰρ οὐκ οἶδεν ὡς οὐ ταὐτὸν σημαίνει Σωκράτης καὶ σιμὸς, ἀλλὰ τὸ μὲν Σωκράτης ὅλης τῆς ὑποκειμένης οὐσίας ἐστὶν ὄνομα, τῶν δ᾽ ἄλλων ὀνομάτων οὐδὲν κατὰ τῆς τοῦ σώματος οὐσίας ἁπάσης λέγεται; οὔτε γὰρ ὁ σιμὸς οὔθ᾽ ὁ προγάστωρ οὔθ᾽ ὁ φαλακρὸς, ἀλλὰ τὸ μὲν τοῦ σχήματος τῆς ῥινός ἐστιν ὄνομα, τὸ δὲ τῆς ἐνδείας τῶν ἐν τῇ κεφαλῇ τριχῶν, τὸ δὲ τοῦ μεγέθους τῆς γαστρός. καὶ ταῦτα μέν ἐστι τὰ κατὰ μόρια. λευκὸν δ᾽ εἰ φήσαιμεν ἢ μέλανα Σωκράτην, κατὰ πάντων, οἶμαι, τῶν μορίων τοῦ σώματος ἐπιφέρομεν τὰς προση-

quae ipfis infunt, de quo vocem utramque enuncias. Verum ad haec intelligenda parum es exercitatus, tametfi ea ex primis fint quae in logicis inftitutionibus tradantur. Caeterum quid hoc ad ipfam veritatem? Non enim profecto ex iis quae tu non intelligis judicanda veritas eft, fed ex iis quae quispiam intelligit, qui et natura prudens fit et ea didicerit ac exercuerit, nec idem contentiofus fit, fed veritatem amet, quorum nullum in te eft, quamquam medius fidius haud fcio an ifta natura prudentem defiderent. Quis enim nefcit non idem fignificare Socratem ac refimum, fed Socratem totius effe fubjectae fubftantiae nomen, reliquorum autem nominum nullum de tota corporis fubftantia dici? non enim fimum, non ventrofum, non calvum, fed horum aliud figurae nafi effe nomen, aliud defectus capillorum in capite, aliud magnitudinis effe ventris. Atque haec funt quae refpectu partium dicuntur. At fi candidum aut nigrum Socratem dicam, de omnibus, arbitror, corporis partibus nomina pronuncio, caeterum non totam fubftantiam,

γορίας, οὐ μὴν τὴν οὐσίαν γε ἅπασαν, ἀλλ' ἕν τι τῶν συμβεβηκότων αὐτῇ δηλοῦμεν, το χρῶμα, καὶ μέντοι κἂν εἰ παχὺν, ἢ λεπτὸν εἴποιμεν, ἢ σκληρὸν, ἢ μαλακὸν, ἢ δασὺν, ἢ ψιλὸν, ἤ τι τῶν ἄλλων ἕκαστον ἃ τῷ Σωκράτει συμβέβηκει, οὐ κατὰ πά-[50]σης οὐδ' οὕτω δηλονότι τῆς οὐσίας ἐπιφέρομεν τὴν προσηγορίαν, ἀλλ' ἕν τι τῶν συμβεβηκότων αὐτῇ δηλοῦμεν. οὕτω δὲ καὶ τὸ καθῆσθαι καὶ τὸ περιπατεῖν καὶ τὸ κινεῖσθαι καὶ τὸ κοιμᾶσθαι καὶ τὸ ἐγρηγορέναι καὶ τῶν ἄλλων ἕκαστον τῶν τοιούτων ὀνομάτων οὐ κατ' οὐδενὸς (58) δήπου τῶν ὄντων ἐπιφέρομεν, ἀλλά τι τῶν ὑπαρχόντων Σωκράτει δηλοῦμεν· ἃ κατὰ τὸν ἔμπροσθεν λόγον ἢ ἐνεργείας ἐλέγομεν ὑπάρχειν, ἢ παθήματα τούτων, ἤ τινας διαθέσεις. ἄμεινον οὖν σε καὶ νῦν ἔτι τούτῳ τῷ τρόπῳ χρησάμενον γυμνάσασθαι, καθ' ὅ τι κἂν τοῖς ἔμπροσθεν ἐδείκνυμεν, οὐκ ἀπὸ τῶν ὀνομάτων, ἀλλ' ἀπὸ τῶν πραγμάτων ἀρξάμενον. ἄρξαι δ' ἀπὸ σαυτοῦ πρῶτον καὶ σκέψαι, πότερον ἁπλοῦν τι πρᾶγμα ὑπάρχεις, ἢ σύνθετον, ἆρά γε ποὺς ὑπάρχεις ἢ ὀφθαλμὸς ἢ ῥὶς ἢ κεφαλή; δῆλον γὰρ ὅτι τούτων οὐδὲν οὔτε χωρὶς τούτων, ἀλλὰ κἀκ τούτων τε κἀκ τῶν ἄλλων ἁπάντων μορίων, ἑκά-

fed unum ex iis quae illi accidunt, indico, nempe colorem. Quin etiam fi obefum dicam aut gracilem, durum aut mollem, hirtum aut glabrum, aut caetera id genus quae Socrati accidunt, ne fic quidem de omni ejus fubftantia appellationes affero, fed unum aliquid eorum quae ipfi accidunt oftendo. Ad eundem modum et federe ipfum et inambulare et moveri et dormire et vigilare et fingula id genus nomina de nulla profecto fubftantia dicimus, fed aliquid eorum quae Socrati infunt his fignificamus, quae nimirum in fuperioribus rationibus vel actiones effe, vel paffiones, vel affectus quosdam diximus. Satius ergo fuerit nunc quoque fub hac te formula exerceam, quemadmodum etiam in fuperioribus oftendebamus non a nominibus, fed a rebus orfum. Incipe vero a te ipfo primum aeftimaque fimplexne res fis, an compofita, utrumne pes fis an nafus, oculus an caput? Conftat enim nullum te horum effe, fed nec fine his, verum et ex his et ex reliquis partibus univerfis, quarum fin-

στου τὴν οἰκείαν ἔχοντος θέσιν, ὅλως ὑπάρχεις συγκείμενος. ὑποκείσθω δή σοι τοὔνομα Θεμίσων. ἀλλ᾽ ὅταν γε φῶ Θεμίσωνα χωλὸν εἶναι, τὸ μὲν χωλὸν ἐπὶ τῆς τῶν ποδῶν φέρω διαθέσεως, τὸ δὲ Θεμίσων τοῦ παντὸς ἦν ὄνομα. καὶ μὲν δὴ καὶ σιμὸς καὶ τυφλὸς ἀπὸ μέρους ὁ Θεμίσων ὀνομάζεται· πυῤῥὸς δὲ καὶ παχὺς οὐκ ἀπὸ μέρους, ἀλλ᾽ ἀπὸ διαθέσεων ἐνυπαρχουσῶν τῷ παντὶ παραπλησίως τῷ περιπατῶν καὶ καθήμενος καὶ διαλεγόμενος καὶ ζῶν. ἆρ᾽ οὖν ταῦτα μὲν γνωρίζεις ὡς οὐκ ἔστι δηλωτικὰ τῆς ὅλης οὐσίας τῆς σῆς, ἀλλὰ τὰ μὲν ἀπὸ μορίου τινὸς ὠνόμασται, τὰ δ᾽ ἀπὸ διαθέσεως μιᾶς· ὅταν δὲ ἀγαθὸν εἴπῃ τίς σε καὶ δίκαιον, οὐκέτι γνωρίζεις ὡς καὶ ταῦτα διαθέσεών ἐστιν ὀνόματα τῶν ἐπιγιγνομένων τῇ σῇ ψυχῇ; καὶ μὴν εἴ γε γνωρίσαις ὡς ἀνάλογον ἔχει ταῦτα τῷ λευκὸς καὶ τῷ μέλας, ὡς γὰρ ἐκεῖνα τῶν τοῦ σώματος, οὕτω ταῦτα τῶν τῆς ψυχῆς ἐστι διαθέσεων ὀνόματα, γνωριεῖς, οἶμαι, καὶ ὡς ὁ τεχνίτης καὶ ὡς ὁ ἄτεχνος ἀπὸ τῶν τῆς ψυχῆς διαθέσεων ὀνομάζονται· καὶ τεχνίτην δ᾽ εἰ νοήσαις ὅθεν ὀνομάζεται, νοήσεις, οἶμαι, καὶ τὸν ἰατρὸν ὅθεν ὠνόμασται. τοῦτον δ᾽ εἰ νοήσαις ὅθεν ὀνομάζεται, οὐκ

gulae debitam habeant pofituram, totus es compofitus. Efto igitur tibi nomen Themifo. At quum Themifona claudum effe ajo, eo quod dico claudum pedum affectum fignifico. Themifo vero totius eft nomen. Quin etiam fimus caecusque a parte dicitur Themifo, rufus vero et craffus non a parte, fed ab affectibus qui toti infunt, non aliter quam inambulans, fedens, difputans et vivens. Num igitur intelligis non effe haec totius fubftantiae tuae figna, fed alia a parte quapiam effe nominata, alia ab uno affectu? Quum vero bonum te juftumve quispiam dicit, num etiam perfpicis haec effe affectuum nomina, qui in animo tuo confiftunt? Atqui fi noris quod haec ad proportionem fe habent cum albo et nigro, quippe ficuti ifta corporis, ita illa animi affectionum funt nomina, intelliges, arbitror, et artificem et inertem ab animi affectibus effe impofita. Jam fi artifex unde nomen accepit fcias, fcies, arbitror, medicus quoque unde fit appellatus. At hunc fi unde dictus fit cognoris,

Ed. Chart. X. [50.] Ed. Bas. IV. (58.)

ἂν ἔτι σοι δεήσει πολλῆς πραγματείας ἐξευρεῖν ἐφ᾽ ὅτου ποτὲ τὸ ἐμπειρικὸς ὄνομα τέτακται. τοῦτο δ᾽ αὐτὸ τί ποτέ ἐστιν ὃ κελεύω σε ποιεῖν; οὐδὲν σεμνὸν οὐδὲ μέγα. τὸ γὰρ διαιρεῖν τὰς κατηγορίας ἀρχὴ τῆς λογικῆς ἐστι θεωρίας· ἧς ὅτι παντελῶς ἀμαθῶς ἔχετε δηλοῦται δι᾽ ὧν εἰκῆ φλυαρεῖτε. καὶ νῦν οὖν σωφρονήσαντες αὖθις ἄρξασθε τὰ τῷ σώματι συμβεβηκότα κατονομάζειν· οἷον ὅτι λευκός ἐστιν ὅδε καὶ μέλας, ἢ νὴ Δία θερμὸς ἱκανῶς, ὡς μὴ φέρειν ἀλύπως τὴν θέρμην· εἶτα τὴν οὕτω πολλὴν θερμασίαν ὡς κάμνειν τὸ σῶμα δι᾽ αὐτὴν καὶ καλῶς ἐνεργεῖν μὴ δύνασθαι, τῷ προσαγορεύοντι πυρετὸν ἐπιτρέψατε· πάντες γὰρ ἄνθρωποι τὸν οὕτω θερμὸν πυρέττειν φασί. καὶ οὐδὲν μέγα ποιήσετε μεταλλάττοντες τὸ ὄνομα, πλὴν κατατρίψετε ὑμῶν τὸν χρόνον. ἀλλ᾽ ἐκεῖνο μᾶλλον, ὦ οὗτος, εἰ βούλει, ποίησον, ὅταν εἴπῃς Θεμίσων πυρέττει καὶ Δίων πυρέττει καὶ πολλοὺς ἐφεξῆς οὕτως ὀνομάσῃς πυρέττοντας, ἐπίσκεψαι προσέχων τὸν νοῦν, ἆρα ἐν ἅπασιν αὐτοῖς ἓν καὶ ταὐτόν ἐστι τὸ πυρέττειν ἢ ἕτερον. εὑρήσεις

non est quod magnopere labores ut invenias cui demum inditum sit nomen empirici. Sane ipsum quod a vobis exigo confici nec adeo difficile nec magnum est. Quippe ipsa praedicamenta dividere logicae speculationis est initium, cujus esse vos omnino expertes facile declarant ea quae temere nugamini. Vel nunc igitur resipiscentes posthac incipite quae corpori accidunt nominare, veluti quod hic albus est et niger aut certe vehementer calidus adeo ut aegre ferre calorem possit. Deinde calorem ipsum qui adeo auctus sit ut occasione ejus corpus laboret, nec probe perfungi actione possit, permittite volenti appellare febrem, siquidem omnes homines eum, qui ita sit calidus, febricitare dicunt. Nec sane rem magnam facietis nomen mutantes, nisi quod tempus vestrum perdetis. Illud potius, vir bone, facito. Quum Themisonem febricitare dices et Dionem febricitare et multos deinceps ad eum modum febricitantes nominabis, perpende diligenter numquid in iis omnibus unum idemque sit ipsum, *ut sic dicam*, febricitare, an diversum.

γὰρ ἓν μὲν καὶ ταὐτὸν τῷ εἴδει, τῷ πλήθει δὲ, ὅπερ καὶ ἀριθμῷ καλοῦμεν, οὐχ ἕν. ἄλλως γὰρ οὔτ' ἀποκρίνασθαί σοι δυνατὸν οὔτε νοῆσαι. εἷς οὖν ὁ πυρέττων ᾗ πυρέττει νὴ Δία· καὶ γὰρ ὁ παραφρονῶν εἷς ᾗ παραφρονεῖ. τί δ' ὁ πυρέττων τε ἅμα καὶ παραφρονῶν, ἆρ' οὐχὶ καὶ οὗτος εἷς ᾗ πυρέττει τε ἅμα καὶ παραφρονεῖ; πρόδηλον καὶ τοῦτ', οἶμαι, παντί. κείσθω τοίνυν κατ' ἀμφοῖν τούτοιν ἓν ὄνμα, τὸ πυρέττειν λέγω καὶ παραφρονεῖν, καὶ καλείσθω φρενιτικὸς ὁ τοιοῦτος· εἰ δ' οὐ νοεῖς ὅπως κατ' ἀμφοῖν ἓν ὄνομα τίθεται, τάχ' ἂν ἀναμνήσαιμί σε τῶν ὑπ' αὐτοῦ σου λεγομένων ὀνομάτων. ἵππον γὰρ δήπου καλεῖς τὶ, τὸ ζῶον δηλονότι τὸ χρεμετιστικόν; [51] ἆρ' οὖν ἡγῇ σὺ διαφέρειν ἢ ἵππον εἰπεῖν ἢ ζῶον χρεμετιστικόν; ἐγὼ μὲν γὰρ οὐχ ἡγοῦμαι. καὶ μὴν εἰ τοὔθ' οὕτως ἔχει κατ' ἀμφοῖν ἐκείνων τῶν ὀνομάτων, ἵνα συντομώτερον εἴπῃς, ἵππον ἐπέθου. οὕτω δὲ κἂν εἴ τι πεζὸν καὶ δίπουν ζῶον, ἀντὶ τοῦ διὰ τριῶν ὀνομάτων ἐνδείξασθαι, δι' ἑνὸς ἐθελήσῃς δηλῶσαι, καλέσεις ἄνθρωπον. καὶ τό γε δια-

Invenies enim unum effe idemque fpecie, multitudine autem, quod etiam numero dicimus, non unum, quum aliter tibi nec ut refpondeas fas fit, nec intelligas. Ergo qui febricitat, is qua febricitat unus plane eft, etenim qui delirat, quatenus delirat etiam eft unus Quid vero et qui fimul febricitat et delirat, numquid et is unus eft qua fimul et febricitat et delirat? Sane id neminem latere arbitror. Ponatur igitur ambobus iis unum nomen, febricitanti dico ac deliranti, voceturque phreniticus qui ita laborat. Quod fi non intelligis, quemadmodum ambobus unum nomen fit pofitum, admonebo te fortaffe nominum quae ipfe ufurpas; numquid enim equum aliquid appellas, nempe animal, ut ita dicam, hinnibile? an igitur intereffe cenfes equum dicas, an animal quod hinnitus edit? Ego fane non cenfeo. Atqui fi ita eft ambobus illis nominibus, et animali et hinnibili, quo utique brevior effet fermo, equum indidifti. Ad hunc etiam modum, fi quod pedeftre et bipes animal fit, pro tribus nominibus uno interpretari velis, hominem vocabis. Et fane

λύειν ἕκαστον τῶν ὀνομάτων εἰς λόγον οὕτω γίνεται. καὶ μὴν καὶ τὸ συντιθέναι τὸν λόγον εἰς ἓν ὄνομα κατὰ τὸν εἰρημένον ἀποτελεῖται τρόπον, ὅταν τῶν θ' ἁπλῶν ἑκάστου τὴν ἔννοιαν ἔχῃς κατὰ τοὔνομα καὶ δυνατὸς ᾖς ἐκ δυοῖν ἁπλοῖν ἔννοιαν αὖθις ἑτέραν ἐργάσασθαι σύνθετον, εἶτ' ἐπ' αὐτῆς ὄνομα θέσθαι· κἄπειτα πάλιν αὖθις ἐκείνῃ τῇ συνθέτῳ προσθεὶς ἕτερον ἁπλοῦν, ἐκ τριῶν ἁπλῶν ἔννοιαν αὖθις ἀπεργασάμενον μίαν, ἐπενεγκεῖν τι καὶ κατὰ ταύτης ὄνομα. πῶς καὶ τίνα τρόπον; οὐ γὰρ ἀποκνήσω γυμνάζων τοὺς σωθῆναι βουλομένους ἐκ τῆς πολυχρονίου ταύτης ἀπαιδευσίας ἐπὶ πλέον ἐπεκτεῖναι τὸν λόγον. ἡ μὲν θερμότης ἁπλοῦ πράγματος ὄνομα. καὶ μὲν δὴ καὶ ἡ βλάβη τῆς ἐνεργείας ἁπλοῦν τι πρᾶγμα. τοσαύτη δὲ θερμότης ὡς ἤδη βλάπτειν ἐνέργειαν οὐκέθ' ὁμοίως ἁπλοῦν. εἰ τοίνυν καὶ περὶ σύμπαν γένοιτο τὸ σῶμα, πολὺ δὴ μᾶλλον οὐκέθ' ἁπλοῦν. ἵν' οὖν μὴ πολλὰ λέγωσιν οἱ ἄνθρωποι, συντομίαν ἀσκοῦντες φύσει τὴν τοιαύτην θερμότητα πυρετὸν ὀνομάζουσιν.

ſolutio cujusque nominis in ſuam orationem ad eum modum abſolvitur. Quin etiam ut *conjicias* componasque orationem in unum nomen, non aliter quam jam dicto ſit modo, quum videlicet et ſimplicium cujusque notionem ſecundum ipſius nomen tenes, et ſimul ex duobus ſimplicibus rurſus alteram notionem efficere compoſitam potes, mox illi nomen imponere, ſubinde rurſus ipſi compoſitae alio ſimplici adjecto, ubi ex tribus jam ſimplicibus unam notionem feceris, huic quoque nomen aliquod imponere; quomodo, inquies, et qua ratione id? ſi quidem non gravabor exercendo eos, qui reſipiſcere a diuturna iſta ignorantia non recuſant, longius progredi. Calor ſimplicis rei nomen eſt, praeterea actionis laeſio ſimplex quaedam res eſt. At tantus calor quantus jam actioni officiat non amplius ſimplex res eſt. Quod ſi etiam totum vexet corpus, multo profecto minus jam ſimplex eſt. Ergo ut non multis utantur homines, ad compendium alioqui natura proclives, ejusmodo calorem febrem vocant. Quippe expeditius dictu eſt

Ed. Chart. X. [51.] Ed. Baf. IV. (58.)

ἑτοιμότερον γάρ ἐστιν εἰπεῖν πυρέττειν Δίωνα τοῦ τοσαύτην θερμότητα ἔχειν ἐν ἅπαντι τῷ σώματι ὡς βεβλάφθαι πολλὰς ἐνεργείας. ὅταν μὲν οὖν αὐτὴν τὴν διάθεσιν δηλῶσαι βουληθῶσι, πυρετὸν ὀνομάζουσιν, ὅταν δὲ τὸν ἔχοντα τὴν διάθεσιν, ἀπ᾽ ἐκείνης παρονομάζουσι καὶ καλοῦσι πυρέττοντα· καθάπερ ἀπὸ τῆς λευκότητος τὸν λευκὸν καὶ ἀπὸ τῆς μελανότητος τὸν μέλανα. συνθέτου δὴ πράγματός ἐστιν ὄνομα πυρετὸς καὶ πολὺ μᾶλλον ὁ πυρέττων· ἁπλοῦν δέ γε παραφροσύνη· ἀλλ᾽ εἰ προστεθείη τὸ ἁπλοῦν τοῦτο τῷ συνθέτῳ, φρενιτικὸς μὲν ὁ ἄνθρωπος, ἡ διάθεσις δ᾽ αὐτοῦ φρενῖτις ὀνομάζεται· καθάπερ, οἶμαι, καὶ ὁ ἄνθρωπος αὐτὸς, ἵνα μὴ λέγηται ζῶον λογικὸν θνητὸν, ἕνεκα συντομίας ἄνθρωπος ὠνομάσθη, λόγου τινὰ δύναμιν ἐχούσης τῆς ἄνθρωπος προσηγορίας· καὶ τοῦτ᾽ ἔστιν ὃ καλοῦσιν οἱ παλαιοὶ φιλόσοφοι τὸν λόγον εἰπεῖν τοῦ ὀνόματος. οὐ μὴν εἰς ἄπειρόν γε προσάγουσιν, ἀλλ᾽ ἄχρι τῶν ἁπλῶν ἀνέρχονται. τὸν γὰρ ἄνθρωπον, ἐπειδὰν διαλύσῃς εἰς ζῶον καὶ λογικὸν καὶ θνητὸν, καὶ αὖθις λύσεις τὸ ζῶον εἰς οὐσίαν αἰσθητικήν· οὐ μὴν τήν γ᾽ οὐσίαν ἔτι λῦσαι δυνήσῃ, καθάπερ οὐδὲ τὴν αἴσθησιν. ἁπλοῦν

febricitare Dionem quam tantum in toto corpore caloris habere ut multas functiones corrumpat. Ergo quum affectum ipfum fignificare volunt, febrem, quum vero eum qui affectu laborat, ab affectu ipfo nomen declinant vocantque febricitantem, ad eum modum quo a candore candidum et a nigrore nigrum. Itaque compofitae rei nomen febris eft, atque multo etiam magis febricitans. Simplex autem eft delirium; verum fi fimplex hoc cum compofito copules, homo ipfe phreniticus, affectus phrenitis nominatur, quemadmodum et homo ipfe, ne animal rationale mortale dicamus, brevitatis caufa homo eft nominatus, ipfo hominis vocabulo rationis vim quandam comprehendente. Atque id eft quod veteres philofophi rationem nominis dicere appellant. Caeterum non ducunt in infinitum, fed usque ad fimplicia fubeunt. Nam quum hominem in animal et rationale et mortale folveris, poftea ipfum animal folves in fubftantiam fenfilem, at non ipfam fubftantiam amplius folvere poteris nec etiam fenfum,

Ed. Chart. X. [51.] Ed. Baf. IV. (58. 59.)

γὰρ ἤδη καὶ πρῶτόν ἐστιν ἑκάτερον τούτων. ἡ καὶ θαυμάζειν ἐπέρχεταί μοι τῶν φρενιτικὸν μέν τινα καὶ ἄνθρωπον εἶναι συγχωρούντων, νόσημα δὲ καὶ ζῶον οὐ συγχωρούντων. ὅμοιον γάρ ἐστι τοῦτο τῷ τὰ μὲν σύνθετα συγχωρεῖν, ἀμφισβητεῖν δὲ περὶ τῶν ἁπλῶν· ὥσπερ οὐ προτέρων τῇ φύσει τῶν ἁπλῶν ὑπαρχόντων. οὐκ εἶδον, φησὶν, αὐτὸ καθ᾽ ἑαυτὸ τὸ ζῶον· ἀλλ᾽ οὐδὲ ἄνθρωπον, ὦ μωρὲ, καίτοι λέγεις εἶναι σαυτὸν ἄνθρωπον. ἢ τοῦτο μὲν ὁμολογήσεις, τὸ δὲ καὶ ζῶον ὑπάρχειν οὐχ ὁμολογήσεις; οὐκ ἐθεασάμην, φησὶν, καθ᾽ ἑαυτὴν οὐδαμόθι νόσον· οὐδὲ γὰρ φρενῖτιν ἐθεάσω ποτὲ μόνην, ἀλλ᾽ ἐπὶ Θέωνος, ἢ ἐπὶ Δίωνος, ἢ ἐπ᾽ ἄλλου τινὸς ἀνθρώπου. ὥστε τοῦτό γε τελέως ἠλίθιον, εἰ διότι μηδαμόθι τεθέασαι νόσημα μόνον αὐτὸ καθ᾽ (59) ἑαυτὸ, διὰ τοῦτο νομίζεις μηδ᾽ εἶναι νόσημα· οὕτω γὰρ οὐδὲ πυρετὸν, οὐδὲ φρενῖτιν, οὐδ᾽ ἄλλο τῶν τοιούτων οὐδὲν εἶναι συγχωρήσεις· ὡς οὐδὲ τούτων γε τεθέασαί τι μόνον αὐτὸ καθ᾽ ἑαυτό. βέλτιον δ᾽ ἦν οὐχ οὕτως, ἀλλ᾽ ὥσπερ εἴρηται πρόσθεν, ἀπὸ τῶν πραγμάτων αὐτῶν ἄρξασθαι καὶ θεά-

quippe fimplex primumque eft horum utrumque. Quo fit ut mihi mirari fubeat de iis qui phreniticum et hominem effe concedunt, morbum vero et animal effe non concedunt, quod perinde eft ac fi compofita effe des, de fimplicibus dubites, quafi non priora compofitis natura fimplicia fint. At non vidi, inquit, ipfum per fe animal. Sed nec hominem, infulfe, vidifti, et tamen te ipfum ais hominem effe. An illud fateberis, animal autem effe te non fateberis? Nusquam, inquit, vidi per fe morbum. Sed nec phrenitim unquam folam vidifti, fed in Theone aut Dione aut alio quopiam homine. Quare hoc plane puerile eft, eo quod nusquam morbum ipfum per fe folum videris, idcirco putare morbum non effe, nam ita nec febrem nec phrenitim nec aliud quippiam id genus effe dabis, ut quorum nullum usquam ipfum per fe folum videris. Sane expediebat potius non ita, fed ut dictum fupra eft, a rebus ipfis coepiffe cogitationeque ipfa fpectaffe quot effent in totum fimplicia,

σασθαι τῇ διανοίᾳ πόσα τὰ σύμπαντά ἐστιν ἁπλᾶ· κἄπειθ' ἑκάστῳ θέμενον ἴδιον ὄνομα, συμπλέκειν ἐξ αὐ[52]τῶν ἤδη τὰ σύνθετα. ἐγγιγνέσθω δὴ τῷ ὑποκειμένῳ σώματι τοὖθ' ἓν πρῶτον, τὸ αἰσθάνεσθαι. πότερον οὐ καλέσεις ζῶον ᾧ τοὖθ' ὑπάρχει; καὶ μὴν ὑπὲρ ὀνόματος οὕτως ἀμφισβητήσεις. ἀλλ' οὐδὲ εἶναι φήσεις αἰσθανόμενον σῶμα; καὶ μὴν οὕτω γε τῶν πραγμάτων αὐτῶν καταψεύσῃ. ἀλλὰ καὶ σῶμα συγχωρῶν αἰσθανόμενον εἶναί τι καὶ κατὰ τοῦ τοιούτου σώματος τοὔνομα τοῦτο τὸ ζῶον λέγεσθαι, τολμήσεις φάναι μηδὲν εἶναι τὸ ζῶον; οὐκοῦν οὐδὲ τὸ λευκὸν οὐδέν ἐστιν, οὐδὲ τὸ βαδίζον οὐδὲ τὸ τρέχον; ἀπὸ γὰρ τῶν συμβεβηκότων ἑαυτῷ τὸ σῶμα προσαγορεύεται λευκὸν, βαδίζον καὶ τρέχον. αὐτὰ δὲ τὰ συμβεβηκότα τὸ μὲν λευκότης ὀνομάζεται, τὸ δὲ βάδισις, τὸ δὲ δρόμος. κατὰ δὲ τὸν αὐτὸν τρόπον αἴσθησις μὲν ἕν τι τῶν ὑπαρχόντων τοῖς σώμασιν, αἰσθανόμενον δὲ αὐτὸ τὸ σῶμα· τοῦτ' οὖν καὶ ζῶον ὀνομάζεται. τίς οὖν θεασάμενος αἰσθανόμενον σῶμα, παρεὶς τὸ ζῶον ὄνομα ζητήσει τι κατ' αὐτοῦ λέγειν ἕτερον; ἆρ' οὖν νοεῖται μόνον τὸ σῶμα καθάπερ Κένταυρος, ἢ καὶ τυγχάνει τι τῆς προσηγο-

mox proprio nomine cuique impofito, ex ipfis jam compofita nectere. Ergo fubjecto corpori unum hoc primum infit quod fentit. Num cui id ineft, animal non appellabis? Non inquies. Atqui de nomine hoc pacto haefitabis. Sed nec fentiens corpus effe concedes? Jam ita de rebus ipfis falfo opinaberis. At fi et corpus aliquid fentiens effe et nomen hoc animal de ejusmodi corpore dici concedes, audebis poftea dicere animal nihil effe? Ergo nec album aliquid eft nec inambulans nec currens, quippe ab iis quae ipfi accidunt dicitur corpus album, inambulans et currens, ipforum vero accidentium hoc albedo, illud inambulatio, tertium curfus dicitur. Eodem modo fenfus unum quid eft ex iis quae corporibus accidunt, fentiens vero ipfum eft corpus, hoc vero etiam animal nominatur. Quis igitur ubi fentiens corpus afpexit, omiffo hoc nomine, animal aliud quaerat, quod de eo dicat? Num corpus duntaxat intelligitur tanquam Centaurus, an res quoque aliqua huic appel-

ρίας ταύτης ὑποκείμενον πρᾶγμα; δῆλον ὡς καὶ τυγχάνει. τί δὲ, νοεῖται μόνον ἡ αἴσθησις, ἢ καί τι τῶν τοῖς σώμασιν ὑπαρχόντων ἐστίν; ἐμοὶ μὲν δοκεῖ καὶ τοῦτ' εἶναι πρόδηλον ὡς ἕν τι τῶν ἐν τοῖς σώμασιν ὑπαρχόντων ἐστὶ καὶ ἡ αἴσθησις. καὶ μὴν εἰ μήτε τὸ σῶμα νοεῖται μόνον, ἀλλὰ καὶ ἔστι, μήθ' ἡ αἴσθησις, ἔστι γὰρ καὶ ἥδε· πῶς ἄμφω συντιθέντα τὸ σύνθετον οὐκ ὂν ποιήσει; γελοῖον γὰρ ἤδη τοῦτό γε, σῶμα μὲν εἶναί τι καὶ αἴσθησιν, αἰσθανόμενον δὲ οὐδὲν εἶναι σῶμα· καὶ τούτου γελοιότερον, αἰσθανόμενον μὲν εἶναι σῶμα, ζῶον δ' εἶναι μηδὲν, ὥσπερ ἄλλο τι καὶ οὐ τοῦθ' ὑπάρχον ζῶον, ἢ διαφέρον τι τῷ λόγῳ δηλοῦν ἐπιχειρεῖν ὁτιοῦν ἢ ὀνόματι. τῆς δ' αὐτῆς ἀτοπίας ἔχεται καὶ τὸ μὴ συγχωρεῖν εἶναί τι νόσον· εἰ γὰρ οὐδέν ἐστι διάθεσις, οὐδὲ νόσος ἔσται τι. δοθείσης δ' εἶναι διαθέσεως, ἔσται τι καὶ νόσος· ἥτις γὰρ ἂν ἐνέργειαν βλάπτῃ διάθεσις, ἐκείνη νόσος ἐστίν. ἀλλ' οὐκ ἔχεις μοι δεῖξαι, φασὶ, νόσον αὐτὴν καθ' ἑαυτήν. οὐδὲ γὰρ φρενῖτιν, ὦ οὗτος, οὐδὲ πυρετόν. ἀλλ' ὅμως καὶ ταῦτα συγχωρεῖς

lationi eft fubjecta? Patet *proculdubio effe fubjectam aliquam.* Quid vero? fenfusne tantum intelligitur, an etiam aliquid eorum quae corpori infunt? Mihi vero etiam id clarum effe videtur, nempe fenfum unum effe ex iis quae corpori infunt. Atqui fi neque corpus tantummodo intelligitur, fed etiam fubfiftit, nec etiam fenfus, imo is quoque fubfiftit, qui fiet ut ambo conjuncta compofitum efficiant non ens? Nam id jam perridiculum fit aliquid corpus quidem effe ac fenfum, nihil tamen effe fentiens corpus, ficut illud magis ridiculum, fentiens quidem corpus effe, animal autem nihil effe, ceu aliud quiddam animal fit, et non hoc, aut quicquam interfit, oratione an nomine indicare aliquid velis. Aeque abfurdum fit et morbum negare aliquid effe. Quippe fi affectus nihil fit, morbus quoque nihil erit; fin affectus aliquid effe detur, utique et morbus aliquid fuerit. Quicumque enim affectus functioni officit, is eft morbus. At non potes, inquiunt, oftendere mihi ipfum per fe morbum. Imo nec phrenitim, vir bone, nec febrem, quae tamen et ipfa effe

ὑπάρχειν καὶ ἄλλα πολλά. τὴν γὰρ μικρολογίαν τῶν ὀνομάτων, ἣν ἐκομψεύσαντό τινες τῶν φιλοσόφων, ἀνατρέπουσαν ἅπασαν τὴν ἐν τῷ βίῳ συνήθειαν, ὡς μὴ δι᾽ ἐκείνους αὐτῇ χρῆσθαι δύνασθαι κατὰ τὰ σφῶν αὐτῶν συγγράμματα, παραιτοῦμαι λέγειν τὰ νῦν, ἑτέρωθι διειλεγμένος ὑπὲρ αὐτῶν ἐπὶ πλέον. εἰρηκὼς οὖν οὐδὲν ἧττον ὅσα χρὴ κἀν τοῖς περὶ τῶν στοιχείων λογισμοῖς, λέγω δὲ μικρολογίαν, ἐν ᾗ διαιροῦνται κατὰ γένη τό τε ὂν καὶ τὸ ὑφεστός. ἀδιαφόρως γὰρ ἡμῖν κἀνταῦθα καὶ κατὰ τὸν ἑξῆς λόγον εἰρήσεται ταῦτα. πάντας δ᾽ ἐν πᾶσιν ἐξελέγχειν ἀδύνατον. ἀλλὰ γὰρ περὶ τοῦ μὴ μόνον ἔννοιαν εἶναι νοσήματος ἰδίαν, ἀλλὰ καὶ πρᾶγμά τι τῆς προσηγορίας ταύτης τυγχάνον ὑποκεῖσθαι, κατά γε τὸ παρὸν ἀρκεῖ λελέχθαι ταῦτα. σαφέστερον δ᾽ ἔτι τοῦτ᾽ αὐτὸ νοηθήσεται τοῦ λόγου προϊόντος, ἐπειδὰν ὁ περὶ πρώτων ἐνδείξεων περαίνηται λόγος. ὅσα δὲ περὶ νοσήματος εἴρηται νῦν, ἡγοῦμαι καὶ περὶ συμπτώματος εἰρῆσθαι καὶ πάθους, ὑγείας τε καὶ ἀρτιότητος, ἰσχύος τε καὶ δυνάμεως ἁπάντων τε τῶν

fateris, ficuti multa alia. Nam micrologiam nominum, quam philofophi quidam fcite funt commenti, fed quae omnem in vita loquendi confuetudinem fubvertit, fic ut et ipfi quidem in fuis ipforum operibus ea uti poffint, impraesentiarum omitto, ut qui et alibi de ipfis diffufius egerim. Igitur quum in opere de elementis nihilominus quaecumque funt neceffaria dixerim, refero tamen micrologiam, qua dividunt in genera ens et exiftens et fubfiftens, nam haec nullo difcrimine nobis tum hic tum in fequentibus tractatibus exponentur. Ut autem omnes in omnibus refutem fieri omnino non poteft. At enim quod non modo propria morbi notio fit, fed etiam res aliqua fubjecta, quae hanc appellationem fit fortita, fatis faciant ad praesens quae hactenus dicta, clarius autem idem ipfum in progreffu fermonis intelligetur, ubi de primis indicationibus abfoluta difputatio erit. Quaecumque vero nunc dicta de morbo funt, ea mihi et de fymptomate et affectione effe dicta cenfeo, praeterea de fanitate et integritate, robore et

Ed. Chart. X. [52.] Ed. Baf. IV. (59.)

*ἄλλων ὧν ὀνόματά τε καὶ νοήσεις εἰσὶ κατά τινων ὑποκειμένων λεγόμενα. πάντα γὰρ ταῦτα τοῖς σώμασιν ὑπάρχει, τὰ μὲν ὡς διαθέσεις, τὰ δ' ὡς ἐνέργειαι, τὰ δ' ὡς πάθη· καὶ τὰ μὲν ὡς κατὰ φύσιν ὄντα, τὰ δ' ὡς παρὰ φύσιν, ἔνδειξίς τε καθ' ἕκαστον αὐτῶν ἰδία γίνεται, παρεωραμένη τοῖς πλείστοις τῶν ἰατρῶν.*

facultate omnibusque aliis quorum nomina et notiones de rebus quibusdam fubjectis funt dicta. Omnia namque haec corporibus infunt, partim ut affectus, partim ut actiones, partim ut paffiones; praeterea quaedam ceu fecundum naturam infunt, quaedam ceu praeter naturam. Indicatio quoque ex fingulis eorum feorfum praebetur, a plurimis tamen medicorum praetermiffa.

# ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ Γ.

Ed. Chart. X. [53]. Ed. Baf. IV. (59.)

Κεφ. α΄. Εἴπερ οὖν, ὦ Ἱέρων, ἡ ἔνδειξις ἐκ τῆς τοῦ πράγματος φύσεως ὁρμωμένη τὸ δέον ἐξευρίσκει, τὴν ἀρχὴν τῆς τῶν ἰαμάτων εὑρέσεως ἐκ τῆς τῶν νοσημάτων αὐτῶν ἀνάγκη γίγνεσθαι· καὶ γὰρ καὶ ἄτοπον ἕτερον μὲν εἶναι τὸ ἐνδεικνύμενον τὴν θεραπείαν, ἕτερον δὲ τὸ θεραπευόμενον· ἕκαστον γὰρ ὑπὲρ ἑαυτοῦ τι δύναται δηλῶσαι μᾶλλον ἢ ὑπὲρ ἄλλου. τοῦτο μὲν δὴ κἀν τοῖς ἐφεξῆς ἔσται σαφέστερον. ἐπεὶ δὲ πάντες ὁμολογοῦσιν ἐκ τῶν διαθέσεων τὰς πρώτας ἐνδείξεις λαμβάνειν, οὐ χρὴ μηκύνειν ἔτι περιττῶς τὸν λόγον

# GALENI METHODI MEDENDI LIBER III.

Cap. I. Si igitur, Hiero, indicatio, quae ab ipsa rei natura primum oritur, quod agendum sit invenit, necesse est remediorum inveniendorum initium ex morborum ipsorum natura sumi, siquidem absurdum sit aliud esse quod curandi rationem praescribat, aliud quod curetur; etenim judicare de se quidque magis potest quam de alio, hoc autem clarius fiet in sequentibus. Verum quoniam omnibus in confesso est primas indicationes ex affectibus esse sumendas, certe laborandum pluribus frustra non est, ut hinc esse

ἀποδεικνύντας ὡς ἐντεῦθεν ἄρχεσθαι προσήκει, μᾶλλον δ' ὅτι μήτε τὸ ξύμπαν τοῦτ' ἐστὶ μήθ' ὅλως μέγα τι μέρος, ὡς οἱ μεθοδικοὶ νομίζουσιν, ἀλλὰ σμικρότατόν τε καὶ ἀρχὴν μόνον ἐπιδεῖξαι πειραθῶμεν. αὐτοὶ δή φασιν ἐκεῖνοι τὸν μὲν ἐν τῇ κύστει λίθον, ὅτι τῷ γένει παρὰ φύσιν, ἐνδείκνυσθαι τὴν ἄρσιν. οὕτω δὲ καὶ τὰς ἀκροχορδόνας καὶ τὰς μυρμηκίας ἀθερώματά τε καὶ στεατώματα καὶ μελικηρίδας, ὅσα τ' ἄλλα τοιαῦτα. τὸ δ' εἰς τὸν ὄσχεον ἐμπεπτωκὸς ἔντερον, ὅτι τῷ τόπῳ παρὰ φύσιν, ἅπαντά τε τὰ ἐξηρθρηκότα τὴν εἰς τὴν οἰκείαν χώραν ἐπάνοδον ἐνδείκνυται. καὶ μὴν οὐδὲν τούτων οὐδέπω τεχνικὸν, ἀλλ' ὅπερ, οἶμαι, καὶ τοῖς ἰδιώταις ἅπασιν ὑπάρχει γινώσκειν· ἐμβληθῆναι γοῦν ἑαυτῶν κελεύουσι τὸ κῶλον, ὅταν ἐξηρθρηκότος αἰσθάνωνται καὶ ἀφαιρεθῆναι τὴν ἀκροχορδόνα καὶ τὸ ἕλκος εἰς [54] οὐλὴν ἀχθῆναι καὶ τὸ ῥεῦμα τῆς κοιλίας ἐπισχεθῆναι. τὸ δὲ δι' ὧν χρὴ ταῦτα ποιεῖν οὐκ ἴσασι. καὶ τοῦτ' ἔστιν ὃ χρὴ προστιθέναι τὸν ἰατρόν. ὥστε ἡ ἀπὸ τῶν νοσημάτων ἔνδειξις ἀρχὴ μέν ἐστι καὶ οἱονεὶ ὁρμητήριόν τι τῆς θεραπευτικῆς μεθόδου, τῆς τέχνης δ' οὔπω

incipiendum doceam, illud potius monftrare tentemus, neque totum hoc effe, neque prorfum magnam aliquam partem, ut methodici putant, fed minimam et tantum initium. Igitur iidem ipfi ajunt, calculum qui in vefica fit, quod toto genere praeter naturam fit, ablationem fui indicare. Ad eundem modum verrucas penfiles et myrmecias et atheromata et fteatomata et meliceridas et alia id genus, at inteftinum, quod jam in fcrotum decidit, omniaque quae luxata funt, quod videlicet loco ipfo praeter naturam fe habeant, reponenda fe in fuum locum indicant. Atqui tantum abeft ut horum quippiam artificii cujusquam fit, ut etiam privatorum cuique patere poffit, quippe qui membrum, quum luxatum fentiunt, reduci *in artus* jubent, praeterea verrucam penfilem tolli et ulcus ad cicatricem duci et alvum fluentem fifti. Verum quibus haec rationibus fiant, id fane nefciunt, atque id eft quod adjici a medico debet. Itaque indicatio quae a morbis fumitur, principium tantum eft et tanquam prior impetus methodi medendi, nulla ipfius me-

τῆς ἰατρικῆς μόριον οὐδὲν, ἢ οὐκ ἀξιόλογόν γε μόριον, οὐδὲ ἴδιον, ἀλλ᾽ ὅπερ καὶ τοῖς ἰδιώταις ὑπάρχει κοινόν. ὁ τοίνυν ἐξευρεῖν δυνάμενος ὑφ᾽ ὥντινων ἔσται τὸ δηλούμενον ἐκ τῆς πρώτης ἐνδείξεως, οὗτός ἐστιν ὁ τῶν νοσημάτων θεραπευτής· καὶ εἰ μὲν διὰ τῆς ἐμπειρίας εὕροι, τηρητικός τέ τις καὶ ἐμπειρικὸς ὀνομασθησόμενος, εἰ δὲ διὰ λόγου τινὸς, ἢ μεθόδου, λογικός τε καὶ μεθοδικὸς καὶ δογματικός. οὐκοῦν ὁ μὲν ἰδιώτης, ἄνωθεν γὰρ ταὐτὸ ῥητέον, ἧκει παρὰ τὸν ἰατρὸν, ἐμβαλεῖν κελεύων (60) τὸ κῶλον, ἢ διαπλάσαι τὸ συντετριμμένον ὀστοῦν, ἢ ἐξελεῖν τὴν μελικηρίδα. τὸ δ᾽ ὅπως χρὴ τούτων ἕκαστον ποιῆσαι τῆς ἰατρικῆς ἐστι τέχνης εὕρημα. οἱ μὲν οὖν ἐμπειρικοὶ δι᾽ ἐμπειρίας εὑρίσκεσθαι πάντα φασίν· ἡμεῖς δὲ τὰ μὲν ἐμπειρίᾳ, τὰ δὲ λόγῳ. μήτε γὰρ ἐκείνην ἱκανὴν εἶναι πάντα μήτε μόνον εὑρίσκειν τὸν λόγον. οὐ μὴν ἀξιοῦμέν γε συγκεχυμένην ποιεῖσθαι τὴν διδασκαλίαν, ἀλλ᾽ ἰδίᾳ μὲν τὴν ἐμπειρικὴν, ἰδίᾳ δὲ τὴν λογικὴν, ἵν᾽ ὅσην ἑκατέρα δύναμιν ἔχῃ σαφῶς εὑρεθῇ. καὶ νῦν ἡμῖν πρόκειται περὶ τῆς λογικῆς εὑρέσεως εἰπεῖν. ἆρ᾽ οὖν ἐχο-

dicinae artis adhuc portio, aut nec infignis pars nec propria, fed quae etiam plebi fit communis. Ergo cui facultas eft illa inveniendi, ex quibus perfici poffit quod a prima indicatione fuggeritur, is merito morborum eft curator; qui fi per experientiam invenit, obfervator et empiricus eft nominandus; fin ratione quadam et methodo, logicus, methodicus et dogmaticus. Ergo plebejus quidem, altius enim idem repetendum eft, medicum adit, reponi fibi membrum jubens, aut os, quod forte fractum eft, conformari, aut melicerida fibi tolli, verum quo pacto horum quodque peragatur, medicae artis inventum eft. Ac empirici quidem per experientiam invenire omnia contendunt, nos partim experientia, partim ratione, quum neque illa invenire omnia queat neque fola ratio. Verumtamen confufam mixtamque tradendam effe doctrinam non cenfemus, fed feorfum empiricam, quo facile appareat quam habeat utraque vim. Nunc vero de ea quae ratione paritur inventione dicere

μέν τινα μέθοδον ᾗ χρώμενοι τῶν εἰρημένων ἕκαστον εὑρήσομεν; ἀνελεῖν λέγω τὸ περιττὸν τῷ γένει καὶ μεταθεῖναι τὸ τὴν οἰκείαν χώραν ὑπηλλαχὸς, ἑνῶσαί τε τῆς συνεχείας λελυμένον. ἢ τὴν ἐμπειρικὴν ἐπ' αὐτὰ παρακαλέσομεν; ἐγὼ μὲν καὶ πάνυ πέπεισμαι μέθοδον ὑπάρχειν τινὰ τῆς τῶν ζητουμένων εὑρέσεως, ἧς ἀρχὴν εἶναι τὴν ἐκ τῶν νοσημάτων ἑκάστου προσπίπτοντα σκοπόν. ἡ γὰρ τῆς συνεχείας λύσις τὴν ἕνωσιν ἐπιζητεῖ· κατὰ μὲν ὀστοῦν κάταγμα λεγομένη, κατὰ δὲ τὸ σαρκῶδες μέρος ἕλκος, ὥσπερ γε καὶ τὸ τραῦμα καὶ τὸ ῥῆγμα καὶ τὸ σπάσμα, τὸ μὲν ἐν σαρκώδει μορίῳ διὰ τοῦ τρωθῆναι γεγονὸς, τὸ δὲ ῥῆγμα καὶ τὸ σπάσμα χωρὶς τοῦ τρωθῆναι, σαρκώδους μὲν ἐν τῷ ῥήγματι μορίου τῆς συνεχείας λυθέντος, νευρώδους δὲ ἐν τῷ σπάσματι. τούτων ἁπάντων ὁ μὲν σκοπὸς ἕνωσις. εἴτε δ' οἷόν τε τυχεῖν αὐτοῦ καθ' ἅπαν, εἴτ' οὐκ ἐγχωρεῖ πολλαχόθι, τοῦτ' αὐτὸ πρῶτον ἤδη τεχνίτου γινώσκειν. ἰδιώτης γὰρ οὐδεὶς οἶδεν οὔθ' ὅτι τῶν φρενῶν τὸ νευρῶδες οὔθ' ὅτι τὰ λεπτὰ τῶν ἐντέρων

ſtatuimus. Num igitur eſt nobis methodus aliqua qua uſis invenire praedictorum ſingula liceat? dico quod ſupervacaneum genere ſit adimere, et quod motum loco ſit, id proprio loco reddere, et quod unitatis ſolutum ſit unire. An empiricen ad haec requiremus? Ego ſane methodum eſſe aliquam, qua quaeſita invenias, plane mihi perſuaſi, ejusque principium eſſe id quod ſinguli morbi faciendum dictant. Unitatis namque ſolutio unitionem poſtulat. Ea in oſſe fractura dicitur, in carnoſa parte ulcus, ſicuti etiam vulnus et ruptio et contorſio. Vulnus quidem ſolutio quaedam ex vulnerando in carnoſa parte relicta, ruptio et contorſio citra vulnerationem facta, in ruptione carnoſae partis, in contorſione nervoſae ſoluta continuitate. Horum omnium ſcopus unitio, quae an praeſtari ubique poſſit, an in multis non poſſit, hoc utique internoſcere primum jam artificis eſt. Nemo enim plebejus novit nec nervoſam transverſi ſepti partem, nec inteſtina tenuia non poſſe quem

οὐκ ἐγχωρεῖ δέξασθαι τὸν σκοπὸν, οὐ μὴν οὐδὲ περὶ πόσθης, οὐδὲ περὶ τοῦ λεπτοῦ τῶν γνάθων οἶδεν· ἀλλ' οὐδ' εἰ τερηδὼν ὀστοῦ δύναται θεραπευθῆναι, καθάπερ ἐν σαρκὶ διάβρωσις· οὐδ' εἰ τὸ κάταγμα συμφῦναι, καθάπερ τὸ τραῦμα, κατὰ ταὐτὰ δὲ οὐδ' εἰ πωρωθῆναι δύναται γιγνώσκει· ὡσαύτως δὲ καὶ περὶ τῶν ἐν τῇ κεφαλῇ καταγμάτων ὁ ἰδιώτης οὐδὲν οἶδεν, εἴτε χρὴ τὴν πώρωσιν ἀναμένειν, εἴτ' ἄλλως ἰᾶσθαι. πολὺ δὲ μᾶλλον οὐδὲ εἰ καρδίας τρωθείσης ἢ πνεύμονος ἢ γαστρὸς ἢ ἥπατος ἐλπίζειν χρὴ τὴν ἴασιν· οὐδ' ὅλως οὐδὲν οὐκέτι περαιτέρω τοῦ πρώτου σκοποῦ γιγνώσκει τῶν ἰδιωτῶν οὐδείς. τοῦτ' οὖν αὐτὸ πρῶτον ἤδη τῆς τέχνης ἔργον, ἤτοι τυχεῖν ἐλπίζειν τοῦ τέλους ἢ ἀπογινώσκειν τοῦ τυχεῖν· διττὴ δ' ἡ γνῶσις αὐτοῦ καὶ τρίτην οὐκ ἐγχωρεῖ γενέσθαι· διὰ μὲν τῆς ἐμπειρίας ἡ ἑτέρα, μακροῦ δηλονότι χρόνου δεομένη· διὰ δὲ τῆς αὐτοῦ τοῦ πράγματος φύσεως ἡ ἑτέρα· καὶ γὰρ τὴν οὐσίαν ἑκάστου τῶν μορίων ἐπισκέψεται καὶ τὴν ἐνέργειαν καὶ τὴν χρείαν καὶ τὴν θέσιν, ἐξ ὧν ὁρμωμένη τό τ' ἀδύνατον ἰαθῆναι προ[55]γνώσεται καὶ τοῦ

quem indicant finem recipere, quin etiam de praeputio et de tenui buccarum parte, quod *fimiliter fe habet,* idem ignorat; praeterea an caries fanari queat, ficut erofio carnis, compertum non habet, jam an coalefcere fractura poffit, ut vulnus, praeterea an callo agglutinari poffit, non intelligit, pari modo in capitis fracturis vulgus omnino non novit fitne expectanda calli generatio, an aliter curandum. Porro multo adhuc magis ignorat, an corde vulnerato aut pulmone aut ventriculo aut jecinore fiducia fanationis fit, nec in fumma quicquam ultra primum fcopum vulgaris quisquam novit. Itaque hoc ipfum primum artis eft opus, ut intelligas fperarene finem quo tendis debeas, an fecus; ejus autem rei duplex cognitio eft, nec poteft addi tertia: altera per experientiam, cui longo ufu eft opus, altera vero per ipfius rei naturam, fiquidem haec tum cujusque partis fubftantiam aeftimabit tum actionem tum ufum fitumque, a quibus procedens non folum quod fanari non poteft prae-

Ed. Chart. X. [55.] Ed. Baf. IV. (60.)

δυνατοῦ δέξασθαι τὴν ἴασιν ὑπὲρ τῆς τῶν βοηθημάτων εὑρέσεως ἐπισκέψεται.

Κεφ. β΄. Πρόδηλον δ᾽ ὡς ἀπὸ τῶν ἁπλουστάτων ἄρξηται. τί δ᾽ ἁπλούστερον ἕλκους ἐπιπολῆς ἐν σαρκώδει μορίῳ; τοῦτ᾽ οὖν εἰ μὲν ἁπλῶς ἕλκος εἴη, σκοπὸς αὐτοῦ τῆς ἰάσεως ἕνωσις· εἰ δὲ σὺν κοιλότητι, διττὸς μὲν ὁ σκοπὸς, ὅτι καὶ ἡ διάθεσις διττή· συνεχείας μὲν λύσις τὸ ἕλκος, ἀπώλεια δὲ οὐσίας τινὸς οἰκείας τῷ ζώῳ ἡ κοιλότης. εὑρίσκεται δὲ κἀνταῦθα πολλάκις ὁ ἕτερος τῶν σκοπῶν ἀδύνατος· οἷον εἰ μὴ μόνον ἡ σὰρξ, ἀλλὰ καὶ τὸ ὑποκείμενον ὀστοῦν ἀπολωλὸς εἴη· πληρωθῆναι γὰρ ἀκριβῶς ἡ τοιαύτη κοιλότης οὐ δύναται, ἀλλ᾽ ἐπουλωθῆναι μὲν, ὅπερ ἦν ἕλκους ἴασις, ἀνίατος δὲ ἡ κοιλότης καταλειφθήσεται. τοῦτ᾽ οὖν αὖθις αὐτὸ πάντως μὲν ἤτοι διὰ τῆς ἐμπειρίας ἢ διὰ τοῦ λόγου χρὴ γνῶναι· ὁ Θεσσαλὸς δὲ οὔτε τούτοις χρῆται καὶ τρίτον οὐδὲν προστίθησιν, εἶτ᾽ οὐκ αἰδεῖται ληρῶν, ἀλλ᾽ ἐᾷ τοῦτο· τὸ κοῖλον δ᾽ ἕλκος ἐν σαρκώδει μορίῳ χωρὶς τοῦ πεπονθέναι τι τῶν ὑποκειμένων ὅπως ἰασώμεθα λεγέτω παρελθὼν ὁ Θεσσα-

videbit, fed etiam de inveniendis ei remediis deliberabit, quod recipere fanitatem poteft.

Cap. II. Conftat autem quod a fimpliciffimis incipiat. Porro nihil eft fimplicius ulcere quod in fumma carnofa parte fit; hujus ergo fi modo ulcus tantum fit, curationis fcopus unitio eft. Sin etiam cum cavitate fit, duplex ejus propofitus eft finis, ficuti etiam duplex eft affectus, nempe ulcus quod eft unitatis folutio, et cavitas quae difperditio eft fubftantiae alicujus animali propriae. Invenitur autem hic multoties alter fcopus impoffibilis, veluti quafi fi non modo caro ipfa, fed etiam fubditum illi os perierit, quippe impleri ad unguem cavitas ejusmodi non poteft, cicatrice induci certe poteft, fed haec ulceris fanatio eft, cavitas autem infanabilis remanebit. Hoc igitur rurfum ipfum aut experientia, aut ratione dignofci omnino oportebit. At Theffalus nec his utitur nec tertium quicquam adjicit, et tamen nugari non erubefcit, fed hoc permittit. Illud potius doceat imitator Theffali medicus quo pacto cavum in carnofa

Ed. Chart. X. [55.] Ed. Baſ. IV. (60.)

λεῖος ἰατρός. ἐμβαλόντες, φησὶ, τὸ σαρκωτικὸν φάρμακον· εὖ γε τῆς εὐχερείας, ἴσως δ' ἀναισθησίας εἰπεῖν ἦν ἄμεινον, εἰ σαρκωτικὸν εἰπὼν ἀπηλλάχθαι δοκεῖ τοῦ ζητουμένου· εἰ γὰρ ἤδη τὸ σαρκωτικὸν ἐπιστάμεθα, τί ζητοῦμεν ἔτι; λέγε μοι τὸ σαρκωτικὸν ὅ τί ποτ' ἐστὶν, ᾧ μέλλεις χρῆσθαι; λιβανωτὸν, οἶμαι, φήσεις, ἶριν ἢ ἀριστολοχίαν ἢ ὀρόβινον ἄλευρον ἢ πάνακα· τῶν γὰρ ξηρῶν φαρμάκων πρῶτον μνημονεύσω. ταῦτ' οὖν εἰπέ μοι πόθεν εὗρες; ἐκ τῆς πείρας, φησί. τί δὴ οὖν ἔτι προσέθηκας σύ; τὸ μὲν γὰρ ὅτι χρὴ πληροῦν τὸ κοῖλον οἶδε δήπου καὶ ὁ ἰδιώτης. τὸ δ' ἐξ ὧν καὶ δι' ὧν φαρμάκων, ἐδίδαξεν ἡ πεῖρα. Θεσσαλὸς δ' οὔθ' ὡς ἐμπειρικὸς οἶδε τὸ φάρμακον οὔθ' ὡς λογικός. ὡς ἐμπειρικὸς μὲν, ὅτι μὴ βούλεται· ὡς λογικὸς δὲ, ὅτι μὴ δύναται· ἐπεὶ ὅτι γε ὡς ἐμπειρικὸς οἶδεν, ἀκριβῶς ἐγὼ τοῦτο γινώσκω. δυοῖν γὰρ ὄντοιν ἁπάσης εὑρέσεως ὀργάνων, ἐμπειρίας καὶ λόγου, ὁ τὸ μὲν εὑρημένον ἐπιστάμενος, εἰπεῖν δ' οὐκ ἔχων αὐτοῖ τὸν λόγον, εὔδηλός ἐστιν ἐκ τῆς ἐμπειρίας εὑρηκώς. ἵνα

parte ulcus nullo ex iis quae ſubſunt laeſo ſanabimus. Sarcotico, inquit, medicamento impoſito; bene ſane, magna facilitas, fortaſſe autem ſtupiditas potius erat dicendum, ſi, quum ſarcoticum dixit, ſatisfeciſſe ſe quaeſtioni putat, quippe ſi ſarcoticum jam ſcimus, quid amplius requirimus? dic nobis quodnam illud ſarcoticum ſit quo es uſurus. Thus, reor, inquies, aut irim, aut ariſtolochiam, aut ervi farinam, aut panacem; nam de ſiccis medicamentis principio mentionem faciam, age igitur haec medicamenta quo pacto inveniſti? Experientia, inquis. Quid igitur eſt quod per te amplius eſt adjectum? Siquidem quod cavum implendum ſit, id quidem vel privatus novit; at ex quibus id et per quae medicamenta fiant, experientia docuit. Theſſalus vero nec ut empiricus nec ut logicus medicamentum illud novit; ut empiricus, quia non vult; ut logicus, quia non poteſt; nam ego eum ut empiricum id ſcire plane novi. Quum enim duo ſint omnis inventionis inſtrumenta, experientia et ratio: qui quod inventum eſt, novit, ſed tamen rationem ejus dicere *in promptu* non habet, is prodit ſe per experien-

Ed. Chart. X. [55. 56.] Ed. Baf. IV. (60.)

τοίνυν εἰδῇ πόσον ἁμαρτάνει, μικρὸν ἡσυχάσας ἀκροατὴς ἡμῶν γενέσθω· βούλομαι γάρ τινα διαλεχθῆναι τῷ μονὴν τὴν ἐμπειρίαν πρεσβεύοντι· δίκαιον γὰρ οἶμαι κἀκεῖνον εἰπεῖν ὅπως εὗρε τουτὶ τὸ σαρκωτικὸν φάρμακον τὸ ξηρὸν, ὃ δὴ κεφαλικὸν ὀνομάζουσι· σύγκειται δὲ ἐξ ἴρεως καὶ ἀριστολοχίας ὀρόβου τε καὶ λιβανωτοῦ καὶ μάννης. ἔστι καὶ ἕτερόν τι ᾧ πρὸς τοῖς εἰρημένοις καὶ φλοιὸς πάνακος ἐπεμβάλλεται· καὶ μὲν δὴ καὶ ἕτερόν ἐστιν ᾧ καὶ καδμεία πεπλυμένη προσεπεμβάλλεται. λεγέτω τοίνυν ὑπὲρ τούτων ὅπως εὑρέθη. καὶ τί μοι, φησὶ, ζητεῖν ὑπὲρ τῆς εὑρέσεως αὐτῶν, ἀλλ' οὐ τοῖς εἰρημένοις ὀρθῶς χρῆσθαι; ταυτὶ μὲν οὖν εὐθὺς κατ' ἀρχὰς ἀποφαίνονται, κατὰ σύμβασιν δὲ, καλοῦσι γὰρ οὕτως αὐτοὶ καὶ τῷ ῥήματι τούτῳ, ποτὲ μὲν ἐξ ὀνειράτων ἐνδέ-[56]χεσθαι τὰ τοιαῦτα εὑρῆσθαί φασιν, ἔστι δ' ὅτε κατὰ δή τινα τύχην ἐκχυθῆναι τὸ ἕτερον εἰς τὸ ἕτερον, εἶτά τινα τῷ μικτῷ τολμῆσαι χρήσασθαι, τῆς τόλμης δ' οὐ λέγειν τὴν ἐλπίδα. ταυτὶ μὲν οὖν πρόδηλος λῆρος. ὁ δὲ τρίτος αὐτοῖς τρόπος τῆς εὑρέσεώς ἐστιν ὄντως ἐπιλογιστικός· ἑκάστου

tiam id inveniffe. Ut igitur quantum erret intelligat, aurium nobis operam paulifper accommodet, volo enim paucis cum folius experientiae profeffore agere; etenim hunc quoque dicere par eft quo pacto ficcum hoc quod carnem producat medicamentum invenerit, quod utique cephalicum nominant; porro componitur id ex iride et ariftolochia et ervo et thure et manna *purgamento thuris.* Eft autem et aliud quod praeter jam dicta corticem panacis recipit, ficuti etiam aliud cui elota cadmia admifcetur. Dicat itaque mihi, haec quomodo fint inventa. Et quid, inquit, attinet de inventione eorum quaerere, ac non recte potius inventis uti? Atque haec quidem initio ftatim refpondent, in colloquio vero, fic enim *κατὰ σύμβασιν* hoc verbo vocant, interdum quidem ex fomniis inventa effe potuiffe talia dicunt, interdum forte quapiam aliud fuiffe in aliud affufum, mox aliquem uti mixto aufum, caeterum audaciae ejus fpem non dicunt. Haec igitur manifeftae funt nugae. Tertius his inventionis modus plane eft epilogifticus, fiqui-

γὰρ ἐκείνων ἁπλῶν ἰδίᾳ τις πεπειραμένος ὡς σαρκωτικῶν, κἄπειθ' εὑρίσκων ἐνίοτε μὴ σαρκοῦντα, προσεπελογίσατο μὴ πάσῃ φύσει πᾶν ἁρμόττειν. εἰ γὰρ ὃν οὐκ ἐσάρκωσεν ἡ ἀριστολοχία, τοῦτον ὁ λιβανωτὸς ἐσάρκωσεν, ᾧ δ' ὁ λιβανωτὸς οὐχ ἥρμοττε, τούτῳ τῆς ἴρεως προσαχθείσης ἀπήντησε τὸ δέον, εὔλογον, οἶμαι, μὴ πάντας ὑπὸ πάντων ὁμοίως διατίθεσθαι· τούτου δ' ἅπαξ εἰς ἐπιλογισμὸν ἐλθόντος ἄμεινον ἔδοξεν ὡς οἷόν τε πλεῖστα τῶν ὁμοειδῶν εἰς ταὐτὸν ἀναμῖξαι, ἵν' ἑκάστῃ φύσις σώματος εὐπορῇ τοῦ προσήκοντος. καὶ μὴν, ὦ ἑταῖρε, ἐν τῇ συμπλοκῇ τῶν εἰδῶν οὐ φυλάττονται τῶν οἰκείων οὐσιῶν αἱ ἐνέργειαι, ὡς ἐπὶ ἑνὸς ἑκάστου εἴδους τῷ ὠφελεῖν εἰς νόσον ἥνπερ χρὴ θεραπεύειν εὐπορεῖν τοῦ προσήκοντος. εἰ μὲν γὰρ ἤτοι τὴν φύσιν ἠδύναντο τοῦ σώματος ἐξευρεῖν ἢ τοῦ προσφερομένου φαρμάκου τὴν δύναμιν, οὐδὲν ἂν ἴσως ἐδέησεν αὐτοῖς τῆς τοιαύτης ποικιλίας, (61) ἓν ἑκάστοτε φάρμακον ἐφ' ἑνὶ σώματι τὸ συμφέρον εὑρίσκειν δυναμένοις. ἐπεὶ δ' ἀγνοοῦσιν ἑκάτερον, κακῶς ἀναμιγνύουσιν ἅπαντα, πολλαῖς φύσεσιν ἁρμόττον ἐπιτεχνή-

dem fimplicium illorum privatim quispiam unumquodque ut farcoticum expertus, mox carnem aliquando non facere cernens, ratione deprehendit non omni naturae eorum quodque competere. Si enim cui ariftolochia ulcus carne non implevit, huic thus contulit, cui autem thus non profuit, huic iris admota fuit utilis, rationabile erat, arbitror, non omnes ab omnibus fimiliter affici. Hoc ubi femel in ratiocinationem venit, melius factu eft vifum quam plurima ejusdem fpeciei in idem mifcere, quo nulli corporis naturae deeffet quod conveniat. Atqui, amice, in commixtis fpeciebus non fervatur actio fuae cujusque fubftantiae, ficut in unaquaque *corporis* fpecie adfit quod juvare morbum curandum conveniat. Nam fi aut corporis naturam invenire poffent, aut adhibiti medicamenti facultatem, non effet fortaffe iis tali varietate opus, ut quibus unum illud medicamentum quod uni corpori conveniret, invenire in promptu femper effet. Nunc quum ignorant utrumque, male omnia mifcent, unum fcilicet quod omnibus naturis quadret,

σασθαι βουλόμενοι ἓν φάρμακον. τοῦτον τὸν τρόπον τῆς συνθέσεως τῶν φαρμάκων ἐγὼ πείθομαι τοῖς πρώτοις τῶν ἰατρῶν ἐπινενοῆσθαι καὶ ὡς ἀρχαῖον εὕρεμα προσίεμαι. τοσοῦτόν γε μὴν ἀποδεῖν ἡγοῦμαι τῆς ὄντως μεθόδου θεραπευτικῆς, ὅσον εὐλογώτερός ἐστι τῶν ἐγχεομένων εἰς ἄλληλα κοσκίνων. εἰ γὰρ μὴ λογίζεται πρῶτον μὲν ὡς μόνης τῆς ἐξ ὁμοειδῶν φαρμάκων συνθέσεως, οὐ μὴν τῆς γ᾽ ἐξ ἐναντίων εἴρηκε τὴν μέθοδον. ἔπειθ᾽ ὡς ἐν τῷ πλήθει τῆς μίξεως ἓν μὲν, εἰ τύχοι, τὸ τῷ πάσχοντι προσῆκόν ἐστι φάρμακον, ἐγχωρεῖ δὲ καὶ μηδὲν, ἑπτὰ δ᾽ ἢ ὀκτὼ τῶν οὐκ οἰκείων· ὥστε πλείοσιν ἀριθμοῖς βλάψαι τὸ τοιοῦτον ἢ ὠφελῆσαι· ταῦτ᾽ εἰ μὴ λογίζεται, πλέον αὐτὸν ἀγνοεῖν ἢ γιγνώσκειν τοῦ πράγματος εἴποιμ᾽ ἄν. ἔλαιον γοῦν ἐγχεόμενον ἕλκει κοίλῳ πάντων ἐναντιώτατον φάρμακον· εἰ γὰρ ἐθελήσεις οὕτω θεραπεύειν, αὐτῇ γνώσεις τῇ πείρᾳ ῥυπαρὸν καὶ βρυῶδες ἀποτελούμενον τὸ ἕλκος. εἰ δὲ καὶ ἡ ὥρα τοῦ ἔτους θερμὴ τύχοι καὶ ὁ ἄνθρωπος εἴη κακοχυμώτερος, ἢ φύσει

moliri medicamentum ſtudentes. Hanc ego componendorum medicamentorum rationem a primis illis medicis excogitatam arbitor, atque ut antiquum inventum recipio. Caeterum tanto eam a vera medendi methodo abeſſe reor, quanto certe rationabilior eſt transfuſis in ſe mutuo cribris. Quippe niſi illud primum cogitet, ſolius ſe compoſitionis, quae ex ſimilibus ſpecie medicamentis conſlatur, non ejus quae ex contrariis initur, methodum dixiſſe, mox in ejus miſcellae multitudine unum fortaſſe eſſe medicamentum, quod laboranti ſit utile, fortaſſe vero nec unum, *contra* vero ſeptem octove quae propria *ex uſu* non ſint, ita ut pluribus numeris obſit ejusmodi medicamentum quam proſit, haec, inquam, niſi reputet, plus eum ignorare de re ipſa quam noviſſe dixerim. Oleum namque cavo ulceri infuſum adverſiſſimum omnium medicamentum eſt; nam ſi ita mederi velis, uſu ipſo intelliges ſordidum ac fungoſum ulcus fieri. Quod ſi tempeſtas quoque anni calida ſit, ac vitio mali ſucci magis homo laboret, aut fluxionibus magis obnoxius natura ſit,

ῥευματικώτερος ἢ καὶ περὶ τὴν δίαιταν τι πλημμελοίη, κίνδυνος τούτῳ σαπῆναι τὸ μόριον ἐν ᾧ τὸ ἕλκος ἐγένετο. κίνδυνος δὲ κἂν εἰ κηρῷ μόνῳ χρῷο, κἂν εἰ τήκων ἐλαίῳ· ταυτὶ μὲν οὖν διασήψει σοι τὸ ἕλκος· εἰ δὲ ἰὸν λειώσας ἐμπλάττῃς, οὐ διασήψει μὲν οὗτός γε οὐδαμῶς, ὀδύνην δ' ἐργάσεται καὶ δῆξιν οὐ σμικρὰν, ἀνάβρωσίν τε καὶ φλεγμονήν· εἰ δὲ ἐπιπλέον χρήσαιο, καὶ σπασμόν. ἐπεὶ τοίνυν οὔτε τὸ ἔλαιον οὔτε ὁ ἰὸς οὔτε ὁ κηρὸς ἕλκος κοῖλον σαρκῶσαι δύνανται, δῆλον ὡς οὐδὲ μίξει ποτ' αὐτὰ τῶν ἀπὸ τῆς ἐμπειρίας οὐδείς· ἀλλ' ἐγὼ μίξω γε τῷ δέοντι μέτρῳ καὶ ταῦτα καὶ ἄλλα μυρία φάρμακα τῶν βλαπτόντων ἰδίως ἕλκος κοῖλον. εἰ γὰρ μὴ ταῖς αὐταῖς δυνάμεσι βλάπτοιεν, ἀλλ' ὑπεναντίαις, ἄμετρα δήπουθέν ἐστιν ὡς [57] πρὸς ἕλκους κοίλου πλήρωσιν. ἀλλ' ὅπως ἐκ δυοῖν ἀμέτροιν κράσεοιν ἓν ἀποτελεῖται σύμμετρον, ἐν τοῖς περὶ φαρμάκων συνθέσεως ἐμάθομεν λογισμοῖς. οὔκουν ἔτι χαλεπὸν ἐξ ἐλαίου καὶ κηροῦ καὶ ἰοῦ συνθεῖναι φάρμακον σαρκωτικόν· εἰ γὰρ εἰδείης ὡς

aut etiam in victus ratione delinquat, periculum eft ne illi pars ea computrefcat in qua ulcus eft factum, periculum vero eft et fi cera five fola five in oleo foluta utare, atque haec quidem putrefcere ulcus facient, at fi aeruginem ad laevorem tunfam infperges, ea quidem nullo modo putrefaciet, dolorem tamen ac mordicationem inferet non parvam, praeterea exedet ac phlegmonen excitabit; quod fi largius uteris, convulfionem quoque accerfet. Quoniam igitur neque oleum neque aerugo neque cera cavum ulcus implere carne poteft, conftat quod ex iis qui experientiam profitentur nemo unquam ea mifcebit; at ego fane haec mifcebo, imo debita menfura non haec modo, verum etiam alia mille pharmaca ex iis quae praefertim cavo ulceri funt inimica. Nam fi non iisdem facultatibus laedunt, fed quodam modo contrariis, et ametra *five immoderata* profecto fuerint, ut ad cavum ulcus implendum. Verum quemadmodum ex duobus temperamentis immoderatis unum efficiatur commoderatum, id in medicamentorum rationibus docuimus. Non eft igitur difficile ex oleo, cera et aerugine medicamentum

ξηραίνεσθαι μετρίως δεῖται τὸ τοιοῦτον ἕλκος, οὐ ξηραίνει δ᾽ οὔτε ὁ κηρὸς οὔτ᾽ ἔλαιον, εἰδείης ἂν ὡς οὔτε ἑκάτερον οὔτ᾽ ἄμφω πληρώσουσιν ἕλκος κοῖλον· οὐ μὴν οὐδ᾽ ὁ ἰὸς μόνος, ἀμέτρως γὰρ ξηραίνει. μίξας οὖν ἅπαντα συμμέτρως ξηρὸν ἐργάσασθαι δυνήσῃ φάρμακον· ὁπόσον δ᾽ ἑκάστου χρὴ τὸ μέτρον εἶναι δέδεικται μὲν ἤδη μοι κἀν τοῖς περὶ φαρμάκων συνθέσεως ὑπομνήμασιν, δειχθήσεται δὲ καὶ νῦν, εἰ δεηθείη, τοῦ λόγου προϊόντος. ἀποπέμψαι γάρ με χρὴ πρῶτον ἀπὸ τῶν ἐφεξῆς λόγων τὸν ἀμέθοδον ἐκεῖνον Θεσσαλὸν, ἐνδειξάμενον αὐτῷ πόσον ἁμαρτάνει τοῦ δέοντος. φρονίμῳ γὰρ ἀνθρώπῳ καὶ τὰ νῦν εἰρημένα σαφῶς ἐνδείκνυται τὴν θεραπευτικὴν μέθοδον ὁποίαν τινα εἶναι χρή. ἀλλὰ γὰρ οὐ πρὸς τοὺς τοιούτους ὁ λόγος· ὥστε ἀναγκαῖον ἔτι διαλεχθῆναι πρὸς αὐτοὺς ἐνθένδε ποθὲν ἀρξάμενον. ἅπασα κοιλότης παρὰ φύσιν ἐνδείκνυται τὴν πλήρωσιν· ὥστε καὶ ἡ ἐν τῷ σαρκώδει μορίῳ· αὕτη δὲ ἡ πλήρωσις σκοπὸς τῆς τῶν ἰαμάτων εὑρέσεως γίγνεται. ἵνα δ᾽ εὑρεθῇ τὰ πληρώσαντα καὶ

quod carnem producat conficere; fi enim noris ejusmodi ulcus mediocriter ficcandum effe, non ficcare autem nec ceram nec oleum, utique intelliges nec alterum feorfum nec ambo fimul cavum ulcus implere poffe, imo vero nec aeruginem folam, ut quae immodice ficcet. Ergo fi omnia mifcueris, modice ficcum efficere medicamentum poteris; quis vero cujusque effe modus debeat, id mihi in libris qui de medicamentorum compofitione funt infcripti jam traditum eft, nunc quoque fi res poftulet, indicabitur in fermonis progreffu. Nam primum omnium abigendus mihi a fequentibus libris amethodus ifte Theffalus eft, fed quum indicavero prius illi, quantum a recto aberret. Nam prudenti homini vel quae nunc dicta funt fatis oftenderint qualis effe debeat medendi methodus, verum non eft cum talibus fermo. Itaque etiam neceffe eft cum iftis adhuc difputemus hinc fere fumpto initio. Omnis quae praeter naturam eft cavitas impleri poftulat, quare et quae in carnofa etiam accidit parte, ipfa vero impletio inveniendorum remediorum finis quo tenditur eft. Ut vero quae impleant invenias et multa

λόγου δεόμεθα συχνοῦ καὶ πολλῶν τῶν κατὰ μέρος ἐνδείξεων, καὶ μεθόδου λογικῆς ἀκριβοῦς· ἐθεάσω γοῦν πολλάκις ἕλκη δυσίατα μὴ δυναμένους θεραπεῦσαι μήτε τοὺς τὴν ἐμπειρίαν πρεσβεύοντας ἰατροὺς τούτους δὴ τοὺς πολυφαρμάκους, ἀλλὰ μηδὲ τοὺς τὸν ἀναλογισμὸν ἐπαγγελλομένους ἅπαντας. οἱ γὰρ Θεσσάλειοι μεθοδικοὶ μὲν τοὔνομα, ταῖς δ' ἀληθείαις ἀμέθοδοι, καθάπερ τινὲς ὄνοι λύρας οὐδ' ἐπαΐειν ἱκανοὶ τῆς τοιαύτης θεωρίας εἰσὶ, μή τοί γε δὴ λογισμῷ τὸ δέον ἐξευρίσκειν. ἐθεάσω δὲ πολλάκις ἐπὶ τῶν τοιούτων ἑλκῶν τοὺς μὲν ἀπὸ τῆς ἐμπειρίας ἄλλοτ' ἐπ' ἄλλο μεταβαίνοντας φάρμακον, οὐ μὰ Δία λογισμοῦ τινος ἐξηγουμένου τῆς μεταβάσεως, ἀλλ' ἐπειδὴ πολλῶν μὲν ἐπειράθησαν πληρούντων ἕλκη κοῖλα, τὴν δ' ὡς αὐτοὶ καλοῦσιν ἰδιοσυγκρασίαν, ἐφ' οἷς ἕκαστον αὐτῶν εὐδοκίμησεν οὔτε διαγινώσκειν οὔτε μεμνῆσθαι δύνανται, διὰ τοῦτο καὶ νῦν οὐκ ἐπιστάμενοι μὲν ἐφ' ὅ τι χρὴ μεταβαίνειν, ἐλπίζοντες δ' ἐν πολλῇ τῇ κατὰ μέρος διεξόδῳ πάντως εὑρεθήσεσθαί ποτε τὸ προσῆκον, ἄλλοτ' ἐπ' ἄλλο μεταπηδῶσι, τύχῃ μᾶλλον ἢ λογισμῷ τὴν τοῦ συμ-

ratione opus eft et multiplici particulatim indicatione et methodo rationali exacta. Etenim faepe vidifti difficilia fanatu ulcera curare nequiviffe nec eos medicos qui experientiam profitentur, iftos, inquam, qui remediis fcatent, nec etiam eos qui ratiocinationem fibi vendicant omnes. Quippe Theffalii ifti quos methodicos nominant, funt autem re vera a methodo alieni, tanquam afini ad lyram, nec ad audiendam quidem ejusmodi fpeculationem funt idonei, nedum quod rectum eft ratiocinatione inveniant. Vidifti autem faepe in ejusmodi ulceribus empiricos quidem alias fe ad aliud medicamentum transferre, quum nulla profecto ratio tranfitum ipfum monftraret, verum quoniam multa funt experti, quae cavum ulcus impleant, ipfam vero ut iidem vocant, idiofyncrafian, in qua fingula eorum pollere funt vifa, nec dignofcere nec meminiffe poffunt, ideo nunc quoque ad quod transferant non intelligentes, fed fperantes in multis particularibus experiendis obiter quod conveniat omnino inventum iri, alias ad aliud tranfiliunt, fortunae potius

Ed. Chart. X. [57. 58.] Ed. Baf. IV. (61.)

φέροντος εὕρεσιν ἐπιτρέποντες. ὅμοιοι δ᾽ αὐτοῖς εἰσι, κἂν μὴ θέλωσιν, ὅσοι τῶν δογματιζόντων ἐπὶ τὰς φυσικὰς ἀρχὰς τῶν σωμάτων οὐκ ἐδυνήθησαν ἀναβῆναι τῷ λόγῳ. καὶ γὰρ αὐτοὶ, καθότι πρόσθεν ἐδείξαμεν, ἐξ ἡμίσεώς εἰσιν ἐμπειρικοὶ, οἳ οὐκ ἠδυνήθησαν διαλαβεῖν περὶ τῶν πρώτων στοιχείων. περὶ δὲ τῶν ἀμεθόδων τούτων Θεσσαλείων τί ἄν τις καὶ λέγοι; μόνοι τοίνυν οἱ ὄντως μεθόδῳ θεραπεύοντες ἐξευρίσκουσί τε τὸ δέον ἢ φάρμακον ἢ διαίτημα καθ᾽ ἕκαστον τῶν τοιούτων ἑλκῶν ἐπιδεικνύουσί τε τὰ σαφέστατα διὰ τῶν ἔργων αὐτῶν ὁπηλίκον ἀγαθόν ἐστι καὶ ὅσον φῶς παρέχει πρὸς τὰς ἰάσεις ἡ περὶ φύσεως πραγματεία. καὶ γὰρ δὴ καὶ ὡς τοῖς συνεχῶς ἀφ᾽ ἑτέρου φαρμάκου μεταβαίνουσιν ἐφ᾽ ἕτερον ἐνίοτε παρορᾶται καὶ καταφρονεῖται τὸ χρήσιμον, ἐπέδειξά σοι πολλάκις ἑνὶ φαρμάκῳ τὰ τοιαῦτα τῶν ἑλκῶν θεραπεύσας ὧν ἔφθανον ἐκεῖνοι κεχρῆσθαι. [58] κατεφρονήθη δ᾽ εἰκότως ἡ δύναμις τοῦ τοιούτου φαρμάκου διά τε τὴν ἀκαιρίαν τῆς χρήσεως, οὐ μόνον οὐδὲν ὠφελῆσαι δόξαντος, ἀλλὰ καὶ προσβλάψαι, καὶ διὰ τὸ μηδὲν ἐνίοτε σαφὲς ἐργάζεσθαι

quam rationi ejus quod conducat inventione permiſſa. Similes his ſunt, tametſi id nolunt, et qui ex dogmaticis ad naturalia corporum principia ſubire ratione non valuerunt. Quippe hi, ut ante oſtendimus, ex dimidio empirici ſunt, qui ne prima quidem elementa potuerunt aſſequi. De iſtis vero amethodis Theſſaliis quid quis loqui poſſet? Soli igitur ii qui vera methodo curant, tum ſingulis id genus ulceribus idonea medicamenta et victum aptum inveniunt, tum liquidiſſime rebus ipſis oſtendunt quantopere conducat quantumque ad medendum lumen praeſtet ipſa de natura tractatio. Etenim praetermitti negligique aliquando quod utile ſit iis qui ab alio pharmaco ad aliud aſſidue transeunt non ſemel tibi oſtendi, uno aliquo ex medicamentis quibus illi fuerunt uſi ejusmodi ulceribus ſanatis. Spreta vero ejusmodi medicamenti facultas ab iis merito eſt, quod videlicet et propter intempeſtivum uſum non ſolum non prodeſſe, ſed etiam obeſſe eſt viſum, et quod in primo uſu nihil aliquando quod eſſet

τὴν πρώτην χρῆσιν. ἐθεάσω δὲ καὶ ὀφθαλμῶν ὀδύνας σφοδροτάτας ἰασαμένους ἡμᾶς ἢ λουτροῖς ἢ οἴνου πόσεσιν ἢ πυρίαις ἢ φλεβοτομίαις ἢ καθάρσεσιν, ἐφ᾽ ὧν οὐδὲν ἄλλο ἔχουσιν οἱ πολλοὶ τῶν ἰατρῶν ἢ ταυτὶ τὰ δι᾽ ὀπίου καὶ μανδραγόρου καὶ ὑοσκυάμου συντιθέμενα φάρμακα, μεγίστην λώβην ὀφθαλμῶν· οὐδὲ γὰρ οὐδ᾽ ἄλλῳ τινὶ τὴν ἐν τῷ παραχρῆμα δόκησιν τῆς ἀνωδυνίας ἀλλ᾽ ἢ τῷ νεκροῦν τὴν αἴσθησιν ἐργάζονται. καὶ πολλοὺς οἶσθα μετὰ τὰς τοιαύτας χρήσεις τῶν φαρμάκων, ἐπειδὰν ἀμετρότερον προσαχθῇ, μηκέτ᾽ ἐπανελθόντας εἰς τὸ κατὰ φύσιν, ἀλλ᾽ ἀρξαμένους μὲν ἐντεῦθεν ἀμυδρῶς καὶ μόγις ὁρᾷν, ἐν τῷ χρόνῳ δ᾽ ὑποχύσεσιν ἢ μυδριάσεσιν ἢ φθίσεσιν ἢ ῥυτιδώσεσιν ἁλόντας. οἶσθα δὲ δήπου συνδιατρίψας ἡμῖν εὐθὺς ἐκ μειρακίου, μηδὲ παρ᾽ ἑνὶ τῶν διδασκάλων θεασαμένους ἡμᾶς ἔργον τοιοῦτον, ἀλλ᾽ ἐξευρόντας αὐτοὺς τῷ λογισμῷ· καὶ ὅτι γε πολλῷ χρόνῳ τὸν ἀφορισμὸν ἀνεσκεψάμην ἐκεῖνον, ὀδύνας ὀφθαλμῶν ἀκρητοποσίη ἢ λουτρὸν ἢ πυρίη ἢ φλεβοτομίη ἢ φαρμακείη λύει, καὶ ὡς ἐκ τῆς ἄλλης ἀκριβείας Ἱπποκράτους ἤλπιζον μηδ᾽ ἐνταῦθα

evidens effecit. Vidifti porro non minus oculorum nos graviffimos dolores fanare aut balneo aut vini potione aut fomentis aut fanguinis miffione aut purgatione, quibus nihil aliud adhibet medicorum vulgus quam medicamenta haec, quae ex opio et mandragora et hyoscyamo fiunt, maximam plane oculorum perniciem, utpote quae nulla re alia fublati ad praefens doloris fpeciem praeftant, quam quod ipfum fenfum enecant. Multosque nofti ab ejusmodi medicamentorum ufu, cum liberalius fuiffent admota, nunquam poftea naturalem ftatum recepiffe, fed ex his principio quidem obscure atque aegre vidiffe, tempore vero fuffufione vel mydriafi vel tabe vel rhytidofi affectos. Nofti profecto non minus et illud, quum ftatim ab ephebis mecum fis verfatus, nec fub ullo me usquam praeceptore vidiffe ejusmodi opus, fed id per me ratione excogitaffe et quam longo tempore aphorismum illum, *Dolores oculorum meri potio vel balneum vel fomentum vel vena incifa vel purgatio tollit*, confideraverim; quamque ex reliqua Hippocratis

μήτε ψεῦδός τι μήτ᾽ ἀδύνατον λέγεσθαι· καὶ ὡς τοῦτ᾽ ἦν με τὸ προτρέψαν ἐπὶ τὴν ζήτησιν, ἕως οὗ καὶ ταύτην τὴν Ἱπποκράτους ὁδὸν ἐξεῦρον διορίσασθαι, πότε καὶ πῶς ἐφ᾽ (62) ἑκάστου τῶν εἰρημένων χρηστέον. ὃ καὶ δῆλον ἐποίησα πολλοῖς τῶν θεασαμένων τὰ τοιαῦτα, πηλίκη μέν ἐστιν ἡ τῆς θεραπευτικῆς μεθόδου δύναμις, ἡλίκον δὲ κακὸν εἰργάσαντο μὴ φυλάξαντες τὴν παλαιὰν ἰατρικὴν οἱ τὰς νεωτέρας αἱρέσεις συστησάμενοι. ταῦτά τοι καὶ ὑμεῖς καίτοί γε ἄκοντά με κατ᾽ ἀρχὰς ἠναγκάσατε, λιπαροῦντες διεξελθεῖν ἅπασαν τήνδε τὴν πραγματείαν ἣν εὔχομαι μὲν τοῖς θεοῖς ὄνησίν τινα καὶ τοῖς ἄλλοις ἀνθρώποις γενέσθαι, βραχυτάτην δ᾽ ἔχω τὴν ἐλπίδα διὰ τὴν κατέχουσαν νῦν ὀλιγωρίαν μὲν τῶν καλῶν, ἐπίδοσιν δὲ εἰς τιμὴν πλούτου καὶ δόξης καὶ πολιτικῶν δυνάμεων· ἐφ᾽ ἃ τοῖς ἐκτραπεῖσιν οὐκ ἐνδέχεται τἀληθὲς ἐν οὐδενὶ τῶν ὄντων ἐξευρεῖν. ἀλλὰ ταῦτα μὲν ὅπῃ τῷ θεῷ φίλον, οὕτω τελευτήσει. τὴν δ᾽ οὖν θεραπευτικὴν μέθοδον, ἀσκηθεῖσαν μὲν τοῖς παλαιοῖς ἰατροῖς, ὀλιγωρουμένην δὲ νῦν ἀνακτησώμεθα καθ᾽ ὅσον οἷοί τ᾽ ἐσμὲν, αὖθις ἀναλαβόντες

diligentia ſperarim, ne in hoc quidem vel falſum quippiam vel quod fieri non poſſit praecipi; idque fuiſſe quod me ad inquiſitionem incitavit, quoad ipſa Hippocratis inſiſtens via inveni quo pacto diſcernerem quando quomodoque dictorum quolibet utendum ſit; qua ratione multis qui talia viderunt manifeſtum feci, quanta medendi methodi vis ſit, quantique mali occaſio fuerint qui non ſervata veteri medicina novas ſectas condiderint. Itaque et vos praeterea me, quanquam a principio recuſantem, orando tamen impuliſtis ut omne hoc opus tractandum ſuſciperem; quod deos precor aliis quoque hominibus alicui ſit uſui; certe minimam ſpem habeo propter eum qui nunc regnat bonarum artium contemptum, divitiarum vero, exiſtimationis et civilis potentiae admirationem; ad quae quisquis ſe convertit, is nulla in re veritatem invenire poterit. Verum haec prout deo placebit, ita finientur. At nos medendi methodum quae veteribus quidem medicis exculta eſt, nunc vero neglecta jacet, pro

τὸν λόγον ἐπὶ τοῦ προκειμένου παθήματος ἕλκους κοίλου. περὶ μὲν δὴ τῆς πρώτης εὑρέσεως τῶν σαρκωσόντων τὸ τοιοῦτον ἕλκος φαρμάκων ἀρκείτω τὰ μικρῷ πρόσθεν εἰρημένα, καὶ συγχωρείσθω δ', εἰ βούλει, τοῖς ἐμπειρικοῖς ἃ λέγουσιν ἅπαντα. περὶ δὲ τῆς τῶν εὑρημένων χρήσεως ἐπὶ μὲν τῶν ἔργων αὐτῶν ἐπέδειξά σοι πολλάκις· οὐδὲν δ' ἧττον καὶ νῦν ἐπιδεῖξαι τῷ λόγῳ πειράσομαι πῶς ἐν οἷς ἂν μηδὲν δράσῃ τὸ σύνηθες ἑκάστῳ φάρμακον, ἐπ' ἄλλο μεταβαίνειν εὐμηχάνως τε καὶ τεχνικῶς ἀποροῦσιν οἱ ἐμπειρικοί. καὶ τοῦτ' εὐλόγως γίνεται· τοῦ γὰρ πρώτου φαρμάκου τῆς ἀποτυχίας τὴν αἰτίαν ἀγνοοῦντες, οὐδὲ φυλάξασθαι δήπουθεν αὐτὴν ἐπὶ τοῦ δευτέρου δύνανται. ἀγνοουμένης γὰρ ἔτι τῆς αἰτίας δι' ἣν ἐνεργεῖ τὸ φάρμακον, οὐδὲ δι' ἣν ἀποτυγχάνει γνῶναι δυνήσονται. ταύτης δ' ἀγνοουμένης οὐδ' ἐφ' ἕτερον ἔτι μεταβαίνειν εὐλόγως ἐγχωρεῖ, φυλάξασθαι γὰρ οὐδ' ἐπ' ἐκείνου δυνήσονται τὴν αὐτὴν αἰτίαν.

Κεφ. γ'. [59] Εἴπωμεν οὖν ἡμεῖς ἤδη τὴν Ἱπποκράτειόν τε ἅμα καὶ ἀληθῆ μέθοδον ἑλκῶν κοίλων ἰάσεως· ἀρ-

virili reftituemus, repetita nimirum quam de morbo cavi ulceris inchoavimus disputatione. Ac de prima quidem inventione medicamentorum quae ejusmodi ulcus carne impleant, fatisfaciant quae paulo ante diximus, concedamusque, fi libet, empiricis quae dicunt omnia. At de inventorum ufu et faepe tibi in ipfis rebus oftendi et nunc nihilominus ratione demonftrare conabor quemadmodum empirici, ubi folenne cuique medicamentum nihil profecit, apte ad aliud certaque ratione transire nesciant. Atque id jure accidit; fiquidem quum caufam improfperi fucceffus prioris medicamenti ignorent, nec quo eam in fecundo declinent habent. Quippe quum caufam ignorent, cur munere fuo medicina fungatur, nec cur fallat intelligere valent. Hoc vero ignorato, neque ad aliud tranfire merito poffunt, nec enim in illo vitare eandem caufam poffunt.

Cap. III. Agedum igitur ipfi jam Hippocraticam veramque cavi ulceris fanandi methodum tradamus; porro

Ed. Chart. X. [59.] Ed. Baſ. IV. (62.)

χεσθαι δὲ δήπουθεν αὐτὴν ἐκ τῆς οὐσίας χρὴ τοῦ πράγματος. ἐπεὶ τοίνυν ἐν τοῖς κοίλοις ἕλκεσι πρόκειται γεννῆσαι τὴν ἀπολωλυῖαν σάρκα, δεῖ γινώσκειν τὶ περὶ σαρκὸς γενέσεως, ὡς ὕλη μὲν αὐτῆς αἷμα χρηστὸν, ὁ δ᾽ οἷον δημιουργός τε καὶ τεχνίτης ἡ φύσις. ἀλλ᾽ οὐχ ἁπλῶς εἰπεῖν χρὴ φύσιν, ἀλλὰ προσθεῖναι τὴν τίνων καὶ ποῦ. δῆλον δὲ ὅτι τῶν ὑποκειμένων σωμάτων οἷς σὰρξ ἐπιτρέφεσθαι μέλλει, τούτων ἡ φύσις ἔσται δημιουργὸς τῆς γεννηθησομένης σαρκός. ἀλλ᾽ ἡ φύσις ἑκάστου τῶν σωμάτων ἐδείχθη κατά τινα θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ κρᾶσιν ἀποτελεῖσθαι. δῆλον οὖν ὡς ἡ τούτων εὐκρασία κατὰ τὸ ὑποκείμενον μόριον ᾧ μέλλομεν ἐπιθρέψειν τὴν λείπουσαν σάρκα τὸν λόγον ἕξει τοῦ δημιουργοῦ. πρῶτον μὲν οὖν ἡμῖν σκεπτέον ἐπὶ παντὸς ἕλκους κοίλου δύο ταῦτα, τό θ᾽ ὑποκείμενον εἰ εὐκράτως ἔχει, τουτέστιν εἰ κατὰ φύσιν. ἐδείχθη γὰρ ἡ ἐν τοῖς ὁμοιομερέσι σώμασιν ὑγεία τῶν τεττάρων οὖσα ποιοτήτων εὐκρασία καὶ προσέτι τὸ αἷμα τὸ ἐπιῤῥέον, εἰ χρηστόν τε καὶ σύμ-

hanc ab ipſa rei ſubſtantia ordiri oportet. Itaque quoniam in cavo ulcere id nobis proponitur, ut caro quae periit reſtituatur, ſcire licet generandae carnis materiam ſanguinem bonum eſſe; opificem, *ut ita dicam*, auctoremque naturam. Verum non ſatis eſt naturam ſimpliciter dixiſſe, niſi etiam quorum natura ſit adjectum et ubi. Conſtat autem quod ſubjectorum corporum, quibus ſuperinduci caro debet, natura ipſa gignendae carnis opifex eſt. Porro cujusque corporis natura monſtrata eſt ex calidi, frigidi, humidi ac ſicci temperatura conſiſtere. Quare manifeſtum eſt juſtam horum temperiem in ſubjectis partibus, quibus reſtituturi deficientem carnem ſumus, opificis habere rationem. Ac primum quidem in omni cavo ulcere duo illa conſideranda nobis ſunt, et quod ſubjectum eſt, juſtane temperie ſit, id eſt an ſecundum naturam ſe habeat; quippe monſtratum eſt ſanitatem in ſimilaribus corporibus ipſarum quatuor qualitatum eſſe juſtam temperiem; et praeterea ſanguis, qui affluit, bonusne ac commoderatus ſit. Si igitur

μετρον· εἰ μὲν δὴ καὶ τούτων τι μοχθηρῶς ἔχοι, πολλαὶ διαθέσεις γίγνονται παρὰ φύσιν· ἡμῖν δ' ὑπόκειται μία κοιλότης ἐν σαρκώδει μορίῳ. ὑποκείσθω τοίνυν ὑγιεινόν τε τὸ χωρίον ἥ τ' ἐπιῤῥοὴ τοῦ αἵματος ἄμεμπτος ἐν ποσότητι καὶ ποιότητι. καὶ τούτων οὕτως ἐχόντων οὐδὲν ἂν ἔτι κωλύοι τὴν πρώτην γένεσιν τῆς σαρκὸς ἄμεμπτον γενέσθαι, μηδενὸς δεηθεῖσαν ἔξωθεν φαρμάκου· τῶν γὰρ αἰτίων ἀμφοτέρων ὑφ' ὧν γίγνεται παρόντων καὶ μηδενὸς τῶν ἔξωθεν ἐμποδὼν ὄντος, οὐκ ἐνδέχεται κωλυθῆναι τὴν τῆς σαρκὸς γένεσιν. ἀλλ' ἐν αὐτῷ δὴ τῷ γεννᾶσθαι τὴν πρώτην σάρκα περίττωμα διττὸν ἀνάγκη γίγνεσθαι, καθότι καὶ τοῦτ' ἐν τοῖς περὶ φύσεως εἴρηται λογισμοῖς, ὡς ἁπάσῃ τῇ κατὰ ποιότητα μετακοσμήσει τῆς τροφῆς ἕτερον μὲν παχύτερον, ἕτερον δὲ λεπτότερον ἕπεται περίττωμα. τούτων τῶν περιττωμάτων καὶ καθ' ὅλον τὸ σῶμα γιγνομένων, ἀεὶ τὸ μὲν λεπτότερον ἡ ἄδηλός ἐστι διαπνοή· γίγνεται δὲ καὶ δήλη πολλάκις, ὅταν ἤτοι τὸ ἔμφυτον ἀῤῥωστήσῃ θερμὸν ἢ τροφῇ χρήσηται πλείονι τοῦ δέοντος, ἤ τις ἐπαχθῇ τῷ ζώῳ κίνησις σφοδροτέρα. τὸ δ' ἕτερον

horum alterutrum vitiofum fit, multi fane affectus praeter naturam exiftunt; nobis tamen una cavitas in carnofa parte proponitur. Fingamus igitur et fanam effe partem et fanguinis confluxum citra ullum, vel in qualitate vel quantitate vitium. Porro his ita fe habentibus nihil eft praeterea, quod obftet quominus prima carnis generatio profpere contingat, idque nullius externi medicamenti ope. Quippe caufis ambabus, unde nascitur praefentibus nulloque extrinfecus quod impediat obftante non poteft prohiberi carnis generatio. Verum in ipfa primae carnis generatione duplex provenire excrementum neceffe eft, veluti etiam in commentariis de natura docuimus, quod omnem qualitatis alimenti mutationem alterum craffius, alterum tenuius, excrementum fequitur. His excrementis etiam per univerfum corpus femper provenientibus quod tenuius eft, ipfa invifibilis eft perfpiratio; quae etiam faepe fit vifibilis, quoties vel naturalis calor languet, vel nutrimento utitur quam juftum fit ampliore, vel motus quispiam vehementior ani-

ὃ ἐπιτρεφόμενός ἐστι τοῖς σώμασιν ἡμῶν ῥύπος· καὶ δὴ κἀν τοῖς ἕλκεσιν ἰχὼρ μὲν καλεῖται τὸ λεπτὸν περίττωμα, ῥύπος δ' ἕλκους τὸ παχύ. καὶ διὰ μὲν τὸ λεπτὸν περίττωμα ὑγρὸν τὸ ἕλκος γίγνεται, διὰ δὲ τὸ παχὺ ῥυπαρόν· καὶ δεῖται διὰ τοῦτο διττῶν φαρμάκων, ὡς μὲν ὑγρὸν τῶν ξηραινόντων, ὡς δὲ ῥυπαρὸν τῶν καθαιρόντων αὐτό. κατ' οὐδένα τοίνυν χρόνον τῆς φύσεως ἀργούσης οὐδεὶς ἔσται καιρὸς ἐν ᾧ μὴ ταῦτ' ἄμφω κατὰ τὸ κοῖλον ἕλκος ἀθροισθήσεται· ὥστε οὐδὲ χρόνος ἔσται καθ' ὃν οὐ δεήσεται τῶν φαρμάκων ἀμφοτέρων, τοῦ τε ξηραίνοντος καὶ τοῦ καθαίροντος. ὁποῖον μὲν οὖν εἶναι χρὴ τῷ γένει τὸ φάρμακον εὕρηται· ἀλλ' οὐκ ἀρκεῖ τοῦτο, χρὴ γάρ τι τῶν κατ' εἶδος ἐξευρεῖν ὃ προσαχθήσεται. πόθεν οὖν ἐκεῖνο κἀκ τίνος εὑρεθήσεται μεθόδου, ἢ τῆς ἐν [60] τοῖς περὶ φαρμάκων ἁπλῶν δυνάμεως εἰρημένης; ἐδείκνυμεν γὰρ ἐν ἐκείνοις τὰ μὲν ξηραίνοντα, τὰ δ' ὑγραίνοντα, τὰ δὲ ψύχοντα, τὰ δὲ θερμαίνοντα τῶν φαρμάκων· ἔνια δὲ κατὰ συζυγίαν ἢ θερμαίνοντα καὶ ξηραίνοντα, ἢ ψύχοντα

mali cortingit; alterum est sordes quae in summo corpore nostro colligitur. Quin etiam in ulceribus tenuius excrementum sanies appellatur; quod crassum est sordes ulceris. Ac ex tenui quidem excremento ulcus humidum redditur, ex crasso sordidum; eoque duplicibus medicamentis eget; utique ut humidum est, siccantibus; ut sordidum, quae ipsum expurgent. Ergo quum nullo unquam tempore natura cesset, certe nec tempus ullum erit in quo non ambo haec in cavo ulcere congerantur; quare nec ullum tempus erit in quo non utrumque medicamentorum genus desiderabit, utique et quod siccet et quod expurget. Ac cujusmodi quidem genere esse medicamentum debeat, inventum *jam* est; verum non est id satis, siquidem specie aliqua inventa est opus, quae sit *ulceri* admovenda. Haec igitur quomodo et qua methodo invenietur? *nempe* ea quae in libris de simplicium medicamentorum facultatibus est tradita? Ostendimus namque in iis quaedam medicamenta siccare, quaedam humectare, quaedam refrigerare, quaedam calefacere, nonnulla per conjugationem vel calefacere et siccare, vel frigefacere

Ed. Chart. X. [60.] Ed. Baf. IV. (62.)

καὶ ὑγραίνοντα, ἢ θερμαίνοντα καὶ ὑγραίνοντα, ἢ ψύχοντα καὶ ξηραίνοντα· εἶναί τε καθ᾽ ἕκαστον αὐτῶν ἄπειρον μέν τι τῷ πλήθει τὸ μᾶλλόν τε καὶ ἧττον· εἰς δὲ τὴν χρείαν τὴν ἰατρικὴν ὅροις εὐσήμοις περιγραφόμενον, πρώτης τινὸς ἐν αὐτοῖς γινομένης τάξεως καὶ δευτέρας καὶ τρίτης καὶ τετάρτης. ἐκ ποίας οὖν τάξεως ἔσται τὸ σαρκωτικὸν φάρμακον, ὃ δὴ μετρίως ἔφαμεν χρῆναι ξηραίνειν τε καὶ ῥύπτειν; ἐκ τῆς πρώτης δηλονότι· μᾶλλον γὰρ ἐπιταθὲν ὡς μὴ μόνον ἐκδαπανᾷν τὸ περιττὸν τῆς ἀποῤῥεούσης ὑγρότητος, ἀλλὰ καὶ αὐτοῦ τοῦ ἐπιῤῥέοντος αἵματος ἅπτεσθαι, κωλύσει τὴν σάρκωσιν ἀναλίσκον αὐτῆς τὴν ὕλην. ἐδείχθη δὲ τοιαῦτα, λιβανωτός τε καὶ κρίθινον ἄλευρον καὶ κυάμινον ὀρόβινόν τε καὶ ἶρις ἀριστολοχία τε καὶ καδμεία καὶ πάναξ καὶ πομφόλυξ· ἅπαντα δὲ ταῦτα ἀλλήλων ἐδείκνυτο διαφέροντα τῷ τε μᾶλλον καὶ ἧττον. καὶ τῷ μὲν ἁπλᾶς ἔχειν τὰς ἐπικρατούσας δυνάμεις, τὰ δὲ συνθέτους. ἀριστολοχία μὲν γὰρ καὶ πάναξ μᾶλλον ξηραίνει τῶν ἄλλων καὶ θερμότερα τὴν φύσιν ἐστί·

et humectare, vel calfacere et humectare, vel refrigerare et ficcare; elfeque in singulis eorum majoris minorisque rationem multitudine fane infinitam, caeterum ad ufum medicinalem limitibus, qui facile comprehendantur, circumfcriptam, primo quodam in his et fecundo et tertio et quarto ftatuto ordine graduve. Cujus igitur ordinis erit medicamentum, quod carni producendae fit aptum; quodque modice tum ficcare debere, tum detergere propofuimus? Certe primi ordinis; quippe quod fuper hunc fuerit, ita ut non modo humoris qui influit redundantiam confumat, fed etiam affluentem fanguinem ipfum populetur, id refici carnem, ceu materiam ejus abfumens, prohibebit. Porro talia effe oftenfum eft thus et hordeaceam et fabaceam et ervi farinam et irim et ariftolochiam et cadmiam et panacem, pompholygem; omnia vero haec tum majoris minorisque difcrimine inter fe diffidere, tum alia eorum fimplices facultates vincentes habere, alia compofitas, monftratum eft. Siquidem ariftolochia et panax tum caeteris plus ficcant, tum natura magis calent; hordeacea

Ed. Chart. X. [60.] Ed. Baf. IV. (62. 63.)
τὸ δὲ κρίθινον καὶ τὸ κυάμινον ἄλευρον ἧττον πολὺ ἐκείνων ξηραίνει καὶ ἥκιστα θερμότητος μετέχει· λιβανωτὸς δὲ θερμὸς μέν ἐστι μετρίως, ἧττον δὲ τούτων ξηραίνει, ὥστε τινὰς φύσεις σωμάτων οὐδὲ ξηραίνει τὴν ἀρχήν· ὀρόβινον δὲ καὶ ἶρις ἐν τῷ μεταξὺ τούτων τε καὶ ἀριστολοχίας καὶ πάνακός ἐστιν. ὅπερ δ' ὁ λόγος ἐκίνησε χρησίμως αὖθις ἀναλάβωμεν. ὁ γάρ τοι λιβανωτὸς ὑγρὰν μὲν φύσιν σώματος σαρκῶσαι δύναται, ξηρὰν δ' οὐ δύναται· χρὴ γὰρ (63) ἐπίστασθαι περὶ τῶν πρώτων ἐνδείξεων ὡς δύο ἐστὸν αὐτῶν αἱ διαφοραὶ, τοῦ μὲν κατὰ φύσιν τὴν φυλακὴν ἐνδεικνυμένου καὶ διὰ τοῦτο ὁμοίων ἑαυτοῦ δεομένου, τοῦ δὲ παρὰ φύσιν τὴν ἀναίρεσιν τὴν ἑαυτοῦ καὶ διὰ τοῦτο τῶν ἐναντίων· φθείρεται γὰρ πᾶν εἰς ἐναντία τε καὶ δι' ἐναντίων. τὸ μὲν οὖν ἕλκος ὅσωπερ ἂν ὑγρότερον ᾖ, τοσούτῳ δεῖται φαρμάκου ξηραίνοντος μᾶλλον· ἡ φύσις δ' αὐτοῦ τοῦ σώματος ὅσωπερ ἂν ὑγροτέρα τύχῃ, τοσούτῳ δεῖται φαρμάκου ξηραίνοντος ἧττον· ὥστε τῶν ἴσην ὑγρότητα ἐχόντων ἑλκῶν τὸ μὲν ἐν ξηροτέρᾳ τῇ τοῦ κάμνοντος κράσει μᾶλλον ξηραίνεσθαι δεῖται, τὸ δ' ἐν ὑγροτέρᾳ

fabarumque farina multo his minus ficcant, nec ullum calorem obtinent; thus vero moderate calet, minus tamen illis ficcat, adeo ut quasdam corporum naturas initio non ficcet; ervi *farina* et iris horum atque ariftolochiae et panacis medium locum tenent. Verum quod fermo nofter utiliter attigit, denuo repetamus. Quippe thus in humida corporis natura carnem producere poteft, in ficca non poteft. Scire namque licet duas effe primarum indicationum differentias, una, quod fecundum naturam fe habet, cuftodiam fui, indicante, et propterea quae fimilia fui fint poftulante; altera, quod praeter naturam eft, fublationem fui, eoque contraria requirente; perit enim quidquid in contrarium et a contrario. Atque ulcus quidem quo eft humidius, eo fane medicamento quod magis ficcet indiget. Corporis vero natura quanto eft humidior, tanto quod minus ficcet, medicamentum poftulat. Quare fi qua funt ulcera quibus par eft humiditas, quod in ficciore aegrotantis temperamento confiftit, utique magis ficcari poftulat; quod

τοσούτῳ καταδεέστερον, ὅσωπερ ἂν καὶ ἡ φύσις τῆς φύσεως ἀπολείπηται· τὴν γὰρ ἐπιτρεφομένην σάρκα παραπλησίαν εἶναι χρὴ τῇ προϋπαρχούσῃ. ξηροτέρας οὖν οὔσης τῆς ἀρχαίας ξηροτέραν χρὴ γενέσθαι καὶ τὴν νέαν, ὥστε ἐπὶ πλεῖον αὐτὴν δεῖ ξηραίνεσθαι, καὶ ὅσωπερ ἂν ᾖ ἐπὶ πλέον ξηρὰ, ἐπὶ τοσούτῳ καὶ τὸ προσαγόμενον φάρμακον εἶναι ξηραντικώτερον. ἐπὶ δέ γε τῆς ὑγροτέρας φύσεως εἰς τοσοῦτον αὖ πάλιν ἧττον ξηραινόντων χρεία ἐστὶ φαρμάκων, εἰς ὅσον καὶ ἡ σὰρξ ἧττόν ἐστι ξηρά. τοιαύτην οὖν ἔχει κρᾶσιν λιβανωτὸς, ὡς πρὸς ἀνθρωπίνην φύσιν σώματος. πρὸς μὲν γὰρ τὰς εὐκράτους καὶ μέσας ὁμολογεῖ, τῶν δ᾽ ὑγρατέρων ἀτρέμα ξηραντικώτερος ὑπάρχει, ὥσπερ οὖν αὖ καὶ τῶν ἄκρως ξηρῶν ὑγρότερος ἀτρέμα. δεόντως οὖν ἐπὶ μὲν ἐνίων ἑλκῶν τε καὶ φύσεων ὁ λιβανωτὸς ἐκπυΐσκει μὲν, οὐ μὴν καὶ σαρκοῖ· κατὰ δέ τινας ἤδη καὶ σαρκοῖ. παραφυλάξας οὖν εὑρήσεις ὁμολογοῦν τῷ λόγῳ τὸ φαινόμενον. ἐν μὲν γὰρ ταῖς [61] ὑγροτέραις φύσεσι σαρκωτικός ἐστιν, ἐν δὲ ταῖς ξηροτέραις οὐκέτι· καὶ κατὰ μὲν τὰ μετρίως ὑγρὰ τῶν ἑλκῶν οἷός τε σαρ-

in humidiore, hoc fane minus, quo natura naturae intereft; fiquidem productam carnem ei quae ante erat fimilem effe oportet. Ubi igitur priftina ficcior fuit, novam quoque ficciorem fieri conveniet; quare uberius haec ficcari, quantoque magis ficca fuerit, tanto ficcius effe quod admovetur medicamentum *debebit*; at in humidiore natura tanto rurfum iis quae minus ficcent medicamentis eft opus, quanto caro ipfa minus eft ficca. Thus igitur ad humani corporis naturam ejusmodi obtinet temperamentum, quod cum temperatis et mediis naturis confentit, humidiores autem paulo liberalius ficcat; ficuti rurfum iis quae ad fummum funt ficcae paulo eft humidius. Merito itaque thus in quibusdam tum ulceribus tum naturis pus quidem movet, carnem non producit; in quibusdam etiam carnem producit. Itaque fi obfervaveris, rationi refpondere eventa deprehendes; in humidiore namque natura producere carnem poteft, in ficciore non poteft; praeterea in modice humidis ulceri-

κοῦν ἐστι, κατὰ δὲ τὰ λίαν ὑγρὰ παντάπασιν ἀδύνατος. ὁρᾷς οὖν ἤδη σαφῶς ὅσων δεῖ θεωρημάτων ἀνδρὶ μέλλοντι κατὰ μέθοδον ὀρθὴν ἕλκος ἰᾶσθαι; ἐπειδὴ γὰρ εὑρέθη πάντως ὑγρότης ἐνυπάρχουσα τῷ πάθει, τὸ ξηραῖνον ἐνεδείξατο φάρμακον. ἀλλ᾽ ἐπεὶ τὰ μὲν αὐτῶν μᾶλλον ξηραίνει, τὰ δ᾽ ἧττον, ἔκ τε τῆς τῶν ἑλκῶν διαφορᾶς τὸ χρήσιμον ἐλήφθη κἀκ τῆς τοῦ κάμνοντος φύσεως. ὥστ᾽ οὐ μόνον ἀνάγκη περὶ φύσεως σώματος ἐπεσκέφθαι τῷ μέλλοντι κατὰ τρόπον ἰατρεύσειν ἕλκος, ἀλλὰ καὶ τὴν περὶ φαρμάκων θεωρίαν ἀκριβῶς ἐκμεμαθηκέναι καὶ κράσεως σώματος ὑγρᾶς καὶ ξηρᾶς ἐπίστασθαι γνωρίσματα. θέασαι τοίνυν ὅση τῶν μεθοδικῶν ἐστιν ἡ περὶ τὰς ἀποφάσεις τόλμα, τοὐθ᾽ ἓν μόνον ἀρκεῖν αὐτοῖς ἡγουμένοις εἰς ἕλκους ἴασιν κοίλου, τὸ γινώσκειν ὅτι πληρωτέον τέ ἐστιν αὐτὸ καὶ σαρκωτέον· οὐ γὰρ ἐν τούτῳ γε τὸ θεραπεύειν ἐστὶν, ἀλλ᾽ ἐν τῷ τὸ σαρκῶσον ἐξευρεῖν. ἀλλ᾽ εὕρηται, φησὶ, τὸ σαρκῶσον τῇ πείρᾳ. λέγε τοίνυν καὶ τὸ θεραπεῦσον ἐκ τῆς πείρας εὑρῆσθαι· καὶ μὴ μάτην φρυάττου

bus carnem efficere poteſt; in iis, quae praehumida ſunt, prorſus non poteſt. Videsne igitur jam clariſſime, quot theorematis ſit opus homini qui recta methodo curare debet ulcus? Nam poſtquam inventum eſt humorem omnino huic vitio ineſſe, utique ſiccum *parandum* medicamentum indicavit. At quoniam ipſorum ſiccantium quaedam magis ſiccant, quaedam minus, partim ex ulcerum diverſitate, partim ex aegri natura quod expedit eſt deſumptum. Itaque non modo de corporis natura meditatus ſit oportet quisquis commode ſanare ulcus debet, verum etiam diligenter ſpeculationem omnem de medicamentis didiciſſe, tum ſicci humidique corporum temperamenti notas callere. Contemplare igitur quanta ſit methodicorum iſtorum pronunciandi temeritas, qui unum id ſibi ad cavum ulcus ſanandum ſatisfacere putant, ſi ſciant quod carne eſt implendum; non enim in hoc curandi ratio conſiſtit; imo in eo inveniendo quod carne ſit impleturum. At quod implebit jam, inquit, experientia eſt inventum. Dic proinde et quod ſanabit inventum experientia eſſe; nec fruſtra gloriare, nec

μηδ' ἀνατείνου τὴν μέθοδον. καίτοι καὶ παρ' αὐτοῖς τοῖς ἐμπειρικοῖς ἡ χωρὶς διορισμοῦ πεῖρα κατέγνωσται· γράφουσι γοῦν ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν· ἔμπλαστρος πρὸς ἁπαλόχρωτας καὶ παῖδας καὶ γυναῖκας· ἴασί τε τὸν λιβανωτὸν ἐπὶ τῶν τοιούτων φύσεων ἕλκη κοῖλα μηδὲν ἔχοντα σύμπτωμ' ἕτερον, ἀνατρέφοντα καὶ πληροῦντα. πότερον δ' ὑγρὰ τὰ τοιαῦτα σώματ' ἐστὶ καὶ διὰ τοῦτο δεῖται μετρίως ξηραινόντων φαρμάκων, ἢ ἄλλη τις αἰτία τοῦ συμβαίνοντός ἐστιν, οὐκ ἐπίστανται. καὶ γὰρ αὖ καὶ πρὸς τὰ γεροντικὰ σώματα γεγραμμένον εὑρήσεις ἕτερον φάρμακον, ἄλλο δέ τι πρὸς τὰ δυσεπούλωτα καὶ ὀχθώδη τῶν ἑλκῶν, καὶ πολλοὺς ἄλλους διορισμοὺς ἐν ἅπασι τοῖς θεραπευτικοῖς ὑπομνήμασι γράφουσιν, ἐξ ὧν ὡς οἷόν τε πρὸς τὴν ἰδιότητα τῆς θεραπευομένης φύσεως ἐξευρίσκουσι τὸ συνοῖσον φάρμακον. ἅπαντες γὰρ οἱ διορισμοὶ κατὰ τὰς τέχνας ἀπὸ τοῦ κοινοῦ πειρῶνται τὸ ἴδιον χωρίζειν· καὶ ὅσῳπερ ἄν τις πλείω διορίσηται, πλησιέστερον ἀφικνεῖται τοῦ ἰδίου, τοῦτο δ' αὐτὸ

methodum extolle. Quanquam apud ipſos quoque empiricos experientia quae ſine certa limitatione ſit damnatur; ſcribunt namque in commentariis de medicamentis ad hunc modum: Emplaſtrum ad eos qui molli ſunt corpore et pueros et mulieres; noruntque thus in naturis ejusmodi carnem in cavis ulceribus, modo aliud nullum ſymtoma ſit, producere eademque implere; utrum tantum ejusmodi corpora humida ſint, atque idcirco modice ſiccantia medicamenta deſiderent, an alia eventus cauſa ſit, ſane non norunt. Rurſus enim ad ſenilia corpora aliud ſcriptum medicamentum invenies, aliudque ad ea ulcera quae aegre ad cicatricem veniunt orasque praetumidas habent multasque alias diſtinctiones, in omnibus ſuis medendi commentariis ſcribunt, quibus quoad licet, ad curandae naturae proprietatem appoſitum medicamentum inveniunt. Quippe discretiones in quaque arte proprium a communi ſecernere conantur; quantoque aliquis plura discreverit *limitaveritque*, eo propius ad proprietatem accedit; ipſum vero ad un-

ἀκριβῶς ἴδιον, οὔτε γραφῆναι δυνατόν ἐστιν οὔτε λεχθῆναι· διὸ καὶ τῶν ἐμπειρικῶν τοῖς μάλιστα τῶν ἔργων τῆς τέχνης φροντίσασι καὶ σχεδὸν ἅπασι τοῖς δογματικοῖς ὡμολόγηται τὸ μηδεμίαν οἷόν τ᾽ εἶναι γραφῆναι θεραπείαν ἀκριβῶς, ἀλλὰ τὸ λεῖπον εἰς τὸν στοχασμὸν τῆς τοῦ κάμνοντος φύσεως οἱ μὲν ἐκ τῆς ἑκάστου τῶν θεραπευόντων οἰκείας τριβῆς, οἱ δ᾽ ἐκ τοῦ λογικῶς τετεχνᾶσθαι φασὶ χρῆναι προστιθέναι· οὐδεὶς δ᾽ αὐτῶν οὕτως ἦν εὐχερὴς, ὡς ἅπαντος ἕλκους κοίλου φάρμακον ἓν ἔχειν ἐπαγγέλλεσθαι σαρκωτικόν· οὐ γὰρ εὑρήσεις ἐν οὐδενὶ τοιοῦτον φάρμακον, οἷον πᾶν ἕλκος κοῖλον ἰᾶσθαι, ἀλλὰ παρὰ τὸ πλῆθος τῆς ὑγρότητός τε καὶ τοῦ ῥύπου καὶ αὐτὴν τοῦ κάμνοντος τὴν κρᾶσιν ὑπαλλάττεσθαι χρὴ τὸ φάρμακον. ἐάσαντες οὖν ἐνταῦθα τὴν ἀναισχυντίαν τῶν μεθοδικῶν ἴδωμεν ὅ τι ποτὲ λέγουσιν οἱ ἀπὸ τῆς ἐμπειρίας, ἐκ τῆς ἰδίας ἑκάστου τριβῆς καὶ γυμνασίας εἰσφέρεσθαί τι χρῆναι πρὸς τὴν τῶν οἰκείων τῷ κάμνοντι φαρμάκων εὕρεσιν ἀξιοῦντες. ὡς γὰρ καὶ πολλάκις εἰρήκαμεν, οὐδὲν μὲν τῶν κατὰ τὴν ἰατρικὴν πραγμάτων καὶ φαρμάκων

guem proprium, nec fcribi omnino poteft, nec dici; eoque tum empirici ii, qui in arte fuere diligentiffimi, tum dogmatici fere omnes fatentur, nullam fcribi poffe curationem ad unguem exactam; fed id quod ad conjecturam de laborantis natura defideratur, alii ex proprio cujusque medentium ufu, alii ex artificiofe ratiocinando adjiciendum effe affirmant. Nemo tamen eorum adeo fuit praeceps, ut omni ulceri cavo unum fe habere medicamentum, quod carnem reftituerit, profiteretur. Non enim apud ullum invenies ejusmodi medicamentum, quod omne ulcus cavum fanet, imo pro modo humoris fordisque atque ipfo laborantis temperamento immutandum medicamentum effe. Miffa ergo hic methodicorum impudentia age videamus quid empirici dicant, qui ex proprio cujusque ufu exercitationeque adjiciendum aliquid cenfent ad propria laborantis invenienda remedia; fiquidem, ut faepe diximus, nulla eft in *arte* medica nec res nec medela quae in fpecie dici

ἄῤῥητον ὑπάρχει κατ᾽ εἶδος, ἀλλ᾽ ὃ μήτε ῥηθῆναι μήτε γραφῆναι [62] μήθ᾽ ὅλως διδαχθῆναι δύναται τὸ ποσόν ἐστιν ἐν ἑκάστῳ· καὶ δὴ κἀπὶ τῶν ἑλκῶν ἡ μὲν ὑγρότης καὶ ὁ ῥύπος οὐκ ἄῤῥητα, τὸ ποσὸν δ᾽ ἄῤῥητον ἐν ἑκατέρῳ· καίτοι κἀνταῦθα προσέρχεσθαί πως βουλόμεθα τῇ δηλώσει πλησίον, ὀλίγον καὶ πολὺν λέγοντες ῥύπον καὶ λεπτὸν καὶ παχὺν καὶ παντελῶς ὀλίγον καὶ λίαν πολὺν καὶ μέτριον καὶ σύμμετρον καί πως ἄλλως οὕτως ὀνομάζοντες πολυειδῶς, ἵν᾽ ὡς οἷόν τε πλησίον ἀφικώμεθα τῆς δηλώσεως τοῦ ποσοῦ. πρόσχες οὖν ἤδη μοι τὸν νοῦν ἀκριβῶς, ἵν᾽ εἰδῇς ὅσον πλεονεκτεῖ τὸ μεθόδῳ ποιεῖν ὁτιοῦν τοῦ δι᾽ ἐμπειρίας μόνης. ἔστω γὰρ ἐγνῶσθαι τόδε τι τὸ φάρμακον ἕλκους κοίλου σαρκωτικὸν ἐπὶ τῶν ὡς ἂν μὲν ἡμεῖς εἴποιμεν ὑγροτέρων τὴν κρᾶσιν, ὡς δ᾽ ὁ τηρητικός τε καὶ ἐμπειρικὸς, ἁπαλοχρώτων τε καὶ παίδων καὶ γυναικῶν, εἶτα νῦν τῷ τοιούτῳ προσαγόμενον ὀνῆσαι μηδέν. ἡμεῖς μὲν οὖν ζητήσωμεν κατὰ τί μηδὲν ὠφέλησεν, εἰς δύο τούτους ἀναγαγόντες σκοπούς· ἢ γὰρ ἐνδεέστερον ἢ

nequeat, fed quod nec dici, nec fcribi, nec omnino praecipi poteft, id quantitas in quoque eft; nam in ulceribus humor et fordes dici poffunt, quantitas in neutro dici poteft; quanquam hic quoque accedere propius ad indicandam eam ftudemus, exiguam copiofamque fordem dicentes, praeterea tenuem et craffam et prorfus multam et admodum paucam et mediocrem et commoderatam aliterque ad hunc modum varie nominantes, quo videlicit quam proxime licet ad quantitatem indicandam accedamus. Diligenter igitur attendas nunc velim, ut intelligas quantum praeftet methodo quiduis quam fola experienta facere. Efto namque notum fit hoc vel illud medicamentum ad cavum ulcus implendum facultatem habere in iis qui, ut nos loquimur, humidiore funt temperamento; ut autem obfervator et empiricus, iis qui molli funt carne, mulieribus et pueris; deinde nunc tali admotum nihil profit. Nos igitur, cujus caufa nihil profuit, inveftigabimus, atque hanc in duos fcopos aeftimanda reducemus. Nam aut parcius ficcavit

ἀμετρότερον ἐξήρανε· καὶ σημεῖά γε τούτων τόν τε ῥύπον ἕξομεν καὶ τὸν ἰχῶρα. εἰ μὲν γὰρ πλείων ὁ ῥύπος, ὑγρότερόν τε ὅλον εἴη τὸ ἕλκος, ἐνδεέστερον ἐξήρανεν· εἰ δὲ καθαρόν τε καὶ ἄνικμον εὑρεθείη, περαιτέρω τοῦ προσήκοντος. εὐθὺς δὲ καὶ τὸ ποσὸν τοῦ συμμέτρου μᾶλλον ἢ ἧττον ἐκ τοῦ ποσοῦ τῶν γνωρισμάτων εἰσόμεθα· καὶ τοσούτῳ δυνησόμεθα τὸ ἐφεξῆς φάρμακον ἢ ξηρότερον ἢ οὐ τοιοῦτον προσενεγκεῖν. ὁ δ᾽ ἐμπειρικὸς ὅτι μὲν οὐκ ἐσάρκωσε τόνδέ τινα, τὸ προσαχθὲν φάρμακον ὁρᾷ· μὴ γινώσκων μέντοι πότερον τῷ μᾶλλον ἢ τῷ ἧττον ξηρᾶναι, μεταβαίνειν ἐφ᾽ ἕτερον ἀδυνατεῖ. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ οἱ περὶ τὸν Ἐρασίστρατόν τε καὶ Ἡρόφιλον ἐξ ἡμισείας ὥσπερ καὶ πρόσθεν ἐδείξαμεν ὄντες δογματικοὶ κακῶς ἰατρεύουσιν ἕλκος· μόνα γὰρ ἐπιχειροῦσι λογικῶς θεραπεύειν (64) ὅσα τῶν ὀργανικῶν ἐστι μορίων ἴδια νοσήματα· τὸ δ᾽ ἕλκος, ὥσπερ καὶ πρόσθεν εἴρηται, κοινόν ἐστιν ὁμοιομερῶν τε καὶ ὀργανικῶν, ὥστε καὶ τοῦτο κατὰ τοσοῦτον ἐμπειρικῶς θεραπεύουσι, καθ᾽ ὅσον ἐν τοῖς ὁμοιομερέσι πέφυκε γίνεσθαι. καὶ μὲν δὴ κἂν τῷ τὰς ἀπολωλυίας τελέως οὐσίας ἢ κεκολοβωμένας ἐπι-

medicamentum, aut nimium; horumque notas habebimus fordem et faniem. Nam fi plusculum fordis fit, totumque ulcus humidius, intra modum ficcavit, fin purum et absque humore cernitur, ultra. Statim igitur menfuram quoque excelfus defectusque ex ipfo notarum quantitatis modo intelligemus; tantoque medicamentum, quod deinceps applicabitur, vel ficcius vel non tale admovebimus. Empiricus autem, fi admotum cuipiam medicamentum carnem non reftituit, id quidem videt, caeterum ignarus parciusne, an nimium ficcando *id evenerit*, tranfire ad alterum non poteft. Ad eundem plane modum et Erafiftratus Herophilusque ex dimidio, ut antea oftendimus, dogmatici male ulcus fanant; quippe qui eos tantum morbos curare ratione tentant qui organicarum partium funt proprii; ulcus vero, ut fupra, dictum eft, commune fimilarium organicarumque eft; ideoque id, quatenus in fimilaribus provenit, eatenus empirice curabunt. Quin etiam fi ea curare ten-

Ed. Chart. X. [62.] Ed. Baf. IV. (64.)

χειρεῖν θεραπεύειν, κἀνταῦθα ἀναγκαῖον αὐτοῖς ἐστιν ἀποπίπτειν πολλαχῇ τοῦ λογικῶς. εἰ γὰρ αὐτὸ τὸ ἀπολωλὸς οὐσία τίς ἐστιν ὁμοιομερὴς, ἀναγκαῖόν ἐστι τὸν προνοούμενον αὐτοῦ τῆς γενέσεως ὑπὲρ ἁπάσης τῆς φύσεως ἐπίστασθαι. περὶ μὲν δὴ τούτων καὶ αὖθις εἰρήσεται. τὸ δὲ μὴ τυχὸν εἶναι πρᾶγμα, καλῶς ἕλκους προνοήσασθαι καὶ ὡς ἡ πρώτη πασῶν ἔνδειξις, ἡ καὶ τοῖς ἰδιώταις γινωσκομένη πολλοστόν ἐστι μόριον τῆς θεραπείας, ἐναργῶς ἀποδεδεῖχθαι νομίζω· καὶ γὰρ ὅτι δραστικαὶ ποιότητές εἰσι θερμότης τε καὶ ψυχρότης καὶ ὑγρότης καὶ ξηρότης ἀναγκαῖον ἀποδεδεῖχθαι καὶ τούτοις ἐφεξῆς ἅπαντα τὰ περὶ κράσεων ἐγνῶσθαι κατά τε τὸ ἡμέτερον σύγγραμμα καὶ τἄλλα πάντα τὰ τούτῳ πλησιάζοντα. νῦν μὲν οὖν ὁ λόγος ἐφ᾽ ἕλκους εἴρηται κοίλου, μόνην αὐτὴν τὴν κοιλότητα θεραπευόντων ἡμῶν· ἡ γὰρ ὡς ἕλκους θεραπεία κατὰ τὸ παρὸν οὔπω λέλεκται. συνίσταται δὲ καὶ ἥδε κατὰ τὴν αὐτὴν μέθοδον· ἀπό τε γὰρ τῆς τοῦ θεραπεύοντος κράσεως λαμβάνεται καὶ προσέτι τῆς τῶν φαρμάκων δυνάμεως· εἴρηται δ᾽ ἄμφω ταῦτα τοῦ περὶ τῶν

tent quorum fubftantia omnino periit, aut etiam imminuta curtaque eft, in his quoque neceffe eft, a logice *curando* multifariam aberrent. Si enim, quod periit, fubftantia quaepiam fimilaris fit, neceffe eft eum, qui regignendae huic confulet, totius effe naturae peritum. Ac de his quidem poft dicetur. Illud interim clariffime oftenfum arbitror, non effe cujusque probe ulcus curare, primamque omnium indicationem, quae vel plebejis patet, minimam effe curationis partem; nam et calorem, frigus, humiditatem ac ficcitatem activas qualitates effe demonftratione accepiffe neceffe eft; et perinde quae nobis tum de temperamentis feorfum dicato volumine funt fcripta, tum quae huc pertinent in aliis voluminibus, omnia noviffe. Atque hactenus quidem de ulcere cavo fermo eft habitus, ipfam tantum cavitatem curantibus nobis; fiquidem quae ulceris propria curatio fit nondum traditum eft. Perficitur autem ea quoque juxta eandem methodum; quippe quae tum a laborantis *partis* temperamento tum a medicamentorum facultate accipitur;

στοιχείων λόγου, μὴ συγχωρηθέντος γὰρ ἐν τῇ μεθόδῳ γενέσεως καὶ φθορᾶς αἰτίας εἶναι τὰς τέτταρας ποιότητας, οὔτ᾽ ἄρξασθαι τῆς μεθόδου δυνατὸν οὔτε προελθεῖν οὔτε τελειῶσαι· τὸ δ᾽ ἐκείνας ἐπιδεῖξαι δρώσας τε καὶ πασχούσας εἰς ἀλλήλας τῆς περὶ τῶν στοιχείων ἐστὶ θεωρίας. [63] ὅπερ οὖν ἐν τοῖς ἔμπροσθεν ἐπεδείξαμεν, ὑπὸ τοῦ νῦν ἐνεστῶτος λόγου μαρτυρεῖται, τὸ μηδὲν δύνασθαι πραγματεύσασθαι περὶ μηδενὸς τῶν ὁμοιομερῶν τὸν ἰατρὸν ἄνευ τῆς φυσικῆς ὀνομαζομένης θεωρίας. ἀλλ᾽ ἐκεῖ μὲν ἐπὶ τῶν ὁμοιομερῶν ἀπεδείχθη μόνον, ἐνταῦθα δ᾽ ἤδη πως ὁ λόγος ἐμφανίζει μηδὲ ἐπὶ τῶν ὀργανικῶν ὁλόκληρον ἐξευρεῖν δύνασθαι τὴν θεραπείαν μηδένα χωρὶς τοῦ κἀκείνης προσάψασθαι· δειχθήσεται δ᾽ ἐναργέστερον ἔτι ταὐτὸ τοῦτο παρ᾽ ὅλην τὴν πραγματείαν.

Κεφ. δ΄. Ἐπὶ δὲ τὴν τοῦ ἕλκους θεραπείαν μόνου μετέρχεσθαι καιρός· εἴη δ᾽ ἂν μόνον ἐπειδὰν μήτε διάθεσις αὐτῷ συμπαρῇ μηδεμία μήτε σύμπτωμα. μὴ τοίνυν ἔστω μήτε ῥευματικὸν τὸ ἡλκωμένον μόριον μήτε κακόχυμον μήθ᾽

porro ambo haec a tractatione de elementis pendent; etenim nisi illud in methodo concessum sit, quatuor qualitates geniturae et corruptelae causas esse, nec methodum inchoasse, nec provexisse, nec absolvisse fas est; at vero ut illas agentes mutuo patientesque ostendas, id ad speculationem de elementis pertinet. Quod igitur in praecedentibus ostendimus, id nunc praesenti sermone confirmatur, nempe nihil posse medicum de ulla similarium partium agitare sine naturali quam vocant speculatione. Verum illic de similaribus duntaxat id est ostensum; hic jam sermo noster quodammodo insinuat, ne in ipsis quidem organicis cuiquam integram invenire curationem licere, qui illam non attigerit; porro idem in toto etiam evidentius monstrabitur.

Cap. IV. Verum ad ulceris solitarii curationem transire *nunc* tempestivum est; fuerit autem solitarium quum nec affectus ullus simul adsit, nec symptoma. Esto igitur, quae pars exulcerata est, nec fluxione vexata, nec malo

Ed. Chart. X. [63.] Ed. Baf. IV. (64.)

ὅλως δύσκρατον· ἀλλὰ μηδὲ κοιλότης αὐτῷ συνέστω, μηδὲ τοῦ δέρματος ἀπώλεια μηδεμία. καὶ γὰρ αὖ τοῦτο παρορῶσιν οἱ πολλοὶ τῶν ἰατρῶν, οὐ συνιέντες ὡς ἐπειδὰν ἕλκος κοῖλον πληρωθὲν ὁμαλὲς μὲν ὑπάρχῃ, πλατὺ δὲ, διττὴ καὶ νῦν ἐστιν ἐν τῷ μορίῳ διάθεσις, ἑτέρα μὲν οὐσίας δέρματος ἀπώλεια, δευτέρα δὲ συνεχείας λύσις. ἐπειδὰν μὲν οὖν αὐτὸ τοῦτο μόνον ᾖ συνεχείας λύσις, ἤτοι τῆς ἐπιδερμίδος ἢ καὶ τοῦ δέρματος ἅπαντος ἢ καὶ τῆς ὑποκειμένης ἅμ᾽ αὐτῷ σαρκὸς, ἕλκος ἐστὶν οὕτω τὸ πάθημα καὶ δεῖται κολλήσεως μόνης. εἰ γὰρ συναχθείη πρὸς ἄλληλα τὰ χείλη τοῦ δέρματος, οὐδέν ἐστι μεταξὺ τοῦ δέρματος ἑτερογενὲς, ὥσπερ ἐπὶ τοῦ πεπληρωμένου τε καὶ ὁμαλοῦ ἕλκους· ἐπ᾽ ἐκείνου γὰρ οὐχ ἅπτεται τὰ πέρατα τοῦ ἕλκους ἀλλήλων, ἀλλ᾽ ἐκ τῆς ἡλκωμένης ἁπάσης χώρας ἀπόλωλε τὸ δέρμα καὶ χρὴ γεννῆσαι δήπουθεν αὐτό· κατὰ μέντοι τὸ διῃρημένον ὑπό τινος ὀξέος κολλήσεως δεῖ μόνης, οὐ μὴν καὶ γενέσεως δέρματος. ὅταν οὖν ἕλκους ἁπλοῦ προκείμενον ᾖ θεραπείαν εὑρεῖν, ὑποτίθεσθαι χρὴ τῷ λόγῳ διαίρεσιν σαρκώδους μέλους χωρὶς ἀπω-

fucco vitiofa, nec omnino intemperata, fed nec ulla ei cavitas adfit, nec ulla cutis amiffio. Etenim id multi medici praetereunt non intelligentes, poftquam cavum ulcus *carne jam* impletum ac planum eft, fed patulum, duplicem adhuc partis affectum fupereffe, alterum fubftantiae cutis amiffionem, alterum continui folutionem. Ergo quoties unum id habetur, *nempe* continui folutio, five ea fit cuticulae, five cutis totius, five etiam pariter fubjectae carnis affectio, ulcus dicant, ita exiftit poftulatque tantum agglutinari. Quippe fi commiffae fimul fint cutis orae, nihil erit in medio cutis generis diverfi, quemadmodum in eo quod jam repletum eft plenumque ulcus redditum; in hoc enim orae ulceris fe non mutuo contingunt, fed totius ulceratae partis cutis periit; quam utique reftituere oportet; at in eo quod acuto aliquo eft divifum, una agglutinatio requiritur, non etiam cutis generatio. Quoties ergo ulceris fimplicis propofitum fit invenire curationem, praefumendum in fermone eft divifam effe carnofam partem citra ul-

λείας μορίου. τὸ δέ γε πλατὺ τὸ ἐπουλώσεως δεόμενον ἕλκος ἀπολώλεκε τελέως τὴν καλουμένην ἐπιδερμίδα. ταύτην οὖν γεννῆσαι χρὴ καὶ πρὸς ἑαυτὴν ἑνῶσαι· καὶ δύ᾽ ἐνταῦθα πρόκεινται σκοποὶ, καθάπερ ἐπὶ τοῦ κοίλου· διότι καὶ ἡ διάθεσις ἐπ᾽ ἀμφοῖν ἐστι διττή. τίνι τοίνυν, φήσει τις αὐτῶν ἴσως, ὁμαλὲς ἕλκος τοῦ κοίλου διενήνοχεν, εἰ καὶ διάθεσις ἐπ᾽ ἀμφοῖν ἐστι διττὴ καὶ διττὸς ὁ σκοπὸς τῆς θεραπείας; πλήθει τῶν ἀπολωλότων ὦ βέλτιστε μορίων. ἐπὶ μὲν γὰρ τοῦ κοίλου καὶ ἡ ἐπιδερμὶς μὲν ἀπόλωλε καὶ ἡ τοῦ δέρματος δὲ φύσις ἡ λοιπὴ πᾶσα καὶ τῆς ὑποκειμένης σαρκὸς οὐκ ὀλίγον ἐνίοτε μέρος· ἐπὶ δὲ τοῦ πεπληρωμένου σὰρξ μὲν οὐκέτι λείπει, τὸ δ᾽ ἔξωθεν σκέπασμα λείπει. τίς μὲν οὖν ἡ τῶν τοιούτων ἑλκῶν ἐστιν ἴασις ἐφεξῆς ἐροῦμεν· ἐν δὲ τῷ παρόντι τοῦ μόνου ἕλκους ὄντος, ἑτέραν δὲ μηδεμίαν ἔχοντος διάθεσιν, ὁποίαν τινὰ χρὴ τὴν θεραπείαν ποιεῖσθαι λέγωμεν. ἐπεὶ τοίνυν διαίρεσις μόνον ἐστὶν, ἅμα χρὴ τὰ πέρατα γενέσθαι τῶν διῃρημένων· ἢ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ μεῖναι

lius portionis amiffionem. Nam latum ulcus, quod cicatrice induci postulat, omnino comfumpfit quam epidermidem vocavimus; hanc igitur tum gignere tum fibi unire oportet; duoque tibi hic exiftunt fcopi, ficuti in cavo ulcere, propterea affectus ipfe geminus in ambobus eft. Quo igitur, ipforum inquiet forte aliquis, planum ulcus a cavo discernitur, fi et geminus utrobique eft affectus et geminus curationis fcopus? multitudine amiffarum, o praeclariffime, partium. Quippe in cavo *ulcere* non ipfa modo periit cuticula, verum etiam reliqua cutis natura univerfate fubjectae carnis portio aliquando non exigua; in repleto *ulcere* caro non deeft, exterius tamen operimentum defideratur; ac quae ejus generis ulcerum curatio fit poft dicemus; nunc ejus, quod ulcus tantum fit, nec alium ullum affectum adjunctum habet, quaenam debita curatio fit praecipiamus. Ergo quoniam *hic* fola divifio proponitur, diviforum oras una conjunctas effe oportet. An non id folum, verum etiam conjunctas manere? Porro bifariam fimul manent quae

Ed. Chart. X. [63. 64.] Ed. Baf. IV. (64.)

συνελθόντα; διττὴ δ᾽ ἡ τῶν συνελθόντων μονή· τὰ μὲν γὰρ δι᾽ ἑαυτῶν, τὰ δὲ δι᾽ ἄλλων μένει· δι᾽ ἑαυτῶν μὲν ὅσα συμφύεται, δι᾽ ἄλλων δὲ τά τε συνδούμενα καὶ τὰ κολλώμενα. τὰ μὲν δὴ συμφυόμενα πάντως χρὴ μαλακὰ τὴν φύσιν εἶναι. τοιοῦτον δὲ ἥ τε σάρξ ἐστιν αὐτὴ καὶ ὅσα [64] σαρκώδη μόρια κατὰ τὴν σύστασιν. ὅσα δ᾽ ἔστι σκληρὰ καὶ ξηρὰ, συμφῦναι μὲν οὐ δύναται, κόλλης δέ τινος ἢ δεσμοῦ δεῖται πρὸς τὸ μεῖναι συναχθέντα. τῶν μὲν δὴ τοιούτων σωμάτων ἡ ἴασις ἐν τοῖς ἑξῆς εἰρήσεται· περὶ δὲ τῶν ἑνωθῆναι δυναμένων ὁ λόγος περαινέσθω, ζητούντων ἡμῶν κἀνταῦθα τὸ τῆς συμφύσεως αἴτιον. ἔστι δ᾽ ὥσπερ ἐπὶ τῶν κοίλων ἑλκῶν ἡ φύσις αἰτία τῆς σαρκώσεως, οὕτω κἀπὶ τῶν ἁπλῶν ἑλκῶν τῆς συμφύσεως· ὅθεν ἐὰν συναγάγῃς εἰς ταὐτὸν ἀκριβῶς τὰ διεστηκότα, χωρὶς τῆς ἄλλης ἁπάσης τῆς ἔξωθεν ἐπιτεχνήσεως συμφύεται. καί σοι γέγονεν αὖθις ἕτερος σκοπὸς ὁ τῆς συναγωγῆς, ἵν᾽ ἐντεῦθεν ὁρμώμενος ζητήσῃς ἐξ ὧν τοῦτο ποιήσεις. ἢ γὰρ δεσμὸν ἐν κύκλῳ περιλαβὼν ἐκ δυοῖν ἀρχῶν,

commiffa funt, quum alia per fe, alia ope aliorum maneant; per fe quidem quaecunque fecum coalescunt; aliorum ope et quae colligantur et conglutinantur; ac quae coalescunt, omnino mollia naturaliter fint oportet; talis fane eft tum caro ipfa tum quaecunque concretione carnofae funt partes; quaecunque vero dura ficcaque funt, eorum divifae partes coire fimul nequeunt, fed glutinum aliquod vinculumve, quo commiffa maneant, requirunt. Et talium quidem corporum fanatio in fequentibus praecipietur; nunc de iis quae uniri poffunt inceptum fermonem peragamus, hic quoque ipfam coitionis coalescentiaeque caufam inveftigantes. Eft vero ficut in cavis ulceribus natura caufa productionis carnis, ita in fimplicibus ulceribus coalescentiae, quare fi quae diffident in idem ad amuffim componas, citra omnem reliquam extrinfecus molitionem coalescant. Oriturque tibi jam alius attendendus fcopus *orarum* adductio; a quo orfus quibus id efficias inveftigabis. Quippe aut vinculo ex duobus initiis circumdato, aut futura, aut fibulis

ἢ ῥαφὰς, ἢ ἀγκτῆρας ἐπιθεὶς, ἤ τινα τούτων, ἢ πάντα συνάξεις εἰς ταὐτὸ τὰ διῃρημένα. χρὴ δὲ μήτε μαλακὸν εἶναι πάνυ καὶ οἷον βρυῶδες τὸ περιβαλλόμενον, ἵν' ἀσφαλῶς συνέχῃ, μήθ' οὕτω σκληρὸν ὡς θλίβειν· ἀλλὰ μηδὲ τὴν ἐπιβολὴν ἢ οὕτω χαλαρὰν ὡς μηδὲν ἀνύειν, ἢ οὕτω σφοδρὰν ὡς θλίβουσαν ὀδύνην ἐργάζεσθαι. ταῦτ' εἰ ποιήσαις καὶ εἴη τὸ ἕλκος μόνον ἄνευ κακοχυμίας, ἢ ῥεύματος, ἢ δυσκρασίας, ἢ φλεγμονῆς, ἤ τινος ἄλλης κακώσεως, ἑνωθήσεται πάντως. εἰ δ' ἤτοι διὰ τὸ μέγεθος ἀδύνατον εἴη μέχρι τοῦ βάθους ἀκριβῶς ἀλλήλοις παρατεθῆναι τὰ κεχωρισμένα σώματα, μήτε τῶν ῥαμμάτων μήτε τῶν ἀγκτήρων μήτε τῆς ἐπιδέσεως ἀφικνεῖσθαι δυναμένης αὐτῶν, ἢ φθάνοι τις ἰχὼρ αὐτόθι συνειλεγμένος, ἢ καί τις ὀδύνη συνοῦσα, κολληθῆναι τὸ τοιοῦτον ἕλκος ἀδύνατον ἐπὶ μόνῃ τῇ συναγωγῇ· τό τε γὰρ ὀδυνώμενον ἐρεθίζει τι πλέον ἐπιῤῥεῖν· εἰ δὲ καὶ τὸ ἴσον ἐπιῤῥεῖ τὸ κατὰ φύσιν, ἀλλ' ἥ γε δύναμις ἀῤῥωστοῦσα τῶν ὀδυνωμένων τε ἅμα καὶ τε-

impoſitis, aut horum quibusdam, aut omnibus, quae diducta ſunt, in idem adduces. Expedit autem, quod circumjicitur, neque molle nimium ſit, et algae ritu fragile, quo videlicet tuto contineat; neque rurſus ita durum ut *premendo* offendat, tum vero ipſa circumductio nec ita laxa ſit ut nihil efficiat, nec ita vehemens ut *premendo* dolorem excitet. Haec ſi feceris, fueritque ulcus ſolum citra vitioſum ſuccum, aut fluxionem, aut intemperim, aut phlegmonen, aut aliud quodlibet vitium, procul dubio coibit. At ſi vel prae ejus magnitudine fieri nequeat ut disjunctae ipſae partes exacte ad imum usque ſibi coniungantur, videlicet nec ſutura, nec ſibulis, nec ligatura pertingere ad eas valente, vel etiam ſanies jam illic ſit collecta, vel dolor quispiam adjunctus, ejusmodi ulcus ex ſola partium commiſſione agglutinari ommino non poteſt. Nam quod dolet, plus aliquid affluere facit; atque etiam ſi, quod affluit, pro juſto naturae modo ſe habeat, attamen vires ipſae partium, quae tum propter dolorem tum etiam ex vulnere

Ed. Chart. X. [64.] Ed. Baf. IV. (64. 65.)

τρωμένων μορίων οὐκ οἴσει τὸ ἴσον, ἀλλ᾽ ὡς ὑπὸ πλείονος βαρυνθήσεται, κἀκ τούτου πάντως μὲν ἰχῶρες περιττοὶ, θαυμαστὸν δ᾽ εἰ μὴ καὶ φλεγμονὴ γε(65)νήσεται. καὶ μὲν δὴ καὶ εἰ χωρὶς ὀδύνης ὁ ἰχὼρ ἐν τῷ μεταξὺ τῶν συναχθέντων χειλῶν τοῦ ἕλκους εἴη παρακείμενος, ἢ καί τις χώρα γίγνοιτο μεταξὺ κενὴ μὲν ἰχῶρος, ἀέρος δὲ πλήρης, οὐκ ἐνδέχεται κολληθῆναι τὸ τοιοῦτον ἕλκος ἐκ μόνης τῆς συναγωγῆς· ὅ τε γὰρ ἰχὼρ ἤδη διακόπτει τὴν ἕνωσιν αἵ τε μεταξὺ τῶν ἑνωθησομένων χῶραι κεναὶ κωλύουσιν ἅψασθαι τὰς ἐπιφανείας ἀλλήλων· ὥστ᾽ ἐκεῖνά γε τὰ μέρη τοῦ ἕλκους ἡ φύσις δεῖται προσαρκῶσαι πρότερον, ἵνα συμφύσῃ· μικρὰ δὲ δήπουθέν ἐστιν οὕτως, εἰ καλῶς συναχθῇ τὸ ἕλκος, ὡς μιᾶς ἡμέρας ἢ τὸ πλεῖστόν γε δεῖσθαι δυοῖν. ἐν οὖν τούτῳ τῷ χρόνῳ φαρμάκου χρεία ξηραίνοντος τὸ μόριον, ἵν᾽ εἴτέ τις ἤδη παρακείμενος ἰχὼρ εἴη, τοῦτον ἐκδαπανήσῃ καὶ τὸν μέλλοντα συῤῥεῖν εἰς τὰς κενὰς χώρας κωλύσῃ. νῦν οὖν πάλιν ἀναμνήσθητί μου τοῦ σαρκωτικοῦ φαρμάκου τοῦ μετρίως ξηραίνοντος, ἵν᾽ εἰδῶμεν εἴτε ξη-

funt imbecillae, nec quod juftum eft ferent, fed veluti ab exuperanti gravabantur, atque hinc omnino fupervacua fanies proveniet; mirum etiam, fi non et phlegmone oboriatur. Jam vero fi etiam citra dolorem fanies in medio adductorum labrorum ulceris intervenerit; aut etiam locus quisquam medius interfuerit, qui fanie quidem fit vacuus, fed aere plenus, non poteft ejusmodi ulcus fola diffidentium partium conjunctione *glutinari;* quando et fanies jam unionem recidit, et quae conjungendis interveniunt loca vacua, interiorum laterum frontes prohibent fe contingere; quare illas ulceris partes, ut coeant, etiam carne prius impleri natura poftulat; porro hae adeo plane funt exiguae, fi modo divifae ulceris partes rite fint conjunctae, ut unius diei fpatium *tantum* defiderent, aut ad fummum bidui. Hoc igitur tempore medicamento opus eft, quo partem ficcet, ut et fi qua fanies jam fubfit, hanc confumat, et fi qua in vacua loco influxura eft, hanc prohibeat. Nunc igitur medicamentum quod carnem producat et mediocriter ficcet rur-

ραντικώτερον αὐτοῦ χρὴ τὸ κολλητικὸν ὑπάρχειν εἴτε μή. τὸ μὲν δὴ σαρκωτικὸν εἰ σύμπαν ἐξεδαπάνα τὸ ἐπιῤῥέον αἷμα, τὴν ὕλην ἂν οὕτως ἀφῃρεῖτο τῆς σαρκώσεως. τὸ δέ γε κολλητικὸν [65] ἢ οὐδ᾽ ὅλως δεῖται γενέσεως σαρκὸς, ἢ σμικρᾶς παντάπασιν· ὥστε μᾶλλον αὐτὸ χρὴ ξηραίνειν τοῦ σαρκωτικοῦ. ταύτῃ τε οὖν ἀλλήλων διοίσει μικράν τινα διαφορὰν, ἑτέραν τε μεγάλην, ᾗ τὸ μὲν σαρκωτικὸν εὐθὺς χρὴ καὶ ῥυπτικὸν ὑπάρχειν, ἵνα μὴ μόνον ξηραίνῃ τὸ περιττὸν τῆς ὑγρότητος, ἀλλὰ καὶ τὸν ῥύπον ἀφαιρῇ· τὸ δὲ κολλητικὸν οὐ ῥύπτειν οὐδὲ ἀποσμᾷν, ἀλλὰ τοὐναντίον ἅπαν εἰς ταὐτὸν συνάγειν ἅπασαν τὴν οὐσίαν· ὅπερ, οἶμαι, πέφυκε δρᾷν ὅσα τῶν φαρμάκων αὐστηρὰ καὶ στύφοντα καλεῖται· ταῦτα γὰρ εἰς ταὐτὸ συνάγειν καὶ πιλεῖν, οὐκ ἀποῤῥύπτειν, οὐδὲ καθαίρειν πέφυκεν. ὥστε μάλιστα πάντων φυλαξώμεθα τὸ στῦφον φάρμακον, ἔνθα σαρκῶσαι πρόκειται δυσαπολύτως ἐμπλάσσον τοῖς ἕλκεσι τὸν ῥύπον· οὗτος οὖν ἄριστον φάρμακον ἑλκῶν ἁπάντων ᾗ ἕλκη. εἰ δὲ καὶ μὴ προσθείημεν τῷ

fus mihi ad memoriam revocabis, ut intelligamus, ficciusne eo effe glutinatorum debeat an fecus. Sane quod carnem producit, fi totum qui confluit fanguinem confumeret, ipfam materiam creandae carnis fic adimeret. At glutinatorium aut omnino carnis generatione non eget, aut plane exigua; quare plus ficcet oportet quam quod carnem producit. Ergo tum hac ratione tenui quadam differentia inter fe diffident, tum vero altera magna, quatenus quod carnem producit, ftatim etiam detergendi vim obtineat oportet, quo non modo redundantiam humoris ficcet, fed etiam fordem auferat; glutinatorium vero nec detergeat nec evellat, fed contra prorfus fubftantiam omnem in idem cogat; cujusmodi facultatem habent medicamenta ea quae auftera et adftringentia vocantur; haec namque in idem cogendi ac ftipandi, non detergendi neque purgandi facultatem habent. Quo fit ut, ubi carni producendae ftudemus, maxime cavendum fit ab adftringente medicamento, utpote quod fordem ulceribus arctius affigat quam ut facile poffit avelli.

λόγῳ ἢ ἕλκη, ταὐτὸν, οἶμαι, νοήσεις· ὑπὲρ γὰρ τοῦ μὴ παρακοῦσαί τινα πρόσκειται χάριν ἀναμνήσεως, οὐχ ὡς ἀναγκαῖόν τι διοριζόμενον. ὡς εἴ γέ μοι μεμνημένος εἴης τῶν ἐν τῷ πρὸ τούτου βιβλίῳ λόγων ἁπάντων, τῶν περὶ τῶν καθ᾽ ἕκαστον ὄνομα σημαινομένων τε καὶ ὑποκειμένων πραγμάτων, οὐδὲν ἔτι σοι δεήσομαι τὰ τοιαῦτα διορίζεσθαι, μόνον δὲ ἀρκέσει μοι καθ᾽ ἕκαστον αὐτῶν διελέσθαι τὰς ἁπλᾶς διαθέσεις τῶν συνθέτων, ὑπὲρ ὧν ἤδη μέν πού τι πρόσθεν εἴρηται, ῥηθῆναι δ᾽ ἀναγκαῖον ἔσται καὶ νῦν, οὐ τοσοῦτον αὐτοῦ τοῦ πράγματος ἕνεκεν, ἀλλ᾽ ὅτι νομίζουσιν οἱ πολλοὶ τῶν ἰατρῶν ὑπὸ τῆς λέξεως ἐξαπατώμενοι διαφορὰς ἑλκῶν εἶναι τὸ κοῖλον καὶ ὁμαλὲς, ἔναιμόν τε καὶ παλαιὸν, ῥυπαρόν τε καὶ καθαρὸν, ἀφλέγμαντόν τε καὶ φλεγμαῖνον. ἀναγκαῖον οὖν ἔσται διελέσθαι τίνες μὲν αἱ οἰκεῖαι διαφοραὶ τῶν ἑλκῶν εἰσι, τίνες δ᾽ ἐπιπλοκαὶ διαθέσεων ἑτέρων. ἀλλὰ τοῦτο μὲν ὀλίγον ὕστερον· ἡ δὲ συνήθης διδασκαλία τοῖς παλαιοῖς, ἥνπερ δὴ καὶ νῦν ηὐξάμην ἀσκηθῆναι, κατὰ φύσιν ὑπάρχει,

Vinum igitur omnis ulceris qua ulcus eſt optimum eſt medicamentum. Quod ſi nec illud, qua ulcus, ſermoni ſit adjectum, idem tamen, arbitror, intelliges; quippe recordationis tantum cauſa eſt additum, ne quis obaudiat, non ſicut neceſſarium aliquid definiens. Adeo ſi memorem te eorum omnium quae in ſuperiore libro ſunt tradita, de rebus ſingulis tum nominandis tum vero ſubjectis, praeſtiteris, nihil eſt quod talia tibi de caetero definiam. Illud tantum abunde mihi erit, ſi per ſingula eorum ſimplices affectus a compoſitis ſecernam; de quibus mihi nonnihil prius eſt dictum; ac nunc nihilominus eſt dicendum, non adeo *mehercle* rei ipſius cauſa, quam quod plerique medicorum dictione ipſa decepti cavum et planum, cruentum et inveteratum, ſordidum et purum, phlegmone liberum et phlegmone comitatum, putant differentias eſſe ulcerum. Neceſſe igitur eſt diſtinguere quae propriae ulcerum differentiae ſint et quae aliorum affectuum implicationes; verum hoc poſterius paulo. Sane ſolennis veteribus doctrina, quae utinam nunc eſſet in uſu, maxime naturalis eſt, qui ſimpli-

μάλιστα τῶν ἁπλῶν ἑκάστης διαθέσεως ἴδιον ἴαμα λεγόντων αὐτῶν καὶ μάλιστα πάντων Ἱπποκράτους. ἡ γάρ τοι μέθοδος ἡ θεραπευτικὴ κατὰ τοῦτον ἂν μάλιστα προΐοι τὸν τρόπον, ὑπὲρ ἑκάστου τῶν ἁπλῶν ἰδίᾳ διελθόντων ἡμῶν· ἔπειτ' αὖθις ἐπὶ τοῖς συνθέτοις ἅπασιν ἑτέραν μίαν ἐπιδειξάντων μέθοδον· ὥσπερ καὶ εἰ δύο ἦν ὄντως κατὰ δίαιταν νοσήματα, τό τε στεγνὸν καὶ τὸ ῥοῶδες, ἰδίαν ἑκατέρου θεραπείαν εἰπόντας, οὕτως ἐχρῆν ἐπιπεπλεγμένου μνημονεύειν, ὡς οἱ περὶ τὸν Θεσσαλὸν ἀξιοῦσι, τὸν αὐτὸν, οἶμαι, τρόπον, ἐπειδὰν τῶν μὲν ἑλκῶν ᾗ ἕλκη πάντων ἓν εἶδος ὑπάρχει, τῶν φλεγμονῶν δ' ᾗ φλεγμοναὶ, καὶ τούτων ἕτερον εἶδος ἓν, ἰδίᾳ μὲν χρὴ τῶν ἑλκῶν, ἰδίᾳ δὲ τῶν φλεγμονῶν εἰπόντας θεραπείας, οὕτως ἤδη συνάπτειν εἰς ταὐτὸν ἀμφοτέρας. τοῦτ' οὖν εἰ ποιήσαιμεν, ἕλκη μὲν ἅπαντα ξηραίνεσθαί τε ἅμα καὶ στύφεσθαι δεόμενα, κατὰ τὴν εἰρημένην μέθοδον εὑρήσομεν, οὐ μὴν καὶ ῥύπτεσθαί γε· κοιλότητα δ' ἐν σαρκὶ ξηραίνεσθαι μὲν καὶ ῥύπτεσθαι, στύφεσθαι δ' οὐκέτι. καὶ δὴ κατὰ τὸν αὐτὸν τρόπον ὃν ἔμπροσθεν εἴπομεν ἐπὶ τῶν κοίλων ἑλκῶν,

cis cujusque affectus propriam curationem dicunt, praecipueque omnium Hippocrates. Medendi namque methodus ad hunc modum bellissime procedet, si de singulis simplicibus seorsum praeceperimus, post deinde de compositis omnibus alteram aliquam methodum indicaverimus. Ut enim si duo vere essent in victus ratione morbi, astrictus et fluens, quum propriam utriusque curationem dixissemus, de conjunctione amborum esse agendum, sicut Thessalus ipse censet: eodem, arbitror, modo quoniam ulcerum qua ulcera sunt una omnium est species, tum phlegmonarum qua phlegmonae sunt altera item species una est, oportet, ubi seorsum ulceris, seorsum rursus phlegmones curationem tradideris, post deinde ambas in idem conjungere. Id igitur si fecerimus, omne profecto ulcus tum siccari debere tum etiam adstringi, pro dicta jam methodo, inveniemus, non tamen detergeri; *contra* cavitatem in carne siccari quidem postulare et abstergeri, minime autem adstringi. Quinetiam ad eundem modum quem prius diximus in cavis

Ed. Chart. X. [65. 66.] Ed. Baf. IV. (65.)

ἀνάλογον καὶ νῦν ἐπισκεψόμεθα τοῦ σώματος τὴν φύσιν, εἰ μαλακὴ καὶ βρυώδης, ἢ σκληρὰ καὶ ξηρὰ καὶ σύντονος. ἡ μὲν γὰρ προτέρα καθ᾽ ὅσον ὑγροτέρα, κατὰ τοσοῦτον καὶ τῶν φαρμάκων ἧττον ξηραινόντων δεήσεται· ἡ δευτέρα δὲ καθ᾽ ὅσον ξηροτέρα, κατὰ τοσοῦτον αὖ καὶ ἥδε καὶ σφοδρότερον ξηραινόντων δεήσεται καὶ μᾶλλον στυφόντων. [66] ὁ γοῦν ἐμπειρικὸς, οἶμαι, κἀνταῦθα παίδων μὲν καὶ γυναικῶν καὶ ἁπαλοσάρκων μνημονεύσει, νεανίσκους καὶ γεωργοὺς καὶ θαλαττουργοὺς ἀντιτάττων αὐτοῖς· οὐ μὴν ὅτι γε διὰ μὲν τὴν ὑγρότητα τῆς κράσεως ἐπὶ παίδων καὶ γυναικῶν ἑώραται τὰ τοιαῦτα τῶν φαρμάκων εὐδοκιμοῦντα· διὰ δὲ τὴν ξηρότητα πάλιν ἕτερα, θερισταῖς καὶ ναύταις ἁρμόττοντα συνιέναι δυνάμενος, οὔτε τῆς καθ᾽ ἕκαστον σῶμα θεραπείας ἀκριβῶς στοχάσεται καὶ τῆς ἀποτυχίας οὐχ εὑρήσει τὴν αἰτίαν. ὥστε οὐδὲ τῆς ἐπὶ τὸ βέλτιον εὐπορήσει μεταβολῆς, ὁπόταν ἀποτυγχάνῃ τὰ διὰ τῆς ἐμπειρίας αὐτῷ προεγνωσμένα. τοῦτο μὲν δὴ καθόλου περὶ τῶν φαρμάκων εἴρηταί μοι τῶν κολλητικῶν· ἑξῆς δ᾽ ἄλλη τις μέθοδος εἰς τὴν σκευασίαν τε καὶ

ulceribus, nunc ad proportionem naturam corporis aeftimabimus, mollisne ac laxa fit, an dura, ficca et contracta. Siquidem prior quanto eft humidior, tanto medicamentis minus ficcantibus egebit. Pofterior quatenus eft ficcior, eatenus rurfum quae vehementius ficcent magisque adftringant, defiderabit. Empiricius enim, arbitror, hic quoque pueros et foeminas et qui tenera funt carne memorabit, juvenes, agricolas et nautas his opponens. Caeterum quum non intelligit quod in pueris et foeminis propter humiditatem temperamenti, ejusmodi medicamenta vifa funt conducere, rurfus altera mefforibus ac nautis propter ficcitatem convenire, nec cujusque corporis curationem exacte conjiciet, nec erroris caufam deprehendet. Quo fit ut nec intelligat quemadmodum fe ad potius transferet, ubi parum ceffit iis, quae per experientiam prius novit; haec igitur fummatim de glutinatoriis medicamentis diximus. Hinc vero altera quaedam methodus fuccedit, ad eorum praepa-

τὴν σύνθεσιν αὐτῶν διαφέρουσα προσέρχεται· τοῖς μὲν γὰρ κοίλοις ἕλκεσιν ὃ βουλόμεθα προσφέρομεν εὐθὺς, εἴτ' οὖν ξηρὸν εἴθ' ὑγρὸν φάρμακον· ἐγχωρεῖ γὰρ ἐπιπάττειν ἢ ἐμπλάττειν αὐτὰ παντὶ μορίῳ τοῦ ἕλκους· ἐπὶ δὲ τῶν ἄχρι βάθους ἱκανοῦ γεγενημένων τραυμάτων, ἐπειδὰν ἅπαξ συναγάγωμεν τὰ χείλη, ψαῦσαι τῶν ἐν τῷ βάθει διῃρημένων οὐκ ἐγχωρεῖ. χρὴ τοίνυν οὐχ ἁπλῶς εἰ ξηραντικόν ἐστι καὶ αὐστηρὸν μετρίως τὸ φάρμακον, ἀλλ' εἰ καὶ μέχρι τοῦ βάθους ἐξικνεῖσθαι δυνατὸν ἐπισκοπεῖσθαι. ψιμμύθιον γοῦν καὶ λιθάργυρος στύφει καὶ ξηραίνει μετρίως· ἀλλ' ἐὰν ἐπιπάσσῃς αὐτὰ δίκην τέφρας ἐν κύκλῳ τοῦ τετρωμένου, πλέον οὐδὲν ἀνύσεις· οὐ γὰρ διϊκνεῖται τῶν οὕτω ξηρῶν φαρμάκων εἰς τὸ βάθος ἡ δύναμις. ὑγρότητος οὖν αὐτοῖς δεήσει τινὸς, ἵν' ὁποῖόν τι τῶν ἐμπλαστικῶν φαρμάκων, ἢ καὶ τῶν ὑγροτέρων τι γένηται. τοῦτο μὲν οὖν τῆς περὶ συνθέσεως φαρμάκων πραγματείας ἐστὶν ἴδιον, οὐκ αὐτῆς τῆς θεραπευτικῆς μεθόδου· καὶ εἰ δόξαιμεν αὐτοῦ δεῖσθαί τε πρὸς τὰ παρόντα, κἂν ἐπὶ προήκοντι τῷ λόγῳ μνημονεύσαιμεν.

rationem compofitionemque pertinens; fiquidem cavo ulceri quicquid volumus ftatim applicamus, five ficcum id, five humidum medicamentum fit; licet enim omni parti ulceris eae tum infpergere tum illinire; at in vulneribus, quorum major eft profunditas, id non licet; quippe ubi femel oras conjunxeris, appropinquare quae in imo funt divifa, non poffis. Confiderandum igitur eft non modo an ficcans adftringensque modice medicamentum fit, verum etiam an pervenire ad imum valeat. Nam et ceruffa et lithargyrus ficcant adftringuntque modice; fed fi ea cineris ritu circa vulnus infpergas, nihil proficies, neque enim ad fundum pervenit medicamenti vis quod ita ficcum; humidatem igitur quandam defiderat, quo fimile emplaftici fit, vel etiam humidioris cujusquam medicamenti. Verum haec operis ejus quod de medicamentorum compofitione praecipit propria fpeculatio eft, non ejus quod de medendi ratione inftituitur; quod fi quid ea ad rem propofitam indigebimus, id procedente opere attingemus.

Ed. Chart. X. [66.] Ed. Baf. IV. (65. 66.)

Κεφ. ε΄. Ἐπὶ δὲ τὸ τῆς οὐλῆς δεόμενον ἕλκος ἐπάνειμι, περὶ οὗ μικρὸν ἔμπροσθεν ἔλεγον ὡς ὁ πρῶτος μὲν εἴη καὶ τούτου σκοπὸς ἐκ τούτου γένους τοῦ κοίλου. γεννῆσαι γὰρ χρή τι τῶν ἀπολωλότων, οὐχ ἁπλῶς ἑνῶσαι τὰ διεστηκότα· τρόπον δ᾽ ἕτερον ἐπὶ τούτου γεννᾶται τὸ λεῖπον ἢ ὃν ἐπὶ τοῦ κοίλου. ἐν ἐκείνῳ μὲν γὰρ τὸ αἷμα, τούτῳ δ᾽ ἡ σὰρξ ὕλη. πληροῦται μὲν οὖν τὸ κοῖλον ὑπὸ τῆς γεν(66)νωμένης σαρκὸς, τὴν γένεσιν ἐκ τοῦ αἵματος ἐχούσης· εἰς οὐλὴν δὲ ἀφικνεῖται τὸ ἤδη πεπληρωμένον ὑπὸ τοῦ γεννωμένου δέρματος, ἐκ τῆς ὑποβεβλημένης σαρκὸς τὴν γένεσιν ἔχοντος· ἀλλὰ σὰρξ μὲν ἡ αὐτὴ τῷ εἴδει τῇ διεφθαρμένῃ δύναται γεννηθῆναι κατὰ τὸ κοῖλον ἕλκος· δέρμα δ᾽ οὐκ ἐνδέχεται γεννηθῆναι τοιοῦτον ἀκριβῶς οἷον ἦν τὸ διεφθαρμένον, ἀλλ᾽ ὅμοιον μέν τι δέρματι καὶ τὴν χρείαν αὐτοῦ δυνάμενον ἀποπληροῦν, οὐ μὴν ἀκριβὲς δέρμα. διὰ τί μὲν οὖν οὐχ οἷόν τ᾽ ἐστὶν ἡμῖν γεννῆσαι δέρμα τὸ ἅπαξ ἀπολλύμενον, ὥσπερ σάρκα καὶ πιμελὴν γεννῶμεν, ἐκ τῶν φυσικῶν ἐστι προβλημάτων· ὅπως δ᾽ ἄν τις μιμήσαιτο καὶ φύσιν καὶ χρείαν δέρ-

Cap. V. Nunc ad ulcus, quod cicatrice induci poftulat, revertar; de quo paulo ante dixi ejus quoque primum quo tenditur finem ex eodem effe genere cujus eft et cavi. Quippe regignere aliquid opus eft quod periit, non tantum unire quae diffident; caeterum diverfa ratione hic gignere quod deeft, quam in cavo; quando illic fanguis, hic caro pro materia fit. Siquidem quod cavum eft, impletur ex gignenda carne, quae ex fanguine ortum habet; at ad cicatricem producitur quod jam eft impletum, ex gignenda cute, quae ex fubjecta creatur carne. Caeterum caro eadem fpecie cum ea quae periit gigni in cavo ulcere poteft; cutis talis omnino qualis erat quae periit prorfus reftitui non poteft, fed fimile quiddam cuti et quod ejus officium fuppleat poteft, non tamen plane cutis. Ac *caufa* quidem cur ficuti caro adepsque regignuntur, ita cutis quae prorfus perierit regigni nequeat, ex naturalibus problematis eft *petenda*; quemadmodum autem tum naturam

ματος, ἐκ τῆς νῦν ἐνεστώσης πραγματείας, ἧς τὴν μέθοδον ἤδη λέγομεν. ἐπειδὴ πρόκειται σκεπάσαι τὴν σάρκα συμφύτῳ τινὶ σκεπάσματι, τοῦτο γάρ ἐστι τὸ εἰς οὐλὴν ἀγαγεῖν τὸ ἕλκος, ἤτοι δέρμα γεννητέον ἡμῖν ἐστιν, ἢ τῆς σαρκὸς τὸ ἐπιπολῆς δέρματι παραπλήσιον ἐργαστέον· ἀλλ' οὐκ ἐγχωρεῖ γεννῆσαι δέρμα, τὸ λοιπὸν ἄρα πειρατέον ἐργάζεσθαι. τίς οὖν ὁ τρόπος τῆς ἐργα[67]σίας; ἡ ἀλλοίωσις δηλονότι· σαρκὸς γάρ τι μόριον οὐκέτι σάρκα μένειν, ἀλλ' οἷον δέρμα γενέσθαι βουλόμεθα· πῶς οὖν ἀλλοιωθήσεται; κατά τινα τῶν ἀλλοιουσῶν δηλονότι ποιοτήτων· ἥκει γὰρ αὖθις ἐνταῦθα, κἂν μὴ θέλωμεν, ὁ περὶ τῶν στοιχείων λόγος, οὗ χωρὶς οὐδὲ ἐπουλωτικὸν ἔστιν εὑρεῖν φάρμακον, οὐ μόνον σαρκωτικὸν ἢ κολλητικόν. ἐπεὶ τοίνυν τὸ δέρμα τῆς σαρκὸς ξηρότερόν ἐστι καὶ πυκνότερον, εἰ ξηραίνοιμεν καὶ στύφοιμεν τὴν σάρκα, δέρματι παραπλησίαν ἐργασόμεθα. τὸ μὲν κεφάλαιον ἔχεις ἤδη τῶν ἐπουλωτικῶν φαρμάκων, ἀλλ' οὐκ ἀρκεῖ τοῦτο· καὶ γὰρ τὰ κολλητικὰ ξηραίνοντά τε ἦν καὶ στύφοντα. ὅπῃ

tum ufum cutis imitemur hinc accipiendum, ejusque rei methodum jam tradamus. Quoniam tegere carnem naturali aliquo tegumento propofitum eft, *quippe* id eft ducere ad cicatricem ulcus, aut cutis nobis generanda eft, aut fumma caro cuti fimilis efficienda. Verum ut cutis regeneretur fieri omnino nequit; quod fupereft igitur efficere eft tentandum. At quae igitur hujus efficiendi eft ratio? Nempe alteratio; quippe ut carnis pars quaepiam non amplius caro permaneat, fed veluti cutis evadat poftulamus. Quo pacto, *inquies*, alterabitur? Profecto alicujus alterantium qualitatum ope; incidit enim rurfus hoc loco vel nolentibus nobis de elementis fermo, fine quo nec quod cicatricem inducat invenire medicamentum licet, nedum quod carnis producendae aut agglutinandi facultatem habeat. Ergo quoniam cutis carne ipfa tum ficcior eft tum etiam denfior, fi carnem ficcabimus et adftringemus, cuti etiam perfimilem reddemus. Habes medicamenti quod cicatricem inducit fummam, verum ea non fatisfacit; nam et glutinatoria tum ficcabant tum etiam adftringebant;

ποτ' οὖν διοίσει ταῦτ' ἐκείνων, εἰς αὐτὴν ἀποβλέπων τὴν οὐσίαν τῶν πραγμάτων ἐξευρήσεις. ἐπειδὴ γὰρ ἐν μὲν ταῖς κολλήσεσι τῶν ἡλκωμένων ξηραίνεσθαι χρὴ τὸ ἐπιῤῥέον, ὡς ἀπέριττον μένειν τὸ πεπονθὸς μέρος, ἐν δὲ ταῖς ἐπουλώσεσιν οὐ μόνον τὸ ἐπιῤῥέον, ἀλλὰ καὶ τὸ περιεχόμενον ἐν ταῖς σαρξὶν ὑγρὸν ἐκδαπανᾶσθαι προσήκει, πολὺ δήπου ξηρότερον εἶναι χρὴ τὸ συνουλωτικὸν φάρμακον τοῦ κολλητικοῦ· τῷ μὲν γὰρ κολλήσοντι, σκοπὸς εἷς οὗτος μόνος ἐκδαπανῆσαι τὸ περιττὸν τοῦ κατὰ φύσιν, τῷ δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ κατὰ φύσιν ἅψασθαι· κηκὶς οὖν ὀμφακίτης ἐνταῦθα καὶ τὰ τῆς ῥοιᾶς λέμματα καὶ τῆς Αἰγυπτίας ἀκάνθας ὁ καρπὸς, μετρίως ξηραίνοντα φάρμακα· χαλκῖτις δὲ καὶ χαλκὸς κεκαυμένος καὶ λεπὶς χαλκοῦ καὶ μίσυ καὶ στυπτηρία σχιστὴ πολὺ τούτων σφοδρότερα· μίσυ μὲν καὶ χαλκῖτις μάλιστα, μετριώτερον δ' ἡ λεπὶς τοῦ χαλκοῦ· καὶ τούτου μετριώτερον ὁ κεκαυμένος χαλκὸς, εἰ δὲ καὶ πλύναις αὐτὸν, τὸ ἀδηκτότατον ἕξεις φάρμακον. ἔστι δὲ καὶ τοῦτο ἤδη τῆς περὶ φαρμάκων συνθέσεως πρα-

ergo quo haec ab illis distent, id, si ipsam rerum substantiam inspicias, invenies. Nam quoniam in glutinatione ulceratorum siccandum quod affluit est, quo videlicet affecta pars supervacuis vacet, in cicatrice ducenda non modo quod affluit, verum etiam humor qui in ipsa carne continetur est consumendus; multo profecto siccius quod cicatricem inducat quam quod agglutinet esse conveniet, quando glutinaturo unum id propositum est ut ejus quod secundum naturam est redundantiam consumat; qui *cicatricem inducet* non hoc modo, verum etiam ut ei quod secundum naturam se habeat, aliquid deradat. Galla igitur immatura hoc loco et malicorium et Aegyptiae spinae fructus modice siccantia medicamenta sunt; chalcitis et aes ustum et aeris squama et misy et fissum alumen multo his sunt valentiora; misy quidem et chalcitis praecipue, mitior autem aeris squama, atque etiam hoc mitius aes ustum; quod etiam si lavabis, utique minus mordens medicamentum habebis. Porro hoc quoque ad opus de compositione medi-

γματείας, ἑπομένης τῇ θεραπευτικῇ μεθόδῳ. τὸ μὲν γὰρ τὰς δυνάμεις τῶν φαρμάκων γνῶναι προηγεῖται τῆς θεραπευτικῆς μεθόδου· καὶ λέλεκται περὶ αὐτῶν ἑτέρωθι· τὸ δὲ συνθεῖναι τὰ φάρμακα μετὰ τὴν θεραπευτικήν ἐστι μέθοδον. ὅταν γὰρ αὕτη μὲν διδάξῃ τὰ καθόλου, λέγω δὲ τὸ ξηραίνειν ἢ ὑγραίνειν, ἢ ψύχειν ἢ θερμαίνειν, καὶ ἤτοι μετρίως τοῦτο δρᾷν, ἢ σφοδρῶς, ἢ ἀμυδρῶς, εἰδῶμεν δὲ καὶ τὴν τῶν ἁπλῶν φαρμάκων ἑκάστου δύναμιν ἰδίᾳ καθ' ἑαυτὴν ἐπεσκεμμένοι, τηνικαῦτα πῶς ἄν τις ταῦτα μίξειεν ἐπιτηδείως τῇ χρείᾳ προσήκει σκέπτεσθαι· γίνεται γοῦν οὕτως διττή τις ἡ περὶ τῶν φαρμάκων μέθοδος· ἑτέρα μὲν ἡ τῆς δυνάμεως αὐτῶν, ἑτέρα δὲ ἡ τῆς συνθέσεώς τε καὶ σκευασίας. ἀλλὰ γὰρ ἐπὶ τὸ λεῖπον ἔτι τῆς περὶ τῶν ἑλκῶν ἀπιέναι χρὴ μεθόδου.

Κεφ. στ'. Λείπει δ', ὡς οἶμαι, τὸ περὶ τῶν ὑπεραυξανομένων σαρκῶν εἰπεῖν, ὃ δὴ καὶ ὑπερσάρκωσιν ὀνομάζουσιν οἱ πλείους τῶν ἰατρῶν. ἔστι δὲ καὶ τοῦτο νόσημα τοῦ γένους τοῦ παρὰ τὸ ποσὸν, ἢ τὸ πηλίκον τῶν μορίων·

mentorum pertinet, quod fane medendi methodum ordine fequitur. Nam medicamentorum facultates noffe, id quidem medendi methodum praecedit tractatumque de his alibi eft; compofitio vero medicamentorum medendi methodum fequitur. Quum enim haec univerfale praecepit, dico autem ficcandum, aut refrigerandum effe; tum vel modice id faciendum effe, vel valenter vel leviter; intelligamus vero cujusque fimplicium medicamentorum facultatem hancque per fe feorfum perpenfam, tum profecto quo pacto quis ea commode ad ufum miscuerit, confiderare conveniat. Exiftit igitur eo pacto duplex de medicamentis peritia; altera de eorum facultatibus, altera de compofitione ac praeparatione. At enim ad id quod fupereft methodi de ulceribus redeundum eft.

Cap. VI. Supereft autem ut arbitror, de supercrescente carne dicere, quam hyperfarcofin vocat maxima medicorum pars. Eft porro is quoque morbus ex eo genere, quod in quantitate magnitudineve partium fpectatur; licet

ἐξέστω γὰρ ὡς [68] ἂν ἐθέλοις ὀνομάζειν· ἐκ ταὐτοῦ δὲ γένους καὶ ἡ κοιλότης ἦν, ὑπὲρ ἧς προειρήκαμεν. ὡς οὖν ὃ καλοῦσιν ἕλκος κοῖλον οὐχ ἕν ἐστι πάθος, ἀλλὰ κοιλότης τε ἅμα καὶ ἕλκος, οὕτως ἕλκος ὑπερσαρκοῦν οὐχ ἕν ἐστι πάθος, ἀλλ' ὑπερσάρκωσίς τε ἅμα καὶ ἕλκος, ἐνδείκνυται δὲ τὸ τῷ μεγέθει παρὰ φύσιν τὴν πρώτην ἔνδειξιν, ἣν δὴ καὶ σκοπὸν τῆς τῶν ἰαμάτων εὑρέσεως ἐλέγομεν εἶναι, τοῦ πλεονάζοντος τὴν ἀφαίρεσιν· ὑπὸ φαρμάκων δ' αὕτη γίνεται μόνον, οὐκέθ' ὑπὸ φύσεως, ἀνάπαλιν ἢ ὡς ἐπὶ σαρκώσεως καὶ κολλήσεως εἶχεν· ἐκεῖνα μὲν γὰρ τῆς φύσεως αὐτῆς ἐστιν ἔργα, τῶν φαρμάκων τὰ διακωλύοντα τὰς ἐνεργείας αὐτῆς ἐκκοπτόντων· ἡ δὲ τῶν ὑπεραυξηθεισῶν σαρκῶν καθαίρεσις οὐδὲν μὲν τῆς φύσεώς ἐστιν ἔργον, ὑπὸ δὲ τῶν ἰσχυρῶς ξηραινόντων γίνεται φαρμάκων. παράκειται δὲ ταῦτα τὰ φάρμακα τοῖς τε ῥύπτουσιν ἰσχυρῶς καὶ τοῖς ἐπουλοῦσιν, ὡς πολλοὺς διαμαρτάνοντας ἐνίοτε τὸ καθαιρετικὸν φάρμακον ἢ ὡς ῥύπου καθαρτικὸν, ἢ ὡς

enim pro arbitrio voces; ex eodem genere et cavitas erat, de qua jam egimus. Ergo veluti quod ulcus cavum vocant non unum eſt vitium, ſed pariter et cavitas et ulcus, ita ulcus, quod ſupercrescentem carnem habet, non unus eſt morbus, ſed ſimul caro ſupercrescens et ulcus. Indicat autem magnitudo quae praeter naturam eſt primam indicationem, quam etiam veluti metam inveniendorum medicamentorum diximus, ipſius ſcilicet exuperantis ablationem; at haec ſola medicamentorum ope perſicitur, non opera naturae; videlicet contra quam in carne reſtituenda, aut glutinatione ſe habuit: haec enim naturae ipſius ſunt opera, medicamentis tantum quae actioni ejus obſtant ſubmoventibus: at ſupercrescentis carnis detractio nullum quidem naturae opus eſt, ſed medicamentis perficitur vehementer ſiccantibus. Proxima ſunt ejusmodi medicamenta tum iis quae valenter detergent tum iis quae cicatricem inducunt, ſic ut non pauci interdum per errorem medicamentum, quod carnem minuit, vel pro eo quod ſordem deterget, vel pro eo quod

Ed. Chart. X. [68]. Ed. Baf. IV. (66.)

εἰς οὐλὴν ἄγον παραλαμβάνειν· οἷον αὐτίκα τὸ μίσυ καὶ ἡ χαλκῖτις εἰ ὑγρᾷ φύσει προσάγοιτο, τῶν καθαιρόντων μᾶλλον ἢ τῶν ἐπουλούντων ἐστίν· ὅθεν εἴ ποτε τοιούτοις ἀναγκασθείημεν χρῆσθαι πρὸς ἐπούλωσιν, ἑτέρων δηλονότι μὴ παρόντων, ὡς ἐλαχίστοις αὐτοῖς χρησόμεθα, μόνον τὸν πυρῆνα τῆς μήλης καθιέντες εἰς ἄκρον λελειωμένα τὰ φάρμακα· κἄπειθ᾽ οὕτως οἷον χνοῦν τινα τοῖς τῆς ἐπουλώσεως δεομένοις ἐπιβάλλομεν μορίοις. εἰ δὲ καὶ καθαιρεῖν βουλοίμεθα τὰ ὑπερέχοντα, δαψιλέστερον ἐπιθήσομεν. ἰὸς δὲ τούτων ἐστὶ καθαιρετικώτερος, ὡς ὅλως ἐκπεπτωκέναι τοῦ γένους τῶν ἐπουλούντων· εἰ δὲ καὶ καύσειας αὐτὰ, δριμύτερα μὲν ἧττον, ἐπουλωτικώτερα δὲ ποιήσεις. εἰ δὲ καὶ πλύναις, ἠπιώτερα. μέμνησαι δὲ δήπου καὶ σὺ τὸν ἄνευ λογισμοῦ θεραπεύοντά ποτε τὸ ῥυπαρὸν ἕλκος, τῷ συνήθει φαρμάκῳ τῷ χλωρῷ, μιγνύντα μὲν αὐτῷ τὸ μέλι, πολλαῖς δὲ ἐφεξῆς ἡμέραις εὑρίσκοντα ῥυπαρὸν ὁμοίως· εἶτ᾽ ἀπορούμενόν τε καὶ ὅπῃ μεταβῇ μὴ γινώσκοντα· συνέβαινε

cicatricem inducit accipiant, ut, *ne ab exemplo noſtro recedamus*, miſy et chalcitim, ſi humidae naturae applicabis, potius carnem demere quam cicatricem inducere deprehendes; unde ſi quando iis uti ad cicatricem inducendam in aliorum penuria cogimur, parciſſime ipſis utemur, ſummum tantum ſpecillum in ea ad exactiſſimum levorem tunſa demittentes, ac poſt velut tenuiſſimum quendam pollinem partibus quae cicatrice induci poſtulant imponentes; quod ſi minuere quae ſupercrevere ſtudemus, liberalius imponemus. Sane aerugo magis etiam quam haec minuere carnem poteſt, ita ut genus eorum quae cicatricem inducant omnino ſit egreſſa; at ſi illa etiam aduras, ut minus acria, ſic ad cicatricem inducendam reddes magis apta; ſi vero etiam laves, adhuc fient mitiora. Meminiſti vero, arbitror, et tu ejus qui celebri illo viridi medicamento ſordidum ulcus citra rationem curabat, mel quidem ei admiscens, multis autem deinceps diebus aeque ſordidum reperiens; deinde inops conſilii, nec habens quo ſe verteret,

Ed. Chart. X. [68.] Ed. Baf. IV. (66. 67.)
γὰρ οὐ καθαίρεσθαι μόνον τὸν ῥύπον, ἀλλὰ καὶ συγκαθαιρεῖσθαί τι καὶ συντήκεσθαι τῆς ὑποκειμένης σαρκὸς, ἰσχυροτέρου τοῦ φαρμάκου τῆς τοῦ κάμνοντος ὑπάρχοντος φύσεως. εἶθ' ὁ μὲν ἰατρὸς ἀεὶ πλέον ἀνεμίγνυε τῷ φαρμάκῳ τοῦ μέλιτος, ἵνα δὴ σφοδρότερον καθήρειεν, ὡς ἐλλιπῶς τοῦ προτέρου τοῦτο δράσαντος. ἐγίγνετο δὲ πᾶν τοὐναντίον· εἰς ὅσον γὰρ ἐπετείνετο τῇ δριμύτητι τὸ προσφερόμενον, εἰς τοσοῦτον συνετήκετο μὲν ἡ ὑποκειμένη σὰρξ, ὁ δὲ τῆς συντήξεως ῥύπος εὑρισκόμενος ἐπὶ τοῦ ἕλκους ἐξηπάτα τὸν ἰατρὸν, ὡς οὐδὲν ἀνύοντος τοῦ φαρμάκου. τούτου μὲν δὴ περὶ τὴν διάγνωσιν, οὐ μόνον περὶ τὴν θεραπευτικὴν μέθοδον ἡ ἄγνοια· καὶ γὰρ μάλιστα καὶ ῥυπαρὸν καὶ ὑγρὸν ὁμοίως φαίνεται τὸ ἕλκος ἐπ' ἀμφοτέρων τῶν φαρμάκων, ἀλλά τοι κοιλότερον μὲν ἐπὶ τῶν ἰσχυρῶν τε καὶ συντηκόντων γίγνεται· καὶ προσέτι τοῖς χείλεσιν ὀχθῶδες, ἐρυθρόν τε καὶ ὑποφλεγμαῖνον, ἔστιν ὅτε δὲ καὶ δάκνεται σαφῶς ὁ ἄνθρωπος ὑπὸ τοῦ τοιούτου φαρ(67)μάκου· τὸ δ' ἧττον ἢ

accidebat enim ut non modo non purgaretur fordes, fed etiam ut de fubjecta quoque carne nonnihil una detraheretur et colliquaretur, propterea quod medicamentum valentius quam pro laborantis natura erat, plus deinde, ut erat egregius medicus, mellis affidue medicamento adjiciebat, quo videlicet adhuc valentius purgaret, ceu non fatis id medicamentum prius adhibitum fecifset. Eveniebat autem plane contra; quippe quantum ille intendebat medicamenti acrimoniam, tantum caro fubjecta colliquabatur; quod vero in ulcere ex liquata carne fordis apparuit, id medico, ceu medicamentum nihil efficeret, impofuit. Atque hujus quidem ignorantia etiam in dignoscendi peritia erat, non folum in medendi methodo; etenim fi quam maxime fimiliter fordidum et humidum ex utroque medicamento ulcus deprehenditur, at certe cavitas major ex valenti et quod colliquat medicamento efficitur; quin etiam labiis praealtis, rubrumque et phlegmone quodammodo affectum *ulcus cernitur*, aliquando vero mordicationem quoque manifeftam ex hujusmodi medicamento *aeger* homo fentit, quod vero minus

[69] προσήκει ξηραῖνον οὔτε δῆξιν οὔτε τῶν ἄλλων οὐδὲν ὧν εἶπον ἐργάζεται. δῆλον δ', οἶμαι, κἀπὶ τούτων ἐστὶν ὡς ὁ μὲν ἐμπειρικὸς, εἰ καὶ ὅτι μάλιστα διωρισμένῃ χρήσαιτο τῇ πείρᾳ, τό γε μεταβαίνειν ἐπὶ τὸ προσῆκον εὐμηχάνως οὐκ ἔχει. μόνῳ δ' ὑπάρχει τοῦτο τῷ κατὰ μέθοδον ἰατρεύοντι, τὴν ὄντως δηλονότι μέθοδον, ἣν ἐγὼ νῦν διέρχομαι.

Κεφ. ζ. Τὴν γὰρ τῶν ἀμεθόδων Θεσσαλείων μέθοδον ὄνομα μόνον οἶσθα δήπου κενὸν, ἔρημον ἔργου παντός· οἵ γε τοσαύτης τε καὶ τηλικαύτης οὔσης μεθόδου περὶ τὴν τῶν ἑλκῶν ἴασιν οὔτε τοῖς τῶν ἐμπειρικῶν ἐχρήσαντο διορισμοῖς εἰς τὴν τῶν φαρμάκων εὕρεσιν οὔτ' ἀπὸ τῆς φύσεως αὐτῆς τῶν πραγμάτων ἔλαβον τὴν ἔνδειξιν, ὡς οἱ δογματικοί· μόνον δ' εἰπόντες ὃ καὶ τοῖς ἰδιώταις γνωρίζεται, τὸ δεῖσθαι τὸ μὲν κοῖλον ἕλκος πληρώσεως, τὸ δὲ πλῆρες ἐπουλώσεως, τὸ δ' ὑπερσαρκοῦν καθαιρέσεως, καὶ τὸ μὲν ῥυπαρὸν καθάρσεως, τὸ δὲ καθαρὸν ἐπουλώσεως, τὸ δὲ ἔναιμον καὶ κολλήσεως, ἑλκῶν θεραπείας οἴονταί τινα μέθοδον εὑρηκέναι· τοσοῦτον ἀποδέουσι γιγνώσκειν ὡς ταῖς μὲν ὑγροτέ-

quam par eſt, ſiccat, nec mordet, nec quicquam efficit eorum quae retuli. Patere autem et in his arbitror empiricum, etiam ſi experientia quam maxime diſtincta discretaque utatur, tranſire tamen, ubi quid non ceſſit, ad id quod expedit artificioſe non poſſe, imo uni illi id licere qui vera methodo, quam ipſe nunc inſtituo, medetur.

Cap. VII. Quam enim Theſſalii iſti amethodi methodum profitentur, nomen duntaxat eſſe nudum intelligis, omnis effectus vacuum; qui quum tanta tamque mutiplex ſaltem methodus ſit in ulcere ſanando, neque empiricorum discrimine ad invenienda remedia ſunt uſi, neque ſicut dogmatici, ab ipſa rerum indicationem agendorum ſumpſerunt; ſed ſolum id quod nec vulgares lateat proponentes, cavum ulcus *carne* impleri poſtulare; plenum cicatrice induci; quod carne ſupercrescente luxuriat minui; ſordidum expurgari; mundum cicatrice obduci; recens agglutinari; ulcerum curationis methodum quandam explicaſſe ſe putant tantum *ſcilicet* abſunt ut intelligant humidioribus naturis

ραις φύσεσι τῶν ἧττον ξηραινόντων φαρμάκων ἐστὶ χρεία, ταῖς δὲ ξηροτέραις τῶν μᾶλλον. ὃ τοίνυν παρ᾽ ὅλον τὸν λόγον ἐφάνη σαφῶς αὖθις ἀναληπτέον· ἵν᾽ ἡμεῖς τε μάλιστα προσέχωμεν αὐτῷ τὸν νοῦν, οἵ τ᾽ ἄλλοι πάντες οἱ τὴν παλαιὰν μέθοδον διαφθείροντες ἐναργέστερον γνῶσιν ὅσον ἁμαρτάνουσιν. ἄρξομαι δ᾽ ἀπὸ τῶν σαρκώσεως δεομένων ἑλκῶν, ἕν τι τοῦτο παράδειγμα προχειρισάμενος, ἐπειδὴ καὶ φθάνω τὸν λόγον ὑπὲρ αὐτοῦ πεποιημένος. εἶθ᾽ ἑξῆς περὶ πάσης ὁμοῦ τῆς ἰάσεως ἐν τῷ καθόλου ποιήσομαι τὸν λόγον. ἐφάνη τοίνυν οὐ τῷ λόγῳ μόνον, ἀλλὰ καὶ τῇ πείρᾳ σκοπουμένοις, οὐ τῶν αὐτῶν ἅπασα φύσις δεομένη φαρμάκων, ἀλλ᾽ αἱ μὲν ἀσθενέστεραι καὶ μαλακώτεραι τῶν μαλακωτέρων, αἱ δ᾽ ἰσχυρότεραι καὶ ξηρότεραι τῶν ἰσχυροτέρων. οὕτω δὲ κἀπὶ τῶν εἰς οὐλὴν ἀγομένων ἑλκῶν εἶχε καὶ προσέτι τῶν κολλήσεως δεομένων. ἁπλῶς γὰρ οὐδὲν τῶν ἰσχυρῶν φαρμάκων αἱ μαλακαὶ φέρουσι φύσεις. ἐν δὲ τῇ διεξόδῳ ταύτῃ τοῦ λόγου κατάφωρον γίγνεται σαφῶς ὅτι τε τὴν φύσιν ἐπισκεπτέον ἐστὶ τοῦ κάμνοντος, ὅτι τε καθ᾽ ἕκαστον ἀνθρω-

minus ficcantia medicamenta conducere, ficcioribus quae magis *ficcent.* Ergo quod in tota disputatione noftra manifefte apparuit, id denuo refumendum eft, ut nos illi quam maxime fimus attenti; et reliqui omnes qui veterem methodum corrumpunt, quantum aberrent, clarius intelligant. Incipiam vero ab eo ulcere quod carne impleri poftulat, unum id pro exemplo proponens, quando etiam proxime de eo fermonem feci, ab hoc, de omni fimul in univerfum curatione loquar. Ergo illud non ratione modo, verum etiam experientia confiderantibus apparuit, non omnem naturam eadem medicamenta requirere, fed infirmiores molliores mitiora, validiores ficcioresque valentiora. Ita vero tum in iis quibus cicatrix inducebatur fe habebat, tum etiam uvae glutinatione egebat, omnino enim nullum vehementium medicamentorum ferunt molles naturae. In ejusmodi vero fermonis noftri decurfu perfpicuum plane fit, tum aegri naturam effe confiderandam, tum cujusque

πον ἰδία τίς ἐστι θεραπεία· καὶ τρίτον ἐπὶ τούτοις ὡς ἐπειδὴ τὸ τῆς ἑκάστου φύσεως ἴδιον ἄῤῥητόν ἐστι καὶ πρὸς τὴν ἀκριβεστάτην ἐπιστήμην ἄληπτον, οὗτος ἂν ἄριστος ἰατρὸς εἴη τῶν κατὰ μέρος ἁπάντων νοσημάτων, ὁ μέθοδόν τινα πορισάμενος ἐξ ἧς διαγνωστικὸς μὲν τῶν φύσεων ἔσοιτο, στοχαστικὸς δὲ τῶν ἑκάστης ἰδίων ἰαμάτων. τὸ δ' οἴεσθαι κοινήν τινα ἁπάντων ἀνθρώπων εἶναι θεραπείαν ἐσχάτως ἠλιθιόν ἐστιν· ὅπερ οἱ ἀναισθητότατοι νομίζουσι μεθοδικοί. καὶ διὰ ταῦθ' ἑστάναι τὰ τῆς ἰατρικῆς ἔφασαν ἅπαντα θεωρήματα, τουτέστιν ἐπιστημονικὰ καὶ βέβαια ταῖς γνώσεσιν ὑπάρχειν. εἶναί τε τὴν γνῶσιν αὐτῶν τέχνην τινὰ κοινοτήτων, οὐκ ἰδιοτήτων, ὡσπερεὶ τὸν κοινὸν καὶ γενικὸν ἄνθρωπον θεραπεύοντες, οὐ τοὺς κατὰ μέρος. ὡς οὖν ἐν τοῖς ἄλλοις ἅπασιν εὐθέως κατὰ τὰς ἀρχὰς ἐσφάλησαν, οὕτω κἀν τῷδε· θεραπεύεται μὲν γὰρ οὐχ ὁ κοινὸς καὶ γενικὸς ἄνθρωπος, ἀλλ' ἡμῶν ἕκαστος, ἄλλος ἄλλην ἔχων δηλονότι κρᾶσίν τε καὶ φύσιν. [70] οἱ δ' οἴονται μίαν θεραπείαν ἁπάντων ἀνθρώ-

hominis propriam effe curationem; tum fupra haec illud tertium, quoniam cujusque naturae proprietas ineffabilis eft, nec exactiffima fcientia comprehenfibilis, hunc effe optimum cujusque particularis morbi medicum, qui methodum quandam comparavit ex qua et dignoscere naturas poffit et conjectura confequi, quae fint cujusque proprie remedia. Porro exiftimare communem quamdam effe omnium hominum curationem, ficuti ftupidiffimi methodici putant, extremae eft dementiae. Atqui illi ob id ftata effe putant omnia medicinae theoremata, hoc eft ejusmodi effe, quae fcientes homines faciant, firmamque fui notitiam praeftent; ipforumque notitiam artem quandam effe communitatum, non proprietatum, tanquam communem et generalem hominem, non particulares curarent. Ergo ficuti in aliis omnibus ftatim initia funt lapfi, fic in hoc quoque, fiquidem curatur non homo communis et generalis, fed noftrum quisque, alius videlicet aliud temperamentum naturamque obtinens. Ili vero unam effe omnium curationem exiftimant; ego *contra*,

πων εἶναι· ἐγὼ δ᾽ εἰ καὶ τὴν ἑκάστου φύσιν ἀκριβῶς ἠπιστάμην ἐξευρίσκειν, οἷον ἐπινοῶ τὸν Ἀσκληπιὸν, αὐτὸς ἂν ἦν τοιοῦτος· ἐπεὶ δ᾽ ἀδύνατον τοῦτο, τὸ γοῦν ἐγγυτάτω προσιέναι καθόσον ἀνθρώπῳ δυνατὸν αὐτός τε ἀσκεῖν ἔγνωκα καὶ τοῖς ἄλλοις παρακελεύομαι. πειρῶνται μὲν οὖν εἰς ὅσον οἷόν τε καὶ οἱ ἀπὸ τῆς ἐμπειρίας, ἀποχωρεῖν μὲν τῶν κοινῶν, προσέρχεσθαι δὲ τοῖς ἰδίοις· ἀλλ᾽ ὅσον καὶ τούτοις ἐνδεῖ πρὸς τὸ τέλειον εἴρηται πρόσθεν. οὐ γὰρ ἐπὶ παίδων, ἢ γυναικῶν, ἢ γερόντων, ἢ μαλακὴν ἐχόντων καὶ λευκὴν τὴν σάρκα καὶ ὅσα τοιαῦτα, ὡς ἐκεῖνοι ποιοῦσι, προςδιοριστέον ἐστὶν, ἀλλ᾽ ὅπως ὑγρότητος ἢ ξηρότητος ἔχει τὸ σῶμα. τοὺς μὲν οὖν ἐμπειρικοὺς ἰατροὺς ἄλλων τε πολλῶν ἕνεκεν ἀποδέχεσθαι χρὴ καὶ μάλισθ᾽ ὅταν προσέρχεσθαι πειρῶνται καθόσον ἐγχωρεῖ τῇ τοῦ κάμνοντος ἰδιότητι. μετὰ γὰρ τοὺς διορισμοὺς ἅπαντας οὓς διορίζονται, καὶ τὸν ἀπὸ τῶν ἐθῶν ἐπάγουσιν, ὡς κἀντεῦθεν εὐπορήσαντες οἰκειοτέρων τῷ κάμνοντι βοηθημάτων. εἰρήσεται δ᾽ ἡμῖν ἐν τοῖς ἑξῆς ἐπὶ

ſi cujusque privatim naturam explorare ad unguem ſcirem, *utique* qualem fuiſſe Aesculapium mente concipio, talem me eſſe putarem; ſed quoniam id fieri non poteſt, certe ut, quoad homini licet, quam proxime accedam, tum ipſe me exercere decrevi tum alios ut idem faciant adhortor. Ac conantur quidem quantum poſſunt et empirici ut a communibus ſecedere, *ita propius* ad ea quae propria ſunt accedere; verum quantum hic quoque ab ejus rei perſectione abſint, ſupra eſt dictum. Non enim haec in pueris, vel mulieribus, vel ſenibus, vel mollem carnem albamque habentibus, aliaque id genus, pro certis discretionibus, ſicuti illis placet, ſunt ponenda, imo quemadmodum in humore et ſiccitate corpus ſe habeat. Ac empiricos quidem medicos tum ob alia multa tum ob id probare maxime convenit, quod accedere ad proprietatem conantur. Poſt enim reliquas discretiones omnes quas adhibent, illam etiam quae a conſuetudine ſumitur, adjiciunt, tanquam hinc remediorum quae aegro magis ſint propria compotes futuri. Dicetur autem a nobis in ſequentibus de conſuetu-

Ed. Chart. X. [70.] Ed. Baf. IV. (67.)

πλέον ὑπὲρ τῶν ἐθῶν, κἀκεῖ ἀποδείξομεν ὑπὲρ τοῦ γνῶναι τὴν ἰδιότητα τῆς τοῦ κάμνοντος φύσεως, ἐξευρῆσθαι τοῖς παλαιοῖς καὶ τὸν ἀπὸ τοῦ ἔθους διορισμόν. τοῦτον οὖν ἐπὶ τοῖς ἄλλοις οἱ ἐμπειρικοὶ παραλαμβάνουσι καὶ πρὸς τούτῳ καὶ αὐτὸν τὸν ἰατρὸν, εἰ πολλάκις εἴη παραγεγονὼς τῷ νοσοῦντι, βέλτιον ἂν ἰᾶσθαί φασι τοῦ μὴ παραγεγονότος· εἶθ' ὅταν ταῦτα πάντα προσθῶσιν, οὔπω βεβαίαν οὐδ' ἐπιστημονικὴν ἔχειν φασὶ τῆς ἰδίας τοῦ κάμνοντος ἰάσεως τὴν γνῶσιν. ὁ δ' ἀναισχυντότατος Θεσσαλὸς ἓν μόνον εἰδὼς, ὅτι τὸ κοῖλον ἕλκος πληρωτέον, ἑστῶτά τε καὶ βέβαιά φησι τὰ τῆς ἰατρικῆς εἶναι θεωρήματα. καίτοι τοῦτό γε πάντες, ὡς εἴρηται καὶ πρόσθεν, ἄνθρωποι γινώσκουσιν, οὐχ οἱ νῦν μόνον, ἀφ' οὗ Θεσσαλὸς, ὁ δεύτερος Ἀσκληπιὸς, εἰς ἀνθρώπους ἧκεν, ἀλλὰ καὶ οἱ πρὸ Δευκαλίωνος, οἶμαι, καὶ Φορωνέως, εἴπερ γε κἀκεῖνοι λογικοί τε ἦσαν. ἀλλὰ πρὸς τῷ γινώσκειν ὡς σαρκωτέον ἐστὶ τὸ κοῖλον ἕλκος, ἔτι κἀκεῖνο συνίεσαν, ὡς ὁ γινώσκων τὰ φάρμακα τὰ σαρκώσοντα τοιοῦτον ἕλκος, ἐκεῖνος ἰατρός ἐστιν. εἰ μὲν οὖν ἐξ ἐμπειρίας εὕρηται ταῦτα,

dine fufius, ubi pro cognoscenda proprietate laborantis naturae, etiam discrimen a confuetudine prifcis inventum effe probabimus. Hanc itaque cum reliquis empirici recipiunt; et praeter hanc ipfum etiam medicum qui faepe aegrum invifit quam eum qui non viderit commodius curaturum ajunt: poftea tamen, cum haec omnia adjecerint, ftabilem fe atque fcientificam habere notitiam propriae curationis aegri adhuc non dicunt. At vero impudentiffimus Theffalus illud modo unum intelligens, quod cavum ulcus fit implendum, conftantia tamen et firma dicit effe medicinae theoremata; quanquam hoc faltem omnes, ut ante jam dictum eft, homines fciunt, non ii modo qui nunc funt, poftquam Theffalus ifte, alter Aesculapius, in lucem hominum venit, fed etiam, arbitror, qui ante Deucalionem et Phoroneum fuerunt, fi modo hi rationales erant. Imo vero praeter hoc, quod carne effe implendum cavum ulcus noverunt, etiam illud non ignorarunt, qui medicamenta noffet quae tale ulcus carne implerent, hunc medicum effe. Atque haec fi per

δῆλον ὡς ἐμπειρικῶς ἡμῖν ἰατρευτέον ἐστίν· εἰ δὲ ἐκ λόγου, λογικῶς· οὐ γὰρ δὴ ἄλλο μὲν εὕρηκεν, ἄλλῳ δέ τινι νῦν ἐπιδεξίως χρήσεται. ἀλλὰ περὶ μὲν τούτου πρὸς τοὺς ἐμπειρικούς ἐστιν ἡ ἀμφισβήτησίς τις ἡμῖν· ὅπερ δὲ λέγων ἀπέλιπον, ἡ ὄντως ἰατρικὴ τῆς τοῦ κάμνοντος ἐστόχασται φύσεως· ὀνομάζουσι δὲ, οἶμαι, τοῦτο πολλοὶ τῶν ἰατρῶν ἰδιοσυγκρασίαν, καὶ πάντες ἀκατάληπτον ὁμολογοῦσιν ὑπάρχειν· καὶ διὰ τοῦτο καὶ αὐτὴν τὴν ὄντως ἰατρικὴν Ἀσκληπιῷ καὶ Ἀπόλλωνι παραχωροῦσιν. ἤρτηται δὲ ὁ λόγος οὗτος σύμπας ἀπὸ διττῶν ἀρχῶν· ἀπὸ μὲν τῶν ἐναργῶς φαινομένων τοῖς ἐμπειρικοῖς τε καὶ τηρητικοῖς, ἀπὸ δὲ τῶν στοιχείων τοῖς λογικοῖς. ὅτι τε γὰρ ἄλλον ἄλλο φάρμακον ὠφελεῖ σχεδὸν ἤδη καὶ οἱ παῖδες ἐπίστανται· συμφωνεῖ δὲ τούτῳ καὶ ὁ ἀπὸ τῶν στοιχείων λογισμός. εἰ γὰρ ὑπόθοιο πεντεκαίδεκα διαφορὰς εἶναι κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν ταῖς κράσεσι τῶν ἀνθρώπων ἐπὶ μόνης τῆς ὑγρᾶς φύσεως, ἀνάγκη δήπου σε καὶ τῶν φαρμάκων οἷς μέλλεις χρήσασθαι πεντεκαίδεκα διαφορὰς ἐπίστασθαι, καὶ τὰς μὲν μᾶλλον, τὰς δὲ ἧττον ξηραινούσας, ἵν'

experientiam funt inventa, conftat empirice nobis effe curandum; fin ratione inventa funt, logice: non enim profecto aliud invenit, alio autem nunc commode utetur. Verum de eo nobis cum empiricis lis eft; quod autem dicere coeperam, vere ipfa medicina de laborantis natura conjecturam fecit; nominat, arbitror, id vulgus medicorum proprium temperamentum, omnesque id incomprehenfibile fatentur, ideoque ipfam veram medicinae artem Aesculapio Apollinique concedunt. Pendet porro omnis haec ratio ex duplici principio; empiricis obfervatoribusque ab iis quae manifefte apparent, logicis autem ab ipfis elementis. Nam quod alii aliud medicamentum profit etiam pueri jam ferme fciunt; et ratio pariter quae ab elementis ducitur id confirmat. Si namque quindecim differentias in hominum temperamentis ex minoris in iis majorisque ratione, idque in humida tantum natura ftatuas, neceffe profecto eft medicamentorum etiam quibus fis ufurus quindecim differentias noveris, quarum aliae magis, aliae minus ficcent, quo

ἑκάστῃ φύσει τὸ προσῆκον ἐξευρίσκῃς. [71] εἰ δὲ καὶ τῆς ξηροτέρας φύσεως ἄλλας πεντεκαίδεκα διαφορὰς ὑποθέμενος ὡσαύτως κἀπ᾽ ἐκείνης ἄλλων πεντεκαίδεκα δέοιο φαρμάκων, ἔσται σοι τὰ πάντα τριάκοντα φάρμακα πρὸς τριάκοντα φύσεις ἡρμοσμένα, καὶ τούτοις προσηκόντως χρῆσθαι δυνήσεται μόνος ὁ περὶ κράσεως σωμάτων ἀκριβῶς ἐπεσκεμμένος. ἆρ᾽ οὖν εἰ μὲν ὅλον τὸ σῶμα εἴη ξηρότερον τὴν κρᾶσιν, ὑπὸ τῶν ξηραντικωτέρων ὠφεληθήσεται φαρμάκων· (68) εἰ δὲ μόριον αὐτοῦ τι τῶν ἄλλων φύσει ξηρότερον ὑπάρχοι, τῶν ἧττον ξηραινόντων δεήσεται; ἢ πρόδηλον κἀνταῦθα τὸ μὲν ξηρότερον τῇ κράσει μόριον τῶν ξηραντικωτέρων, τὸ δ᾽ ὑγρότερον τῶν ἧττον ξηραινόντων προσδεῖσθαι; καὶ τοῦτ᾽ οὖν ὅλον παραλέλειπται τοῖς ἀμεθόδοις Θεσσαλείοις, ἓν ἐπὶ παντὸς μορίου φάρμακον ἡγουμένοις ἁρμόττειν. οἱ δ᾽ ἀπὸ τῆς ἐμπειρίας ὅσον πλεονεκτοῦσι κἂν τῷδε τῶν Θεσσαλείων μεθοδικῶν, τοσοῦτον ἀπολείπονται τῶν ὄντως μεθοδικῶν τε καὶ λογικῶν. ἔχουσι γὰρ δὴ κἀκεῖνοι πρὸς τῆς πείρας διδαχ-

nimirum, quod cuique naturae congruat invenias. Quod fi etiam in ficciore natura aliis quindecim politis ad hanc quoque pari modo alia quindecim medicamenta requiras, habebis in totum triginta medicamenta, quae triginta naturis convenient, quibus uti is demum folus commode poterit qui corporum temperamenta diligenter confideraverit. Nunquid igitur, fi totum corpus temperamento fit ficciore, ab iis quae magis ficcent medicamentis juvabitur, fi vero pars quaepiam ejus caeteris partibus natura fit ficcior, quae minus ficcent requiret? An liquido patet hic quoque, quae pars ficcius temperametum obtinuit, hanc etiam quae magis ficcent poftulare; quae humidius fit fortita, minus ficcantia? Atque hoc totum praetermittunt amethodi Theffalii, qui unum omni parti congruere medicamentum putant. Empirici autem quantum in hoc Theffalios iftos methodicos fuperant, tantum a veris methodicis logicisque fuperantur. Habent enim profecto illi quoque ab ipfo fcilicet ufu edocti aliud medicamentum ad ea ulcera quae

Ed. Chart. X. [71.] Ed. Baf. IV. (68.)

θέντες ἄλλο μὲν τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν, ἄλλο δὲ τῶν ἐν ὠσὶν, ἢ ἄρθροις, ἢ σαρξὶν, ἢ δέρματι μόνῳ φάρμακον. ἀλλ᾽ ὅτι γε κἀνταῦθα μεταβαίνειν ἐφ᾽ ἕτερον ἀδυνατήσωσιν, ἐκ τῶν ἔμπροσθεν εἰρημένων εὔδηλον.

Κεφ. η΄. Ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως διώρισται, πάλιν ἐπὶ τὴν ἀρχὴν ἀνέλθωμεν τοῦ λόγου, μιγνύντες ἁπάσας τὰς συμπιπτούσας ἕλκει διαθέσις, ἀπὸ πρώτης ἀρξάμενοι τῆς δυσκρασίας. εἰ γὰρ ἤτοι πρόσθεν εἴη κατὰ δή τινα συντυχίαν, ἢ καὶ παρ᾽ αὐτὸν τῆς ἑλκώσεως τὸν χρόνον ἡ ἡλκωμένη σὰρξ γένοιτο θερμοτέρα τοῦ δέοντος, ἢ ψυχροτέρα, δεήσει τὸ φάρμακον οὐ μόνον ξηραίνειν μετρίως, ἀλλὰ καὶ θερμαίνειν ἢ ψύχειν εἰς τοσοῦτον, εἰς ὅσον ἡ ὑποκειμένη σὰρξ ἐξέστη τοῦ κατὰ φύσιν· οὐ γὰρ ἐγχωρεῖ σάρκωσιν, ἢ πλήρωσιν, ἢ κόλλησιν, ἢ ἐπούλωσιν ἕλκους ὀρθῶς ποτε γενέσθαι τῆς ὑποκειμένης σαρκὸς ἐχούσης κακῶς, οὐδὲ εἰκῇ πρόσθεν ἐλέγομεν ἔργα φύσεως εἶναι σύμπαντα ταῦτα. κάθαρσιν μέντοι τῶν ῥυπαρῶν καὶ καθαίρεσιν τῶν ὑπεραυξηθέντων ἐγχωρεῖ γενέσθαι καὶ χωρὶς τοῦ κατὰ φύσιν ἔχειν

in oculis accidunt, aliud ad ea quae in auribus, aut articulis, aut carnibus, aut fola cute. Caeterum, quod nec in iis fe transferre ad aliud poffint ex iis quae fupra diximus facile patet.

Cap. VIII. Quoniam autem et de his fatis jam dictum eft, rurfus ad disputationis initium revertamur, misceamusque omnes qui ulceri concidunt affectus ab intemperie primum orfi. Si enim exulcerata caro vel prius etiam ex quavis occafione, vel ipfo ulcerationis tempore jufto calidior frigidiorve eft effecta, utique medicamentum exigit quod non modo moderate ficcet, fed etiam in tantum calefaciat refrigeretve, in quantum fubjecta caro a naturali ftatu receffit, quum fieri non poffit ut in ulcere vel carnis productio, vel *finus* impletio, vel agglutinatio, vel cicatricis inductio recte unquam cedat, fi fubjecta caro prave fe habeat; nec fruftra dictum fupra eft haec omnia naturae effe opera; purgari tamen fordida minuique fupercrescentia etiam carne naturalem ftatum non fervante poffunt;

τὴν σάρκα· μόνον γὰρ τῶν φαρμάκων ἦν ἔργα. διὸ καὶ μείζων ἡ πρόνοια γιγνέσθω σοι τῆς εὐκρασίας τῶν ἡλκωμένων μορίων, ὁπότε σαρκοῦν ἢ κολλᾷν ἢ ἐπουλοῦν ἐθέλεις αὐτά. σώζεσθαι γὰρ δεῖ τὰς κινήσεις τῆς φύσεως αἷς εἵπετο τῶν εἰρημένων ἕκαστον· οὐ σωθήσονται δ᾽ ἄλλως εἰ μὴ πάντη κατὰ φύσιν ἔχοι τὸ μόριον. ὥσπερ οὖν εἰ φλεγμονή τις ἅμα τῷ ἕλκει τύχοι, πρὶν ταύτην λῦσαι, σαρκοῦν, ἢ κολλᾷν, ἢ ἐπουλοῦν οὐκ ἂν οὐδεὶς ἐπεχείρησεν αὐτὸ, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον εἰ καὶ χωρὶς φλεγμονῆς εἴη μόνη δυσκρασία τῶν εἰρημένων, οὐδὲν ἐλπίσομεν γενέσθαι πρὶν ἐκείνην ἰᾶσθαι. πάλιν οὖν ἐντεῦθεν ἔνδειξίς τις εἰς τὴν τῶν ἔμπροσθεν εἰρημένων φαρμάκων εὕρεσιν γίνεται· ξηραίνοντα μὲν γὰρ ἦν ἅπαντα, διέφερε δ᾽ ἀλλήλων ἐν τῷ μᾶλλόν τε καὶ ἧττον. οὐ μὴν ὅπως γε τοῦ θερμαίνειν ἢ ψύχειν εἶχεν εἴρηταί που πρόσθεν, ἀλλ᾽ ἡ [72] μέθοδός πως ἀναγκάζει καὶ τοῦτ᾽ ἐρευνᾶσθαι. οὐ γὰρ ἁπλῶς εἰ ξηραῖνον, ἀλλ᾽ εἰ μὴ καὶ σφόδρα θερμαῖνον, ἢ ψῦχον ἐπισκέπτεσθαι χρή. φεύξη

nam tantum haec medicamentorum funt opera. Quocirca legitimi ulceratarum partium temperamenti quoties eas vel carne implere, vel glutinare, vel cicatrice inducere ftudes, major tibi folicitudo erit Servari namque debebunt naturae motus quos comprehenforum fingula comitantur, at alias non fervabuntur, nifi prorfus fecundum naturam fe pars habeat. Quemadmodum igitur fi phlegmone quaedam ulceri una acciderat, priusquam haec difcuffa fit, nemo id vel carne implere vel glutinare vel cicatrice inducere tentarit, ad eundem, arbitror, modum, fi etiam fine phlegmone, fola fubfit intemperies rerum quas recenfuimus, nullum horum fore prius fperabimus quam illa fit fanata. Rurfus igitur hinc indicatio quaedam ad medicamentorum quae fuperius comprehenfa funt inventionem oritur, quippe omnia ea ficcantia erant, fed diffidebant inter fe pro intenfionis remiffionisque modo. Caeterum definitum antea non eft quomodo in calefaciendo refrigerandoque fe haberent, fed methodus hoc quoque inveftigare quodammodo cogit. Non enim tantum an ficcet, fed an etiam non valde

τοιγαροῦν ὑοσκύαμον καὶ μανδραγόραν καὶ κώνειον, ὡς πέρα τοῦ μετρίου ψύχοντα, καίτοι ξηραίνει γε εἰς τοσοῦτον, εἰς ὅσον ἕλκος ξηραίνεσθαι ὀφείλει. καὶ ῥητίνη καὶ πίττα καὶ ἄσφαλτος, εἰ καὶ ξηραίνει συμμέτρως, ἀλλὰ πέρα γε τοῦ προσήκοντός ἐστι θερμά· καὶ διὰ τοῦτο οὐκ ἄν τις αὐτοῖς χρήσαιτο μόνοις ἄνευ τοῦ τοῖς ἀτρέμα ψύχουσιν ἐπιμίξας, ἓν ἐξ ἁπάντων εὔκρατον ἀπεργάσασθαι φάρμακον. εἰ δὴ ταῦθ᾽ οὕτως ἔχει, καθάπερ οὖν ἔχει προσεπιβλέπειν δεήσει καὶ τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσιν· οἷον γὰρ φάρμακόν τι καὶ οὗτος ἔξωθεν προσπίπτων τοῖς σώμασιν, ἐπειδὰν ἀμέτρως ἔχῃ θερμότητος ἢ ψύξεως, ἐμποδὼν ἵσταται τῇ θεραπείᾳ. χρὴ τοίνυν ἀντιπεπονθέναι τὰ φάρμακα ταῖς ἀμετρίαις αὐτοῦ. καὶ διὰ τοῦτο καὶ Ἱπποκράτης ψυχροτέροις μὲν τῇ δυνάμει χρῆται κατὰ τὰς θερμὰς ὥρας, θερμοτέροις δὲ κατὰ τὰς ψυχράς. οἶσθα δὲ δήπου κἀνταῦθα τῶν ἀναισθήτων τινὰ μεθοδικῶν ὁμολογήσαντα μὲν ἐπιβλέπειν ὅπως ἔχει θερμότητος ἢ ψύξεως ὁ περιέχων ἀὴρ τὸν κάμνοντα, μὴ μέντοι τὰς ὥρας τοῦ ἔτους ἐπισκέπτεσθαι συγχωροῦντα, ὥσπερ

calefaciat, aut refrigeret, expendi oportet. Ergo altercum et mandragoram et cicutam ceu fupra modum refrigerantia fugies, tametfi ficcant ea quoque quantum fit ulceri ex ufu. Refina vero et pix et asphaltus, quanquam modice ficcant, tamen immodice funt calida; ideoque eis nemo utetur folis, nec aliter, nifi cum leniter refrigerantibus admixtis, unum ex omnibus medicamentum fecerit temperatum. Si igitur haec ita fe habent, ficut profecto habent, infpici etiam conveniet et circundantis nos aeris temperiem. Siquidem veluti medicamentum quoddam is quoque corporibus noftris forinfecus incidens, ubi immodicus calore vel frigore eft, fanationem moratur. Danda igitur opera eft ut medicamenta ejus ametriae occurrant. Ideoque Hippocrates in calidioribus anni temporibus frigidioribus facultate *medicamentis* utitur, calidioribus autem per frigidiora. Non ignoras profecto hic quoque ex ftupidis methodicis quendam fateri, quo pacto in calore et frigore fe habeat qui aegrum continet aërem fe infpicere, non tamen anni tempora in-

τῶν ὀνομάτων τῶν κατὰ τὰς ὥρας βλαπτόντων ἢ ὠφελούντων, ἀλλ᾽ οὐ τῆς κράσεως αὐτῶν, ἢ οὐ διὰ ταύτην ἀποβλεπόντων εἰς αὐτὰς τῶν παλαιῶν ἰατρῶν. ἀλλὰ γὰρ ὅτι μὲν ἀναγκαῖόν ἐστι τῷ μέλλοντι μεθόδῳ τινὶ θεραπεύσειν ἕλκος, ἐπί τε τὰ στοιχεῖα πρῶτα καὶ μάλιστα παραγίνεσθαι καὶ τὰς ὥρας τοῦ ἔτους καὶ τὰς κράσεις τῶν σωμάτων ὅλων τε καὶ κατὰ τὰ μόρια ἐπιβλέπειν ἱκανῶς οἶμαι δεδεῖχθαι. πάλιν δ᾽ ἀναμνηστέον κἀνταῦθα τὸ καὶ πρόσθεν εἰρημένον ἐπὶ τῆς κατὰ τὸ ξηρόν τε καὶ ὑγρὸν ἐνδείξεως· ὡς γὰρ ἐπ᾽ ἐκείνων ἡ μὲν ὑγροτέρα φύσις ὑγροτέρων ἐδεῖτο τῶν φαρμάκων, ἡ δὲ ξηροτέρα ξηροτέρων, οὕτως καὶ νῦν ἡ μὲν θερμοτέρα θερμοτέρων, ἡ δὲ ψυχροτέρα ψυχροτέρων δεήσεται, ἔμπαλιν δὴ τῆς ἐνδείξεως γιγνομένης ἀπὸ τῶν παρὰ φύσιν τε καὶ κατὰ φύσιν· τὰ μὲν γὰρ κατὰ φύσιν ὁμοίων ἑαυτοῖς ἐστιν ἐνδεικτικὰ, τὰ δὲ παρὰ φύσιν ἐναντίων, εἴ γε τὰ μὲν φυλάττεσθαι, τὰ δὲ διαφθείρεσθαι χρή.

Κεφ. θ΄. Τὸ μὲν οὖν καὶ τὰς κράσεις τῶν σωμάτων καὶ τὰς ὥρας τοῦ ἔτους καὶ τὰς φύσεις τῶν μορίων ἐπιβλέ-

ſpici permittere, quaſi nomina ipſa temporum anni proſint obſintve, non eorum temperamenti ratio, aut non hujus cauſa veteres medici ad ea reſpexerint. Enimvero quod qui certa methodo curare ulcus debet, huic neceſſe ſit tum ad prima elementa vel maxime venire tum anni tempora et corporum temperamenta, non omnium modo, verum etiam ſingularum partium conſiderare, abunde monſtratum reor. Rurſus vero hic repetendum eſt quod prius diximus in indicatione quae a ſicco humidoque ſumitur; nam ut in illis humidior natura humidiora, ſiccior ſicciora medicamenta exigebat, ita nunc calidior calidiora, frigidior frigidiora requirere, contrariam ſcilicet ſemper iis quae praeter naturam et iis quae ſecundum naturam ſunt indicationem praeſtantibus; quippe, quae ſecundum naturam ſunt ſimilium ſibi intdicaiva ſunt, quae praeter naturam contrariorum, ſi modo illa ſervari, haec ſubmoveri neceſſe eſt.

Cap IX. Itaque quod tum corporum temperies tum anni tempora tum partium naturae conſideranda illi

πειν χρῆναι τὸν μέλλοντα καλῶς ἕλκος ἰάσασθαι δεδεῖχθαί μοι νομίζω σαφῶς· καὶ ὡς μὲν πρῶτος σκοπὸς τῆς ἰάσεως ἐκ τῆς διαθέσεως λαμβάνεται μόνης, ἐξευρεῖν δὲ οὐκ ἔτι ἐντεῦθεν ἐγχωρεῖ τὰ βοηθήματα, πρὶν ἐπί τε τὰ στοιχεῖα τῶν σωμάτων ἀναβῆναι καὶ τοῦ κάμνοντος ἐπισκέψασθαι τὴν κρᾶσιν, ὅλου τε τοῦ σώματος καὶ τοῦ πεπονθότος μέρους, εὐθὺς αὐτῷ καὶ τὴν τοῦ περιέχοντος κρᾶσιν συνεπισκεπτομένους· ἥτις ἐκτείνεται κἀπὶ τὰς ἐπιδήμους καταστάσεις καὶ προσέτι τὰς χώρας. ὅτι δὲ πολλάκις ἐναντίαι ἐνδείξεις γίγνονται κατὰ μίαν θεραπείαν, ὅπως τε χρὴ μεταχειρίζεσθαι τὰς τοιαύτας, εἰρήσεται μὲν ἐπιπλέον ἐν τοῖς ἐφεξῆς, εἴη δ᾽ ἂν οὐκ ἄπο τρόπου καὶ νῦν ἐπὶ βραχὺ διελθεῖν ὑπὲρ αὐτῶν. οὐδὲν γὰρ οἶμαι θαυμαστὸν ὑγροτέραν [73] μὲν ὑπάρχειν τὴν κρᾶσιν τοῦ κάμνοντος, αὐτὸ δὲ τὸ πεπονθὸς μόριον ξηρότερον, ἢ τοῦτο μὲν ὑγρότερον, ἅπασαν δὲ τὴν κρᾶσιν ξηροτέραν· ὡσαύτως δὲ καὶ κατὰ θερμότητα καὶ ψύξιν ὑπεναντίως ἔχειν τῇ κράσει τὸ μόριον πρὸς τὸ ὅλον. ὥσπερ οὖν εἰ τὸ πᾶν σῶμα τῆς μέσης ὑπῆρχε κράσεως, ἣν ἀρίστην ἐδείκνυμεν, οὐδὲν ἂν ἕνεκά

ſint qui probe ulcus ſit ſanaturus clare me docuiſſe exiſtimo; ad haec quod prima quidem curationis indicatio a ſolo ſumatur affectu, remedia tamen inde inveniri non poſſe, niſi prius ad corporum elementa ſit aſcenſum et aegri temperamentum perpenſum, non corporis modo univerſi, ſed etiam affectae partis, cum hoc quoque ambientis temperie aeſtimata; quae utique cum ad praeſentes ſtatus tum vero regiones extenditur. Quod autem contrariae multoties in una curatione indicationes ſint, atque has quemadmodum tractare conveniat latius quidem dicetur in ſequentibus, non tamen alienum ſit, nunc quoque paucis de ipſis egiſſe. Etenim quod aegri temperamentum ſit humidius, pars ipſa, quae laborat ſiccior, aut contra quod haec ſit humidior, totius temperamentum ſiccius, mirandum non arbitror; pari modo in calore et frigore, quod contrario temperamento ſit pars cum toto. Ut igitur ſi totum corpus medio temperamento eſſet, quod eſſe optimum docuimus, nihil plane

γε τῆς τοῦ κάμνοντος φύσεως ἐνεωτερίζομεν ἐν τοῖς φαρμάκοις, οὕτως ἐπειδὰν ἤτοι ξηρότερον ἢ ὑγρότερον, ἢ ψυχρότερον ἢ θερμότερον ᾖ τοῦ δέοντος, ἐπιτείνειν εἰς τοσοῦτον χρὴ τὰς δυνάμεις τῶν φαρμάκων, εἰς ὅσον καὶ τὸ σῶμα φυσικῆς ἐπιλήπται δυσκρασίας. οὐ γὰρ δὴ ἐπιλελήσμεθά γε, τίς μὲν ἡ φυσικὴ δυσκρασία, τίς δ' ἡ παρὰ φύσιν. εἴρηται γὰρ ὑπὲρ αὐτῶν ἐν ἄλλοις καὶ μάλιστ' ἐν τῷ περὶ τῆς ἀνωμάλου δυσκρασίας γράμματι. φέρε τοίνυν ὅλην τὴν κρᾶσιν τοῦ κάμνοντος σώματος ὑγροτέραν εἶναι καὶ διὰ τοῦτο δεῖσθαι τῶν ἧττον ξηραινόντων φαρμάκων, αὐτὸ δὲ τὸ πεπονθὸς μόριον τῶν φύσει ξηροτέρων ὑπάρχειν, οἷά περ ἐλέγομεν εἶναι τὰ ἧττον σαρκώδη. τοιαῦτα δ' ἐστὶ τά τε κατὰ τοὺς δακτύλους καὶ τὰ ἄρθρα καὶ τὰ ὦτα καὶ τὴν ῥῖνα καὶ τοὺς ὀφθαλμοὺς καὶ τοὺς ὀδόντας, ἁπλῶς δ' εἰπεῖν ἵνα χόνδροι πολλοὶ καὶ ὑμένες καὶ σύνδεσμοι καὶ ὀστᾶ καὶ νεῦρα, πιμελὴ δὲ καὶ σὰρξ ἢ οὐδ' ὅλως, (69) ἢ ἐλαχίστη, διάφορος δ' ἐν τούτοις ἡ ἔνδειξις ἀπό τε τοῦ πεπονθότος μέρους ἐστὶ καὶ τῆς φύσεως τοῦ κάμνοντος. ὥστε εἰ μὲν ὅσῳ τοῦ κάμνοντος

quantum ad laborantis naturam attineret in medicamentis novaremus, ita ubi vel ficcius vel humidius vel calidius vel frigidius jufto cernitur, eatenus intendere vires medicamentorum oportet, quatenus corpus ad naturalem intemperiem eft verfum. Non enim, arbitror, excidit nobis, quae naturalis intemperies fit, et quae praeter naturam; dictum enim de ipfis eft in aliis, ac praecipue in libro qui de inaequali intemperie eft infcriptus. Pone igitur totum laborantis corporis temperamentum humidius effe, eoque medicamenta defiderare quae minus ficcent, ipfam vero aegram partem ex iis effe quae natura ficciores fint, qualia effe diximus quae minus funt carnofa. Hujus generis funt quae circa digitos et articulos habentur et aures et nafum et oculos et dentes funt, ac ut femel dicam, ubi multae cartilagines et membranae et ligamenta et offa et nervi funt, adeps vero et caro, vel omnino nulla eft, vel perquam exigua, diverfa in his eft ea quae ab affecta parte accipitur indicatio ab ea quae ex aegri natura. Quare fi quanto

ἡ κρᾶσις ὑγροτέρα πέφυκε τοῦ συμμέτρου, τοσούτῳ καὶ τὸ μόριον εἴη ξηρότερον τοῦ συμμέτρου, μήτε προστιθέναι τι μήτ᾽ ἀφαιρεῖν τοῦ φαρμάκου, τοιοῦτον δὲ προσφέρειν, οἷον ἂν ἐπὶ τοῦ συμμέτρου τῇ κράσει σώματος ἐν συμμέτρῳ τῇ κράσει μορίῳ γεγονότος ἕλκους παρελάβομεν. εἰ δὲ πλέον εἴη τὸ μόριον τοῦ μετρίου ξηρότερον, ἢ ὅσῳ τοῦ σώματος ἡ κρᾶσις ὑγροτέρα, τοσοῦτον ἐπιτείνεσθαι χρὴ ξηρότητι τὸ φάρμακον, ὅσον ὑπερβάλλει τὸ μόριον τῆς ὅλης κράσεως. οἷον εἰ τέσσαρσι μὲν ἀριθμοῖς εἴη τὸ ἡλκωμένον μέρος ξηρότερον τοῦ συμμέτρου, τρισὶ δ᾽ ἀριθμοῖς ἡ φύσις τοῦ νοσοῦντος ὑγροτέρα τῆς εὐκράτου, πρόδηλον ὡς ἑνὶ τοῦ συμμέτρου μορίου τὸ νῦν ἡλκωμένων ἔσται, ξηροτέρου δεόμενον φαρμάκου. ὅτι δὲ ἅπαντα ταῦτα στοχασμῷ λαμβάνεται καὶ ὅτι κάλλιστα δυνατός ἐστι στοχάζεσθαι ὁ γεγυμνασμένος ἐν τοῖς περὶ τούτων λογισμοῖς ἄντικρυς δῆλον. ἐπὶ μὲν δὴ τῶν τοιούτων ἁπάντων ἐναντίαι πολλάκις ἐνδείξεις καθ᾽ ἕνα γίνονται χρόνον· οὐδὲν γὰρ ἔτι δέομαι λέγειν ὑπὲρ τῶν κατὰ θερμόν

aegri temperamentum commoderato eſt humidius, tanto pars quoque juſto ſit ſiccior, nec adjiciendum, nec detrahendum medicamento quicquam eſt, ſed tale adhibendum, quale, ſi ulcus in commoderati temperamenti parte corporis commoderate temperati conſiſteret, adhiberemus. Sin ſiccior debito pars magis fuerit quam corporis temperamentum juſto eſt humidius, utique in tantum intendi ſiccitatem medicamenti conveniet, quantum partis temperamentum totius temperamentum excedit; veluti ſi quatuor numeris ſit exulcerata pars medio temperamento ſiccior, aegri natura gradibus tribus humidior, manifeſtum eſt partem quae nunc exulcerata eſt ſiccius uno gradu deſideraturam medicamentum quam quae pars ſit temperata. Quod autem haec omnia conjectura ſint accipienda, tum quod optime conjicere poterit qui in ratiocinando de his ſit exercitatus, liquido patet. Ac in talibus quidem omnibus contrariae ſaepe indicationes uno tempore ſiunt; neque enim eſt quod de indicationibus quae a calido et frigido ſumuntur etiamnum di-

τε καὶ ψυχρὸν ἐνδείξεων ἀνάλογον τοῖς εἰρημένοις νοεῖσθαι δυναμένων· ἐφ᾽ ἑτέρων δὲ καὶ τοῖς χρόνοις ἐφ᾽ οἷς εὐθὺς αἱ ἐνδείξεις τέμνονται, καὶ χρὴ τὴν μὲν ἡσυχάσαι κατά γε τὴν ἀρχὴν τῆς θεραπείας, ἐνεργῆσαι δὲ ἑτέραν· οἷον ὅταν ἕλκος ᾖ κοῖλόν τε ἅμα καὶ ἱκανῶς ῥυπαρόν· αἱ μὲν γὰρ διαθέσεις αἱ παρὰ φύσιν ἐν τούτοις τρεῖς εἰσιν, ἕλκος καὶ κοιλότης καὶ ῥύπος. ἡ δὲ τῆς ἰάσεως τάξις ἀπὸ τῆς ἀναιρέσεως τοῦ ῥύπου τὴν ἀρχὴν ἔχει, τῷ μήτε κολληθῆναί τι, μήτε σαρκωθῆναι δύνασθαι, πρὶν καθαρὸν γενέσθαι. δευτέραν δὲ χώραν ἡ τῆς κοιλότητος ἴασις ἕξει· εἰ γὰρ ἤτοι κολλήσαιμεν, ἢ ἐπουλώσαιμεν, ἢ καθόλου φάναι θεραπεύσαιμεν τὸ ἕλκος, οὐκέτι ἐγχωρεῖ πληρῶσαι τὴν κοιλότητα. φέρε τοίνυν μὴ μόνον ταῦτ᾽ εἶναι τὰ τρία περὶ τὸ μέρος, ἀλλὰ καὶ φλεγμονὴν, ἢ ἐρυσίπελας, ἢ γάγγραιναν, [74] ἤ τινα δυσκρασίαν ἁπλῆν ἢ σύνθετον, ἆρ᾽ οὐκ ἐνταῦθα πρόδηλον ὡς εἰ μή τις πρότερον ἐκείνην ἰάσαιτο, πληρῶσαι σαρκὶ τὸ κοῖλον ἕλκος οὐκ ἐγχωρεῖ; λέλεκται γὰρ καὶ πρόσθεν ὡς ἡ τῆς σαρκὸς γένεσις ἐκ τῆς ὑποκειμένης ἄρχεται τῆς ὑγιοῦς· ἐκ φλεγμαινούσης δὲ καὶ

cam, ut quae ad proportionem dictorum intelligi poſſunt; in aliis vero etiam temporibus quibus ſtatim perficiendae ſunt, indicationes ſeparantur, oportetque in principio praeſertim curationis alteram ceſſare, alteram actione fungi. Sicut exempli cauſa, quum ulcus cavum ſimul ſit et admodum ſordidum; nam affectus praeter naturam in hoc triplex eſt, ulcus, cavitas et ſordes. Ordo vero ſanationis a ſorde expurganda ordietur, quod videlicet nec glutinari quicquam, nec carne impleri poteſt prius quam purum fuerit. Secundum locum exiget cavitatis ſanatio; ſi namque vel glutinabimus, vel cicatricem inducemus, vel, ut ſummatim dicam, curabimus ulcus, cavitatem implere non poterimus. Pone ergo non ſolum tria haec partem obſidere, ſed etiam phlegmonen, vel eryſipelas, vel gangraenam, vel intemperiem aliquam ſimplicem compoſitamne, num hic manifeſtum eſt quod niſi quis illam prius ſanaverit, implere carne cavum ulcus non poterit? Dictum enim ſupra eſt, carnis generationem ex ſana quae ſubjecta ſit ortum habe-

δυσκράτου καὶ ἁπλῶς εἰπεῖν νοσούσης, οὐκ ἐγχωρεῖ γεννηθῆναι νέαν σάρκα. σκοπὸς οὖν ἐν ἁπάσαις ταῖς τοιαύταις ἐπιπλοκαῖς ἔστω σοι τριττός. εἷς μὲν ὡς ὁ ἐξ αἰτίων τοῦ μέλλοντος ἔσεσθαι λαμβανόμενος· ὁ δὲ ἕτερος ὡς ὁ τὸν ὧν οὐκ ἄνευ λόγον ἔχων· ὁ δὲ τρίτος ὡς ὁ τῶν ἐπειγόντων τε καὶ κατεπειγόντων ὀνομαζόμενος. ἡ μὲν γὰρ εὐκρασία τῆς ὑποκειμένης σαρκὸς αἰτίας λόγον ἔχει, συμφύουσά τε τὸ ἡλκωμένον αὐτῇ καὶ ἀναπληροῦσα τὸ κοῖλον. ἡ δὲ καθαρότης τοῦ ἕλκους τὸν ὧν οὐκ ἄνευ λόγον· καὶ ταύτην ὁ ῥύπος διακόπτων κωλύει τὴν θεραπείαν. ἔχει δὲ καὶ αὐτὸ τὸ ἕλκος ὡς πρὸς τὴν κοιλότητα τὸν ὧν οὐκ ἄνευ λόγον. εἰ γὰρ εἰς οὐλὴν ἀχθείη τὸ ἕλκος, οὐκέθ' οἷόν τε σαρκῶσαι τὴν κοιλότητα. πρὸς ταῦτ' οὖν ἀποβλέπων ἐξευρήσεις τὴν τάξιν τῆς ἰάσεως· οἷον ἡ φλεγμονὴ καὶ κοιλότης καὶ ἕλκος καὶ ῥύπος ἅμα κατὰ ταὐτὸν ὑπάρχει μόριον· ὅτι χρὴ πρῶτον μὲν τὴν φλεγμονὴν, δεύτερον δὲ τὸν ῥύπον, τρίτον δὲ ἰάσασθαι τὴν κοιλότητα, καὶ τέταρτον τὸ ἕλκος. ἐν μὲν δὴ τοῖς εἰρημένοις ἥ τε τάξις καὶ ἡ τῶν σκοπῶν εὕρεσις ἐντεῦθεν. ὁ δὲ τοῦ

re, ex inflammata vero et intemperata et uno verbo aegrota caro gigni nova non potest. Ergo in omnibus ejusmodi complicationibus triplex tibi propositus scopus erit; unus veluti a causis sumptus, ejus quod post futurum est; alter, ut quod rationem obtinet ejus sine quo non; tertius ejus quod veluti accelerantium et urgentium nominatur. Siquidem proba subjectae carnis temperies causae rationem habet, ut quae concrescere secum quod ulceratum est faciat et cavitatem impleat. Puritas ulceris rationem ejus sine quo non, atque hanc sordes interpellans curationem moratur. Habet autem et ulcus ad cavitatem rationem ejus, sine quo non; nam si ulcus inductum cicatrice fuerit, non amplius cavitas impleri carne poterit. Ergo si ad haec respexeris, ordinem sanationis invenies, veluti si phlegmone et cavitas et ulcus et sordes, simul in eadem parte constiterint, primum phlegmonen, secundo sordem, tertio cavitatem esse sanandam, et quarto ulcus. Ac in jam dictis quidem tum ordo tum scoporum inventio ex his sumitur.

κατεπείγοντος σκοπὸς ἐν τούτοις μὲν οὐκ ἔστιν, ἐν ἄλλοις δ' ἐστίν· ἀφ' ἧς γὰρ κινδυνεύει πρώτης καὶ μάλιστα διαθέσεως ὁ ἄνθρωπος, ἐκείνην πρῶτον ἰατέον. ἐνίοτε δὲ οὐ πρώτην μόνον, ἀλλὰ καὶ μόνην αὐτήν· οἷον εἰ νυγείσης κεφαλῆς μυὸς ἀκολουθήσειε σπασμὸς, εἶτα πρὸς μηδενὸς τῶν οἰκείων ἰαμάτων καθίσταιτο· διατεμὼν γὰρ ὅλον τὸν μῦν ἐγκάρσιον, ἰάσῃ μὲν τὸν σπασμὸν, ἀλλὰ πηρώσεις τινὰ τῶν τοῦ μορίου κινήσεων. οὕτω δὲ καὶ φλεβὸς ἢ ἀρτηρίας αἱμοῤῥαγούσης ἀμέτρως ὁ διατεμὼν ὅλον ἐγκάρσιον τὸ ἀγγεῖον οὐκέτι μὲν ἰάσασθαι δύναται τὸ ἕλκος αὐτοῦ· τὸν δ' ἐκ τῆς αἱμοῤῥαγίας κίνδυνον ἐπέσχεν. ἀλλὰ καὶ νεῦρον νυγὲν ἀναγκαζόμεθα πολλάκις ἐγκάρσιον διακόπτειν, ὅταν ἤτοι σπασμοὺς, ἢ παραφροσύνας, ἢ ἀμφότερα μεγάλα καὶ δυσίατα βλέπωμεν ἑπόμενα τῇ τρώσει. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐξάρθρημα μεθ' ἕλκους ἐπειδὰν γένηται κατά τι τῶν μειζόνων ἄρθρων, τὸ μὲν ἕλκος ἰώμεθα, τὸ δὲ ἐξάρθρημα καταλείπομεν ἀνίατον· ὅτι καὶ τοῦτ' ἐγχειρούντων ἰάσασθαι, σπασμοὶ τοὐπί-

Urgentis vero fcopus inter ifta non habetur; in aliis autem habetur; nam affectus unde primum maximeque imminet homini periculum hic primus curari debebit. Interdum vero non primus modo, verum etiam folus, veluti fi puncto musculi capite convulfio, quae nulla convenientium medicamentorum vi remittatur, superveniat; quippe praecifo per transverfum toto musculo convulfionem quidem fanaveris, aliquem tamen ex partis motibus vitiaveris. Sic quum e vena vel arteria fanguis immodice profluit, fi totum vas per transverfum praecideris, ulcus quidem ejus fanare postea non poteris, periculum tamen quod ex profluvio fanguinis impendebat fuftuleris. Sed et nervum punctum faepe cogimur transverfum praecidere, quoties vel convulfiones vel deliria vel ambo magna aegreque fanabilia fupervenire vulnerationi cernimus. Pari modo ubi luxatio cum ulcere in aliquo majorum articulorum incidit, ulcus quidem fanamus, luxationem autem infanatam relinquimus; quod fi hanc quoque fanare conemur, convulfiones omnino fequun-

παν ἕπονται. τρίτος οὖν οὗτος σκοπός ἐστιν ὁ πρὸς τὸ κατεπεῖγον γιγνόμενος, ἕτερος ἐκείνων τῶν δύο τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων. οὐ γὰρ ταὐτόν ἐστιν ἢ ὡς αἴτιόν τι σκοπεῖν, ἢ ὡς τὸν ὧν οὐκ ἄνευ λόγον ἔχον, ἢ ὡς κατεπεῖγον. ἀλλὰ καὶ ὡς τὸ κατεπεῖγον ἐνίοτε τοιοῦτόν ἐστιν, ὡς ἀνίατον ἀναγκάζειν ἑτέραν ἀπολιπέσθαι διάθεσιν, εἴρηται, καὶ ὡς ἡ διάθεσις αὕτη πολλάκις ὑφ᾽ ἡμῶν αὐτῶν γίνεται, τοῦτο μὲν ἐπὶ τῶν νενυγμένων νεύρων, ἢ τενόντων, ἢ αἱμοῤῥαγούντων ἀγγείων, τοῦτο δὲ ἐπὶ τῶν κατὰ τὰς κεφαλὰς τετρωμένων μυῶν· ἐπὶ μὲν γὰρ ἐξαρθρήματος ἅμα καὶ ἕλκους οὐκ αὐτὸ ποιοῦμεν, ἀλλὰ μόνον οὐκ ἰώμεθα τὸ γενόμενον. εἰρήσεται δὲ κἀν τοῖς ἑξῆς ἔτι περὶ τούτων ἐπιμελέστερον.

Κεφ. ι΄. [75] Ἐν γὰρ τῷ παρόντι συγκεφαλαιώσασθαι βούλομαι τὸν ἐνεστῶτα λόγον ἐπὶ τὰς οἰκείας διαφορὰς τῶν ἑλκῶν ἐπανελθών· ἵν᾽ εἴ τις κἀντεῦθεν ἔνδειξις ἰαμάτων ἐστὶ, μηδὲ ταύτην παραλίπωμεν. τὸ μὲν οὖν φλεγμαῖνον ἕλκος καὶ τὸ σηπόμενον ἀναβιβρωσκόμενόν τε καὶ γαγγραινούμενον

tur. Tertius itaque propofitus medendi finis is ift, qui ad id quod urget dirigitur, diverfus nimirum a duobus illis modis paulo ante dictis. Neque enim idem eft aliquid vel ut caufam confiderare, vel ut id quod rationem obtinet ejus fine quo non, vel ut id quod urget. Sed et quod urget tum ejusmodi interdum effe ut alium infanabilem, affectum relinquat, dictum *jam* eft, tum vero affectum ipfum nonnunquam a nobis ipfis induci; partim in nervo puncto vel tendone vel vaforum cujusque fanguinis profufione; partim in mufculo, cujus caput eft vulneratum. Nam ubi luxatio cum ulcere una confiftit, non ipfi affectum facimus, fed tantum eum qui factus eft non fanamus. Dicetur vero de his accuratius in fequentibus.

Cap. X. In praefentia namque redire ad proprias ulcerum differentias placet ac propofitum fermonem breviter complecti, quo, fi qua ex his etiam indicatio remediorum fit *reliqua*, non praetermittamus. Ergo inflammatum et putrefcens ulcus et quod exedens et quod gangraena et

Ed. Chart. X. [75.] Ed. Baf. IV. (69.)

ἐρυσιπελατῶδές τε καὶ καρκινῶδες ἀνώδυνόν τε καὶ ὀδυνῶδες, τά τ' ἄλλα τοιαῦτα λέγουσιν ὡς διαφορὰς ἑλκῶν, εἰ μὲν ἄλλως τις διέρχοιτο θεραπείαν ἐμπειρικὴν ἀναγράφων, οὐκ ἀμφισβητητέον αὐτῷ διαφορὰς ἑλκῶν ὀνομάζοντι· μυριάκις γὰρ εἴρηται τὸ μὴ δεῖν ὑπὲρ τῶν ὀνομάτων ἐρίζειν· εἰ δ' ὡς ἐντεῦθεν μέλλων ἐρεῖν τι τεχνικὸν ὑπὲρ ἐνδείξεων, ἐπιδεικτέον αὐτῷ τὰς μὲν εἰρημένας ἁπάσας διαθέσεις ὑπάρχειν συνθέτους, ἄλλας δ' εἶναι διαφορὰς ἕλκους ἁπλοῦ καὶ μόνου, χωρὶς ἑτέρας τινὸς ἐπιπεπλεγμένης αὐτῷ διαθέσεως. εἰ γὰρ ἁπλῶς διαιρέσεως γενομένης ὑπό τινος ὀξέος τὸ σχῆμα τοῦ τρώσαντος ἐναπομαχθείη τῷ διῃρημένῳ, γένοιντ' ἂν οὕτως ἑλκῶν διαφοραὶ πάμπολλαι, λοξῶν, εὐθειῶν, ἑλικοειδῶν, ἀγκιστροειδῶν, ἄλλως ὁπωσοῦν ἐχόντων. αὗται μὲν οὖν αἱ διαφοραὶ πᾶσαι παρὰ τὸ σχῆμα. παρὰ δ' αὖ τὸ μέγεθος ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἕτεραι μυρίαι· καὶ γὰρ μικρὸν καὶ μέγα καὶ μεῖζον καὶ μικρότερον ἕλκος ἕλκους λέγεταί τι καὶ γίνεται· καὶ μὲν δὴ καὶ βραχὺ καὶ μακρὸν ἐπιπολῆς τε καὶ

quod eryfipelas comitatur et cancerofum et dolens et indolens, quaeque alia id genus veluti ulcerum differentias loquuntur, fi quis empiricam curationem aliter perfcribens explicet, non eft *cum eo* contendendum, fi ulcerum ea differentias nominat, millies enim dictum eft non oportere de nominibus contendere; fin tanquam artificiofum aliquid de indicationibus hinc dicturus, docendus eft omnes jam dictos affectus compofitos effe, alias vero effe differentias fimplicis foliusque ulceris et cui nullus alius implicitus fit affectus. Nam fi fimpliciter ab acuto aliquo facta tantum divifione figura ejus quod vulneravit, *parti* divifae impreffa eft, exiftent profecto fic multae ulcerum differentiae, obliquorum, rectorum, pampini modo retortorum, hami ritu uncorum, aut aliter quoquo modo fe habentium. Atque hae quidem differentiae omnes a figura funt. A magnitudine rurfus pro majoris minorisque ratione mille aliae; nam et magnum et parvum et majus et minus ulcus ulcere tum dicitur tum vero eft; quin etiam breve et longum, in

Ed. Chart. X. [75.] Ed. Baf. IV. (69. 70.)

βαθὺ, καὶ καθ᾽ ἕκαστον αὐτῶν τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τῇ κατὰ τὸ μέγεθος, ἢ τὸ πηλίκον, ἢ τὸ ποσὸν, ἢ ὅπως ἂν ἐθέλοι τις ὀνομάζειν διαφορᾷ. καὶ εἴπερ ταῦτα οὕτως ἔχει, πάντως δήπου καὶ ὁμαλὲς καὶ ἀνώμαλον ἕλκος ἐν τῷ βάθει τῆς διαιρέσεως ἔσται. κατὰ μῆκος γὰρ, εἰ οὕτως ἔτυχεν, ἀνεσχισμένου τοῦ μηροῦ τὸ μὲν ἄνω μέρος τῆς διαιρέσεως ἐνδέ(70)χεται βαθὺ, τὸ κάτω δὲ ἐπιπόλαιον ὑπάρχειν, ἢ ἔμπαλιν ἐπιπολῆς μὲν τὸ ἄνω, βαθὺ δ᾽ εἶναι τὸ κάτω. καὶ μὲν δὴ καὶ τὸ διεσπάσθαι κατά τι, ἢ τοὐπίπαν καὶ διατετμῆσθαι καὶ τοῦ τρώσαντος ὑποδύντος ὑπὸ τὸ δέρμα λοξὸν, μέρος μέν τι τοῦ ἕλκους φαίνεσθαι, μέρος δ᾽ ἕτερον ὑπὸ τῷ δέρματι κατακεκρύφθαι, καὶ τοῦτο ἢ ἐκ τῶν ἄνωθεν εἶναι μερῶν, ἢ ἐκ τῶν κάτωθεν, ἢ ἐκ τῶν πλαγίων, ἅπαντα καὶ ταῦθ᾽ ἑλκῶν εἰσι διαφοραί. παρὰ δ᾽ αὖ τὸν χρόνον ἕτεραι διαφοραὶ τῶν ἑλκῶν, παλαιὸν καὶ ἔναιμον ἢ πρόσφατον ὀλιγοχρόνιόν τε, καὶ πολυχρόνιον, ἐν ἅπασι δ᾽ αὐτοῖς τὸ μᾶλλόν τε καὶ ἧττον πάμπολυ. κατὰ μὲν αὐτὴν τοῦ ἕλκους τὴν φύσιν

ſuperficie et profundum; atque in ſingulis horum tum quod magis tale minusque eſt, ſive in ſpatii, ſive magnitudinis, ſive quantitatis, ſive quocunque modo appellaſſe libet, differentia. Quod ſi haec ita ſe habent, omnino profecto et aequale ulcus et inaequale penes diviſionis profunditatem erit. Quippe diſſiſſo, ſi ita ſors tulit, per longitudinem femore, poteſt ſuperior diviſionis pars alte descendere, inferior in ſummo corpore haerere, aut contra in ſummo eſſe quae ſuperior eſt, profunda quae inferior. Iam illud quoque, nempe divulſum aliqua ex parte, aut ex toto fuiſſe et inciſum fuiſſe, et ubi quod vulneravit oblique ſub cutem ſe dedit, alteram ulceris partem in conſpectu eſſe, alteram partem ſub cute latere, idque vel ex ſupernis partibus eſſe vel infernis vel lateralibus, omnia haec ulceris differentiae ſunt. Ab ipſo tempore rurſus aliae ulcerum differentiae *ſumuntur*, vetuſtum et cruentum, ſeu recens, exigui temporis et diuturnum; atque in omnibus his ipſa majoris minorisque ratio numeroſa eſt. Atque ab

αὗται διαφοραὶ, κυριώταται μὲν αἱ κατὰ τὴν οὐσίαν τοῦ πράγματος ἥ τε παρὰ τὸ σχῆμα καὶ ἡ παρὰ τὸ ποσὸν τῆς διαιρέσεως, ἤτοι κατὰ τὸ μῆκος, ἢ βάθος, ἢ κατ' ἀμφοτέρας τὰς διαστάσεις, ὁμαλότητά τε καὶ ἀνωμαλίαν τὴν ἐν τούτοις. ἔξωθεν δὲ προσιοῦσαι τὸν ὧν οὐκ ἄνευ λόγον ἔχουσαι· παρά τε τὸν χρόνον ἐν ᾧ τὸ ἕλκος, οὕτω γὰρ τὸ μὲν πρόσφατον καλεῖται, τὸ δὲ παλαιὸν, καὶ παρὰ τὸ φαίνεσθαί τε καὶ μὴ φαίνεσθαι πᾶν ἢ μέρος. ἤδη δὲ καὶ παρὰ τὸν τῆς γενέσεως τρόπον ἐν τῷ τμηθῆναι πᾶν ἢ διασπασθῆναι πᾶν· ἢ τι μὲν τετμῆσθαι μέρος αὐτοῦ, διεσπάσθαι δ' ἕτερον. [76] εἰ δὲ καὶ τὰς παρὰ τὸν τόπον ἐν ᾧ γέγονε τὸ ἕλκος ἐκλογίζοιο διαφορὰς, οἷον εἰ πέρας μυὸς, εἰ ἀρχὴ μυὸς, εἰ τὸ μέσον τοῦ μυὸς, εἰ δέρμα ἐστὶ τὸ ἡλκωμένον, εἰ ἧπαρ ἢ γαστὴρ, εἶεν ἂν δήπου καὶ αὗται διαφοραὶ τῶν ἑλκῶν. ταῦτα μὲν οὖν οὕτως ἔχει, οὐκ ἀπὸ τῆς οἰκείας αὐτῶν φύσεως, ἀλλ' ἀπὸ τῶν χωρίων ἐν οἷς συνίστανται τὴν γένεσιν ἔχουσαι. ὅταν δ' εἴποι τις ἤτοι φλεγμαῖνον ἕλκος, ἢ ὑπερσαρκοῦν, ἢ κοῖλον,

ipfa ulceris natura hae differentiae fumuntur, maxime quidem propriae quae a fubftantia rei capiuntur, nempe quae a figura ducuntur et a divifionis magnitudine, idque vel in longitudine vel in altitudine vel in ambabus dimenfionibus, praeterea aequalitate in his et inaequalitate. Extrinfecus vero accidentes differentiae et quae fcilicet rationem obtinent ejus fine quo non; tum a tempore in quo factum ulcus eft, ita enim aliud recens, aliud vetus vocatur, tum ex eo quod totum parsve confpectum fugit, vel confpiciendum fe praebet. Jam vero et a generationis ratione eo quod totum fit incifum vel totum divulfum, vel pars incifa, pars divulfa. Quod fi quae a loco quoque in quo eft ulcus differentias cenfeas, veluti fi finis musculi vel principium musculi vel medium musculi vel cutis fit quod ulceratum eft, vel jecur venterve fit in quo ulcus confiftit, fuerint profecto et ipfae ulcerum differentiae, non utique a propria ipforum natura, fed a locis in quibus confiftunt ortum ducentes. At quum inflammatum quis ulcus dicit, aut ex-

*οἴεται παραπλησίας εἰρηκέναι διαφορὰς ἑλκῶν, ἃς νῦν ἤδη πέπαυμαι λέγων, οὗτος ἐξ ἀνάγκης ἐν τῇ θεραπευτικῇ μεθόδῳ σφαλήσεται. τὸ γὰρ φλεγμαῖνον ἕλκος οὑτωσὶ λεγόμενον ὅμοιον μὲν ἔχει τὸ τῆς ἑρμηνείας σχῆμα τῷ μικρὸν ἕλκος, οὐ μὴν τό γε δηλούμενον ὅμοιον ὑπάρχει. τὸ μὲν γὰρ ἐπιπολῆς ἢ βαθὺ κατηγορήσαντες τοῦ ἕλκους, οἰκείαν αὐτοῦ διαφορὰν ἐμηνύσαμεν· τὸ φλεγμαῖνον δ' οὐδ' ὅλως ἐστὶν ἕλκους διαφορά· δύναται γὰρ φλεγμῆναι μόριον καὶ χωρὶς ἕλκους. ὅθεν οἶμαι καὶ τὴν λέξιν ἐνταυθοῖ μὲν ὑπαλλάξαι δυνατόν· εἰ γὰρ εἴποις ἕλκος τῷδέ τινι γεγονέναι μετὰ φλεγμονῆς, οἰκειότερόν γε τῷ πράγματι καὶ σαφέστερον ἑρμηνεύσεις· οὐ μὴν εἰ φαίης μετὰ μεγέθους μὲν τῷδε, μετὰ σμικρότητος δὲ ἄλλῳ γεγονέναι. καὶ γὰρ οἰκειότερόν τε τῷ πράγματι καὶ σαφέστερον ἑρμηνεύσεις, εἰ τῷδε μέν τινι φαίης ἕλκος μέγα γεγονέναι, τῷ δὲ αὖ μικρόν. ὅθεν εἰ οἷόν τ' ἦν καὶ τὴν λέξιν ὑπαλλάττειν ὡς καὶ τῷ λεγομένῳ πράγματι πρεπωδεστέραν ἐργάζεσθαι καὶ τοῖς ἀκούσουσι σαφεστέραν, οὐ χρὴ κατοκνεῖν οὕτω ποιεῖν· ἀρχὴ γὰρ τοῦ μὴ σοφίζεσθαι περὶ τὰ πράγματα τὸ καὶ τῇ*

crescens carne, aut cavum; *deinde* fimiles ulceris differentias dixiffe fe iis quas modo retuli putat; hunc neceffe eft in medendi methodo falli. Quippe inflammatum ulcus ex formula dictionis fimilem habet interpretationis figuram cum parvo ulcere; caeterum quod fignificatur fimile non eft. Siquidem fuperficiarium, aut profundum, quum de ulcere dicimus, propriam ejus differentiam oftendimus; inflammatum vero omnino ulceris differentia non eft; quum poffit pars inflammari etiam ubi ulcus non fit. Quo fieri arbitror ut hic immutare dictionem liceat. Si enim accidiffe alicui ulcus cum phlegmone dixeris, propius ad rei naturam et clarius interpretatus fis; non autem fi alii cum magnitudine, alii cum parvitate factum dicas; etenim quum et magis ex natura rei et clarius loquare, fi huic magnum accidiffe ulcus, illi parvum dixeris. Adeo fi fieri poffit ut mutata dictio et rei naturae convenientior et audituris clarior fit, committendum non eft quominus id fiat; nam caput ad effugiendam in rebus deceptionem eft ut definita

λέξει χρῆσθαι διωρισμένῃ. τίς οὖν ἐν τοῖς τοιούτοις ἡ μέθοδος; εἰπεῖν γὰρ χρὴ παράγγελμά τι καὶ οἷον σκοπὸν ᾧ προσέχοντες τὸν νοῦν ἀεὶ δυνησόμεθα διορίζεσθαι ταχέως· εἴτε διαφορὰν εἴρηκέ τις ἡστινοσοῦν διαθέσεως, εἴτ' ἐπιπλοκὴν ἑτέρας. ἔστω δή σοι διορισμὸς ὅδε· τὸ δυνάμενον ἰδίᾳ ποτὲ καὶ καθ' ἑαυτὸ συστῆναι, τοῦτ' οὐκ ἄν ποτε γένοιτο τῶν ἄλλων οὐδενὸς διαφορά. μέγεθος μὲν οὖν καὶ σμικρότης, ὁμαλότης τε καὶ ἀνωμαλία καὶ χρόνος καὶ σχῆμα τῶν ἑτέροις συμβεβηκότων ἐστίν. ἕλκος δὲ καὶ φλεγμονὴ καὶ γάγγραινα καὶ σηπεδὼν ἕκαστον ἰδίᾳ τε καὶ καθ' αὑτὸ δύναται συστῆναι, διαθέσεις γάρ τινές εἰσι τοῦ σώματος ἡμῶν παρὰ φύσιν, οὐ τὰ ταῖς διαθέσεσιν ἐξ ἀνάγκης συμβεβηκότα. πᾶσι μὲν γὰρ τοῖς εἰρημένοις ἐξ ἀνάγκης συμβέβηκεν ἤτοι μικροῖς ἢ μεγάλοις ὑπάρχειν, ἢ ὁμαλέσιν, ἢ ἀνωμάλοις, ἢ προσφάτοις, ἢ παλαιοῖς, ἢ φαίνεσθαι προχείρως, ἢ κεκρύφθαι καὶ μὴ βλέπεσθαι· τὸ φλεγμαίνειν δ' οὐκ ἔστι τῶν συμβεβηκότων ἕλκει, καθάπερ οὐδὲ τὸ σήπεσθαι καὶ γαγγραινοῦσθαι. πάντα γὰρ ταῦτ' ἐστὶν ἐκ τοῦ τῶν νοσημάτων γένους, εἴ γε παρὰ

loquutione utare. Quamnam igitur in talibus methodum ftatuimus? etenim tradenda quaepiam praeceptio eft, ac veluti fcopus, quo femper intentis difcernere ftatim liceat, differentiamne alicujus affectus dixerit quis, an alterius *affectus* complicationem. Efto igitur tibi difcrimen hoc; quod confiftere feorfum et per fe poteft, id nullius unquam alterius fuerit differentia. Ergo magnitudo, parvitas, aequalitas, inaequalitas, tempus et figura, ex eorum numero funt quae aliis accidunt; ulcus vero et phlegmone, gangraena et putredo, fingula feorfum et per fe confiftere poffunt; funt namque corporis noftri affectus quidam praeter naturam, minime ea, quae affectibus neceffario accidunt, nam omnibus his neceffario accidit ut vel parva fint vel magna, vel aequabilia vel inaequabilia, vel recentia vel inveterata, vel evidentur appareant vel condantur, nec videantur; phlegmone vero affici, ex iis quae ulceri accidunt non eft, veluti nec putrefcere, nec gangraena tentari; funt enim haec omnia ex morborum genere, fiquidem affectus praeter na-

Ed. Chart. X. [76. 77.] Ed. Baf. IV. (70.)

φύσιν εἰσὶ διαθέσεις καὶ βλάπτουσιν ἐνέργειαν. ἑτέρῳ δ᾽ αὖ πάλιν τρόπῳ ἕλκος ὀδυνώμενον ἢ ἕλκος ῥυπαρὸν λέγεται μὲν ὥς τις ἕλκους διαφορὰ, σύνθετον δέ τι δηλοῦται κἀνταῦθα, πλὴν ἕτερον τρόπον ἢ ὡς φλεγμαῖνον ἕλκος ἐλέγετο καὶ σηπόμενον. ἐκεῖ μὲν γὰρ διάθεσις ἡ φλεγμονὴ καὶ ἡ σηπεδών· ἐνταυθοῖ δὲ ὅ τε πόνος καὶ ὁ ῥύπος ἐκ τοῦ τῶν συμπτωμάτων γένους. οὕτω δὲ κἀπειδὰν εἴπῃ τις ἕλκος, ἢ κακόχυμον, ἢ ῥευματικὸν, ἢ ἀναβιβρωσκόμενον, αἰτίαν συνεμφαίνει τῇ διαθέσει. καὶ δῆλον ἐκ τῶν τοιούτων ὡς οἷον στοιχεῖά τινα τῆς θεραπευτικῆς ἐστι μεθόδου τὰ πρῶτά τε καὶ ἁπλᾶ καὶ ἀσύνθετα νοσήματα, [77] καὶ διὰ τοῦτ᾽ ἐν τῷ περὶ τῆς διαφορᾶς τῶν νοσημάτων ὑπομνήματι πάντ᾽ ἐξηριθμησάμεθα ταῦτα. διοίσει δ᾽ οὐδὲν ἢ πρῶτα λέγειν, ἢ ἁπλᾶ· καὶ γὰρ εἰ πρῶτον, ἁπλοῦν, καὶ εἰ ἁπλοῦν, πρῶτον· ὥστε καὶ στοιχειῶδες. ἔνδειξις δὲ ἰάσεως ἀπὸ τῶν διαφορῶν οὐχ ἁπασῶν γίνεται. τὸ γὰρ πρόσφατον ἢ παλαιὸν ἕλκος οὐδὲν ἐνδείκνυται, καίτοι δοκεῖ τισιν, ἀλλὰ παραλογίζονται

turam ſunt et actionem laedunt. Alio rurſus modo ulcus crucians et ulcus ſordidum ceu quaedam ulceris differentiae dicuntur; caeterum compoſitum quippiam hic quoque indicatur, ſed diverſa ratione, quam ut phlegmone comitatum, aut putreſcens ulcus dicebatur; quippe hic affectus ſunt phlegmone et putredo, illic dolor et ſordes ex ſymptomatum ſunt genere. Pari modo et quum dicitur cacochymum ulcus aut fluxione vexatum aut arroſum, cauſa cum affectu copulatur. Manifeſtumque ex talibus eſt, methodi ejus, quae de medendo inſtituitur, primos ac ſimplices ſineque ulla compoſitione morbos veluti elementa quaedam eſſe, quo magis in commentariis qui de morborum differentiis ſunt ſcripti omnes eos enumeravimus. Sane nihil referat primos an ſimplices dixeris; etenim quod primum eſt, ſimplex eſt; et quod ſimplex, primum, ideoque etiam elementare. Indicatio vero curationis ex differentiis fit, ſed non omnibus. Nam recens vetusve ulcus nihil indicat, quanquam indicare videtur nonnullis; ſed hi ſeipſos fallunt

σφᾶς αὐτοὺς, ὡς κἀν τοῖς κατὰ δίαιταν ἑτέραν μὲν ἀρχῆς, ἑτέραν δ' ἐπιδόσεως, ἄλλην δ' ἀκμῆς τε καὶ παρακμῆς ἔνδειξιν εἶναι λέγοντες· ὑπὲρ ὧν ἐπὶ πλέον ἐν τοῖς ἑξῆς ἐρεῖν μέλλοντες, οὐ δεόμεθα νῦν μηκύνειν τὸν λόγον· ἀλλ' ὅσον εἰς τὰ παρόντα μόνον αὔταρκες ἐροῦμεν. τὸ ἕλκος τὸ πρόσφατον, ἐπειδὴ τοὐπίπαν ἄνευ τε διαθέσεως ἑτέρας ἐστὶ καὶ σύμπτωμα μηδὲν μηδέπω ἔχει συνὸν, ἑτέραν οἴονταί ποιεῖσθαι τὴν ἔνδειξιν τοῦ παλαιοῦ· τὸ δ' οὐχ οὕτως ἔχει. τὸ γὰρ αὐτὸ τοῦτο μόνον ἕλκος· ἔστι δὲ τοιοῦτον ᾧ μήτε κοιλότης τις σύνεστι μήτ' ὀδύνη μήτε ῥύπος, ἁπασῶν τε τῶν ἄλλων ἀπήλλακται διαθέσεων, αὐτῆς δὲ μόνης δεῖται τῆς ἰδίας ἰάσεως, ἧς ὁ σκοπὸς ἕνωσις, ἢ κόλλησις, ἢ σύμφυσις, ἢ συνέχεια. μυριάκις γὰρ εἴρηται τὸ καλεῖν ὡς ἂν ἐθέλῃ τις, ἔνθα μηδὲν βλάπτεται τὸ πρᾶγμα. εἴτ' οὖν πρόσφατον εἴη τὸ τοιοῦτον ἕλκος εἴτε παλαιὸν, ἀεὶ τῆς αὐτῆς δεῖται θεραπείας, οὐδὲν τῆς ἀπὸ τοῦ χρόνου διαφορᾶς ἴδιον ἐνδεικνυμένης. εἰ μέντοι κοιλότητα βαθεῖαν ἔχει κατακεκρυμμένην ὑπὸ τῷ δέρματι,

non aliter quam in iis quae ad victus rationem fpectant, quum aliam initii, aliam incrementi, aliam fummi vigoris, aliam remiffionis indicationem effe dicunt; de quibus latius in fequentibus dicturus non eft quod nunc fim verbofior; verum quod tantum ad rem praefentem fit fatis, id adjiciam. Recens ulcus, quum omnino ab altero quolibet affectu eft liberum, nec fymptoma ullum habet adjunctum, aliam putant indicare curationem quam vetus. Id vero non ita fe habet. Siquidem quod ulcus tantum eft, nec quicquam aliud, eft autem ejusmodi, cui nec cavitas adeft, nec dolor, nec fordes, quodquae et omni alio affectu eft liberum, ipfam tantum ulceris fanationem defiderat; cujus fcopus vel unitio vel agglutinatio vel coitio vel continuatio eft; quippe millies diximus licere appelles ut lubet, modo rei nihil mutes. Ejusmodi igitur ulcus five recens, five antiquum fit, eandem femper curationem requirit, nihil plane proprium indicante difcrimine eo quod a tempore fumitur. At fi cavitatem alte reconditam fub cute habeat,

Ed. Chart. X. [77.] Ed. Baf. IV. (70. 71.)

σκέπτεσθαι πότερον ἐκ τῶν ἄνωθεν μερῶν εἴη, ὡς ὑποῤῥεῖν ἐξ αὐτῆς τοὺς ἰχῶρας κατάντεις, ἢ κάτωθεν, ὡς αὐτόθι συνίστασθαι. τῶν μὲν οὖν ὑποῤῥύσεις ἐχόντων ἡ αὐτὴ θεραπεία τοῖς ἄλλοις, τῶν δ᾽ οὐκ ἐχόντων ἡμᾶς χρὴ μηχανᾶσθαί τινας ἐκροάς· διττὴ δ᾽ ἡ μηχανή· ποτὲ μὲν ἀνατέμνοντί σοι τὴν κοιλότητα σύμπασαν, ἐνίοτε δὲ ἀντιδιαιροῦντι μόνον ἐν τῷ πυθμένι. τὸ δ᾽ ὅτε χρὴ τούτων ἑκάτερον δρᾷν ἥ τε τῶν χωρίων ἐνδείξεται φύσις καὶ τὸ τοῦ ἕλκους μέγεθος. εἰ μὲν γὰρ καὶ τὰ χωρία σφαλερὰν ἔχει τὴν διαίρεσιν καὶ τὸ ἕλκος εἴη μέγα, βέλτιον ἀντιδιαιρεῖν, εἰ δὲ τἀναντία, τὸ ἀνατέμνειν ἄμεινον. ἡ δ᾽ ἐπίδεσις ἀρχέσθω μὲν ἐκ τῶν ἄνωθεν, τελευτάτω δὲ κάτω ἵνάπερ ἡ ἐκροή. ὅτι δὲ καὶ ἡ παρὰ τὰ τετρωμένα μόρια σύμπαντα διαφορὰ τῶν ἑλκῶν ἐπικαιροτάτη πρὸς ἔνδειξιν τῆς ἰάσεως ἔμπροσθεν εἴρηται. ἀλλ᾽ (71) ἐκείνη μὲν ὡς ὁμοιομερῶν, ἧς δὲ νῦν ἐμνημονεύσαμεν, ὡς ὀργανικῶν ἐστιν ἔνδειξις. εἰρήσεται μὲν δὴ καὶ περὶ τῆς ἢ ὡς ὁμοιομερῶν, ἢ ὡς ὀργανικῶν σωμάτων ἐνδείξεως ἐπὶ πλέον ἐν τοῖς ἑξῆς· ἐν δὲ τῷ παρόντι πάλιν ἐπὶ τὰς

confiderare oportet utrum ea in fuperiore parte fit, ita ut fanies ex ea prona effluat, an in inferiore fic ut illic fiftatur. Ejus igitur cui effluxus patet eadem quae aliorum curatio eft; cui non eft, huic ipfi moliamur effluxum quendam oportet. Ejus duplex ratio eft, alias tota cavitate diffecta, alias in fundo tantum aperta. Quando vero harum alterutra fit jucunda, docebit tum locorum ipfa natura, tum vero ulceris magnitudo. Si namque et loca ipfa periculofam fectionem faciant et ulcus magnum fuerit, in fundo aperire magis expedit, fin contra fe habet, perfcindere praeftat. Deligatio vero ejus incipiat quidem fuperne, fed finiatur infra, ubi fcilicet patet effluxus. Quod autem differentia ea ulcerum quae a vulneratis omnibus partibus fumitur ad indicandam curationem fit maxime opportuna, id in fuperioribus eft dictum; verum ea quidem ut fimilarium haec, autem cuju nunc memini ut inftrumentalium eft indicatio. Sane dicetur de ea quae vel ut fimilarium corporum vel ut inftrumentalium indicatio eft in fequentibus uberius. Nunc

οἰκείας διαφορὰς τῶν ἑλκῶν ἰτέον· εἶτ᾽ ἐγκάρσιον ἢ εὐθὺ, καὶ μέχρι βάθους ἢ ἐπιπολῆς, καὶ μικρὸν ἢ μέγα διοριστέον. τὰ μὲν γὰρ ἐγκάρσια διὰ τὸ τὰ χείλη μᾶλλον αὐτῶν διεστηκέναι τε καὶ ἀφεστηκέναι τῆς συναγωγῆς ἀκριβεστέρας δεῖται· ὥστε καὶ ῥαφαῖς καὶ ἀγκτῆρσιν ἐπὶ τούτων χρηστέον. ὅσα δὲ κατὰ τὰ μῆκος τῶν μυῶν ἐγένετο, ταῦτ᾽ ἐκ δυοῖν ἀρχῶν ἐπιδῶν οὔτε ῥαφῶν οὔτε ἀγκτήρων δεήσῃ. εἰ δ᾽ ἄλλως ἐπιδεῖν ἐθελήσαις ἢ ἀγκτῆρσιν καὶ ῥαφαῖς, ἀρκέσουσιν ἢ ἐλάχισται παντελῶς αἱ ῥαφαί. [78] καὶ τὰ μὲν μεγάλα τῶν ἑλκῶν ἐπὶ μᾶλλον ξηραίνουσι θεραπεύσεις φαρμάκοις, εἴ τι τῶν ἔμπροσθεν εἰρημένων μέμνησαι· τὰ δὲ σμικρὰ καὶ τὸ μετρίως ξηραῖνον αὐτάρκως ἰάσεται. τὰ δ᾽ εἰς βάθος διήκοντα πάντως μὲν ἤδη καὶ μεγάλα, δεῖται δὲ τῆς ἐκ δυοῖν ἀρχῶν ἐπιδέσεως καὶ τοῦ μὴ προπετῶς κολληθῆναι τὰ χείλη· τὰ δ᾽ εἰς βάθος τε καὶ μῆκος ἐπὶ πολὺ προήκοντα διχῇ τ᾽ ἂν εἴη μεγάλα καὶ διττὴν ἔχει τὸν ἔνδειξιν, ὡς καὶ τῶν πάνυ ξηραινόντων δεῖσθαι φαρμάκων, καὶ μὴ συνάγεσθαι προπετῶς τὰ χείλη

ad proprias ulcerum differentias eft redeundum ac de ipfo feu transverfum fit, feu rectum et profundum, feu fuperficiarium et parvum, feu magnum, definiendum. Transverfa namque ulcera eo quod labra eorum magis diffideant abfintque a fefe, conjungi diligentius poftulant, ideoque tum futuris tum fibulis in his utendum. Quae vero per longitudinem musculorum funt facta, haec fi a duplici initio deliges, nec futuris nec fibulis egebis. Sin aliter deligare placebit, vel fibulis vel futuris utere, fufficient autem paucilfimae omnino futurae. Et magna quidem ulcera fi recte ea quae prius dicta funt meminifti, iis quae valentius ficcent medicamentis curabis, parva vero vel quae moderate ficcent abunde fanabuntur. Profunda vero ulcera omnino etiam magna funt, voluntque tum a duobus initiis deligari, tum vero nec labra fua praepropere glutinari; at quae profunda multum longaque funt, ut duplici ratione funt magna, fic duplicem quoque indicationem praeftant; itaque et quae valenter ficcent medicamenta poftu-

Ed. Chart. X. [78.] Ed. Baf. IV. (71.)

καὶ ἐκ δυοῖν ἀρχῶν ἐπιδεῖσθαι καὶ ῥάπτεσθαι διὰ βάθους. οὕτω δὲ κἂν εἰ πολλὰς ἐπιπεπλεγμένας ἴδοις διαφορὰς, ἑκάστην ἰδίαν ἔνδειξιν ἔχουσαν, εἰ μὲν μὴ μάχοιντο, πάσαις χρῆσθαι κράτιστον· εἰ δέ πη καὶ διαφέροιντο, πῶς χρὴ διορίζεσθαι περὶ τῶν τοιούτων εἴρηται μέν που κἂν τοῖς ἔμπροσθεν, εἰρήσεται δὲ κἂν τοῖς ἐφεξῆς ἐπιπλέον. ἤδη γάρ μοι καιρὸς εἶναι δοκεῖ καταπάνειν ἐνταυθοῖ τὸ τρίτον τῶνδε τῶν ὑπομνημάτων. ἐν δὲ τῷ μετ' αὐτὸ τετάρτῳ περὶ τῶν ἅμα τοῖς ἕλκεσιν ὡς τὸ πολὺ γινομένων διαθέσεων ὁ λόγος ἡμῖν ἔσται. συναναγράψομεν δ' αὐταῖς καὶ τὰς τῶν προηγουμένων αἰτίων θεραπείας.

lant et ne immature labra conjungas et ut a duobus initii deliges et ut altis futuris confuas. Ad eundem modum et fi multae fimul differentiae coierint, quarum fua cuique fit indicatio, fi quidem inter fe minime pugnent, omnibus uti maxime expedit; fin aliquatenus fecum pugnent quemadmodum diftinguere de talibus oportebit, dictum quidem alicubi in praecedentibus eft, locupletius tamen dicetur in fequentibus. Nunc enim finiendus hoc loco tertius hic liber videtur. In quarto qui fequetur de iis affectibus qui ulcera comitari plurimum folent disceptatio erit. Tradentur autem cum his etiam antecedentium caufarum curationes.

# ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ Δ.

Ed. Chart. X. [79.] Ed. Baf. IV. (71.)

Κεφ. α'. Ἕν τι γένος ἦν νόσου καὶ ἡ τῆς συνεχείας λύσις, ἐν ἅπασι μὲν τοῦ ζώου τοῖς μέρεσι γινομένη, προσαγορευομένη δ' οὐχ ὡσαύτως ἐν ἅπασιν. ἕλκος μὲν γὰρ ἐν σαρκώδει μορίῳ, κάταγμα δ' ἐν ὀστῷ, σπάσμα δ' ἐν νεύρῳ καλεῖται. τούτου δὲ τοῦ γένους ἐστὶ καὶ τὸ ἀπόσπασμα καὶ τὸ ῥῆγμα καὶ τὸ θλάσμα, τὸ μὲν ἐν συνδέσμῳ γινόμενον, τὰ δ' ἐν ἀγγείοις τε καὶ μυσὶν ἐκ βιαίας πληγῆς ἢ καταπτώσεως ἤ τινος ἑτέρας ἰσχυρᾶς κινήσεως. ἡ δ' ἐκχύμωσις ὡς τὰ πολλὰ μὲν ἅμα τῷ θλασθῆναί τε καὶ ῥαγῆναι γίνεται, συμπίπτει δὲ

# GALENI METHODI MEDENDI LIBER IV.

Cap. I. Unum quoddam eft genus morbi ipfa continuitatis folutio, quae licet omnibus animalis partibus incidat, non tamen unum nomen in omnibus fortitur. Nam quae in carnofa parte ulcus, in offe fractura, in nervo evulfio vocatur. Ejusdem generis funt et avulfio et ruptura et contufio; illud in ligamentis fit, haec in vafis musculisque ex violento ictu vel gravi cafu vel alio quodam valente motu. Quae vero ecchymofis ut plurimum una cum contufione ruptioneque incidit. Accidit autem ali-

ποτε καὶ κατὰ ἀναστόμωσιν ἀγγείων καὶ τὴν καλουμένην ὑπό τινων διαπήδησιν, ἕτερόν τι γένος συνεχείας λύσεως ὑπάρχουσαν τηνικαῦτα. καὶ μὴν καὶ κατὰ ἀνάβρωσιν ἐνίοτε διαφθείρεται τὸ συνεχὲς ἐν τοῖς τοῦ ζώου μέρεσιν· ἀλλ᾽ ἤδη μικτὴ διάθεσις τοῦτο· συνεφάπτεται γὰρ ἑτέρου γένους νοσήματος, ὑπὸ τὸ ποσὸν τῶν μορίων πεπτωκότος· ὥσπερ ἐπὶ τῶν κοίλων ἑλκῶν ἔμπροσθεν ἐδείκνυμεν. ἔστι γὰρ οὖν καὶ αὐτῶν τούτων ἡ γένεσις διττὴ, ποτὲ μὲν ἐκ περιαιρέσεως ἀποτελουμένη, ποτὲ δὲ ἐξ ἀναβρώσεως· ἀλλ᾽ ἡ μὲν περιαίρεσις ὅπως γίνεται πρόδηλον· ἡ δὲ ἀνάβρωσις εἰ μὲν ἔνδοθεν ἐξ αὐτοῦ τοῦ ζώου τὴν γένεσιν ἔχει, χυμῶν ἐστι μοχθηρῶν ἔγγονος· εἰ δὲ ἔξωθεν, ἐπὶ φαρμάκοις ἢ πυρὶ συνίσταται. καὶ [80] δὴ καὶ προσέχειν χρὴ τὸν νοῦν, ὥσπερ καὶ πρόσθεν ἐλέγετο, καὶ διορίζεσθαι τὰς ἁπλᾶς διαθέσεις τῶν ἐπιπεπλεγμένων· ἁπλῆν μὲν γὰρ ἐφ᾽ ἁπλῷ νοσήματι καὶ τὴν θεραπείαν, οὐχ ἁπλῆν δὲ ἐπὶ συνθέτῳ ποιεῖσθαι προσῆκον. ἥτις μὲν οὖν ἐστι μέθοδος ἐπὶ ταῖς τῶν συνθέτων ἰάσεσιν ἔμπροσθεν εἴρηται. χρὴ δ᾽ οὐ τὸ καθόλου μόνον αὐτῆς ἐκμαθεῖν, ἀλλὰ κἀν τοῖς

quando et ex oris vaſorum apertione, *quam anaſtomoſin vocant*, et ex ea, quae a nonnullis diapedeſis dicitur, quae aliud quoddam hic ſolutae continuitatis genus eſt. Atque etiam ex eroſione, *quam anabroſin vocant*, ſolvitur interdum in animalis partibus continuitas; verum is jam mixtus affectus eſt, ut qui aliud quoddam morbi genus adſciſcat quod in quantitate partium conſiſtit, veluti ſupra cum de cavis ulceribus egimus eſt monſtratum. Eſt enim horum ipſorum duplex ortus alias ab exciſione, ſaepe ab eroſione proveniens; verum exciſio quo pacto eveniat non latet, eroſio ſi intrinſecus ab ipſo animali provenit, vitioſi ſicci ſoboles eſt, ſin extrinſecus, aut a valentibus medicamentis ſit aut ab igne. Et ſane, ut dictum ſupra eſt, diligenter mentem attendere oportet et ſimplices affectus a compoſitis diſcernere; quum ſimplici morbo ſimplex adhibenda curatio ſit, compoſito non ſimplex; at quaenam in compoſitis curandis tenenda methodus ſit ſupra eſt dictum. Caeterum non tantum generalitatem ejus didiciſſe, ſed etiam in ſingulis ejus

κατὰ μέρος γεγυμνάσθαι. καὶ γὰρ οὖν κἀν τούτοις ἑτέρων ἐστὶ χρεία μεθόδων πολλῶν ὡς ἂν εἴποι τις μερικῶν· ἐφ᾽ ἑκάστου γὰρ εἴδους νοσήματος ἴδιον εἶδός ἐστι μεθόδου. πάλιν οὖν ὅσον ὑπόλοιπόν ἐστι τῆς τῶν ἑλκῶν ἰάσεως, ἐν τῷδε τῷ γράμματι λεγέσθω τὴν ἀρχὴν ἡμῖν ἐνθένδε ποιησαμένοις. ἕλκος ἅπαν ἤτοι μόνον ἐστὶν αὐτὸ καθ᾽ ἑαυτὸ, μήτε συνεισβαλούσης αὐτῷ διαθέσεως ἑτέρας μήτε προηγησαμένης μήτε ἀκολουθησάσης, ἢ μετά τινος ἑτέρας ἤτοι μιᾶς ἢ καὶ πλειόνων συνίσταται. καὶ τούτων τῶν διαθέσεων ἔνιαι μὲν οὐ μόνον εὐθὺς ἐξ ἀρχῆς ἐποιήσαντο ἕλκος, ἀλλὰ καὶ νῦν ἔτι καὶ μεῖζον ἐργάζονται· τινὲς δὲ τὸν ὧν οὐκ ἄνευ λόγον ἔχουσιν ὡς πρὸς τὴν ἴασιν· ἀλλὰ περὶ μὲν τούτων εἴρηται πρόσθεν, ὑπὲρ δὲ τῶν μεῖζον ἐργαζομένων τὸ ἕλκος ἐν τῷδε λεχθήσεται. διττὸς μὲν οὖν ὁ ἐπ᾽ αὐτῶν σκοπὸς, ἢ ἐκκόψαι τελείως ἐκ τοῦ σώματος τὰς τοιαύτας διαθέσεις, ἢ νικῆσαι τὴν ἀπ᾽ αὐτῶν βλάβην. ἀλλὰ τοῦτο μὲν ἐπειδὰν σμικρὰ παντελῶς ἡ διάθεσις ὑπάρχῃ, δυνατὸν ἐργάσασθαι· μεγάλης δ᾽ οὔσης τὸ ἕλκος εἰς οὐλὴν ἀγαγεῖν οὐκ ἐνδέχεται, πρὶν ἐκείνην ἰάσα-

partibus exercitatum esse oportet, quum in his quoque aliis non paucis methodis, ut ita dixerim, particularibus sit opus, propterea quod cuique morborum speciei sua sit methodi species; ergo quod reliquum est ulcerum curationis in hoc libro exequamur hinc sumpto initio. Omne ulcus aut solum est ipsumque per se, nullo nec cum eo simul invadente, nec ipsum praecedente aut sequente alio affectu, aut cum alio quopiam uno multisve consistit; ac eorum affectuum alii non modo statim ab initio ulcus excitarunt, sed etiam nunc majus efficiunt, alii ejus sine quo non ut ad curandi opus rationem obtinent; verum de his prius dictum est, at quae majus ulcus reddunt, de iis hoc volumine agetur. Duplex quidem in iis curationis scopus est, ut vel ejusmodi affectus e corpore prorsus eximas, vel laesionem quam inferunt vincas. Verum hoc ubi exiguus plane affectus est fieri licet; ubi magnus est, duci ad cicatricem ulcus prius non poterit quam illi affectui remedium attuleris. Ergo qui-

σθαι. τίνες οὖν αἱ τοιαῦται διαθέσεις καὶ πόσαι σκεπτέον ἡμῖν ἀκριβῶς ἐνθένδε ποθὲν ἀρξαμένοις ὅθεν κἀν τοῖς ἔμπροσθεν ἠρξάμεθα. πᾶν ἕλκος, εἴτε μετὰ κοιλότητος εἴτε καὶ μόνον ὑπάρχει, τῆς θ᾽ ὑποκειμένης σαρκὸς δεῖται κατὰ φύσιν ἐχούσης καὶ μηδενὸς μεταξὺ παρεμπίπτοντος εἰς τὰ κολληθησόμενα χείλη, καθάπερ πολλάκις γίνεται, τρίχα καὶ ψάμμον καὶ ῥύπον, ἔλαιόν τε καί τι τοιοῦτον ἕτερον ἐμποδίσαι τὴν κόλλησιν, ἀλλὰ ταῦτα μὲν οἷον συμπτώματά τινα τῶν ἑλκῶν ἐστι, κωλῦσαι μὲν ὁπότε παρείη τὴν ἴασιν δυνάμενα, ποιῆσαι δ᾽, εἰ μὴ παρείη, μὴ δυνάμενα. τῆς δ᾽ ὑποκειμένης σαρκὸς ἡ διάθεσις αἰτίας λόγον ἔχει πρὸς τὸ γινόμενον· ἐξ αὐτῆς γὰρ καὶ διὰ αὐτὴν ἥ τε κόλλησις τῶν διεστώτων καὶ ἡ σάρκωσις τῶν κοίλων γίνεται. χρὴ τοίνυν ταύτην ἀκριβῶς κατὰ φύσιν ἔχειν, ἵν᾽ ἑκάτερον ἐκείνων ἀμέμπτως ἐπιτελῆται· τὸ καλῶς δ᾽ ἔχειν αὐτὴν κατὰ τὴν οἰκείαν ὑπάρχει κρᾶσιν, ὥσπερ καὶ τοῖς ἄλλοις ἅπασιν. εὔκρατον μὲν οὖν ἀκριβῶς εἶναι προσήκει τὴν ὑποκειμένην σάρκα πρὸς κόλλησίν τε καὶ σάρκωσιν ἑλκῶν. ἆρ᾽ οὖν ἀρκεῖ τοῦτο μόνον,

nam et quot numero ejusmodi affectus sint diligenter nobis considerandum est, inde nimirum sumpto initio unde supra est coeptum. Omne ulcus sive solum sit, sive una cum cavitate et subjectam sibi carnem secundum naturam habere postulat et ne quid inter oras conglutinandas intersit, quemadmodum saepe fit, ita ut pilus, arena, sordes, oleum, aliudve id genus glutinationem prohibeat, caeterum haec ceu symptomata quaedam ulcerum sunt, et quae morari sanationem, si sint, possunt, efficere, si non sint, non possunt. Subjectae vero carnis affectus causae rationem obtinet ad id quod efficitur, quippe ex hac et per hanc tum quae dissident glutinantur tum quae cava sunt carne implentur. Ea ergo plane secundum naturam se habeat oportet, quo haec utraque citra laesionem perficiantur; atque ea recte quidem se habuerit, si id quod reliquis etiam omnibus est commune et proprium temperamentum tueatur. Itaque temperatam esse subjectam carnem ad ulcera tum glutinanda tum carne implenda prorsus oportet. Numquid igitur hoc tantum satis est? an etiam

ἢ καὶ τὸ ἐπιῤῥέον αἷμα χρηστὸν καὶ σύμμετρον εἶναι χρή; ἐμοὶ μὲν καὶ τοῦτο παντὸς μᾶλλον ἀληθὲς εἶναι δοκεῖ· τό τε γὰρ διεφθαρμένον αἷμα τοσοῦτον ἀποδεῖ πρὸς κόλλησιν ἢ γένεσιν σαρκὸς ἐπιτήδειον ὑπάρχειν, ὥστ᾽ αὐτὸ πολλάκις ἀναβιβρώσκειν καὶ ἑλκοῦν τὸ σῶμα· τό τε πολὺ πλάδον ἐν τοῖς (72) ἡλκωμένοις περιττὸν ἐργαζόμενον ἐμποδὼν ἵσταται ταῖς ἰάσεσιν, ὥς που καὶ πρόσθεν ἐδείκνυτο. καὶ τρεῖς οὗτοι τρόποι τῶν δυσιάτων ἑλκῶν ἐοίκασιν ὑπάρχειν· ὅ τ᾽ ἐκ τῆς δυσκρασίας τῆς ὑποκειμένης σαρκὸς καὶ ὁ ἐκ τῆς μοχθηρίας τοῦ τ᾽ ἐπιῤῥέοντος αἵματος, καὶ τρίτος ὁ ἐκ τῆς ποσότητος. ἢ οὐχ ὧδε χρὴ τὴν διαίρεσιν, ἀλλ᾽ ὡδὶ ποιήσασθαι μᾶλλον; ὡς τῶν δυσιάτων ἑλκῶν τὰ μὲν διὰ τὴν δυσκρασίαν τῆς ἡλκωμένης σαρκὸς, τὰ δὲ διὰ τὸν ἐπιῤῥέοντα χυμὸν γίνεται τοιαῦτα· καὶ ὡς τῆς μὲν δυσκρασίας δύο ἔστωσαν διαφοραὶ, ποτὲ μὲν ταῖς ποιότησι μόναις [81] οὐ κατὰ φύσιν ἐχούσης τῆς ὑποκειμένης σαρκὸς, ἐνίοτε δὲ καὶ μετ᾽ ὄγκου τινὸς ἐπικτήτου. τῆς δ᾽ ἐπιῤῥοῆς ἕτεραι δύο, τό τε ποσὸν καὶ τὸ ποιὸν τῶν ἐπιῤῥεόντων χυμῶν· ἐνίοτε δὲ καὶ μίγνυσθαι συμ-

fanguinem qui affluit et bonum et commoderatum effe oportet? Mihi id quoque multo maxime verum effe videtur; nam et qui corruptus fanguis eft tantum abeft ut ad glutinandum et carne implendum fit utilis, ut etiam ipfe nonnunquam corpus erodat atque exculceret, et multus humor, quum in ulceribus excrementa creet, fanationem, ceu prius diximus, moratur. Atque hi tres aegre fanabilium ulcerum modi effe videntur, qui ex intemperie fubjectae provenit carnis, qui ex vitio affluentis fit fanguinis, et tertius qui ex menfura confluentis nascitur At non ita facienda divifio eft, fed fic potius; nempe aegre fanabilium *rebelliumque* ulcerum alia propter ulceratae carnis intemperiem, alia ob affluentem humorem talia fieri, tum intemperiem rurfus ipfam bifariam diduci, quum alias in qualitate fola naturae modum egreffa fubdita caro fit, alias etiam cum accefforio quopiam tumore. Iam ipfum confluxum bipartito etiam fcindi, nempe in confluentis fucci tum qualitatem tum quantitatem. Interdum vero mifceri dictorum af-

βέβηκέ τινας τῶν εἰρημένων διαθέσεων, ἢ καὶ πάσας ἅμα. χρὴ δ' οὐ πασῶν δήπουθεν ἅμα λέγεσθαι τὴν μέθοδον τῆς ἰάσεως, ἀλλ' ἑκάστης ἰδίᾳ.

Κεφ. β'. Τῆς μὲν οὖν σαρκὸς αὐτῆς ἰάσῃ τὴν δυσκρασίαν, εἰ μὲν αὐχμώδης καὶ ξηρὰ φαίνοιτο, τέγγων εὐκράτῳ πολλάκις ὕδατι. καθ' ἑκάστην δὲ χρῆσιν ὁ σκοπὸς ἔστω σοι τῆς καταντλήσεως, ὅταν πρῶτον εἰς ἔρευθός τε καὶ ὄγκον αἴρηται τὸ μόριον, ἀφίστασθαι τηνικαῦτα· διαφορήσεις γὰρ ὃ εἵλκυσας καταιονῶν ἐπιπλέον· ὥστ' οὐδὲν ἔσταί σοι πλέον. ἀλλὰ καὶ τῶν φαρμάκων ἡ δύναμις ὑγροτέρα τις ἔστω τῆς ἔμπροσθεν ἐπὶ τῆς ὑγιοῦς σαρκὸς παρῃνημένης· εἰ δ' ὑγροτέρα τοῦ κατὰ φύσιν ἡ σὰρξ φαίνοιτο, τὰ ἐναντία ποιητέον, ἐπιτείνοντα μὲν τῶν φαρμάκων τὴν δύναμιν ἐπὶ τὸ ξηρότερον, ὕδατι δὲ μηδ' ὅλως χρώμενον· ἀλλ' εἰ καὶ ἀποπλῦναι δέοι τὸ ἕλκος, οἶνος, ἢ ὀξύκρατον, ἢ ἀφέψημα πόας αὐστηρᾶς παρασκευαζέσθω. κατὰ ταὐτὰ δὲ τὴν μὲν θερμοτέραν τοῦ δέοντος σάρκα ψυκτέον, τὴν δὲ ψυχροτέραν θερμαντέον. ἔσται δὲ ἑκατέρα δήλη καὶ χροιᾷ καὶ ἁφῇ καὶ τῇ τοῦ κάμνοντος αἰσθή-

fectuum aut aliquos aut etiam pariter omnes. Porro tradenda eſt medendi methodus omnium ſimul, ſed cujusque ſeorſum.

Cap. II. Itaque carnis quidem intemperies ſi ſquallens ſiccaque videatur, *eam* aqua temperata *fovens* ac multoties humectans ſanabis. Quoties autem eo remedio uteris, eſto tibi *perfuſionis* humectationisque ſcopus, ut quum primum rubescit attolliturque partis moles, deſinas; quippe ſi ultra perſundas, quod attraxiſti id evocabis, itaque nihil profeceris. Quin etiam medicamentorum humectandi facultas plenior eſto quam ut in ſana carne praeceptum eſt. Si vero humidior quam pro naturali habitu caro fuerit, contraria ratio ineunda eſt, ac medicamentorum facultas ad ſiccius transferenda, aqua vero nullatenus admovenda, imo ſi lavandum ulcus videatur, vinum, aut poſca, aut decoctum auſterae cujusquam herbae praeparandum. Eodem modo et calidiorem quam par eſt carnis habitum refrigerabis et frigidiorem calefacies. Agnoſces vero horum

σιν· ποτὲ μὲν γὰρ πυρώσεως ὁμολογοῦσιν αἰσθάνεσθαι, ποτὲ δ᾽ ἐπιδήλου τινὸς ψύξεως κατὰ τὸ μόριον· καὶ χαίρουσιν ἢ τοῖς ψυχροῖς φαρμάκοις ἢ τοῖς θερμοῖς· καὶ τοῖς μὲν ἐρύθημα λεπτὸν ἐπανθεῖ, τοῖς δὲ ἐπὶ τὸ λευκότερον ἡ χροιά. ταυτὶ μὲν οὖν οὐ τῆς παρούσης ἐστὶ πραγματείας διορίζειν· οὐ γὰρ διαγνωστικὴν μέθοδον, ἀλλὰ θεραπευτικὴν ἐνεστησάμεθα· τῇ δὲ ἀκολουθίᾳ πως τοῦ λόγου συνεξέδραμεν· αὖθις οὖν ἐπανέλθωμεν ἐφ᾽ ἅπερ ἐξ ἀρχῆς προὐθέμεθα. τῶν σὺν ὄγκῳ τινὶ παρὰ φύσιν ἡλκωμένων μορίων ἰᾶσθαι χρὴ πρότερον τὸν ὄγκον· ἥτις δὲ τῶν παρὰ φύσιν ἐστὶν ὄγκων ἁπάντων ἴασις ἐν τοῖς ἑξῆς εἰρήσεται· νυνὶ δ᾽ ὅσον ἐξ αὐτῶν συνῆπται τῇ τῶν ἑλκῶν θεραπείᾳ ῥητέον. ἐπειδὰν τὰ χείλη μόνα τῶν ἑλκῶν ἐπὶ πλέον ἀχροίας ἢ σκληρότητος ἥκοι, περιτέμνειν αὐτὰ χρὴ μέχρι τῆς ὑγιοῦς σαρκός· ἐπειδὰν δὲ καὶ μέχρι πλέονος ἡ διάθεσις ἐκτείνηται, σκέψις ἐνταῦθα γίνεται πότερα περικοπτέον ἅπαν τὸ παρὰ φύσιν ἐστὶν, ἢ θεραπευτέον ἐν χρόνῳ. καὶ δῆλον ὡς καὶ τῇ τοῦ κάμνοντος εἰς τοῦτο προσ-

utrumque partim colore, partim tactu, partim laborantis fenfu; quippe uftionem fentire fe fatentur, alias manifeftum frigus in parte, gaudentque vel frigidis medicamentis vel calidis, et aliis quidem rubor levis infidet, aliis color magis albicat. Verum haec *diftinguere* praefentis propofiti operis non eft; non enim in eo dignoscendi, fed medendi methodum inftituimus; fed confequentia quadam fermonis invitante digreffi in hanc fumus; rurfus igitur ad ea quae propofuimus revertamur. Partium quae cum aliquo praeter naturam tumore exulceratae funt, earum prius fanandus tumor eft; quae vero omnis praeter naturam tumoris curandi ratio fit in fequentibus dicetur; nunc quantum ejus rei conjunctum cum ulcerum curatione eft tractabitur. Quum labra tantum ulceris decolorata durave plusculum fuerint, excidenda ea funt ad fanam usque carnem; quum vero amplius progreffus ejusmodi affectus eft, deliberatio incidit excidendumne omne id quod praeter naturam eft, an fpatio potius curandum. Proculque dubio eft aegri ani-

χρῆσθαι δεῖ προθυμίᾳ· τινὲς μὲν γὰρ ἐν χρόνῳ πλείονι θεραπεύεσθαι βούλονται χωρὶς τομῆς· ἔνιοι δὲ πᾶν ὁτιοῦν ὑπομένειν εἰσὶν ἕτοιμοι τοῦ θᾶττον ὑγιᾶναι χάριν. οὕτω δὲ κἀπὶ τῶν ἐπιῤῥεόντων τοῖς ἡλκωμένοις μέρεσι μοχθηρῶν χυμῶν ἡ μὲν ὡς ἡλκωμένων ἴασις ἐν τῷδε λελέξεται, ἡ δ᾽ ὡς κακοχυμίας ἢ πλήθους ἐν τοῖς ἰδίοις ἐκείνων λογισμοῖς. ὅταν οὖν ὀλίγῳ τε πλείω καὶ μὴ πολλῷ φαυλότερος ᾖ τοῦ κατὰ φύσιν ὁ ἐπιῤῥέων τοῖς ἡλκωμένοις χυμὸς, ἀποτρέπειν αὐτὸν καὶ ἀναστέλλειν προσήκει, στύφοντά τε καὶ ψύχοντα τὰ πρὸ τῶν ἡλκωμένων χωρία. χρὴ δὲ καὶ τὴν ἐπίδεσιν ἄρχεσθαι μὲν ἀπὸ τοῦ πεπονθότος, ἐπινέμεσθαι δὲ ἐπὶ τὸ ὑγιὲς, ὡς ἐν τοῖς κατάγμασιν ἐκέλευσεν ὁ Ἱππο[82]κράτης. ἀλλὰ καὶ τὰ τοῖς ἕλκεσιν αὐτοῖς προσαγόμενα φάρμακα ξηραντικώτερα τῶν τοῖς ἁπλοῖς ἕλκεσι προσαγομένων ὑπαρχέτω. μὴ δυναμένης δὲ ὑπὸ φαρμάκων κρατηθῆναι τῆς ἐπιῤῥοῆς, τὴν αἰτίαν αὐτῆς ἐπισκεψάμενον, ἐκείνην ἐκκόπτειν πρότερον. εἰ μὲν οὖν δι᾽ ἀτονίαν τινὰ τοῦ δεχομένου τὸ ῥεῦμα μορίου τοῦτο συμβαίνει, ταύτην ἰατέον· εἴη δ᾽ ἂν ἔτι τοῦτο τῶν ἡλκωμένων

mum hoc cafu confulendum effe, aliqui enim longiore tempore curari citra fectionem malunt, aliqui quidvis fubire, dummodo citius fanentur, funt parati. Ita vero et mali fucci, qui ad exulceratam partem confluit, ut ulcerans quidem eft, fanatio ejus hic dicetur, ut malignus fuccus eft aut copia redundans, in propriis ipforum locis *tractabitur*. Quum ergo qui exulceratis partibus praeter naturam influit fuccus, nec multo plus jufto, nec multo deterior fit, averti hunc reprimique conveniet, adftrictis fcilicet refrigeratisque iis partibus, quae ante exulceratam funt. Inchoanda quoque deligatio eft a laborante ipfa parte deducendaque verfus fanam, ut in fracturis offium praecepit Hippocrates. Sed et quae ulceribus ipfis admoventur medicamenta ficcent valentius oportet quam ea quae fimplici admoventur ulceri. Quod fi fifti *compefcique* medicamentis influxus nequeat, caufa ejus inveftiganda eft atque haec prius adimenda. Ac fiquidem ob partis fluxum recipientis imbecillitatem aliquam id fiat, huic medendum eft; fuerit autem haec ulceratae quo-

μορίων οἰκεία τις ἴασις· εἰ δὲ διὰ πλῆθος ἢ κακοχυμίαν ἤτοι παντὸς τοῦ σώματος ἢ τινος τῶν ὑπερκειμένων μορίων, ἐκεῖνα πρότερον ἐπανορθωτέον. ἡ μὲν οὖν ἀτονία τοῦ μέρους, δι᾽ ἣν ἐπ᾽ αὐτὸ πλείους τοῦ δέοντος ἀφικνοῦνται χυμοὶ, πάντως μὲν ἐπὶ δυσκρασίᾳ γίνεται, οὐ μὴν ἁπάσῃ γε ἕπεται ἀτονία δυσκρασίᾳ· καὶ διὰ τοῦτο πολλάκις μὲν αὐτὸ τοῦτο μόνον ἡ ἡλκωμένη σὰρξ δύσκρατός ἐστιν, οὐ μὴν καὶ ἄτονος· ἐνίοτε δ᾽ ἄμφω, δύσκρατός τε ἅμα καὶ ἄῤῥωστος· αἱ γὰρ ἐπιπλέον ἐκτροπαὶ τῆς δυσκρασίας ἀτονίας εἰσὶν αἰτίαι τοῖς πεπονθόσιν. ἰατέον δὲ ταύτας, ὡς καὶ πρόσθεν εἴρηται, τὰς μὲν θερμὰς ψύχοντα, τὰς δὲ ξηρὰς ὑγραίνοντα, καὶ τὰς μὲν ψυχρὰς θερμαίνοντα, τὰς δὲ ὑγρὰς ξηραίνοντα· καὶ δὴ καὶ κατὰ συζυγίαν εἰ ψυχρότερός τε ἅμα καὶ ὑγρότερος ὁ τόπος εἴη, θερμαίνοντά τε καὶ ξηραίνοντα· κἀπὶ τῶν ἄλλων ὡσαύτως, ἀεὶ ταῖς κρατούσαις ποιότησι τὰς ἐναντίας προσάγοντα. λογισμὸς δὲ τούτου τοιόσδε τὸ κατωρθωμένον ἅπαν οὐκ ἐν ζώοις μόνον ἢ φυτοῖς, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι σύμμετρόν τί ἐστι καὶ μέσον ἁπάντων τῶν διημαρτημένων· ὅτου

que partis propria quaedam curatio; ſin propter ſanguinis copiam vitioſumve ſuccum, vel corporis totius vel alicujus ſupra poſitarum partium, illa prius ſunt corrigenda. Ac imbecillitas quidem partis, propter quam plus juſto ſuccorum illi influit, omnino ab intemperie provenit, non tamen omnem intemperiem ſequitur imbecillitas, eoque fit ut exulcerata caro nonnunquam intemperata tantum ſit, non autem imbecilla, nonnunquam utrumque, et intemperata et imbecilla; quippe imbecillitatis affectae partis valentior intemperiei depravatio cauſa eſt. Hanc autem ſicut prius dictum eſt, curabis utique calidam refrigerando, ſiccam *humectando*, frigidam calefaciendo, humidam ſiccando; quod ſi per conjugationem frigidior pariter humidiorque locus ſit, calefaciendo pariter ac ſiccando, et in aliis ad eundem modum vincentem qualitatem contraria ſemper oppugnando. Hujus rei ratio haec eſt; quicquid rectum eſt, non in animalibus modo plantisve, verum etiam aliis omnibus, id commoderatum eſt, mediumque et omnis vitioſi exceſſus expers;

γὰρ ἂν μήτ' ἀφελεῖν ἔστιν μήτε προσθεῖναι μηδὲν ἢ μόριον ἢ ποιότητα πάντη τοῦτ' ἀμέμπτως ἔχει· τὸ δ' ἀφαιρέσεως τινὸς ἢ προσθήκης χρῇζον ἐκπέπτωκε μὲν ἤδη τῆς ἀρίστης κατασκευῆς, ἐπανελθεῖν δ' αὐτὴν ἑτέρως ἀμήχανον αὐτῷ χωρὶς τοῦ τὸ μὲν περιττὸν ἀφελεῖν, τὸ δὲ ἐλλεῖπον προσθεῖναι. περὶ μὲν δὴ τῶν μορίοις τισὶν ἐλλειπόντων ἢ πλεοναζόντων ἕτερος λόγος· ἐν οἷς δὲ ἐπικρατεῖ τις ποιότης, εὐθὺς μὲν ἐνταῦθα νενικῆσθαι τὴν ἐναντίαν ἀναγκαῖον, εὐθὺς δὲ καὶ τὴν ἐπανόρθωσιν ἐκ τῆς τέως κεκρατημένης, αὖθις ἀντεισαγομένης ἀνάγκη γίνεσθαι. ψύχων γὰρ τὸ τεθερμασμένον ἅμα μὲν ἀντεισάξεις τὸ λοιπὸν, ἅμα δὲ καὶ καθαρεῖς τὸ πλεονάζον. ὥστε ἀνάγκη πᾶσα τῶν κατὰ δυσκρασίαν τινὰ τοῦ κατὰ φύσιν ἐξεστηκότων τὴν ἴασιν γίνεσθαι διὰ τῶν ἐναντίων τῇ δυνάμει· οὕτω μὲν ἡ δι' ἀτονίαν ὑπὸ ῥεύματος ἐνοχλουμένη σὰρξ, ἤ τι μόριον ἕτερον σαρκῶδες· ἐπειδὰν τὴν τῆς δυσκρασίας πρότερον ἰαθῇ διάθεσιν, ἐφεξῆς δηλονότι καὶ τὴν τῆς ἑλκώσεως ἰαθήσεται, οὐκ ἄλλως μὲν νῦν θεραπευθεῖσα

cui nec demere quicquam, nec adjicere non partem aliquam, non qualitatem poffis, prorfus id recte ac *citra noxam* fe habet: contra quod demi fibi aliquid adjicive poftulat, id jam ab optimo ftatu receffit, ad quem utique redire aliter non eft nifi et quod fupervacuum eft tollatur et quod deficiens eft adjiciatur. Ac de iis quidem quibus partes quaepiam abundant deficiuntve alibi fermo erit; ubi vero qualitas aliqua plus jufto invaluit, ibi et continuo vinci contrariam illi neceffe et continuo vitium corrigi ex ea quae victa ante eft reftituenda. Quippe refrigerans quod immodice incaluit una et quod deficit reftitues, et quod fuperat diminues. Quare quae per intemperiem aliquam a naturali ftatu recefferunt, eorum fanationem per ea quae contraria viribus funt fieri omnino eft neceffe, atque ad hunc modum caro aliave carnofa quaepiam pars quae fluxione humoris ob imbecillitatem affligitur fanari debebit; ubi intemperiei affectum prius fanaveris, deinde etiam exulcerationis affectum fanabis, non aliter plane nunc curata intemperie

τὴν δυσκρασίαν, ἄλλως δ' εἰ χωρὶς ἕλκους ἐπεπόνθει. ᾧ καὶ δῆλον ὡς οὐχ ἕλκους ἐστὶν, ἀλλὰ δυσκρασίας ἴδιος ἡ τοιαύτη πᾶσα θεραπεία. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ δι' ἕτερόν τι μόριον ἢ καὶ τὸ σύμπαν σῶμα πληθωρικὸν ἢ κακόχυμον ὑπάρχον ἐπιῤῥέον τι τοῖς ἡλκωμένοις μέρεσι μοχθηρὸν ἰᾶσασθαι χρὴ πρότερον ἢ τὸ τοῦ ῥεύματος αἴτιον ἢ καὶ τὸ σύμπαν σῶμα. κατὰ τοῦτ' οὖν καὶ κιρσοὺς πολλάκις ὑπερκειμένους τῶν ἡλκωμένων μορίων ἰασώμεθα πρότερον, ἵν' ἐφεξῆς ἰασώμεθα τὸ ἕλκος, καὶ τῶν σπληνωδῶν τὸν σπλῆνα καὶ τῶν ἄλλό τι μόριον ἐπίσημον πεπονθότων ἐκεῖνο πρότερον ἐκθεραπεύσαντες, οὕτως (73) ἐπὶ τὴν τῶν ἑλκῶν ἴασιν ἀφικόμεθα. ἀλλ' οὐδεμία τῶν ἰάσεων τούτων αὐτοῦ τοῦ ἕλκους ἐστὶν, ἀλλά τινος ἑτέρας διαθέσεως ἤτοι γεννώσης ἢ αὐξανούσης τὸ ἕλκος.

*Κεφ. γ'.* [83] Καὶ γὰρ αὖ καὶ τοῦτο καιρὸς διορίσασθαι ἤδη, τὸ μηδὲν τῶν προκαταρξάντων τῆς διαθέσεως αἰτίων ἐνδείκνυσθαι τὴν θεραπείαν, ἀλλὰ τὴν μὲν ταύτης ἔνδειξιν ἀπ' αὐτῆς ἄρχεσθαι τῆς διαθέσεως, ἐξευρίσκεσθαι δὲ

quam fi citra ulcus incidiffet. Quo manifeftum fit non effe ulceris, fed intemperiei propriam omnem ejusmodi curationem. Ad eundem modum fi aut alterius cujuslibet partis occafione, aut etiam totius corporis plethorici, aut cacochymi exiftentis vitiofum aliquid exulceratis partibus influxerit, medendum prius eft vel ei, quod fluxionis eft caufa, vel etiam toti corpori. Ita igitur et varices qui faepe fupra exulceratum locum funt prius fanabimus, ut deinde mox ulcus fanemus; etiam qui ex liene aut alia quavis notabili parte laborant, ipfa prius parte percurata mox ad ulceris curationem accedemus. Caeterum nulla harum curationum ipfius eft ulceris, fed alterius cujusquam affectus, qui ulcus vel gignit vel certe auget.

Cap. III. Nam illud quoque jam definiri tempeftivum *videtur*, nullam procatarcticarum *feu primitivarum* caufarum curationis indicatricem effe, fed hujus indicationem ab ipfo affectu initium habere, quae vero particulatim

Ed. Chart. X. [83.] Ed. Baf. IV. (75.)

τὰς κατὰ μέρος ἐνεργείας ἀπό τε τοῦ πρώτου σκοποῦ καὶ τῆς τοῦ πεπονθότος μορίου φύσεως καὶ τῆς τοῦ περιέχοντος κράσεως, ὅσα τε ἄλλα τούτοις ἐστὶν ὁμογενῆ. συνελόντι γὰρ εἰπεῖν ἀπ᾽ οὐδενὸς τῶν μηκέτι ὄντων ἔνδειξιν τοῦ συμφέροντος ἔνεστι λαβεῖν. ἀλλ᾽ ἐπεὶ πολλάκις εἰς διάγνωσιν τῆς διαθέσεως, ἀδήλου παντάπασιν ὑπαρχούσης καὶ τῷ λόγῳ καὶ ταῖς αἰσθήσεσιν, ἀναγκαζόμεθα πυνθάνεσθαι πέρὶ τοῦ προκατάρξαντος αἰτίου, δόκησις τοῖς πολλοῖς γίνεται κἀκεῖνο συνενδείκνυσθαι τὴν ἴασιν· τὸ δ᾽ οὐχ οὕτως ἔχει. μαθήσῃ δ᾽ ἐναργῶς ἐφ᾽ ὧν ἐγχωρεῖ ἀκριβῶς γνῶναι τὴν διάθεσιν. εἴτε γὰρ ἐκχύμωσις, εἴθ᾽ ἕλκος, εἴτε ἐρυσίπελας, εἴτε σηπεδὼν, εἴτε φλεγμονὴ κατά τι μέρος ὑπάρχει, περιττὸν ζητεῖν τὸ αἴτιον ποιῆσαν, εἰ μὴ καὶ νῦν ἔτι ποιεῖ· οὕτως γὰρ ἅμα τε τὸ γεγονὸς θεραπεύσομεν ἤδη ἅμα τε τὸ ποιοῦν ἔτι ποιεῖν διακωλύσομεν. εἰ δ᾽ ἐποίησε μὲν, ἀπηλλάγη δὲ, τὸ μὲν γεγονὸς ἰασόμεθα, τὸ δὲ οὐκέτι ὂν οὐδ᾽ ἂν ἐκκόπτειν προαιρώμεθα, δυνησόμεθα· τῶν μὲν γὰρ ὄντων αἱ θεραπεῖαι, τῶν δὲ ἔσεσθαι μελλόντων αἱ προφυλακαί· τὰ δὲ μήτ᾽ ὄντα μήτε βλάψαι

funt agenda, haec tum a primo fcopo, tum vero ab aegrae partis natura, tum ambientis temperie quaeque alia funt his cognata inveniri. Nam ut breviter dicam a nullo eorum, quae adhuc non permanent indicatio fumi ejus quod ex ufu fit poteft. Sed quoniam ad affectus dignotionem, qui omnino tum rationem tum fenfum lateat, faepe cogimur de externa caufa inquirere, opinatur vulgus hanc quoque fanationis rationem indicare, quod plane fecus eft. Apparet id liquido in iis quibus nosci affectus exacte poteft, five enim ecchymofis, five ulcus, five eryfipelas, five putredo, feu phlegmone in parte aliqua confiftat, fupervacuum eft caufam efficientem inquirere, nifi jam etiam faciat; fic enim fimul quod jam factum eft curabimus, fimul quod adhuc facit, facere inhibebimus. Si vero fecit illa quidem, caeterum jam abiit, utique quod factum eft curabimus; quod adhuc non eft, nec fi velimus, fubmovere id poffumus; rei namque praefentis eft curatio, ejus autem quod futurum eft praecautio, *feu praefervatio*; quod vero

προσδοκώμενα καὶ τοῦ θεραπευτικοῦ καὶ τοῦ προφυλακτικοῦ μέρους τῆς τέχνης ἐκπέπτωκεν. ὥστε οὔτε ἔνδειξις ἀπ' αὐτῶν ἐστιν εἰς θεραπείαν οὔτε προφυλακή τις, ἀλλ' ἡ μόνον, ὡς εἴρηται, πρὸς τὰς ἐκπιπτούσας τὴν ἡμετέραν ἐπίγνωσιν διαθέσεις ἡ γνῶσις τοῦ προκατάρξαντος αἰτίου χρησίμη, τοῖς δ' ἀπὸ τῆς ἐμπειρίας ἰατροῖς ὡς μέρος τῆς ὅλης συνδρομῆς, ἐφ' ᾗ τετηρήκασι τὴν θεραπείαν καὶ τὸ προκατάρξαν αἴτιον ἐνίοτε προλαμβάνεται, καθάπερ ἐπί τε τῶν λυττώντων κυνῶν καὶ τῶν ἰοβόλων ἁπάντων θηρίων, ἤδη δὲ καὶ τῶν δογματικῶν ἐκείνων, ὅσοι χωρὶς ἐνδείξεως λογικῆς ἀπὸ τῆς ἐμπειρίας μόνης ὁμολογοῦσι θεραπεύειν τὰ τοιαῦτα. καὶ γὰρ καὶ τούτοις ὡς ἓν μέρος τῆς ὅλης συνδρομῆς τὸ προκατάρξαν αἴτιον ζητεῖται, τοῖς δ' ἐκ μὲν τῆς ἔμπροσθεν πείρας ἐγνωκόσι τῶν ἰοβόλων θηρίων τὰς δυνάμεις, ἔνδειξιν δὲ θεραπείας ἀπ' αὐτῶν λαμβάνουσιν, οὐκ εἰς ἔνδειξιν ἰάσεως τὸ προκατάρξαν αἴτιον γνωσθὲν, ἀλλ' εἰς τὴν τῆς παρούσης διαθέσεως ἐπίγνωσιν συντελεῖ. φέρε γὰρ ἐπίστασθαι μὲν τὸν ἰὸν τοῦ σκορπίου ψυχρὸν εἶναι τῇ δυνάμει καὶ λαμβάνειν ὡς ἀπὸ ψυχροῦ

nec nunc laedit nec laefurum timetur, id ab utroque artis munere, tum eo quod curat tum eo quod praecavet, excessit. Quare neque indicatio ab hoc ad curationem ulla neque praefervationis ratio fumitur; fed uti dictum eft, ad eos tantum affectus qui noftram notitiam fugiunt externae caufae cognitio eft utilis; empiricis tamen ceu pars totius concurfus, in quo curationem obfervarunt, externa caufa interdum fumitur; veluti in iis qui a rabido cane et omnibus qui a venenofis beftiis funt laefi; quin etiam ex dogmaticorum quoque numero iis qui fine rationali indicatione fola experientia curare fe talia confirmant. Etenim his quoque externa caufa ceu pars totius concurfus quaeritur, iis vero qui ex priore ufu venenofarum animantium vim norunt atque ab hac indicationem curationis fumunt, non fane ad curationis indicationem conducit externa caufa cognita, fed ad praefentis affectus cognitionem. Nam pone fciam fcorpionis venenum frigida vi effe, fumamque veluti a fri-

τὴν τῆς ἰάσεως ἔνδειξιν, ἔχειν δὲ μηδὲν μή πω σημεῖον ὅτι τοιαύτη τις ἐν τῷδε τῷ σώματι διάθεσις ὑπάρχει, δῆλον γὰρ ὡς εἰ πυθοίμην ὅτι σκορπίος ὁ πλήξας, ἐκθερμαίνειν πειράσομαι τό τε σύμπαν σῶμα καὶ τὸ νενυγμένον ὑπ᾽ αὐτοῦ μόριον, οὐκ ἀναμείνας ἔτι τὴν πεῖραν, ἀλλ᾽ ἀπ᾽ αὐτῆς τοῦ πράγματος τῆς φύσεως λαβὼν τὴν ἔνδειξιν. ἐδείχθη γὰρ ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν, ἐν οἷς ἠξίωσα γεγυμνάσθαι πρότερον, ὅτῳ μέλλει τι καὶ τῶν νῦν λεγομένων ὄφελος ἔσεσθαι, μηδεμίαν ἄνευ πείρας εὑρίσκεσθαι δύναμιν· ἦν γὰρ ἂν δήπου μακάριον εἴ τις ἐκ τοῦ θεάσασθαι λιθάργυρον, ἢ καστόριον, ἢ κανθαρίδας εὐθέως ἐγίνωσκεν αὐτῶν τὰς δυνάμεις. ἀλλ᾽ ὥσπερ ἐν [84] ἅπασιν αἱ διαμαρτίαι τοῖς ὑπερβάλλουσι τοῦ μέτρου καὶ τοῖς ἐλλείπουσιν, οὕτω κἀνταῦθα γίνονται· καὶ δὶς διὰ πασῶν, οὐχ ἅπαξ, ὡς ἔοικεν ἀντᾴδουσιν ἀλλήλοις οἵ τε μηδέ πω καὶ τήμερον ὁμολογοῦντες ἐπίστασθαί γε τὰς δυνάμεις τῶν φαρμάκων ἐπὶ τοσαύτῃ πείρᾳ, οἵ τε καὶ πρὸς τῆς μιᾶς πείρας ἀξιοῦντες ἐπίστασθαι· καὶ γὰρ καὶ τοῦτο προπετὲς, εἰ χρὴ προπετὲς εἰπεῖν τὸ ἀδύνα-

gido remedii indicationem, nullo tamen ſigno intelligam talem eſſe in hoc corpore affectum, manifeſtum eſt, ſi ſcorpium percuſſiſſe didicero, quod caleſacere tum corpus totum tum punctam ab eo partem conabor, nulla amplius expectata experientia, ſed ab ipſa rei natura indicatione ſumpta. Monſtratum enim in iis libris eſt qui de medicamentis ſunt inſcripti, in quibus exercitatum eſſe cenſui quisquis ex his commentariis fructum percipiet, nullam ejusmodi facultatem ſine experientia inveniri; eſſet enim profecto felicitatis cujusdam munus, ſi quis inſpecto lithargyro aut caſtoreo aut cantharide protinus eorum vires intelligeret. Verum ſicut in omnibus peccata tum ab iis, qui modum excedunt tum qui citra conſiſtunt committuntur, ita nimirum hic quoque ac dis dia paſon, non ſemel, arbitror, inter ſe discordant et qui neque in hodiernum uſuque diem affirmant ſciri medicamentorum facultates, idque poſt tantam experientiam, et qui ex una experientia ſciri eas cenſent; nam et hoc praecipitanter inconſulteque dictum eſt,

τον, καὶ θάτερον ἢ τελέως ἀναισθήτων ἐστὶν ἢ φανερῶς ἐριζόντων. ἀλλὰ γὰρ, ὡς ἔφην, οὐ χρὴ νῦν περὶ τούτων ἀκούειν ποθεῖν, εἰρημένων ἐπὶ πλέον ἔν τε τῷ τρίτῳ τῶν περὶ κράσεων κἀν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν· ἀλλ' εἰς διάγνωσιν τῶν διαθέσεων ἔνια τῶν προκαταρξάντων αἰτίων συντελεῖ· ἔνθα δ' οὐδὲν λανθάνει τῆς παρούσης διαθέσεως, οἴχεται καὶ τοῦ προκατάρξαντος ἡ χρεία· εἴρηται μὲν οὖν μοι κἀν τοῖς ἔμπροσθεν ὡς οὐ δεῖ συνάπτειν ἐς ταὐτὸν ἀμφοτέρας τὰς διδασκαλίας, ἀλλ' ἰδίᾳ μὲν τὴν ἐμπειρικὴν, ἰδίᾳ δὲ ποιεῖσθαι τὴν λογικήν. ἀναμεμνήσθω δὲ κἀν νῦν ὡς ἐπειδὴ πρόκειται μόνην τὴν λογικὴν ἐν τοῖσδε τοῖς ὑπομνήμασι διελθεῖν, εἰ δὲ καὶ μὴ προσκέοιτό που περί τινος τῶν λεγομένων, ὡς οὐχ ἁπλῶς ἐστιν ἀληθὲς, ἀλλὰ μόνοις τοῖς κατὰ μέθοδον ἰατρεύουσιν, ἀκόλουθον αὐτῶν λογίζεσθαί τινα τοῦτο καὶ προστιθέναι παρ' ἑαυτοῦ. νυνὶ μὲν γὰρ ἡμεῖς προσεθήκαμεν ὡς οὐδὲν τῶν προκαταρξάντων αἰτίων εἰς ἔνδειξιν θεραπείας ἐστὶ χρήσιμον, ἀλλὰ εἰς διάγνωσιν ἐνίοτε

fi utique inconfultum eft quod fieri omnino non poteft, et aliud *hominum* eft aut omnino attonitorum aut plane litigioforum. Verum de his, ut dixi, plura expectare nunc non oportet, utpote de quibus dictum latius eft tum in tertio de temperamentis tum in iis libris quos de medicamentis infcripfimus; fed, *ut dixi*, ad dignofcendos affectus quaedam externarum caufarum conferunt; ubi vero praefentis affectus nihil latet, nulla jam externae caufae eft utilitas. Ac diximus quidem in fuperioribus non effe in idem conjungendas utrasque doctrinas, fed feorfum empiricen et feorfum tradendam rationalem. Memoria autem tenendum nunc quoque eft, quod quoniam propofitum nobis in his commentariis eft folam rationalem tractare, quanquam ad quaepiam horum quae dicimus non apponitur, quod abfolute vera non fint, fed folis iis qui methodo curant, aliquis tamen eorum id per fe ratiocinari ultroque apponere debet. Nunc enim ipfi appofuimus nullam externarum caufarum ad curationis indicationem conducere, fed ad affectus aliquando dignotionem fatentes externam caufam iis,

διαθέσεως, ὁμολογοῦντες ὡς ἐν τοῖς ἐμπειρικῶς ἰωμένοις ὁτιοῦν, ἕν τι τῶν τῆς ὅλης συνδρομῆς μορίων ἐστὶ καὶ τὸ προκατάρχον αἴτιον, εἴτ' οὖν λογικῶς τἄλλα θεραπεύοιεν εἴτε δι' ἐμπειρίας ἅπαντα· κατὰ δὲ τὸν ἐφεξῆς λόγον οὐκ ἀναγκαῖον ἂν εἴη προσγράφειν τοῦτο. πάλιν οὖν ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν, ἀρχὴν ὁμολογουμένην λαβόντες ᾗ κἀν τοῖς ἔμπροσθεν ἤδη κεχρήμεθα φάσκοντες, τὴν τῆς θεραπείας δεομένην διάθεσιν αὐτὴν εἶναι τὴν τὸν πρῶτον σκοπὸν ἐνδεικνυμένην· ἐκ δὲ τούτου τἄλλα πάντα λαμβάνεσθαι. τούτῳ δ' ὅτι τῷ σκοπῷ κοινωνίαν οὐδεμίαν ἔχει τῶν προκαταρχόντων αἰτίων οὐδὲν ἐξ αὐτῶν μάλιστα τῶν ἑλκῶν, ὅθεν περ ὁ λόγος ὡρμήθη, μαθήσῃ. γεγενήσθω γοῦν ἕλκος ἐξ ἀποστήματος· ἀλλ' εἰ τοῦτο, δῆλον ὡς ἐκ μοχθηρῶν χυμῶν· οὕτω γὰρ εἴωθεν ἡ φύσις ἐν νόσοις ἐκκαθαίρουσα τὸ σῶμα τὸ περιττὸν ἅπαν ὠθεῖν ἐπὶ τὸ δέρμα· καὶ τούτῳ μὲν οὖν ἑλκωθῆναι συμβαίνει, τῷ δ' ὅλῳ σώματι ἐκκεκαθάρθαι. τίς οὖν ἡ τῶν τοιούτων ἑλκῶν ἴασις; οἵα περ καὶ ἡ τῶν ἄλλων ἁπάντων οἷς οὐκ ἐπιπλέκεται διάθεσις οὐδεμία κακοήθης.

qui empirice quidvis curant, unam effe partem totius concurfus, idque five ii ratione reliqua curant five omnia empirice, in iis autem quae deinceps fcribentur non erit neceffe hoc adfcribere. Rurfus igitur ad propofitum redeamus, indubitatum illud principium praefumentes, quo etiam in praecedentibus fumus ufi, ubi diximus primum fcopum quo medicus tendat affectum ipfum qui curari defideret indicare, ex hoc vero et reliqua omnia fumi. Quod vero cum hoc fcopo nulla externae caufae focietas fit, ex ipfis maxime ulceribus a quibus fermo eft ortus intelliges. Ergo generatum fit ulcus ex abfceffu, fed fi hoc ita fit, ex vitiofis provenire fuccis manifeftum eft, fic enim in morbis facere natura folet, quum corpus expurgat, omne excrementum ad cutem trudit, atque hanc quidem ulcerari, totum vero corpus purgari accidit. Quaenam igitur eft ejusmodi ulcerum fanatio? quae reliquorum omnium, quibus nullus affectus malignus eft adjunctus. Verum fi hoc fic fe habet, manifeftum eft nullam effe ad curationem a caufa

ἀλλ' εἴ περ τοῦθ' οὕτως ἔχει, δῆλον ὡς οὐδεμία παρὰ τῆς ποιησάσης τὸ ἕλκος αἰτίας ἔνδειξις εἰς τὴν θεραπείαν ἐγένετο. καὶ μὴν εἴ περ ἔμενεν ἡ κακοχυμία, πάντως ἄν που καὶ παρ' αὐτῆς τὴν ἔνδειξιν ἐλάβομεν. ἀλλὰ καὶ ἄλλως ἄτοπον ἦν δεῖσθαι θεραπείας τὸ μηκέτ' ὄν, ἢ ἐνδείκνυσθαι θεραπείαν τὸ μὴ δεόμενον αὐτῆς· ὥστε παντοίως ἄτοπον ἐκ τοῦ προκαταρξαντος αἰτίου ἔνδειξιν λέγειν γίνεσθαι θεραπείας. ἐπεὶ τοίνυν οὐ τοῦτο, δῆλον ὡς τὸ παρὸν αἴτιον ἔνδειξιν ποιήσεται. τίς οὖν ἡ ἔνδειξις; ἀκριβολογουμένῳ μὲν ἡ προφυλακτικὴ προσαγορευομένη, καταχρωμένῳ δ' ἡ θεραπευτική· καὶ γὰρ καὶ αὐτῶν τῶν ἑλκῶν τῆς ἰάσεως, εἴθ' ἁπλῶς ἕλκη μόνον εἴτε καὶ μετὰ κοιλότητος ὑπάρχει κατὰ τὸν ἀκριβῆ λόγον ἡ ἴασις ἐκ τοῦ φεύγειν τε καὶ προφυλάττεσθαι τὰ λυπήσοντα τὴν φύσιν ἀποτελεῖται. [85] καὶ ὅλως ἐφ' ὧν (74) τὸ γινόμενον αὐτῆς τῆς φύσεως ἔργον ἐστίν· ὡς κόλλησις ἕλκους καὶ σάρκωσις, ἐκ τοῦ προφυλακτικοῦ γένους ἐστὶν ἡ τῶν τοιούτων ἐπιμέλεια· ἀλλ' ὅμως ἴασις λέγεται πρὸς ἁπάντων ἀνθρώπων. καὶ τούτῳ διώρισται τοῦ προφυλακτικοῦ

quae ulcus excitavit indicationem. Atqui ſi vitioſus ſuccus remaneret, omnino aliqua ab hoc quoque indicatio ſumeretur. Verum alioqui etiam abſurdum eſſet ſi curationem poſtularet quod amplius non ſit; aut ſi curationem indicaret quod nullius indigeat; quare dicere indicationem curationis ab externa cauſa ſumi omni modo eſt abſurdum. Quoniam ergo non ab hac, perſpicuum eſt ab ea quae praesens eſt indicationem fore. At qualis tandem eſt indicatio? nempe ei qui exacte loquetur, prophylactica *ſive praecautio* dicitur, ei vero qui abuti vocabulo volet curativa, quandoquidem ipſorum etiam ulcerum, ſive tantum ulcera ſimpliciter ſint ſive etiam cum cavitate, ſi quis diligenter aeſtimet ex fugiendis proſpiciendisque iis quae naturae officient, ſanatio perficitur. Et in ſumma in quibus quod efficitur naturae ipſius opus eſt, ut ulceris glutinatio et ex carne impletio, prophylactici generis eſt ejusmodi curatio, caeterum ſanatio ab omnibus hominibus dicitur. Ideoque etiam prophylacticae partis artis, in altero genere conſtitutum eſt,

*μέρους τῆς τέχνης, τῷ διάθεσιν μὲν ὑπάρχουσαν ἤδη τινὰ νοσερὰν ἐκκόπτεσθαι, κατὰ τὸ ἕτερον εἶδος τῆς προφυλακτικῆς, κωλύεσθαι δὲ γίνεσθαι τὴν μηδέπω γεγενημένην κατὰ τὸ ἕτερον. ὥστε κἀνταῦθα περὶ ὀνομάτων ἐρίζοντες ἀγνοοῦσιν οἱ νεώτεροι τῶν ἰατρῶν. ἐχρῆν δ᾽ αὐτοὺς, εἰ περὶ πραγμάτων ἐσπούδαζον, ἐξευρεῖν ὡς δύο εἰσὶν αἱ πρῶται διαφοραὶ τῶν ἐνεργειῶν τοῖς ἰατροῖς. ἢ γὰρ τὰς οὔσας ἤδη διαθέσεις ἐξ ὧν πράττουσι θεραπεύουσιν, ἢ τὰς οὐκ οὔσας γενέσθαι κωλύουσι. τὸ μὲν δὴ τὰς οὔσας ἐκκόπτειν, εἴτε τὰ διακόπτοντα τὰς ἐνεργείας τῆς φύσεως ἐκποδὼν ποιουμένους εἴτε καὶ αὐτούς τι διὰ τῶν φαρμάκων ἐργαζομένους, ἅπαντες ἄνθρωποι θεραπεύειν ὀνομάζουσι, τὸ δὲ κωλύειν γενέσθαι προφυλάττεσθαι. καὶ δὴ καὶ τὰ μετὰ κακοχυμίας ἡλκωμένα θεραπεύουσιν οἱ λόγῳ τε καὶ μεθόδῳ τῇ τέχνῃ προσιόντες, ἅμα μὲν ἐκείνην ἐκκαθαίροντες, ἅμα δὲ τὰ διακόπτοντα τὰς κινήσεις τῆς φύσεως ἀναιροῦντες. ἄμφω δ᾽ ἐστὶν ἀκριβολογουμένῳ ταῦτα προφυλακτικά. κωλύει γὰρ, ὡς κἀν τῷ πρὸ τούτου δέδεικται λόγῳ, πάντα τὰ τοιαῦτα ῥύπον ἐπιτρέφεσθαι τοῖς ἕλκεσιν, ἢ ὑγρότητα πολλὴν, ἢ μοχθηράν.*

quod morbofum affectum jam praefentem fubmovet, in altero quod eum qui nondum urget prohibet. Itaque hic quoque juniores medici de nominibus contendere fe non intelligunt. Par autem erat, fi de rebus ftudiofi effent, illud inveniffe, duas effe functionum medici primas differentias. Aut enim eos qui nunc urgent affectus iis quae moliuntur curant, aut eos qui non funt fieri prohibent. Ergo praesentes jam affectus tollere, five amovendis iis quae naturae opus impediunt id fiat, five per medicamenta quid ipfi moliamur, omnes profecto homines curare dicunt, cavere autem ne accidant profpicere. Et fane ea quae fuccorum vitio funt exulcerata curant ii qui ratione ac methodo artem adminiftrant, fimul illos purgantes, fimul ea quae naturae motus impediunt auferentes, quorum utraque qui exacte loquitur prophylactica vocat; vetant namque, ut in fuperiori oftenfum eft libro, omnia talia aut fordem ulceri aut humiditatem nimiam vitiofamve innasci.

Κεφ. δ΄. Οὐκ οὖν ἐν ὀνόμασι μικρολογεῖσθαι καλὸν, ἀλλ᾽ ἄμεινον εἰπεῖν τινα μέθοδον ἰάσεως ἑλκῶν, οἵαν ἡμεῖς ἔν τε τῷ πρὸ τούτου λόγῳ κἀν τῷδε διεξίμεν. ἐγὼ μὲν γὰρ καὶ θαυμάζω τὴν ἀναισθησίαν τοῦ Θεσσαλοῦ, γράφοντος ὡδί πως ὑπὲρ τῆς τῶν κακοηθῶν ἑλκῶν ἰάσεως· εἰσὶ δὲ σφόδρα ἀναγκαῖαι καὶ αἱ κοινότητες αἱ τῶν χρονίων ἑλκῶν καὶ μὴ ὑγιαζομένων, ἢ κατουλουμένων καὶ πάλιν ἀναλυομένων· πρὸς τῷ ἐπὶ μὲν τῶν μὴ συμφυομένων σκέπτεσθαι τί ἐστι τὸ ἐμποδίζον καὶ τοῦτ᾽ αἴρειν, τὸ δ᾽ ἐπουλούμενον καὶ ἀναξαινόμενον ἀναγκάζειν κρατεῖν τῆς οὐλῆς, μετασυγκρίνοντας τὸ πάσχον μέρος, ἢ καὶ κοινῶς ὅλον τὸ σῶμα καὶ δυσπαθὲς τοῦτο ποιεῖν διὰ τῶν τοῦτο δρώντων βοηθημάτων. ταυτὶ μὲν οὖν ὁ Θεσσαλὸς ἐν τῷ περὶ χειρουργίας βιβλίῳ κατ᾽ ἀρχὰς εὐθὺς προειπὼν ἐν τοῖς ἐφεξῆς ἐπὶ πλέον ὡδέ πως ὑπὲρ αὐτῶν τούτων γράφει· τὰ δὲ χρόνια τῶν ἑλκῶν καὶ μὴ ὑγιαζόμενα, ἢ κατουλούμενα καὶ ἀναξαινόμενα ἐμφαίνει· τὰ μὲν εἰς οὐλὴν μὴ συνερχόμενα ἐκκόπτειν τὰ κωλύοντα τὴν σύμ-

Cap. IV. Non igitur in nominibus anxie occupari bonum eſt, ſed praeſtantius aliquam ulcerum curandorum methodum tradere, qualem, arbitror, ipſe tum ſuperiori libro tum in hoc praecipio. Ego namque vel ſtupiditatem Theſſali demiror ita in ulcerum malignorum curatione ſcribentis: *Sunt autem perquam neceſſariae et communitates ulcerum diuturnorum ac non ſaneſcentium aut poſt cicatricem inductam redeuntium, ad hoc ut in iis quae non coaleſcunt quidem aeſtimetur quid ſit quod prohibeat, idque tollatur, in iis vero quae poſt cicatricem inductam renovantur, ut cicatricem tenere cogas, roborans ſcilicet vel affectam partem, vel etiam communiter totum corpus, atque ne facile patiatur, id praeparans per ea quae haec faciant praeſidia.* Atque haec quidem Theſſalus quum in principio ſtatim libri de chirurgia propoſuiſſet, poſtea de iis ipſis latius ad hunc modum ſcripſit: *diuturna ulcera et quae non ſaneſcunt, aut quae ad cicatricem perducta denuo revertuntur, haec indicant: quae quidem ad cicatri-*

φυσιν γίνεσθαι καὶ νεωτεροποιεῖν τοὺς πεπονθότας τόπους καὶ παραπλήσια ποιήσαντας τοῖς νεοτρώτοις πάλιν ἐναίμως ἰᾶσθαι, κἂν μὴ κρατηθῇ, παρηγορεῖν τὴν φλεγμονὴν καὶ τὴν λοιπὴν προσάγειν ἐπιμέλειαν· τὰ δ᾽ εἰς οὐλὴν ἐρχόμενα καὶ ἀναλυόμενα, κατὰ μὲν τοὺς παροξυσμοὺς καὶ τὰς ἑλκώσεις ὁμοίως θεραπεύειν τοῖς προσφάτως φλεγμαίνουσι, καταπλάσμασι τοῖς παρηγοροῦσιν, ἕως ἂν παύσηται ἡ ἀγανάκτησις· ἐνδούσης δὲ συνεργεῖν εἰς ἐπούλωσιν· μετὰ δὲ ταῦτα φοινίσσειν τὰ κύκλῳ μέρη, πλατὺν περιλαμβάνοντας τόπον τῷ διὰ τοῦ νάπυος μαλάγματι, [86] ἤ τινι ἑτέρῳ μεταβάλλειν δυναμένῳ, καὶ τὴν εὐπάθειαν ἀναιρεῖν. μὴ ληγόντων δὲ καὶ κοινῶς ὅλου τοῦ σώματος ἐπιμέλειαν ποιεῖσθαι, μετασυγκρίνοντας αὐτὸ διὰ γυμνασίων ποικίλων καὶ αἰώρας καὶ ἀναφωνήσεως παρόντων ἐμπείρων, καὶ διαίτης κατὰ πρόσθεσιν αὐξανομένης τε καὶ μειουμένης, ἀρχῆς ἐντιθεμένης διὰ τὸν ἀπὸ ῥαφανίδων ἔμετον. χρῆσθαι δὲ καὶ τῇ τοῦ λευκοῦ ἐλλεβόρου δόσει καὶ τοῖς ἄλλοις ἅπασιν οἷς χρώμεθα ἐπὶ τῶν

*cem non perveniunt, ut quae coitionem fieri vetant, auferas ac locum affectum noves; postquam simile recenti vulneri feceris, rursus ut cruentum sanes, quod si non processerit,, ut phlegmonen mitiges et reliquam diligentiam adhibeas. Quae vero ad cicatricem veniunt et rursus se aperiunt, in accessionibus quidem et exulcerationibus, ut simili modo cures iis quae recens phlegmone urget, ex mitigantibus cataplasmatis, quoad sedatus fuerit doloris acerbitas; ubi deferbuit, adjuves ad cicatricem, post haec ut partes circumpositas late complexus malagmate, quod ex sinapi sit compositum, rubere facias, aut alio quopiam quod mutare possit, ac ut minus malo pateant efficere. Quod si ita non cessent, etiam totius communiter corporis curam habeas, ipsum per varias exercitationes et gestationes et vociferationes, adhibitis scilicet earum rerum peritis, roborans, etiam victus ratione gradatim tum diminuta principio a vomitione per radiculas facto. Uteris etiam albo veratro aliisque omnibus quibus utimur in*

ὑπαγομένων διαίτῃ χρονίων καὶ δυσαποτρίπτων παθῶν. αὕτη μὲν ἡ τοῦ Θεσσαλοῦ ῥῆσις. ἄξιον δὲ θαυμάσαι τἀνθρώπου τὴν ἀναισθησίαν ἢ τὴν τόλμαν· εἰ μὲν αὐτὸς ἑαυτὸν ἀνέπεισεν ὡς ὀρθῶς λέγει, τὴν ἀναισθησίαν· εἰ δ᾽ ἐπιστάμενος ὡς οὐδὲν λέγει παρακρούεσθαι τοὺς ἀναγινώσκοντας ἅπαντας ἤλπικε, τὴν τόλμαν. ἐκ τῶν χρονίων ἑλκῶν, ὦ γενναιότατε, τίς ἔνδειξις γίνεται θεραπείας; ἐγὼ μὲν γὰρ οὔτ᾽ ἐκ τῶν προσφάτων οὐθ᾽ ὅλως ἐκ χρόνου κατ᾽ οὐδὲν τῶν νοσημάτων ἐξεῦρον οὐδεπώποτε τὴν θεραπείαν, ἀλλ᾽ ἐξ αὐτῆς τῆς διαθέσεως, ἣν ἰᾶσθαί μοι πρόκειται. καθόλου γὰρ ἐὰν εἰς τὸν χρόνον ἀποβλέπῃ τις, ὡς ἔνδειξιν παρ᾽ αὐτοῦ λαμβάνειν, ἑτέραν μὲν πάντως ἡ δευτέρα τῶν ἡμερῶν, ἑτέραν δ᾽ ἡ τρίτη παρέξει τὴν ἔνδειξιν· οὕτως δὲ καὶ ἡ τετάρτη τῆς πέμπτης ἑτέραν· καὶ τούτων ἁπασῶν ἡ ἕκτη καὶ τῶν ἄλλων ἑκάστη τῶν μετὰ ταύτας. ὥστ᾽ οὐκέτι τὰς διαθέσεις ἃς θεραπεύομεν, ἐπισκεψόμεθα καὶ παρ᾽ αὐτῶν ἔνδειξιν ληψόμεθα; καίτοι γε τούτου ἀλογώτερον οὐδ᾽ ἐπινοῆσαι δυνατόν ἐστι. πῶς οὖν ἀναγκαῖαι αἱ κοινότητες αἱ τῶν χρονίων ἑλκῶν εἰσιν, οὐδὲν

*iis qui diuturni aegreque fubmoti morbi victus rationi fubjiciuntur.* Atque haec quidem eft Theffali dictio. Operae pretium vero eft aeftimare hominis vel ftuporem vel audaciam; utique fi recte fe dicere fibi perfuafit, ftuporem; fin confcius fibi nihil dicere, imponere omnibus legentibus fperat, audaciam. Ex diuturnis ulceribus quaenam eft, o generofiffime Theffale, curationis indicatio? Ego fane neque ex his neque ex recentibus, nec omnino a tempore in ullo morbo curationem unquam inveni, fed ex ipfo quem fanandum mihi propofui affectu. Prorfus enim fi tempus fpectabitur, tanquam ab eo indicatio fumatur, alteram omnino fecundus, alteram tertius dies indicationem dabit, ad eundem modum et quartus alteram a quinto et ab his omnibus fextus et reliquis fingulis qui poft iftos. Sic affectus quos curamus non ultra nobis ad confiderationem proponentur, nec ab his indicatio fumetur, quo tamen nec cogitari quidem magis alienum a ratione poteft? Quomodo ergo neceffariae funt diuturno-

γε ἐνδείκνυσθαι δυναμένου τοῦ χρόνου καθ' ἑαυτόν; οὐ δήπου γὰρ ἐπειδὰν ὑπὸ κακοχυμίας ἕλκος ἀναβιβρώσκηται, διάφορον ἔνδειξιν ἀπ' αὐτοῦ ληψόμεθα μετὰ τέτταρας μῆνας ἧς εὐθὺς ἐξ ἀρχῆς ἐλάβομεν. ἐγὼ μὲν οὐδ' ἂν ἐάσαιμι χρονίσαι τὸ τοιοῦτον ἕλκος, ἀλλ' εὐθέως ἀπὸ τῆς ἀρχῆς ἐκκόψαιμι τὴν αἰτίαν αὐτοῦ. καὶ γὰρ καὶ γνωρίζειν δυνατόν ἐστι τὴν διάθεσιν ἀπὸ τῆς ἀρχῆς ὡς τὰ πολλὰ, καὶ τὴν ἔνδειξιν ἀπὸ τῆς διαθέσεως λαμβάνειν ἀναγκαῖον. ὁ χρόνος δὲ τί πλέον ἡμᾶς διδάξει τοῦ τῶν ἡμερῶν ἀριθμοῦ μὰ τοὺς θεοὺς οὐκ ἔχω συμβαλεῖν, πλὴν εἰ τοῦτο λέγειν ἠβουλήθη ὁ Θεσσαλὸς, ὡς εἰς διάγνωσιν τῶν τοιούτων ἑλκῶν ἀναγκαῖον ἀναμεῖναι τὸν χρόνον. ἀλλ' οὕτω γε πρῶτον μὲν ἂν ἰδιώτης εἴη παντάπασιν, εἰ μηδέποτε πρὸ τοῦ χρονίσαι τὸ ἕλκος ὁμολογεῖ διαγνῶναι δύνασθαι τὴν διάθεσιν. ἔπειτα δὲ σαφῶς ἂν ἔτι καὶ τοῦθ' ὁμολογήσειεν, ὡς ἐξ ἄλλου μὲν ἡ τῆς ἰάσεως ἔνδειξις, ἐξ ἄλλων δὲ ἡ διάγνωσις γίνεται τῆς διαθέσεως. ἔστω γάρ τι συμβάλλεσθαι τὸν χρόνον εἰς τὴν διάγνωσιν· ἀλλ' ἥ γε ἔνδειξις τῆς ἰάσεως οὐκ ἐκ τοῦ χρόνου. τί γὰρ

rum ulcerum communitates, ubi nihil indicare tempus ipfum per fe poteft? non enim profecto, ubi a malis fuccis eroditur, diverfam ex eo poft quatuor menfes indicationem fumemus ab ea quam ftatim ab initio fumpfimus. Ego fane nec finerem quidem ejusmodi ulcus diuturnum effe, fed protinus in principio caufam ejus adimerem. Nam et noffe affectum a principio plerumque licet, et indicationem ab affectu fumi eft neceffe. Tempus vero quid amplius quam dierum numerum docere nos poffit, non hercle poffum conjicere; nifi id voluit Theffalus, ad ejusmodi ulcera noscenda tempus omnino effe manendum. Verum fic primum idiota prorfus fit, fi videlicet fateatur non prius agnoscere fe affectum quam ulcus inveteraverit. Deinde illud quoque aperte fateatur oportet, ex alio fuggeri fanationis indicationem, ex aliis praeberi affectus dignotionem. Nam efto, conferat aliquid tempus ad dignotionem, certe indicatio curationis a tempore non fumitur. Quid enim ad rem per-

ἂν εἴη πρὸς ἔπος, εἴ τι χρονίζει τῶν ἑλκῶν, ἐκκόπτειν τὰ κωλύοντα τὴν σύμφυσιν γίνεσθαι καὶ νεωτεροποιεῖν τοὺς πεπονθότας τόπους; εἰ γὰρ διὰ ῥεῦμα κακόηθες, ὦ γενναιότατε, τὰ χείλη τοῦ ἕλκους ἐν διαθέσει τινὶ γέγονε, τί πλέον ἕξομεν, ἂν περικόψωμεν αὐτὰ πρὶν ἰάσασθαι τὸ ῥεῦμα; μεῖζον ἐργασόμεθα δηλονότι τὸ ἕλκος, ὥσπερ καὶ ποιοῦσιν ἔνιοι τῶν ὁμοίως ἐκείνῳ θεραπευόντων ἕλκη. τῆς γὰρ αἰτίας μενούσης τῆς καὶ πρότερον αὐτὰ σκληρὰ καὶ τυλώδη ποιησάσης οὐδὲν ἔσται πλέον ἐκ τοῦ περιτέμνειν ἄλλο γε ἢ μέγεθος ἕλκους· πάλιν γὰρ ἐκεῖνα τὰ περιτμηθέντα τοῖς πρότερον ὁμοίως ἔσται τυλώδη καὶ σκληρά. καίτοι γ᾽ οὐδ᾽ αὐτὸ τοῦτο προσέθηκεν ὁ σοφώτατος Θεσσαλὸς, ὡς ἐκκοπτέον ἐστὶ τὰ τυλώδη καὶ σκληρὰ καὶ κακόχροα τῶν ἡλκωμένων μορίων, [87] ἀλλ᾽ ἁπλῶς ἐκκόπτειν κελεύει τὰ κωλύοντα τὴν σύμφυσιν καὶ νεωτεροποιεῖν. εἰ μὲν οὖν ἐκκόπτειν τὰ κωλύοντα τὴν σύμφυσιν αἴτια συνεβούλευε, παλαιός τ᾽ ἂν ἦν ὁ τοιοῦτος λόγος, ἐγώ τε οὐδὲν ἂν ἐμεμφόμην αὐτῷ, παρῄνηται γὰρ ὑπὸ πάντων σχεδὸν τῶν παλαιῶν (75) ἰατρῶν, ὅσοι γε λόγῳ

tineat, fi quod ulcus inveteravit, adimere quae coitionem impediant et novare locum qui affligitur? Nam fi propter fluxionem malignam, vir inepte, ulceris labra hoc vel illo modo funt affecta, quid commodi erit, fi ea excideris ante quam fluxioni fiftendae confulueris? Vide licet ulcus latius efficies, veluti nonnulli faciunt eorum qui fimiliter ut tu ulcera curant. Siquidem caufa quae ea et dura et callofa prius reddidit adhuc manente nihil aliud ex his excidendis accedet quam ulceris amplificatio; quippe illa ipfa quae excideris perinde et dura et callofa rurfus erunt atque ea quae prius. Quanquam ne id ipfum quidem adjecit fapientiffimus Theffalus, callofa et dura et decolorata exulceratae partis excidenda effe, fed et abfolute abfcindi quae coitionem morantur jubet ac novari. Ac fi quidem fubmovere caufas quae glutinationem morantur fuaderet, et vetus ea ratio effet nec ipfe eum accufarem; praecipitur enim ab omnibus fere antiquis medicis, quicunque ratione

Ed. Chart. X. [87.] Ed. Baf. IV. (75.)

τινὶ καὶ μεθόδῳ περὶ θεραπείας ἑλκῶν ἔγραψαν, ὡς ἐκκοπτέον ἐστὶ τὰς ἐργαζομένας αἰτίας αὐτὰ, καθάπερ, οἶμαι, καὶ τῶν ἄλλων ἁπάντων νοσημάτων. οὐ γὰρ δὴ ἐπὶ μὲν τῶν ἑλκῶν ἔτι μενούσης τῆς ποιούσης αὐτὰ αἰτίας κάλλιον ἐκείνην πρότερον ἐκκόπτειν, ἐπὶ δὲ τῶν ἄλλων νοσημάτων οὐ κάλλιον, ἀλλ᾽ ἐπὶ πάντων ἁπλῶς ὧν τὸ ποιοῦν ἔτι πάρεστιν ἀπ᾽ ἐκείνου τῆς θεραπείας ἀρκτέον. εἰ δὲ τὰ κωλύοντα τὴν σύμφυσιν οὐκ ἐπὶ τῶν αἰτίων ἁπάντων ὅσα τοῦτο πέφυκε δρᾷν, ἀλλ᾽ ἐπὶ τῶν χειλῶν εἴρηκε μόνον, ὡς ἐξ ὧν ἐπιφέρει δῆλός ἐστιν, πλέον ἀγνοεῖν ἔοικεν ἢ γινώσκειν εἰς ἑλκῶν ἴασιν. εἴη μὲν γὰρ ἄν ποτε καὶ τοῦτο μόνον αἴτιον τοῦ μὴ θεραπεύεσθαι τὸ ἕλκος· εἴη δ᾽ ἂν οὐδὲν ἧττον, ὡς εἴρηται, καὶ ἡ χωρὶς ὄγκου παρὰ φύσιν ἐν τοῖς ἡλκωμένοις μέρεσι δυσκρασία καὶ ἡ μετ᾽ ὄγκου μέν τινος, ἀλλ᾽ οὐ πάντως τοῦ γε περιτομῆς δεομένου· καὶ πρὸς τούτοις ἔτι σκιῤῥὸς ὑπερκείμενος, ἢ σπλὴν μέγας, ἤ τις ἐν ἥπατι κακοπραγία καὶ χωρὶς τούτων ἁπάντων ἀτονία τοῦ μέρους αὐτοῦ τοῦ πεπονθότος,

quadam ac methodo de ulcerum curatione fcripferunt, caufas quae illa creant abfcindendas effe aeque, arbitror, ut caeterorum omnium morborum. Non enim in ulceribus manente adhuc caufa ea efficiente, hanc prius tolli expedit, in aliis morbis non expedit, fed omnino in omnibus in quibus effectrix caufa adhuc manet, ab hac inchoanda curatio eft. Quod fi quae coitionem impediunt, non dixit de omnibus caufis quae eam impedire poffunt, fed de labris tantum, veluti ex iis quae fubjecit oftendit, plus certe nefcire quam fcire eorum quae ad ulceris curationem fpectant videtur. Quippe fieri aliquando poteft, ut et haec caufa fola fit quominus fanescat ulcus; poteft etiam, ut dictum eft, caufa effe et quae citra tumorem praeter naturam fit in exulceratis partibus intemperies, et quae cum tumore quidem aliquo conjuncta fit, non tamen qui omnino fibi labra excidi defideret; poteft et fcirrhus fuperjacens, vel lien auctior, vel in jecinore vitium aliquod praeterque haec omnia imbecillitas partis aegrae, quae ipfa quo-

ἐπίτασις οὖσα δυσκρασίας καὶ ἤδε· καὶ μὲν δὴ καὶ ἡ καθ' ὅλον τὸ σῶμα κακοχυμία μέγιστον τῶν αἰτίων ὅσα λυμαίνεσθαι τοῖς ἕλκεσι πέφυκεν. ἐνοχλεῖ δ' οὐδὲν ἧττον αὐτοῖς καὶ ἡ καλουμένη πληθώρα. τούτων ἕκαστον εἰ κελεύοι ἐκκόπτειν Θεσσαλὸς, ἐπαινῶ τὸν ἄνθρωπον, ὡς ἑπόμενον τοῖς παλαιοῖς· εἰ δὲ τὰ χείλη μόνον, ἓν ἐκ πολλῶν ἔγνωκε, ὃ μηδὲ τοὺς αἰπόλους λανθάνει. εἰ γὰρ σκληρὰ καὶ τετυλωμένα καὶ πελιδνὰ καὶ μέλανα καί τινα ἄλλην ἐπίσημον ἄχροιαν ἔχοντα θεάσαιτό τις αἰπόλος ἕλκους χείλη, πάντως τολμήσει περικόπτειν αὐτά. καὶ γάρ τοι καὶ προχειρότατόν ἐστι τὸ περικόψαι· μεῖζον δέ γε καὶ τεχνικώτερον ἰᾶσθαι φαρμάκοις. Θεσσαλὸς δὲ οὔτε τῶν ὑπὸ φαρμάκων δυναμένων μαλαχθῆναι χειλῶν εἰς γνῶσιν ἧκέ ποτε, καὶ γὰρ καὶ λέγουσιν αὐτὸν ἀποστῆναι τελέως τοῦ τοιούτου μέρους τῆς τέχνης, ὥσπερ οὖν ἐμφαίνει καὶ αὐτὸς, οὐθ' ὅλως ἐμπειρίαν ἢ λογικὴν ἐπιστήμην ἔοικεν ἔχειν οὐδενὸς φαρμάκου· καθότι καὶ τοῦτο διὰ τοῦ περὶ φαρμάκων ἐνδείκνυται βιβλίου. ἀλλὰ περὶ μὲν τῶν ἐν ἐκείνοις οὐκ ὀρθῶς εἰρημένων ἐπὶ προήκοντι τῷ λόγῳ

que intenſa quaedam eſt intemperies, quin etiam vitioſus in toto corpore ſuccus maxima cauſarum quae noxam ulceribus inferre poſſunt. Vexat ſane non minus ulcera et quae plethora vocatur. Horum quodque ſi adimi Theſſalus jubeat, laudo hominem ceu veteribus ſubſcribentem; ſin labra tantum, unum novit ex multis, ſed quod nec caprarios lateat. Quippe ſi caprarius ulceris labra dura et calloſa et livida et nigra et alio quopiam notabili coloris vitio videat, prorſus ea circumcidere non dubitabit. Eſt enim circumcidere res promptiſſima, majus vero quippiam atque artis egens medicamentis ſanare. Theſſalus autem nec quae labra molliri medicamentis poſſunt unquam novit; quippe fatentur eum penitus hanc artis partem declinaſſe ita utique, ut ipſe quoque indicat, nec omnino experientiam rationalemve ſcientiam de ullo medicamento viſus eſt habere, quod ipſum quoque ex libro ejus de medicamentis oſtenditur. Verum de iis quae ibi non recte ab eo ſunt prodita in progreſſu operis dicemus;

*διαλέξομαι· περὶ δὲ τῆς τῶν χρονίων ἑλκῶν ἰάσεως, ἣν ἐν τῇ προγεγραμμένῃ ῥήσει Θεσσαλὸς ἐποιήσατο, πρόκειταί μοι τό γε νῦν εἶναι διελθεῖν. ἄμεινον μὲν ἦν δήπου μὴ χρόνια καλεῖν, ἀλλὰ κακοήθη ταῦτα, καὶ τὴν φύσιν αὐτῶν ἐκδιηγήσασθαι καὶ τὰς αἰτίας τῆς γενέσεως εἰπεῖν καὶ τὴν θεραπείαν ἑκάστου, τὴν μὲν ὡς ἐφ᾽ ἕλκει κοινὴν ἁπάντων αὐτῶν οἵαν ἐν τῷ τρίτῳ γράμματι διῆλθον· ἰδίαν δ᾽ ἐφ᾽ ἑκάστου, κατὰ τὸ τῆς ἐργαζομένης αἰτίας εἶδος, ὡς ἐν τούτῳ τῷ λόγῳ διωρισάμην. ὁ δὲ οὐδὲν τούτων ποιήσας καὶ νεωτεροποιεῖν τοὺς ἡλκωμένους τόπους ἀξιοῖ καὶ παραπλήσια τοῖς νεοτρώτοις ἀπεργασάμενος ἐναίμους ἰᾶσθαι. τοῦτο μέν γε ναὶ μὰ τὸν Ἀσκληπιὸν ἐναργῶς ἄν τις γνωρίσειε τοῖς ἔργοις τῆς τέχνης ἐγγεγυμνασμένος, ὡς ὑπ᾽ ἀνθρώπου γέγραπται ταῦτα μηδέποτε προνοήσαντος ἕλκους. ἐναίμως ἰᾶσθαι δύναταί τις, ἕλκος χρόνιον ὅμοιον τοῖς νεοτρώτοις ἐργασάμενος, ἀγκτῆρσι συναγαγὼν, ἢ ῥάψας αὐτοῦ τὰ χείλη· ἢ τούτων μὲν οὐδενὶ, ἐναίμῳ δέ τινι φαρμάκῳ καὶ μόνῃ σὺν αὐτῷ θαῤῥήσας ἐπιδέσει; [88] τίς οὐκ οἶδεν ὡς πᾶν ἕλκος κακόηθες εὐθὺς καὶ*

nunc de diuturnorum ulcerum fanatione, quam in prius pofita dictione tradidit, paramus differere. Sane melius fuerat non diuturna, fed cacoethe ea vocaffe, tum naturam eorum narraffe et caufas generationis eorum expofuiffe curationemque cujusque, primum quidem communem omnium quatenus ulcera funt, qualem in tertio libro descripfi, deinde privatam cujusque pro efficientis caufae fpecie, veluti in hoc libro docui. Hic quum nihil horum fecerit et novandum ulceratum locum cenfeat, et ubi inftar recentis vulneris fecerit, ut cruenta fanandum. Hoc fane per Aesculapium, quis operibus artis exercitatus evidentiffime intelliget ab eo effe fcriptum qui nunquam ulcus curavit. Sanarene ulcus diuturnum ut cruentum quisquam poteft, ubi id fimile recenti vulneri fecerit? utrumne labris ejus fibula adductis, an futura conjunctis, an potius horum nullo, fed medicamento quod cruentis fit aptum et cum hoc fola deligatura fretus? Quis eft qui non norit ulcus omne cacoethes fla-

κοῖλόν ἐστιν, ὡς ἂν ἐξ ἀναβρώσεως γενόμενον; ἆρ᾽ οὖν, ὦ σοφώτατε Θεσσαλὲ, πρὶν σαρκωθῆναι τὸ κοῖλον ἕλκος, εἰς σύμφυσιν ἀχθῆναι δύναται; ἢ οὐ τοῦτ᾽ ἔστι τὸ ἐναίμως ἰᾶσθαι; μάτην τοίνυν αὐτὸς σὺ τῶν κοίλων ἑλκῶν τὸν σκοπὸν οὐ κόλλησιν, ἀλλὰ πλήρωσιν ἔγραψας. εἰ δὲ καὶ μὴ δι᾽ ἑαυτὸ κοῖλον ἦν ἅπαν ἕλκος κακόηθες, ἀλλά τοί γ᾽ ἐν τῷ νεωτεροποιεῖν, αὐτοῦ τὰ χείλη περικόπτοντας ὡς σὺ κελεύεις, ἐξ ἀνάγκης οἶμαι καὶ κοῖλον γίνεται καὶ πλείστην ἴσχει τῶν χειλῶν τὴν διάστασιν· ὥστ᾽ οὐκ οἶδα πῶς ἔτι κολλήσεις αὐτὸ καὶ συμφύσεις ἐναίμως. εἰ γὰρ προσάγειν ἐπιχειρήσεις βιαίως τὰ διεστῶτα πάμπολυ χείλη, φλεγμανεῖ μὲν ἐξ ἀνάγκης, οὐ συμφύσεται δέ. τούτου καὶ μόνου συνιέναι μοι δοκεῖ καὶ Θεσσαλός· ἐπιφέρει γοῦν, κἂν μὴ κρατηθῇ, παρηγορεῖν τὴν φλεγμονήν. ἄμεινον δὲ ἦν γράψαι καὶ μὴ κρατηθέντων παρηγορεῖν τὴν φλεγμονὴν, ἐξ ἀνάγκης γὰρ οὐ κρατηθήσεται. ἀλλ᾽ εἰ καὶ τοῦτο συγχωρηθείη τῷ Θεσσαλῷ καὶ παρέλθοιμεν αὐτὸ καὶ μὴ λίαν ἀκριβῶς ἐξετάζοιμεν, ὅτι γε τελέως ἀποκεχώρηκε

tim etiam cavum esse, ut ex rosione natum? Numquid igitur, sapientissime Thessale, fieri potest ut coalescat cavum ulcus priusquam cavitas carne sit impleta? an non est hoc ut cruentum sanare? Ergo ipse tu frustra cavorum ulcerum curandorum indicationem non esse glutinationem, sed impletionem scripsisti. Quod si etiam non esset ex se cavum omne ulcus cacoethes, certe dum, ut tu praecipis, excisis videlicet labris, ut cruentum efficitur, ex necessitate cavum fit, maximamque conquirit labrorum distantiam, adeo ut non videam quomodo id glutines et coire ut cruentum facias. Nam si adducere violenter labra, quae plurimum distant, tentabis, phlegmonen necessario accersent nec coalescent, id quod tantum intelligere mihi Thessalus videtur; subdit enim: *si non fuerint victa, ut phlegmonen mitiges.* Satius vero fuerat scribere, quum non vincentur, ut phlegmonen mitiges, nam necesse est non esse vincenda. Verum ut hoc quoque Thessalo donetur atque id transeamus, nec valde anxie examinemus, illud cuivis apertum est, quod a

τῆς κοινότητος ἧς αὐτὸς ὑπέθετο πρόδηλον παντί. εἰ γὰρ τὸ ἐμποδίζον ἐξαιρήσομεν, οὐδὲν ἔτι περὶ τῆς τῶν χρονίων ἑλκῶν ὡς χρονίων κοινότητος ληψόμεθα. ἀλλ᾽ ἔστω καὶ τοῦτο. θεασώμεθα δὲ τὰ ἐφεξῆς, γράφει γοῦν ὧδε· τὰ δ᾽ εἰς οὐλὴν ἐρχόμενα καὶ ἀναλυόμενα κατὰ μὲν τοὺς παροξυσμοὺς καὶ τὰς ἑλκώσεις ὁμοίως θεραπεύειν τοῖς προσφάτως φλεγμαίνουσι. μετὰ δὲ ταῦτα φησί· φοινίσσειν τὰ κύκλῳ μέρη τῷ διὰ τοῦ νάπυος μαλάγματι. τί φὴς, ἄνθρωπε, κἂν δριμὺ, κἂν θερμὸν ῥεῦμα τὸ φερόμενον ᾖ, φοινίσσειν χρὴ νάπυϊ τὸ μόριον; ἵν᾽ ὅπερ ἐν πολλῷ χρόνῳ πάσχειν ὑπὸ τοῦ ῥεύματος ἔμελλεν, ὑπὸ τοῦ Θεσσαλείου ταχέως πάθοι φαρμάκου, πᾶν ἑλκωθέν τε καὶ ἀναβρωθέν; τὰς γὰρ διὰ ψύξιν ἢ ὑγρότητα πολλὴν ἄνευ θερμασίας ἐπιφανοῦς ἀτονίας τῶν μερῶν φοινιγμοῖς ἐθεράπευον οἱ παλαιοί. σὺ δ᾽ ἑξῆς ἐπὶ πάντων χρᾷ, πρῶτον μὲν αὐτὸ τοῦτο μὴ διορισάμενος, εἴτε δι᾽ ἀτονίαν τοῦ μέρους, εἴτε διὰ κακοήθειαν τοῦ ῥεύματος, οὐ θεραπεύεται τὸ ἕλκος. ἔπειτα δ᾽ ὑπαλλάττων τὴν τάξιν. ὅταν γὰρ κατακαύσας τῷ

communitate quam ipfemet tradidit prorfus receffit. Nam fi quod obftat auferemus, nihil amplius de communitate diuturnorum ulcerum qua diuturna funt fumemus. Sed detur hoc quoque. Videamus quae fequuntur; fcribit enim ad hunc modum: *Quae ad cicatricem veniunt rurfus fe aperiunt, haec in acceffione et ulceratione fimiliter curabis iis quae recenter vexata phlegmone funt.* Poft haec fubdit: *malagmate quod ex finapi femine fit, circumpofitis partibus ruborem excitandum.* Quid ais, homo, etiamfi acre et calidum fit quod influit, rubefieri partem ex finapi femine oportet? ut quod in multo tempore contrahere ex fluxione debebat, id ftatim ex Theffalio medicamento obtineat, tota videlicet ulcerata atque erofa? Nam veteres eas partium imbecillitates quae vel ex frigore vel plurimo humore citra manifeftum calorem acciderant phoenigmis curabant. Tu in omnibus deinceps uteris, primum nullo facto discrimine, propterne partis imbecillitatem, an propter fluxionis malitiam non fanetur ulcus. Deinde ordinem in-

νάπυϊ τὸ μέρος ἀνύσῃς μηδὲν, ἐπὶ τὴν τοῦ παντὸς σώματος ἔρχῃ θεραπείαν· ἔμπαλιν δ', οἶμαι, καὶ τῷ λόγῳ καὶ τῇ πείρᾳ περὶ τούτων ἔγνωσται, τὸ σύμπαν σῶμα πρότερον ἀπέριττον ἐργασαμένους τολμᾶν ἐπιφέρειν τι τῷ μορίῳ θερμαῖνον καὶ δριμὺ φάρμακον. ἕλκειν γὰρ ἐφ' ἑαυτὰ πέφυκεν ἐξ ὅλου τοῦ σώματος ἅπαντα τὰ τοιαῦτα δίκην σικύας. ἐὰν μὴ φθάσῃς κενώσας αὐτὸ, χορηγίαν ῥεύματος ἐγκαταλείψεις τῷ δριμεῖ φαρμάκῳ. τοῦτο καὶ τοῖς ἐμπειρικοῖς ἰατροῖς ὡμολόγηται καὶ τοῖς δογματικοῖς· τοῦτο καὶ τοῖς ἀρίστοις ἐδόκει τῶν φιλοσόφων· ἐπειδὴ γὰρ κἀκείνων μέμνηται Θεσσαλὸς, οὐ χεῖρον αὐτοὺς ἐπικαλέσασθαι μάρτυρας, ὡς ὀφθαλμὸν οὐκ ἐγχωρεῖ καλῶς ἰάσασθαι πρὸ τῆς ὅλης κεφαλῆς, οὐδὲ ταύτην ἄνευ τοῦ παντὸς σώματος. οὕτως Ἀριστοτέλης καὶ Πλάτων ἐγίνωσκεν ὑπὲρ νοσημάτων ἰάσεως· οὕτω δὲ καὶ Ἱπποκράτης καὶ Διοκλῆς καὶ Πραξαγόρας καὶ Πλειστόνικος καὶ πάντες οἱ παλαιοί. Θεσσαλὸς δὲ μόνος ἔμπαλιν ἐπὶ τὸ διὰ τοῦ νάπυος ἥκει φάρμακον πρῶτον· εἶθ' ὕστερον ἐπιμελεῖται τοῦ παντὸς σώματος· οὔκουν οὐδ' ἐνταῦθα

vertis. Nam quum sinapi partem usseris, nec quicquam profeceris, tum ad corporis totius curationem accedis; quum contra, ut arbitror, tum ratione tum experimento de iis sit statutum, ut toto prius corpore a supervacuis liberato, tum calidum aliquod acreque medicamentum parti admovere sit audendum; quippe ejusmodi medicamenta omnia cucurbitae ritu ad se trahere a toto corpore sunt habilia. Itaque nisi id prius vacuaveris, materiam fluxionis acri medicamento relinques. Hoc enim tum empirici medici fatentur tum dogmatici, hoc philosophorum optimi senserunt; nam quum eorum quoque meminerit Thessalus, non alienum sit eos citare testes, quod oculum recte sanare ante totum caput non licet, neque hoc ante totum corpus. Sic Aristoteles ac Plato de morborum curatione senserunt; sic sane et Hippocrates et Diocles et Praxagoras et Plistonicus et veteres universi. Thessalus vero solus non sic, sed primum ad medicamentum ex sinapi venit; post de toto corpore solicitus

Ed. Chart. X. [88. 89.] Ed. Baf. IV. (75. 76.)

φρονίμως οὐδὲν ὑποτιθέμενος. [89] ἐὸν γὰρ ἅπαξ ἐκκενώσαντα τὸ σῶμα καθαίροντι φαρμάκῳ, μετὰ τοῦτο χρηστῶς ἀνατρέφειν, ἀναφωνήσεώς τε μέμνηται καὶ γυμνασίων αἰωρήσεών τε καὶ διαίτης ἐκ περιόδου μεταβαλλομένης (76) καί τινος ἀπὸ ῥαφανίδων ἐμέτου· κἄπειτα τὸν κολοφῶνα τούτοις ἐπάγει, τὸν ἐλλέβορον αὐτὸν, ὁ χωρὶς περιεργίας ἐπαγγειλάμενος ἅπαντα θεραπεύειν. ἐγὼ δ᾽ οὐδ᾽ ἐπινοῆσαι δύναμαι πῶς ἄν τις χεῖρον, ἢ μακρότερον, ἢ περιεργότερον ἕλκος ἰάσαιτο. φέρε γὰρ, ἵν᾽ ὥσπερ ἔργῳ πολλάκις ἑωράκαμεν, οὕτω καὶ τῷ λόγῳ πλάσωμεν ἄνθρωπον ἰάσεως ἕλκους κακοήθους δεόμενον. ἔστω τις ὑγιαίνων μὲν τἄλλα, κνησάμενος δ᾽ ἐξαίφνης ὁτιοῦν μόριον, εἰ βούλει πῆχυν, ἐγειράτω παραχρῆμα φλύκταιναν· εἶτ᾽ αὖθις καὶ αὖθις κνησμῶδες γιγνέσθω ταὐτὸ τοῦτο μόριον· ἐκραγείσης δὲ τῆς φλυκταίνης ἕλκος κακόχρουν, ἀνωμάλως ἀναβιβρωσκόμενον γενέσθω· καὶ ταῦτ᾽ ἐν τρισὶν ἢ τέτταρσιν ἡμέραις ἀπὸ τῆς ἀρχῆς συμπιπτέτω. λεγέτω δή τις ἐνταῦθά μοι τῶν Θεσσαλείων ἰατρῶν ὅντινα χρὴ τρόπον ἰᾶσθαι τὸ τοιοῦτον ἕλκος. ἐγὼ μὲν γάρ φημι

eft, ne hic quidem prudenter quicquam docens. Nam quum liceat corpore medicamento purgante femel vacuato, mox falubri victu ipfum reficere, hic vociferationum meminit exercitationumque et geftationum et victus certo ambitu mutati, tum vomitionis ex radicula, mox fummam his imponit ipfum veratrum, idem fcilicet qui fine ullo magno negotio omnia fanare promifit. Ego vero ne intelligere quidem poffum, quomodo quisquam aut deterius, aut majoris temporis difpendio, aut inani magis opera ulcus fanaverit. Age igitur ficut ufu nonnunquam vidimus, fic verbis quoque hominem fingamus, cui fanari ulcus cacoethes fit opus. Efto aliquis qui caetera quidem fit fanus, fed ex fcabenda derepente quapiam parte, veluti brachio, puftulam ftatim excitarit, mox eadem ipfa pars iterum pruritu vexetur puftulaque dirupta ulcus decolor inaequaliter erofum gignatur, atque haec in tribus quatuorve diebus a principio inciderint; dicat mihi hic quispiam ex medicis Theffaliis, quonam pacto fanare ejusmodi ulcus conveniat. Ego namque

κακόηθές τε πάντως ὑπάρχειν αὐτὸ καὶ διὰ τοῦτο συνεπισκέψομαι παραχρῆμα τὴν τοῦ παντὸς σώματος διάθεσιν, ὁποία τίς ἐστιν. εὑρήσω γὰρ ἔκ τε τῶν περὶ τὸ ἕλκος συμπτωμάτων κἀκ τῶν περὶ σύμπαν τὸ σῶμα φαινομένων σημείων, ὁποῖος μάλιστα τὴν ἰδέαν ἐστὶν ὁ πλεονάζων χυμός· καὶ τοῦτον ἐκκενώσω φαρμάκῳ παραχρῆμα· καὶ οὐκ ἀναμενῶ τὸν πῆχυν ὅλον τἀνθρώπου διάθεσίν τινα κακοήθη καὶ δυσίατον σχεῖν. οἱ δ' ἀπὸ τοῦ Θεσσαλοῦ, τὰς ἐκείνων δηλονότι φυλάττοντες ὑποθήκας, πρῶτον ἀναμενοῦσι χρόνιον γενέσθαι τὸ ἕλκος, ἵν' εἰς τὴν θαυμαστὴν ἐμπέσῃ κοινότητα τῶν χρονίων ἑλκῶν, ὥσπερ οὐκ ὂν ἄμεινον μακρῷ κακοηθῶν ἑλκῶν, ἀλλὰ μὴ χρονίων ἐνδεικτικὴν θεραπείας ὑποθέσθαι κοινότητα. εἶτα δυοῖν θάτερον, ἢ ἐκκόψουσι καὶ νεωτεροποιήσουσι καὶ συνάξουσιν ὡς εἰς κόλλησιν, ἢ πρῶτον μὲν τῷ διὰ τοῦ νάπυος χρήσονται φαρμάκῳ, τούτου δ' ἀνύσαντος μηδὲν ἐπὶ τὰς ἀναφωνήσεις τε καὶ τὰς αἰωρήσεις καὶ τὰ ἄλλα γυμνάσια καὶ τὰς τῆς διαίτης κατὰ περιόδους μεταβολὰς ἀφίξονται· κἄπειτα καὶ τοῖς ἀπὸ ῥαφανίδων ἐμέτοις

cacoethes omnino id dico, et ob id qualis fit totius corporis affectus ftatim confiderabo; inveniam namque tum ex ulceris ipfius fymptomatis tum ex fignis totius corporis apparentibus, cujus maxime generis fit is qui redundat fuccus, atque hunc medicamento protinus educam, nec protraham dum totus hominis cubitus affectum quendam malignum rebellemque curatione contrahat. At Theffali fectatores, ipfius videlicet praecepta fervantes, primum expectabunt dum ulcus inveteratum fit, quo in mirificam illam inveteratorum ulcerum communitatem recidat, quafi non longe melius effet malignorum ulcerum, non autem inveteratorum communitatem quae curationem indicaret tradere. Mox duorum alterum, aut excident et ceu recens vulnus reddent ac veluti ad glutinandum partes ejus adducent, aut primum quod ex finapi conficitur medicamento utentur, quo non proficiente ad fublatas voces et geftationes et reliquas exercitationes et victum per circuitus mutandum confugient; ab

χρήσονται, καὶ μηδὲ τούτων ἰασαμένων τὸ ἕλκος ἐλλέβορον δώσουσιν· ἂν δὲ μηδ᾽ οὗτος ἀνύσῃ μηδὲν, ἀποπέμψουσιν εἰς Λιβύην τὸν ἄνθρωπον· ἔτι γὰρ τοῦτ᾽ ἔδει προσγεγραφέναι τὸν Θεσσαλὸν ἐπὶ τῇ θαυμαστῇ τῶν ἑλκῶν τῶν κακοηθῶν ἰάσει. κατατρίβει γοῦν ἐν ἀναφωνήσεσιν, αἰώραις τε καὶ τοῖς τοιούτοις ὥσπερ καχεξίαν, ἀλλ᾽ οὐ κακοχυμίαν θεραπεύων. καὶ τί θαυμαστὸν, εἰ μήτε γνωρίζειν ὁμολογοῦσιν ἄρτι συνιστάμενον ἕλκος κακόηθες, ἀναμένουσί τε χρόνιον αὐτὸ γενέσθαι καὶ πολλάκις μὲν ἐπουλωθῆναι, πολλάκις δ᾽ ἀναλυθῆναι πρὸ τοῦ γνῶναι τί ποιητέον ἐστὶν, ὅπου καὶ *τοὺς ὁπωσοῦν πυρέξαντας ὑπερβάλλειν ἀξιοῦσι τὸν διὰ τρίτης ἡμέρας ἤτοι γενησόμενον ἢ μὴ γενησόμενον παροξυσμόν· οὕτως ἀκριβῶς ἄρα τὴν περὶ κρίσεων ἐκμεμαθήκασι θεωρίαν, ἢ τῆς μελλούσης ἀκμῆς τοῦ νοσήματος ὑπάρχουσι προγνωστικοί. τί δὴ συμβαίνει πολλάκις; ἐπὶ τῆς κλίνης κατασήπεσθαι τοὺς ἀνθρώπους ὑπ᾽ αὐτῶν, ἀπηλλάχθαι δυναμένους εὐθὺς ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν. οὐχ ἅπαξ γὰρ ἡμεῖς, ἢ δὶς, ἢ τρὶς, ἀλλὰ μυριάκις αὐτοί τε πολλοὺς τῶν

iis vomitionem ex radicula movebunt, quod fi his ulcus non fanabitur, veratrum dabunt; fin nec id profecerit, hominem in Libyam ablegabunt; nam id quoque adjicere debuit Theffalus, poft eximiam illam contumacium ulcerum curationem. Itaque in vociferationibus, geftationibus et aliis ejusmodi immoratur, quafi malum habitum corporis, non vitium humorum curent. Et quid miri fi tum fatentur fe ulcus cacoethes noviffime confiftens non noffe; tum vero, dum fit inveteratum ac faepe cicatricem ducat, faepe fe aperiat, manent, antequam quid facto opus fit intelligant; ubi etiam eos qui quoquo modo febricitent acceffionem, quae tertio die futura, non futurave eft, tranfire cenfent; adeo videlicet ad unguem contemplationem de crifi pernoverunt, aut fummum morbi incrementum futurum profpicere poffunt. Quid igitur faepe accidit? Nempe tabefcere in lectulis horum culpa homines, qui ftatim fecundo die explicari potuiffent. Non enim femel nos aut bis terve, fed fex-

πυρεξάντων ἐλουσάμεθα, ἅμα τῷ παύσασθαι τὸν πρῶτον παροξυσμόν· τούς τε διδασκάλους ἡμῶν ἐθεασάμεθα ταὐτὸ τοῦτο ποιοῦντας· ἀδεῶς τε τοῦ λοιποῦ διαιτᾶσθαι συνεχωρήσαμεν, ὡς οὐκ ἂν ἔτι πυρέξοντας, οὓς ὁ σοφώτατος Θεσσαλὸς, ὁ τὴν πρώτην [90] διάτριτον ἐξευρὼν, ἐταρίχευσεν ἂν ὅλαις, οἶμαι, τρισὶ λιμοκτονήσας ἡμέραις· εἶθ' οὕτως ἔθρεψεν ἂν, οἶμαι, δηλαδὴ μετρίως τεταρταίους. εἶτα κατ' ὀλίγον ἀνακομίζων μόλις ἑκταίους ἢ ἑβδομαίους ἀπέλυσεν ἂν ἐπὶ τὰ συνήθη τοὺς ἅπαξ πυρέξαντας. οὕτως ἀεὶ κατασήπουσι τοὺς ἀνθρώπους ἐν τοῖς πάθεσι, κἂν ἀπαλλαγῆναι ῥᾳδίως αὐτῶν ἦν δυνατόν. ὀλιγίσταις οὖν ἡμέραις οἷόν τε θεραπευθῆναι κακόηθες ἕλκος ἀρχόμενον ὁ Θεσσαλὸς εἰς ἐνιαυτὸν ἢ καὶ πλείονα χρόνον ἐκπίπτειν ἐᾷ. τὸ γὰρ ἀναμένειν πολλάκις μὲν αὐτὸ συνουλωθῆναι, πολλάκις δ' ἀναλυθῆναι, ἵν' εἰδῇ εἰ κακόηθες, κἄπειτα τῆς θεραπείας ἀρξάμενον οὐδ' οὖν οὐδὲ τότε καθαίρειν εὐθὺς, ἀλλὰ τῷ διὰ τοῦ νάπυος μὲν πρῶτον, εἶτ' αἰώραις ἀναφωνήσεσί τε καὶ διαίταις χρῆσθαι, κἄπειτα ῥαφανῖσιν, εἶθ' οὕτως ἐλλεβόρῳ, τί ἄλλο ἢ ἐνιαυτὸν

centies tum ipſi multos ſebricitantes ſimul ut prima acceſſio deſiit lavimus, tum praeceptores noſtros id ipſum facere vidimus, intrepideque de caetero victitare permiſimus, ceu poſt febre carituros; quos ſapientiſſimus Theſſalus, qui primam tridui inediam excogitavit prorſus areſeciſſet, totis, puto, tribus diebus fame confectos; mox dein, arbitror, modice ſcilicet in quarto die nutriviſſet, ab hoc paulatim reficiens vix ſexto aut ſeptimo ad conſueta munia qui ſemel febricitaſſent dimiſiſſet. Ita ſemper homines in morbis tabefaciunt, a quibus utique facile poſſent liberari. Nam quum pauciſſimis diebus ſanari ulcus cacoethes incipiens poſſet Theſſalus, id in annum aut etiam longius tempus incurrere ſinit. Manere namque, dum id cicatricem ſaepe inducat, ſaepe etiam ſe reſolvat, ut ſcias an cacoethes ſit; mox ubi curationem inceperis, ne tunc quidem corpus ſtatim purgare, ſed primum medicamento ex ſinapi, dein geſtatione et vociferatione et certo victu, poſt radicula ab his veratro uti; haec quid aliud quam annum expectantis ſunt?

ἀναμένοντός ἐστιν; εἶτ' ὦ πρὸς θεῶν ἓξ ἡμερῶν, ἢ τὸ πλεῖστον ἑπτὰ, δυναμένου τἀνθρώπου τεθεραπεῦσθαι, μῆνας ἀναμενοῦμεν πολλοὺς, ἵνα δηλαδὴ πρῶτον μὲν γνῶμεν εἰ χρόνιόν ἐστιν, ἔπειτα δ' ἀρξώμεθα τῆς θεραπείας; καὶ τίς ἦν ἀνάγκη χρονίων ἑλκῶν ἰδίαν ὑποθέσθαι κοινότητα, μηδὲν εἰς τὰς ἰάσεις ἡμᾶς ὠφελοῦσαν; ἐνὸν μὴ χρονίων, ἀλλὰ κακοηθῶν, οὐ κοινότητα μὰ Δία οὐδὲ τούτων ἐνδεικτικὴν, ἀλλὰ θεραπείαν γράψαι. συμβέβηκε μὲν γάρ τισιν ἕλκεσί τε καὶ νόσοις κακοήθεσιν ὑπάρχειν, οὐ μὴν ἀπὸ τούτου γε ἡ τῆς θεραπείας ἔνδειξις, ἀλλ' ἡ μὲν διάθεσις αὐτὴ τὸν πρῶτον τῆς ἰάσεως ὑπαγορεύει σκοπόν· ἐξ ἐκείνου δ' εὑρίσκεται τὰ ποιητέα καθ' ὃν ἐγὼ διελήλυθα τρόπον. ὥστε τοῦτ' ἔστι τὸ μεθόδῳ θεραπεύειν, ὃ ποιοῦμεν ἡμεῖς ἑπόμενοι τοῖς παλαιοῖς· εἴ γε χρὴ τὴν μέθοδον ὁδόν τινα εἶναι καθόλου μίαν ἁπάντων κοινὴν τῶν κατὰ μέρος. ὁ δέ γε κᾀν τούτῳ σφάλλεται καὶ τὸ πάντως ὑπάρχον τοῖς ὁτιοῦν μεθόδῳ ποιοῦσι, τοῦτο τὴν μέθοδον αὐτὴν εἶναι νομίζει. γνῶσιν μὲν γὰρ ἔχειν

An per deum *immortalem* quum fex diebus aut ad plurimum feptem poffet homo curari, multos menfes trahemus, quo videlicet primum, an diuturnum ulcus fit fciamus, dein curationem inchoabimus? Et quae demum neceffitas erat propriam inveteratorum ulcerum communitatem tradendi, praefertim quum nihil ad curationem conducat licueritque non inveteratorum, fed cacoethum, nec horum mehercle communitatem indicatricem, fed curationem fcribere? Nam accidit quibusdam tum ulceribus tum morbis ut maligni *rebellesque* ad curandum fint; nec tamen inde curationis indicatio fumitur, fed affectus ipfe primam curationis indicationem fuggerit; ex ea vero et quae funt agenda inveniuntur ad eum modum quem ipfe tradidi. Quare hoc eft methodo curare, quod nos facimus veteres imitantes; fi modo methodum effe oportet unam quandam univerfalem viam, quae omnium particularium fit communis. Hic vero etiam in hoc fallitur putatque quicquid omnino in iis habetur qui methodo aliquid faciunt, ipfam methodum effe.

Ed. Chart. X. [90.] Ed. Baf. IV. (76.)

ἀναγκαῖόν ἐστι τὸν μεθόδῳ πᾶν ὁτιοῦν ἐργαζόμενον ὁμοιότητός τε καὶ ἀνομοιότητος, οὐ μὴν αὐτό γε τοῦτ᾽ ἔστιν ἡ μέθοδος, ὁμοίου τε καὶ ἀνομοίου γνῶσις. οὐδὲ τοῦτο λέγει Πλάτων ἢ Ἀριστοτέλης, ὧν τολμᾷ καταψεύδεσθαι Θεσσαλός· ἀλλὰ γὰρ οὐ τοῦ παρόντος καιροῦ ταῦτ᾽ ἐξελέγχειν. αὖθις οὖν ἐπὶ τὴν θεραπευτικὴν μέθοδον ἐπάνειμι καὶ δείξειν ἐπαγγέλλομαι τήν τε ἀρχὴν αὐτῆς μίαν ἐν ἁπάσαις ταῖς ἰάσεσι, τήν τε ἀπὸ τῆς ἀρχῆς ὁδὸν ἕως τοῦ τέλους ὁμοίαν ἐν ἅπασι τοῖς κατὰ μέρος. ὥστ᾽ εἰ καὶ καθ᾽ ἕκαστον πάθος ἰδία τις φαίνοιτο μέθοδος ἰάσεως, ἀλλὰ τό γε κοινὸν ἐφ᾽ ἁπάσαις γένος ἓν ὑπάρχει. ἄρχεσθαι μὲν γὰρ ἀεὶ χρὴ τῆς ἐνδείξεως ἀπὸ τῆς διαθέσεως, ἣν θεραπεύειν ἐπιχειροῦμεν· ἐπισκέπτεσθαι δὲ καὶ διορίζεσθαι πότερον ἤδη πέπαυται τὸ ποιῆσαν αἴτιον τὴν διάθεσιν, ἢ καὶ νῦν ἔτι συνεπαύξει τε καὶ ποιεῖ· κἄπειτα πεπαυμένου μὲν ἐπὶ τὴν ἐν τῷ τρίτῳ τῶνδε τῶν ὑπομνημάτων εἰρημένην μέθοδον ἰτέον· ἔτι δὲ ποιοῦντος ἐπὶ τὴν ἐν τῷδε. τῇ γὰρ αὐτῇ μεθόδῳ τῇδε καὶ φλεγμονῆς

Nam notitiam certe habeat oportet tum fimilis tum diffimilis qui methodo quidvis molitur; non tam ipfum hoc methodus eft, fimilis diffimilisque notitia, neque hoc Ariftoteles Platove affirmat, quod falfo Theffalus citare audet; verum haec ad praefens refellere non attinet. Quare rurfus ad medendi methodum revertor, promittoque oftenfurum me tum unum effe ejus in omnibus curationibus principium tum] viam quae ab eo principio ad finem usque ducit in omnibus particularibus fimilem effe. Quare etfi in fingulis morbis privata quaedam methodus fanandi videtur, commune tamen in omnibus genus unum eft. Aufpicari namque perpetuo oportet ab indicatione, quae ab affectu cui mederi paramus *accipitur;* aeftimare vero ac discernere an caufa quae affectum excitavit jam defierit, an nunc quoque ipfum tum augeat tum faciat, dein fi defiit, ad eam quae in tertio hujus operis libro traditur methodum eft veniendum, fin adhuc facit, ad eam quae hic docetur. Quippe eadem hac methodo tum phlegmones tum febris tum omnium

καὶ πυρετοῦ καὶ πάντων ἁπλῶς τῶν νοσημάτων τὰς ἰάσεις ἐξευρήσομεν, εἰ μὲν μηκέτι γίγνοιτο μηδὲν, μὴ προσχρώμενοι τοῖς προηγησαμένοις αἰτίοις, ἀλλ᾽ ἐξ αὐτῆς μόνης τῆς διαθέσεως ὁρμώμενοι· εἰ δέ τι καὶ νῦν γίγνοιτο, καὶ διττὸν σκοπὸν τῆς θεραπείας ὑποτιθέμενοι καὶ τἄλλ᾽ ἑξῆς ὡς εἴρηται ποιοῦντες. ἀλλὰ γὰρ καὶ τῆς ἀναισθησίας τῶν ἑπομένων τῷ Θεσσαλῷ θαυμάζειν ἄξιον· οὐκ ἐπειδὰν [91] (77) ἐν τοῖς τοιούτοις ἁμαρτάνωσιν, ἀλλ᾽ ὅτι δυσπαθείας τε καὶ μετασυγκρίσεις, ἀτονίας τε καὶ ῥώσεις καὶ πολλὰ τοιαῦθ᾽ ἕτερα λέγοντες ὀνόματα σημαινόμενα πρὸς αὐτῶν, οὐδέπω καὶ νῦν ἐρωτηθέντες, ἀποκρίνασθαι δύνανται. τί γάρ ἐστι τὸ μετασυγκρίνειν τὴν ἕξιν ἐπὶ τῶν χρονιζόντων ἁπάντων οὐθ᾽ ὡσαύτως ἀλλήλοις οὔτε σαφῶς οὔτε νουνεχῶς ἀποκρίνονται. εἰ μὲν οὖν ἢ παλαιὸν ἢ παρά τινι τῶν Ἑλλήνων ἦν γεγραμμένον τοὔνομα, τάχ᾽ ἂν ἴσως ἐξ ὧν ἐκεῖνοι γράφουσιν ἐνοήσαμεν ἐφ᾽ ὅτου πράγματος ἐπιφέρουσιν αὐτό· νυνὶ δὲ, τῆς γὰρ τούτων ἐμπληξίας ἐστὶν οἰκεῖον, ἀπὸ τῆς Ἀσκληπιάδου γεγεννημένον ὑποθέσεως, ὥσπερ καὶ τἄλλα αὐτῶν

uno verbo morborum remedia invenias, utique fi nihil etiamnum fit, de praecedentibus caufis non laborans, fed ab ipfo tantum affectu ordiens. Sin nunc quoque aliquid fit, duos tibi curationis fcopos proponens tum alia deinceps, ut dictum eft, faciens. Sed enim mirari ftupiditatem eorum qui Theffalum fequuntur eft operae pretium, non utique quod in talibus delinquunt, fed quod dyfpathias et metafyncrifes et imbecillitates et firmitudines et alia id genus nomina non pauca proferentes, quae per ea fignificentur ne nunc quidem fi interroges refpondere poffunt. Nam quid fit quod in omnibus diuturnis *ulceribus* transmutare habitudinem nec fimiliter inter fe omnes, nec clare nec prudenter refpondent. Atqui fi vel antiquum nomen effet vel ab ullo Graecorum ufurpatum, ex iis fortaffis quae illi fcriberent intelligi poffet de quo id negotio dicerent; nunc quoniam ftupiditatis ipforum proprium eft, utique ex Asclepiadis hypothefi natum, ficut et reliqua eorum placita, aequum pro-

δόγματι δίκαιοι δήπουθεν εἰσὶ τοὺς ἰδίους ὀνείρους ἐξηγεῖσθαι· ὅθεν συγκρίνεσθαι τὰ σώματα καὶ διακρίνεσθαι τοῖς ὄγκους καὶ πόρους ὑποθεμένοις, ἢ ἄτομα καὶ κενὸν, ἢ ὅλως ἀπαθῆ καὶ ἀναλλοίωτα τὰ πρῶτα στοιχεῖα, μόνοις ἐγχωρεῖ λέγειν, ὥσπερ οὖν καὶ λέγουσι καὶ συνεχῶς αὐτοῖς χρῶνται τοῖς ὀνόμασι. καὶ δῆτα καὶ ὁ Θεσσαλὸς ἐν τῷ κανόνι ταύτας κατασκευάζων τὰς ἀρχὰς νεωτεροποιεῖ μέν τι κἀκεῖ παρὰ τὰ Θεμίσωνί τε καὶ Ἀσκληπιάδῃ δοκοῦντα· διδάσκει δ' οὖν ὅμως τὴν ἑαυτοῦ γνώμην οὐκ ἀσαφῶς. οὐ γὰρ ἁπλῶς ὡς Ἀσκληπιάδης ἐν συμμετρίᾳ μέν τινι πόρων τὸ ὑγιαίνειν ἡμᾶς ὑποθέμενος, ἐν ἀμετρίᾳ δὲ τὸ νοσεῖν, ἐπάνοδον εἶναι τὴν θεραπείαν εἰς τὴν ἀρχαίαν συμμετρίαν τῶν πόρων ὑπέλαβεν, οὕτω καὶ ὁ Θεσσαλὸς, ἀλλὰ τὸν τρόπον τῆς ποροποιΐας ὅλον ὑπαλλάττεσθαι νομίζει, κἀκ ταύτης τῆς ὑπολήψεως ἥκει τὸ μετασυγκρίσεως ὄνομα, ταὐτὸν δηλοῦν δυνάμει τῷ τῆς μεταποροποιήσεως. οὐκ ἐχρῆν δ' αὐτὸν ἐν οἷς ἀποχωρεῖν τῶν ἀδήλων κελεύει καὶ μόναις προσέχειν τὸν νοῦν ταῖς ἐναργῶς φαινομέναις κοινότησιν, ἐν τούτοις

fecto eft ipfi fua fomnia interpretentur, unde [misceri discernique corpora] folis iis, qui corpuscula et meatus, aut individua et vacuum, aut denique impatibilia et inalterabilia prima elementa ftatuunt, liceat ufurpare, ficut certe ufurpant et affidue ipfis nominibus utuntur. Quin etiam ipfe Theffalus in canone, quum haec principia confirmat, novat quidem aliquid ibi quoque praeter ea quae a Themifone et Asclepiade funt pofita, ceterum quod fentit docet fane non obscure. Non enim prorfus ut Asclepiades quum in fymmetria quadam exiguorum meatuum fanitatem, in ametria morbum conftitueret, reditum ad priftinam meatuum fymmetriam fanationem putavit: ita Theffalus quoque eft arbitratus, fed totum exiguorum meatum ftatum cenfet immutandum, atque ex hac opinione proceffit metafyncrifeos nomen, idem *plane* indicans poteftate quod metaporopoecefis *feu exiguorum meatuum ftatus mutatio.* Caeterum non decebat ipfum in quibus fugere ab incertis obscurisque jubet, et folis iis communitatibus quae evidenter apparent

ἔτι δογματικοῖς χρῆσθαι τοῖς ὀνόμασιν. ἀλλὰ μὴ δογματικῶς ἄκουε λέγοντος αὐτοῦ, φασὶν, ἀλλ' ἀφελῶς· εἰώθασι γὰρ οὕτως ἀντιλαμβάνεσθαί τινες τῶν ἀπ' αὐτοῦ, πάλιν ἐφ' ἕτερον ἡμᾶς ἄγοντες ὄνομα τὴν ἀφέλειαν, ἣν οὐδ' αὐτὴν ἐγὼ γοῦν ἔχω νοῆσαι τί δηλοῖ. εἰ μὲν γὰρ ὡς αὐτοὶ καὶ τοῦτ' ἐξηγοῦνται, πάλιν εἰς ἕτερον ὄνομα μεταλαμβάνοντες ληρωδέστερον τὸ βιωτικῶς, εἶτ' αὖθις καὶ τοῦτ' ἐξηγούμενοι φασὶ δηλοῦσθαι πρὸς αὐτοῦ τὸ τοῖς πολλοῖς τῶν ἀνθρώπων ὡσαύτως, ἴσον ἂν εἴη δήπου τὸ ἀφελῶς τῷ μὴ διηρθρωμένως μηδ' ἀκριβῶς, ἀλλ' ἀτέχνως τε καὶ χωρὶς ἐπιστήμης ἁπάσης· φθέγγονται μὲν γὰρ οἱ προπετέστεροι τῶν ἀνθρώπων ὀνόματα τεχνικὰ μετά τινων ὑπονοιῶν οὐδὲν ἐχουσῶν ἔρεισμα, τοῖς δ' ἐρωτήσασιν ὅ τι ποτὲ δηλοῦσιν οὐκ ἔχουσιν ἀποκρίνασθαι σαφῶς. εἰ δὲ τοῦθ' ὁμολογοῦσι καὶ οἱ Θεσσάλειοι πεπονθέναι, φθέγγεσθαι μέν τινα, μὴ γινώσκειν δ' ἀκριβῶς ἃ λέγουσιν, αὐτὸ δήπου προσίενται τὸ πρὸς ἡμῶν αὐτοῖς ὀνειδιζόμενον. ἡ γοῦν μετασύγκρισις εἰ μὲν ἐπὶ τοῦ τὴν

animum intendere, in iis quoque dogmaticorum uti nominibus. At ne dogmatice ipſum audias loquentem, inquiunt, ſed ſimpliciter; nam ita ferre ſuppetias ex ſectatoribus ejus quidam ſolent, ad aliud rurſus nomen nos revocantes, *nempe* [ſimplicitatem], quam ne ipſam quidem quid ſignificet ipſe ſane intelligere poſſum. Si enim, ſicuti ipſi hoc quoque rurſus exponunt, ad aliud magis frivolum nomen nos remittentes, *nempe* [communiter]; quod ipſum rurſus exponentes, ſignificari per id dicunt idem quod vulgo hominum ſimiliter, utique tantundem fuerit [ſimpliciter] ei quod non definite nec exacte, ſed ſine omni tum arte tum ſcientia; ſiquidem loquuntur homines magis ad loquendum praecipites artium nomina ſub ſenſibus quibusdam, qui nullo fundamento nitantur, rogati vero quid ſignificent oſtendere clare non poſſunt. Quod ſi hoc Theſſalii iſti accidere ſibi fatentur, loqui ſe quaedam, nec intelligere ſe exacte quae loquantur, id ipſum profecto fatentur, quod nos illis objicimus. Nam metaſyncriſis illa ſi quidem de immutanda poropoeia *ſeu exiguorum meatuum ſtatu* dicatur, certe in-

πορoποιΐαν ἐναλλάττεσθαι λέγοιτο, νοῦν μὲν ἕξει τινὰ καὶ δηλώσει τι πρᾶγμα, ληρώδης δ' ἔσται πολυειδῶς. οὔτε γὰρ ἐξ ὄγκων καὶ πόρων τὰ σώματα ἡμῶν συνέστηκεν οὔτ' εἰ καὶ τοῦτ' ἀληθὲς ἦν, ἔχει τις δεῖξαι πῶς ἐξαλλάττει τὸ νᾶπυ τὴν πορoποιΐαν, οὔτ' εἰ καὶ τοῦτ' εἶχέ τις δεῖξαι, κατὰ τὴν ἀκολουθίαν ἦν τῆς αἱρέσεως αὐτῶν, ἀρκεῖσθαι φασκόντων ταῖς φαινομέναις κοινότησι. [92] μὴ τοίνυν μηδὲ χρήσθωσαν τῷ ὀνόματι, μηδὲ πράγμαθ' ἡμῖν παρεχέτωσαν· ἔνεστι γὰρ δήπου καὶ χωρὶς τοῦ χρήσασθαι τῷ τῆς μετασυγκρίσεως ὀνόματι τὴν θεραπείαν εἰπεῖν τῶν χρονιζόντων ἑλκῶν ἑτέροις ὀνόμασιν, ὥσπερ καὶ οἱ ἐμπειρικοὶ ποιοῦσιν. ὅτι δὲ καὶ ἡ τῆς ἀτονίας προσηγορία κατὰ τὸν αὐτὸν τρόπον αὐτοῖς φλυαρεῖται δέδεικται πρόσθεν ἐν τῷ δευτέρῳ λόγῳ. εἰ μὲν γὰρ ὡς ἐμπειρικοὶ προσφέρονται τοὔνομα, πλέον οὐδὲν δηλοῦσι τοῦ μὴ σώζεσθαι τὴν ἐνέργειαν· εἰ δέ τινας ὑποτίθενται δυνάμεις τὸ ζῶον διοικεῖν, οἵας ἡμεῖς τε λέγομεν ἅπαντές τε σχεδὸν οἱ παλαιοὶ, πρὸς τῷ τοῖς Ἀσκληπιάδου δόγμασιν ἐναντία τίθεσθαι καὶ τῶν ἀδήλων τε καὶ διαπεφωνημένων

tellectus aliquid habuerit fignificaveritque rem aliquam, caeterum delirabit multis modis. Nam nec ex corpusculis et meatibus corpora noftra conftant, nec fi hoc verum effet, poffet tamen aliquis docere qua ratione finapi meatuum illorum ftatum immutaret; nec fi id quoque oftendere aliquis poffet, confentiens eorum fectae effet qui fe apparentibus communitatibus contentos effe dicunt. Ne igitur utantur hoc nomine, nec nobis negotia faceffant, licet enim et fine metafyncrifeos nomine, diuturnorum ulcerum curationem aliis verbis dicere, ficut empirici faciunt. Quod autem et in atoniae *five imbecillitatis* vocabulo fimili modo nugentur monftratum prius eft in fecundo libro. Si enim ficut empirici nomen ufurpant, aliud prorfus non fignificant quam quod actio non fervatur; fin autem facultates aliquas gubernare animal proponunt, quas tum nos afferimus tum omnes fere veteres praeter id, quod Asclepiadis dogmatis contradicunt, etiam incerta et de quibus parum inter auctores

ἐφάψονται, καίτοι φεύγειν ταῦτα παρακελευόμενοι. τί λέγεις ὦ ἄνθρωπε; τὸ μετασυγκρίνειν ἀποσαφήνισον ἡμῖν. εἰ μὲν γὰρ τὸ τοὺς πόρους ὑπαλλάττειν, καὶ ψευδῆ καὶ τῶν ἀδήλων ἐφάπτῃ· εἰ δ᾽ αὐτὸ τοῦτο τὸ ῥώννυσθαί τε καὶ ὑγιάζεσθαι τὸ μόριον τοῦ σώματος, ἢ τὸν ἄνθρωπον ὅλον, οὐδὲν ἂν πλέον ἐνταῦθα τῶν ἐμπειρικῶν ἀποφαίνῃ, πλὴν ὀνόματος. γιγνώσκουσι γὰρ δήπου κἀκεῖνοι τῶνδέ τινων προσαγομένων τῶν βοηθημάτων ὑγιάζεσθαι τὸν ἄνθρωπον, ἀλλὰ τί ποιούντων αὐτῶν οὐκ ἴσασιν. οὔτε γὰρ εἰ τοὺς πόρους ὑπαλλάττουσιν αἱ δυνάμεις τῶν βοηθημάτων, οὔτ᾽ εἰ συμμετρίαν αὐτοῖς ἐκπορίζουσιν, οὔτ᾽ εἰ σύμπαν ἀλλοιοῦσι κατὰ ποιότητα τὸ θεραπευόμενον μόριον, ἔχει τις εἰπεῖν τῶν ἐμπειρικῶν. ἐκεῖνοι μὲν οὖν σωφρονοῦσιν, ἓν μόνον ἐπίστασθαι λέγοντες, ὡς τῷ τοιῷδε νοσήματι κατὰ τόνδε τὸν καιρὸν προσφερομένου τοῦ διὰ νάπυος φαρμάκου, πολλάκις ἐτήρησαν ὠφέλειαν ἀκολουθοῦσαν. οὐ μὴν μεθόδους γε φθέγγονται καὶ τὰς ὀφρῦς ἀνατείνουσι καὶ σεμνύνονται τῇ τοιαύτῃ γνώσει καὶ τοῖς παλαιοῖς λοιδοροῦνται καὶ τὸν Ἱπποκράτην τὸ

conveniat attingunt, quamvis ea fugere jubeant. Sed dic nobis, o homo, clare quid fibi velit illud, transmutare habitudinem? Si namque exiguos meatus mutare, et falleris et quae incerta funt ufurpas; fi firmari fanamque reddi corporis partem vel hominem totum, nihil hic praeter nomen plus quam empirici doces. Quippe fciunt hi quoque remediis quibusdam admotis reddi hominem fanum, caeterum qua ratione remedia id faciant utique nefciunt. Neque enim an exiguos meatus mutet medicamenti facultas, neque an fymmetriam efficiat, neque an totam affectae partis qualitatem alteret, poteft empiricorum quispiam dicere. Atque illi faltem funt modefti, ut qui unum fe folum fcire dicant, huic fcilicet morbo in hoc tempore fi medicamentum ex finapi adhibeatur, faepe notaffe fe utilitatem fequutam, non tamen methodos loquuntur, fupercilium attollunt, nec tali fibi notitia placent, nec antiquis maledicunt, nec Hippocratem pro nihilo habent imo vero ipfum laudant fereque

Ed. Chart. X. [92.] Ed. Baf. IV. (77.)

μηδὲν ὑπειλήφασιν, ἀλλ᾽ αὐτὸν τοὐναντίον ἐπαινοῦσί τε καὶ σχεδὸν ἅπαντά φασιν ἀληθεύειν αὐτόν. ὁ δὲ καὶ τούτου καὶ τῶν ἄλλων ἰατρῶν ἁπάντων καταφρονήσας Θεσσαλὸς ἕλκους κακοήθους ἐμπειρικὴν ἀναγράφων διδασκαλίαν οὐκ αἰσθάνεται· καίτοι γ᾽ εἰ καὶ τοῦτο δεόντως ἐποίησεν, ἦν ἄν τι πλέον ἐξειργασμένος· ἀλλὰ γὰρ οὐδὲ τοῦτο ποιεῖν ἔοικεν, ὑπαλλάττων τὴν τάξιν τῶν βοηθημάτων καὶ πρότερον χρώμενος τῷ τοῦ πεπονθότος μέρους, πρὶν ἂν τὸ σύμπαν σῶμα παρασκευάσαι. τοῦτο γὰρ ὑπερβολὴν ἀμαθίας ἔχει· μόνον γοῦν σχεδόν τι τοῖς ἰατροῖς ἅπασιν ὡμολόγηται καίτοι ᾽γε τῶν πλείστων διαπεφωνημένων, τὸ πᾶν σῶμα κενὸν καὶ ἀπέριττον ἐργάζεσθαι, πρὶν ὁτιοῦν μόριον ἰσχυροῖς ὑποβάλλειν βοηθήμασιν. εἴτε γὰρ τῇ πείρᾳ κρίνειν ἐθέλει τις ἄν, εἴτε καὶ τῷ λογισμῷ, τρίτον γὰρ οὐδὲν ἕτερον κριτήριον οὔτε κατ᾽ ἄλλην τέχνην οὔτε καθ᾽ ὅλον τὸν βίον ἔχομεν, εὑρήσει μέγιστον κακὸν ὑπάρχον, ὅταν τοῦ παντὸς σώματος ἐπικουρίας δεομένου, πρὶν ἐκείνου προνοήσασθαι, τῷ πεπονθότι μορίῳ προσφέρει τις ὁτιοῦν δριμὺ καὶ θερμὸν φάρμακον.

omnia vere dixiffe affirmant. Hic vero Theffalus, qui tum hunc tum reliquos omnes medicos contemnit, empirica maligni ulceris praecepta fe fcribere non intelligit; quanquam fi vel hoc commode faceret, utique aliquid operae pretium faceret; at enim ne id quidem feciffe videtur, quum ordinem remediorum invertat et prius partis affectae remediis utatur quam totum corpus praeparaverit. Nam hoc infignis infcitiae argumentum eft, quum in uno eo fere omnibus medicis conveniat, quamvis in plurimis diffentiant, quod totum corpus vacuum purumque ab excrementis ante fit reddendum quam ulla pars valentibus remediis fit fubjicienda. Nam five experientia judicare quis velit, five etiam ratione, tertium enim quo judicet neque in alia quapiam arte neque in ulla vitae parte quisquam habet, maximum effe incommodum deprehendet, quum toto corpore fuam curam requirente, priusquam illi fit profpectum, affectae parti acre aliquod et calidum medicamentum fit ad-

Ed. Chart. X. [92. 93.] Ed. Baf. IV. (77. 78.)

ἕλκει γὰρ ἐφ᾽ ἑαυτὸ δίκην σικύας ἐξ ὅλου τοῦ σώματος τὰ περιττώματα καὶ στηρίζει δυςλύτως κατὰ τὸ πεπονθὸς μέρος. ἄξιον οὖν ἐρέσθαι τοὺς Θεσσαλείους, πόθεν ἐπῆλθε τῷ Θεσσαλῷ τοιαῦτα φλυαρεῖν ὑπὲρ ἑλκῶν κακοηθῶν ἰάσεως· οὔτε γὰρ ἐμπειρικὸς οὐδεὶς τῶν πρόσθεν οὔτε λογικὸς ἀνὴρ οὕτως ἔγραψεν· ἀλλὰ μὴν οὐδ᾽ αὐτὸς ὁ Θεσσαλὸς, οὐδὲ τῶν ἀπ᾽ αὐτοῦ τις τολμήσειεν εἰπεῖν ἢ τῇ πείρᾳ συμφωνεῖν ἢ τῷ λογισμῷ τὴν τοιαύτην τάξιν τῶν βοηθημάτων. οὐ μὴν οὐδὲ δεῖξαι δύνανται, πῶς ὁ χρόνος, οὐχ ἡ διάθεσις ἐνδείκνυται· καὶ τὸ τούτου μεῖζόν ἐστι, πῶς αὐτὸς ὁ Θεσσαλὸς, ἀξιῶν σκέπτεσθαι τί τὸ ἐμποδίζον ἐστὶ τὴν συνούλωσιν τῶν ἑλ-[93]κῶν, καὶ τοῦτ᾽ ἐκκόπτειν, οὐχὶ τελέως ἐστὶν ἀναίσθητος; (78) ἅμα μὲν οὐκ εἰδὼς ὡς τοῦτ᾽ ἀρκεῖ μόνον, ἡ χρονιότης δὲ τῶν ἑλκῶν οὐδέν ἐστι πρὸς ἔπος, ἅμα δὲ ὡς οὐκ ἐφ᾽ ἑλκῶν μόνον, ἀλλὰ κἀπὶ τῶν ἄλλων ἁπάντων νοσημάτων τοῦτο ποιητέον ἐστὶν, ὡς οἱ παλαιοὶ παραινοῦσιν. ἀλλὰ πρὸς ταῦτα μὲν ἡμῖν οὐδὲν ἀποκρίνονται· παρακοὰς δὲ ἑκάστοτε λέγοντες ὡς δῆθεν ἀκριβῶς μεμαθηκότες ἢ τὴν Ἱππο-

motum; trahit enim ad fe cucurbitae more ex toto corpore excrementa, atque ita in affecta parte affigit, ut aegre avelli poffint. Quo magis operae pretium eft Theffalios iftos percontari, undenam Theffalo in mentem venerit de ulcerum curatione talia nugari, quum nec empiricus quisquam ante nec rationalis vir ita fcripferit; fed nec ipfe Theffalus nec ejus fequacium quisquam ejusmodi remediorum ordinem aut cum experientia confentire aut cum ratione affirmare aufit. Adde quod nec docere poffunt quomodo tempus indicet, non autem affectus; fed neque, quod hoc majus eft, quomodo Theffalus, qui aeftimandum cenfet quid fit quod cicatricem ulcerum moretur, atque id tollendum non prorfus fit ftupidus? quanquam hoc tantum fatis effe non videat, diuturnitatem autem ulcerum nihil effe ad rem; tamen non in ulceribus modo, verum etiam reliquis morbis omnibus id effe faciendum, veluti veteres monent, *non advertit.* Verum ad haec nobis nihil refpondent; fed femper non recte intelligere nos dictantes, tanquam ipfi vel Hippocratis vel vete-

Ed. Chart. X. [93.] Ed. Baſ. IV. (78.)

κράτους, ἢ τὴν ἄλλου τινὸς τῶν παλαιῶν γνώμην, ὀρθῶς φασι τὸν Θεσσαλὸν ἀποφήνασθαι χρονίων ἑλκῶν εἶναί τινα κοινότητα μίαν. οὕτω γοῦν καὶ Ἱπποκράτην γινώσκειν ἐν τῷ περὶ ἑλκῶν ὧδέ πως γράψαντα· καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκέων ξυμφέρει αἷμα ποιέειν ἀποῤῥέειν πυκινὰ, ὅπως ἂν δοκέῃ καιρὸς εἶναι. τάχα οὖν ἄμεινον ἂν εἴη, καίτοι μὴ προειρημένον με περὶ τῆς Ἱπποκράτους γνώμης ἐνταυθοῖ διέρχεσθαι, δηλῶσαί τι κἂν διὰ κεφαλαίων ὑπὲρ αὐτῆς· εἴη δ' ἂν οὐδὲν ἧττον καὶ τῆς τῶν παλαιῶν διανοίας ἐξήγησις ὅδε ὁ λόγος. ἐκεῖνοι γὰρ οἱ ἄνδρες, ἅτε μήπω δουλεύοντες αἱρέσει δογμάτων, ἀλλὰ καθαρᾷ καὶ ἁπλῇ τῇ διανοίᾳ σπουδάζοντες ἐξευρίσκειν τι χρηστὸν εἰς τὰς ἰάσεις, ἔμελλον δήπου τὰ μὲν ἐκ τῆς πείρας εὑρήσειν, τὰ δὲ ἐκ τοῦ λόγου· καὶ γράψειν γε τὰ εὑρημένα πολλαχόθι μὲν χωρὶς τοῦ προσθεῖναι τὸν τρόπον τῆς εὑρέσεως, ἐνίοτε δὲ καὶ σὺν τούτῳ· καὶ τοῦτό γε ποιήσειν αὐτὸ τῆς ὠφελείας ἕνεκα τῶν ἀναγινωσκόντων· εἰ μὲν γὰρ εἰς τὴν ἐπιδέξιον χρῆσιν τῶν εὑρημένων ἤλπιζόν τι συντελέσειν τοῖς ἔπειτα τὸν τρόπον τῆς εὑρέσεως γνωσθέντα,

rum cujusquam ſententiam ad unguem intelligerent, recte Theſſalum dixiſſe affirmant diuturnorum ulcerum unam quandam communitatem eſſe. Ita enim Hippocratem quoque ſenſiſſe in libro de ulceribus ita ſcribentem: *etiam ab inveteratis ulceribus id agere, ut ſanguis crebro effluat, conducit, quomodocunque videtur oportunum eſſe.* Fortaſſis ergo ad rem pertineat, tametſi non praedixerim me de Hippocratis mente hoc loco diſſerturum, vel ſummatim aliquid de ea perſtringere, fuerit vero quod dicemus non minus et priscorum ſenſus interpretatio. Hos namque viros ceu nullius adhuc dogmatum ſectae addictos, ſed pura et ſimplici mente ſtudentes utile quippiam ad ſanitatem invenire, credibile ſane eſt quaedam experientia, quaedam inveniſſe ratione; tum ſcripſiſſe quae invenerant ſaepe non adhibita inventionis ſuae ratione, aliquando vero et adhibita, atque id feciſſe ipſius legentium utilitatis cauſa; quippe ubi ad dextrum inventorum uſum conducturum poſteris ſperabant, ſi rationem inventionis noviſſent, tum eam dili-

τηνικαῦτα μὲν ἀκριβῶς ἔγραφον· εἰ δὲ μὴ, περιττόν τε λέγειν ἡγοῦντο καὶ παρέλειπον. ὅτι γὰρ εἴ πέρ τι καὶ ἄλλο, καὶ ἡ βραχυλογία τοῖς παλαιοῖς ἐτετίμητο, πάντες ἤδη τοῦτο γινώσκουσι κἂν ἐγὼ μὴ λέγω· καὶ διά γε ταύτην τὴν αἰτίαν οὐχ Ἱπποκράτης μόνον, ἀλλὰ καὶ οἱ ἄλλοι παλαιοὶ τὸ μέσον ὑπερβαίνοντες ἐνίοτε τῷ πρώτῳ τὸ τρίτον συνάπτουσιν. εἰ γὰρ σημεῖον μὲν εἴη τὸ πρῶτον τοῦ δευτέρου, τούτῳ δ' ἐξ ἀνάγκης ἕποιτο τὸ τρίτον, οὕτως ἐπιφέρουσι τῷ πρώτῳ τὸ τρίτον ὑπερβαίνοντες τὸ δεύτερον. ἔδειξα δὲ πολλάκις τοιαῦτα τούς τ' ἄλλους παλαιοὺς καὶ μάλιστα πάντων τὸν Ἱπποκράτην γράψαντα, καὶ χρὴ τὸν βουλόμενον ἐθάδα γενέσθαι παλαιᾶς ἑρμηνείας ἐν ἐκείνοις γυμνάσασθαι. νυνὶ δ' αὐτὸ τὸ προβεβλημένον ἐξηγήσομαι μόνον.

Κεφ. έ. Ὅσα γὰρ τῶν ἑλκῶν, ἁπάντων ὀρθῶς καὶ δεόντως γιγνομένων ὅμως οὐ θεραπεύεται, καλεῖται μὲν ὑπὸ τῶν ἰατρῶν κακοήθη, χρονίζει δὲ πάντως ὅταν τὴν ὡς ἑλκῶν μόνην αὐτοῖς τις ἐπάγει θεραπείαν. ἥτις δ' ἐστὶ τῶν ἑλκῶν ὡς ἑλκῶν ἴασις ἐν τῷ πρὸ τούτου λόγῳ διώρισται. ταῦτα

genter prodiderunt; ubi fecus, fupervacuam relatu putaverunt et propterea omiferunt. Nam quod fermonis compendium, fiquidem et aliquid aliud, prisci in primis coluerint, id omnes vel me tacente jam norunt; atque ob hanc maxime caufam non Hippocrates modo, verum etiam reliqui priscorum medio interdum transgreffo primo tertium adnectunt. Si enim primum fecundi fit fignum, atque hoc tertium ex neceffitate fequitur, ita tertium primo fubjiciunt fecundum praetereuntes. Oftendi vero perfaepe tum reliquos antiquos tum vero maxime omnium Hippocratem talia fcripfiffe, debetque qui callere priscorum interpretandi genus volet in illis exercitari. Nunc vero ipfum quod propofitum eft tantum exponam.

Cap. V. Nam quae ulcera omnibus rite decenterque factis, tamen non fanantur, ea medici cacoethe, *feu maligna* vocitant. Diuturna autem prorfus fiunt, quum quis folam ipfis curationem inducit ut ulcera funt. Quae vero fit ulcerum ut ulcera funt curatio in libro qui hunc prae-

γοῦν τὰ ἕλκη καὶ κακοήθη καὶ πεπαλαιωμένα καὶ χρονίζοντα καλοῦσιν, ἀδιαφόρως χρώμενοι τοῖς ὀνόμασιν ἐπ᾽ αὐτῶν. καὶ δὴ καὶ πρὸς τὸ διαγνῶναι τὴν διάθεσιν, ὅτι κακοήθης, ἅμα τοῖς ἄλλοις γνωρίσμασι καὶ τὸ χρονίζειν αὐτὰ πάντων τῶν δεόντων γιγνομένων ἔχει τινὰ μοῖραν. οὐ μὴν τοῦτό γε αὐτὸ χρονίζειν ἢ χρόνια καλεῖσθαί τε καὶ εἶναι, τὴν προσήκουσαν ἐνδείκνυται θεραπείαν· ἀλλ᾽ ἐκ [94] μὲν τούτου τὸ μοχθηρῶς διακεῖσθαι τὸ ἡλκωμένον μόριον ἔνεστι συλλογίσασθαι· τούτου δ᾽ εὑρεθέντος εὐπορῆσαι τῆς θεραπείας. πῶς καὶ τίνα τρόπον; εἰ μὲν μόνα τὰ περιέχοντα μόρια τὴν ἕλκωσιν οὕτως εἴη διακείμενα, ταῦτ᾽ ἐξιασάμενον· εἰ δὲ σύμπαν τὸ σῶμα κακοχυμίας τινὸς εὑρίσκοιτο μεστὸν, ἐκείνην ἐκκενώσαντα. σημεῖον μὲν οὖν τῆς κακοχυμίας τὸ χρονίζειν τὰ ἕλκη· τοῦ συμφέροντος δ᾽ ἡ εὕρεσις, οὐκ ἐκ τοῦ χρονίζειν, ἀλλ᾽ ἐκ τῆς κακοχυμίας. ὥστ᾽ εἶναι τρία ταῦτ᾽ ἐφεξῆς ἀλλήλων, τὸ σημεῖον, τὴν διάθεσιν, τὴν θεραπείαν· σημεῖον μὲν τὸ χρονίζειν· διαθεσιν δὲ τὴν κακοχυμίαν· θεραπείαν δὲ τὴν ταύτης κένωσιν. καὶ κατὰ τοῦτο πολλάκις τοὺς παλαιοὺς

cedit definitum eft. Haec igitur ulcera et cacoethe et inveterata et diuturna vocant, indifferenter his nominibus in ipfis utentes. Quin etiam ad dignoscendum quod affectus ipfe cacoethes, una cum aliis notis etiam id, quod peractis etiam quae decent omnibus diuturna fiant, aliquam portionem habet. Non tamen aut ipfa diuturnitas, aut quod diuturna et vocentur et fint, idoneam curationem indicat; fed ex hoc, quod male affecta fit ulcerata pars licet colligere; hoc vero invento et curationis ratio conftabit. Quo, inquies, modo? fi folae partes, quibus ulcus infidet, ita fint affectae, has fanaveris; ubi totum corpus vitiofo aliquo fucco abundat, fi hunc vacuaveris. Ac fignum quidem vitiofi fucci eft ipfa ulceris diuturnitas, inventio autem ejus quod expedit non ex diuturnitate, fed ex fucci vitio fuggeritur. Quare tria haec deinceps fe habent, fignum, affectio et curatio; fignum quidem ipfa diuturnitas, affectus fucci vitium, curatio ejus vacuatio. Atque hac ratione faepe

ὑπερβαίνοντας τὸ μέσον ἐπὶ τὸ τρίτον εὐθέως ἀπὸ τοῦ πρώτου παραγίνεσθαι, ὥσπερ καὶ Ἱπποκράτης ἐποίησεν εἰπών· καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκῶν ξυμφέρει αἷμα ποιέειν πυκινὰ, ὅπως ἂν δοκέῃ καιρὸς εἶναι· οὐ τῆς παλαιότητος δήπουθεν ἐνδειξαμένης τὴν θεραπείαν, ἀλλὰ τῆς μοχθηρίας τοῦ αἵματος. ἐπιφέρων γοῦν αὐτὸς ἐρεῖ· κωλύει γὰρ μάλιστα μὲν τὰ τοιαῦτα ἕλκεα ὑγιαίνεσθαι, ἔπειτα δὲ καὶ τἄλλα σύμπαντα αἵματος σηπεδὼν, καὶ ὅ τι ἐξ αἵματος μεταστάσιος γεγένηται. καὶ δὴ καὶ μετ᾽ ὀλίγον αὖθις ὑπὲρ τῶν μὴ συνιόντων εἰς οὐλὴν ἑλκῶν διεξιὼν, οὐδ᾽ ἢν, φησὶ, τὰ περιέχοντα τοῦ ἕλκεος μελανθῇ αἵματος σηπεδόνι, ἢ καὶ κιρσοῦ παρέχοντος τὴν ἐπιῤῥοὴν, οὐδὲ ταῦτα ἐθέλει συνιέναι, ἢν μὴ τὰ περιέχοντα τοῦ ἕλκεος ὑγιέα ποιήσῃς. εἶτα καὶ περὶ τῶν κιρσῶν τῆς ἰάσεως γράφει. καὶ πρὸς τούτοις ἔτι καθάρσεως μέμνηται τοῦ σύμπαντος σώματος ἐπί τε ἄλλοις τισὶ τρώμασι καὶ οἷς σφακελίσαι κίνδυνος, ἕρπησί τε καὶ πᾶσι τοῖς ἐσθιομένοισιν· οὕτω δ᾽ ὀνομάζειν εἴωθε τὰ ἀναβιβρωσκόμενα. καὶ μὲν δὴ κἀν τοῖς ἐφεξῆς πάλιν ὧδέ πώς φησιν· ἐπὶ παντὶ

veteres invenias medio praetermiffio tertium ftatim primo fubjicere, veluti Hippocrates fecit quum dixit: *tum ab inveteratis ulceribus confert ut affidue fanguinem effluere facias, utcunque id opportunum videbitur;* non utique curationem indicante vetuftate, fed fanguinis vitio; quippe ipfe mox fubjicit; *prohibet namque maxime quidem ejusmodi ulcera fanescere, poft vero etiam reliqua omnia putredo fanguinis, et fiquid ex fanguinis transmutatione eft ortum.* Quin etiam poft paulo quum de ulceribus quae ad cicatricem non veniunt differit, *nec fi,* inquit, *quae ulcus ambiunt nigricent, fanguine putri, aut etiam varice fluxionem fuppeditante, id genus ulcera coire poffunt, nifi quae ulcus ambiunt fana reddas.* Poft etiam de varicum fanatione fcribit. Ad haec etiam purgationis meminit totius corporis tum in aliis quibusdam vulneribus tum iis quibus fphacelum inftare eft metus. Praeterea herpetibus et efthiomenis omnibus, ita enim nominare folet ea quae humor aliquis erodit. Jam vero in iis quae mox fequuntur

ἕλκει, ἐρυσιπέλατος ἐπιγενομένου, κάθαρσιν ποιέεσθαι παντὸς τοῦ σώματος. καὶ ὅλως εἰ θελήσαις ἐπιμελῶς διελθεῖν τὸ περὶ τῶν ἑλκῶν βιβλίον, εὑρήσεις αὐτὸν ἀεὶ μὲν ἀπὸ τῶν διαθέσεων τὴν ἔνδειξιν λαμβάνοντα· προσχρώμενον δέ ποτε τῷ χρόνῳ πρὸς τὴν τῆς διαθέσεως διάγνωσιν. ὅτι δ' οὕτω ταῦτ' ἔχει μάθοις ἂν ἐκ πρώτης μὲν ἀρχῆς τοῦ συγγράμματος, ἐχούσης ὧδε· ἕλκεα ξύμπαντα οὐ χρὴ τέγγειν πλὴν οἴνῳ· ὅτι πολλάκις ἑτέρα διάθεσις ἐπιπλακεῖσα τῷ ἕλκει κωλύει τὴν ὡς ἕλκους προσφέρεσθαι θεραπείαν. καὶ τὴν αἰτίαν διδάσκων φησί· τὸ γὰρ ξηρὸν τοῦ ὑγιέος ἐγγυτέρω ἐστὶ, τὸ δ' ὑγρὸν τοῦ μὴ ὑγιέος. εἶθ' ἑξῆς· τὸ γὰρ ἕλκος ὑγρόν ἐστι· τὸ δὲ ὑγιὲς ξηρόν ἐστι. καὶ διὰ τοῦτο καθ' ὅλον τὸ σύγγραμμα τῆς θεραπείας τῶν ἑλκῶν ἁπάσης σκοπὸν ποιησάμενος τὸ ξηραίνειν, οὕτως ἤδη τὰ κατὰ μέρος ἐξευρίσκει, σὺν τῷ καὶ πολλάκις ἀναμιμνήσκειν ἡμᾶς τοῦ σκοποῦ. ἔν τε γὰρ τῷ γράψαι, τῶν δὲ ἑλκέων ὅ τι μὲν ἂν ὀξεῖ βέλει ἢ διατμηθῇ, ἢ διακοπῇ, ἐνδέχεται καὶ ἔναιμον φάρμακον τὸ κωλῦον διαπύειν καὶ ἀναξηραῖνον· γίνεται γὰρ ἀποῤῥέοντος τοῦ αἵματος ξη-

rurfus ad hunc modum fubjungit: *cuicunque ulceri eryfipelas fupervenerit, purgatio totius corporis adhibenda eft.* Et in fumma fi curiofe librum de ulceribus revolvas, invenies femper eum ab affectu indicationem fumere, uti vero interdum et tempore, fed ad affectum noscendum. Quod vero haec ita fe habeant ex ipfo libri ingreffu agnoscas qui talis eft: *ulcera madefacere, quaecunque ea fuerint, nifi vino non oportet,* quod alter *faepenumero affectus ulceri implicitus ulceris curationem adferri prohibeat,* tum caufam docens ait: *Nam ficcum fano vicinius eft, humidum vero non fano.* Et mox, *ulcus enim humidum eft, fanum autem ficcum.* Ideoque per totum librum quum totius ulcerum curationis fcopum ficcationem ftatuat, mox particularia invenit, etiam finis ipfius faepe nos commonefaciens. Quum enim ita fcribit: *quodcunque ulcus acuto telo caefim, percuffimve divifum eft, medicamentum cruentis aptum feu* enaemum, *ac ficcans et quod fuppurare vetet admittit; fit*

ρότερον. καὶ πάλιν· ὁκοῖα δ' ἂν καθαρθέντα καλῶς καὶ ἐς τὸ δέον ἀεὶ ἐπὶ τὸ ξηρότερον θεραπεύεται, πλὴν εἰ θλασθῇ. καὶ πάλιν, ὅ τι δ' ἂν μὴ δύνηται προσθεῖναι, ἡ σὰρξ ὑγρὴ ἐοῦσα αἰτίη ἐστίν· ἐν τοῖς τοιούτοις ἅπασιν ἀναμιμνήσκει τοῦ πρώτου σκοποῦ τῶν ἑλκῶν τῆς ἰάσεως. ἕλκους γὰρ ᾗ ἕλκος ἐστὶν ἴαμα τὸ ξηραίνεσθαι μετρίως· εἴρηται δ' ἡ ἀπόδειξις ἐν τῷ πρὸ τούτου βιβλίῳ. τοῦ μέντοι μεθ' ἑτέρας διαθέσεως ἧς πρώτης χρὴ ποιήσασθαι τὴν ἐπιμέλειαν, οὐκ ἔθ' ὡς ἕλκους ἐστὶν ἡ θεραπεία μόνου, ἀλλὰ πρώτη μὲν ἐκείνης τῆς διαθέσεως, ἐφεξῆς δὲ τοῦ ἕλκους· εἴτε γὰρ φλεγμονή τις, (79) εἴτε μελανότης, εἴτ' ἐκχύμωσις, εἴτ' ἐρυσίπελας, εἴτ' οἴδημα περὶ τὴν ἡλκωμένην συσταίη σάρκα, πρώ[95]της ἐκείνης χρὴ ποιεῖσθαι τὴν θεραπείαν. ἀλλ' ὅτι γε τὸ ἕλκος ἐν τούτῳ τῷ χρόνῳ μὴ ὅτι θεραπεύεται προσηκόντως, ἀλλὰ καὶ πολὺ μεῖζον ἑαυτοῦ γίνεται, παντί που δῆλον· εἴτε γὰρ θλασθείη τὰ πέριξ χωρία τοῦ ἕλκους, εἴτε φλεγμονή τις, εἴτ' ὄγκος ἕτερος ἐν αὐτοῖς συσταίη, τὴν οἰκείαν ἐκείνης τῆς διαθέσεως ἴασιν ἐξευρήσομεν, εὖ εἰδότες ὡς οὐχ οἷόν τ' ἐστὶν

*enim effluente ſanguine ſiccius.* Et rurſus: *quaecunque probe et opportune purgata, ſemper ad ſiccius promoventur niſi ſi contuſa ſunt.* Et rurſus: *ſi quod coire nequit, humecta caro cauſa eſt.* In his omnibus primi ſanandorum ulcerum ſcopi nos admonent. Siquidem ulceris qua ulcus eſt ſanatio mediocris ſiccatio eſt, cujus rei demonſtratio in libro qui hunc praecedit tradita eſt. Verum ulceris quod cum alio affectu conjunctum eſt, cujus praecedere curationem oportet ejus curatio, ut ulceris ſolius non eſt, ſed prior illius affectus ſecunda ulceris. Nam ſive phlegmone aliqua, ſive nigritia, ſive ecchymoſis, ſive eryſipelas, ſive oedema ulceratam carnen obſederit, primum ejus molienda curatio eſt. At vero quod ulcus hoc tempore non ſolum non commode curatur, ſed multo etiam majus redditur, id neminem lateat; nam ſive contuſa fuerint circumpoſita ulceri loca, ſeu phlegmone aliusve tumor in his conſtiterit, propria ejus affectus ſanatio invenienda nobis eſt, illud pro certo habentibus, fieri non poſſe ut ulcus ſanetur,

Ed. Chart. X. [95.] Ed. Baf. IV. (79.)

ἰαθῆναι τὸ ἕλκος πρὶν ὑγιᾶναι τὸ χωρίον ἐν ᾧ συνέστη. διὰ τοῦτ᾽ οὖν καὶ αὐτὸς ὁ Ἱπποκράτης ἀναμιμνήσκων ἡμᾶς ὧν εὐθὺς ἐν ἀρχῇ τοῦ συγγράμματος ἀπεφήνατο, τά τ᾽ ἄλλα τὰ μικρῷ πρόσθεν εἰρημένα προσέγραψε καὶ μέντοι καὶ τάδε· τῶν δ᾽ ἑλκέων ὅ τι μὲν ἂν ὀξεῖ βέλει ἢ διατμηθῇ, ἢ διακοπῇ, ἐνδέχεται καὶ ἔναιμον φάρμακον τὸ κωλῦον διαπύειν καὶ ἀναξηραῖνον. εἴ τις δ᾽ ὑπὸ τοῦ βέλους ἐθλάσθη τε καὶ διακόπη σὰρξ, ταύτην ἰατρεύειν, ὅπως διάπυος ὡς τάχιστα γένηται· ἧττόν τε γὰρ φλεγμαίνει καὶ ἀνάγκη τὰς σάρκας τὰς θλασθείσας καὶ κοπείσας καὶ σαπείσας καὶ πῦον γεννωμένας ἐκτακῆναι, ἔπειτα βλαστάνειν νέας σάρκας. δηλοῖ γὰρ ἐν τούτῳ τῷ λόγῳ σαφῶς ὡς μόνας ἐκείνας τῶν ἐν τοῖς ἡλκωμένοις μέρεσι γινομένων διαθέσεων οὐ χρὴ ξηραίνειν ἐφ᾽ ὧν ὅ τι τάχιστα γεννῆσαι βουλόμεθα πῦον, εὐθὺς συνεμφαίνων ὅτι μετὰ σήψεώς τινος γεννᾶται τὸ πῦον. ἅπαντα δὲ τὰ σηπόμενα θερμῷ καὶ ὑγρῷ τοῦτο πάσχει. καὶ τοίνυν καὶ τὰ διὰ τῆς ὠμηλύσεως καταπλάσματα θερμαίνοντά τε καὶ ὑγραίνοντα προσφέρομεν ἐπὶ πασῶν τῶν ἐκπυῆσαι δεομένων

nifi locus in quo confiftit prius fit fanatus. Ac proinde Hippocrates ipfe reducens nobis in memoriam ea, quae ftatim in libri initio tradiderat, tum quae reliqua paulo ante funt comprehenfa, tum vero haec adfcripfit: *quodcunque ulcus caefim percuffimve acuto telo eft divifum, medicamentum enaemum et ficcans et quod fuppurare vetet, admittit. Sin caro aliquo telo tum contufa tum caefa fit, huic ita medendum eft ut quam celerrime fuppuret; nam et minus phlegmone urgebitur, et neceffe eft carnes contufas, caefas, putrefactas et in pus verfas liquari, poftea novam carnem nasci.* Indicat enim hoc fermone manifefte folos eos ulceratarum partium affectus non effe ficcandos, in quibus gigni quam celerrime pus cupimus, quod cum aliqua putredine pus fiat obiter docens. Porro omnia quae putrefiunt ex calido et humido fic afficiuntur. Ideoque etiam ea cataplasmata quae ex hordei farina componuntur ceu quae calefaciant humectentque, omnibus iis affectibus

διαθέσεων. ὠμήλυσις γὰρ δι᾽ ὑδρελαίου καὶ ἄρτος δι᾽ ὑδρελαίου καὶ καταιόνησις δι᾽ ὕδατος θερμοῦ πολλοῦ καὶ ἡ τετραφάρμακος δύναμις, ἅπαντά τε τὰ θερμαίνοντα καὶ ὑγραίνοντα διαπυΐσκει τάχιστα. διὰ τοῦτο καὶ τοῖς φλεγμαίνουσι μορίοις, ἐπειδὰν ἤδη σφύζῃ σφοδρότερον, ὡς ἀπελπισθῆναι τὴν χωρὶς διαπυήσεως ἴασιν, ἐπ᾽ αὐτῶν ἅπαντες οἱ παλαιοὶ τὰ τοιαῦτα προσφέρουσι φάρμακα, πρότερον δ᾽ οὔ. καὶ τοῦτο καὶ αὐτὸς ὁ Ἱπποκράτης ἐναργῶς ἡμᾶς διδάσκει κατά τε τὴν προγεγραμμένην ῥῆσιν, ἐν ᾗ κελεύει τὰ μὲν χωρὶς τοῦ τεθλάσθαι τετρωμένα μόρια ξηραίνειν ὡς μάλιστα, τὰ δ᾽ ἅμα θλάσει τινὶ γεγενημένα διαπυΐσκειν ὡς τάχιστα. καὶ μέντοι κἀπειδὰν εἴπῃ, τὰ δὲ ἕλκεα ὅσα μὴ καλῶς καθαρθέντα ἐς τὸ δέον, ἀεὶ πρότερον ἄρξεται βλαστάνειν, ταῦτα ὑπερσαρκέει μάλιστα· ὁκοῖα δ᾽ ἂν καθαρθέντα καλῶς καὶ ἐς τὸ δέον ἀεὶ, ἐπὶ τὸ ξηρότερον θεραπεύεται, πλὴν εἰ θλασθῇ, ταῦτα οὐχ ὑπερσαρκέει ὡς ἐπιπολύ. καὶ γὰρ καὶ ἐνταῦθα τὸ πλὴν εἰ θλασθῇ προσκείμενον, ἀναμιμνήσκει τοῦ κατὰ τὴν

quibus moveri pus expedit admovemus. Hordei namque farina ex aqua et oleo praeterea fomentum multae calidae aquae, et tetrapharmaci vis, omnia denique quae calefaciunt et humectant celerrime pus movent. Ideoque etiam iis partibus, quae phlegmone infeftantur, ubi vehementius jam pulfitant, fic ut jam defperetur de horum citra pus curatione, veteres omnes ejusmodi applicant medicamenta, ante vero nequaquam. Atque hoc Hippocrates ipfe aperte nos docet in memoratis jam verbis, quibus jubet quae fine contufione vulneratae partes funt, quam maxime ficcare: quae cum contufione quadam funt laefae, iis quam primum pus movere. Quin etiam cum dixit: *quaecunque ulcera non probe et ut convenit expurgata, femper prius pullulare incipiunt, iis maxime caro fupercrescit; quae vero probe et ut decet expurgata, femper ad ficcius promoventur, iis nifi fit contufa, caro ut plurimum non fupercrescit.* Etenim hic illud, *nifi fint contufa*, quod adjicitur, redigit nobis in memoriam quod in fuperius proditis verbis eft dictum, nempe opor-

προγεγραμμένην λέξιν εἰρημένου, τοῦ χρῆναι πάντα ξηραίνεσθαι πλὴν τῶν θλασθέντων. οὐδὲ γὰρ ὁπότε τὰ φλεγμαίνοντα καταπλάσσεται θερμαίνοντι καὶ ὑγραίνοντι καταπλάσματι, κατὰ πρῶτον λόγον γίνεται τοῦτο· τοῦτ᾽ ἔστιν οὐχ ὡς ἴαμα τῆς διαθέσεως, ἀλλ᾽ ὡς παρηγορία τοῦ συμπτώματος· ἐπεί τοι τὰ τῶν φλεγμονῶν αὐτῶν ἰάματα τῆς ξηροτέρας ἐστὶ δυνάμεως. ἄκουσον γοῦν λέγοντος τοῦ Ἱπποκράτους, καταπλάσματα οἰδημάτων καὶ φλεγμασίης τῆς ἐν τοῖς περιέχουσιν, εἰ ἑφθῆ φλόμος, καὶ τῆς τριφύλλου τὰ φύλλα ὠμὰ καὶ τοῦ ἐπιπέτρου τὰ φύλλα ἑφθὰ καὶ τὸ πόλιον· ἅπαντα γὰρ ταῦτα ξηραίνειν πέφυκε, καθότι κἀν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν ἐλέγετο. καὶ ἡ σύντομος θεραπεία τῶν φλεγμαινόντων μορίων, διὰ τῶν τοιούτων ἐπιτελεῖται φαρμάκων, ἃ ἤτοι τελέως ἐξιᾶται τὴν διάθεσιν· ἢ εἰ καὶ καταλείπει τι βραχὺ διαπυΐσκον, ἑτέρου χρήζει φαρμάκου δριμέος [96] ἐκκενοῦν δυναμένου τὸ πῦον· ἢ εἴπερ λεπτὸν εἴη τὸ περιέχον δέρμα καὶ θᾶττον ἀπαλλάξαι τὸν κάμνοντα βουλόμεθα, τομῆς ἐστι χρεία. ἡ δὲ διὰ τῆς ὠμηλύσεως ἀγωγὴ τῶν φλεγμαι-

tere omnia ficcari, praeter ea quae contufa funt. Neque enim ficubi cataplasmate quod calefaciat humectetque illinuntur, quae phlegmone infeftantur, ex prima ratione id fit, hoc eft ut remedium affectus, fed ut fymptomatis mitigatio, fiquidem ipfius phlegmones remedia ficciorum funt facultatum. Audi namque loquentem Hippocratem: *cataplasmata oedematum et phlegmones, quae in circa pofitis confiftit, verbascum coctum et folia trifolii cruda et epipetri folia cocta et polium;* quippe omnia haec ficcandi vim habent, veluti in commentariis de fimplicibus medicamentis docuimus. Et compendiaria obfeffarum phlegmone partium curatio per id genus praefidia obitur, quae fane vel affectum prorfus fubmovent, vel fi quid exiguum quod fuppuret reliquerint, alterum medicamentum acre quod educere pus queat requiritur, vel fi tenuis circumpofita cutis fit, velisque quam celerius explicatum aegrum, fectio petenda eft. Caeterum curatio phlegmones per hordei farinam do-

νόντων ἐκ τοῦ παρηγορικοῦ τρόπου τῆς τέχνης ἐστὶν, οὐ τοῦ θεραπευτικοῦ τε καὶ ἀγωνιστικοῦ· ἀλλὰ περὶ μὲν τῆς τῶν τοιούτων διαφορᾶς ἐν τοῖς ἑξῆς πλέον ἐροῦμεν. ὅτι δὲ τὰ ἕλκη πάντα ξηραίνειν ὁ Ἱπποκράτης κελεύει καὶ ὅτι τὸν σκοπὸν εἶναι τῆς ἰάσεως ἀπεφήνατο τῆς διαθέσεως ἐνδειξαμένης, οὐ τοῦ χρόνου, σαφῶς ἤδη μοι δεδεῖχθαι νομίζω. εἰ δέ τις ἐπὶ μᾶλλον πεισθῆναι βούλεται, τῷ περὶ τῶν ἑλκῶν βιβλίῳ τἀνδρὸς ἐπιπλέον ὁμιλησάτω πάντα, γνώσεται γὰρ ἐναργῶς αὐτό τε τοῦτο τὸ μίαν εἶναι πάντων ἑλκῶν ἴασιν καθόλου τὴν ὑφ' ἡμῶν ἐν τῷ πρὸ τούτου λόγῳ δεδειγμένην, ἔτι τε πρὸς τούτῳ κἀκεῖνο μαθήσεται, τὸ μηδεμίαν ὑπάρχειν ἔνδειξιν ἀπὸ τοῦ χρόνου μήτ' ἐπὶ τῶν ἑλκῶν μήτ' ἐπὶ τῶν φλεγμονῶν μήθ' ἁπλῶς ἐπ' ἄλλης ἡστινοσοῦν διαθέσεως. ἐπεὶ δὲ κατὰ τοῦτο τοῦ λόγου γεγόναμεν, ἐπιδεῖξαι δίκαιον ὡς οὐ μόνον ὧν ἄρτι διεληλύθαμεν εὑρετὴς ὁ Ἱπποκράτης ἐστὶν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων ὅσα χρὴ γινώσκειν τὸν μέλλοντα καλῶς ἕλκος ἰάσασθαι. φαίνεται γὰρ οὐ μόνον τῶν ἄνευ τινὸς ἑτέρας διαθέσεως ἑλκῶν ἐξευρὼν τὴν ἴασιν,

lorem lenire ſtudentis eſt, non medentis et contra malum pugnantis; verum de talium differentia in ſequentibus plenius docetur. Illa porro mihi demonſtrata manifeſte puto, Hippocratem tum ulcera quaeque ſiccanda eſſe juſſiſſe, tum hunc eſſe curationis ſcopum ſanxiſſe, ipſo ſcilicet affectu indicationem praebente, non tempore. Quod ſi quis hoc magis etiam ſibi perſuaſum cupit, librum ejus de ulceribus totum diligentius evolvat; intelliget enim illud ipſum perſpicue, tum unam eſſe ulcerum omnium generalem curationem, quam nos proximo libro docuimus, tum vero non minus illud, nullam eſſe a tempore nec in ulceribus, nec in phlegmone, nec denique in alio quopiam affectu indicationem. Quoniam vero in hunc ſermonis locum pervenimus, aequum eſt oſtendere non modo horum quae jam retulimus fuiſſe inventorem Hippocratem, ſed etiam reliquorum omnium quaecunque hunc ſcire qui commode ulcus ſit ſanaturus eſt opus. Videtur enim is non ſolum ulcerum quae citra alium affectum conſiſtunt ſanandorum rationem

Ed. Chart. X. [96.] Ed. Baſ. IV. (79.)

ὡς ἐν τῷ ξηραίνειν ἐστὶν, ἀλλὰ καὶ τῶν διαθέσεων ἁπασῶν, ἑκάστης ἰδίᾳ καὶ εἶδος. ἤτοι γὰρ οὐκέτ' ἐπιῤῥεῖ τῷ δεδεγμένῳ τὴν ἕλκωσιν μορίῳ μοχθηρὸς χυμὸς, ἢ ἐπιῤῥεῖ· μηκέτι μὲν οὖν ἐπιῤῥέοντος, αὐτὸ μόνον ἰᾶσθαι χρὴ τὸ πεπονθός· εἰ μὲν ἤτοι πελιδνὸν, ἢ μέλαν, ἢ ἐρυθρὸν εἴη, σχάζοντάς τε καὶ τοῦ αἵματος ἀφαιροῦντας· εἶθ' οὕτως παραχρῆμα μὲν ἐπιθέντας, ὡς αὐτὸς ἔλεγε, σπόγγον ξηρότερον μᾶλλον ἢ ὑγρότερον· οὐ γὰρ ἀγνοήσειν οἶμαί τινα τὸ ἢ μόριον ἀποφάσεως ἔχον ἐνταῦθα δύναμιν, ὡς εἰ καὶ οὕτως εἶπε, ξηρότερον, οὐχ ὑγρότερον· ἔπειτα δὲ τοῖς ξηραίνουσι φαρμάκοις χρωμένους, εἶτ' εἰ πάλιν δεήσειεν, αὖθις αἵματος ἀφαιροῦντας· εἶτ' αὖθις τὰ τοιαῦτα ποιοῦντας ἄχρις ἂν ἐξυγιασθῇ τελέως· εἰ δὲ τὰ χείλη σκληρὰ καὶ τυλώδη φαίνοιντο, περιτέμνοντας αὐτά. καὶ γὰρ δὴ καὶ περὶ τούτων φησί· τῶν δ' ἑλκέων τὰ κυκλοτερῆ ἢν ὑπόκοιλα ῇ, ἐν κύκλῳ περιτέμνειν χρὴ τὰ ἀφεστῶτα, ἢ πάντα, ἢ τὰ ἡμίσεα τοῦ κύκλου, κατὰ μῆκος τοῦ ἀνθρώπου. γέγραφε δὲ καὶ περὶ τῶν ἅμα τοῖς ἕλκεσιν ὄγκων . . . .

inveniſſe, ut quae in ſiccando conſiſtat, ſed etiam privatim per ſpecies affectuum cujusque. Nam aut vitioſus ſuccus ad partem cui ulcus inſedit amplius non fluit, aut etiam fluit; ac ſi non amplius fluit, ipſi tantum quod laborat ſuccurrendum eſt; ſiquidem vel lividum, vel nigrum, vel rubrum conſpicitur, ſcarificando ac ſanguinem emittendo; mox, ut ipſius verbis utar, ſpongiam ſtatim ſicciorem magis quam humidiorem ſuperimponendo; neque enim, arbitror, ignorabit quiſpiam, particulam illam *quam* negationis hoc loco vim habere, tanquam ita diceret, ſicciorem, non humidiorem; poſt haec vero etiam ſiccantia remedia applicando; ab his, ſi res poſtulet, rurſus ſanguinem auferendo, ac mox iterum talia peragendo, donec parta omnino ſanitas ſit; quod ſi labra ulceris dura calloſaque appareant, etiam ea excidendo. Etenim de his quoque ita ait: *circularia ulcerum, ſi ſubcava ſint, circulo praecidere quae abſceſſerunt oportet, vel omnia, vel ex dimidio circuli ſecundum hominis longitudinem.* Scripſit vero et de tumo-

ἁπάντων, ὡς χρὴ θεραπεύειν ἕκαστον· ὡσαύτως δὲ καὶ περὶ τῶν κιρσῶν· ὅταν καὶ διὰ τούτους ἕλκη δυσίατα γίγνηται, δῆλον ὡς ἐπιῤῥέοντός τινος ἐξ αὐτῶν τοῖς ἡλκωμένοις μορίοις. οὕτως δὲ κἀπειδὰν ἐξ ὅλου τοῦ σώματος ἡ ἐπιῤῥοὴ γίγνηται, καθαίρειν κελεύει τὸ πᾶν ἐν οὐδενὶ τούτων ἀπὸ τοῦ χρόνου τὴν ἔνδειξιν λαμβάνων· ἐπεί τοι καὶ γελοῖον ἀπὸ μιᾶς κοινότητος ἐνδείξεις οὕτω πολλὰς καὶ διαφερούσας καὶ πολλάκις ἐναντίας γίγνεσθαι. εἰ γὰρ καὶ συγχωρήσαιμεν ἔνδειξίν τινα περὶ τοῦ χρόνου λαμβάνεσθαι, τίς ποτέ ἐστιν αὐτὴ, δίκαιον εἰπεῖν, αὐτὴν ἑνὶ κεφαλαίῳ περιλαβόντα, καθάπερ ἐπὶ τῶν ἄλλων ἁπάντων ποιοῦμεν οὐχ ἡμεῖς μόνον, ἀλλὰ καὶ αὐτὸς ὁ Θεσσαλός. ἓν γοῦν ἐνδείκνυται καθόλου τὸ στεγνὸν πάθος αὐτῷ τὸ χαλᾷν· ὥσπερ γε καὶ τὸ ῥοῶδες ἓν ἕτερον τὸ στέλλειν. ἀλλὰ καὶ κατ' αὐτὰ τὰ ἕλκη τὸ μὲν ῥυπαρὸν καθαίρεσθαι δεῖται, τὸ δὲ κοῖλον πληροῦσθαι· καὶ τὸ μὲν ὁμαλὲς ἐπουλοῦ[97]σθαι, τὸ δὲ ὑπερσαρκοῦν καθαιρεῖσθαι, καὶ κατ' αὐτὸν ἐκεῖνον· λεξάτω τοίνυν ἡμῖν οὕτω

ribus qui conjuncti cum ulcere funt univerfis, quemadmodum curandi finguli fint; fimili modo et de varicibus, quando horum quoque occafione contumax ad fanandum ulcus redditur, quoniam aliqua ex his humiditas ad exulceratas partes defluat. Ad eundem modum et quum ex toto corpore humor confluit, totum purgare jubet, nusquam videlicet in his indicationem a tempore fumens; nam et ridiculum plane fit, adeo multas ac varias, faepe etiam contrarias indicationes ab una communitate fieri. Nam fi etiam demus indicationem aliquam a tempore fumi, quae tandem ea fit dicere par eft, ac fumma quapiam una eam complecti; veluti in reliquis omnibus ipfe quoque Theffalus facit, nedum nos. Quippe unum illi perpetuo indicat aftrictus affectus, *nempe* ut laxetur; unum rurfus fluxus, ut adftringatur. Quin etiam in ipfis ulceribus quod fordidum eft, abftergeri poftulat, quod cavum eft, impleri, quod aequabile eft, cicatrice induci, cui caro fupercrevit, hanc fibi detrahi, etiam eo ipfo auctore; ergo ficut in horum fingulis, ita in

κἀπὶ τοῦ κεχρονισμένου τι τοιοῦτον ἕτερον ἓν, ὡς ἐπ᾽ ἐκείνων ἑκάστου· ἀλλ᾽ οὐκ ἔχει· καὶ (80) γὰρ καὶ περιτέμνειν αὐτά φησι χρῆναι. καίτοι τίς ἂν ἔνδειξις αὕτη νοῦν ἔχουσα περὶ τοῦ χρόνου γίγνοιτο; καὶ τῷ διὰ τοῦ νάπυος χρῆσθαι φαρμάκῳ, καθ᾽ οὗ τὸ κενὸν ὄνομα φθέγγεται, τὴν μετασύγκρισιν· ἔτι τε πρὸς τούτοις, τοῖς ἀπὸ ῥαφανίδων ἐμέτοις· καὶ τελευτῶν ἐπειδὰν μηκέθ᾽ εὑρίσκῃ μηδὲν, ἐλλεβόρῳ; ἀλλὰ ταῦτα μὲν, ὡς ἔφην, κἂν τοῖς ἑξῆς ἐπὶ πλέον εἰρήσεται, δεικνύντων ἡμῶν ὡς οὐδὲν ἐπ᾽ οὐδενὸς νοσήματος ὁ χρόνος ἐνδείκνυται, σημεῖον μέντοι πολλάκις γίγνεται τῆς διαθέσεως.

Κεφ. στ΄. Ἐπάνειμι δὲ πάλιν ἐπὶ τὸν Ἱπποκράτην· θαυμάζω γὰρ τῆς ἀκριβείας τὸν ἄνδρα κἂν τοῖς ἄλλοις ἅπασιν, οὐχ ἥκιστα δὲ κἂν τῷ μὴ παραλιπεῖν εἰς ἔνδειξιν διαφέροντα σκοπὸν οὐκ ἐφ᾽ ἑνὸς μόνον ἢ δυοῖν, ἀλλ᾽ ἐπὶ πάντων ἁπλῶς τῶν νοσημάτων. ἔστι δ᾽ οὗτος ὁ ἀπὸ τῆς ἰσχύος τῆς διαθέσεως λαμβανόμενος· οὐ μόνον οἱ μεθοδικοὶ παρεῖδον, οὐδὲν γὰρ τοῦτό γε θαυμαστὸν, ἀλλὰ καὶ τῶν λογικῶν οἱ

diuturnis quoque alterum aliquid ad proportionem oftendat, quod unum fit; verum non poteft, nam et excidenda ea praecipit. At quaenam, *quaefo*, fit ifta rationabilis a tempore indicatio? tum remedio ex finapi uti, de quo vanum illud nomen metafyncrifeos ufurpat? ad haec ex radicula vomitu, et poftremo, quum nihil ultra inveniat, veratro? Verum haec quidem, quemadmodum dixi, etiam in fequentibus plenius dicentur, ubi nihil usquam ullo in morbo a tempore indicari, fed fignum *id* nonnunquam affectus effe docebimus.

Cap. VI. Verum rurfus ad Hippocratem revertor, quem virum fane diligentiae nomine admiror cum in aliis omnibus, tum vero quod fcopum, qui medico ad indicationem, non in uno alterove, fed prorfus omni morbo fit fpectandus, non omiferit. Eft autem is qui ab affectus magnitudine fumitur, quem non modo methodici praetermiferunt, non enim eft id mirum, fed etiam rationalium plu-

πλεῖστοι· καὶ καθ' ἕτερον τρόπον ἅπαντες οἱ ἐμπειρικοί. ἐπειδὰν γὰρ ἐπὶ τῇ πληθωρικῇ καλουμένῃ συνδρομῇ κένωσιν ἑαυτοῖς τετηρῆσθαι λέγωσιν, ἄντικρυς ὁμολογοῦσιν, ὡς εἰς οὐδὲν ἄλλο τῶν περὶ τὸν κάμνοντα γιγνομένων ἀποβλέποντες, ἐπὶ τὸ κενοῦν παραγίγνονται. καὶ οὐ τοῦτό φημι διότι καὶ αἱ καθάρσεις κενώσεις εἰσὶν, οὐδ' αὗται πρὸς τῆς πληθωρικῆς διδασκόμεναι συνδρομῆς, ἀλλ' ὅτι καὶ τὴν φλεβοτομίαν αὐτὴν ἐνίοτε, καίτοι μὴ παρούσης τῆς πληθωρικῆς συνδρομῆς, δίκαιόν ἐστι παραλαμβάνειν. εἰ γὰρ ἰσχυρὸν εἴη τὸ νόσημα καὶ ῥώμη δυνάμεως, οὐκ ἔστιν ὅστις οὐκ ἂν φλεβοτομήσειε τῶν ὡμιληκότων τοῖς ἔργοις τῆς τέχνης. αὐτοὺς γοῦν ὁρῶμεν τοὺς ἐμπειρικοὺς, ἐπειδὰν ἐκ καταπτώσεώς τινος ἢ ἄλλης πληγῆς θλασθῇ μέρη τινὰ τοῦ σώματος ἰσχυρῶς, ἐπὶ τὴν φλεβοτομίαν ἐρχομένους· καίτοι μικρὸν ἔμπροσθεν ὑγιαίνεν ἐκεῖνος, μηδεμίαν ἔχων πληθωρικὴν συνδρομήν. ᾧ δῆλον ὡς οὐχ οὗτός ἐστιν ὁ σκοπὸς τῆς φλεβοτομίας, ἀλλ' ἥ τε τοῦ νοσήματος ἰσχὺς καὶ ἡ ῥώμη τῆς δυνάμεως, ἀφωρισμένων τοῦ λόγου τῶν παιδίων. καὶ γὰρ αὖ καὶ καθ' ἕτερον τρόπον, εἴ τις ὑγιαίνων

rimi, atque etiam empirici, quanquam alio modo, omnes. Nam ubi in plethorico, ut illi loquuntur, concurfu vacuationem a fe obfervatam dicunt, manifefte fatentur ob nullius alterius eorum, quae in aegro vifuntur, refpectum, fe ad vacuationem accedere. Neque hoc dico propterea, quod purgatio vacuatio fit, quam plethoricus concurfus non indicet, fed quod etiam, tametfi plethoricus concurfus non adfit, ad ipfam tamen fanguinis miffionem interdum fit confugiendum; nam fi vehemens morbus fit cum virium robore, nemo eft qui venam non fecet, qui in artis operibus fit exercitatus. Nam ipfos empiricos videmus, quum lapfu aliquo aut plaga aliqua contufae vehementer corporis partes fuerint, ad fanguinis miffionem confugere; quanquam idem homo paulo ante fanus fuerat, prorfusque redundantiae fanguinis expers. Ex quo patet non hoc effe, quod mittendum fanguinem indicet, fed magnitudinem morbi ac virium robur, exceptis a fermone pueris. Nam et alia ratione, fi

ἔτι καὶ μηδὲν μηδέπω βεβλαμμένος ἐν τῇ πληθωρικῇ γένοιτο συνδρομῇ, τοῦτον οὐκ ἀνάγκη φλεβοτομεῖν· ἀλλ' ἀρκεῖ τῷ μὲν ἀσιτία, τῷ δὲ ὀλιγοσιτία, τῷ δ' ὑπαγωγὴ γαστρὸς, ἢ κάθαρσις, ἢ πλείω λουτρά· τῷ δέ τινι καὶ γυμνάσιον ἤρκεσε μόνον ἢ τρίψις πολλή· φλεβοτομία δ' οὐκ ἐξ ἀνάγκης, οὐδ' ὑπ' αὐτῶν τῶν ἐμπειρικῶν τοῖς οὕτως ἔχουσι προσάγεται. κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδὲ ἡ κάθαρσις ἐπὶ μόνῳ πλήθει χυμῶν μοχθηρῶν δεόντως παραλαμβάνεται· ἀλλ' ὥσπερ ἡ φλεβοτομία διά τε πλῆθος αἵματος καὶ ἰσχυρὰν νόσον, οὕτω καὶ ἡ κάθαρσις διά τε πλῆθος ἑτέρου τινὸς χυμοῦ καὶ ἰσχὺν νοσήματος. περὶ μὲν τῆς φλεβοτομίας ἐν ἑτέρῳ τέ μοι διήρηται λόγῳ κἀν τοῖς ἑξῆς εἰρήσεται· περὶ δὲ τῆς καθάρσεως ἐν τῷδε τῷ λόγῳ δίειμι· χρήζουσι γὰρ αὐτῆς οἱ κάμνοντες οὐχ ὡς τὸ λυποῦν περίττωμα καθαιρούσης μόνον, [98] ἀλλὰ καὶ ὡς ἀντισπώσης τε καὶ κενούσης· καὶ διὰ τοῦθ' Ἱπποκράτης ἔν τε τοῖς ἄλλοις ἅπασι συγγράμμασι κἀν τῷ περὶ τῶν ἑλκῶν ἐπισκοπεῖται καὶ τὴν ἰσχὺν τοῦ νοσήματος εἰς ἔνδειξιν

quis etiamnum ſanus, nec adhuc quicquam laeſus, in ſanguinis redundantis concurſu ſit poſitus, non ſtatim huic mitti ſanguinem eſt neceſſe; imo aliis ſatisfacit inedia, aliis cibi parcitas, aliis ſoluta alvus, vel purgatio, vel frequentius balneum, aliis ſola exercitatio vel multa frictio abunde fuit; miſſio vero ſanguinis ne ab ipſis quidem empiricis iis qui ita ſe habent neceſſario adhibetur. Ad eundem modum nec purgatio in ſola vitioſi ſucci abundantia convenienter ſuscipitur, ſed ſicut miſſio ſanguinis vel propter ipſius abundantiam, vel propter morbi magnitudinem, ita purgatio et propter abundantiam alterius cujusquam humoris, et propter vehementiam morbi adhibetur. Ac de ſanguinis miſſione tum in alio libro egimus tum vero in ſequentibus agemus. De purgatione in hoc libro diſſeram, quod deſiderant enim aegri hanc non modo ut noxium excrementum, *quoque vexantur*, purget, ſed etiam ut tum revellat tum vacuet. Atque ob eam rem Hippocrates tum in reliquis omnibus operibus tum in eo quod de ulceribus prodidit etiam

καθάρσεως. ὑποκάθαρσις γὰρ, φησὶ, τῆς κάτω κοιλίης ξυμφέρει τοῖς πλείστοισι τῶν ἑλκέων καὶ ἐν τρώμασιν ἐν κεφαλῇ ἐοῦσι καὶ ἐν κοιλίῃ καὶ ἐν ἄρθροισι καὶ ὅσα σφακελίσαι κίνδυνος καὶ ὅσα ῥάπτεται καὶ τοῖς ἐσθιομένοισι καὶ ἕρπησι καὶ τοῖσιν ἄλλοισι τοῖσι πεπαλαιωμένοισι τὰ ἕλκεα καὶ ὁκοῖα δ᾽ ἂν μέλλῃ τις ἐπιδέειν, ὑποκαθαίρειν τὴν κάτω κοιλίην. ἐν τούτῳ τῷ λόγῳ σαφῶς ἡμᾶς ἐδίδαξεν ὅτι τοῖς ἕλκεσιν ἅπασι καὶ τοῖς τρώμασιν, ὅταν ἰσχυρὰ γένηται κάθαρσις, συμφέρει. τριχῶς γὰρ οὐ μόνον τούτων, ἀλλὰ καὶ τῶν ἄλλων παθῶν ἁπάντων ἰσχυρῶν γιγνομένων, ἢ διὰ τὸ κύριον τοῦ πεπονθότος μέρους, ἢ διὰ τὸ μέγεθος τῆς διαθέσεως, ἢ διὰ τὴν κακοήθειαν, ἑκάστου τούτων ἰδίᾳ φαίνεται μεμνημένος ὁ Ἱπποκράτης, ἐπὶ μὲν τῶν ἐν τῇ κεφαλῇ καὶ κοιλίᾳ τρωμάτων τὸ κύριον ἐμφαίνων τοῦ τετρωμένου μορίου. κοιλίαν δ᾽ ὅτι μὴ τὴν κάτω μόνην ἀκούειν νῦν χρὴ, ἀλλὰ καὶ τὴν ἄνω, πρόδηλον οἶμαι παντί· διαιρουμένου γὰρ τοῦ μεταξὺ τραχήλου καὶ σκελῶν κύτους εἰς δύο μεγίστας κοιλότητας,

morbi magnitudinem ad purgationis indicationem confiderat. *Purgatio enim*, inquit, *per alvum plurimis ulceribus prodeft, praeterea vulneribus quae in capite funt accepta, item quae in ventre et articulis, ad haec iis in quibus offi caries impendet, praeterea iis quae fuuntur et exeduntur et herpetibus et reliquis quae ulcera diuturna reddunt, etiam quaecunque deliganda funt, per alvum purganda funt.* His verbis clare nos docuit ulceribus omnibus et vulneribus, quoties pervalida funt, purgationem esse utilem. Quum enim trifariam non hae modo affectiones, verum etiam reliquae omnes vehementes magnaeque reddantur, vel propter affectae partis praeftantiam, vel propter affectus magnitudinem, vel propter cacoethiam, cujusque horum feorfum videtur Hippocrates mentionem fecisse, utique in capitis ventrisque vulneribus praeftantiam laefae indicans partis. Ventrem autem hoc loco non folum inferiorem intelligendum esse, fed etiam fuperiorem, patere cuivis arbitror; divifo namque quod inter collum et crura eft trunco in

ἡ πρώτη μὲν ὑπὸ τοῦ θώρακος, ἡ δευτέρα δ᾽ ὑπὸ τοῦ περιτοναίου περιέχεται. καὶ δὴ τῶν τρωμάτων ὅ τι ἂν εἴη εἴσω τοῦ θώρακος, ἢ εἴσω τοῦ περιτοναίου διασχῇ, κίνδυνον οὐ σμικρὸν ἐπιφέρει, καὶ μάλισθ᾽ ὅταν συντρώσῃ τι τῶν ἔνδον· ἀλλὰ καὶ ὅτι ταχέως κακοήθη γίνεται πάντα τὰ ἐν τοῖς ἄρθροις τρώματα, καὶ τοῦτο σχεδὸν ἅπαντες ἴσασιν, ἐκ μὲν τῆς πείρας μόνης μεμαθηκότες οἱ ταύτῃ μόνῃ προσέχοντες τὸν νοῦν, ἐκ δὲ τῆς φύσεως αὐτῶν τῶν τετρωμένων ὀργάνων οἷς ἐσπουδάσθη φύσεως σώματος ἐπιστήμην ἔχειν. ὅπου γὰρ τένοντες καὶ νεῦρα καὶ ἄσαρκα καὶ ὀστώδη χωρία. κίνδυνος ἐνταῦθα καὶ ὀδυνηθῆναι καὶ ἀγρυπνῆσαι καὶ σπασθῆναι καὶ παραφρονῆσαι· ταῦτά τε οὖν τὰ τρώματα καὶ πρὸς τούτοις ὅσα ῥάπτεται, τουτέστιν ὅσα οὕτως ἐστὶ μεγάλα ὡς ῥαφῆς χρῄζειν, ἢ εἰ μὴ ταύτης, ἀλλ᾽ ἐπιδέσεως γοῦν, ὑποκαθαίρεσθαι δεῖται. λέλεκται δ᾽ ἐν τῷ πρόσθεν λόγῳ διότι χρὴ τὰ μεγάλα τῶν ἑλκῶν ἢ ῥαφαῖς, ἢ ἐπιδέσεσι συνάγεσθαι. καὶ μὲν δὴ καὶ ὅσα σφακελίσαι κίνδυνος, ἐν μεγέθει δηλονότι φλεγμονῆς ἐστι. καὶ τοίνυν καὶ τὰ ἐσθιό-

duas capacites maximas, prior fub thorace, fecunda fub peritonaeo continetur. Et fane vulnus quod intra thoracem, intrave etiam peritonaeum penetravit, non parvum periculum affert, potiffimum fi quid interiorum una fit vulneratum; quin etiam cacoethe ftatim fieri quaecunque in articulis accepta vulnera funt, id quoque omnes fere fciunt, empirici quidem ex fola ipfa experientia, cui foli attendunt; qui vero corporis naturae fcientiam comparare ftuduerunt, ex ipfa vulneratarum partium organicarum natura. Ubi enim tendones et nervi et carne vacua atque offea loca funt, hic doloris, vigiliarum, convulfionis et delirii periculum inftat; tum haec igitur vulnera tum quae fuuntur, id eft quae adeo funt magna ut futuris indigeant, aut fi non his, certe deligatura, alvi purgationem defiderant. At vero jam dictum in proximo libro eft, quae magna ulcera funt ea vel futuris vel deligaturis effe conjungenda. Quin etiam quibus corrumpendi offis periculum impendet, ea utique cum magnitudine phlegmones funt. Jam quaecunque exe-

μενα, τουτέστι τὰ ἀναβιβρωσκόμενα, κακοήθη τε ἅμα καὶ κακοχυμίας ἐστὶν ἔκγονα. καὶ οἱ ἕρπητες δ' ἐπὶ χολώδει περιττώματι συνίστανται· καὶ τὰ ἄλλα σύμπαντα τὰ παλαιούμενα κατά τινα τοιαύτην γίνεται πρόφασιν· ὥστ' εὐλόγως ἐπὶ πάντων τούτων ὑποκαθαίρειν συμβουλεύει. καὶ μὲν δὴ καὶ προελθὼν ἔτι τάδε φησίν· ἐπὶ παντὶ ἕλκει ἐρυσιπέλατος ἐπιγενομένου κάθαρσιν ποιέεσθαι τοῦ σώματος ἐφ' ὁπότερα ξυμφέρει τῷ ἕλκει, εἴτε ἄνω εἴτε κάτω· τούτου δ' αὐτοῦ πάλιν ἡμᾶς τὸν διορισμὸν ἐν τῷ περὶ χυμῶν ἐδίδαξεν, ἀντισπᾷν μὲν κελεύων εἰς τἀναντία, παροχετεύειν δ' εἰς τὰ πλάγια· καὶ μὲν δὴ καὶ ὡς ἐπειδὰν μάλιστα ῥέπῃ, τότε ἀντισπαστέον· εἴρηται καὶ περὶ τούτου κατ' ἐκεῖνο τὸ βιβλίον. ὥστε καὶ νῦν, εἰ μὲν ἔτι φέροιτο σφοδρῶς τὸ ῥεῦμα, διὰ τῶν ἐναντίων ἀντισπάσομεν· ἄνω μὲν γενομένου τοῦ ἕλκους κάτω καθαίροντες, εἰ δ' ἐν τοῖς κάτω μέρεσι συσταίη, τὴν ἄνω κοιλίαν κενοῦντες· ἤδη δὲ καὶ πεπαυμένου καὶ κατὰ τὸ μόριον ἐστηριγμένου παροχετεύειν ἄμεινον· [99] ἐγγυτέρω γὰρ ἡ μετάληψις καὶ ἡ ὁρμὴ καὶ ἡ ὁλκὴ τῷ καθαίροντι φαρ-

duntur, hoc eſt eroduntur, ea tum maligna ſunt tum malorum ſuccorum ſoboles. Herpetes quoque a bilioſo excremento ortum habent, reliquaque quae inveterantur omnia ex hujusmodi aliqua cauſa proveniunt; quare in omnibus his non ſine ratione purgare per alvum jubet. In progreſſu vero haec inſuper adjicit: *in omni ulcere cui eryſipelas ſupervenit purgari corpus oportet, qua parte ulceri maxime conducit, ſive id per ſuperna ſive per inferna ſit;* cujus etiam ipſius rei discrimen in libro de humoribus nos edocuit, revellere nos jubens ad contraria, derivare vero ad latera; quin etiam quum maxime repit, tum revellendum; dictum vero et de hoc in eo libro eſt. Quare nunc quoque, ſi etiamnum fluxio valenter irruat, ad contraria revellemus, utique ſi in ſuperioribus ulcus conſiſtat, per inferna purgantes; ſin autem in inferioribus ſit, ſuperiorem ventrem vacuantes; at ſi jam fluxio reſtitit atque in parte inhaeſit, derivare per vicina magis expedit, quum et in propinquiora translatio ſit et purganti medicamento promptior

μάκῳ ῥᾴων ἐκ τοῦ πλησίον. ὅτι δ' ὁ λόγος οὗτος ἤδη καὶ ἄλλου τινὸς ἅπτεται τῶν τῆς τέχνης μερῶν, τοῦ περὶ τὴν τῶν χυμῶν ἴασιν, οὐκ οἶμαί τινα λανθάνειν· ὅθεν κᾀν τοῖς ἑξῆς αὐτὸν ἀναγκαῖον ἔσται πάλιν ἐπαναλαβεῖν καὶ τελειῶσαι σύμπαντα. νυνὶ δ' ὅτι τὴν ἰσχὺν τοῦ νοσήματος, ἣν εἰ καὶ μέγεθός τις ὀνομάζειν ἐθέλει, σκοπόν ἐστι ποιητέον ἡμῖν ἀφαιρέσεως αἵματος, ἢ καθάρσεως, καὶ ὡς Ἱπποκρά(81)της ἁπάντων πρῶτος ὧν ἴσμεν ἐξεῦρε τοῦτον τὸν σκοπὸν ἐπιδεῖξαι βούλομαι. περὶ μὲν οὖν τῶν ἄλλων νοσημάτων ἐν τοῖς ἑξῆς λόγοις ἐπιδείξω, περὶ δὲ τῶν ἑλκῶν ἐν τῷδε. τὰ μὲν οὖν τῶν καθάρσεων ἤδη μοι λέλεκται. τριχῶς γὰρ ἑκάστου νοσήματος ἰσχυροῦ γενομένου, διὰ τὸ κύριον τοῦ πεπονθότος μορίου, διὰ τὸ μέγεθος τῆς διαθέσεως καὶ τρίτην τὴν κακοήθειαν αὐτοῦ, ἁπάντων τούτων ἐμνημόνευσεν Ἱπποκράτης ἐν τῷ τῆς καθάρσεως λόγῳ. τί δὴ οὖν, ἴσως φησί τις, οὐχὶ καὶ φλεβοτομεῖν ἐνίοτε συμβουλεύει διὰ τὰς αὐτὰς προφάσεις; ἐμοὶ γοῦν δοκεῖ καὶ τοῦτο κελεύειν, ἀλλὰ διὰ ταχέων τε καὶ μετ' ἀποδείξεως, ὡς αὐτῷ τε τούτῳ καὶ τοῖς

tum acceffus tum attractus e vicino detur. Hanc vero rationem ad aliam quoque artis partem fpectare, nempe quae de fuccorum medicatione praecipit, neminem latere arbitror, proindeque in fequentibus etiam repetere eam erit neceffe ac totam abfolvere. Nunc illud docere volo, tum ipfam morbi five vim five magnitudinem appellare velis fcopum a nobis detractionis fanguinis vel purgationis ftatuendum effe, tum vero Hippocratem hanc omnium quos novimus primum indicationem adinveniffe. Ac de aliis quidem morbis in fequentibus libris id oftendam, de ulceribus vero in hocce. De purgationibus quidem mihi explicatum jam eft. Nam quum triplici genere morbus quisque fit magnus ac gravis, aut propter praecellentiam partis affectae, aut propter affectus magnitudinem, aut propter ipfius cacoethiam, omnium horum meminit Hippocrates ubi de purgatione egit. Quid igitur, dicet aliquis, nunquid etiam fanguinem detrahi interdum fuadet propter has ipfas caufas? Mihi vero id quoque jubere videtur, verum breviter nec fine de-

ἄλλοις παλαιοῖς ἦν ἔθος. εἴσῃ δὲ πρῶτον μὲν ἀναγνοὺς τήνδε τὴν ῥῆσιν αὐτοῦ· ἕλκει νεοτρώτῳ παντὶ, πλὴν ἐν κοιλίῃ, συμφέρει ἐκ τοῦ τρώματος αἷμα ῥυῆναι αὐτίκα πλέον ἢ ἔλασσον· φλεγμαίνει γὰρ ἧσσον αὐτὸ τὸ ἕλκος καὶ τὰ περιέχοντα. μετὰ δὲ ταύτην ἐν τῷ περὶ ἑλκῶν γεγραμμένην ἀναμνησθεὶς ὧν ἐν τοῖς ἄλλοις ἅπασι συγγράμμασι πολλάκις ὑπέθετο, μιμητὴν ἀξιῶν εἶναι τὸν ἰατρὸν οὐ τῆς φύσεως μόνον, ἀλλὰ κἀκείνων ὅσα αὐτόματα ὠφελεῖ, σαφῶς ἂν ἤδη τὴν γνώμην εἰδείης τοῦ παλαιοῦ περὶ τῆς τοῦ αἵματος ἀφαιρέσεως ἐπὶ τῶν ἰσχυρῶν τραυμάτων· εἰ γὰρ δὴ συμφέρει μὲν αἷμα ῥυῆναι τοῖς τοιούτοις, οὐκ ἐῤῥύη δὲ, τὸ λεῖπον αὐτὸν χρὴ προστιθέναι· δηλοῖ δὲ τοῦτο κἀξ αὐτῶν ὧν ἐπιφέρει, συνάπτων γοῦν τῇ προειρημένῃ ῥήσει τήνδε φησί· καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκέων ξυμφέρει αἷμα ποιέειν ἀποῤῥέειν πυκινὰ, ὅκως ἂν δοκέῃ καιρὸς εἶναι, καὶ ἀπ᾽ αὐτῶν τῶν ἑλκέων καὶ ἀπὸ τῶν περιεχόντων τὸ ἕλκος. ἐπειδὴ γὰρ προειρήκει, ἕλκει νεοτρώτῳ παντὶ ξυμφέρει αἷμα ῥυῆναι, γιγνώ-

monſtratione, veluti tum huic ipſi tum reliquis priscis mos fuit. Id ita eſſe intelliges primum quidem ſi haec ejus verba relegeris: *Omni recens facto vulneri, niſi in ventre ſit, expedit ex ipſo vulnere ſtatim ſanguinem plus minusve efſluere; nam phlegmone minus tentabitur tum ulcus ipſum tum quae circumpoſita loca ſunt.* Poſt haec autem ſi verba quae in libro de ulceribus ab eo ſunt ſcripta, tum quae in aliis omnibus libris ſaepe propoſuit recorderis, debere imitatorem eſſe medicum non tantum naturae, ſed etiam eorum quae quum ſua ſponte veniunt conferunt, clare jam ſenis mentem intelliges de ſanguine, quum magna ſunt vulnera, detrahendo. Si namque expedit in talibus ſanguinem eſſluere, non autem eſſluxit, quod deeſt ipſe adjicias oportet; declarant id ea quae ſubjungit; quippe haec ſtatim cum dictis verbis copulat: *Et ab iis quae inveterata ſunt ulcera ut ſanguis crebro ſluat efficere prodeſt ulcunque opportunum videbitur, tum ab ipſis ulceribus tum a circumpoſitis ulceri partibus.* Nam quoniam praedixerat *omni ulceri recens facto ſanguinem emit-*

σκων ὡς εἰ μὴ καὶ τῶν κεχρονισμένων μνημονεύσειεν, οἰήσεταί τις ἐπὶ τῶν προσφάτων μόνων οὕτως αὐτὸν ἀποφήνασθαι, διὰ τοῦτο δεόντως προσέθηκε τὸ καὶ ἀπὸ τῶν πεπαλαιωμένων ἑλκέων ἀφαιρεῖν τοῦ αἵματος. ἀλλ' εἴπερ ἐκεῖνο καθόλου παρ' αὐτοῦ μεμαθήκαμεν, ὡς ἀρχομένων μὲν τῶν ῥευμάτων ἀντισπᾷν προσῆκεν, ἐστηριγμένων δὲ ἐν τῷ πεπονθότι μορίῳ τὴν κένωσιν ἢ ἀπ' αὐτοῦ ποιεῖσθαι τοῦ πεπονθότος μορίου, ἢ ὅτι μάλιστα πλησιέστατα, πρόχειρον ἡμῖν καὶ νῦν συλλογίσασθαι περὶ τῆς τοῦ αἵματος ἀφαιρέσεως, ὡς ἐν ἀρχῇ μὲν πόῤῥωθεν ἐξ, ὑστέρου δ' ἀπ' αὐτῶν τῶν ἡλκωμένων προσήκει ποιεῖσθαι. καὶ μὲν δὴ καὶ τούτοις αὐτοῖς οἷς εἴρηκα προσθεὶς ὡς τὸν πλεονάζοντα χυμὸν ἐκκενοῦν ὁ Ἱπποκράτης συμβουλεύει, ποτὲ μὲν ἐπὶ τὴν τοῦ αἵματος ἀφαίρεσιν ἄξεις, ὅταν τοῦτο κρατῇ, ποτὲ δ' ἤτοι ξανθῆς, ἢ μελαίνης χολῆς, ἢ φλέγματος ἀγωγὸν δώσεις φάρμακον, ἐκείνου μεμνημένος ἐν ἅπασι τούτοις, ὡς οὐκ ἔστιν ἕλκους ᾗ ἕλκος οὐδεμία τῶν τοιούτων ἰάσεων, ἀλλ' ἤτοι κακοχυμίας συμπαρούσης, ἢ πλήθους, ἢ φλεγμονῆς, ἢ ἕρπητος, ἢ

*tendum esse,* cernens, nisi etiam de inveteratis mentionem faceret, fore ut ab aliquo putaretur de recentibus tantum ita pronunciasse, idcirco illud recte adjecit, *et ab inveteratis ulceribus sanguinem mittendum esse.* At si id perpetuum est quod ab eo didicimus, incipientem fluxionem revellendam esse, fixam vero jam in laborante parte vacuandam esse vel ab ipsa parte affecta vel a maxime vicina, in promptu nobis et de sanguinis detractione colligere nunc est quod in principio haec e longinquo, postea ab ipsis exulceratis partibus sit emolienda. Quin etiam si iis quae jam dixi illud quoque adjicias, quod ipsum qui redundat humorem vacuandum esse Hippocrates suadet, alias sanguinis detractionem adhibebis, quum videlicit is vincit, alias medicamentum, quod ad bilem flavam vel atram vel pituitam educendam vim habet, dabis, illius interim in omnibus his non immemor, non esse ulceris qua ulcus est ullam id genus curationem, sed vel vitiosi qui conjunctus est succi, vel plenitudinis, vel phlegmones, vel herpetis, vel ejus generis alterius; sed

τινος ἑτέρου τοιούτου· καὶ μὲν δὴ καὶ ὡς ἐνίοτε τῶν συμβεβηκότων τι τοῖς ἕλκεσιν ἔνδειξιν ἰδίαν ποιεῖται, καθάπερ καὶ τὸ μέγεθος. [100] εἴρηται δὲ καὶ περὶ αὐτῶν ἐν τῷ πρὸ τούτου γράμματι, τὰς διαφορὰς τῶν ἑλκῶν ἁπάσας, ὁπόσαι τέ εἰσι καὶ ὁποῖαι καὶ τίς ἐφ' ἑκάστου αὐτῶν ἔνδειξις, ἐξηγησαμένου μου. τὸ δ' ἀπὸ τῆς ἰσχύος τοῦ νοσήματος ἔνδειξιν γίγνεσθαι κενώσεως, ἐν ἐκείνῳ μὲν οὐκ εἶπον τῷ λόγῳ, διότι τε μακροτέρας ἀποδείξεως ἐδεῖτο καὶ τὴν τοῦ ὅλου σώματος ἐπιμέλειαν οὐ συνῆπτον ἐν αὐτῷ τοῖς ἕλκεσιν, ἐνταῦθα δὲ διεξῆλθον ὅσον εἰς τὰ παρόντα χρήσιμον.

Κεφ. ζ. Ὁ γάρ τοι σύμπας λόγος ὑπὲρ τῆς τοιαύτης ἐνδείξεως, ἣν ἀπὸ τῆς ἰσχύος φαμὲν τοῦ νοσήματος λαμβάνεσθαι καὶ μετὰ ταῦθ' ἡμᾶς ἀναμένει ῥηθῆναι, καθάπερ καὶ ἡ ἀπὸ τῆς ἡλικίας, καὶ προσέτι καὶ ἡ ἀπὸ τῆς τῶν χυμῶν ἰάσεως· οὕτω δὲ καὶ ἡ ἀπὸ τῶν πεπονθότων μορίων ἔνδειξις εἰς τὴν θεραπείαν γιγνομένη, τελεώτερον ἐν τοῖς ἑξῆς ὑπομνήμασιν ἀποδοθήσεται. νυνὶ μὲν γὰρ ὅσον ἀπὸ τῆς φύσεως αὐτῶν, τουτέστι τῆς κράσεώς τε καὶ οὐσίας, οἷόν τ' ἐστὶν

nec illius oblitus, quod aliquid interdum ex iis quae ulceribus accidunt indicationem propriam fuggerat, veluti, et magnitudo. Dictum autem et de ipfis ulceribus eft in libro qui hunc praecedit, ubi ulcerum differentias omnes et quot et quae fint et quae fit uniuscujusque indicatio, expofuimus. Praeberi tamen vacuandi indicationem ab ipfa morbi vi *ac magnitudine* in eo libro non dixi, propterea quod et longiorem demonftrationem requirebat, et totius corporis curam cum ulceribus in eo non conjunxi; hic vero exequutus fum quantum ad rem propofitam erat utile.

Cap. VII. Nam abfolutus fermo de hoc genere indicationis, quam a magnitudine morbi fumi diximus, etiam in fequentibus habendus reftat; pari modo de indicatione quae ab aetate fumitur, praeterea de ea quae ab humoribus fanandis accipitur; ad eundem modum et quae ab affectis partibus indicatio exhibetur confummatius in fequentibus libris tradetur. Nunc enim quod ab earum natura, id eft temperamento et fubftantia fumi ad curationem potuit, tan-

Ed. Chart. X. [100.] Ed. Baf. IV. (81.)
εἰς τὰς ἰάσεις λαμβάνεσθαι λέλεκται μόνον· ἡ δ᾽ ἀπὸ τῆς θέσεώς τε καὶ διαπλάσεως, ἔτι τε χρείας, ἀναισθησίας τε καὶ δυσαισθησίας ἔνδειξις οὐκ εἴρηται· λεγέσθω δὲ καὶ περὶ τούτων ὅσον εἰς τὴν τῶν ἑλκῶν ἴασιν διαφέρει. τὸ μὲν οὖν αἰσθητικὸν μόριον ἀνωδύνως ὅτι μάλιστα χρὴ πειρᾶσθαι θεραπεύειν· εἴρηται δ᾽ ἐν τοῖς περὶ φαρμάκων ἡ τῶν ἀνωδύνων ὕλη. τὸ δὲ δυσαισθητότερον ἐγχωρεῖ καὶ διὰ τῶν σφοδροτέρων, εἰ ἡ διάθεσις οὕτω κελεύει· καὶ μὲν δὴ καὶ τοῦ μὲν κυρίου μορίου τὸν τόνον χρὴ φυλάττειν, ὡς ἐπὶ πλέον ἐν τοῖς περὶ φλεγμονῆς λογισμοῖς ἀποδείξομεν· εἰ δέ τι μὴ τοιοῦτον, ἐγχωρεῖ τοῦτο καὶ τὴν χαλαστικὴν ἀγωγὴν τῆς θεραπείας ἀλύπως δέχεσθαι. ταυτὶ μὲν οὖν ἐν τοῖς ἐφεξῆς ἐπιπλέον ἐροῦμεν, ἐν δὲ τῷ παρόντι λόγῳ τὴν ἀπὸ τῆς θέσεώς τε καὶ διαπλάσεως τῶν μορίων ἔνδειξιν ἔτι προσθέντες, οὕτω καταπαύσομεν καὶ τουτὶ τὸ τέταρτον βιβλίον. ἐντεῦθεν γοῦν ἐπενοήθη τὸν μὲν κατὰ τὴν κοιλίαν ἡλκωμένον πίνειν τὰ φάρμακα, τὸν δὲ κατὰ τὸν στόμαχον, οὐχ ἅπαξ οὐδ᾽ ἀθρόως ὅλα προσφέρειν, ἀλλὰ κατὰ βραχύ τε καὶ συνεχῶς· ἐν γὰρ

tum diximus; quae vero tum a ſitu tum conformatione, itemque uſu, praeterea ſenſus acumine hebetudineve indicatio ſuggeritur, hanc non attigimus; dicatur itaque et de his quantum ſit ad ulcerum curationem utile. Igitur quae praedita ſenſu pars eſt, eam quam maxime citra dolorem curare tentandum, tradita vero anodynorum remediorum materia eſt in iis libris qui ſunt de ſimplicibus medicamentis inſcripti. Quae ſtupidior eſt, haec, ſi affectus ita ſuadet, valentiora remedia recipit, et principis quidem partis robur ſervari oportet, veluti latius ubi de phlegmone agemus docebitur; quod tale non eſt, licet huic eam medendi rationem tuto adhibeas quae laxando remittendoque mitiget. Atque haec quidem in ſequentibus ſuſius tractabimus. In hoc libro indicationem quae a ſitu et a conformatione partium ſumitur trademus, atque ita quarto huic libro finem imponemus. Hinc igitur excogitatum eſt ei cui exulceratus ventriculus ſit medicamenta eſſe bibenda; cui ſtomachus, non ſemel nec tota ſimul aſſumenda, ſed paulatim et aſſidue, quando

Ed. Chart. X. [100.] Ed. Baf. IV. (81.)

τῷ παρέρχεσθαι καὶ ψαύειν ἡ ὠφέλεια τούτοις ἐστὶν, οὐκ ἐν τῷ περιέρχεσθαι καὶ πλησιάζειν ἐπὶ πλείονα χρόνον, ὥσπερ τῇ γαστρί. καὶ μὲν δὴ καὶ ὡς χρὴ παχύτερα προσφέρειν ταῦτα καὶ γλίσχρα, παρὰ τῆς θέσεώς τε καὶ διαπλάσεως ἡ ἔνδειξις. ἐπεὶ γὰρ δίοδός τις ὁ στόμαχός ἐστι τῶν ἐσθιομένων τε καὶ πινομένων, διὰ τοῦτο πάντων τῶν ἔχεσθαί τε καὶ περιπήγνυσθαι καὶ προσκολλᾶσθαι δυναμένων ἐστὶ χρεία φαρμάκων, οὐ τῶν ἀποκλύζεσθαι καὶ διαῤῥεῖν ἑτοίμως πεφυκότων. περιπήγνυται μὲν οὖν παχέα, κολλᾶται δὲ τὰ γλίσχρα. τὰ δ᾽ ἐν τοῖς παχέσιν ἐντέροις ἕλκη τῶν διὰ τῆς ἕδρας ἐνιεμένων χρήζει μᾶλλον φαρμάκων· ἐγγυτέρω γὰρ ταύτης ἐστί· τὰ δ᾽ ἐν τοῖς λεπτοῖς ἀμφοτέρων· ποῤῥωτέρω γὰρ ἤδη ταῦτ᾽ ἐστὶ καὶ μέσα τῇ θέσει τῶν ἄνωθέν τε λαμβανομένων καὶ κάτωθεν ἐνιεμένων φαρμάκων. κοινὴ δ᾽ ἐπὶ πάντων τῶν ἐντὸς μορίων ἔνδειξις αἱρεῖσθαι μὲν τὰ συνηθέστατα τοῦ ζώου τῇ φύσει καὶ σιτία καὶ φάρμακα· φεύγειν δὲ καὶ ἀποτρέπεσθαι τἀναντία· καίτοι γ᾽ ἐπὶ τῶν ἐκτὸς ἑλκῶν ἄλυ-

ex tranſitu et contactu vulneribus quae hic ſunt utilitas accedit, non ex continendo et diutius adhaerendo, ſicut iis quae in ventriculo ſunt. Quin imo et quod craſſiora haec et magis lenta ſint adhibenda, id quoque a ſitu et conformatione eſt indicatum. Nam quoniam gula tranſitus quidam comeſtorum bibitorumque eſt, idcirco medicamentorum eget quae adhaerere et undique quaſi concreſcere et agglutinari poſſint, non autem quae elui ac defluere ſint prompta. Ac circa partes ejus concreſcunt quae craſſa, agglutinantur quae lenta ſunt. Quae vero ulcera in craſſis ſunt inteſtinis, iis quae per ſedem injiciuntur remediis magis egent; nam ipſi magis ſunt propinqua; quae in tenuibus habentur, quoniam et longinquiora ſunt et medio ſitu poſita, ambo *requirunt*, et quae ſuperne ſumuntur et quae per ſedem infunduntur medicamenta. Sane communis omnium internarum partium indicatio eſt, ut ea eligantur quae animalis naturae maxime ſint familiaria, ſive ea cibi ſint ſive medicamenta; fugiantur reſpuanturque huic contraria;

πος καὶ ἡ τῶν τοιούτων χρῆσις, ἰοῦ καὶ χαλκοῦ κεκαυμένου καὶ λεπίδος χαλκοῦ καὶ καδμείας καὶ πομφόλυγος καὶ λιθαργύρου καὶ ψιμμυθίου. ταῦτ᾽ οὖν καὶ τὰ τοιαῦτα μὴ προσφέρειν τοῖς ἐν[101]τός. εἴρηται δὲ περὶ τῆς φύσεως αὐτῶν ἔν τε τῷ τρίτῳ περὶ κράσεων κἀν τοῖς περὶ φαρμάκων. αἱρεῖσθαι δὲ καὶ τὰς τροφὰς, εἰ μὲν εἰς οὐλὴν ἀγαγεῖν, ἢ κολλῆσαι βουλοίμεθα τὸ ἕλκος, αὐστηράς τε καὶ γλίσχρας καὶ ἀδήκτους· εἰ δ᾽ ἀνακαθῆραι, ῥυπτούσας μετρίως. εἰς μὲν δὴ τοῦτο πάντων ἄριστον μέλι ἄπεφθον, τὰ δ᾽ αὐστηρὰ πόματα καὶ αἱ τοιαῦται τροφαὶ πρόδηλοι παντί. καλῶ δ᾽ αὐστηρὸν ὅπερ καὶ στῦφον ὀνομάζεται, τὸ στρυφνὸν δὲ ἐπιτεταμένον ἐστὶν αὐστηρόν. ὅσα δὲ φάρμακα λαμβάνεται τοῖς ἐντὸς ἄλυπα γέγραπται μὲν ἐν τοῖς περὶ φαρμάκων, εἰρήσεται δὲ καὶ νῦν ὁ τύπος αὐτῶν. ὑποκυστὶς δὴ βαλαύστιον καὶ κύτινοι ῥοιῶν καὶ κηκὶς καὶ ῥοιᾶς λέμματα καὶ Σά(82)μιος ἀστὴρ καὶ Λημνία σφραγὶς καὶ χυλὸς ῥοῦ καὶ ῥόδων, ἀκακία τε καὶ τἄλλα ὅσα τοιαῦτα τοῖς ἐντὸς ἕλκεσιν ἀρήγοντα, βλάβην δ᾽

quanquam in iis quae foris funt ulceribus innoxius etiam talium medicamentorum eft ufus, aeruginis aerisque ufti et aeris fquamae et cadmiae et pompholygis, lithargyri et cerusfae; haec igitur et fimilia interioribus exhiberi non debebunt. Porro proditum de natura horum eft tum in tertio de temperamentis volumine tum in libris de fimplicibus medicamentis. Eligenda vero alimenta funt, fi ad cicatricem perducere aut glutinare ulcus ftudemus, tum auftera tum glutinofa tum quae minime mordeant; fin emundare, quae modice abftergeant, quod munus mel crudum praeter caetera praeftat. Aufterae vero potiones et ejusdem rationis alimenta cuique funt nota. Voco auftèrum id quod adftringens dicitur, acerbum vero quod intenfum aufterum eft. Quae vero medicamenta citra internarum partium moleftiam fumantur tradita funt in iis libris qui de medicamentis funt fcripti, dicetur tamen et nunc eorum formula. *Ergo internis ulceribus opitulantur* hypocyftis et balauftium et cytini punicorum et galla et malicorium et terra Samia et Lemnium figillum et rhois rofarumque fuccus et acacia alia-

οὐδεμίαν ἐργάζεται περὶ τὰ σπλάγχνα. διδόναι δ᾽ αὐτὰ διά τινος τῶν στυφόντων ἀφεψήματος, ἢ μήλων κυδωνίων, ἢ σχίνου, ἢ βάτου ἀκρεμόνων, ἢ ἀμπέλων, ἢ μύρτων, ἢ καὶ δι᾽ οἴνου τινὸς τῶν αὐστηρῶν. εὔδηλος δὲ ἡ τοῦ οἴνου χρῆσις, ὡς πεφυλάχθαι χρὴ τὸν καιρὸν τῶν φλεγμονῶν· ἄλλως δ᾽ οὐδὲν κωλύει διδόναι. εὔδηλον δὲ ὡς καὶ ἀναλαμβάνειν χρὴ τὰ τοιαῦτα φάρμακα, παρασκευάζοντα διά τε τῶν εἰρημένων ὑγρῶν καὶ προσέτι τραγακάνθης τε καὶ κόμμεως ἐπιμιγνύντα καὶ μάλιστα τοῖς ἐν στομάχῳ προσάξειν μέλλοντα. καὶ μὲν δὴ καὶ ἀνακογχυλίζεσθαι μὲν τοῖς κατὰ τὴν φάρυγγα καὶ τὰ παρίσθμια προσφέροντα κελεύειν χρὴ, κατέχειν δ᾽ ὕπτιον ἐπὶ πλεῖστον ἐν τῷ στόματι χαλαροὺς ἐργασάμενον ἅπαντας τοὺς τῇδε μῦς, ἐπὶ τῶν κατὰ τὴν ἀρτηρίαν ἑλκῶν· παραῤῥεῖ γὰρ οὕτως ἀτρέμα καὶ κατὰ βραχὺ, σαφῶς καὶ αἰσθητῶς εἰς αὐτὴν τὴν ἀρτηρίαν τοῦ φαρμάκου· καὶ γὰρ κἂν τῷ κατὰ φύσιν ἔχειν εὖ εἰδέναι χρὴ παρηθούμενον οὐκ ὀλίγον ἐνταῦθα τοῦ πόματος. ἀλλ᾽ ὥσπερ ὑγιαινόντων, οὕτω

quae id genus, quae ulceribus internis praefidium afferunt nec ullam visceribus noxam inferunt. Danda vero haec funt ex aliquo adftringentium decocto, vel mali cotonei vel itisci vel fummorum rubi vitisve vel myrtorum vel *denique* ex vino aliquo auftero. Non latet autem et de vini ufu, quod cavendum id eft ubi phlegmones fufpicio adeft, alias dari nihil vetat. At manifeftum eft ejusmodi medicamenta praeparanda, ac jam dictis humidis excipiendia effe; tum vero tragacanthen et gummi illis admiscenda ac potiffimum quis ea iis quae in gula funt exhibebit. Sed et gargarizare quoque jubendum eft ei qui ad fauces et parifthmia his utetur. At ad ulcus quod in aspera fit arteria, ut fupinus quam diutiffime in ore teneat ac omnes qui illic funt musculos relaxet remittatque praecipiendum; influit enim fic fenfim et paulatim de medicamento aliquid fenfibiliter et manifefte in ipfam arteriam; nam et quum fecundum naturam fe habet, fcire licet potionis nonnihil huc percolari. Sed veluti in fecunda valetudine, ita in adverfa cavendum

καὶ νοσούντων φυλάττεσθαι χρὴ τὸ πλέον, ὡς βηχῶν κινητικόν. ἄχρι μὲν γὰρ ἂν ἐν κύκλῳ παρὰ τὸν χιτῶνα τῆς ἀρτηρίας ὥσπερεὶ παρὰ τοῖχον ὕδωρ φέρηται τὸ ὑγρὸν, οὐκ ἐργάσεται βῆχα, τὸ δ᾽ εἰς τὰς ὁδοὺς μέσας τοῦ πνεύματος ἐμπῖπτον εὐθὺς βηχώδεις ἀποτελεῖ. ταῦτά γε οὖν ἀπὸ τῆς θέσεως καὶ διαπλάσεως τῶν μορίων εἴληπται πάντα· καὶ πρὸς τούτοις ἔτι τὸ συμμιγῆναι μέλιτος ἅπασι τοῖς πρὸς τὰς ἑλκώσεις φαρμάκοις ἐπὶ τὸν κατὰ τὸν θώρακα καὶ τὸν πνεύμονα· μόνα γὰρ εἴπερ ἐπὶ τούτων αὐστηρὰ προσφέροις φάρμακα, χρονίζει κατὰ τὴν γαστέρα. τῆς οὖν ἀναδόσεως αὐτῶν ὄργανον ὑπάρχει τὸ μέλι καὶ ἔστιν οἷον ὄχημά τι ταχείας φορᾶς, ἅμα τῷ μηδὲ βλάπτειν ἕλκη. κατὰ δὲ τὸν αὐτὸν λόγον αὐτό τε τὸ μέλι καὶ τῶν οὔρησιν κινούντων τινὰ μίγνυσθαι χρὴ τοῖς τῶν ἑλκῶν φαρμάκοις, ἐπειδὰν τὰ κατὰ τὴν κύστιν καὶ τοὺς νεφροὺς ᾖ πεπονθότα. τὸ δὲ καὶ τὰς διαγνώσεις τῶν ἡλκωμένων μορίων, ἀπό τε τῆς οὐσίας αὐτῶν καὶ τῆς ἐνεργείας καὶ χρείας γίγνεσθαι καὶ τῆς θέσεώς τε καὶ διαπλάσεως, εὔδηλον μὲν οἶμαι, κἂν ἐγὼ μὴ λέγω, δείκνυται δ᾽.

eſt ne largius influat, utpote quod tuſſim excitabit. Nam quoad humor undique juxta tunicas arteriae ceu juxta murum aqua descendit, tuſſim non cit; ſi quid per mediam ſpiritus viam incidit, tuſſes ſtatim excitat. Tum haec igitur a ſitu et conformatione partium omnia ſunt deſumpta, tum vero non minus illud quod omnibus medicamentis quae thoracis et pulmonum ulceribus ſunt deſtinata, mel ſit admiscendum; nam ſi ſola auſtera his medicamenta exhibueris, ea in ventriculo morabuntur. Ergo diſtributionis eorum *in corpus* inſtrumentum eſt mel, ac celeris tranſitus veluti vehiculum; cum eo quod nec ulceri nocebit. Ad eundem modum quoties in veſica et renibus vitium conſiſtit, non ſolum mel ipſum, ſed etiam eorum quae urinas movent quippiam ulcerum medicamentis misceri oportebit. Illud quoque patere vel me tacente cuivis arbitror, exulceratas partes tum ex earum ſubſtantia tum functione tum uſu tum ſitu tum conformatione discerni. Monſtratum autem

αὐτάρκως κἀν ταῖς περὶ τῶν πεπονθότων τόπων διαγνώσεσιν· ἀλλ᾽ οὐ πρόκειται νῦν περὶ ἐκείνων λέγειν· αὖθις οὖν ἐπὶ τὴν θεραπευτικὴν μέθοδον ἐπάνειμι. φημὶ δὴ καὶ ταῦτα καὶ ἄλλα πολλὰ τὴν τῶν μορίων ἐνδείκνυσθαι θέσιν τε καὶ διάπλασιν· ἐπιδῆσαι γὰρ τὸ ἡλκωμένον μόριον οὐκ ἐγχωρεῖ καλῶς ἄνευ τοῦ λαβεῖν τὴν ἔνδειξιν ἢ ἐκ τῆς διαπλάσεως, ἢ ἐκ τῆς θέσεως, ἢ ἐκ συναμφοτέρων· ἐνιέναι τε τὸν αὐλίσκον τοῦ κλυστῆρος εἰς τὴν ἕδραν ἐπιτηδείως οὐχ οἷόν τε χωρὶς τῆς τοιαύτης ἐνδεί[102]ξεως. καὶ μὴν καὶ διὰ τοῦ καυλοῦ φάρμακον ἐνιέναι πολλάκις εἰς τὴν κύστιν ἀναγκαῖόν ἐστι. περὶ μὲν γὰρ τοῦ καθετῆρος οὐδὲν δέομαι λέγειν, ὡς οὐχ οἷόν τέ ἐστι καλῶς χρήσασθαι αὐτῷ χωρὶς τοῦ καὶ θέσιν ἀκριβῶς ἐπίστασθαι καὶ διάπλασιν ὅλης τῆς κύστεως. ἐν μὲν δὴ τοῖς τοιούτοις ἅπασι πρόδηλον ὡς οὐκ ὀλίγον εἰς τὴν ὅλην θεραπείαν ὁ πεπονθὼς τόπος συνενδείκνυται. ἐπὶ δὲ τῶν καλουμένων ῥηγμάτων, πλέονες ἐνδείξεις φαίνονται συντρέχειν εἰς ταὐτό· καὶ γὰρ καὶ ἡ ἀπὸ τῆς θέσεως ὀρθῶς ἂν ἐξετάζοιτο· διότι γὰρ ἐν βάθει τοῦ σώματός ἐστι καὶ κατα-

id abunde eft in libro de dignotione affectorum locorum; verum non eft de illis nunc dicendi locus; rurfus igitur ad medendi methodum revertor. Ajo igitur et haec et alia multa ex conformatione partium pofituraque indicari; nam quando nec deligare commode aegram partem poffis, nifi prius vel ex conformatione vel pofitura vel utrisque indicationem fumpferis, fed nec immittere in fedem clyfteris fiftulam commode queas absque ejus generis indicatione. Jam per penem injicere medicamenta in veficam faepe neceffum eft. Illud de cathetere apponere opus non eft, quod eo probe uti omnino nequeas, nifi et fitum et figuram totius veficae perfpectam habeas. In talibus ergo omnibus clare patet non parum ad totam curationem affectum ipfum locum fimul indicare. In iis autem quae rupta dicuntur plures indicationes in idem concurrunt, fiquidem et quae a fitu capitur recte ad examen venit; nam propterea quod et in profundo corporis funt et latent, idcirco diverfam

κέκρυπται, διὰ τοῦτο καὶ τῆς θεραπείας ἐξηλλαγμένης παρὰ τὰ φαινόμενα δεήσεται. διότι δὲ σὺν ἐκχυμώσει μὲν πάντως, ἐνίοτε δὲ καὶ σὺν περιθλάσει τῆς ἐῤῥωγυίας σαρκὸς ἀποτελεῖται, διὰ τοῦτο πλείους ἰάσεις ἐνδείξεται· ἀεὶ γὰρ τῷ πλήθει τῶν διαθέσεων οἱ πρῶτοι σκοποὶ τῶν ἰάσεων ἰσάριθμοι. λεχθήσεται μὲν οὖν ἐπὶ πλέον ἐν τοῖς περὶ τῆς φλεγμονῆς λογισμοῖς ὡς ἰσχυροτέρων δεῖται φαρμάκων ἅπαντα τὰ διὰ βάθος πεπονηκότα σώματα τῶν ἐπιπολῆς ἀῤῥωστούντων. δῆλον δ' οἶμαι καὶ νῦν ἤδη τό γε τοσοῦτον, ὡς ἐκλύεσθαι τὴν δύναμιν ἀναγκαῖόν ἐστι τῶν ἐπιτιθεμένων ἔξωθεν φαρμάκων, ὅταν ἐν τῷ βάθει κατακεκρυμμένον ᾖ τὸ δεόμενον τῆς ἀπ' αὐτῶν ὠφελείας· ἐπιτείνειν οὖν αὐτὴν εἰς τοσοῦτον προσήκει εἰς ὅσον ἐκλύεσθαι μέλλει κατὰ τὴν εἰς τὸ βάθος ὁδόν. αἱ δ' ἐκχυμώσεις ἅπασαι τὸν σκοπὸν τῆς ἰάσεως κένωσιν ἕξουσιν· ὥστε θερμαινόντων αὐταῖς καὶ μετρίως ξηραινόντων ἐστὶ χρεία φαρμάκων. ὅσα γὰρ ἰσχυρῶς ξηραίνει, διαφορεῖ μὲν εὐθὺς κατ' ἀρχὰς ἐπιδηλότερον τῶν ἀσθενεστέρων, ἀπολείπει δέ τι λείψανον τῆς διαθέσεως σκιῤῥῶδες καὶ δυσίατον.

curationem ab iis quae apparent poftulabunt. Quoniam vero cum ecchymofi quidem omnino, aliquando vero et cum contufione circum ipfam praeruptam carnem confiftunt, idcirco plures curationes indicabunt; femper enim affectuum numero primi medendi fcopi refpondent. Ac docebitur quidem ubi de phlegmone differemus locupletius quod valentiora medicamenta requirant quaecunque in profundis partibus laborant quam quae in fummo corpore funt affecta. Nunc id faltem arbitror patere, quod exolvi neceffum eft medicamentorum quae foris applicantur vim ubi quod ab his juvandum eft in profundo latet; quare intendere hanc eatenus oportebit quatenus per transitum ad profundum eft remittenda. Sane ecchymofis omnis vacuationem pro remedio curationis indicat; quare calefacientibus huic et modice ficcantibus medicamentis eft opus. Nam quae vehementer ficcant, difcutiunt illa fiquidem in principio evidentius quam quae funt imbecilla, caeterum nonnihil ipfius vitii fcirrhofum difficileque curatu

εἰρήσεται μὲν οὖν κἀν τοῖς ἑξῆς περὶ τούτων ἀκριβέστερον, ἀλλὰ καὶ νῦν ὅσον εἰς τὰ παρόντα χρήσιμον αὐτάρκως λέλεκται. τά τε γὰρ ὑγραίνοντα καὶ θερμαίνοντα φάρμακα καὶ ταῦτα δὴ τὰ συνήθως ἅπασιν ὀνομαζόμενα χαλαστικὰ καὶ τούτων ὅσα βραχὺ μὲν πρὸς τὸ ξηρότερον ἀποκεχώρηκεν, οὔπω δὲ σαφῶς οὐδ᾽ ἐναργῶς ἐστι συντατικὰ, τῶν ἐκχυμωμάτων ἁπάντων ἐστὶν ἰάματα. χρὴ δὲ δηλονότι καὶ ταῦτα τοῖς τῷ ἐν βάθει τοῦ σώματος ῥήγμασι συνεπιτείνεσθαί τε τῇ δυνάμει καὶ δριμύτερα προσφέρεσθαι καὶ τμητικώτερα καὶ τὸ σύμπαν εἰπεῖν ἐνεργέστερα τοσοῦτον εἰς ὅσον τοῦ δέρματος ἀποκεχώρηκε πρὸς τὸ βάθος ἡ ἐκχύμωσις. ἐκ τῶν τοιούτων εἴη ἂν καὶ ἡ τῆς σικύας χρῆσις ὠφέλιμος· ὄργανον δὲ καὶ αὕτη τοῖς ἰατροῖς ἐξεύρηται βιαίας ὁλκῆς. ἐπειδὰν μέντοι διαφορηθῇ τὸ σύμπαν ἐκχύμωμα, ξηραίνειν ἤδη σφοδρότερον ἐγχωρεῖ τὸ ῥῆγμα καὶ συνάγειν ἐπιδέσει καὶ τὸ σύμπαν εἰπεῖν ἅπαντα πράττειν ὑπὲρ τοῦ συμφῦναι τὸ ἕλκος. εἰ μὲν οὖν ἐν τάχει διαφορηθείη τὸ ἐκχύμωμα, προσίεται ῥᾳδίως τὴν σύμφυσιν ἡ ἐῤῥωγυῖα σάρξ· εἰ δ᾽ ἐν χρόνῳ πλείονι διαφοροῖτο

relinquunt; dicemus autem de his in fequentibus diligentius, fed et nunc quantum ad rem pertinet abunde eft dictum. Quae enim humectant calefaciuntque medicamenta, praeterea haec quae omnes jam vocare chalaftica, *laxantia,* folent; atque ex his quaecunque ad ficcius paulo vergunt, nec tamen ad hunc clare manifefteque contrahentia funt, haec omnium funt ecchymomatum remedia. Curandum vero eft ut una cum ruptis quae in profundo haerent corpore haec tum vires magis habeant intentas tum ipfa magis acria magisque incidentia fint, tum, ut femel dicam, tanto efficaciora quanto magis a cute ad profunda ecchymofis exceffit. In talibus fane nec cucurbitae ufus fit inutilis; id etiam eft inftrumentum ad violentum attractum a medicis excogitatum. Caeterum quum totum ecchymoma discuffum, ficcare jam vehementius ruptum ipfum permittitur, ac deligatura conjungere, omniaque in fumma facere quae ut ulcus coalescat efficiant. Ergo fi discuffum celeriter ecchymoma fit, facile coalescet rupta ipfa caro; fin longiore fpa-

ῥύπος ἀξιόλογον ὑποτρεφόμενον ἐν τῷ μεταξὺ τῶν χειλῶν ἵσταται τοῦ ἕλκους· ὥστ᾽ οὐκέθ᾽ οἷόν τε συμφῦναι τῷ ῥήγματι. καὶ διὰ τοῦτο πᾶν ὁτιοῦν αἴτιον ὑπομιμνήσκει ταῦτα· καὶ γὰρ ῥιγώσαντες καὶ ἀπεπλήσαντες καὶ πυρέξαντες καὶ σφοδρότερον ἐνεργήσαντες τοῖς τοιούτοις μορίοις εὐθέως ἀλγοῦσιν· οὐ γὰρ συνέφυ τὰ χείλη τοῦ ῥήγματος, ἀλλὰ παράκειται μόνον· ὥστε μικρὰ πρόφασις ἀφίστησί τε ῥᾳδίως ἀπ᾽ ἀλλήλων αὐτὰ καὶ τὴν μεταξὺ χώραν ἐμπίπλησιν ὑγρότητος περιττῆς. καὶ τί γὰρ ἄλλο ἢ ἐκχύμωμα γίνεται συνεχῶς αὐτοῖς ὅμοιον τῷ κατ᾽ ἀρχὰς, ἡνίκα τὸ πρότερον ἡ σὰρξ ἐῤῥάγη, πλὴν ὅτι νῦν ἰχῶρός τινος μᾶλλον λεπτοῦ, κατ᾽ ἀρχὰς δ᾽ αἵματος ἦν τὸ ἐκχύμωμα; διὰ τοῦτο καὶ ῥᾷον νῦν ἢ κατ᾽ ἀρχὰς διαφορεῖται. ταῦτα μὲν οὖν εἴρηταί μοι πρός τε τὴν περὶ τῶν ἑλκῶν λόγον ἀποχρήσοντα, καὶ ἤδη τέλος ἐπιτίθημι καὶ τῷδε τετάρτῳ γράμματι.

tio discuſſum ſit, ſordes multa ſubnaſcens medium inter ulceris labra ſpatium occupat, ita ut jam coire ruptio non poſſit. Atque inde adeo fit ut qualibet levi de cauſa nos haec ſui admoneant; nam ſive quis obriguit, ſive non concoxit, ſive febre laboravit, ſive ſe vehementius ſatigavit, ejusmodi partibus illico dolet; non enim in idem coiere ruptionis labra, ſed tantum prope ſunt admota; quo ſit ut leve momentum ea facile ſeparet et medium locum ſupervacuo humore repleat. Et quid quaeſo aliud quam aſſidue novum ecchymoma his gignitur et primo illi, quum videlicet primum caro eſt rupta, ſimile? niſi quod nunc ex tenui magis ſanie conſtat, quum in principio e ſanguine ecchymoma eſſet, ideoque facilius etiam nunc quam intra initia discutitur. Haec itaque quae hactenus diximus diſputationi de ulceribus ſatisfacient, finemque jam quarto huic volumini impono.

# ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ Ε.

Ed. Chart. X. [103.] Ed. Baf. IV. (83.)

*Κεφ. α'.* Τὴν τῶν ἑλκῶν ἴασιν ὡς ἄν τις ἄριστα ποιοῖτο διὰ τῶν ἔμπροσθεν τοῦδε δυοῖν ὑπομνημάτων διεξερχόμενος, καὶ τοὺς ἄλλους μὲν ἅπαντας ἰατροὺς ὅσοι χωρὶς τοῦ ζητεῖσθαι τὰ στοιχεῖα τῶν ἁπλῶν ἐν ἡμῖν μορίων ἅπτονται τῆς τέχνης οὐ δυναμένους οὐδὲν ἰάσασθαι μεθόδῳ, πάντων δὲ μάλιστα τοὺς τὴν Θεσσαλοῦ πρεσβεύοντας αἵρεσιν, ἐπέδειξα. οἱ μὲν γὰρ ἄλλοι τά γ' ἐν τοῖς διαφέρουσι μέρεσιν ἕλκη διαφόρως θεραπεύειν ἀξιοῦσιν ὑπὸ τῆς πείρας δεδιδαγμένοι· τοῖς δ' ἀπὸ τοῦ Θεσσαλοῦ διὰ τὸ περιττὸν τῆς σοφίας ἅπαν

# GALENI METHODI MEDENDI LIBER V.

Cap. I. Quemadmodum quis ulcerum curationem optime moliatur, quum duobus ante hunc libris docuerimus, illud obiter oftendimus, reliquos omnes medicos, qui fimplicium in nobis partium elementis minime inquifitis artem adeunt, non poffe quicquam certa ratione fanare, minimeque omnium qui Theffali fectam profitentur; reliqui namque ea faltem ulcera quae in diverfis fint partibus diverfis rationibus fananda cenfent, ipfa nimirum experientia docti. Qui vero Theffalum auctorem fequuntur, propter

ἕλκος ὁμοίας δοκεῖ δεῖσθαι θεραπείας, ἐν ὅτῳπερ ἂν ᾖ μέρει τοῦ ζώου γεγονός· εἰ μὲν γὰρ εἴη κοῖλον, ἀναπληρώσεως αὐτό φασι χρῄζειν· εἰ δ' ὁμαλὲς, ἐπουλώσεως· εἰ δ' ὑπερσαρκοῦν, καθαιρέσεως· εἰ δ' ἔναιμόν τε καὶ πρόσφατον κολλήσεως· ὥσπερ τῷ ταῦτα γινώσκειν, ἀκόλουθον ἐξ ἀνάγκης τὸ θεραπεύειν ὀρθῶς, ἀλλ' οὐχὶ κοινὸν μὲν τοῦτο καὶ πρὸς τοὺς ἰδιώτας ὑπάρχον, οὐδεὶς οὖν ἀγνοεῖ τῶν ῥηθέντων οὐδέν. οὐ μὴν οὔθ' ὡς χρὴ σαρκῶσαι τὸ κοῖλον οὔθ' ὡς ἐπουλῶσαι τὸ πεπληρωμένον, ἢ καταστεῖλαι τὸ ὑπεραυξανόμενον, ἢ συμφῦσαι τὸ καθαρόν τε καὶ μὴ κοῖλον ἐπίστανται· μόνον γὰρ, οἶμαι, τῶν ἰατρῶν τὰ τοιαῦτα τῶν ἔργων ἐστὶν ἤτοι γ' ἐκ λόγου τινὸς, ἢ ἐξ ἐμπειρίας, ἢ ἐκ συναμφοτέρου [104] τὴν εὕρεσιν ἔχοντα. πάλιν οὖν ἀναλαβόντες ἐν κεφαλαίοις, ὑπὲρ αὐτῶν διεξέλθωμεν ἕνεκα τοῦ συνάψαι τὴν ἀρχὴν τῶν μελλόντων λεχθήσεσθαι τῇ τελευτῇ τῶν φθανόντων εἰρῆσθαι. πᾶν ἕλκος ἐδείχθη ξηραινόντων χρῄζειν φαρμάκων· ἀλλὰ τὸ μὲν κοῖλον ἧττόν τε τῶν ἄλλων καὶ πρὸς τῷ μετρίως ξηραί-

abundantiam ſapientiae omne ulcus, quacunque in parte animalis ſederit, ſimilis egere curationis putant; nam ſi cavum ſit, impleri, ſi aequale, cicatrice induci, ſi caro ſupercreſcat, hanc detrahi, ſi cruentum recensque ſit, agglutinationem poſtulare ajunt: ceu vero qui haec norit, eum recte mederi ſit neceſſe, nec ſit haec ratio etiam cuilibet e plebe communis, quum nemo ſit qui horum quidquam ignoret. Caeterum nec quemadmodum carne implendus ſinus ſit, nec quemadmodum ad cicatricem perduci quod impletum eſt debeat, aut comprimi quod ſuperauctum, aut coalescere quod purum citraque ſinum eſt intelligunt; ſunt enim ejusmodi opera tantum medicorum quae vel ratione vel experientia vel utriusque ope ſunt inventa. Rurſus igitur repetentes ſummatim ea percurramus, quo dicendorum caput cum dictorum copuletur calce. Monſtratum eſt omne ulcus ſiccantia medicamenta requirere, verum cavum minus quam reliqua, ſic ea quae praeterquam quod modice ſiccent, etiam abſtergendi facultatem obtineant, deſiderare, quod vero con-

νειν τὸ ῥύπτειν ἐχόντων, τὸ δὲ τῆς ἑνώσεως τῶν χειλῶν δεόμενον, οἷα τὰ καλούμενα πρὸς τῶν ἰατρῶν ἐστιν ἔναιμα, τῶν τε μᾶλλον ἔτι ξηραινόντων καὶ χωρὶς τοῦ ῥύπτειν ἀτρέμα στυφόντων· ἔτι δὲ μᾶλλον ὅσα τῶν ἑλκῶν εἰς οὐλὴν ἀχθῆναι δεῖται, ξηραινόντων τε χρήζει φαρμάκων καὶ στυφόντων οὐκ ἀγεννῶς. εἰ δὲ ἡ σάρξ αὐτῶν ὑπὲρ τὸ κατὰ φύσιν ἀρθείη, δριμέων τε καὶ καθαιρετικῶν, ἅπερ ἐξ ἀνάγκης εἶναι θερμὰ καὶ ξηρά. συμπτώματος δέ τινος ἑτέρου προσγινομένου τοῖς ἕλκεσιν ἀπὸ τῆς ἐκείνου φύσεως ὁ σκοπὸς τῆς ἰάσεως ἐλαμβάνετο· κἀκ τούτου πάλιν ἡ τῶν φαρμάκων δύναμις. εἰ μὲν γὰρ ῥύπος ἐπιτραφείη, τῶν ἀφαιρούντων αὐτὸν εἶναι τὴν χρείαν· ἅπερ ἅπανθ᾽ ὑπάρχει ῥυπτικὰ πολὺ δή τι πλέον ἢ κατὰ τὰ σαρκοῦντα. πλέονος δ᾽ ὑγρότητος ἐν αὐτοῖς φανείσης, ἔτι μᾶλλον ξηραίνειν χρῆναι τὸ φάρμακον, οὐκ ἐξιστάμενον τῆς οἰκείας ἰδέας. ἀλλ᾽ εἰ μὲν κολλητικὸν εἴη, ξηραῖνόν τε καὶ στῦφον, εἰ δὲ σαρκωτικὸν, ξηραῖνόν τε καὶ ῥύπτον· ἐφ᾽ ἑκάστου τε τῶν

jungi fibi labra poftulat, cujusmodi funt quae medicis cruenta dicuntur huic tum quae magis etiam ficcent tum vero quae citra abfterfionem leviter adftringant opus effe. Jam quae ulcera perduci ad cicatricem poftulant, haec non folum magis adhuc ficcantibus, fed etiam ftrenue adftringentibus medicamentis egere. Quod fi caro eorum praeter naturae modum intumuit, acria et demolientia, quae eadem calida ficcaque neceffario funt, defiderare. Si quod vero aliud fymptoma ulceri adjunctum erat, ab ejus natura curationis indicatio fumebatur, atque ex hac rurfus remediorum facultas petebatur. Si namque fordes innasceretur, quae hanc tollerent opus effe, eaque omnia abftergendi facultatem habere multo fane majorem quam ea quae carne implerent. Si vero copiofior in his humiditas cerneretur, etiamnum quod magis ficcaret medicamento opus effe, caeterum quod propriam fpeciem non egrederetur. At fi agglutinans medicamentum effet, ficcans adftringensque id effe debere; fi carne impleturum, ficcans et abftergens atque in fingulis

ἄλλων ὥσπερ εἴρηται. δυσκράτου δὲ τῆς ὑποκειμένης γεγονυίας σαρκὸς, ἐκείνης προτέρας ἰᾶσθαι τὴν δυσκρασίαν, τὴν μὲν ξηροτέραν τοῦ κατὰ φύσιν ὑγραίνοντας, τὴν δ' ὑγροτέραν ξηραίνοντας, καὶ τὴν μὲν θερμοτέραν ψύχοντας, τὴν δὲ ψυχροτέραν θερμαίνοντας, καὶ εἰ κατὰ συζυγίαν δέ τινα δύσκρατος ὑπάρχοι, καὶ τὴν τοῦ φαρμάκου δύναμιν ἐξ ὑπεναντίου κατ' ἀμφοτέρας αἱρεῖσθαι τὰς συζυγίας. κοινὸν γὰρ εἶναι τοῦτό γε τῶν παρὰ φύσιν ἁπάντων ὡς μηδὲν δύνασθαι πρὸς τὸ κατὰ φύσιν ἐπανελθεῖν ἄνευ τῶν ἐναντίων ἑαυτῷ τῇ δυνάμει. προσεπισκοπεῖσθαι δ' ἐν τῷδε καὶ τὰς αὐτῆς τῆς δυσκρασίας αἰτίας εἴτε κοιναὶ τοῦ σώματος ἅπαντας ὑπάρχοιεν, εἴτε μορίων τινῶν ἐξαίρετοι, κατὰ συμπάθειαν ἀδικοῦσαι τὸ ἡλκωμένον. ἐξιᾶσθαι δὲ προτέραν μὲν τὴν τῆς γινομένης δυσκρασίας αἰτίαν, ἐφεξῆς δὲ καὶ τῆς ἤδη γεγενημένης· εἶναι γὰρ δεῖ καὶ τοῦτον τὸν σκοπὸν ἁπάντων κοινὸν τῶν ὑπ' αἰτίου τινὸς ἐπιγιγνομένων. ἐδείξαμεν δὲ καὶ τὰς ἀπὸ τῆς διαφορᾶς τῶν ἑλκῶν διαφόρους ἐνδείξεις καὶ τὰς ἀπὸ τῆς

reliquorum ut dictum eſt. Si vero intemperata ſubjecta caro eſſet, primum ejus intemperiei ſuccurrendum eſſe, utique quae ſiccior praeter naturam eſſet, hanc humectantibus, quae humidior, ſiccantibus, tum quae calidior eſſet, refrigerantibus, quae frigidior, hanc calefacientibus, et ſi gemina qualitate eſſet intemperata, medicamentum quoque eligentibus quod gemina eſſet qualitate contrarium. Nam id omnium quae praeter naturam ſunt commune eſſe, non poſſe ad naturam ſuam redire quicquam ſine iis quae ipſi facultatem haberent contrariam. Conſiderandas praeterea et intemperiei cauſas hoc tempore eſſe, ſive hae totius corporis eſſent communes, ſive quarundam partium propriae, quae per ſympathiam exulceratam partem infeſtarent. Medendum vero eſſe primariae cauſae quae intemperiem efficit; denique vero ipſi quae jam facta eſt; hanc enim communem ſcopum eſſe omnium, quae ex cauſa aliqua oriantur. Oſtendimus autem tum ab ulcerum differentiis diverſas praeberi indicationes, tum eas quae a laborantis corporis tem-

τῶν πεπονθότων σωμάτων κράσεως, ἑτέρως ἐχούσας ταῖς προειρημέναις. ἐκεῖναι μὲν γὰρ ἀπὸ τῶν παρὰ φύσιν ὑπάρχουσαι τῶν ἐναντίων ἅπασι χρήζουσιν· αὗται δ᾽ ἐκ τῶν κατὰ φύσιν ὁρμώμεναι τῶν ὁμοίων· τὸ μὲν γὰρ ξηρότερον μόριον ξηραίνεσθαι δεῖ μᾶλλον, τὸ δὲ ἧττον τοιοῦτον ἧττον ξηραίνεσθαι χρή. κατὰ δὲ τὸν αὐτὸν τρόπον ἐπὶ τοῦ θερμαίνεσθαί τε καὶ ψύχεσθαι· λαμβάνεσθαι δέ τινα κἀκ τοῦ κύριον ἢ μὴ τοιοῦτον εἶναι τὸ μόριον, εὐαίσθητόν τε καὶ δυσαίσθητον, διάφορον ἰάσεως ἔνδειξιν.

Κεφ. β΄. [105] Ὅσον οὖν ὑπόλοιπον ἔτι τῆς τούτου τοῦ γένους θεραπείας ἐστὶν ἤδη λέγωμεν. ὀνομάζεται μὲν τὸ γένος τοῦτο πρὸς ἡμῶν ἕνεκα σαφοῦς διδασκαλίας ἑνώσεως λύσις, οὐδὲν διαφέρον εἰ καὶ συνεχείας εἴποιμεν. ἐγγίνεται δ᾽ οὐ μόνον τοῖς ὁμοιομερέσι τε καὶ ἁπλοῖς ὀνομαζομένοις μορίοις, ἀλλὰ καὶ τοῖς συνθέτοις τε καὶ ὀργανικοῖς. αἱ δὲ τῶν βοηθημάτων ἐνδείξεις ἕτεραι μὲν ἀπὸ τῶν ὁμοιομερῶν εἰσιν, ἕτεραι δὲ ἀπὸ τῶν ὀργανικῶν. ἀμφοτέρας μὲν οὖν οἱ τὴν Ἱπποκράτους μέθοδον ἀσπαζόμενοι γινώσκουσι, διότι καὶ

peramento fumuntur, diverfam ab his habere rationem. Siquidem illae quum ex iis quae praeter naturam funt fumantur, omnes contraria effe adhibenda dictant, hae quum ab eo quod fecundum naturam eft capiantur, fimilia; nam fi qua ficcior pars eft, ea magis ficcari poftulat, quae minus talis eft, ea minus eft ficcanda. Ad eundem certe modum et de calefaciendo refrigerandoque *eft praeceptum.* Nec illud omifimus ex praecellentia partis, aut contrario ftatu, itemque ex fenfu acri hebeteve diverfum medicandi confilium peti.

Cap. II. Ergo quod reliquum eft hujus morborum generis curandi, id nunc apponamus. Nos genus id lucidioris doctrinae caufa unitatis folutionem appellavimus, nec refert fi continuitatis *folutionem* voces; incidit haec non fimilaribus modo et fimplicibus nominatis partibus, fed etiam compofitis et organicis. At vero remediorum indicationes aliae a fimilaribus fumuntur, aliae ab organicis; has quidem ambas norunt qui methodum Hippocratis con-

τὴν ἑκατέρων τῶν μορίων φύσιν ἐπίστανται· τὴν δ᾽ ἑτέραν ἐξ αὐτῶν μόνην τὴν ἀπὸ τῶν ὀργανικῶν οἱ περὶ τὸν Ἐρασίστρατόν τε καὶ Ἡρόφιλον. ὥστε κἂν τοῖς ἐφεξῆς λόγοις ὅσα μὲν ἀπὸ τοῦ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ σώματος ἢ πάθους εἰς τὴν ἔνδειξιν λαμβάνεται, τούτων οὐδενὸς ἕξουσι μέθοδον οἱ περὶ τὸν Ἐρασίστρατόν τε καὶ Ἡρόφιλον· ὅσα δὲ ἀπὸ τῆς διαπλάσεως, ἢ θέσεως, ἢ κυριότητος, ἢ εὐαισθησίας, ἢ τῶν ἐναντίων, οὐκ ἀγνοήσουσι. φανείη δ᾽ ἂν σοι σαφέστερον ὃ λέγω τῶν σωμάτων αὐτῶν προχειρισθέντων. ἐπεὶ τοίνυν ἔμπροσθεν ὑπὲρ τῶν ἐν σαρκώδεσι μέρεσι γινομένων ἑλκῶν ὁ πλεῖστός μοι λόγος ἐπεράνθη, νῦν δ᾽ ἤδη καιρὸς ὑπὲρ τῶν ἐν ἀρτηρίᾳ καὶ φλεβὶ καὶ νεύρῳ διελθεῖν, οὐδὲ περὶ τούτων ἁπλῶς, ἀλλὰ καὶ καθ᾽ ἕκαστον σπλάγχνον ἢ συλλήβδην εἰπεῖν ὀργανικὸν τοῦ ζώου μόριον. εἰ δέ τις ἀρτηρίαν ἢ φλέβα τρωθείη μεγάλην, αἱμοῤῥαγία τε λάβρως ἐπιπίπτει τοπαραυτίκα καὶ κολληθῆναι τῷ τοιούτῳ τραύματι χαλεπὸν μὲν κἂν τῇ φλεβί· κατὰ δὲ τὴν ἀρτηρίαν οὐ

fectantur, propterea quod utrarumque partium naturam intelligunt, alteram autem duntaxat, nempe quae ab organicis praebetur, qui Erafiftratum et Herophilum fequuntur. Quare in iis qui fequentur fermonibus quaecunque a calido, frigido, ficco et humido corpore morbove indicationes fumuntur, nullius certe methodum hi habebunt Erafiftrati et Herophili fectatores; quae vero a conformatione, fitu, praecellentia, acri fenfu, aut his contrariis praebentur, has non ignorabunt. Illuftrius erit quod dicimus, fi partes ipfas propofuerimus. Quoniam igitur de iis maxime ulceribus quae in carnofis accidunt partibus hactenus abunde tractavimus, nunc tempeftivum videtur de iis agere quae in arteria, vena et nervo contingunt; nec de iis abfolute, fed ut in quovis funt viscere, vel ut fummatim dicam, animalis parte. Ergo fi cui arteria venave magna vulnerata eft, et copiofum fanguinis profluvium continuo fupervenit, et glutinari id vulnus difficile quidem etiam in vena eft, in arteria vero non folum difficile, fed etiam quod fieri,

Ed. Chart. X. [105.] Ed. Baf. IV. (83. 84.)

*χαλεπὸν μόνον, ἀλλὰ ἴσως καὶ ἀδύνατον, ὥς τινες ἀπεφήναντο τῶν ἰατρῶν. λεκτέον οὖν ὑπὲρ ἑκατέρων ἐν μέρει· πρότερον μὲν τῶν αἱμοῤῥαγιῶν, δεύτερον δὲ τῶν συμφύσεων. ἐπεὶ δὲ καὶ κατὰ ἀναστόμωσίν τε καὶ τὴν καλουμένην διαπήδησιν αἱμοῤῥαγίαι γίνονται, διὰ τὴν κοινωνίαν τῶν ἰαμάτων οὐδὲν χεῖρον ἐν τῷδε μνημονεύειν αὐτῶν, εἰ καὶ δοκοῦσιν ἐξ ἑτέρου γένους εἶναι νοσημάτων. ἐκχεῖται τοίνυν αἷμα φλεβὸς καὶ ἀρτηρίας ἤτοι κατὰ τὸ πέρας ἀνεστομωμένων τῶν ἀγγείων, ἢ (84) τοῦ χιτῶνος αὐτῶν διαιρεθέντος, ἢ ὡς ἄν τις εἴποι διηθούμενον, ἢ διιδρούμενον. ὁ μὲν οὖν χιτὼν διαιρεῖται τιτρωσκόμενός τε καὶ θλώμενος καὶ ῥηγνύμενος καὶ διαβιβρωσκόμενος. ἀναστόμωσις δὲ γίνεται διά τε ἀτονίαν ἀγγείου καὶ πλῆθος αἵματος ἀθρόως ῥεύσαντος ἐπὶ τὸ στόμιον αὐτοῦ καί τινα ποιότητα προσπίπτουσαν ἔξωθεν αὐτῷ δριμεῖαν. ἡ δὲ διαπήδησις ἀραιωθέντος μὲν τοῦ χιτῶνος, λεπτυνθέντος δὲ τοῦ αἵματος ἀποτελεῖται· γένοιτο δ' ἄν ποτε καὶ δι' ἀναστόμωσιν ἀγγείων μικρῶν. λεκτέον οὖν ὑπὲρ ἑκάστης διαθέσεως ἐν μέρει, καὶ πρώτης γε τῆς διαιρέσεως, ἣν*

ſicut nonnullis medicorum eſt viſum, omnino fortaſſe non poſſit. Dicendum ergo viciſſim de utrisque eſt, ac prius de ſanguinis profluvio, ſecundo de agglutinatione. Quoniam autem et per anaſtomoſin et per diapedeſin vocatam profluvia hujusmodi fiunt, non alienum ſit, propterea quod curationem communem habent, etiam hoc loco de iis meminiſſe, tametſi ex alio eſſe morborum genere videantur. Sane profluit ex vena vel arteria ſanguis, aut reſeratis vaſorum osculis, aut tunica earum diviſa, aut, ut quis dixerit, transcolatus, *ſive ſudoris modo transmiſſus.* Porro dividitur ipſa tunica tum ex vulneratione tum contuſione tum ruptione tum eroſione. Anaſtomoſis accidit propter tum vaſis imbecillitatem tum ſanguinis ad ejus osculum impetu fluentis copiam, ad haec acrem quampiam, quae illi extrinſecus incidat, qualitatem. Diapedeſis vero ex tunica quidem ipſa rareſacta, ſanguine vero tenuato oritur, accidere praeterea interdum poteſt, et ex gracilium vaſorum anaſtomoſi. Dicendum igitur eſt de horum affectuum unoquoque ſeor-

ἐξ ἀναβρώσεως καὶ τρώσεως καὶ θλάσεως καὶ ῥήξεως ἔφαμεν γίγνεσθαι. τὰ μὲν δὴ τιτρώσκοντα τῶν αἰτίων ὀξέα τ᾽ ἐστὶ καὶ σύντομα, τὰ δὲ θλῶντα βαρέα τε καὶ σκληρὰ, τὰ δὲ ῥηγνύντα διὰ μέσης μὲν ἅπαντα τῆς τάσεως ῥήγνυσιν· ἔστι δὲ πλείω σφοδρότης ἐνεργείας καὶ πλῆθος χυμῶν, οὐ τὸ πρὸς τὴν δύναμιν, ἀλλ᾽ ὅταν ὑπὸ τῶν περιεχόντων μὴ στέγηται, καὶ κατάπτωσις ἐξ ὑψηλοῦ καί τι τῶν βαρέων καὶ σκληρῶν ἐμπεσόν. τὸ γὰρ τοιοῦτον ἐπειδὰν μὲν ἤτοι κενοῖς, ἢ [106] ὀλιγίστην οὐσίαν περιέχουσιν ἀγγείοις ἐμπέσοι, θλάσιν ἐργάζεται, μετὰ τοῦ καὶ τὸ ἀντιστηρίζον ἔχειν σκληρόν· ἐπειδὰν δὲ πλῆρες ᾖ, φθάνει ῥηγνύειν πρὶν θλᾶσθαι, παραπλησίου τοῦ συμβαίνοντος ὄντος ὥσπερ εἰ καὶ πληρώσας ἀσκὸν ἢ κύστιν ἐπιῤῥίψαις λίθον, ἢ εἰ κατὰ τοῦ λίθου σφοδρῶς ἐπιῤῥίψαις τὸν ἀσκόν. ἔοικε δὲ μάλιστα τοῦτο τὸ γινόμενον ἐν ταῖς καταπτώσεσιν· ὃν γὰρ ἔχει λόγον ὡς πρὸς τὸν λίθον ὁ ἀσκὸς, τοῦτον ὡς πρὸς τοὔδαφος ὁ ἄνθρωπος. ὅσοι δὲ μέγιστον ἢ ὀξύτατον βοήσαντες ἔῤῥηξαν ἀγγεῖον ἐν πνεύμονι,

ſum, ac primum de diviſione, quam vel ex eroſione vel vulnere vel contuſione vel ruptione diximus accidere. Quae itaque ut cauſae vulnerant, ea ſunt acuta, atque ad ſecandum habilia, quae contundendo ſolvunt, ea gravia duraque ſunt, quae rumpunt, omnia id tenſionis interventu faciunt; idem et intenſior actionis vehementia facit, tum ſucci abundantia, non utique virium reſpectu, ſed quum a vaſe ſuo non continetur; etiam caſus ab alto, tum grave quippiam durumque incidens. Nam ejusmodi aliquid quum vel vaſis vacuis, vel puſillam omnino rem continentibus in ea inciderit, ſi durum ex oppoſito objectum habent, contuſa reddit; at ſi plenum vas ſit, prius id rumpit quam contundat; quum ſit quod tum accidit perſimile, ac ſi utrem veſicamve impleas, atque in hunc lapidem jactes, vel contra lapidi utrem violenter illidas. Sane huic perſimile eſt quod accidit in caſibus ab alto, quam namque rationem uter habet ad lapidem, hanc homo habet ad ſolum. Quisquis vero ex maximo acutiſſimoque clamore in pulmonibus vas perfregit, is violentiae

Ed. Chart. X. [106.] Ed. Baſ. IV. (84.)

διὰ συντονίαν ἐνεργείας ἔπαθον οὕτως· ὡσαύτως δ᾽ αὐτοῖς καὶ ὅσοι βαρὺν ὄγκον σώματος ἢ τοῖς ὤμοις ἀναθέσθαι προυθυμήθησαν, ἢ ἄλλως πως ἐξᾶραι διὰ ταῖν χεροῖν. ἔτι δὲ μᾶλλον ὅσοι διὰ δρόμον ὠκὺν, ἢ πηδήσαντες μέγιστα, ἤ πως ἄλλως ἰσχυρῶς τείναντές τι μόριον· ἔστι γὰρ καὶ τοῦτο παραπλήσιον ὡς εἰ καὶ σχοινίον, ἢ ἱμᾶντα διατείναις ἐπὶ πλεῖστον. ὅτι δὲ καὶ διὰ τὸ μὴ στέγειν τὸ περιεχόμενον ἐν αὐτοῖς αἷμα, καὶ μάλισθ᾽ ὅταν ᾖ πνευματικὸν, οὐκ ὀλίγα ῥήγνυται, δηλοῦσιν οἵ τε πίθοι πρὸς τοῦ γλεύκους ἀναῤῥηγνύμενοι καὶ ἄλλα πολλὰ τῶν ἰσχυροτάτων σωμάτων.

Κεφ. γ΄. Εἰ μὲν οὖν ἐκ τρώσεως, ἢ βοῆς, ἢ καταπτώσεως ἡ ῥῆξις ἐγένετο, πέπαυται τὸ αἴτιον. εἰ δ᾽ ὑπὸ πλήθους, ἐγχωρεῖ καὶ νῦν ἔτι τὸ ἀγγεῖον ἐπὶ πλέον ἀναῤῥήγνυσθαι, μενούσης ἔτι τῆς ποιούσης αἰτίας ἐπὶ μὲν οὖν τῆσδε τῆς διαθέσεως ἐκκενωτέον ὅτι τάχιστα τὸ πλῆθος· εἶθ᾽ οὕτως ἐπισχετέον τὸ αἷμα· κἄπειτα τὸ ἕλκος θεραπευτέον. ἐφ᾽ ὧν δὲ οὐκ ἔστι τὸ αἴτιον, ἐπισχεῖν μὲν χρὴ πρῶτον τὸ

actionis acceptum malum referet; ſimiliter huic et qui ex eo, quod praegrave onus corporis aut humeris imponere eſt conatus, aut alias manibus attollere vas fregit; atque hoc etiam magis cui ex concitatiſſimo curſu, aut valentiſſimo ſaltu, aut aliter pars ulla violenter extenſa, id accidit; eſt enim id quoque perſimile, ac ſi funiculum aut lorum quam maxime diſtendas. Porro perrumpi quoque non pauca propterea quod ſanguinem quem in ſe habent non continent, potiſſimum quum flatulentus is ſit, indicio ſunt tum dolia, quae ſaepe muſto rumpuntur, tum alia multa valentiſſimorum corporum.

Cap. III. Si itaque ex vulnere vel clamore vel caſu vel contuſione perruptum vas ſit, utique his cauſa ipſa deſiit. Si vero ex abundantia fieri poteſt ut vas etiam amplius rumpatur, eſſectrice ſaltem adhuc manente cauſa. Atque in hoc quidem affectu vacuanda quamprimum abundantia eſt, abhinc ſanguis ſupprimendus, mox ulcus ipſum curandum. Ubi vero eſſectrix cauſa jam deſiit, primum

αἷμα, τὸ δ᾿ ἕλκος ἑξῆς ἰᾶσθαι. πῶς οὖν ἐπισχῶμεν τὸ αἷμα; στεγνώσαντες μὲν τὸ ἐῤῥωγὸς, ἐκτρέψαντες δὲ καὶ ἀποστρέψαντες ἑτέρωσε τὸ δι᾿ αὐτοῦ φερόμενον, ὡς εἴ γε καὶ τοῦτ᾿ ἐπιῤῥέοι, καθάπερ ἐξ ἀρχῆς ὥρμησε, καὶ τὸ στόμιον ἴσον ἑαυτῷ διαμένοι, θᾶττον ἂν ἀπόλοιτο τὸ οὕτως αἱμοῤῥαγοῦν ζῶον ἢ τὸ αἷμα παύσαιτο κενούμενον. ἀλλὰ καὶ τό γ᾿ ἕλκος, ἤτοι τῶν διεστώτων χειλῶν ἐς ταὐτὸν ἀφικομένων, ἢ τοῦ στομίου φραχθέντος στεγνωθήσεται. συναχθήσεται μὲν οὖν ἐς ταὐτὸν ἀλλήλοις τὰ χείλη διά τε τῶν ἡμετέρων χειρῶν, ὅταν οὕτως πρόχειρον ᾖ τὸ τραῦμα, καὶ δι᾿ ἐπιδέσεως, ὁπότε τῶν ψυχόντων καὶ στυφόντων φαρμάκων. οὐ γὰρ δὴ ῥάπτειν γε δυνάμεθα τὸ τῆς ἀρτηρίας ἢ φλεβὸς τραῦμα, καθάπερ ἂν εἴποιεν οἱ μηδεμίαν ἐκ τῆς τῶν τετρωμένων μερῶν οὐσίας τε καὶ φύσεως ἔνδειξιν γίνεσθαι φάσκοντες. ἐμφραγήσεται δὲ τὸ στόμιον ὑπό τε θρόμβου καὶ τῶν ἔξωθεν ἐπιβαλλομένων αὐτῷ· δύναται δὲ ἐπιβάλλεσθαι τά τε περικείμενα σαρκώδη καὶ τὸ δέρμα κατ᾿ ἐνίας τρώσεις ὅσα θ᾿ ἡμεῖς ἐπιτεχνώμεθα. ταῦτα δ᾿ ἐστὶν οἵ τε

fiftere fanguinem expediet, poft ulcus fanare. Quomodo igitur fiftemus fanguinem? Obturato quidem quod perruptum eft, averfo autem atque aliorfum translato quod per id ferebatur; fi id eo quo inter initia impetu confluat, osculumque vafis pari modo pateat, citius plane moriatur animans, quae profluvio laborat, quam fanguis ceffet effluere. Sed et ulcus ipfum claudetur, vel labris ejus quae diffident in idem adductis, vel osculo ejus obftructo. Adducentur in idem labra ejus tum noftrarum manuum opera, ubi fic ad manum ulcus fe exhibet, tum per deligaturam, tum vero per ea medicamenta quae refrigerent et adftringant. Neque enim fuere fas eft arteriae venaeve vulnus, veluti dixerint qui nullam a vulneratae partis fubftantia naturaque fumi indicationem ajunt. Obftruetur vafis osculum et fanguine ipfo concreto et iis quae foris illi imponuntur; poffunt autem fuperimponi tum carnofae ipfae, quae circa ulcus funt partes tum in nonnullis vulneribus ipfa cutis, ad haec quaecunque ipfi comminiscimur. Ea funt et

καλούμενοι μοτοὶ καὶ τῶν φαρμάκων ὅσα τ᾽ ἐμπλάσσει γλίσχρα καὶ παχέα ταῖς οὐσίαις ὄντα, καὶ ὅσα τὴν καλουμένην ἐσχάραν ἐργάζεται· καὶ γὰρ καὶ ταύτην οἷον φράγματι τοῖς τοιούτοις ἕλκεσι ἐξεῦρον οἱ πρόσθεν· ἐργάζονται δ᾽ αὐτὴν διά τε πυρὸς αὐτοῦ καὶ φαρμάκων ὁμοίαν πυρὶ τὴν δύναμιν ἐχόντων. ἐκ τοιού[107]των μὲν δὴ στεγνοῦται τὸ στόμιον, ἀποτρέπεται δὲ καὶ ἀποστρέφεται τὸ αἷμα πρὸς ἕτερα μόρια παροχετεύσει τε καὶ ἀντισπάσει· καὶ γὰρ καὶ ταῦθ᾽ Ἱπποκράτους εὑρήματα κοινὰ πάσης ἀμέτρου κενώσεως. παροχετεύεται μὲν οὖν εἰς τοὺς πλησίον τόπους· ἀντισπᾶται δὲ ἐπὶ τοὺς ἀντικειμένους· οἷον τῷ δι᾽ ὑπερώας κενουμένῳ διὰ ῥινῶν μὲν ἡ παροχέτευσις, κάτω δ᾽ ἡ ἀντίσπασις, ὥσπερ γε τῷ δι᾽ ἕδρας διὰ μήτρας μὲν ἡ παροχέτευσις, ἄνω δὲ ἡ ἀντίσπασις. οὕτως γοῦν καὶ ἡ φύσις αὐτὴ δρᾷν πέφυκε. γυναικὶ μὲν, φησὶν, αἷμα ἐμεούσῃ τῶν καταμηνίων ῥαγέντων λύσις. διὰ τοῦτ᾽ ἄρα καὶ καταμηνίων ἀθρόων ἐκκενουμένων ἢ ὁπωσοῦν ἄλλως αἱμοῤῥαγούσης μήτρας ἀντισπάσεις

linamenta et medicamenta emplaſtica, quae idcirco quod ex lenta craſſaque ſubſtantia conſiſtant meatus obſtruunt; praeterea quae cruſtam ſive eſcharan efficiunt; quippe hanc quoque ceu ſeptum quoddam hujuscemodi ulceribus veteres excogitarunt; efficiunt hanc tum ignis ipſe tum quaedam medicamenta quibus ignea facultas ineſt. Atque his quidem rebus obſtruitur vaſis osculum. Avertitur autem ſanguis atque ad alias partes convertitur tum derivatione tum revulſione; nam haec quoque Hippocratis inventa ſunt, omnis immoderatae vacuationis communia remedia. Derivatio ad vicinos locos fit, quum id quod per palatum vacuatur per nares derivatur; revulſio autem ad contraria, quum ad inferna revellitur. Rurſus quod per ſedem profluit, id per vulvam derivamus, ſurſum vero revellimus. Ita namque et natura facere ſolet. *Mulieri enim*, inquit Hippocrates, *ſanguinem vomenti menſibus eruptis ſolutio eſt.* Hac igitur de cauſa ſi vel menſes confertim eruperint, vel ſanguis ab utero quoquo modo pro-

ἄνω σικύαν μεγίστην ὑπὸ τοὺς τιτθοὺς προσβαλών· ἔστι γὰρ καὶ τοῦτο Ἱπποκράτους εὕρημα. διὰ τοῦτο δὲ καὶ τὰς ἐκ ῥινῶν αἱμοῤῥαγίας ἐπέχουσιν αἱ κατὰ τῶν ὑποχονδρίων ἐπιβαλλόμεναι μέγισται σικύαι. χρὴ δ᾽ ὅταν ἐκ δεξιοῦ ῥέῃ μυκτῆρος, ἐφ᾽ ἥπατος ἐρείδειν, ὅταν δ᾽ ἐξ ἀριστεροῦ, κατὰ σπληνὸς, ὅταν δ᾽ ἐξ ἀμφοτέρων, ἀμφοτέροις τοῖς σπλάγχνοις ἐπιφέρειν τὰς σικύας. εἰ δὲ μηδέπω καταλελυμένος ὁ κάμνων εἴη, καὶ φλέβα τέμνειν ἐξ ἀγκῶνος τοῦ κατ᾽ εὐθὺ, κενώσαντα δ᾽ ὀλίγον, εἶτα διαλιπόντα μίαν ὥραν αὖθις ἐκκενοῦν· εἶτ᾽ αὖθις καὶ αὖθις ὡς πρὸς τὴν δύναμιν τοῦ κάμνοντος. οὕτω δὲ καὶ τἄλλα ῥεύματα σύμπαντα, κοινὸς γὰρ ὁ λόγος, ἀντισπάσεις τε καὶ παροχετεύσεις, τὰ μὲν διὰ γαστρὸς ἤτοι δι᾽ οὔρων ἢ μήτρας, τὰ δὲ δι᾽ οὔρων ἤτοι διὰ μήτρας ἢ δι᾽ ἕδρας· ὡσαύτως δὲ καὶ τὰ διὰ μήτρας ἤτοι δι᾽ οὔρων ἢ διὰ γαστρός· ἐπὶ δὲ τῶν κατ᾽ ὀφθαλμοὺς καὶ ὦτα καὶ ὑπερώαν, διὰ ῥινῶν ἡ προχέτευσις. ἡ δ᾽ ἀντίσπασις ἄνω μὲν ἐπὶ τοῖς κάτω πᾶσι, κάτω δ᾽ ἐπὶ τοῖς ἄνω· καὶ μὲν δὴ κᾀκ τῶν δε-

fluxerit, ſeorſum revelles cucurbitam maximam ſub mammis deſigens; nam et hoc Hippocratis inventum eſt. Eandem ob cauſam quum a naribus ſanguis erumpit, non retinent maximae in hypochondriis deſixae cucurbitae. Inſigendae autem ſunt, ſi ex dextra nare profluit, ſuper jecinore; ſi ex ſiniſtra, ſuper liene, ſi ab utraque nare, ſuper utroque ſunt imponendae viscere. Quod ſi reſolutus adhuc aeger non ſit, etiam vena ex eo cubito incidenda eſt, *qui profuſioni* e directo *reſpondet*, ubi paulum detraxeris, mox unam horam intermittens rurſus detrahes; poſt iterum atque iterum pro laborantis viribus. Ad hunc modum et reliquas omnes fluxiones, quippe communis ratio eſt, tum revelles tum derivabis, quae per alvum quidem *fluunt*, ea vel per urinas vel uterum; quae vero per urinas, ea vel per alvum vel per ſedem; pari modo quae per uterum *erumpunt*, vel per urinas vel per alvum; quae vero in oculis, aure, vel palato *fluxiones accidunt*, eorum derivatio per nares eſt. Revulſio vero in iis quae ſupra ſunt omnibus deorſum ſemper agitur, ſurſum in iis quae ſunt in-

ξιῶν ἐπὶ θάτερα, κἀξ ἐκείνων ἐπὶ ταῦτα, κἀκ τῶν εἴσω πρὸς τὰ ἔξω, κἀκ τούτων αὖ πάλιν πρὸς ἐκεῖνα. τρίψεις οὖν τῶν ἀντικειμένων μερῶν καὶ μάλιστα διὰ φαρμάκων θερμαινόντων, ἔτι τε δεσμὰ σφοδρότερα τῶν ἀντισπαστικῶν ἐστι βοηθημάτων· ὥσπερ γε καὶ οἱ ἀντικείμενοι τῶν φυσικῶν πόρων ἀναστομωθέντες· εἴρηται δ᾽ ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν ἡ τῶν τοῦτο δυναμένων ἐργάζεσθαι φαρμάκων ὕλη. περὶ μὲν οὖν ἁπάντων ῥευμάτων εἰπεῖν ἀναγκαῖον ἔσται κἀν τοῖς ἑξῆς ὑπομνήμασι· νυνὶ δὲ ἐπὶ τὰς αἱμοῤῥαγίας ἰτέον. ἐκ γάρ τοι τοῦ γένους τῆς στεγνώσεώς ἐστί πως καὶ ὁ βρόχος ὁ περιτιθέμενος αὐτοῖς τοῖς αἱμοῤῥαγοῦσιν ἀγγείοις, οἵ θ᾽ ἡμέτεροι δάκτυλοι συνάγοντές τε καὶ σφίγγοντες αὐτά. τούτου δ᾽ ἐστὶ τοῦ γένους καὶ ἡ ἐπίδεσις· καίτοί γ᾽ οὐ κατὰ κύκλον τὸ ἀγγεῖον περιλαμβάνουσα, καθάπερ ὁ βρόχος, ἀλλὰ τῷ συνάγειν τέ πως ἐκ μέρους τὰ διεστῶτα χείλη τοῦ τετρωμένου μορίου καὶ προστέλλειν τὰ ἐπικείμενα τῶν στεγνωτικῶν ἐστι βοη-

fra. Praeterea a dextris ad finiftra, ficut ab his rurfus ad illa; fimiliter ex iis quae intus habentur ad ea quae foris funt, contraque ab his ad illa. Ergo frictio contrapofitae partis potiffimum per ea medicamenta quae calefaciant; praeterea vincula valentius adducta iis quae ad contrarium revellant remediis funt annumeranda; quemadmodum profecto et naturalium meatuum qui pofiti ex adverfo funt reclufio; quae vero id praeftare medicamenta poffint, tradita eorum materia a nobis eft in libris quos de medicamentis prodidimus. Sed de omni fluxione in fequentibus etiam libris tractare neceffum erit; nunc ad fanguinis profluvium eft redeundum. Quippe de genere obturantium quodammodo eft, et vinculum ipfis profluentibus vafis injectum, ipfique noftri digiti, dum ea committunt conftringuntque. Eft et alia huc pertinens deligatio; quanquam ipfum vas circulo non complectitur ficuti vinculum, verum cum ex parte complexu fuo committat quodam modo vulneratae partis diffidentia labra et quae fuperimpofita funt contineat,

θημάτων. ἔξωθεν δὲ τῶν εἰρημένων ἁπάντων αἱμοῤῥαγίας βοήθημ᾽ ἐστὶ τὸ ἐπιτήδειον σχῆμα τοῦ τετρω(85)μένου μορίου. ἐπιτήδειον δὲ γίνεται δυοῖν τούτοιν ἐχόμενον σκοποῖν, ἀνωδυνίας τε καὶ ἀναῤῥοπίας· εἰ δ᾽ ἤτοι κατάῤῥοπον ἢ ὀδυνῶδες γίγνοιτο, καὶ τὰς οὐκ οὔσας αἱμοῤῥαγίας ἐργάσεται, μή τοί γε δὴ τὰς οὔσας οὐ παύσει. ταῦτ᾽ οὖν ἐπιστάμενός τις, ἢν ἐπιστῇ ποθ᾽ αἱμοῤῥαγοῦντι μορίῳ διὰ τρῶσιν, ἐπὶ τούτων γὰρ ὁ λόγος μοι γιγνέσθω πρῶτον, αὐτίκα μὲν ἐπιβαλλέτω τὸν δάκτυλον ἐπὶ τὸ στόμιον τοῦ κατὰ τὸ ἀγγεῖον ἕλκους, [108] ἐρείδων πρᾳέως καὶ πιέζων ἀνωδύνως, ἅμα τε γὰρ ἐφέξει τὸ αἷμα καὶ θρόμβον ἐπιπήξει τῇ τρώσει. καὶ μέντοι κἂν εἰ διὰ συχνοῦ βάθους εἴη τὸ αἱμοῤῥαγοῦν ἀγγεῖον, ἀκριβέστερον ἂν καταμάθοις τήν τε θέσιν αὐτοῦ καὶ τὸ μέγεθος· καὶ πότερα φλὲψ, ἢ ἀρτηρία ἐστί· μετὰ δὲ ταῦτα διαπείρας ἀγκίστρῳ ἀνατεινέτω τε καὶ περιστρεφέτω μετρίως. μὴ ἐπισχεθέντος δ᾽ ἐν τῷδε τοῦ αἵματος, εἰ μὲν φλὲψ εἴη, πειράσθω χωρὶς βρόχου στέλλειν τὸ αἷμα τῶν ἰσχαίμων τινὶ φαρμάκων.

merito inter conftringentia remedia numeratur. Praeter omnia jam dicta inter haemorrhagiae remedia cenfeatur et idonea vulneratae partis figura; fed idonea fuerit, fi hos duos fcopos habeat, tum indolentiae tum erectionis partis; fi vero deorfum vergens, vel dolens, non folum profluvium non fiftetur, fed etiam, fi non fit, provocabitur. Ergo qui haec norit fi quando adftiterit ei cui ex vulnere fanguis profluit, de his enim primum agam, illico digitum fuper os vulneris vafis imponat, blande innitens ac fine dolore comprimens; quippe fimul tum fanguinem fiftet tum eum concrescere in vulnere faciet. Quin imo fi vas unde profluit alte fit demiffum, certius ipfis tum fitum intelligat tum etiam magnitudinem; praeterea venane fit an arteria, poft haec injecto unco attollat ac modice intorqueat Quod fi ne tunc quidem fiftitur fanguis, fi vena fuerit, tentet citra vinculum fanguinem fupprimere aliquo ex iis medicamentis quae fanguinis fupprimendi facultatem habeant.

ἄριστα δ᾽ αὐτῶν ἐστι τὰ ἐμπλαστικὰ, συντιθέμενα διά τε τῆς φρυκτῆς ῥητίνης καὶ ἀλεύρου πυρίνου χνοῦ καὶ γύψου καὶ ὅσα τοιαῦτα. εἰ δὲ ἀρτηρία ἐστὶ, δυοῖν θάτερον, ἢ βρόχον περιθεὶς, ἢ ὅλον διακόψας τὸ ἀγγεῖον, ἐφέξεις τὸ αἷμα. βρόχον δ᾽ ἀναγκαζόμεθά ποτε καὶ ταῖς μεγάλαις περιτιθέναι φλεψὶν, ὥσπερ γε καὶ διατέμνειν ποτ᾽ αὐτὰς ὅλας, ἐγκαρσίας δηλονότι. κατασταίη δ᾽ ἄν τις εἰς ἀνάγκην τοῦδε κατὰ τὰς ἐκ πολλοῦ βάθους ὀρθίας ἀναφερομένας, καὶ μάλιστα διὰ στενοχωρίας τινὸς ἢ μερῶν κυρίων. ἀνασπᾶται γὰρ οὕτως ἑκάτερον τὸ μέρος ἑκατέρωθεν, καὶ κρύπτεται καὶ σκέπεται πρὸς τῶν ἐπικειμένων σωμάτων ἡ τρῶσις. ἀσφαλέστερον δ᾽ ἄμφω ποιεῖν, βρόχον μὲν τῇ ῥίζῃ περιτιθέναι τοῦ ἀγγείου, τέμνειν δὲ τοὐντεῦθεν. ῥίζαν δ᾽ ἀγγείου καλῶ τὸ πρότερον αὐτοῦ μέρος, ἤτοι τῷ ἥπατι συνάπτον ἢ τῇ καρδίᾳ. τοῦτο δ᾽ ἐν τραχήλῳ μέν ἐστι τὸ κάτωθεν, ἐν χερσὶ δὲ καὶ σκέλεσι τὸ ἄνωθεν· ἐν ἑκάστῳ τε τῶν ἄλλων μορίων, ὡς ἐξ ἀνατομῆς ἔνεστι μαθεῖν· ἣν οὐδ᾽ αὐτὴν οἱ ἀμέθοδοι προσίενται Θεσσάλειοι.

Sane optima horum funt emplaftica, quae ex frixa refina et farinae triticeae tenuiffimo polline et gypfo aliisque id genus funt compofita. Sin arteria fit, duorum alterum, aut vinculo amplectens, aut totum vas praecidens, profluvium fiftes. Sane vinculum magnis quoque venis injicere interdum cogimur, atque etiam interdum totas praecidere utique transverfas. Incidet autem hujus neceffitas in iis quae ex profundiffimo loco rectae affurgunt, praefertimque per anguftas vel principes partes. Ita namque retrahitur ex utraque parte pars utraque, celaturque ac integitur a fuperjacentibus corporibus vulnus. Tutius tamen eft utrumque facere et vinculum vafis radici injicere, et quod deinceps habetur praecidere. Radicem vafis voco priorem ejus partem, quae vel jecinori proprior eft vel etiam cordi; haec in collo ab inferiore eft parte, in brachiis et cruribus a fuperiore, in fingulisque reliquarum partium, prout ex diffectione intelligere licet, quam nec ipfam amethodi ifti Theffalii admittunt.

Κεφ. δ'. Ταῦτα δὲ πράξαντα σαρκοῦν ὅτι τάχιστα τὸ τραῦμα, πρὶν ἀποῤῥυῆναι τοῦ ἀγγείου τὸν βρόχον. εἰ μὴ γὰρ φθάσειεν ἡ ἐπιτραφεῖσα σὰρξ στεγνῶσαι τὸ πέριξ χωρίον τῆς ἀποτετμημένης ἀρτηρίας, ἀλλ' εὑρεθείη που χώρα κενὴ, τὸ καλούμενον ἀνεύρυσμα γίνεται. διὰ τοῦτο καὶ τοῖς ἐμπλάττουσιν ἰσχαίμοις χρῆσθαι κελεύω μᾶλλον τῶν ἐσχαρούντων, ὅτι θᾶττόν τε καὶ ἀκινδυνότερον ἐπ' αὐτοῖς σαρκοῦται τὸ τραῦμα· κίνδυνος γὰρ ἐπὶ τῶν ἄλλων ἀποπιπτούσης τῆς ἐσχάρας αὖθις αἱμοῤῥαγῆσαι τὸ ἀγγεῖον. ἄριστον οὖν ἁπάντων ὧν οἶδα φαρμάκων, ᾧ καὶ πρὸς τὰς ἐκ μηνίγγων αἱμοῤῥαγίας ἀσφαλέστερον χρῆσθαι, τὸ λεχθησόμενον ἐστί· λιβανωτοῦ μέρος ἓν ἀλόης ἡμίσει μεμίχθω μέρει· κἄπειτα τῆς χρείας ἐπιστάσης ὠοῦ τῷ λευκῷ φυράσθω τοσούτῳ τὸ πλῆθος ὡς μελιτώδη σύστασιν ἔχειν· εἶτ' ἀναλαμβανέσθω τοῦτο λαγωαῖς θριξὶ ταῖς μαλακωτάταις· κἄπειτα τῷ ἀγγείῳ καὶ τῷ ἕλκει παντὶ πλεῖστον ἐπιτιθέσθω. καταδείσθω δ' ἔξωθεν ἐξ ὀθόνης ἐν ὑποδεσμίδι· τὰς μὲν πρώτας ἐπιβολὰς τέτταρας ἢ πέντε κατ' αὐτοῦ αἱμοῤῥαγοῦντος ἀγγείου ποιου-

Cap. IV. His peractis implendum carne vulnus quamprimum eft, priusquam vinculum a vafe decidat. Nifi enim producta caro prius locum qui circa praecifam arteriam eft impleverit, fed locus aliquis vacuus fuperfuerit, aneurysma vocatum fequitur. Quam ob rem emplafticis fanguinem fiftentibus magis utendum fuadeo quam efcharoticis, quod et citius et minore cum periculo poft ipfum impletur vulnus; periculum enim in altero eft, fi decidat crufta, rurfum fanguinis profufionem ex vafe excitari. Optimum igitur omnium quae novi medicamentorum, quo etiam ad meningum haemorrhagias tutiffime utemur eft quod nunc fubjiciam; thuris pars una aloes partis unius femiffi mifcetur; mox cum utendi tempus inftat, tantum hujus cum ovi candido fubigitur quantum mellis reddat craffitudinem, hoc dehinc leporis molliffimis pilis excipitur, deinde tum vafi ipfi tum ulceri toti liberaliter imponitur. Alligandum autem id forinfecus fascia eft ex tenui linteo, cujus fasciae primi quatuor quinqueve amplexus ipfi

μένων ἡμῶν, ἐντεῦθεν δὲ ἐπὶ τὴν ῥίζαν αὐτοῦ νεμομένων, ἐφ᾽ ὧν ἐγχωρεῖ μερῶν ἐπὶ τὴν ῥίζαν νέμεσθαι· σχεδὸν δ᾽ ἐπὶ πάντων ἐγχωρεῖ πλὴν μηνίγγων. εἶτα λύσαντα διὰ τρίτης, εἰ μὲν ἀσφαλῶς ἔτι προσέχοιτο τῷ ἕλκει τὸ φάρμακον, αὖθις ἕτερον ἐν κύκλῳ περιχέοντα καὶ ὥσπερ ἐπιτέγγοντα τὸν ἐκ τῶν τριχῶν μοτὸν ἐπιδεῖν, ὡς ἐξ ἀρχῆς [109] ἐπέδησας· εἰ δ᾽ αὐτομάτως ὁ πρότερος ἀποπίπτοι μοτὸς, ἀτρέμα πιέζοντα τῷ δακτύλῳ τὴν ῥίζαν τοῦ ἀγγείου πρὸς τὸ μηδὲν ἐπιῤῥυῆναι, τοῦτον μὲν ἀφελεῖν ἠρέμα, προσθεῖναι δ᾽ ἕτερον. οὕτω σε θεραπεύειν δεῖ μέχρι περ ἂν σαρκωθῇ τὸ ἀγγεῖον, ἀνάῤῥοπον ἀπ᾽ ἀρχῆς ἄχρι τέλους φυλάττοντα τὸ μόριον. ἔστω δὲ μηδὲ τοῦτο ἄμετρον τὸ σχῆμα· κίνδυνος γὰρ ὀδύνην γενέσθαι καὶ αὖθις αἱμοῤῥαγῆσαι τὸ ἀγγεῖον. οὐδὲν γὰρ ὀδύνης μᾶλλον αἱμοῤῥαγίας τε κινεῖ καὶ φλεγμονὰς αὐξάνει. τούτῳ τῷ φαρμάκῳ πολυειδέστατα χρῶμαι· ποτὲ μὲν, ὡς εἴρηται, μιγνύων ἀλόη τὸ διπλάσιον τοῦ λιβανωτοῦ, ποτὲ δ᾽ ἐξίσης ἀμφοτέροις χρώμενος, ἢ βραχεῖ πλείονι τῷ λιβανωτῷ τῆς ἀλόης, ἢ πλείονι μὲν, ἀλλ᾽ οὔπω τῷ διπλασίῳ· καὶ μάννην δ᾽ ἀντὶ λιβανωτοῦ

profluenti vafi injicientur, abhinc vafis radicem verfus ducentur in quibus partibus radicem verfus ducere licet, licet autem fere in omnibus, praeterquam meningibus. His factis ubi tertio die folveris, fi tuto adhuc medicamentum ulceri adhaereat, aliud rurfus circumfundes ac veluti linamentum quod ex pilis factum inhaefit madefaciens deligabis, ut initio deligafti; fin prius fua fponte linamentum decidat, radicem vafis digito blande comprimens quatenus nihil confluat, hoc quidem fuspenfa manu adimes, atque alterum impones. Ad hunc modum quod carne munietur, curare vas debebis, utique a principio ad finem usque partem fupinam fervans, fed commoderata fit ea figura. Periculum enim eft dolorem incidere, ac rurfus e vafe fanguinem profluere, quum nihil fanguinis profluvium magis quam dolor proritet et phlegmonas augeat. Hoc medicamento multifariam utor, alias, ut dictum eft, duplum thuris aloae admiscens, alias pari modo ambobus utens, alias paulo fuperante aloen thure, aut etiam plusculo, fed nondum du-

ποτ' ἔβαλλον. ἔστι δὲ στυπτικώτερον μὲν φάρμακον ἡ μάννη τοῦ λιβανωτοῦ· ὁ λιβανωτὸς δ' ἐμπλαστικώτερος τῆς μάννης. εὔδηλον δ' ὅτι τοῖς μὲν σκληροῖς σώμασι τὴν ἀλόην χρὴ προσφέρεσθαι πλείονα, τοῖς δὲ μαλακοῖς τὸν λιβανωτόν· ἔσται δὲ τὸ μὲν ἕτερον αὐτῶν στυπτικώτερον, τὸ δ' ἕτερον ἐμπλαστικώτερον. διὸ καὶ τὸν γλισχρότερον καὶ ὡς ἂν εἴποι τις ῥητινωδέστερον αἱρεῖσθαι χρὴ λιβανωτὸν, ὅταν ἐμπλαστικώτερον ἐργάσασθαι τὸ φάρμακον ἐθέλῃς· ἔστι δ' οὗτος ἁπαλώτερος ἅμα καὶ λευκότερος καὶ μασσώμενος οὐ θρύπτεται δίκην ἀλόης καὶ μάννης, ἀλλὰ συνεχὴς ἑαυτῷ μένει, καθάπερ ἡ μαστίχη. ταυτὶ μὲν οὖν ἤδη τῆς περὶ συνθέσεως φαρμάκων πραγματείας ἐστὶν, ἧς ἀδύνατον μηδαμῶς ἅπτεσθαι κατὰ τὴν ἐνεστῶτα λόγον. ἢ γὰρ οὐδόλως ἐχρῆν ἡμᾶς μεμνῆσθαι τῶν ἐν μέρει παραδειγμάτων, ἀλλ' αὐταῖς μόναις ἀρκεῖσθαι ταῖς καθόλου μεθόδοις, ἢ καὶ τῶν ἐν μέρει προσαπτομένους ἅπτεσθαί ποτε καὶ τῆς σκευασίας αὐτῶν, ἀλλ' ὡς καὶ πρόσθεν εἴρηται, παράδειγμα τοῦ γένους τῶν φαρμάκων τῶν κατὰ τὴν μέθοδον εὑρισκομένων, ἓν ἢ δύο ἐνταυθοῖ γράφον-

plo; etiam mannam pro thure aliquando injiciens. Eſt autem manna medicamentum quod magis quam thus adſtringit, thus vero quam manna magis emplaſticum. Porro conſtat in duris corporibus plus aloes eſſe immiscendum, in mollibus plus thuris. Eritque alterum eorum magis adſtringens, alterum magis emplaſticum. Itaque etiam magis lentum ac, ut ſiquis dixerit, reſinoſius deligas thus oportet, ubi magis eſſe emplaſticum medicamentum ſtudebis; id ſane tum mollius eſt tum albidius, tum quod manſum ritu aloes et mannae non comminuitur, ſed partes ſuas ſibi cohaerentes defendit veluti Chia maſtiche. Verum haec ejus tractationis ſunt propria quae de compoſitione medicamentorum praecipit, quam in hoc opere non alicubi attigiſſe omnino non licuit. Siquidem aut nusquam nobis particularis exempli facienda mentio fuit, ſed ipſis tantum univerſalibus contentos eſſe methodis oportuit, aut ſi particularia poneremus, etiam praeparatio eorum fuit attingenda. Verum, ut ante dictum, ejus generis remediorum, quae me-

τας ἀρκεῖσθαι προσήκει. τούτου μὲν οὖν ἀεὶ χρὴ μεμνῆσθαι· πάλιν δ᾽ ἐπανέλθωμεν ἐφ᾽ ὅπερ λέγοντες ἀπελίπομεν. ἐμνήσθην γὰρ ἐπὶ πλέον τοῦ προειρημένου φαρμάκου, διότι πάντων αὐτὸ τῶν ἄλλων ἄμεινον εἶναι πέπεισμαι· καὶ θαυμάζοιμ᾽ ἂν εἴ τις εὑρεῖν δύναται βέλτιον. καὶ διὰ τοῦτ᾽ αὐτῷ χρῶμαι κατά τε τῶν μηνίγγων ἀεὶ καὶ τῶν ἐν τῷ τραχήλῳ τρώσεων, ἄχρι καὶ τῶν σφαγιτίδων αὐτῶν· καὶ γὰρ καὶ τούτων ἐπέχει τὸ αἷμα χωρὶς βρόχου. χρὴ δὲ μὴ σπεύδειν ἐν τῷ ἔργῳ καθάπερ ἔνιοι τῶν ἐμπλήκτων χειρουργῶν, ἀλλὰ τῇ μὲν ἑτέρᾳ χειρὶ τὸ κάτω μέρος τοῦ ἀγγείου προστέλλειν ἢ περιλαβόντα κατέχειν, τῇ δ᾽ ἑτέρᾳ τὸ φάρμακον ἐπιθέντα τῇ τρώσει προστέλλειν ἀτρέμα, ἄχρι περ ἂν προσπαγῇ, κᾄπειθ᾽ οὕτως ἐπιδεῖν ἄνωθεν κάτω, μὴ καθάπερ ἐν τοῖς κώλοις κάτωθεν ἄνω· πρὸς γὰρ τὰς ῥίζας τῶν ἀγγείων ἀφικνεῖσθαι χρὴ τὴν ἐπίδεσιν ἀναστέλλουσαν τὸ ἐπιῤῥέον. ἔστι δὲ καὶ ἄλλα πλείω φάρμακα τῶν ἐμπλαττόντων ἀλύπως· ἀλλ᾽ οὐδὲν οὕτως σαρκοῖ. χρεία δ᾽ ἐστὶ μάλιστα κατὰ τὰ τοιαῦτα συμπτώματα

thodo funt inventae, uno alterove exemplo hic pofito contentos eſſe conveniet; id vero femper mihi teneri memoria velim; fed revertamur rurfus ad id quod dicendo parum abfolvimus. Mentionem enim jam dicti medicamenti idcirco pluribus feci, quod caeteris id omnibus praeftare mihi perfuafi, mirorque fi cui melius invenire continget. Ideoque tum in meningibus femper tum in colli vulneribus eo utor, etiam ipfarum venarum jugularium, utpote cum harum quoque fanguinem citra vinculum fiftat. Non eft autem in his committendum ut in opere properes, veluti quidam ftolidi chirurgi faciunt, fed altera manu inferiorem vafis partem comprimes aut complexus tenebis, altera medicamentum vulneri impones, ac blande ei apprimes donec concretum adhaeferit, mox deligabis fuperne deorfum, non, ut in artubus, inferne furfum; fiquidem radicem verfus vaforum ducere deligationem oportet, ac quod confluit reprimere. Sunt porro et alia non pauca medicamenta emplaftica quae citra dolorem obturant, verum nullum ita carne implet. Expedit autem quam maxime in ejusmodi

Ed. Chart. X. [109. 110.] Ed. Baſ. IV. (85. 86.)

τοῦ περισαρκοῦσθαι τὸ ἀγγεῖον, ἀποπίπτοντος τοῦ προτέρου φαρμάκου. τὰ δέ γε τὰς ἐσχάρας ἐπιπηγνύντα γυμνότερον ἐργάζεται τὸ μέρος ἢ κατὰ φύσιν εἶχεν ἀποπιπτούσης αὐτῆς. ἔστι γὰρ ἡ γένεσις τῆς ἐσχάρας ἐκ τῶν ὑποκειμένων καὶ περικειμένων σωμάτων, ὡς ἂν εἴποι τις ἡμικαύτων γενομένων, ἵν᾽ ὁποῖόν τι χρῆμα τουτουσὶ τοὺς ἐσβεσμένους ἄνθρακας εἰς τὸν χειμῶνα παρασκευάζονται, τοιοῦτο ὑπόλειμμα τῆς διαπύρου σαρκὸς ἡ ἐσχάρα γένηται. [110] ὥστ᾽ ἀπόλλυται τοῦ μορίου το(86)σοῦτον τῆς κατὰ φύσιν σαρκὸς, ὅσον ἐσχαρούμενον ἐκαύθη. τοῦτ᾽ οὖν ἅπαν λείπει τῷ μορίῳ τῆς ἐσχάρας ἐκπιπτούσης, καὶ διὰ τοῦτο γυμνὸν καὶ ἄσαρκον φαίνεται, καὶ πολλοῖς αἱμοῤῥαγία δυσεπίσχετος ἐπηκολούθησεν ἐπὶ ταῖς τῶν ἐσχαρῶν ἀποπτώσεσιν. ὥστε κἂν τούτοις ὅστις ἂν ἐθέλῃ μεθόδῳ πάντα πράττειν, ἐσκέφθω τε πρὸ πολλοῦ τοὺς τρόπους ἅπαντας οἷς ἐφέξει τὸ αἷμα, τόν τ᾽ ἀκινδυνότερον αἱρεῖσθαι πειράσθω χρώμενος καὶ τοῖς ἄλλοις ἅπασιν, ὅταν ἀνάγκη βιάζηται. μεγίστην δ᾽ ἀνάγκην οἶδα τοῦ χρῆσθαι φαρμάκοις ἐσχαρωτικοῖς ἢ καυτηρίοις διαπύροις,

caſu ut priore medicamento cadente caro circum vas ipſum ſit producta. At quae cruſtas generant, ubi cruſta decidit, magis nudam partem quam pro eo qui ſecundum naturam eſt ſtatu derelinquunt. Eſt namque ipſius cruſtae generatio ex ſubjectis circumpoſitisque corporibus, ut ſi quis dixerit, ſemiuſtis, ſic ut cujusmodi in hiemem extinctos hos carbones rem parant, ejusmodi ipſae cruſtae carnis exuſtae ſint reliquiae. Quare quantum parti aduſtum ad cruſtam eſt, profecto ipſi de naturali carne deperditur. Id itaque omne parti decidit, quum cruſta cadit, atque ob eam rem nuda ſineque carne viſitur, multisque poſteaquam cruſta decidit profuſio ſanguinis, quae aegre ſupprimi potuit, ſupervenit. Quare in his quoque quisquis methodo adminiſtrare omnia volet, is tum modos omnes quibus ſanguis ſupprimatur longe prius conſiderabit, tum etiam eliget qui minus ſit cum periculo, utens non minus et reliquis omnibus, quoties neceſſitas urgebit. Maximam autem neceſſitatem vel eſcharoticis medicamentis vel ig-

ὅταν ἐξ ἀναβρώσεως σηπεδονώδους ἡ αἱμοῤῥαγία γίγνηται. καὶ μέντοι κἀπειδὰν ἐν ταῖς τοιαύταις διαθέσεσιν ἅπαν ἐκκόψωμεν τὸ σηπόμενον, ἀσφαλέστερον ἤτοι καίειν αὐτοῦ τὴν οἷον ῥίζαν ἢ φαρμάκοις ἐσχαρωτικοῖς χρῆσθαι. καὶ κατὰ τοῦτο ἐπ᾽ αἰδοίων καὶ ἕδρας εἰς τὴν τοιαύτην ἀνάγκην ἀφικνούμεθα πολλάκις, ὅτι ῥᾳδίως σήπεται τὰ μόρια διά τε τὴν σύμφυτον ὑγρότητα καὶ ὅτι περιττωμάτων εἰσὶν ὀχετοί. σκοπὸς δ᾽ ἔστω σοι τῶν ἐσχαρούντων φαρμάκων οὐχ ἁπλῶς ἡ θερμότης, ἀλλ᾽ ἄμεινον ὅταν ἅμα τῷ στύφειν ὑπάρχῃ, καθάπερ ἐν χαλκίτιδι καὶ μίσυϊ καὶ χαλκάνθῳ καυθεῖσί τε καὶ ἀκαύστοις εἰς χρεῖαν ἀγομένοις. τὰ δὲ διὰ τῆς ἀσβέστου τιτάνου σφοδρότερα μὲν τούτων, ἀλλ᾽ οὐ μέτεστι τῇ τιτάνῳ στυπτικῆς δυνάμεως. ἀποπίπτουσι τοιγαροῦν θᾶττον αἱ τοιαῦται τῶν ἐσχαρῶν, ἔχονται δὲ τῶν σωμάτων ἐπὶ πλέον αἱ ἐκ τῶν στυφόντων· ἄμεινον δὲ τοῦτο μακρῷ· φθάνει γὰρ ὑποσαρκοῦσθαι τὰ κατὰ τὴν βάσιν αὐτῶν καὶ γίνεσθαι καθάπερ τι πῶμα τοῖς ἀγγείοις. ὅθεν οὐδ᾽ ἡμᾶς αὐτοὺς

nitis cauteriis utendi animadverti, ubi ex erofione putrescentis alicujus profluvium fanguinis concitatur. Quin etiam ubi in tali affectu totum quod computruit eft fublatum, tutius eft vel ipfius veluti radicem adurere, vel certe cruftificis medicamentis uti. Hac vero ratione tum in pudendis tum fede ad talem neceffitatem faepe devenimus, quod hae partes tum propter naturalem humiditatem tum quod excrementorum funt canales ex levi caufa putrescant; fcopus autem efto tibi incruftantium medicamentorum non fimpliciter calor, fed praeftantius fit fi fimul adftringendi fit facultas, qualis in chalcitide et mify et atramento futorio, five uftis his, five inuftis utare, *vifitur.* Quae vero ex calce non extincta conficiuntur, ea valentiora his funt; caeterum calx adftringendi vim non habet. Excidunt igitur citius quae ab his fiunt cruftae; haerent autem corporibus diutius quae ab adftringentibus; quod utique longe eft utilius, quando ita prius nafcitur in imo earum caro efficiturque profluenti vafi velut operculum quoddam. Unde nec nosmet praecipites effe, veluti non-

Ed. Chart. X. [110.] Ed. Bas. IV. (86.)

χρὴ σπεύδειν, ὥσπερ ἔνιοι, τὰς ἐσχάρας ἐκβάλλειν, ἔνθα κίνδυνος αἱμοῤῥαγίας, ἀλλ᾽ ἐπ᾽ ἐκείνων μόνων τῶν διαθέσεων, ἐφ᾽ ὧν διὰ σηπεδόνα τὸ καυτήριον ἠναγκάσθημεν ἐπιφέρειν ἀνθρώπου σώματι. καλεῖται δ᾽ οὐκ οἶδ᾽ ὅπως ἅπασιν ἤδη τοῖς ἰατροῖς ἡ τοιαύτη διάθεσις νομὴ, διότι νέμεσθαι συμβέβηκεν αὐτὴν ἀπὸ τῶν πεπονθότων μορίων ἐπὶ τὰ κατὰ φύσιν ἔχοντα καὶ τούτων ἀεί τι προσεπιλαμβάνειν, ὡς ἀπὸ τοῦ συμβεβηκότος, οὐκ ἀπὸ τῆς οὐσίας τοῦ δηλουμένου πράγματος, ἔθεντο τὴν προσηγορίαν. ἡ δ᾽ εὐπορία τῆς ὕλης ἁπάντων τῶν τοιαύτην ἐχόντων δύναμιν φαρμάκων ἐν ταῖς οἰκείαις εἰρήσεται πραγματείαις. οἰκείαις δὲ δηλονότι λέγω τήν τε περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως καὶ τὴν περὶ συνθέσεως αὐτῶν.

Κεφ. ε΄. Ἀναλαβόντες οὖν αὖθις τὰ κεφάλαια τῆσδε τῆς μεθόδου, καθ᾽ ἣν ἰᾶσθαι χρὴ τὰς προχείρους αἱμοῤῥαγίας, ἑξῆς ἐπὶ τὰς διὰ βάθους γιγνομένας ἀφικώμεθα τῷ λόγῳ. τὸ τοίνυν ἐκχεόμενον αἷμα τῶν ἀγγείων ἢ τῷ μηκέτι ἐπιῤῥεῖν αὐτὸ παύσαιτ᾽ ἂν, ἢ τῷ στεγνωθῆναι τὴν διαίρεσιν,

nulli sunt, ad crustas, ubi haemorrhagiae periculum imminet, detrahendas oportet, nisi in illis tantum affectibus in quibus propter putredinem candens ferrum corpori hominis admovere coacti fuimus. Appellant nescio quomodo eum affectum omnes nunc medici *νομὴν a νέμεσθαι pascere*, propterea quod pergere pascendo id vitium ab aegris partibus ad eas quae secundum naturam se habent soleat atque harum semper aliquod aegris adjicere, ita ut non a substantia indicatae rei, sed ab accidente appellationem indiderint. Copia materiae medicamentorum omnium talem facultatem obtinentium in propriis commentariis dicta est. Proprios intelligo et qui de simplicium medicamentorum facultatibus et compositione eorum sunt scripti.

Cap. V. Ergo recensitis hujus methodi, qua vulgares haemorrhagias cures, capitibus, mox ad eorum quae in alto sunt corpore tractationem convertamur. Qui igitur e vasis profluit sanguis, aut quod amplius non confluet, sistetur, aut quod occlusa divisio erit, aut etiam propter

ἢ ἅμα ἀμφοτέρων γιγνομένων, ὅπερ, οἶμαι, βέλτιστόν ἐστιν. ἐπιῤῥεῖν μὲν οὖν κωλύεται διά τε λειποθυμίαν καὶ ἀντίσπασιν καὶ παροχέτευσιν καὶ ψύξιν ὅλου τε τοῦ σώματος, καὶ πολὺ δὴ μᾶλλον αὐτοῦ τοῦ τετρωμένου μορίου. [111] κατὰ τοῦτον γοῦν τὸν λόγον καὶ τὸ ψυχρὸν ὕδωρ ποθὲν, ἐπέσχεν αἱμοῤῥαγίας πολλάκις, ἔξωθέν τε καταντλούμενον αὐτό τε τὸ ὕδωρ ψυχρὸν, ὀξύκρατόν τε καὶ οἶνος στρυφνὸς, ὅσα τ᾽ ἄλλα στύφειν ἢ ἁπλῶς ψύχειν πέφυκε. στεγνοῦται δὲ ἡ διαίρεσις ἢ μύσαντος, ἢ φραχθέντος τοῦ διῃρημένου. μύει μὲν οὖν στυφόμενόν τε καὶ ψυχόμενον, ἐπιδέσει τε συναγόμενον καὶ βρόχῳ διαλαμβανόμενον. ἐμφράττεται δὲ ἢ ἔνδοθεν, ἢ ἔξωθεν· ἔνδοθεν μὲν ὑπὸ θρόμβου, ἔξωθεν δὲ ὑπό τε τούτου καὶ μοτῶν καὶ σπόγγων, ἐσχάρας τε καὶ τῶν ἐμπλαστικῶν φαρμάκων, ἔτι τε τῶν περικειμένων σωμάτων προσταλέντων· ὅπως δ᾽ ἐργάσῃ τῶν εἰρημένων ἕκαστον εἴρηται. τὰ δ᾽ ἐκ τοῦ βάθους αἱμοῤῥαγοῦντα βρόχοις μὲν οὐκ ἄν τις οὐδ᾽ ἐπιδέσει θεραπεύσειεν, ὥσπερ οὐδὲ καυστηρίοις,

utrumque fimul, id quod reor tutiffimum. Porro confluere prohibetur et propter animi deliquium et revulfionem et derivationem et refrigerationem tum corporis totius tum vero praecipue ipfius partis vulneratae. Hac enim ratione etiam frigida pota faepe haemorrhagias fuppreffit; idem facit et frigida foris in fotu affufa, fed et pofca et vinum acerbum aliaque quaecunque vel adftringendi vel fimpliciter refrigerandi vim habent. Clauditur ipfa divifio, fi vel contrahatur *conniveatque* id quod divifum eft, vel obftruatur. Sane contrahitur tum adftrictione, tum refrigeratione, tum deligatura conjunctum, tum vinculo exceptum. Obftruitur vel intrinfecus, vel extrinfecus et intrinfecus quidem a fanguine concreto extrinfecus tum hoc ipfo tum vero linamentis et fpongiis et cruftis et medicamentis emplafticis; ad haec corporibus circumjacentibus propius admotis; quorum fingula quemadmodum perficiantur dictum jam eft. At quae de profundo fanguinis profluvia erumpunt, ea nec vinculo nec deligatura fanes, ut neque caute-

οὐδ᾽ ἁπλῶς εἰπεῖν ὅσα διὰ τοῦ ψαύειν αὐτοῦ τοῦ διῃρημένου σώματος ἢ μέρος ἐπιτεχνώμεθα· δι᾽ ἀντισπάσεως δὲ καὶ παροχετεύσεως ἐδεσμάτων τε καὶ πομάτων ἐμπλαττόντων τε καὶ ψυχόντων καὶ στυφόντων φαρμάκων· ἄφθονον δὲ καὶ τὴν τῶν τοιούτων ὕλην ἐν ταῖς οἰκείαις ἔχεις πραγματείαις. ἡ δ᾽ ἀπὸ τῶν μορίων ἔνδειξις τοῖς κοινοῖς τῆς θεραπείας σκοποῖς τοῖς εἰρημένοις ἐξ ἐπιμέτρου καθ᾽ ἕκαστον πάθημα πρόσεισιν· ὀργάνοις γοῦν ἐνίοτε χρώμεθα διὰ τὴν ἰδιότητα τοῦ μέρους, ἄλλοις μὲν ἐπὶ μήτρας, ἄλλοις δὲ ἐπὶ κύστεως, ἄλλοις δὲ ἐπὶ τῶν παχέων ἁπάντων ἐντέρων. εἰς ταῦτα μὲν γὰρ διὰ κλυστῆρος, εἰς μήτραν δὲ διὰ μητρεγχυτῶν τῶν ἐπιτηδείων τι φαρμάκων ἐνίεμεν· ὥσπερ γε καὶ εἰς κύστιν διὰ τῶν εὐθυτρήτων καθετήρων. σπανιώτεραι μὲν οὖν αἱ ἐκ τούτων αἱμοῤῥαγίαι· γίγνονται δ᾽ οὖν ποτε κἂν εἰ μὴ τῷ λαύρῳ κινδυνώδεις, ἀλλὰ τῷ γε χρονίζειν οὐκ ἀκίνδυνοι. τεττάρων γοῦν ἡμερῶν οἶδά ποτε διὰ μήτρας φερόμενον αἷμα, πρὸς οὐδὲν τῶν βοηθημάτων εἶξαν ἄχρι τῆς τετάρτης,

riis nec ut ſemel dicam iis quae diviſum ipſum corpus parteve contingere machinamur; imo per revulſionem ac derivationem; praeterea cibum potionemque qui et emplaſticam vim habeant et refrigerent et medicamenta quae adſtringant; habes vero uberem talium materiem in propriis operibus. Quae vero a partibus indicatio ſumitur, ea communibus quae jam dictae ſunt curandi indicationibus veluti auctarium in ſingulis affectibus accedit; ſiquidem inſtrumentis aliquando utimur pro partis ipſius proprietate, aliis ad uterum, aliis ad veſicam, aliis ad omnia inteſtina craſſa. Quippe in haec per clyſterem, in uterum per metrenchytas idoneorum aliquod medicamentorum immittimus; ſic et in veſicam per in directum foratos catheteres. Sane rariora ex his profluvia ſanguinis fiunt, ſed tamen aliquando fiunt, et quanquam non profuſione ipſa periculoſa, at certe ob diuturnitatem non ſine periculo. Siquidem quaternis diebus vidimus ex utero profluere ſanguinem nec potuiſſe ullo remedio ſiſti, quoad quarto die

χυλῷ δὲ χρησαμένων ἡμῶν ἀρνογλώσσου παντάπασιν ἐπαύσατο. κάλλιστον μὲν οὖν τοῦτο τὸ φάρμακόν ἐστι καὶ πρὸς τὰς ἐξ ἀναβρώσεως αἱμοῤῥαγίας· εἴωθα δ᾽ αὐτῷ μιγνύειν τι τηνικαῦτα καὶ τῶν ἰσχυροτέρων φαρμάκων ἄλλοτε ἄλλο, πρὸς ὅλην ἀποβλέπων τὴν διάθεσιν, ὅπερ ἀεὶ χρὴ πράττειν, οὐ μικρὸν ἔχοντας εἰς ἅπαντα παράγγελμα. κατὰ γοῦν αὐτὰ ταῦτα τὰ ἐκ μήτρας, ἢ ἐκ κύστεως, ἢ ἐντέρων αἱμοῤῥαγοῦντα, σκέπτεσθαι μὲν χρὴ καὶ τὸ τῆς αἱμοῤῥαγίας ποσόν· ἵν᾽ ἤδη τὸν μὲν πρῶτον ἔχωμεν ἐν τῇ θεραπείᾳ σκοπὸν τοῦτον, ἢ τὸν δεύτερον· οὐ μὴν οὐδὲ τῆς ὅλης διαθέσεως ἀσκέπτως ἔχειν. εἰ μὲν γὰρ ἔῤῥωγεν ἀγγεῖόν τι τῶν μεγάλων, ἢ ἰσχυρῶς ἀνεστόμωται, τῶν αὐστηρῶν φαρμάκων ἐστὶ χρεία, ὡς βαλαυστίου καὶ ὑποκυστίδος καὶ ῥοῦ καὶ ὀμφακίου καὶ ἀκακίας καὶ κηκίδος ὀμφακίτιδος καὶ τῶν τῆς ῥοιᾶς λεμμάτων· εἰ δ᾽ ἤτοι μικρόν ἐστι τὸ ἐῤῥωγὸς ἀγγεῖον, ἢ ἀνεστόμωται μετρίως, ὡς ὀλίγον εἶναι τὸ φερόμενον αἷμα, καὶ ἀλόη καὶ μάννα καὶ ὁ τῆς πίτυος φλοιὸς, ἥ τε σφραγὶς ἡ Λημνία καὶ ὁ τῆς Αἰγυπτίας ἀκάνθης καρπὸς, ἔτι τε κρόκος καὶ λίθος

arnogloffi fucco utentibus nobis prorfus conftiterit. Eft porro id medicamentum et ad ea, quae ex erofione excitantur fanguinis profluvia utiliffimum, cui etiam valentius aliquod hoc cafu medicamentum alias aliud ei mifcere foleo, utique ad totum refpiciens affectum; id quod femper eft faciendum, ac pro maximo documento in omnibus habendum. Nam in his ipfis quae ex utero, vefica et inteftinis profluvia citantur, aeftimari debebit ipfius profufionis quantitas, ut hanc jam vel ut primam vel ut fecundam indicationem curationis habeamus, nec tamen obiter totius affectus non habentes rationem. Nam fi perruptum vas aliquod magnum eft, aut vehementer reclufum hiat, utique adftringentibus medicinis eft opus, veluti balauftio et hypocyftide et rhoe et omphacio et acacia, gallis immaturis et malicorio. Sin vel exiguum vas eft, quod perruptum eft, vel modice reclufum fic, ut non multus fit qui in eo profluit fanguis, etiam aloe et manna et pini cortex et Lemnium figillum et fpinae Aegyptiae fructus et crocum

ὁ αἱματίτης ὀνομαζόμενος, ὅσα τ' ἄλλα τοιαῦτα δι' οἴνου μεγάλως αὐστηροῦ χρηστὰ φάρμακα. μὴ παρόντος δὲ μήτ' οἴνου τοιούτου μήτ' ἀρνογλώσσου μήτε στρύχνου, καὶ γὰρ καὶ ταῦτα ἐπιτήδεια, ἀφεψεῖν ἐν ὕδατι βλαστοὺς βάτου καὶ κυνοσβάτου καὶ μυρσίνης καὶ σχίνου καὶ κισσοῦ καὶ ἁπλῶς εἰπεῖν ἁπάντων τῶν στυφόντων, εἴτε ῥίζα τις, εἴτε καρπὸς, εἴτε φλοιὸς, εἴτε βλάστημα τύχοι· [112] διὰ τοῦτο καὶ τῶν στυφόντων μήλων καὶ μάλιστα τῶν κυδωνίων· ἔτι τε μύρτων καὶ μεσπίλων ἐπιτήδειόν ἐστιν εἰς τὰ παρόντα τὸ ἀφέψημα.

Κεφ. στ'. Εἰ δ' ἐξ ἀναβρώσεώς τις αἱμοῤῥαγία γίγνοιτο, τὰ πολλὰ μὲν οὐδὲ λαῦρος αὐτοῖς ἐστιν, ἀλλ' ὀλίγη καὶ κατὰ βραχύ· καὶ διὰ τοῦτο τῷ Πασίωνος, ἢ Ἄνδρωνος, ἢ Πολυείδου τροχίσκῳ χρηστέον, ἢ ὡς εἴρηται τῷ ἡμετέρῳ τὴν αὐτὴν μὲν κατὰ γένος ἔχοντι δύναμιν, ἰσχυροτέρῳ δὲ ὑπάρχοντι. παύει γὰρ ταῦτα τὴν ἀνάβρωσιν ἅμα τῷ δηλονότι καὶ τοῦ παντὸς σώματος προνοεῖσθαι, ὡς ἔμπροσθεν εἴρηται. λαύρου δὲ ἐμπεσούσης αἱμοῤῥαγίας, τοῖς αὐστηροτάτοις χρηστέον φαρμάκοις, ἄχρι περ ἂν ἐπισχῶμεν αὐτῆς τὸ

et lapis haematites, aliaque id genus ex vino nigro auftero utilia medicamenta funt. Quod fi nec genus id vini praefto fit nec arnogloffum nec folanum, quippe haec quoque funt idonea, coquemus in aqua et rubi germina et canini rubi et myrti et lentifci et hederae, in fumma omnium quibus adftrictoria vis ineft, five radix fit, five fructus, five cortex, five germen; ideoque etiam adftringentium malorum maximeque cotoneorum, itemque myrtorum et mefpilorum decoctum, idoneum ad propofita praefidium eft.

Cap. VI. At fi ex erofione profluvium quoddam incidit, non eft id magna ea parte profufius, fed exiguum et paulatim *effluens;* eoque Pafionis, vel Andronis, vel Polyidae paftillis utendum eft, aut etiam, ut dictum eft, noftro, qui genere eandem vim obtinet, caeterum magis potentem. Siftunt enim haec erofionem, fi tamen etiam toti corpori fit confultum, ut prius eft dictum. Sin profufior haemorrhagia fit iis quae vehementiffime adftringant, utendum medicamentis eft, quoad vehemens ejus *impetus* frangatur;

σφο(87)δρόν· εἶθ' οὕτως ἅμ' ἐκείνοις μιγνύναι τοὺς τροχίσκους· εἶθ' ἑξῆς ἐπ' αὐτοὺς μόνους μετέρχεσθαι μετά τινος τῶν εἰρημένων χυλῶν ἢ ἀφεψημάτων. ὅσα δὲ ἔξωθεν ἐπιτίθεται τοῖς αἱμοῤῥαγοῦσι στύφοντά τε καὶ χωρὶς στύψεως ψύχοντα, ταῦτ' οὐχ ἁπλῶς ἐπαινῶ καθάπερ οἱ πολλοὶ τῶν ἰατρῶν, ἀλλά μοι δοκεῖ τοὐναντίον ἐνίοτε πᾶν οὗ δεόμεθα διαπράττεσθαι, συνελαύνειν εἴσω τὸ αἷμα καὶ πληροῦν τὰς ἐν τῷ βάθει φλέβας. οἶδα γοῦν τινας ἐκ πνεύμονος ἀναβήττοντας αἷμα προφανῶς βλαβέντας ἐπὶ ταῖς τοῦ θώρακος καταψύξεσιν· οὕτω δ' ἐνίους καὶ τῶν ἐμούντων αἷμα, τῆς γαστρὸς ἔξωθεν ψυγείσης· ὡσαύτως δὲ καὶ τῶν ἐκ ῥινὸς αἱμοῤῥαγούντων ἔνιοι φανερῶς ἐβλάβησαν ἐπὶ ταῖς τῆς κεφαλῆς ψύξεσιν. οὔκουν ἁπλῶς, οὐδ' ἀδιορίστως, οὐδ' ἐν παντὶ καιρῷ συμβουλεύω ψύχειν τὰ κύκλῳ τῶν αἱμοῤῥαγούντων, ἀλλ' ἀποτρέψαντας εἰς ἕτερον πρότερον, οἷον ἐπὶ τῆς ῥινὸς ἤτοι φλεβοτομίᾳ χρησάμενον, ὡς εἴπομεν, ἢ τρίψει καὶ δεσμοῖς τῶν κώλων, ἢ σικύαις ἐπὶ τῶν ὑποχονδρίων. οὐ δεῖ

mox deinde admiscendi illis pastilli sunt; postea ad ipsos solos veniendum, cum aliquo ex ante dictis succis aut decoctis. At vero quae extrinsecus parti sanguinem profundenti admoventur, tum adstringentia tum citra adstrictionem frigida, haec ipse, veluti plerique medicorum, non ubique probo; sed mihi contra omnino quam fieri res postulat, ipsum sanguinem intro compellere ac venas, quae in alto sunt, implere videntur. Vidimus enim quosdam eorum qui ex pulmonibus sanguinem rejicerent, ex thorace refrigerato manifeste laesos, aeque ut qui sanguinem vomuerunt nonnullos, quod venter foris esset refrigeratus; eodem modo et eorum quibus naribus sanguis profluit aliqui ex capitis refrigeratione deterius habuerunt. Ergo nec omnino, nec sine discrimine, nec omni tempore loca quae circa partem unde sanguis profluit sunt posita refrigeranda suaserim, imo posteaquam in alia prius averteris; ut exempli gratia in naso ubi sanguinis missione, ut diximus, sis usus, vel artuum frictione devinctioneque, vel ad hypochon-

οὖν οὐδ' οὕτω χρῆσθαι τοῖς ψύχουσιν εὐθέως ἐπὶ μετώπῳ καὶ κεφαλῇ, ἀλλὰ σικύᾳ πρότερον ἀντισπᾷν ἐρείδοντα κατ' ἰνίον. διττὴ γὰρ ἡ ἀντίσπασις ἐπὶ ταῖς ἐκ μυκτήρων αἱμοῤῥαγίαις, ἥ τε ἐπὶ τὰ κάτω μόρια τοῦ σώματος ὅλου καὶ ἡ ἐπὶ τὰ τῆς κεφαλῆς ὀπίσω· διότι καὶ αὐτὸ τὸ μόριον ἡ ῥὶς ἄνω τ' ἐστὶ καὶ πρόσω, ἀντίκειται δὲ τὸ μὲν ἄνω τῷ κάτω, τὸ δὲ ὀπίσω τῷ πρόσω· ἀλλὰ περὶ μὲν αἱμοῤῥαγίας ἱκανὰ καὶ ταῦτα. δῆλον γὰρ ὅτι καὶ ἡ διαπήδησις ὑπὸ τῶν ψυχόντων καὶ στυφόντων θεραπευθήσεται· καὶ εἰ διὰ λεπτότητα γίγνοιτό ποτε τοῦ αἵματος, ὑπὸ τῆς παχυνούσης διαίτης· ὁποία δ' ἐστὶν αὕτη λεχθήσεται μέν που κἀν τοῖς ἑξῆς, εἴρηται δὲ δυνάμει κἀν τῷ περὶ λεπτυνούσης διαίτης· ἐπὶ δὲ τὴν θεραπείαν ἰτέον ἤδη τῶν εἰρημένων διαθέσεων. τὸ μὲν οὖν τῆς φλεβὸς ἕλκος ἐπειδὰν πρόχειρον ᾖ, παραπλησίας δεῖται θεραπείας τοῖς ἐν σαρκὶ γιγνομένοις, ὑπὲρ ὧν ἐν δυοῖν ὑπομνήμασι τοῖς πρὸ τοῦδε διελέχθην. εἴτε γὰρ ἐκ τρώσεως ὑπογυίου τυγχάνει γεγονὸς, ἐγχωρεῖ συμφύειν αὐτὸ τοῖς

dria *defixis* cucurbitis. Quin ne fic quidem ad frontem et caput illico refrigerantibus utendum, fed prius revellendum eft, affixa inio *feu occipiti* cucurbita. Nam duplex eft in fanguinis ex naribus profufione revulfio, tum quae ad inferiores fit totius corporis partes tum quae ad capitis pofteriora; propterea quod ipfae partes nares *dictae* et in fuperiore et in anteriore parte funt fitae; opponitur autem pars fuperior inferiori et pofterior anteriori; verum de fanguinis profluvio haec fufficient. Patet namque et diapedefin refrigerantibus adftringentibusque effe curandum; et fi propter tenuitatem fanguinis aliquando incidat, craffiore victu; is vero cujusmodi fit dicetur in fequentibus, dictumque jam ad quendam modum eft libro, qui de attenuante victu eft fcriptus; jam vero ad memoratorum affectuum curationem eft redeundum. Ergo quod venae infedit ulcus, ubi ad manum eft, eandem defiderat curationem iis quae in carne accidunt, de quibus duobus ante hoc voluminibus difputavi. Nam five ex recenti vulnere factum eft, id agendum eft ut

ἐναίμοις καλουμένοις φαρμάκοις· εἴτε κατ᾽ ἀνάβρωσιν, ὅσα περὶ τῶν κακοηθῶν ἑλκῶν εἴρηται, ταῦτα τῷ λόγῳ διορισάμενον, ἑξῆς ἔργῳ πράττειν αὐτὰ πειρᾶσθαι. καὶ μέντοι καὶ ὁπότε βρόχῳ διαληφθείσης, ἢ ἰσχαίμοις φαρμάκοις, ἢ καυτηρίοις χρησαμένων, ὁ σκοπὸς τῆς θεραπείας ἐστὶ περισαρκῶσαι τὰ χείλη τοῦ ἕλκους, τοῖς αὐτοῖς χρησόμεθα πάντως φαρμάκοις οἷς ἡ μέθοδος ἡμᾶς ἐδίδαξεν ἐπὶ τῶν κοίλων ἑλκῶν.

Κεφ. ζ. [113] Ἐπ᾽ ἀρτηρίας μέντοι τρωθείσης ἐῤῥήθη καὶ πρόσθεν ὡς ἐνίοις τῶν ἰατρῶν ἀδύνατος ἡ σύμφυσις εἶναι δοκεῖ. καὶ λέγουσι τοῦτό τινες μὲν ἀρκεῖσθαι φάσκοντες μόνῃ τῇ πείρᾳ, τινὲς δὲ καὶ λόγῳ χρώμενοι τοιῷδε, σκληρὸν καὶ χονδρώδη φασὶν εἶναι τὸν ἕτερον τῶν χιτώνων τῆς ἀρτηρίας· οὐδὲν δὲ τῶν τοιούτων συμφῦναι δύνασθαι, μόνων γὰρ τῶν μαλακῶν σωμάτων ἰδίαν ὑπάρχειν τὴν σύμφυσιν, ὡς ἐπί τε τῶν ἐκτὸς ἔνεστι θεάσασθαι, μήτε λίθου πρὸς λίθον ἑνωθέντος ποτὲ μήτε ὀστράκου πρὸς ὄστρακον· ἐπί τε τῶν ἐν ἡμῖν, μήτε χόνδρου χόνδρῳ συμφύντος οὔτ᾽ ὀστοῦ

medicamentis enaemis vocatis coeat; five ex erofione, quaecunque dicta de malignorum ulcerum curatione funt, ea prius ratione difcernenda, mox ut opere perficiantur tentanda. Quin etiam ubi vinculo *vas* fis complexus, aut medicamentis fanguinem fupprimentibus aut cauteriis ufus, illeque tibi curationis fcopus eft, ut quae circa ulceris labra funt carne impleas, iisdem omnino medicamentis utere, quae in methodo cavorum ulcerum nobis funt praecepta.

Cap. VII. De arteria autem vulnerata jam dictum eft nonnullis medicorum, videri non poffe fieri ut coeat. Atque id afferunt aliqui quidem fola experientia fe contentos profeffi; alii vero etiam ratione ufi ejusmodi duram effe ac cartilagineam ajunt alteram arteriae tunicam; talium vero nihil poffe in unum coire, quum fit mollium tantum corporum in unum coeundi habilitas, ut tum in externis videre licet, neque lapide cum lapide, neque tefta tum tefta unquam coeunte; tum vero in nobis, quum nec cartilago cum cartilagine coalefcat, nec os cum offe uniatur. Non

πρὸς ὀστοῦν ἑνωθέντος. οὐδὲ γὰρ τὰ κατάγματα διὰ συμφύσεως, ἀλλὰ διὰ πώρου τὴν κόλλησιν ἴσχειν. ἀρξώμεθα οὖν καὶ ἡμεῖς ἀπὸ προτέρας τῆς ἡμετέρας πείρας, εἰς τὸ κοινὸν κατατιθέντες ὅσα τυγχάνομεν ἑωρακότες. ἐθεασάμεθα γὰρ ἐπὶ μὲν γυναικῶν καὶ παιδίων ἀρτηρίας κολληθείσας τε καὶ περισαρκωθείσας ἐν μετώπῳ καὶ σφυρῷ καὶ καρπῷ. νεανίσκῳ δ᾽ ἀγροίκῳ ποτὲ καὶ τοιοῦτόν τι συνέπεσε, φλέβα τμηθῆναι βουληθέντι κατὰ τὴν ἐαρινὴν ὥραν, ἐν ἔθει δὲ μάλιστα τοῦτό ἐστι τοῖς παρ᾽ ἡμῖν ἀνθρώποις, δήσαντος τὸν βραχίονα τοῦ μέλλοντος αὐτὸν φλεβοτομεῖν ἰατροῦ, συνέβη κυρτωθῆναι τὴν ἀρτηρίαν, ὥστε καὶ διεῖλεν αὐτὴν ὁ ἰατρὸς ἀντὶ φλεβός. βραχεῖα μὲν οὖν ἡ διαίρεσις ἐγένετο, ξανθὸν δὲ καὶ λεπτὸν καὶ θερμὸν εὐθέως ἐξηκοντίζετο τὸ αἷμα σφυγμωδῶς. ὁ μὲν οὖν ἰατρὸς, ἦν δὲ καὶ πάνυ νέος καὶ ἄπειρος τῆς τέχνης τῶν ἔργων, ᾤετο διῃρηκέναι τὴν φλέβα. θεασάμενος δ᾽ ἐγὼ τὸ γεγονὸς σὺν ἄλλῳ τινὶ τῶν παρόντων ἰατρῶν πρεσβύτῃ, τῶν ἐναίμων τι φαρμάκων τῶν ἐμπλαστῶν παρασκευάσας ἐπιμελῶς τε πάνυ συναγαγὼν τὴν διαίρεσιν, ἐπέθηκά τε τὸ

enim fracta offa per coalitum, fed per callum conglutinationem habent. Igitur nos quoque a priori experientia noftra incipiamus, in vulgusque exponamus ea, quae ipfi vifu ufurpavimus. Vidimus enim in mulieribus et pueris tum conglutinatas arterias tum carne undique circumdatas, idque in fronte, malleolo et carpo. Simile quoddam aliquando et agrefti contigit juveni, venam fecari veris tempore volenti, quod noftratibus hominibus maxime eft in ufu; quum enim medicus venam incifurus brachium deligaffet, contigit attolli velut in gibbum arteriam; itaque hanc pro vena medicus divifit. Exigua fane incifio erat, fanguis autem flavus et tenuis et fervidus ftatim pulfitans exiliebat. Ac medicus quidem, ut erat admodum juvenis et ad artis opera inexpertus, venam fe incidiffe putabat. Ego vero cum quodam alio ex iis qui aderant medicis feniore, ubi quod accidit adverti, praeparato ex emplaftrorum genere enaemo medicamento, tum incifionem curiofe admodum

Ed. Chart. X. [113.] Ed. Baf. IV. (87.)

φάρμακον αὐτίκα καὶ σπόγγον μαλακώτατον ἔξωθεν ἐπέδησα. θαυμάζοντος δὲ τοῦ τέμνοντος τὴν ἀρτηρίαν τὸν λόγον τῆς ἐπελθούσης ἡμῖν περὶ τὰ τοιαῦτα προνοίας, ἐδηλώσαμεν αὐτῷ τὸ γεγονὸς, ἐξελθόντες τῆς καταγωγῆς τοῦ τμηθέντος· ἐκελεύσαμέν τε μήτε λῦσαι χωρὶς ἡμῶν μήτε θᾶττον πρᾶξαι τοῦτο τῆς τετάρτης ἡμέρας, ἀλλ' ὡς εἶχεν ἡ ἐπίδεσις φυλάξαι ἐπιτέγγοντα μόνον τὴν σπογγιάν· ἐπεὶ δὲ λύσαντες ἐν τῇ τετάρτῃ κεκολλημένην ἀκριβῶς εὕρομεν τὴν διαίρεσιν, ἐπιθεῖναί τε τὸ αὐτὸ φάρμακον αὖθις ἐκελεύσαμεν, ἐπιδήσαντά τε ὁμοίως ἡμερῶν πλειόνων μὴ λύειν. οὕτω μὲν ἐθεραπεύθη τὴν διαίρεσιν τῆς ἀρτηρίας ὁ ἄνθρωπος ἐκεῖνος μόνος· ὃν εἶδον ἐν ἀγκῶνι τμηθέντα ἀρτηρίαν· ἅπασι δὲ τοῖς ἄλλοις ἀνεύρυσμα τοῖς μὲν μεῖζον ἐπεγένετο, τοῖς δ' ἧττον. ὅπως μὲν οὖν χρὴ θεραπεύειν ἀνευρύσματα προϊόντος τοῦ λόγου κατὰ τὸν οἰκεῖον εἰρήσεται καιρὸν, ὅταν καὶ τῶν ἄλλων ἁπάντων ὄγκων τῶν παρὰ φύσιν ἡ θεραπεία γράφηται· νυνὶ δὲ ἐπὶ τὸ συνεχὲς ἴωμεν τοῦ λόγου. ἡ γάρ τοι φύσις ἡ

conjunxi, tum fuper medicamentum illico impofui, ac fpongiam molliffimam extrinfecus fuper *hoc* deligavi. Mirante vero qui arteriam inciderat modum rationemque providentiae nobis hoc in cafu fuccurrentis, indicavimus homini rem factam, fed poftquam incifi hominis diverforium exiiffemus, juffimusque ne vel folveret nobis abfentibus vel ante quartum diem id aggrederetur, fed ita ut erat deligatum haberet, fpongiam duntaxat defuper madefaciens. Poftea vero quam in quarto folventes plane conglutinatam incifuram invenimus, rurfus idem medicamentum imponere juffimus, tum fimili modo deligare, nec multis poftea diebus folvere. Atque ita percurata eft hujus hominis incifa arteria fola omnium, quas in cubito incifas vidi; nam reliquis omnibus aneurysma aliis majus, aliis minus fupervenit. Ac quemadmodum quidem aneurysmata curare conveniat, in progreffu dicetur fuo loco, utique quum reliquorum omnium praeter naturam tumorum curatio tradetur; nunc coeptam difputationem abfolvamus. Siqui-

τῆς ἀρτηρίας οὕτως ἐνδείκνυται τὸ δυσσύμφυτον, οὐ τὸ παντάπασιν ἀσύμφυτον τοῦ σκληροῦ τῶν ἐν αὐτῇ χιτώνων· οὐ γὰρ οὕτως ἐστὶ ξηρὸς καὶ σκληρὸς ὡς ὀστοῦν ἢ χόνδρος, ἀλλὰ πολὺ μαλακώτερος τούτων καὶ σαρκωδέστερος. οὔκουν εὐλόγως ἄν τις ἀπογινώσκοι συμφῦναι τὴν διαίρεσιν, ὅταν αὐτή τε γένηται μικρὰ καὶ τὸ σῶμα τἀνθρώπου μαλακὸν ὑπάρχει φύσει. ἔοικε δὲ καὶ ἡ πεῖρα τῷ λόγῳ μαρτυρεῖν· ἐπί τε γὰρ παίδων καὶ γυναικῶν ἐθεασάμην συμφύσασαν αὐτὴν διὰ τὴν ὑγρότητα καὶ μαλακότητα τῶν σωμάτων· ἐφ᾽ ἑνός τε νεανίσκου βραχεῖαν ἴσχοντος διαίρεσιν, ὡς εἴρηται. [114] δυσιατοτέρα μὲν οὖν ἐστιν ἡ ἀρτηρία τῆς φλεβὸς, οὐ μὴν ἐξήλλακταί γε πολλῷ τῶν φαρμάκων ἡ χρῆσις ἐφ᾽ ἑκατέρου τῶν ἀγγείων, ἀλλ᾽ ἔστιν ἡ αὐτὴ κατ᾽ εἶδος, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον διαφέρουσα· τοσούτῳ γὰρ δεῖται ξηραντικωτέρων φαρμάκων ἡ ἀρτηρία τῆς φλεβὸς, ὅσῳπερ καὶ φύσει ξηροτέρα τὴν κρᾶσιν ἐστίν. εἰ δὲ περισαρκοῦσθαι δέοι, τῶν αὐτῶν ἀμφότεραι χρήζουσι· σαρκὸς γάρ ἐστι γένεσις ἐν τῇ περισαρκώσει κατὰ τὸν αὐτὸν τρόπον γιν-

dem arteriae natura difficultatem quidem durioris tunicae fuae conglutinandae prorfus indicat, non tamen ejusmodi, quae evinci omnino; nequeat neque enim ita eft ficca duraque ut os vel cartilago, imo longe his mollior ac magis carnofa. Quo utique minus de unienda fectione ejus eft defperandum, ubi tum ipfa fit parva, tum hominis corpus natura molle. Videtur autem experientia quoque ipfa rationi fubfcribere; quum et in pueris et in mulieribus propter corporum humiditatem et mollitiem eam viderim glutinari, et in uno juvene, cui, ut dictum eft, exigue *erat incifa.* Quum vero fanatu difficilior fit arteria quam vena, non tamen eft medicamentorum admodum diverfus in vaforum utroque ufus; imo fpecie plane idem majoris minorisque ratione evarians; quippe tanto ficcioribus medicamentis eget arteria quam vena, quanto ipfa eft fuapte natura ficcioris temperamenti quam vena. Quod fi carnem circa gigni opus fuerit, eadem ambae requirunt, fiquidem ad eundem modum provenit carnis generatio in his circumdandis, quo in cavis ulceribus

νωμένης, ὡς κἀν τοῖς κοίλοις ἕλκεσιν ἐδείχθη γιγνομένη. αἱ δὲ κατὰ τὴν μήτραν, ἢ κύστιν, ἢ ἔντερα φλέβες καὶ ἀρτηρίαι, τῶν αὐτῶν δεόμεναι κατὰ γένος φαρμάκων ὅταν ἑλκωθῶσιν, ὀργάνων χρήζουσι τῶν εἴσω παραπεμψόντων αὐτὰ, μητρεγχυτῶν δηλονότι καὶ καθετῆρος εὐθυτρήτου καὶ κλυστῆρος. εἰς δὲ τὰ κατὰ τὸ ἀπευθυσμένον ἕλκη καὶ διὰ κύστεως ἐγχωρεῖ ἐγχεῖν φάρμακον τηκτὸν χλιαρὸν, αὐλίσκον ἐχούσης κατὰ (88) τὸ πέρας αὐτῆς εὐθύτρητον. ἐξελεγχθήσεται τοιγαροῦν ἅμα τῇ τῶν ὀργάνων ἰδέᾳ καὶ ἡ τῶν φαρμάκων σύστασις· οὐ γὰρ οἷόν τε παχέα φάρμακα τοῖς τοιούτοις ἐγχεῖν, ἀλλ᾽ ὑγροτέρων δηλονότι δέονται καὶ διὰ τοῦτο συμμέτρως θερμῶν ὡς τὰ πολλά· διὰ τοῦτο δὲ καὶ τῶν τηκτῶν καλουμένων φαρμάκων ἐπιτηδειότερα τὰ ξηρά· μίγνυται γὰρ ἑτοίμως, εἴτ᾽ ἀρνογλώσσου τις, εἴθ᾽ ἑτέρου τοιούτου βούλοιτο χυλῷ. τὰ δὲ τοιαῦτα φάρμακα κρόκος τ᾽ ἐστὶ καὶ πομφόλυξ καὶ ἀλόη καὶ τὰ κεφαλικὰ καλούμενα· κατὰ δὲ τὸν πρῶτον καιρὸν τῆς σαρκώσεως, τὸν συνάπτοντα τῇ ἐπισχέσει τοῦ αἵματος, καὶ ἡ Λημνία σφαγὶς ἀγαθὸν φάρμακον.

provenire eft traditum. At quae in utero, vefica, vel inteftinis venae arteriaeque funt, quum eadem genere medicamenta, ubi exulceratae funt, requirant, etiam inftrumenta quibus infundantur, metrenchytas, catheterem rectum et clyfterem defiderant. Ad ea vero quae in recto inteftino funt ulcera, etiam per veficam, cui fit fiftula recta ad finem annexa, injicere liquatum medicamentum tepidum licet. Exquiretur itaque remediorum confiftentia pro inftrumentorum fpecie; neque enim fas eft, ejusmodi *inftrumentis* craffa medicamenta infundere, fed humidiora poftulant, atque idcirco mediocriter plerumque calida; proinde ficca medicamenta magis funt idonea quam ea quae liquabilia vocantur, quoniam facile vel arnogloffi, vel alterius ejus generis fucco mifceantur. Ejusmodi medicamenta funt et crocum et pompholyx et aloe et quae cephalica dicuntur; in ipfo autem primo producendae carnis tempore, quod fuppreffionem fanguinis continenter excipit, etiam Lemnia terra probum medicamentum eft.

Κεφ. η'. Τὰ δ' ἐν τῷ πνεύμονι συνιστάμενα τῶν ἑλκῶν χαλεπωτέραν ἔχει τὴν ἴασιν. ἐνίοις δ' οὐ χαλεπὴ μόνον, ἀλλὰ καὶ ἀδύνατος εἶναι δοκεῖ τῷ τε λόγῳ τεκμαιρομένοις καὶ τῇ πείρᾳ· τῷ λόγῳ μὲν, ἐπειδὴ διὰ τὴν ἀναπνοὴν ἀεικίνητόν ἐστι σπλάγχνον ὁ πνεύμων, ἡσυχίας δὲ δεῖ τοῖς μέλλουσιν ἰαθήσεσθαι· τῇ πείρᾳ δ', ὅτι μηδὲ πώποτε μηδένα τῶν τοῦτο παθόντων ἐθεάσαντο θεραπευθέντα. τὸ μὲν δὴ τῆς πείρας, ἐντεῦθεν γὰρ ἄρξασθαι δίκαιον, ἀμφισβήτησιν ἴσως ἕξει κατὰ τὴν διάγνωσιν. ἡμεῖς γοῦν ἐθεασάμεθα τὸν μέν τινα τῷ βοῆσαι μέγα, τὸν δὲ τῷ καταπεσεῖν ἀφ' ὑψηλοῦ, τὸν δ' ἐν παλαίστρᾳ πληγέντα, παραχρῆμά τε βήξαντα σφοδρότατα καὶ σὺν τῇ βηχὶ τοὺς μὲν μίαν ἢ δύο κοτύλας, ἐνίους δὲ καὶ πλείους πτύσαντας. αὐτῶν δὲ τῶν ταῦτα παθόντων ἔνιοι μὲν ἀνώδυνοι παντάπασιν ἦσαν, ἔνιοι δ' ὠδυνῶντο κατὰ θώρακα. καὶ τοίνυν καὶ τὸ αἷμα τοῖς μὲν ὀδυνηθεῖσιν οὔτ' ἀθρόον ἦν οὔτε πολὺ καὶ ἧττον ἐρυθρὸν καὶ ἧττον θερμὸν, ὡς ἂν πόῤῥωθεν ἧκον· τοῖς δ' ἀνωδύνοις οὖσιν

Cap. VIII. At quae in pulmone haeſerunt ulcera difficiliorem habent curationem. Quibusdam vero non difficilis modo eorum curatio, verum etiam quae perfici nequeat eſſe videtur, idque tum ratione conjectantibus, tum experientia; ratione, quoniam pulmo viſcus propter reſpirationem perpetuo ſit in motu, quum quietem requirant ea quae ſint ſananda; experientia, quod neminem unquam eorum qui ita ſunt affecti ſanatum viderint. Atque de experientia quidem, nam hinc coepiſſe par eſt, dubitare fortaſſe licet propter dignotionem. Nos enim quendam vidimus ex eo, quod maxime vocem in clamore intendiſſet, alium quod ab alto cecidiſſet, alium in palaeſtra percuſſum, non ſolum ſtatim graviſſime tuſſiviſſe, ſed etiam ſimul cum tuſſi alios unam duasve, alios plures heminas ſanguinis ſpuiſſe. Qui vero ita erant affecti, aliqui omnino ſine dolore erant, alii in thorace dolebant. Quin etiam ſanguis iis qui doluerant nec confertim rejectus eſt, nec multus, minusque tum ruber tum calens ceu e longinquo veniens. At quibus citra do-

ἀθρόον τε καί πλεῖστον, ἐρυθρόν τε καὶ θερμὸν ἀνεβήττετο, σαφῶς ἐνδεικνύμενον ὅτι μὴ πόῤῥωθεν ἥκει. ἔχει μὲν οὖν ἀπορίαν καὶ ἄλλην οὐ σμικρὰν ἡ ἐκ τοῦ θώρακος εἰς τὰς τραχείας ἀρτηρίας μετάληψις τοῦ αἵματος, ἐζητημένην τοῖς ἰατροῖς ὅσοι ἀδύνατον εἶναι νομίζουσι τὴν διὰ τοῦ περιέχοντος ὑμένος τὸν πνεύμονα φο[115]ρὰν αὐτοῦ. καὶ τάχ᾽ ἄν, εἰ μὴ πολλοῖς τῶν οὕτω παθόντων ὅ τε παραχρῆμα πόνος ἥ τ᾽ ἐξ ὑστέρου τισὶν αὐτῶν ἐπιγενομένη φλεγμονὴ σὺν ἀποστάσει σαφῆ τὴν ἔνδειξιν ἔφερε τοῦ κατὰ τὸν θώρακα πάθους, ἀπεφήναντο μηδέποτ᾽ ἐκ θώρακος αἷμα διὰ τῆς φάρυγγος ἀναβήττεσθαι. νυνὶ δ᾽ ὑπὸ τούτων δυσωπούμενοι συγχωροῦσι μὲν ἀπὸ τοῦ θώρακος φέρεσθαι, ζητοῦντες δ᾽ ἑτέραν ὁδὸν τῆς διὰ τοῦ περιέχοντος ὑμένος τὸν πνεύμονα, πολλὰ καὶ ἄτοπα λέγειν ἀναγκάζονται. καίτοι τό γε πῦον ἐπὶ τῶν ἐμπύων ἐν τῇ μεταξὺ χώρᾳ θώρακός τε καὶ πνεύμονος ὁμολογοῦντες περιέχεσθαι βλέπουσιν, οἶμαι, σαφῶς ἀναβηττόμενον ἐκ πνεύμονος. ἡμεῖς δὲ κἀπὶ τῶν ἀπόστημα τοιοῦτον ἐν θώρακι ἐχόντων, ὡς σφακελίσαι τι καὶ τῶν

lorem eſt rejectus, iis et confertim et plurimus tum ruber fervensque tuſſiendo expuebatur, clare docens, quod non procul veniret. Porro aliam dubitationem facit non levem ipſa ſanguinis ex thorace in aſperam arteriam tranſumptio, propoſitam videlicet a medicis iis, qui transmitti eum per membranam pulmonem involventem poſſe non putarunt. Forteque, niſi multis eorum qui ita ſunt affecti tum ſtatim ortus dolor, tum vero quibusdam eorum phlegmone ſuperveniens cum abſceſſu, manifeſtum indicium praebuiſſent in thorace conſiſtentis affectus, pronunciaſſent ſanguinem ex pectore per fauces nunquam tuſſiendo rejici. Nunc vero his indiciis confuſi a pectore quidem venire concedunt, caeterum dum aliam viam quam per pulmonis membranulam inquirunt, multa eaque abſurda proferre coguntur; quamvis in ſuppuratis ipſum pus, quod medio ſpatio inter pectus et pulmonem contineri ipſi fatentur, videant, arbitror, aperte ex pulmone expui. Nos vero in iis quibus erat in pectore tantus abſceſſus ut etiam oſſium

ὀστῶν, ἐπεδείξαμεν αὐτοῖς ἐναργῶς τὸ ἐνιέμενον τῷ θώρακι μελίκρατον ἀναβηττόμενον ἐκ πνεύμονος. ἴσμεν γὰρ δήπου τὰς τοιαύτας διαθέσεις ἐν θώρακι συνισταμένας οὐκ ὀλιγάκις ἐν Ῥώμῃ μάλιστα τρόπῳ ῥευματικῷ, ὡς ἀναγκασθῆναι τὸ πεπονθὸς ἐκκόπτειν ὀστοῦν. ἐπὶ τῶν πλείστων δ' εὐθὺς ἅμα τῇ διεφθαρμένῃ πλευρᾷ καὶ ὁ ὑπεζωκὼς αὐτὴν ὑμὴν ἔνδοθεν εὑρίσκεται διασεσηπώς. εἰώθαμεν οὖν ἐν τῇ θεραπείᾳ μελίκρατον ἐγχέοντες διὰ τοῦ ἕλκους, ἐνίοτε μὲν ἐγκελεύεσθαι βήττειν αὐτοῖς ἐπικεκλιμένοις τῷ πεπονθότι μέρει, πολλάκις δὲ κατασείειν ἠρέμα, καί ποτε καὶ πυουλκῷ κομίζεσθαι τὸ ὑπολειπόμενον ἔνδον τοῦ μελικράτου. ἐπειδὰν δὲ τοῦτο ποιήσαντες ἐκκεκλύσθαι τότε πῦον ἅπαν καὶ τοὺς ἰχῶρας τοῦ ἕλκους ἐλπίσωμεν, ἐντίθεμεν οὕτως τὰ φάρμακα. κατὰ τὰς τοιαύτας οὖν διαθέσεις, εἴ τις ἐάσειεν ἐν τῇ μεταξὺ πνεύμονος καὶ θώρακος χώρᾳ τὸ ὑγρὸν, αὐτίκα ἀναβηττόμενον θεάσεται. θαυμάσαι δ' ἐστὶν ἐπὶ τῇ τοῦ πνεύμονος ὁδῷ τῶν ἀπορούντων, πῶς οὐ μᾶλλον ἀποροῦσιν ἐπὶ τοῦ προχεομένου παχέος αἵματος ἐν ταῖς τῶν καταιμάτων πωρώ-

aliquid carie corrumperetur, manifeste ipsis ostendimus mulsam, quae injecta in pectus fuerat, ex pulmone expui. Sane novimus Romae ejusmodi affectus rheumatico modo in pectore non raro constitisse, ut necesse fuerit ipsum os affectum excidere. In plurimis vero etiam membrana, quae costis intra subtenditur, una cum corrupta costa invenitur putrefacta. Solemus ergo in curatione mulsa per ulcus infusa jubere aliquando quidem ut inclinati in laborantem partem tussiant, saepe vero molliter concutere; interdum etiam pyulco educere quod intus ex mulsa reliquum est. Hoc facto ubi tum pus universum tum etiam saniem ulceris eluisse confidimus, mox medicamenta injicimus. Ergo in ejusmodi affectibus, si quem in medio pectoris ac pulmonis spatio humorem reliqueris, statim hunc tussi ejectum contemplabere. Mirandi profecto sunt ii qui de via pulmonis haesitant, quo pacto non magis haesitent, quemadmodum crassus sanguis infracti ossis callo effundatur, nam et ipse

σεσιν· αὐτό τε γὰρ τὸ προχεόμενον οὐ σμικρῷ παχύτερόν ἐστι τοῦ κατὰ φύσιν, ἥ τε τοῦ δέρματος οὐσία παμπόλλῳ δή τινι παχυτέρα τοῦ παρὰ τῷ πνεύμονι χιτῶνος. ὅπερ οὖν ἐλέγομεν ὅταν ἐκ καταπτώσεως, ἢ μεγάλης ἅμα καὶ ὀξείας φωνῆς, ἀγγείου ῥαγέντος ἐν πνεύμονι χωρὶς ὀδύνης ἀθρόον καὶ θερμὸν, εὐανθές τε καὶ πολὺ μετὰ βηχὸς ἀναφέρηται τὸ αἷμα, πεπεῖσθαι μὲν χρὴ τὸ τραῦμα κατὰ τὸ σπλάγχνον ἐνυπάρχειν, ἐπιχειρεῖν δὲ τῇ θεραπείᾳ καθάπερ ἡμεῖς πολλάκις ἐπιχειρήσαντες ὀλιγάκις ἀπετύχομεν. αὐτῷ μὲν οὖν τῷ κάμνοντι προστάξαι χρὴ μήτ᾽ ἀναπνεῖν μέγα καὶ σιωπᾷν ἀεί· τέμνειν δ᾽ αὐτίκα φλέβα κατ᾽ ἀγκῶνα τὴν ἔνδον· ἐπαφαιρεῖν δὲ δίς που καὶ τρὶς, ἀντισπάσεως ἕνεκα· τρίβειν τε καὶ διαλαμβάνειν ὅλα τὰ κῶλα δεσμοῖς, ὥσπερ εἰώθαμεν. ἐπειδὰν δὲ ταῦτα πραχθῇ, πρῶτον μὲν ὀξύκρατον ὑδαρές τε καὶ χλιαρὸν διδόναι πίνειν· ὅπως εἴ τις εἴη θρόμβος ἐν τῷ σπλάγχνῳ διαλυθεὶς ἐκβηχθείη· καὶ τοῦτ᾽ οὐδὲν κωλύει καὶ δὶς καὶ τρὶς ἐν ὥραις τρισὶν ἐργάσασθαι. μετὰ δὲ ταῦτα διδόναι τι τῶν ἐμπλαττόντων τε ἅμα καὶ στυφόντων φαρμά-

qui effunditur non paulo naturali eft craffior et cutis fubftantia longe craffior pulmonis involucro eft. Quod igitur diximus, quum vel cafu vel praevalida acutaque voce vas aliquod in pulmone rumpitur, citraque dolorem confertim fanguis fervens, floridus multusque cum tuffi expuitur, fcire licet in vifcere vulnus effe. Aggredienda vero curatio eft, prout nos faepe fumus aggreffi; quibus non raro fucceffit. Igitur laboranti ipfi injungendum eft ut nec magna utatur refpiratione, ac femper agat filentium; praeterea vena cubiti interna protinus incidenda, a qua bis terque poftea fanguis eft detrahendus, revulfionis caufa; tum artus omnes fricandi vinciendique ita ut ipfi folemus; ubi haec funt facta, primum pofca tum diluta tum tepida potui eft offerenda; quo fi quis in vifcere cruor concretus latitet, refolutus expuatur atque hoc nihil vetet bis terve ternis horis facere. Ab his vero etiam aliquod eorum quae tum emplafticam vim habent tum adftringunt medicamen-

κων, ἤτοι δι᾽ ὑδαροῦς ὀξυκράτου τὴν πρώτην ἢ δι᾽ ἀφεψήματος μήλων, ἢ μύρτων, ἤ τινος ἄλλου τῶν στυπτικῶν. εἰς ἑσπέραν τε πάλιν ὁμοίως διδόναι τὸ φάρμακον, εἴργοντας ἁπάσης τροφῆς, ἐὰν ἰσχυρὸς ᾖ. εἰ δὲ μὴ, ῥοφήματος αὐτάρκες διδόναι. κάλλιστον δὲ καὶ κατὰ τὴν ὑστεραίαν ἐπαφελεῖν αὖθις ὀλίγον αἵματος ἀπὸ τῆς τετμημένης φλεβὸς, ἐὰν ἰσχυρὸς ᾖ· καὶ τροφαῖς καὶ φαρμάκοις ὡσαύτως χρῆσθαι, μέχρι τῆς τετάρτης ἡμέρας, ἐπιβρέχοντας ἐν κύκλῳ τὴν θώρακα, θέρους μὲν μηλίνῳ ἢ ῥοδίνῳ, χειμῶνος δὲ μύρῳ νάρ-[116]δίνῳ. εἰ δὲ καὶ τῶν ἐμπλαστῶν τινι χρήσασθαι βούλοιο φαρμάκων, κάλλιστον ἂν ἔχοις τὸ ἡμέτερον, ᾧ καὶ πρὸς τὰ ἄλλα τραύματα θαῤῥῶν χρῶ· σύγκειται δὲ ἐξ ἀσφάλτου καὶ ὄξους ὅσα τ᾽ ἄλλα μίγνυται τοῖσδε κατὰ τὰς καλουμένας ὑπὸ τῶν ἰατρῶν ἐναίμους βαρβάρους. εἰ δὲ γυναῖκα θεραπεύοις, ἢ παῖδα, ἢ ὅλως μαλακόσαρκόν, τινα τὸ διὰ τῆς χαλκίτεως ἱκανὸν φάρμακον· οὗ κατὰ τὸ πρῶτον ἐν τοῖς περὶ φαρμάκων συνθέσεως ἐδήλωσα τὴν δύναμιν. οὕτως ἡμεῖς

tum exhibendum, idque aut ex poſca diluta primum, aut ex malorum myrtorumve vel alicujus ejusmodi adſtringentium decocto. Rurſusque veſperi medicamentum hoc ſimiliter dandum, circumciſo, ſi valentior ſit, omni nutrimento, ſin aliter, ſorbitionis quod ſatis eſt exhibendum. Maxime vero ad rem pertinebit, ſi etiam poſtero die modo fortis *cubans* ſit, parum ſanguinis ab inciſa jam vena rurſum detrahatur; tum victu medicamentiſque eodem modo in quartum usque diem utatur, pectore interdum, ſi aeſtas ſit, undique melino roſaceove madeſacto; ſin hiems, nardino unguento. Quod ſi emplaſtico aliquo uti medicamento placet, habes a nobis optimum, quo etiam ad reliqua vulnera cum fiducia utare; conſtat id ex bitumine et acero aliisque quae illis miſceri medicamentis ſolent, quae enaema barbara a medicis dicuntur. Quod ſi mulieri mederis puerove, aut denique corpori quod mollis ſit carnis, quod ex chalcitide ſit, ſatis idoneum medicamentum fuerit; cujus vires in primo libro eorum quae de medicamentorum compoſitione inſcripſi explicavimus. Hac nos ratione multos, ad quos

ἐθεραπεύσαμεν οὐκ ὀλίγους, ἐπιφανέντες αὐτίκα τῷ πεπονθότι. τὸ γάρ τοι μέγιστον αὐτὸ τοῦτ᾽ ἔστιν, ᾧ πάνυ προσέχειν σε χρὴ τὸν νοῦν, εἰ παραχρῆμα τῆς ῥήξεως τῶν ἀγγείων γεγενημένης, ὑπάρξαις τῆς θεραπείας, ὥστ᾽ ἔναιμον ὂν κολληθῆναι τὸ τραῦμα πρὶν ἄρξασθαι φλεγμαίνειν. εἰ δέ γε φλεγμήνειεν, ὀλίγη μὲν ἔτι τοῦ κολληθῆναι τὸ τοιοῦτον ἡ ἐλπὶς, εἰς χρόνον δ᾽ ἐκπίπτει πλείονα. καὶ τὸ χαλεπὸν ἢ ἀδύνατον τῶν ἐν τῷ τοιῷδε τῆς ἰάσεώς ἐστι· ἐκπλύνειν γὰρ δηλονότι χρὴ τό τε πῦον καὶ τοὺς ἰχῶρας τοῦ ἕλκους, λυομένης τῆς φλεγμονῆς. ἐκ μὲν δὴ τῶν κατὰ μήτραν καὶ κύστιν ἐκκρίνεται μὲν καὶ αὐτόματα τῷ κατάντει τῆς φορᾶς, ἐκκλύζεσθαι δὲ δύναται καὶ πρὸς ἡμῶν· ἐπὶ πνεύμονος δὲ γίνεσθαι ἑκάτερον ἀδύνατον. ἀπολείπεται οὖν ἔτι μόνη τοῖς ἐνταυθοῖ πᾶσιν ἕλκεσιν ἡ μετὰ τοῦ βήττειν κάθαρσις. ἀλλ᾽ εἴπερ ὀρθῶς τήν τ᾽ ἄλλην ἡσυχίαν αὐτοῖς συνεβουλεύομεν, ἀναπνεῖν τε καὶ καταβραχὺ καὶ μηδ᾽ ὅλως (89) φθέγγεσθαι προσετάττομεν ὑπὲρ τοῦ κολληθῆναι τὸ τραῦμα, τίς ἂν εἴη τοῖς βήττουσι τῆς ἰάσεως ἡ ἐλπίς; οὔκουν ὅτι διὰ τὴν ανα-

ſtatim, ut malum ſenſerunt, acceſſimus, percuravimus. Quippe hoc maximum eſt, cuique te attentum eſſe magnopere oportet, an videlicet ſtatim a ruptura vaſis facta curationem incipias, quo cruentum adhuc vulnus priusquam phlegmonen excitet glutines. Nam ſi phlegmone invaſerit, exigua ſpes eſt ejus poſtea glutinandi; in longius tamen trahere poteſt tempus. Quod vero ejusmodi ulcera vel difficulter, vel plane nunquam curari poſſint, hoc in cauſa eſt, quod quum phlegmone ſolvitur, eluenda pus ulceris et ſanies ſunt. Atque ex utero quidem et veſica tum ſua' ſponte excernuntur, quoniam videlicet pronis delabi licet, tum elui praeterea a nobis poſſunt, in pulmone neutrum omnino fieri poteſt. Quare omnibus quae huic loco haerent ulceribus una reliqua expurgatio eſt ea, quae per tuſſes fit. At ſi recte his tum reliquam omnem quietem ſuaſimus, tum vero, ut ſenſim reſpirarent nec quicquam loquerentur, ut vulnus glutinaretur injunximus, quae poteſt tuſſientibus eſſe ſanationis ſpes? Non igitur quod in perpetuo pro-

πνοὴν ἀκίνητόν ἐστι τὸ σπλάγχνον, ὡς οἱ πρὸ ἡμῶν φασιν ἰατροὶ, ἄπορος ἡ ἴασις, ἀλλὰ διὰ τὴν τῶν ἰχώρων τε καὶ τοῦ πύου κένωσιν. καὶ διὰ τοῦτο παραχρῆμα μὲν εἰς σύμφυσιν ἀφικνεῖται καθ᾽ ὃν εἴρηται τρόπον ἰαθέντα· φλεγμῆναι δὲ φθάσαντα χαλεπὴν καὶ ἄπορον ἴσχει τὴν ἐπανόρθωσιν· ὅ τε γὰρ ἰχὼρ καὶ τὸ πῦον οὐκ ἀκριβῶς ἐκκενοῦται τῶν κατὰ τὴν πνεύμονα χωρίων, αἵ τε βῆχες ἱκανῶς σπαράττουσι τὰ πεπονθότα. τὰ δ᾽ ἐκ θώρακος τριχῇ τῶν κατὰ τὸ σπλάγχνον τοῦτο πλεονεκτεῖ· τά τε γὰρ ἀγγεῖα πολὺ σμικρότερα καὶ ἡ ἐκροὴ τῶν ἰχώρων εἰς τὴν εἴσω γίνεται χώραν, ὅλως τε σαρκωδέστερός ἐστι τοῦ πνεύμονος. οὐδὲ γὰρ οὐδ᾽ ἡ τῶν τραχειῶν ἀρτηριῶν οὐσία κατ᾽ ἄλλό τι τοῦ ζώου μόριόν ἐστιν, ἱκανῶς ἀσάρκων καὶ ξηρῶν ὑπαρχουσῶν· ὧν καὶ αὐτῶν δήπου ῥῆξις ἐν ταῖς τοιαύταις πτώσεσι γίγνεται· ὡς εἴ γε τῶν ἄλλων μέν τι ῥαγείη, μένοιεν δ᾽ ἀπαθεῖς αἱ τραχεῖαι ἀρτηρίαι, κατὰ τὰς συναναστομώσεις μόνας ἡ μετάληψις γίνεται. ὥστε οὔτε θερμὸν οὔτ᾽ ἐρυθρὸν οὔτε πολὺ τοῖς τοιούτοις ἀναφέρεται τὸ αἷμα. καὶ δοκεῖ μὲν εἶναι μετριώτερα τὰ τοιαῦτα

pter refpirationem motu vifcus id fit, defperata curatio eft, velut qui ante nos medici fenferunt, fed propter faniei et puris vacuationem. Ideoque fi flatim quis fit aggreffus, ac jam dicta ratione medeatur, coeunt; fin phlegmone prius occuparit, difficilem incertamque curationem recipiunt, nam pus et fanies prorfus, totaque ex fpatiis pulmonis non expelluntur et tuffis affectas partes valde lacerat. At quae ex pectore educuntur, triplex compendium prae iis quae ex pulmone vacuantur habent; nam et vafa ipfa multo funt minora et fanies in fpatium interius effluit et in fumma magis carnofum *pectus* eft quam pulmo. Nam afperae arteriae fubftantia, quae admodum carnis expers ficcaque eft, nulla alia animalis in parte invenitur; quae etiam ipfa in ejusmodi expuitionibus rumpi folet, quum fi qua reliqua vena *vel arteria* fit rupta, ipfis afperis illaefis manentibus, per mutuas folas anaftomofes translatio *fanguinis* fit. Itaque nec calidus in talibus, nec ruber, nec multus fanguis emittitur. Ac videntur quidem prima faltem fronte levio-

Ed. Chart. X. [116. 117.] Ed. Baf. IV. (89.)

παθήματα τήν γε πρώτην, ὡς ἂν μὴ καταπλήττοντα τῷ πλήθει τῆς κενώσεως· ἔστι δὲ χείρω δι' αὐτὸ τοῦτο· κωλύεται γὰρ ἡ σύμφυσις ὑπὸ τοῦ περιθρομβουμένου τοῖς ἐῤῥωγόσιν ἀγγείοις αἵματος, οὐκ ἔχοντος εὐπετῆ τὴν εἰς τὰς τραχείας ἀρτηρίας διέξοδον.

Κεφ. θ'. Ὡσαύτως δὲ καὶ τὰ τοῦ διαφράγματος τραύματα, τά γε μὴ διασχόντα πρὸς τοὐκτὸς, ἐν μὲν τοῖς σαρκώδεσι [117] μέρεσι πολλάκις ἐκολλήθη, μηδὲν ὑπὸ τῆς κινήσεως αὐτοῦ παρεμποδισθέντα· τὰ δ' ἐν τοῖς νευρώδεσιν ἀνίατα. χαλεπὴ δὲ καὶ ἡ ἐν τοῖς σαρκώδεσιν ἴασις, εἰ φλεγμῆναι φθάσειεν, οὐκ αὐτῷ τῷ διαφράγματι μόνῳ, ἀλλὰ καὶ τοῖς ἔνδον τοῦ περιτοναίου πᾶσιν· εἰς ταῦτα γὰρ ἀποῤῥέουσιν οἱ ἰχῶρες. ἀλλὰ χρὴ ξηραίνειν παντὶ τρόπῳ πειρᾶσθαι, διά τε τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων καὶ τῶν πινομένων δι' ὕδατος ἢ οἴνου λεπτοῦ. ἔστι δ' αὐτῶν ἐπιτηδειότατα τά τε διὰ σπερμάτων λεγόμενα καὶ τὸ σύνηθες ἡμῖν, ᾧ καὶ πρὸς τὰς τοῦ θώρακος συντρήσεις ἀεὶ χρώμεθα, τῷ διὰ τῆς κασσίας. ἀλλὰ καὶ ταῦτα καί τινες

res ejusmodi affectus, ut qui copia vacuationis minime terreant; funt vero vel ob hoc ipfum graviores, quippe concretus circa ruptum vas cruor, cui facilis tranfitus in afperas arterias non eft, glutinationem prohibet.

Cap. IX. Simili modo et transverfi fepti vulnera, quae foras non perveniunt, in carnofis quidem partibus faepe coalefcere funt vifa, ejus motu non obftante; quae in nervofis ejus haerent, infanabilia funt. Sane difficilis curatio eft etiam eorum quae in carnofis funt partibus, fi has jam phlegmone occupavit; idque non ipfi modo diaphragmati, verum etiam omnibus quae intra peritonaeum funt contenta, quod in ea fcilicet fanies defluat. Caeterum danda opera eft ut ea quacunque ratione ficcemus, tum per ea medicamenta quae extrinfecus imponuntur, tum per ea quae ex aqua vinove tenui bibuntur. Porro horum maxime idonea funt et quae ex feminibus fieri dicuntur, et quod folenne nobis eft, quoque in pectore perforato femper utimur, quod ex caffia componitur. Caeterum tum

Ed. Chart. X. [117.] Ed. Baf. IV. (89.)

ἐπιβῤοχαὶ τοῖς τοιούτοις τραύμασιν ἐπιτήδειοι τῆς περὶ φαρμάκων εἰσὶ πραγματείας· ἐνταυθοῖ δὲ τὰς μεθόδους λέγομεν μόνας ἐνδεικνυμένας τῶν φαρμάκων τὸ γένος· ὥστ᾽ εἴποτε λέγεταί τινα τῶν κατὰ μέρος, ὡς παραδείγματα σαφηνείας ἕνεκα γεγράφθαι χρὴ νομίζειν αὐτά.

Κεφ. ι΄. Αὖθις οὖν ἐπὶ τὰς μεθόδους ἀνέλθωμεν, ἐπιδεικνύντες ὅσον ἡ κοινὴ πάντων ἑλκῶν ἴασις ἐξαλλάττεται κατ᾽ εἶδος ἐν ἑκάστῳ τοῦ ζώου μορίῳ. μαθησόμεθα γὰρ ἐκ τοῦδε μάλιστα μὲν ὃ δι᾽ ὅλης πρόκειται τῆς πραγματείας, ἀναμαρτήτους εἶναι κατὰ τὰς ἰάσεις, ἐν παρέργῳ δὲ καὶ τὴν τῶν ἑαυτοὺς ὀνομασάντων μεθοδικοὺς τόλμαν. εἰ γάρ ἐμοὶ χρή τι πιστεῦσαι, μηδὲν μήτε πρὸς χάριν εἰωθότι μήτε πρὸς ἀπέχθειαν λέγειν, ἁπάντων τῶν ἰατρῶν ὄντες ἀμεθοδώτατοι κατεγνώκασιν, ὥς γε δὴ γράφουσιν, οὐ μόνον τῶν ἄλλων παλαιῶν, ἀλλὰ καὶ τοῦ πασῶν τῶν μεθόδων ἡμῖν ἡγεμόνος Ἱπποκράτους. ὁ μὲν οὖν ἐμπειρικὸς ἰατρὸς ἐκ πείρας φησὶν ἐγνῶσθαι πάνθ᾽ ἅπερ ἡμεῖς

haec tum perfufiones quaedam ejusmodi vulneribus accommodatae, ad tractationem de medicamentis pertinent; hic methodos folas tradimus, quae praefidiorum indicent genus; quare fi quando quaedam a nobis particulatim pro exemplis adhibeantur, haec addita claritatis caufa fuiffe exiftimandum.

Cap. X. Rurfus igitur ad methodos revertamur, monftremusque quantum generalis omnium ulcerum curatio per fingulas animalis partes fpeciatim immutetur. Hinc namque difcemus praecipue quidem id, quod in toto opere eft propofitum, minime in curationibus errare; velut appendicem vero etiam eorum qui fe methodicos vocarunt audaciam. Qui, fi quid mihi, qui nec ad gratiam quicquam nec ad odium loqui foleam, eft credendum, cum omnium ipfi medicorum maxime a methodo fint alieni, damnant, quatenus faltem fcribunt, non folum reliquos veteres, fed etiam ipfum omnium nobis methodorum auctorem Hippocratem. Ac empiricus quidem medicus omnia quae nos per indicationem inveniri oftendimus, ea dicit per expe-

δι' ἐνδείξεως εὑρίσκεσθαι δείκνυμεν. τρίτου δὲ οὐδενὸς ὄντος οὐδεμιᾶς εὑρέσεως ὀργάνου παρά τε τὴν ἔνδειξιν καὶ τὴν πεῖραν, οὐδετέρῳ χρώμενοι μεθοδικοὶ καλεῖσθαι δικαιοῦσιν. ἀκολουθησάτωσαν οὖν ἡμῖν καὶ νῦν γοῦν εἰς τὴν τῶν καθ' ἕκαστον μέρος ἑλκῶν θεραπείαν, ἐπειδειξάτωσάν τε μίαν ἁπάντων ἴασιν. ἀκούσωμεν αὐτῶν ὅπως θεραπεύουσιν ἕλκος, ἢ τινας ἐνδείξεις ἀπ' αὐτοῦ λαμβάνουσιν· ἆρ' ἄλλας τινὰς ἢ τὸ μὲν ὁμαλὲς ἐπουλῶσαι κελεύουσι, τὸ δὲ κοῖλον σαρκῶσαι, τὸ δ' ἔναιμον συμφῦσαι; πῶς οὖν εὕρω τά τε ἐπουλωτικὰ καὶ τὰ κολλητικὰ καὶ τὰ σαρκωτικὰ καὶ τὰ συμφυτικά; μὴ κάμνε, φασίν· εὕρηται γὰρ, ἀλλ' οὐκ οἶδ' εἰ καλῶς ἢ εἰ πάντα· δύναται γὰρ ἤτοι γε εὑρῆσθαι μέν τινα τῶν φαυλοτέρων, οὐχ εὑρῆσθαι δὲ τὰ βελτίω· ἢ καὶ τὰ δοκοῦντα εὑρῆσθαι, καὶ αὐτὰ εἶναι μοχθηρά· καὶ διὰ τοῦτο τὰ μὲν μηδόλως θεραπεύεσθαι τῶν ἑλκῶν, τὰ δὲ ἐν χρόνῳ πλέονι καὶ σὺν ἀλγηδόσι καὶ λιμαγχονίαις οὐκ ἀναγκαίαις. οὐδὲ γὰρ οὐδὲ τολμᾷ τις ἐπιθέσθαι νεωτέραν

rientiam fibi cognita. Quum vero praeter indicationem et experientiam nullum inventionis organum tertium praeterea fit, isti neutro utentes, tamen appellandos fe methodicos cenfent. Ergo fequantur nos et nunc faltem oftendant ulceribus per fingulas partes curandis unam effe omnium fanationem. Audiamus ipfos quo pacto ulcus curent, aut quales indicationes ab eo fumant; num alias ullas, quam quod planum cicatrice fit inducendum, cavum carne implendum, cruentum glutinandum? At quo pacto inveveniam, quod cicatricem inducat, et quod conglutinet, et quod carne impleat, et quod coalefcere faciat? Ne labora, inquiunt; funt enim inventa. Atqui haud fcio, an recte, aut non omnia; fieri enim poteft ut vel ex deteriorum nota quaedam inventa fint, potiora inventa non fint; vel ut quae inventa effe videantur etiam ipfa fint mala; indeque adeo accidere ut quaedam ulcera prorfus non fanentur, quaedam longiore fpatio et cum dolore et famis cruciatu minime neceffario. Neque enim audet quisquam

πεῖραν, πρὶν ἢ ἑαυτὸν πεῖσαι τῆς ἔμπροσθεν ἀγωγῆς ὀρθῶς κατεγνωκέναι· οἷον αὐτίκα περὶ τῶν ἐν πνεύμονι συνισταμένων ἑλκῶν, ἃ μηδὲ διαγνῶναι [118] τὴν ἀρχὴν οἷόν τ' ἐστὶν ἄνευ τῆς ἀνατομῆς τε καὶ τῆς τῶν ἐνεργειῶν γνώσεως, ἅπερ ἀμφότερα φεύγουσιν. ἀλλὰ συγκεχωρήσθω κατά γε τὸ παρὸν ἐγνῶσθαι τοῖς περὶ τὸν Θεσσαλὸν ἕλκος ἐν πνεύμονι γεγονός. πότερον οὖν ὥσπερ τοῦτο συνεχωρήσαμεν αὐτοῖς, οὕτω καὶ ὅτι ῥυπαρὸν, ἢ καθαρὸν, ἢ ὅτι κοῖλον, ἢ ὁμαλὲς, ἢ ἰχώρων, ἢ πύου μεστὸν, ἐπίστασθαι συγχωρήσομεν, ἤτοι γ' ἐξ ἐπινοίας ἐνθέου, ἢ ὄναρ ἰδοῦσιν; ἢ κἂν τούτῳ γοῦν ἐρωτήσομεν αὐτοὺς τὰς διαγνώσεις, ἢ χωρὶς τοῦ διαγνῶναι διδόναι συγχωρήσομεν ὅ τι βούλοιτο φάρμακον εἰδέναι; ἐγὼ μὲν γὰρ ἡγοῦμαι καθῆραι μὲν χρῆναι τῶν ῥυπαρῶν πρότερον τὴν ῥύπον· σαρκῶσαι δὲ τὸ καθαρὸν ἅμα καὶ κοῖλον· ἀποκαθῆραι δὲ τοὺς ἰχῶράς τε καὶ τὸ πῦον, ᾧ περικέχυται ταῦτα· κἄπειθ' οὕτως ἐπουλοῦν. οἱ δὲ οὐκ οἶδ' ὅπως ἰάσονται καὶ τὰ τοιαῦτα τῶν ἑλκῶν· τὴν ἀρχὴν γὰρ οὐδ' ἔγραψέ τι

novam aggredi experientiam priusquam fibi perfuaferit priorem curandi rationem recte fe damnaffe; veluti in iis ulceribus in pulmone confiftentibus, quae ne agnoviffe quidem omnino fas eft citra diffectionum actionumque notitiam; quorum nimirum utrumque averfantur. Caeterum concedatur ad praefens cognofci ab illis Theffali fectatoribus ulcus, quod pulmoni infederit. Numquid igitur ut hoc illis conceffimus, fic etiam et quod fordidum fit intelligant, an purum, an aequale, an cavum, an faniei vel puris plenum concedemus, vel ex divino afflatu, vel per infomnium ea videntes? An haec quoque quomodo dignofcant, percontabimur? An vero citra horum dignotiones medicamentum quodvis exhibere concedemus? Ego namque exiftimo primum expurgandam effe immundorum ulcerum fordem, implenda vero carne effe quae pura et cava fint; rurfus pus faniemque expurganda, quibus haec circumhaereant; mox ita cicatricem inducendam. Ifti vero haud fcio quonam modo talia ulcera fanaverint; nam Theffalus

Ed. Chart. X. [118.] Ed. Baf. IV. (89. 90.)

Θεσσαλὸς ὑπὲρ αὐτῶν, ἵν᾽ ἤτοι τὴν ἄγνοιαν ἢ τὴν ἀσυμφωνίαν αὐτοῦ πρὸς ἑαυτὸν ἐπιδείξῃ. ἤτοι γὰρ ἄλογα καὶ ψευδῆ περὶ αὐτῶν ἐροῦσιν, ἢ εἴπερ ἀληθῆ τίς φησι, τὴν ἔνδειξιν αὐτῶν ἀναγκαῖον ἐκ τῆς οὐσίας γενέσθαι τοῦ μορίου καὶ προσέτι θέσεώς τε καὶ διαπλάσεως. ὑποκείσθω γὰρ αὐτοὺς ἐπίστασθαι διαγινώσκειν ἕλκος ἐν πνεύμονι ῥυπαρὸν καὶ καθαρὸν, ἀφλέγμαντόν τε καὶ φλεγμαῖνον, ὁμαλές τε καὶ κοῖλον· ἔτι δὲ καὶ τοῦτ᾽ αὐτοῖς συγχωρείσθω γιγνώσκειν· οὐ μὴν οὐδ᾽ αὐτοῦ καίτοι γε μικροτάτου γε ὄντος ἔχουσιν εἰπεῖν ἰδίαν εὕρεσιν, ὅτι τὸ τοιοῦτον ἕλκος ὑπὸ τοῦ χλωροῦ φαρμάκου γίγνεται καθαρὸν, εἰ βούλει τοῦ Μαχαιρίωνος ἢ τῆς Ἴσιδος, οὐδὲν γὰρ διαφέρει. τί ποτε οὖν ποιήσουσιν ἐπὶ τοῦ κατὰ τὸ σπλάγχνον ἕλκους, ἀποκρινέσθωσαν ἡμῖν. ἆρά γε καταπιεῖν δώσουσι τοῦ χλωροῦ φαρμάκου; (90) γελοῖον μὲν ὅλως τὸ πρᾶγμα. ἐπειδὴ γὰρ ἐκ τῆς ἀνατομῆς ἔγνωσται ἡ εἰς τὸν πνεύμονα τῶν φαρμάκων δίοδος, οἱ δ᾽ ἀπὸ τοῦ Θεσσαλοῦ τὴν ἀνατομὴν διαπτύουσι, πόθεν γνώσονται ὅπως εἰς τὸν πνεύμονα τὸ φάρμακον πορεύεται; λεγέτωσαν οὖν ἡμῖν,

de his prorfus non fcripfit, ne videlicet vel ignorantiam fuam vel inconftantiam proderet. Quippe vel rationi parum confona et falfa de his dicent; vel fi quis vera dixerit, eorum indicationem ex partis fubftantia, praeterea fitu, conformatione accipiat neceffe eft. Nam efto ulcus in pulmone fordidum purumque et cum phlegmone et fine phlegmone et planum et cavum dignofcere norint; etiam illud fcire eos detur, quamquam ne ejus quidem, tametfi minimi inventionem fibi vendicent, quod tale ulcus viridi medicamento expurgetur, Machaerionis, fi libet, vel Ifidis, nihil enim refert. Refpondeant igitur mihi, fi ulcus in vifcere haeferit, quid facient? Num viridis medicamenti aliquid devorandum dabunt? Omnino ridicula res eft. Quoniam enim ex anatome cognitus eft medicamentorum in pulmonem tranfitus, Theffali autem fectatores anatomen refpuunt, unde cognofcent, quomodo in pulmonem medicamentum meat? dicant igitur undenam medicamentum id in pulmo-

πόθεν ἴσασιν ἐνεχθησόμενον εἰς τὸν πνεύμονα τὸ τοιοῦτον φάρμακον; εἰ δ' ἄρα καὶ τοῦτ' ἴσασιν, ἀλλ' ὅτι γε φυλάξει τὴν αὐτὴν δύναμιν, ἣν ἐπὶ τῶν ἑλκῶν τῶν ἐκτὸς εἶχεν, οὐχ οἷόν τε γιγνώσκειν αὐτοῖς. ἀλλὰ δὴ καὶ γινωσκέτωσαν ὅτι τε φυλάξει τὴν αὐτὴν δύναμιν ἣν ἐπὶ τῶν ἐκτὸς ἑλκῶν εἶχε καὶ ὅτι καθαρεῖ τὸν ῥύπον· οὐ μὴν ὅτι γε βῆχα κινήσει δυνατὸν αὐτοῖς ἐπίστασθαι· χωρὶς δὲ τοῦ διὰ βηχὸς ἐκκαθαρθῆναι τὸν ῥύπον οὐδὲ τοῦ ῥύπτοντός ἐστι χρεία φαρμάκου. συγχωρείσθω δὲ οὖν καὶ τοῦτ' αὐτοῖς. ἀλλὰ τό γε διάφορον ἐφ' ἕλκους πεποιῆσθαι θεραπείαν ἐν μηρῷ καὶ πνεύμονι γεγονότος οὐ δύνανται φυγεῖν, εἴ γε τὸ μὲν ὕδατι περιπλύνουσι, τὸ δὲ ταῖς βηξὶν ἐκκαθαίρουσιν. ὑποκείσθω δὲ πάλιν ἐν τῷ πνεύμονι περικεχύσθαι τῷ ἕλκει παχὺ πῦον· ἆρά γε καὶ νῦν τὸ χλωρὸν δώσουσι φάρμακον, ἢ μέλιτος ἐκλείχειν κελεύσουσιν; ἀλλὰ καὶ τοῦτ' αὐτὸ πόθεν εὑρήκασι λεγέτωσαν. οὐ γὰρ δὴ τοῦτό γε φήσουσιν, ὅτι λεπτυντικήν τινα καὶ τμητικὴν ἔχει δύναμιν, αὐτοί γε ἑκόντες ἀποστάντες τοῦ ζητεῖν τὰς τοιαύτας δυνάμεις. οὐ μὴν οὐδ' ὅτι τοῖς ἐμπειρι-

nem deferendum fciunt? Quod fi id quoque fciant, illud certe intelligere non poterunt, an ipfam vim fuam, quam in extrinfecus pofitis ulceribus habuit, fervabit. At efto, fciant haec quoque, quod et eandem tuebitur vim quam in externis ulceribus obtinuit, et quod fordes deterget; certe an tuffim moverit, intelligere non poterunt; quum tamen, nifi per tuffim fordes expurgetur, nullus fit detergentis medicamenti ufus. Ergo id quoque illis detur. At illud faltem effugere non poffunt, quin diverfam curationem in ulcere femoris et ulcere pulmonis adhibeant, fiquidem alterum aqua perluunt, alterum tuffibus expurgant. Pone vero rurfus ulcus, quod in pulmone fedit, craffo effe pure circundatum, numquid tum quoque viride medicamentum exhibebunt, an mel potius lingere jubebunt? At id dicant undenam invenerint. Non enim profecto id refpondebunt, quoniam tenuandi incidendique vim quandam obtinet, quum ipfi a facultatibus ejusmodi disquirendis ultro diffugiant. Sed nec quod em-

Ed. Chart. X. [118. 119.] Ed. Bas. IV. (90.)

κοῖς εὕρηται τὸ μέλι κατὰ τοιάνδε συνδρομὴν ἐπιτήδειον, ἔνεστιν αὐτοῖς ὁμοίως ἐκείνοις χρῆσθαι· πρῶτον μὲν ὅτι τῆς ἐμπειρίας καταφρονοῦσιν· ἔπειτα δὲ ὅτι κατὰ τὰς τοιαύτας συνδρομὰς ὁ ἐμπειρικὸς ἥτις μέν ἐστιν ἡ ἐν τῷ πνεύμονι διάθεσις ἀγνοεῖν φησὶ, τετηρῆσθαι δ' ἐκ πείρας ἑαυτῷ τὰ συμφέροντα. Θεσσαλῷ δὲ οὐκ ἀρκεῖ θεραπεύειν ὃ μηδ' ὅλως οἶδεν, ἀλλ' ἀπὸ τῆς τῶν παθῶν ἐνδείξεως [119] ὁρμᾶται. εἰ δὲ δὴ καὶ πάντ' αὐτῷ συγχωρήσαιμεν, ὥσπερ καὶ πρόσθεν, ὁμοίως ἡμῖν ἐπίστασθαι, τό γ' ἐπὶ τοῖς διαφέρουσι μέρεσιν ἐξαλλάττεσθαι τὴν θεραπείαν κατ' εἶδος οὐκ ἄν ποτε ἐκφύγοι. οὐ γὰρ δήπου ταὐτόν ἐστιν ἢ μελίκρατον εἰς μήτραν ἐγχέαι δι' ἕλκος ῥυπαρὸν, ἢ μέλιτος ἐσθίειν, ἢ καταπλύνειν σπόγγῳ τὸ ἕλκος· ἀλλὰ ταῦτα μὲν ἔτι σμικρὰ, μέγιστα δὲ ἐκεῖνα. χρόνιον ἀφλέγμαντον ἕλκος ἐν πολλοῖς ὑποκείσθω μέρεσιν, ὀφθαλμῷ καὶ ἀκοῇ καὶ μυκτῆρι καὶ στόματι καὶ μηρῷ καὶ γαστρὶ καὶ μήτρᾳ καὶ ἕδρᾳ καὶ αἰδοίῳ· προσυποκείσθω δὲ, εἰ βούλει, τὸ ἕλκος ἢ ὁμαλὲς ἀκριβῶς, ἢ ὀλίγου δεῖν ὑπάρχειν ὁμαλές· ἀποκρι-

piricis in ejusmodi notarum concursu inventum est, mel prodesse, propterea istis sicuti illis eo uti fas est; primum quod experientiam contemnant; deinde quod empiricus in ejusmodi concursu quaenam sit in pulmone affectio ignorare se fatetur, caeterum quae conducant se per experientiam observasse. At Thessalo non satis est curare quod omnino non norit, sed ab affectuum indicatione procedit. Sane si omnia illi scire donemus, sicuti prius, non minus quam nos, at nunquam profecto effugiet quin in diversis corporis partibus curationis species mutetur. Non enim eadem curationis species profecto est, aut mulsam in uterum propter sordidum ulcus infundere, aut mel comedendum exhibere, aut spongia ulcus eluere; caeterum haec adhuc parva, illa plane maxima sunt. Fingamus diuturnum ulcus citra phlegmonen in multis esse partibus, oculo, aure, naso, ore, femore, ventre, utero, sede, pudendis; fingamus et illud, si placet, ulcus ejusmodi vel planum omnino esse, vel exiguo minus planum, respondeantque

γάσθωσαν ἡμῖν οἱ ἀπὸ Θεσσαλοῦ, τοῦ μηδὲν ὅλως περὶ τῶν τοιούτων διορισαμένου, πῶς ἐπουλώσομεν αὐτὸ τῷ διὰ τῆς καδμείας νὴ Δία· τοῦτο γὰρ ἐπουλώσει καλῶς τὸ κατὰ τὸν μηρὸν ἕλκος· ἆρ' οὖν καὶ τὸ κατὰ τὸν ἀκουστικὸν πόρον; ἄπιστον μὲν ἴσως ἐρῶ, ἀλλ' ἴσασιν οἱ θεοὶ, χρόνιον ἕλκος εὗρόν ποτε τῶν σοφωτάτων τινὰ Θεσσαλείων οὕτω θεραπεύοντα. θᾶττον δ' ἂν ἐσάπη τὸ οὖς τἀνθρώπῳ καὶ σκώληκας ἔσχεν, ἢ τῷ διὰ τῆς καδμείας ἐπουλώθη φαρμάκῳ· συγχωρήσαντες δ' ὅμως αὐτῷ πλείοσι χρήσασθαι ἡμέραις, ἐπειδὴ καθ' ἑκάστην δυσωδέστερόν τε τὸ οὖς ἐγένετο καὶ ἰχώρων μεστὸν, ἀπιστότερον ἔτι τοῦ πρόσθεν ἐθεασάμεθα τολμηθέν. οἰηθεὶς γὰρ φλεγμαίνειν ἐν τῷ βάθει τὸν πόρον, ἐπὶ τὴν τετραφάρμακον ἧκεν, ὃ πολὺ δὴ μᾶλλον ἔμελλε σήψειν τὸ μόριον· οὐδὲ γὰρ ξηραίνειν ὅλως ἕλκη δυνατόν ἐστιν, ἀλλὰ πέττειν τὰ φλεγμαίνοντα. ἅτε δ' ἐναντιωτάτῳ τῆς διαθέσεως αὐτοῦ χρησαμένου φαρμάκῳ, μετὰ μίαν ἡμέραν ἢ δύο ἐπολυπλα-

nobis isti sectatores Thessali, qui haec nusquam discrevit, quomodo id cicatrice tegemus, certe eo medicamento, quod ex Cadmia conficitur; id enim ulceri quod in femore consistit, belle cicatricem inducere potest; sed num igitur et ei, quod in audiendi meatu consistit. Dicam fortassis incredibile, caeterum diis ipsis notum. Deprehendi aliquando quendam ex sapientissimis illis Thessali sectatoribus sic ulcus medicantem diuturnum; quum citius homini auris putruisset ac vermes creasset quam medicamento, quod ex Cadmia componitur, inductum cicatrice fuisset; caeterum permisso homine pluribus diebus medicamento similiter uti, posteaquam in dies gravius auris oleret et sanie impleretur, etiam incredibilius quiddam quam prius ausum vidimus. Quippe ratus meatum ipsum in profundo contraxisse phlegmonen, confugit ad tetrapharmacum, quod plane multo magis augere putredinem partis debuit; non enim id siccare ulcus prorsus potest, sed maturare phlegmonen potest. Ergo ubi hoc medicamento ad affectum sanandum uno die aut duobus est usus, ut facile videres id maxime esse con-

Ed. Chart. X. [119.] Ed. Baf. IV. (90.)

σιάσθη μὲν αὐτίκα τὸ τῶν ἰχώρων πλῆθος, ἀφόρητος δ' ἦν ἡ δυσωδία. οὔκουν ἔτι συνεχώρουν οἱ οἰκεῖοι τοῦ ὠτὸς ἅπτεσθαι τῷ Θεσσαλείῳ· ὁ δ' ὑπ' ἀναισχυντίας τε ἅμα καὶ ἀναισθησίας ἠξίου μὴ μόνον ἐντιθέναι τι τῆς τετραφαρμάκου δυνάμεως, ἀλλὰ καὶ καταπλάττειν ἔξωθεν αὐτῷ χαλαστικῷ καταπλάσματι. τῶν δ' οἰκείων ἀπελαυνόντων τε καὶ δεδιότων ἐν μεγάλῳ κακῷ τὸν πάσχοντα γενέσθαι, παρεκαλέσαμεν ἡμεῖς ἔτι μίαν ἡμέραν ἐπιτρέψαι τῷ Θεσσαλείῳ τὴν θεραπείαν αὐτοῦ. ἔμελλον δὲ δήπου κατὰ τὴν ὑστεραίαν ὅ τε ἰχὼρ ἔσεσθαι πολλαπλάσιος ἥ τε ὀδμὴ δυσωδεστάτη. καθ' ἣν ἐπειράθην εἰ οἷόν τ' εἴη μεταπεῖσαι τὸν Θεσσάλειον ὄνον, ὅπως μὴ πάντας ἐπιτρίβῃ τοὺς πάσχοντας, ἀλλά τινας ἤδη ποτὲ κἂν ὀλίγους δυνηθείη σῶσαι, τῆς ἀμεθοδωτάτου αἱρέσεως ἀποστάς. ἠρξάμην μὲν οὖν λόγου τοιοῦδε πρὸς αὐτόν. ἆρα οὐχὶ φλεγμονή σοι δοκεῖ κατὰ βάθος εἶναι τοῦ πόρου καὶ διὰ τοῦτο χαλαστικοῖς χρᾷ βοηθήμασιν; ὁ δὲ καὶ πάνυ διετείνετο καὶ οὕτως ἔχειν ἔφασκε καὶ ἀδύνατον ἄλλως. ἆρ' οὖν, ἔφην,

trarium, et multiplicata ſtatim ſaniei vis eſt, et foetor intolerabilis obortus. Itaque qui propinqui laborantis erant contingere amplius aurem Theſſalium non ſinebant. Ille vero prae impudentia ſtultitiaque volebat non modo medicamenti tetrapharmaci facultati aliquid injicere, verum etiam extrinſecus cataplasma laxans imponere. At quum eum propinqui hominis abigerent, timerentque ne in magno periculo aeger foret, nos unum diem amplius permitti Theſſalio curationem exoravimus. Erat autem profecto poſtridie tum ſanies multo copioſior futura tum odor graviſſimus. Quo die tentavi an fieri poſſet ut ſententiam Theſſalii aſelli mutarem, ne omnes perderet aegros, imo aliquos jam, tametſi paucos, ſervare aliquando poſſet tam aliena ſcilicet ab omni vera methodo deſerta ſecta; ergo ſic agere cum homine ſum orſus. Numquid, inquam, phlegmone tibi eſſe videtur in intimo meatu, proinde laxantibus uteris auxiliis? Ille tum ita eſſe magnopere contendit tum aliter eſſe non poſſe. An igitur, inquam, aliquando ulcus

Ed. Chart. X. [119. 120.] Ed. Baf. IV. (90)

ἐθεάσω σύ ποτε φλεγμαῖνον ἕλκος, ὄξει δριμυτάτῳ μετὰ Γλαυκίου θεραπευθέν; οὐ μὲν οὖν, εἶπεν, ἀλλ' εἰ τὸν Ἀνδρώνειόν τις κυκλίσκον ὄξει δεύσας χρῷτο, τάχα δ' ἄν, ἔφη, καὶ σπασθείη. ἐὰν οὖν, εἶπον, ἄλλο τι φάρμακον οὐκ ὀλίγῳ τοῦ Ἀνδρωνείου σφοδρότερον ὄξει τις δριμυτάτῳ δεύσας χρήσηται καὶ ταῦτ' εἰς οὖς ἐγγὺς οὕτω μορίου ἐγκεφάλου καὶ μηνίγγων, ἆρ' οὐκ [120] ὄντως σπασθήσεται κατὰ τὸν σὸν λόγον, εἴπερ γε φλεγμονή τις ὑπόκειται; ταῦτ' ἐδόκει κἀκείνῳ καὶ τοῖς ἄλλοις τοῖς συμπαροῦσιν ἀληθῶς εἰρῆσθαι. ὅσον μὲν οὖν, ἔφην, ἐπὶ τῷ δεῖσθαι τὴν διάθεσιν τῶν μορίων ἐκτεθηλυσμένων ὑπὸ τῆς σῆς ἀγωγῆς ἐσχάτως ξηραινόντων φαρμάκων ἐχρησάμην ἂν ἤδη τοιούτῳ· νυνὶ δ' ἐπειδὴ κακὸν ἔθος εἴθισας τὰ μόρια πλείοσιν ἡμέραις, ἐπὶ τοὐναντίον αὐτὰ μετάγειν ἀθρόως οὐκ ἔτ' ἐγχωρεῖ. σοὶ μὲν γὰρ καὶ Θεσσαλῷ καταφρονεῖν ἔθους ἔξεστιν, ὥσπερ καὶ φύσεως μορίων· ἡμῖν δ' οὐκ ἔξεστιν· ἀλλὰ τῇ μὲν πρώτῃ τῶν ἡμερῶν ὄξει χρήσομαι μετὰ Γλαυκίου, τῇ δὲ δευτέρᾳ τῷ Ἀνδρωνείῳ, τῇ τρίτῃ δ' ἐπί τι σφοδρότερον ἔτι καὶ αὐτοῦ τοῦ

quod cum phlegmone conjunctum efiet aceto acerrimo cum Glaucio curatum vidifti? Minime gentium, inquit, imo fi quis paftillis Androniis ex aceto liquatis utatur, etiam convulfionem, dicebat, fortaffe arceffat. Ergo, inquam, fi quis alio quopiam medicamento, quod fit Androniis multo valentius, ex acerrimo aceto utetur, idque ad aurem, item ad propinquam cerebro meningibusque ejus partem, numquid plane te auctore convulfionem arceffet, fi phlegmone praefertim aliqua fubfit? Haec tum ipfi tum iis qui adftabant univerfis vere dici funt vifa. Ergo quantum, inquam, ad ipfarum partium affectum fpectat, quae medicamenta fumme ficcantia defiderant, tametfi nunc curatione tua fint veluti effeminatae, jam tali medicamento uterer; nunc quoniam plures jam dies male ipfas affuefecifti, transferre eas ad contrarium uno impetu et femel non licet; nam tibi ac Theffalo contemnere confuetudinem licet non minus quam partium naturam, nobis autem non licet; fed primo die aceto utar cum Glaucio, fecundo utar Andronio, tertio ad valen-

Ed. Chart. X. [120.] Ed. Bas. IV. (90.)

Ἀνδρωνείου παραγενήσομαι φάρμακον, ᾧ χρησάμενος ἡμέραις τρισὶν, ἢ καὶ τέτταρσιν, ἐάν μοι φαίνηται δεῖσθαι σφοδροτέρου φαρμάκου τὸ ἕλκος, οὐκ ὀκνήσω κἀκείνῳ χρήσεσθαι. ἔξωθεν δ᾽, ἔφην, ἐπιθήσω τῇ κεφαλῇ κατὰ τὸ τοῦ πεπονθότος ὠτὸς χωρίον οὐ μὰ Δί᾽ ὡς σὺ κατάπλασμα χαλαστικὸν, ἀλλά τι τῶν ξηραντικωτάτων φαρμάκων, ὁποῖόν ἐστι τὸ διὰ τῶν ἰτεῶν, ἢ καὶ αὐτοῦ τοῦ Ἀνδρωνείου καταχρίσω μετ᾽ ὄξους, ἢ τῶν τούτου τινὶ ξηραντικωτέρων. ἐπεὶ γὰρ ξηρὸν ἐσχάτως ἐστὶ τὸ θεραπευόμενον μόριον, ἀναγκαῖον αὐτὸ ξηραίνειν ἐσχάτως· ἐνδείκνυται γὰρ ὥσπερ τὸ πάθος τοὐναντίον ἑαυτῷ πρὸς τὴν θεραπείαν, οὕτω τὸ μόριον ὅ τί περ ἂν ὁμοιότατον ἑαυτῷ τυγχάνῃ. καὶ τοίνυν ὥσπερ εἶπον, οὕτω καὶ ἔπραξα, καὶ ὁ ἄνθρωπος ὑγιάσθη, μὴ δεηθεὶς ἰσχυροτέρων ἄλλων φαρμάκων. ἐπ᾽ ἐνίων μέντοι δεηθέντων, οἷς ἐξ ἐνιαυτοῦ καὶ δυοῖν ἐτῶν ἦν ἕλκη ἐν τῷ ὠτὶ, προσηνέγκαμεν φάρμακον ἁπάντων τῶν ῥηθέντων ἰσχυρότερον· ἔστι δὲ καὶ ἡ καλουμένη σκωρία τοῦ σιδήρου, κοπτομένη τε καὶ διακοσκινομένη λεπτοτάτῳ κοσκίνῳ, κἄπειτα λειουμένη

tius aliquod quam ipſum ſit Andronium medicamentum tranſibo; atque hoc tribus quatuorve diebus uſus, ſi mihi vehementius etiam medicamentum requirere ulcus videbitur, eo etiam uti non dubitabo. Extrinſecus vero, inquam, imponam capiti ea parte, qua auris afficitur, non mehercule ſicuti tu cataplasma quod laxare poteſt, ſed eorum medicamentorum aliquod, quae vehementiſſime ſiccare poſſunt, cujusmodi eſt quod ex ſalice conficitur; aut etiam ipſum Andronium ex aceto illiniam, aut ex iis aliquid quae hoc magis ſiccent. Nam quoniam pars cui medemur ſicciſſima eſt, neceſſe eſt valentiſſime ſiccetur; indicat enim veluti affectum ipſum, ut curetur, ſibi applicandum eſſe contrarium; ſic pars ipſa, quod ſit ſibi ſimillimum. Itaque et, prout dixi, egi, ſanavique hominem nullo potentiore requiſito remedio. Quibusdam vero qui potentiora deſiderabant, quibus uno alterove anno ulcus aurem infeſtaverat, valentius omnibus jam dictis medicamentum adhibuimus; id fuit ferri dicta ſcoria tunſa cribataque tenuiſſimo cribro, mox in te-

Ed. Chart. X. [120.] Ed. Baf. IV. (90.)

μέχρι τοῦ χνοώδης γενέσθαι· μετὰ δὲ ταῦτα σὺν ὄξει δριμυτάτῳ καθεψομένη μέχρι τοῦ σύστασιν σχεῖν μελιτώδη τε καὶ γλοιώδη. δῆλον δ᾽ ὅτι πολλαπλάσιον εἶναι χρὴ τὸ ὄξος ἐν τῇ μίξει· ἀλλ᾽ ὅπερ εἶπον ἤδη πολλάκις, ἡ μὲν εὐπορία τῆς ὕλης τῶν φαρμάκων ἐξ ἑτέρων ὑπομνημάτων ἔσται σοι· τὰ δὲ τῆς μεθόδου περαινέσθω. τὸ γάρ τοι τῆς ἀκοῆς χωρίον, ἐπειδὴ ξηρότατόν ἐστι, διὰ τοῦτο τῶν ἄκρως ξηραινόντων δεῖται φαρμάκων, ὧν οὐδὲν οὐδενὶ τῶν ἄλλων μορίων ἁρμόττει προσφέρειν, ἀλλ᾽ ὀφθαλμῷ μὲν ἡλκωμένῳ τὸ διὰ τοῦ λιβανωτοῦ κολλύριον, εἰ οὕτως ἔτυχε· μυκτῆρσι δὲ πολὺ μὲν ξηραντικώτερον ἢ κατ᾽ ὀφθαλμοὺς, ἧττον δὲ ἢ κατ᾽ οὖς. ὥστε καὶ οἱ κυκλίσκοι πάντες οἱ προειρημένοι χρηστοὶ, καὶ τὸ τοῦ Μουσᾶ φάρμακον, ὅσα τ᾽ ἄλλα τοιαῦτα. τῶν δ᾽ ἐν τοῖς στόμασιν ἑλκῶν ὅσα μὲν ἱκανῶς πλαδαρὰ τῶν ξηραινόντων ἰσχυρῶς δεῖται φαρμάκων, οἷον τοῦ διφρυγοῦς αὐτοῦ τε καθ᾽ αὑτὸ καὶ μετὰ μέλιτος, οἴνου τε καὶ οἰνομέλιτος· ὡσαύτως δὲ καὶ τῆς ἴρεως καλουμένης· ἔτι τε τῆς ἀνθηρᾶς, ἤτοι ξηρῶν, ἢ μετὰ μέλιτος, ἢ οἰνομέλι-

nuiffimum veluti pollinem laevigata, poftea cum acerrimo aceto ad mellis fordiumque craffitudinem cocta. Conftat autem multiplex effe debere in mixtione acetum; verum, quod faepe jam dixi, materiae medicamentorum copiam ex aliis commentariis petes; nunc quae ad methodum fpectant abfolvantur. Nam audiendi locus, quoniam eft ficciffimus, idcirco medicamentis eget, quae vehementiffime ficcent; quorum nullum reliquarum partium cuivis applicaffe expedit, fed oculo exulcerato collyrium fortaffe, quod ex thure conficitur; naribus vero quod multo fane magis ficcet quam ut oculis conveniat, minus vero quam ut auri quadret. Itaque et prius comprehenfi omnes paftilli utiles funt, et medicamentum quod ad Mufam refertur, aliaque generis ejusdem. Ulcerum vero quae in ore accidunt, quaecunque admodum funt humida, ea medicamentis egent vehementer ficcantibus, veluti diphryge, tum ipfo per fe, tum ex melle et vino et mulfo; praeterea et quae iris dicitur, et quae anthera, hisque vel ficcis, vel ex melle, vel mulfo, vel vino.

Ed. Chart. X. [120. 121.] Ed. Baf. IV. (90. 91.)

τος, ἢ οἶνον. ἀγαθὸν δ᾽ εἰς τὰ τοιαῦτα καὶ τὸ τοῦ Μουσᾶ φάρμακον, ὅ τε τοῦ ῥοῦ χυλὸς ὀμφάκιόν τε καὶ ὅσα πέρ ἐστιν ἄλλα γενναίως ξηραίνοντα. τί γὰρ δεῖ τὰς ὕλας ἐπέρχεσθαι; τὰ δ᾽ ἁπλούστερα τῶν ἐν τοῖς στόμασιν ἑλκῶν (91) ἱκανὰ θεραπεύειν ἐστὶ καὶ τὰ μετρίως ξηραίνοντα φάρμακα· καθάπερ ταυτὶ τὰ διὰ τὸ συνεχὲς τῆς χρείας ὀνομασθέντα στοματικά· τό τε διὰ μύρων καὶ βάθου καρποῦ καὶ καρύων χλωρῶν λέμματος χυλοῦ, [121] καὶ τούτων ἔτι μᾶλλον τὸ διὰ γλεύκους τε καὶ τῶν τῆς κυπαρίττου σφαιρίων. ὅσα δ᾽ ἱκανῶς ὑγρὰ τῶν ἐν τοῖς στόμασιν ἑλκῶν πλησίον ὀστῶν, ἔστι δὲ καὶ κίνδυνος διὰ τοῦτο καὶ αὐτὸ τὸ ὀστοῦν σφακελίσαι, σφοδροτάτων ταῦτα δεῖται φαρμάκων διὰ τὴν τῶν ὀστῶν οὐσίαν ξηρὰν οὖσαν. ὥστ᾽ ἐγὼ λειαίνων ἀεὶ τοὺς προειρημένους κυκλίσκους ἐπιτίθημι τὸ φάρμακον ξηρόν.

Κεφ. ια΄. Εἴρηται δ᾽ ὀλίγον ἔμπροσθεν καὶ τῶν κατὰ κύστιν καὶ μήτραν ἔντερά τε καὶ πνεύμονα τὰ γένη τῶν φαρμάκων, οἷς ἐφ᾽ ἑκάστου χρηστέον ἐστὶ, ἀπὸ μὲν τῆς οὐσίας τῶν θεραπευσομένων μορίων τοῦ φαρμάκου λαμβα-

Utile vero ad talia eſt et Muſae medicamentum; praeterea rhois ſuccus et omphacium, aliaque quaecunque ſtrenue ſiccant. Quid enim materias percenſendo morer? At quae ſimpliciora ulcera ſunt, haec ſanare commode poſſunt etiam medicamenta quae modice ſiccant, veluti haec ipſa, quae quod in aſſiduo ſunt uſu, ſtomatica ſunt dicta. Ea ſunt, quod ex moris conficitur, et quod ex rubi fructu, et quod ex ſucco corticis juglandium viridis; atque etiam his magis quod ex muſto et cupreſſi ſphaerulis componitur. Quae vero in ore admodum humida ulcera ſunt proxime ad oſſa, unde carie tentari oſſa periclitentur, haec propter oſſium naturam, quae ſicca eſt, vehementiſſimis indigent. Itaque ego jam comprehenſos paſtillos ſemper laevigo, ac ſiccum ipſum medicamentum ſuperimpono.

Cap. XI. At dicta paulo ante ſunt et ad veſicam et uterum et inteſtina et pulmonem *idonea* medicamentorum genea, quibus ſit in ſingulis utendum, genere quidem medicamenti ab ipſa curandarum partium ſubſtantia deſumpto,

Ed. Chart. X. [121.] Ed. Baf. IV. (91.)

νομένου μετὰ τοῦ προεπεσκέφθαι τὴν διάθεσιν, τοῦ τρόπου δὲ τῆς χρήσεως αὐτῶν ἀπό τε τῆς διαπλάσεως ἅμα καὶ τῆς θέσεως. ἐντεῦθεν γὰρ ἐπενοήθησαν ὠτεγχύται τε καὶ μητρεγχύται καὶ καθετῆρες καὶ κλυστῆρες. ἐντεῦθεν δὲ καὶ ὅτι τὰ μὲν κατὰ γαστέρα καὶ θώρακα καὶ πνεύμονα συνιστάμενα τῶν ἑλκῶν διὰ τῶν ἐσθιομένων καὶ πινομένων θεραπεύεσθαι χρὴ, τὰ δὲ κατ᾽ ἔντερα ὅσα μὲν ἐγγὺς τῇ γαστρὶ, διὰ τῶν ἐσθιομένων καὶ πινομένων, ὅσα δ᾽ ἤδη κατωτέρω, διὰ τῶν ἐνιεμένων· οὔτε γὰρ τοῖς πλησίον τῆς γαστρὸς ἐπαναβῆναι δύναται τὸ διὰ τῆς ἕδρας ἐνιέμενον οὔτ᾽ εἰς τὰ κάτω τοῦ στόματος ληφθέντος ἡ δύναμις ἀκραιφνὴς ἐξικνεῖσθαι. διὰ τοῦτο καὶ ὅσα κατὰ θώρακα καὶ πνεύμονα συνίσταται τῶν ἑλκῶν ἅμα τε δυσιατότερα τῶν κατὰ τὴν γαστέρα, πόῤῥω γὰρ αὐτῶν ἡ θέσις, ὡς ἐκλύεσθαι τῶν φαρμάκων τὴν δύναμιν, ἅμα τε δι᾽ αὐτὸ τοῦτο πολὺ σφοδροτέρων χρήζει τῶν καταπινομένων φαρμάκων ἢ εἰ αὐτοῖς τοῖς ἕλκεσιν ἄντικρυς προσεφέρετο. καὶ διὰ τοῦτο ἐξεύρηται τοῖς ἰατροῖς, ἡνίκα ἐκκαθαίρειν δέονται πῦον ἐκ θώρακος ἢ πνεύμονος, ἰσχυρό-

fed cum affectu prius etiam aeftimato; modo vero utendi ejus tum a conformatione tum etiam fitu. Hinc namque excogitati funt et otenchytae et metrenchytae et catheteres et clyfteres. Hinc rurfus quae in ventriculo, pectore, pulmone ulcera confiftunt, per ea quae eduntur ac bibuntur effe curanda. Quae vero in inteftinis, *bifariam*, nam quae vicina ventriculo funt, his per comefta et bibita fuccurritur; quae vero inferius funt fita, per ea quae injiciuntur; nam neque ad ea, quae vicina ventriculo funt, fubire poteft quod per fedem infunditur, nec integris viribus ad inferiora pertingere quod per os fit ingeftum. Ideoque etiam quae ulcera in thorace et pulmone confiftunt tum difficilius iis quae funt in ventriculo fanantur, ut quorum fitus longius abfit, atque idcirco medicamentorum vis remittatur; tum propter hoc ipfum multo valentiora ea quae devorentur medicamenta requirunt, quam fi ipfis ftatim ulceribus admoverentur. Indeque adeo excogitata medicis funt, ubi expurgandum ex pectore et pulmone pus eft, fortiffima

τατά τε καὶ τμητικώτατα φάρμακα καὶ τοιαῦτα τὴν δύναμιν ὡς παροξῦναι τὸ ἕλκος, εἴπερ ἦν ἐν τῇ γαστρί. καὶ μέν γε τὸ διὰ τῶν βηχῶν ἐκκαθαίρειν αὐτὰ ἐκ τῆς διαπλάσεως ἐλήφθη τῶν μορίων, οὐδεμίαν ἐχόντων ἐκροὴν τοιαύτην οἵαν μήτρα καὶ κύστις καὶ ἕδρα καὶ ὦτα καὶ μυκτῆρες καὶ στόμα. διὰ τοῦτο καὶ ἡ γαστὴρ κατ᾽ ἄμφω τὰ μέρη καθαίρεσθαι δύναται· ἄνω μὲν διὰ τῶν ἐμέτων, κάτω δ᾽ ὡς ἡ φύσις. ἀπὸ γάρ τοι τῶν μορίων ὡς ὀργανικῶν αἱ τοιαῦται τῶν ἐνδείξεων, ὥσπερ αἱ κατὰ τὸ ξηραίνειν ἐνδείξεις, ἀπὸ τῆς οὐσίας αὐτῶν ὡς ὁμοιομερῶν. ἀπὸ δέ γε τῶν παθῶν αἱ τοιαῦται πάλιν οἷον ἀπὸ τῶν ἑλκῶν, ἐπειδὴ περὶ τούτων ὁ λόγος ἦν, ὅτι τε ξηραντέον, ὡς ἔμπροσθεν ἐδείκνυτο, καὶ ὅτι τῶν κατὰ τὴν γαστέρα τὸ πῦον ἀποπλῦναι βουλομένοις οὐκ ἀκίνδυνον ἐμεῖν· ὥσπερ εἰ καὶ ἄλλως ἀποῤῥίπτοις ἐμπεπλασμένον αὐτῇ φλέγμα δι᾽ ὀξυμέλιτός τε καὶ ῥαφανίδων, ἀλλὰ βέλτιον ὑπάγειν κάτω· κίνδυνος γὰρ ἐμοῦντι καὶ σπαράξαι τὸ ἡλκωμένον καί τινα χυμὸν οὐ χρηστὸν ἐκ τῶν πλησίον ἐπισπᾶσθαι. διὰ τοῦτο δὲ, ὡς ἔφην, καὶ τὰ κατὰ πνεύμονα τῶν

quaeque maxime incidant medicamenta, taliaque omnino quae, si ulcus in ventriculo esset, ipsum exacerbarent. Quin etiam quod haec per tusses expurgentur, non aliunde quam ex conformatione partium est desumptum; quod hae nullum talem exitum habeant, qualem uterus, vesica, sedes, auris, nasus et os. Hinc etiam fit quod ventriculus utrinque expurgari possit, sursum per vomitum, deorsum prout concitat natura. Nam hoc genus indicationum a partibus, quatenus organicae sunt est sumptum; ut quae siccandum esse docent, ab ipsarum substantia, prout similares sunt, sumuntur. Ab ipsis vero morbis rursus tales, veluti ab ulceribus, quoniam de his disputatio erat, et quod siccanda sint, ut supra est comprehensum, et quod qui e ventriculo eluere pus volunt, non sine periculo vomitum movent, ut si aliter impactam illi pituitam per oxymeli ac radiculas detergerent; sed tutius est alvum subducere, nam vomenti periculum est exulceratum dilacerari, et succum aliquem inutilem ex vicinis attrahi. Propterea, ut dixi, et ulcera pulmonis dif-

ἑλκῶν δυσιατότατα· χωρὶς μὲν γὰρ τοῦ βήττειν οὐκ ἂν ἐκκαθαρθείη, βηττόντων δ᾽ ἐπιῤῥήγνυται. δι᾽ ἀλλήλων οὖν αὐτοῖς κυκλεῖται τὸ κακόν· ἐπιφλεγμαίνοντα γὰρ αὖθις τὰ σπαραχθέντα δεύτερον αὖθις δεῖται πεφθῆναί τε τὴν φλεγμονὴν ἀποκαθαρθῆναί τε τὸ πῦον, ὥστ᾽ ἐκ πάντων αὐτοῖς παρεσκευάσθαι τὸ δυσίατον, οὔτε τῶν οἰκείων ἕλκεσι φαρμάκων ψαῦσαι δυναμένων τοῦ ἕλκους, [122] ὡς ἐν γαστρὶ, καὶ φθανόντων ἐκλύεσθαι μεταξύ· καὶ ὅτι κινεῖται κατὰ τὰς ἀναπνοὰς καὶ σπαράττεται κατὰ τὰς βῆχας. ὥσθ᾽ ὅταν ἀγγεῖον ἐν πνεύμονι ῥαγῇ, γιγνώσκειν χρὴ σαφῶς εἰ μὴ παραχρῆμα πρὶν φλεγμῆναι κολληθείη, μετὰ ταῦτά γε ἀνίατον ἐσόμενον.

Κεφ. ιβ΄. Ὅσα μέντοι τῶν ἑλκῶν ἐν ταῖς τραχείαις ἀρτηρίαις γίγνεται κατὰ τὸν ἔνδον αὐτῶν χιτῶνα, καὶ μάλισθ᾽ ὅσα τοῦ λάρυγγος πλησίον, ἢ καὶ κατ᾽ αὐτόν ἐστι, ταῦτα θεραπεύεται· καὶ ἡμεῖς οὐκ ὀλίγους ἰασάμεθα τῶν οὕτω καμνόντων. εὕρομεν δὲ μάλιστα τὴν θεραπείαν αὐτῶν ἐνθένδε κατὰ τὸν μέγαν τοῦτον λοιμὸν, ὃν εἴη ποτὲ παύσεσθαι, πρῶ-

ſicillime *ſanantur*, ut quae nec citra tuſſim expurgare poſſis, et ſi tuſſim excites, laceraveris. Itaque quaſi per mutuas operas malum iis in orbem redit; quae namque lacerata ſunt rurſus phlegmonen excitant, ſecundo rurſus phlegmonen ipſam maturari et pus expurgari deſiderant. Quare ex omnibus ſanandi difficultas his exoritur, et quod ea quae idonea ulceribus medicamenta ſunt, contingere ulcus, ſicut in ventriculo, non poſſunt, et quod per medium intervallum fere vim ſuam amittunt, et praeterea quod reſpirando moventur et tuſſiendo lacerantur. Itaque quum in pulmone ruptum vas eſt, ſcire aperte licet, niſi protinus antequam phlegmone excitetur, glutinandum ſit, id poſtea inſanabile fore.

Cap. XII. Equidem ulcera quae in aſperae arteriae interiore ſunt tunica, et potiſſimum quae laryngi ſunt vicina, aut etiam in ipſa, haec et curationem recipiunt et nos non paucos ita laborantes ſanavimus. Sane curationem eorum hinc maxime invenimus. In gravis hujus peſtilen-

τον εἰσβάλλοντα. τότε νεανίσκος τις ἐνναταῖος ἐξήνθησεν ἕλκεσιν ὅλον τὸ σῶμα, καθάπερ καὶ οἱ ἄλλοι σχεδὸν ἅπαντες οἱ σωθέντες. ἐν τούτῳ δὲ καὶ ὑπέβηττε βραχέα. τῇ δ' ὑστεραίᾳ λουσάμενος αὐτίκα μὲν ἔβηξε σφοδρότερον, ἀνηνέχθη δ' αὐτῷ μετὰ τῆς βηχὸς, ἣν ὀνομάζουσιν ἐφελκίδα. καὶ ἡ αἴσθησις ἦν τἀνθρώπῳ σαφὴς κατὰ τὴν τραχεῖαν ἀρτηρίαν τὴν ἐν τῷ τραχήλῳ πλησίον τῆς σφαγῆς ἡλκωμένου τοῦ μέρους. καὶ μέντοι καὶ διανοίξαντες αὐτοῦ τὸ στόμα κατεσκεψάμεθα τὴν φάρυγγα, μή που κατ' αὐτὴν εἴη τὸ ἕλκος. οὔτ' οὖν οὕτως ἐπισκοπουμένοις ἐφαίνετο πεπονθέναι, καὶ πάντως ἂν ἐδόκει τῇ διόδῳ τῶν ἐσθιομένων τε καὶ πινομένων αἴσθησις ἔσεσθαι τῷ κάμνοντι σαφὴς, εἴπερ ἕλκος ἦν αὐτόθι. καὶ μέντοι καὶ δι' ὄξους καί τινα διὰ νάπυος ἐδώκαμεν αὐτῷ προσενέγκασθαι βεβαιοτέρας ἕνεκα διαγνώσεως. οὔτ' οὖν τούτων ἔδακνεν αὐτόν τι καὶ ἡ αἴσθησις ἦν ἐν τῷ τραχήλῳ σαφής· ἠρέθιζε τότε κατ' ἐκεῖνο τὸ χωρίον ὡς ἐξορμᾷν εἰς βῆχας· συνεβουλεύομεν οὖν αὐτῷ ἀντέχειν καθόσον οἷός τ' ἐστὶ καὶ μὴ βήττειν. ἔπραττε δὴ τοῦτο. βραχύ τε γὰρ

tiae initio, quae utinam aliquando cesset, juveni cuidam, quum novem jam dies aegrotasset, totum corpus ulceribus scatebat, veluti omnibus fere qui evaserant. Eo die etiam tussiebat paululum. Postride vero ubi se laverat, illico et vehementius tussivit et tussi expulit *crustulam*, quam ephelcida vocant. Eratque homini sensus manifestus ulceratae partis in aspera, quae in collo est, arteria prope jugulum. Quin aperto quoque hominis ore fauces ejus inspeximus, numquid in iis alicubi ulcus esset; sed nec sic inspectantibus apparuit affectum esse; et plane laboranti sensus ejus aliquis manifestus ex comestorum bibitorumque transitu suisset, si illic ulcus suisset. Quin etiam ex aceto et sinapi certioris notitiae causa quaedam ei devoranda dedimus. Sed nec horum quicquam eum momordit, et sensus *doloris* manifeste in collo erat; quo loco etiam adeo irritabatur, ut tussire impelleretur; suasimus itaque reniti quantum posset nec tussire. Quod et fecit eo certe facilius quod exiguum erat, quod pro-

ἦν τὸ ἐρεθίζον, ἡμεῖς τε τρόπῳ παντὶ συνεπράττομεν εἰς οὐλὴν ἀχθῆναι τὸ ἕλκος, ἔξωθεν μὲν ἐπιτιθέντες τι τῶν ξηραινόντων φαρμάκων, ὕπτιον δὲ κατακλίναντες· εἶτα διδόντες ὑγρὸν φάρμακον τῶν πρὸς ἕλκη τοιαῦτα ποιούντων· καὶ τοῦτ' ἐν τῷ στόματι κατέχειν ἀξιοῦντες, ἐπιτρέποντα βραχύ τι παραῤῥεῖν εἰς τὴν τραχεῖαν ἀρτηρίαν. καὶ τοίνυν οὕτω πραττόντων αἰσθάνεσθαι σαφῶς ἔφασκε τῆς ἀπὸ τοῦ φαρμάκου στύψεως περὶ τὸ ἕλκος, εἴτε κατὰ διάδοσιν γιγνομένης, εἴτε καὶ αὐτοῦ τοῦ φαρμάκου περὶ τὸ ἕλκος δροσοειδῶς παραῤῥέοντος εἰς τὴν ἀρτηρίαν καὶ παρηθουμένου. ἦν δὲ οὐδ' αὐτὸς ὁ κάμνων ἄπειρος τῆς ἰατρικῆς, ἀλλά τις τῶν ἐκ τριβῆς τε καὶ γυμνασίας ἐμπειρικῶς ἰατρευόντων. αἰσθάνεσθαί τε οὖν ἔλεγε παραῤῥέοντος εἰς τὴν ἀρτηρίαν τοῦ φαρμάκου καί ποτε καὶ βῆχα κινοῦντος, ἀντεῖχε μέντοι πολλὰ μὴ βήττων. καὶ τοίνυν αὐτὸς προθυμηθεὶς ἐν Ῥώμῃ μὲν, ἔνθα περ ἐλοίμωξεν, ἄλλας τρεῖς ἡμέρας ἐπέμεινε μετὰ τὴν ἐννάτην· μετὰ ταῦτα δ' ἐνθεὶς ἑαυτὸν πλοίῳ κατέπλευσε μὲν πρῶτον ἐπὶ τὴν θάλατταν διὰ τοῦ ποταμοῦ, τετάρτῃ

ritabat, et nos omnibus modis operam dedimus ut ulcus ad cicatricem perveniret, foris medicamentum aliquod quod ficcaret imponentes, tum cubanti fupino humidum aliquod ex iis medicamentis quae ad ejusmodi ulcus facerent exhibentes, ac jubentes id in ore continere, paulatimque permittere in afperam arteriam defluere. Sic igitur faciens fentire fe manifefte ajebat adftringentis medicamenti circa ulcus vim, five ea vis huc transmiffa eft, five medicamentum ipfum roris fpecie in arteriam ad ulcus defluxit, et tanquam percolatum eft. Erat autem nec aeger ipfe medicinae imperitus, fed ex iis quidam qui ex ufu et exercitatione empirice medicabantur. Ergo fentire fe ajebat tum medicamentum in arteriam defluere, tum tuffim quoque aliquando movere, obluctabatur tamen plurimum ac tuffim cohibuit. Igitur ipfe quoque fua fponte Romae quidem, ubi correptus fuerat, triduum etiamnum poft nonum diem eft moratus; poft hoc confcenfo navigio primum per flumen

Ed. Chart. X. [122. 123.] Ed. Baf. IV. (91. 92.)

δ' ὕστερον ἡμέρᾳ πλέων ἐν ταῖς Ταβίαις γίγνεται, καὶ κέχρηται τῷ γάλακτι θαυμαστήν τινα δύναμιν ὄντως ἔχοντι καὶ οὐ μάτην ἐπῃνημένῳ. καί μοι δοκεῖ καιρὸς ἥκειν εἰπεῖν τι περὶ γάλακτος χρήσεως οὐ τοῦ κατὰ τὰς Ταβίας μόνον, ἀλλὰ καὶ τοῦ ἄλλου παντός. οὐδὲ γὰρ τοὺς ἐν Ἰταλίᾳ μόνῃ χρὴ θεραπεύειν, ἀλλ' ὅσον οἷόν τε τοὺς πανταχόθι. [123] τῷ μὲν οὖν ἐν ταῖς Ταβίαις γάλακτι πολλὰ συνετέλεσεν εἰς ἀρετήν· αὐτό τε τὸ χωρίον ὑψηλὸν ὑπάρχον αὐτάρκως, ὅ τε (92) πέριξ ἀὴρ ξηρὸς, ἥ τε νομὴ τοῖς ζώοις χρηστή. ταύτην μέν γε ἀλλαχόθι τεχνήσεσθαι δυνατὸν ἐν λόφῳ μετρίως ὑψηλῷ, φυτεύσαντας καὶ βοτάνας καὶ θάμνους, ὁπόσοι γάλα χρηστόν τε ἅμα καὶ στῦφον ἐργάσονται· λεχθήσεται δ' αὐτῶν ὀλίγον ὕστερον παραδείγματα. τὸν μέντοι πέριξ ἀέρα κατασκευάσαι μὲν ὅμοιον ἀδύνατον, ἐκλέξασθαι δὲ τῶν ὄντων τὸν ὁμοιότατον οὐκ ἀδύνατον. ὁμοιότατος δ' ἂν εἴη ὁ ταῦτ' ἔχων, ἅπερ ἐκείνῳ πάρεστιν· ὕψος μὲν τοῦ λόφου μέτριον, ὁδὸς δ' ἐπ' αὐτὸν ἀπὸ τῆς θαλάττης εἰς τριάκοντα στάδια καί τι πλέον οὐ πολλῷ. τὸ δὲ χωρίον αὐτὸ τὸ ἐπὶ τῇ θα-

ad mare navigavit; quarto die poſt navi pervenit ad Tabias, uſusque eſt lacte, quod et mirificam plane vim habet, nec ſine cauſa praedicatur. De cujus uſu aliquid dicere oblatum nunc tempus videtur, nec de eo tantum quod apud Tabias habetur, verum etiam de alio omni. Neque enim iis modo qui Italiam incolunt eſt ſuccurrendum, ſed quoad ſieri poteſt, qui ubivis habitant gentium. Igitur ad lac quod in Tabiis habetur commendandum multa concurrunt; et locus ipſe ſatis editus et aër illi circumdatus ſiccus et pascuum pecoribus ſalubre. Atque hoc quidem alibi quoque arte praeparare licebit, ſi quis in colle modice edito herbas fruticesque ferat, qui ſalubre ſimul adſtringensque lac reddant, quorum exempla paulo poſt dicentur. Caeterum ut ambientem aëra ſimilem reddas ſieri omnino nequit; eligere tamen ſimillimum ex ea quae datur aërum copia licet. Simillimus autem is fuerit cui eadem adſunt quae illi, altitudo collis mediocris, via a mari ad ipſum triginta ſtadia, ampliusque aliquid, *ſed* non multo; locus autem ipſe verſus

λάττη αἱ Ταβίαι κατὰ τὸν πυθμένα τοῦ κόλπου μάλιστά ἐστι τοῦ μεταξὺ Σουῤῥέντου τε καὶ Νεαπόλεως, ἐν τῇ πλευρᾷ μᾶλλον τῇ κατὰ Σούῤῥεντον. αὕτη δ᾽ ἡ πλευρὰ πᾶσα λόφος ἐστὶν εὐμεγέθης, μακρὸς, εἰς τὸ Τυῤῥηνὸν ἐξήκων πέλαγος. ἐγκέκλιται δ᾽ ἠρέμα πρὸς τὴν δύσιν ὁ λόφος οὗτος, οὐκ ἀκριβῶς δ᾽ ἐπὶ τὴν μεσημβρίαν ἐκτέταται. οὗτος μὲν ὁ λόφος ἄκλειστον τοῖς ἀνατολικοῖς ἀνέμοις φυλάττει τὸν κόλπον, εὔρῳ καὶ ἀπηλιώτῃ καὶ βοῤῥᾷ· συνάπτει δ᾽ αὐτῷ κατὰ τὸν μυχὸν τοῦ κόλπου λόφος ἕτερος οὐ μικρὸς, ὃν ἔν τε τοῖς συγγράμμασιν οἱ παλαιοὶ Ῥωμαῖοι καὶ τῶν νῦν οἱ ἀκριβέστεροι Βεσούβιον ὀνομάζουσι. τὸ δ᾽ ἔνδοξόν τε καὶ νέον ὄνομα τοῦ λόφου Βέσβιον ἅπασιν ἀνθρώποις γνώριμον διὰ τὸ κάτωθεν ἀναφερόμενον ἐκ τῆς γῆς ἐν αὐτῷ πῦρ· ὅ μοι δοκεῖ καὶ αὐτὸ μεγάλα συντελεῖν εἰς ξηρότητα τῷ πέριξ ἀέρι· καὶ χωρὶς δὲ τοῦ πυρὸς οὔτε λίμνη τις ἐγγὺς οὔθ᾽ ἕλκος οὔτε ποταμὸς ἀξιόλογος οὐδαμόθι τοῦ κόλπου. τῶν δ᾽ ἀρκτικῶν πνευμάτων ἁπάντων ἄχρι δύσεως θερινῆς ὁ Βεσουβηνὸς λόφος πρόβλημά ἐστι, καὶ πολλὴ τέφρα μέχρι τῆς θαλάσσης ἀπ᾽

mare, nempe Tabiae, in imo maxime ſinu eſt qui inter Surrentum et Neapolim conſpicitur, magis tamen in latere quod ad Surrentum pertinet. Porro totum id latus collis eſt ſatis magnus, longitudine ad Tyrrhenum mare porrectus. Inflectitur autem leviter collis hic ad occaſum, nec in meridiem in totum plane procurrit. Ergo hic collis ventis orientalibus, euro, ſubſolano et boreae apertum ſervat ſinum. Conjungitur illi in imo ſinu alter collis non parvus, quem et veteres Romnai in hiſtoriis et qui nunc diligentiores ſunt Veſuvium nominant. Celebre nunc novumque nomen Veſvium eſt, omnibus hominibus notum propter ignem qui in eo ex terra ſubmittitur; quae res non parum mihi ad ambientis aëris ſiccitatem conducere videtur, et alioqui praeter ipſum ignem, nec ſtagnum propinquum, nec palus, nec fluvius alicujus momenti usquam in ſinu habetur. Omnibus vero ventis qui ab arcto ad aeſtivum occaſum perflant, Veſuvius collis objicitur, multusque cinis ab eo ad

Ed. Chart. X. [125.] Ed. Baſ. IV. (92.)

αὐτοῦ καθήκει, λείψανόν τι ἐν αὐτῷ κεκαυμένης τε καὶ νῦν ἔτι καιομένης ὕλης. ταῦτα πάντα ξηρὸν ἐργάζεται τὸν ἀέρα. δύναιτ' ἂν οὖν τις ἑτέρωθι τῆς οἰκουμένης ἐκλέξασθαι λόφον οὕτω ξηρὸν, οὐ πόῤῥω θαλάττης, οὔτε μέγαν ὡς ἐγκεῖσθαι ταῖς τῶν ἀνέμων εἰσβολαῖς, οὔτε πάνυ ταπεινὸν ὡς τὰς ἐκ τῶν ὑποκειμένων πεδίων ἀναθυμιάσεις ἑτοίμως δέχεσθαι. πεφυλάχθω δ' αὐτὸν ἐστράφθαι πρὸς ἄρκτον· οὕτω γὰρ ἂν ἀπεστραμμένος εἴη τὸν ἥλιον. εἰ δὲ κἂν τοῖς εὐκράτοις τῆς ὅλης οἰκουμένης ὁ λόφος ὑπάρχοι, καθάπερ ὁ κατὰ τὰς Ταβίας ἐστὶν, ἄμεινον μακρῷ. ἐν τοιούτῳ λόφῳ πόαι μὲν ἔστωσαν ἄγρωστις καὶ λωτὸς καὶ πολύγονον καὶ μελισσόφυλλον, θάμνοι δὲ σχῖνος καὶ κόμαρος καὶ βάτος καὶ κισσὸς καὶ κύτισος, ὅσοι τ' ἄλλοι τούτοις ἐοίκασιν. οὕτω μέν σοι τὰ τοῦ λόφου παρεσκευάσθω. τὰ δὲ ζῶα βόες μέν εἰσιν ἐν τῷ κατὰ Ταβίας, καὶ ἔστι τούτου τοῦ ζώου παχὺ τὸ γάλα, καθάπερ τὸ τῶν ὄνων λεπτόν. ἐγὼ δ' ἂν καὶ βοῦς καὶ ὄνους καὶ αἶγας ἀφείην ἐπὶ τὰς νομὰς, ὥστ' ἔχειν χρῆσθαι γάλακτι παντὶ, παχεῖ μὲν ἐκ τῶν βοῶν, λεπτῷ δ' ἐκ τῶν ὄνων, μέσῳ δ'

mare usque pervenit, reliquiae videlicet materiae tum quae in eo combuſta eſt tum quae nunc etiam uritur. Omnia haec aërem efficiunt ſiccum. Licet porro et alibi terrarum eligere collem ſimili modo ſiccum, nec longe a mari, nec adeo magnum, ut ventorum impetui ſit expoſitus, nec adeo humilem, ut ſubjectorum camporum halitum prompte recipiat. Caveatur autem ne ad ſeptentrionem ſit verſus, ita enim eſſet averſus a ſole. Quod ſi etiam in temperato orbis loco collis ſit, veluti is qui ad Tabias conſpicitur, longe magis ad rem pertineat. Hoc in colle ſunto herbae quidem agroſtis et lotus et polygonon et meliſſophyllon, frutices vero lentiscus et arbutus et rubus et hedera et cytiſus, aliique his ſimiles, atque ita tibi collis praeparetur. Pecora vero quae in colle ad Tabias pascuntur boves ſunt. Eſtque ejus animalis lac ſpiſſum ita, ut aſinorum tenue. Ego vero ne quod lactis genus uſui deſit, ex vaccis craſſum, ex aſinis tenue, ex capris medium amborum et boves et aſinos

ἀμφοῖν ἐκ τῶν αἰγῶν. οἱ παλαιοὶ δὲ καὶ γυναῖκα θηλάζουσαν ἐφίστων τοῖς τῇ φθόῃ κάμνουσι· κἀγὼ δὲ ἀποδέχομαι τὴν γνώμην αὐτῶν, ὅτι τε τὸ οἰκεῖον ᾕρουντο καὶ ὅτι πρὶν ψυχῆναι τῷ πέριξ ἀέρι. καί σοι τοῦτ᾽ ἔστω μέγιστον παράγγελμα γάλακτος χρήσεως ἐπὶ πάντων οἷς γάλακτος χρεία, αὐτίκα πίνειν ἀμελχθὲν, τῷ ζώῳ παρεστῶτα· προσεπεμβάλλειν δὲ καὶ μέλιτος, ὅτῳ τυροῦσθαι πέφυκεν ἐν τῇ γαστρί· εἰ δ᾽ ὑπελθεῖν αὐτό ποτε θᾶττον βουληθείης, καὶ ἁλῶν. ἐκεῖνος μέν γε οὖν ὁ νεανίας ἐκ τῆς λοιμώδους νόσου κατὰ τὴν ἀρτηρίαν ἕλκος ἔχων ὑγιὴς ἐγένετο καὶ ἄλλοι μετ᾽ αὐτὸν ὁμοίως. ἑτέρῳ δὲ μειρακίῳ περὶ ἔτος ὀκτωκαιδέκατον ἐκ κατάῤῥου πλείοσιν ἡμέραις γενομένου [124] τὰ μὲν πρῶτα μετὰ βηχὸς αἷμα θερμὸν εὐανθὲς οὐ πολὺ, μετὰ δὲ ταῦτα ἀνεπτύσθη τι καὶ τοῦ χιτῶνος αὐτοῦ μέρος, ὃς ὑπαλείφων ἔνδοθεν τὴν ἀρτηρίαν εἰς τὴν φάρυγγά τε καὶ τὸ στόμα διὰ τοῦ λάρυγγος ἀνεφέρετο. ἐδόκει δέ μοι τῷ τε πάχει τεκμαιρομένῳ καὶ τῇ τοῦ κάμνοντος αἰσθήσει τοῦ λάρυγγος ὑπάρχειν τὸ ἔνδοθεν σῶμα· καὶ μέντοι καὶ ἐβλάβη τοὐντεῦθεν

et capras in pascua depulerim. Veteres vero etiam mulierem lactantem iis qui phthoe consumerentur adstare voluerunt, quorum sententiae ipse quoque accedo et quod familiare id sit, et quod priusquam ab ambiente aëre refrigeretur, id sumi voluerint. Atque hoc tibi de lactis usu pro maximo praecepto sit, ut ii quibus eo est opus, omnino id astante animali statim mulctum bibant, etiam melle injecto, si cui cogi in ventriculo soleat; quod si ipsum descendere ad alvum citius cupias, etiam sale. Atque ille quidem adolescens, quum ulcus in arteria ex pestilenti morbo haberet, sanatus est, ac post eum similiter alii. Alter vero adolescens annos natus circiter decem et octo, quum multis diebus ex destillatione laborasset, primum quidem sanguinem floridum cum tussi expuit non sane multum, postea vero etiam tunicae ipsius partem, quae tegens intrinsecus totam arteriam, in fauces et os per laryngem ascendit. Videbatur autem mihi tum ex crassitudine ejus conjectanti tum aegri sensu ipsius laryngis esse internum corpus; quin etiam laesa illi

εἰς τὴν φωνὴν ὁ ἄνθρωπος· ἀλλὰ καὶ οὕτως ἐν χρόνῳ μὲν πλείονι διεσώθη καὶ αὐτός. οἱ δ' ἐκ τοῦ λοιμοῦ ῥᾳδίως ὑγιάζεσθαί μοι δοκοῦσι τῷ προεξηράνθαι τε καὶ προκεκαθάρθαι σύμπαν τὸ σῶμα· καὶ γὰρ ἔμετός τισιν αὐτῶν ἐγένετο καὶ ἡ γαστὴρ ἅπασιν ἐταράχθη. καὶ οὕτως ἤδη κεκενωμένοις τοῖς σώζεσθαι μέλλουσιν ἐξανθήματα μέλανα διὰ παντὸς τοῦ σώματος ἀθρόως ἐπεφαίνετο· τοῖς πλείστοις μὲν ἑλκώδη, πᾶσι δὲ ξηρά. καὶ ἦν εὔδηλον ἰδόντι τοῦ σεσηπότος ἐν τοῖς πυρετοῖς αἵματος εἶναι τοῦτο λείψανον, οἷον τέφραν τινὰ τῆς φύσεως ὠθούσης ἐπὶ τὸ δέρμα, καθάπερ ἄλλα πολλὰ τῶν περιττῶν. οὐ μὴν ἐδέησέ γε πρὸς τὰ τοιαῦτα τῶν ἐξανθημάτων φαρμάκου· καθίστατο γὰρ αὐτόματα τρόπῳ τῷδε· τινῶν μὲν, οἷς γε καὶ ἡλκώθη, τὸ ἐπιπολῆς ἀπέπιπτεν, ὅπερ ὀνομάζουσιν ἐφελκίδα· κἀντεῦθεν ἤδη τὸ λοιπὸν ἐγγὺς ἦν ὑγείας· καὶ μετὰ μίαν ἢ δύο ἡμέρας ἐπουλοῦτο. τινῶν δὲ, οἷς οὐχ ἡλκώθη, τὸ μὲν ἐξάνθημα τραχύ τε καὶ ψωρῶδες ἦν, ἀνέπιπτε καὶ οἷόν τι λέμμα, κᾀκ τούτου πάντες

homini ex eo vox eft, atque fic longiore quidem tempore, fed tamen fanatus eft. At qui ex peftilentia *hoc vitio laborarunt,* propterea mihi facile fanari videntur, quod praeficcatum iis praepurgatumque totum corpus fuerit; quippe quum et vomuerint ex iis nonnulli, et omnibus venter profluxerit. Atque quum ita jam vacuati effent qui evafuri erant, iis exanthemata nigra toto corpore confertim multa apparuerunt, ulcerofa quidem plurimis, omnibus certe ficca. Eratque intuenti perfpicuum reliquias eas effe fanguinis qui in febre putruerat; quas veluti cinerem quempiam natura ad cutim trufiffet, ficuti alia ex fupervacuis nonnulla *trudit.* Verum medicamentis ad ejusmodi exanthemata opus non fuit, quum fiderent fua fponte ad hunc modum; aliis quidem quibus videlicet exulcerata fumma pars fuit, decidit ipfa ulceris fumma fuperficies, quam ephelcida nominant; deincepsque quod reliquum fuit propinquum fanitati erat, ac poft unum duofve dies ad cicatricem pervenit; aliis quibus fcilicet ulcerata *fummitas* non eft, exanthema quidem ipfum et afperum et fcabiofum erat, decidit vero veluti fquama quae-

ὑγιεῖς ἐγίγνοντο. θαυμαστὸν οὖν οὐδὲν εἰ καὶ κατὰ τὸν πνεύμονα τοιούτων ἐξανθημάτων γεγενημένων ἐσώζοντο διὰ τὴν ξηρότητα τῶν ἑλκῶν. ὃν γὰρ ἂν ἐπὶ τῶν ἄλλων ἑλκῶν ἁπάντων ὁ πρόσθεν λόγος ἐδείκνυε σκοπὸν εἶναι τῆς θεραπείας, τοῦθ᾽ ὑπῆρχεν ἤδη τοῖς ἐκ τοῦ λοιμοῦ γεγενημένοις. ἅπαντα γὰρ ἦν ξηρὰ καὶ τραχέα, τὰ μὲν πλεῖστα ψώρᾳ, τινὰ δ᾽ αὐτῶν καὶ λέπρᾳ παραπλήσια. μαρτυρούσης οὖν τῷ λόγῳ τῆς πείρας καὶ τοῖς ἕλκεσιν ἕνα τοῦτον ἔχουσι σκοπὸν τῆς ἰάσεως τὸ ξηρανθῆναι, δύναιτ᾽ ἂν τις σώζειν παμπόλλους τῶν αἷμα πτυσάντων ἐκ πνεύμονος, ὥσπερ καὶ ἡμεῖς ἐσώσαμεν.

Κεφ. ιγ΄. Ὅπως μὲν οὖν χρὴ θεραπεύειν οἷς ἀγγεῖον ἀξιόλογον ἐῤῥάγη κατενεχθεῖσιν, ἢ μέγα βοήσασιν, ἢ βάρος ἀραμένοις ὑπὲρ τὴν δύναμιν, ἢ τινος ἐμπεσόντος τῷ θώρακι σκληροῦ καὶ μεγάλου ἔξωθεν σώματος, εἴρηται πρόσθεν. ὡς δ᾽ ἄν τις κάλλιστα καὶ τοὺς ἐπὶ κατάῤῥουν πτύσαντας αἷμα μεταχειρίζοιτο, νῦν εἰρήσεται, σαφηνείας ἕνεκα

dam, ac dehinc omnes fuere fani. Nihil itaque miri fi etiam ii, quibus ejusmodi exanthemata in pulmone funt orta, propter ulcerum ficcitatem funt fanati. Quem namque in caeteris ulceribus univerfis fupra monftravimus curationis effe fcopum, hic jam iis quae ex peftilentia funt orta praefto fuit. Omnia namque ficca et afpera fuere, plurima quidem fcabiei, quaedam vero etiam leprae fimilia. Ergo quum experientia rationi atteftetur ulcerum curationem hunc habere unum fanationis finem, ut ficcentur, poterit quispiam ex iis, qui fanguinem ex pulmone rejiciunt, fervare permultos, ita ut nos fecimus.

Cap. XIII. Itaque quemadmodum medendum iis fit, qui notabile in pulmone vas fregerunt, inde adeo quod ab alto fint lapfi, vel immodice clamarint, vel pondus fupra vires fustulerint, vel quod durum magnumque aliquid extrinfecus ipforum pectori inciderit, dictum prius eft. Quemadmodum vero qui ex catarrho fanguinem rejiciunt commodiffime tractentur, nunc dicemus, propofita claritatis caufa

προχειρισαμένων ἡμῶν ἣν ἐποιησάμεθα θεραπείαν ἐν Ῥώμῃ γυναικὸς τῶν ἐν τέλει. αὐτὴ γὰρ ἀκηκουῖα λόγων τοιούτων οἵους νῦν διεληλύθαμεν ὑπὲρ τῶν ἐκ πνεύμονος αἷμα πτυσάντων, εἴτ' ἐκ καταῤῥου τινὸς ἢ βηχὸς ἰσχυρᾶς ὀλίγον τι πτύσασα διὰ νυκτὸς ἔπεμψεν αὐτίκα πρός με παρέχειν ἑαυτὴν φάσκουσα πᾶν ὅ τι ἂν ἐθέλοιμι πράττειν. ἠκηκόει δὲ κατὰ τοὺς ἔμπροσθεν χρόνους ὡς εἰ μή τις αὐτίκα βοηθήσειε δραστικῶς πρὶν ἢ φλεγμῆναι τὸ ἕλκος, οὐδὲν ἀνύσει, καὶ ὡς τοῦτ' ἂν εἴη μάλιστα τὸ αἴτιον τοῦ διαφθείρεσθαι τοὺς ἀναβήξαντας τὸ αἷμα. φλέβα μὲν οὖν τεμεῖν αὐτῆς οὐκ ἠξίωσα, [125] τεττάρων ἡμερῶν ἤδη διὰ τὸν κατάῤῥουν ὀλίγου δεῖν ἀσίτου γεγενημένης. κλύσματι δὲ δριμεῖ κελεύσας χρήσασθαι καὶ τρίψασθαί τε καὶ σκέλη καὶ τὰς χεῖρας ἐπὶ πλεῖστον ἅμα φαρμάκῳ θερμαίνοντι καὶ διαδήσας, εἶτα ξυρήσας τὴν κεφαλὴν ἐπέθηκα τὸ διὰ τῆς κόπρου τῶν ἀγρίων περιστερῶν φάρμακον. ὡρῶν δὲ μεταξὺ τριῶν γενομένων (93) ἐπὶ τὸ βαλανεῖον ἤγαγον καὶ λούσας ἄνευ τοῦ ψαῦσαι λίπους τῆς κεφαλῆς, εἶτα σκεπάσας αὐτὴν συμμέτρῳ πίλῳ

curatione quam Romae in fplendida muliere peregimus. Haec namque quum ejusmodi fermones audiiffet, quales nunc de iis habuimus qui fanguinem ex pulmone, five ex catarrho aliquo five vehementi tuffi rejiciunt, cum paululum quiddam per noctem expuiffet, illico ad me mifit, praebere fe promptam afferens ad faciendum quicquid ego vellem. Audiverat vero ante id tempus, nifi quis illico praefidium ftrenue afferret priusquam ulcus phlegmonen contraheret, eum operam amiffurum, atque hanc effe praecipuam eorum qui fanguinem rejiciunt interitus caufam. Igitur incidere mulieri venam, quae jam quatriduum propter catarrhum propemodum fine cibo egiffet, non placuit; fed juffi ut acri uteretur clyftere, tum crura manusque calefacienti pharmaco plurimum fricaret et vinciret, mox caput raderet, cui deinde medicamentum quod ex palumbium ftercore conftat impofui, interpofitisque tribus horis in balneum duxi ac lavi nullo caput contingens pingui; dein caput

πρὸς τὴν ἐνεστηκυῖαν ὥραν ἔθρεψα ῥοφήματι μόνῳ τῶν αὐστηρῶν ὀπωρῶν ἐπιδιδούς. εἶθ᾽ ὑπνοῦν μελλούσῃ τὸ διὰ τῶν ἐχιδνῶν ἔδωκα φάρμακον ὡς πρὸ τεττάρων μηνῶν ἐσκευασμένον· ἔτι γὰρ ἔχει τὸν τοῦ μήκωνος ὀπὸν ἰσχυρὸν τὸ τοιοῦτον, ἐν δὲ τοῖς κεχρονικόσιν ἐξίτηλος γίνεται, διὰ τοῦτο οὖν ὑπνῶδές τέ ἐστι καὶ ξηραίνει τὰ ῥεύματα σὺν τῷ καὶ παχύνειν ἀτρέμα. παυσαμένου δὲ τελέως τοῦ κατάῤῥου δῆλος μὲν ὁ πνεύμων ἦν ἔκ τε τοῦ τῆς ἀναπνοῆς εἴδους καὶ τοῦ ψόφου τῆς γενομένης ἅπαξ που βηχὸς ἐκκαθάρσεως δεόμενος. οὐ μὴν συνέπραξά γε εἰς τοῦτο κατὰ τὴν δευτέραν ἡμέραν, ἀλλ᾽ ἐφ᾽ ἡσυχίας τε καὶ σιγῆς ἁπάσης τὴν γυναῖκα φυλάξας καὶ τρίψας τὰ κῶλα καὶ διαδήσας ἐκέλευσα καὶ τἄλλα πάντα μέρη τρίψασθαι πλὴν τῆς κεφαλῆς, ἔτι γὰρ ἦν ἀπὸ τοῦ φαρμάκου θερμή. αὖθις δὲ εἰς τὴν ἑσπέραν ἔδωκα τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου μέγεθος, ὅσον γε ὁ παρ᾽ ἡμῖν κύαμος. ἦν δὲ πολὺ τούτου μεῖζον ὃ κατὰ τὴν προτέραν εἰλήφει. ὡς δὲ καὶ ταύτῃ τῇ νυκτὶ καλῶς ἐκοιμήθη, τῇ τρίτῃ τῶν ἡμερῶν ἕωθεν δοὺς μέλιτος ἑψημένου συχνὸν, ἐφ᾽ ἡσυ-

idoneo pileo contexi et pro eo qui tum erat temporis ſtatu nutrivi ſola ſorbitione, poſtquam ſtatim fructum aliquem autumnalium auſterum dedi. Deinde quum dormitura eſſet, quod ex viperis conficitur medicamentum dedi circiter quatuor menſes ante confectum; habet enim id aetatis adhuc praevalentem papaveris ſuccum, qui in antiquatis ignavus redditur, ideoque et ſomniferum eſt et fluxiones tum ſiccat tum leviter craſſat. Finito vero prorſus catarrho liquido apparebat tum ex reſpirandi ſpecie tum ſonitu ſemel excitatae tuſſis pulmonem expurgatione egere. Caeterum exhibere hanc non placuit ſecundo ſaltem die, ſed in omni ſilentio et quiete muliere ſervata, tum artubus ejus perfricatis vinctisque, juſſi reliquas quoque omnes partes perfricari, excepto capite, quod adhuc ex medicamento incaleſcebat. Rurſus autem veſperi dedi theriaces ceu fabae noſtratis magnitudinem; erat vero quod pridie acceperat hoc longe amplius. Poſtea vero quum hac quoque nocte probe dormiviſſet, tertio die mane mel coctum copioſe

Ed. Chart. X. [125.] Ed. Baf. IV. (95.)

χίας ἐφύλαξα. προηκούσης δὲ τῆς ἡμέρας ἅπαν ὁμοίως τρίψας τὸ σῶμα τροφὴν ἐκέλευσα λαβεῖν πτισάνης χυλὸν σὺν ἄρτῳ βραχεῖ. κἄπειτα τῇ τετάρτῃ τῶν ἡμερῶν ἕωθεν μὲν τοῦ διὰ τῶν ἐχιδνῶν φαρμάκου ἀκμαίου κατὰ τὴν ἡλικίαν ἅμα σὺν χρηστῷ μέλιτι προσέδωκα. τῇ κεφαλῇ δὲ τοῦ αὐτοῦ φαρμάκου πάλιν ἐπιθεὶς, ὃ θερμαίνει τε καὶ ξηραίνει σφοδρῶς, εἶτα λούσας καὶ θρέψας μετρίως, ἐκκαθαίρειν ἤδη σφοδρότερον ἐπεχείρησα τὸν πνεύμονα τῇ πέμπτῃ τῶν ἡμερῶν. εἶτ᾽ αὖθις καὶ αὖθις ἐχρησάμην ἐκ διαλειμμάτων κατὰ μὲν τῆς κεφαλῆς τῇ συνήθει κηρωτῇ, τῇ διὰ τῆς θαψίας. τὴν δ᾽ ὅλην τοῦ σώματος ἐπιμέλειαν ἀναθρεπτικὴν ἐποιησάμην ἐν αἰωρήσεσι καὶ τρίψεσι καὶ περιπάτοις καὶ ἀλουσίαις καὶ διαίτῃ μετρίᾳ τε ἅμα καὶ εὐχύμῳ. αὕτη καλῶς ἔσχεν ἡ γυνὴ μηδὲ δεηθεῖσα τοῦ γάλακτος. ἄλλον δέ τινα νεανίσκον οὐκ ἐκ κατάῤῥου τῆς βηχὸς ὁρμηθείσης, ἀλλ᾽ ἐπὶ ψύξει τῶν ἀναπνευστικῶν, αἷμα καὶ αὐτὸν πτύσαντα πλῆθος ὅσον ἥμισυ κοτύλης, παραχρῆμα μὲν ἐφλεβοτόμησα καὶ δὶς τῆς αὐτῆς

exhibui, ac in quiete fervavi. Procedente vero die totum corpus fimiliter perfricui ac ptifanae cremorem cum pane exiguo pro cibo fumere juffi. Mox quarto die mane quidem dedi medicamentum quod ex viperis fit, fed quod jam in aetate vigoris effet, idque cum probo melle. Capiti vero *mulieris* eodem medicamento quod vehementer cum ficcat tum calefacit impofito, ac deinde ipfa lota nutritaque modice, valentius jam pulmo expurgare in quinto die fum aggreffus. Ac dehinc rurfum rurfumque ex intervallis ad caput quidem confueto cerato, quod thapfiam recipit, fum ufus. Totam vero corporis curam in geftatione, frictione lavandique abftinentia, victu tum moderato tum vero boni fucci, ad reficiendum direxi. Haec itaque mulier recte fefe habuit, minime lactis opem requirens. Alteri vero adolescenti, cui non ex catarrho, fed ex refrigeratis fpiritus inftrumentis orta tuffis fuerat, quum fanguinem et ipfe ad dimidiam heminam rejeciffet, ftatim venam incidi, ac bis eodem die ex ea fanguinem detraxi, deinde rurfus po-

ἡμέρας ἐπαφεῖλον· εἶτα δὶς κατὰ τὴν ὑστεραίαν· τρίψει δὲ τῶν κώλων καὶ δεσμῷ ἐν τῇ πρώτῃ χρησάμενος, εἰς ἑσπέραν ἔδωκα τὸ διὰ τῶν σπερμάτων ἡμέτερον φάρμακον. ἐν δὲ τῇ δευτέρᾳ μετὰ τὴν ἐπαφαίρεσιν ἐπέθηκα παντὶ τῷ θώρακι τὴν διὰ τῆς θαψίας κηρωτὴν, εἶτ' ἄρας αὐτὴν εἰς ἑσπέραν, ὅπως μὴ θερμήνειε περαιτέρω τοῦ δέοντος, ἐν τῇ τρίτῃ πάλιν ἐπιθεὶς ὥραις που τρισὶν ἔλουσα τὸν ἄνθρωπον, ἔθρεψά τε ταῖς τρισὶν ἡμέραις παραπλησίως, ῥοφήματα μὲν ἐν ταῖς πρώταις δύο, τῇ τρίτῃ δὲ χυλὸν μὲν πτισάνης προδοὺς, ἰχθὺν δέ τινα τῶν εὐπέπτων δοὺς ἁπλῶς ἠρτυμένον. ἔδωκα δὲ καὶ τὸ διὰ τῶν σπερμάτων φάρμακον, ἐν δὲ τῇ δευτέρᾳ καὶ τῇ τρίτῃ τῶν ἡμερῶν ὁμοίως εἰς ἑσπέραν· ὑπνοποιόν τε γάρ ἐστι καὶ ἀνώδυνον καὶ ξηραντικόν. [126] ἤδη δὲ καὶ τῶν ἀναπνευστικῶν ἐν εὐκρασίᾳ τῇ κατὰ φύσιν ὄντων καὶ τοῦ παντὸς σώματος κεκενωμένου καὶ μηδὲ μιᾶς ὑποψίας φλεγμονῆς ὑπολειπομένης κατὰ τὸ ἐῤῥωγὸς ἀγγεῖον, ἀνακαθαίρειν ἠρξάμην. εἶτα πίνοντα τὸ διὰ τῶν ἐχιδνῶν φάρμακον ἀκμαῖον κατὰ τὴν ἡλικίαν ἐπὶ τὰς Ταβίας ἐξέπεμψα.

ſtridie bis, ſed artuum frictione et vinctura priore die uſus ad veſperam dedi medicamentum noſtrum ex ſeminibus confectum. Secundo die poſt alteram detractionem impoſui toti pectori ceratum, *quod* ex thapſia *conficitur*, mox veſperi, ne ſupra modum caleſaceret, id auferens. Tertio *die* rurſus ad tres horas impoſito, hominem lavi, cibavi autem ſimiliter tribus his diebus, prioribus quidem duobus ſorbitiunculis, tertio vero ptiſanae primum cremore, deinde pisce ſtatim aliquo qui et facilis concoctu eſſet et ſimplici ratione praeparatus adjecto; dedi quoque medicamentum diaſpermaton et ſecundo et tertio die ſimiliter ad veſperam; etenim et ſomnum conciliat et dolorem levat et ſiccandi vim habet. Tum vero quum et ſpiritui delegatae partes in temperie ſecundum naturam eſſent, et totum corpus vacuatum ac nulla phlegmones ſuſpicio circa ruptum vas ſupereſſet, expurgare coepimus. Mox bibito medicamento de viperis aetatis jam vigentis ad Tabias dimiſi. Sic ego

πάντας οὕτως ἐγὼ τοὺς κατὰ τὴν πρώτην ἡμέραν ἑαυτοὺς ἡμῖν ἐγχειρίσαντας ἰασάμην.

Κεφ. ιδ'. Οὐ μὴν τούς γε μετὰ δύο ἢ τρεῖς ἅπαντας, ἀλλ' ἔνιοί τινες αὐτῶν ἀνίατον ἔσχον τὸ ἕλκος. ὅσοι δ' ἔφθασαν οὕτω φλεγμήναντες ὡς πυρέξαι, τούτων οὐδεὶς ἐθεραπεύθη τελέως. ἀλλ' ὅσοι μετὰ ταῦτα διὰ πάντων ὀρθῶς τῶν βοηθημάτων διεξῆλθον, ὡς ξηρανθῆναι τὸ ἕλκος, ἐκέρδησαν οὗτοι τοσοῦτον ὡς μήτ' ἐπινέμεσθαι μήτε μεῖζον γίγνεσθαι, ξηρανθὲν δὲ καὶ τυλωθὲν ἐπιτρέψαι χρόνῳ πλέονι ζῆσαι τὸν ἄνθρωπον. μόνοι δὲ ἀνιάτως διακεῖσθαί μοι δοκοῦσι τῶν ἕλκος ἐν πνεύμονι ἐχόντων οἳ διὰ κακοχυμίαν τινὰ ἀναβρωθέντες, ὧν ἔνιοι καὶ τοῦ σιάλου φασὶν ὥσπερ ἅλμης αἰσθάνεσθαι. χρόνου μὲν γὰρ οἶμαι πάντως δεῖν μακροῦ πρὸς τὴν τῆς κακοχυμίας ἐπανόρθωσιν. ἀνάγκη δ' ἐν τῷ χρόνῳ δυοῖν θάτερον, ἢ ξηραινόμενον τὸ ἕλκος τυλωθῆναι καὶ διὰ τοῦτο ἀνίατον γενέσθαι παντάπασιν, ἢ μὴ ξηραινόμενον αὐτό τε πρῶτον ἀποδειχθῆναι σηπεδονῶδες ἐπινέμεσθαί τε τὰ πέριξ καὶ οὕτως ἐν χρόνῳ διασῆψαι τὸν πνεύ-

omnes, qui primo fe die mihi curandos permiferunt fanavi.

Cap. XIV. Qui vero poft duos aut tres *dies* non omnes *fanatus*, fed aliquibus eorum infanabile ulcus fuit. Quotquot autem phlegmone fic occupavit, ut jam febricitarent, horum nullus eft omnino perfanatus. Sed qui poftea fic per omnia praefidia rite tranfierunt, ut ficcaretur ulcus, in tantum faltem lucrifecerunt ut illud nec ultra progrederetur nec majus fieret, fed ficcatum ac callo duratum longiore vita frui hominem fineret. Ex iis vero qui ulcus in pulmone habent, ii foli infanabiles mihi effe videntur, qui ex fucci vitiofi erofione id poffident, quorum aliqui ceu falfilaginem fputum fuum fentire fe ajunt; nam longo arbitror tempore omnino opus effe, ut fucci corrigatur vitium. In tempore vero neceffe eft duorum alterum, aut ficcando ulcus ceu callum fieri, eoque fore omnino infanabile, aut non ficcando tum ipfum primum indicari putrescere, tum quae circa funt depascere, atque ita temporis

Ed. Chart. X. [126.] Ed. Baf. IV. (93.)

μονα. πολλοὶ δὲ τῶν ἐσχηκότων τοιαύτην κακοχυμίαν ἤδη βήττοντες ἐξ αὐτῆς, οὐ μέντοι γ' ἐπτυκότες οὐδέπω τὸ αἷμα, τῆς παρ' ἡμῶν τυχόντες προνοίας εἰς τέλος ὑγιάσθησαν. χρὴ δὲ ἐν ἀρχῇ μὲν οὐδενὸς οὕτως ὡς τοῦ μήτε βήττειν αὐτοὺς φροντίσαι μήτ' ἐκ τῆς κεφαλῆς καταῤῥεῖν τι εἰς τὸν πνεύμονα. καὶ γίνεται τοῦτο τρισὶ βοηθήμασι, καθάρσει μὲν πρώτῳ, δευτέρῳ δὲ τῷ διὰ τῶν σπερμάτων φαρμάκῳ, τρίτῳ δὲ τῇ προνοίᾳ τῆς κεφαλῆς. δεῖ δὲ τὸ μὲν καθαῖρον εἶναι μικτὸν ἐκ διαφερουσῶν δυνάμεων, οἷά πέρ ἐστι τὰ ἡμέτερα καταπότια δι' ἀλόης καὶ σκαμμωνίας καὶ κολοκυνθίδος καὶ ἀγαρικοῦ καὶ βδελλίου καὶ κόμμεως Ἀραβικοῦ συγκείμενα, πρὸς τὸ πλέονας ἰδέας ἐκκαθαίρειν τῶν περιττωμάτων. ἱκανὸν δὲ ὠφελῆσαι καὶ τὸ χωρὶς κόμμεως· ὕστερον δ' ἄν, εἰ δεήσει, καὶ τοῖς τὰ μέλανα καθαίρουσι χρήσαιο· τὴν δὲ τῆς κεφαλῆς πρόνοιαν ἐπιτρέψαι τῇ διὰ θαψίας κηρωτῇ. ταῦτα μὲν ἐν ἀρχῇ ποιητέον ἐστὶν, ἐφεξῆς δὲ ἀνατρέφειν χρηστῶς εὐχύμοις ἐδέσμασι καὶ τρίψεσι καὶ περιπάτοις καὶ λουτροῖς. εἰρήσεται δὲ ἡ περὶ τὰ τοιαῦτα μέθοδος ἐν τῷ προσήκοντι

ſpatio pulmones putreſacere. Sed multi ex iis qui ejusmodi ſuccum vitioſum congeſſiſſent, quum ex eo tuſſirent, non tamen etiamnum ſanguinem rejicerent, hujus noſtrae providentiae compotes facti prorſus ſunt perſanati. Oportet autem in principio nullius rei aeque eſſe ſollicitum quam ut neque tuſſiant, neque ex capite aliquid in pulmonem deſluat. Cavetur id triplici praeſidio, purgatione primum, ſecundo medicamento diaſpermaton, tertio capitis providentia. Quod purget diverſas facultates habeat oportet, cujus generis noſtrae ſunt pilulae, quae ex aloe, ſcammonio, colocynthide, agarico, bdellio et gummi Arabico conſiciuntur, ad plures excrementorum purgandas ſpecies. Sane ſatisfaciant ad uſum et quae ſine gummi componuntur. Poſtea vero ſi res poſtulabit, etiam iis quae atram bilem expurgent utare. Capiti providebitur cerati uſu, quod ſit ex thapſia, atque haec quidem in principio peragenda ſunt. Poſt vero reſiciendus aeger ſalubriter eſt cibis boni ſucci, frictione, inambulatione et balneo. Tradetur autem de his

χωρίῳ τῆς συγγραφῆς, ὁποῖοι οὗτοι μάλιστα δέονται τοῦ γάλακτος, ἀμελήσαντες δὲ πάντων ἀνιατότατοι γίνονται· περὶ δὲ φλεβοτομίας αὐτῶν ὧδε χρὴ γινώσκειν. ὅσοι μὲν ἂν δόξωσιν ὀλίγον ἔχειν αἷμα καθ᾽ ὃν εἴρηκα τρόπον, εἰς εὐχυμίαν τινὰ προσαγαγὼν αὐτοὺς, φλεβοτομῆσαί τε δυνήσῃ καὶ πάλιν ἀναθρέψαι, καὶ πάλιν καθᾶραι καὶ αὖθις ἀναθρέψαι, καὶ αὖθις, εἰ δεήσειε, φλεβοτομῆσαι, καὶ μάλισθ᾽ ὅσοις ἐστὶν οἷον ἰλύς τις μοχθηρὰ καὶ παχεῖα τὸ σύμπαν αἷμα· τοὺς δ᾽ ἰσχυρούς τε καὶ πολυαίμους εὐθὺς ἐξ ἀρχῆς φλεβοτομεῖν.

Κεφ. ιε΄. [127] Οὐδὲν ὧν εἶπον οὔτε νῦν οὔτε πρόσθεν ὧν ἂν ἢ αὐτὸς ἐξεῦρον, ἢ κατὰ τὴν Ἱπποκράτους ὁδὸν ἐχρησάμην, ἀβασάνιστόν ἐστιν οὐδ᾽ ἄκριτον, ἀλλ᾽ ὑπὸ τῆς πείρας ἅπαντα κέκριται, τὸν μὲν τῆς ἀποτυχίας κίνδυνον ἡμῶν ὑπομεινάντων, τὸν καρπὸν δὲ τῆς χρήσεως ἑξόντων ἁπάντων οἷς ἂν μέλῃ τῶν ἔργων τῆς τέχνης. ἄλλοι μὲν γάρ εἰσιν οἱ ἀληθεῖς, ἄλλοι δὲ οἱ τῶν σοφιστῶν λόγοι. καὶ τί δεῖ λέγειν περὶ τῶν σοφιστῶν, ὅπου καὶ τῶν ἀξιολόγων ἰατρῶν

methodus in idoneo operis loco, porro ii ſunt qui maxime lac requirunt, neglectoque eo omnium maxime ſunt inſanabiles; caeterum demittendo his ſanguine ſciri illud licet. Quicunque parum habere ſanguinis videbuntur, iis ad quendam ſuccum probiorem, ſicuti praedixi, reductis, detrahere ſanguinem poteris, tum rurſus reficere; *eosdem* etiam rurſus purgare ac rurſus reficere, denuoque, ſi res ſuadet, ſanguinem mittere, potiſſimum quibus veluti limus vitioſus et craſſus totus eſt ſanguis. At qui validi ſunt multique ſanguinis, iis ſtatim a principio eſt detrahendus.

Cap. XV. Nihil horum quae retuli vel nunc vel ante, ſive ea inveni ipſe, ſive juxta Hippocratis viam uſurpavi, non examinatum ac judicio comprobatum eſt; ſed per experientiam omnia judicata, in quibus erroris pericula ipſi pertulimus, fructum ex eorum uſu habituri ſunt, quibuscunque artis opera ſunt curae, ſi quidem alii veri ſunt, alii ſophiſtarem ſermones. Quid etiam ſophiſtas memoro?

ἔνιοι ὅλα γράψαντες βιβλία περὶ αἵματος ἀναγωγῆς ἄλλα μέν τινα πολλὰ καὶ μικρὰ καλῶς διεξῆλθον, οὐδενὸς δὲ τῶν μεγίστων ἐμνημόνευσαν, οὐκ ἐννοοῦντες ὡς μὲν διὰ τὰ πολλὰ καὶ σμικρὰ τὰ καλῶς παρ᾽ αὐτῶν παρῃρημένα μακρὸς ὁ θάνατος αὐτοῖς τοῖς κάμνουσι γενήσοιτο, διὰ δὲ τρία ταῦτα σώζονται (94) πάντες οἱ σωθῆναι δυνάμενοι, διὰ φλεβοτομίαν καὶ κάθαρσιν καὶ τὰ ῥωννύντα τὴν κεφαλὴν φάρμακα. εἰρήσεται δὲ τελεώτερον ἐν τοῖς ἑξῆς περὶ φλεβοτομίας, ὅταν ὑπὲρ τῆς τῶν κακοχύμων θεραπείας διερχώμεθα. μὴ τοίνυν ὥσπερ ἔνιοι τῶν ἰατρῶν ἀπὸ τῶν μικρῶν ἄρχεσθαι βοηθημάτων, μηδ᾽ ὅπερ ἐκεῖνοι λέγουσιν, ἐννοεῖν ὡς ἀποπειρατέον ἐστὶ τούτων πρότερον, εἶτ᾽, εἴπερ ἀνύει μηδὲν, ἐπιτίθεσθαι τοῖς μείζοσιν. ἐπὶ μὲν γὰρ τῶν ἀκινδύνων παθῶν ἀληθὴς ἡ τοιαύτη δόξα, τεθνηξομένου δὲ πάντως τοῦ κάμνοντος, ἐὰν εἰς ἀρχὴν καταστῇ φθόης, ἀλογώτατόν ἐστιν ἀπὸ τῶν μικροτέρων ἄρχεσθαι. τά τε γὰρ ἄλλα πάντα καλῶς ὑφ᾽ Ἱπποκράτους εἴρηται καὶ σὺν αὐτοῖς ὁ ἀφορισμὸς ὅδε·

quum etiam non contemnendorum medicorum aliqui, etiam qui integra volumina de ſanguinis rejectione prodiderunt, alia quidem multa et parva recte perſcripſerint, maximorum autem auxiliorum nullius meminerint, parum intelligentes permulta illa et parva, quae recte admonent, longum ipſis aegrotis comparandum interitum. Per haec autem tria qui plane deplorati non ſunt omnes ſervantur, per ſanguinis miſſionem et purgationem et ea quae caput roborant. Sane in ſequentibus quum de pravorum curatione humorum praecipiemus, dicemus de ſanguinis miſſione diligentius. Minime igitur, ſicuti medicorum nonnulli cenſent, a parvis incipiendum auxiliis eſt; nec ſicut illi dicunt ſentiendum, iſta ſcilicet prius eſſe tentanda; mox, ſi nihil profecerint, aggrediendа majora. Nam in morbis minime periculoſis vera ea opinio eſt; at ubi moriendum aegro prorſus eſt, ſi phthoe ſemel exceptus ſit, alieniſſimum a ratione eſt a minoribus inchoaſſe. Nam ſicuti reliqua omnia ab Hippocrate tradita, ita illa quoque ſententia recte eſt dicta: *At extremos*

εἰς δὲ τὰ ἔσχατα νοσήματα αἱ ἔσχαται θεραπεῖαι εἰς ἀκριβίην κράτισται. τί ποτ᾽ οὖν Ἐρασιστράτῳ δόξαν ἀργός τε καὶ ῥάθυμος ἐν ἀρχῇ τῶν τοιούτων παθῶν γενόμενος, ἐπιμελὴς αὖθίς ἐστιν, ὅτε οὐδὲν ὄφελος; φλεβοτομία γὰρ οὐδ᾽ ὅλως ἐπ᾽ οὐδενὸς τοῦ αἵματος ἀναγωγῇ χρῆται, λογισμῷ φαυλοτάτῳ πιστεύσας· ἐκάθηρέ τε οὐδένα, καθάπερ οὐδὲ τὴν κεφαλὴν ἐξήρανεν. ἅπερ εἴ τις ἐξέλοι τῶν κινδυνευόντων ἁλῶναι φθόῃ, κἂν τἄλλα πάντα διέλθοι καλῶς, οὐδὲν, οἶμαι, πλέον ἀνύσει. φλεβοτομίαν γὰρ παραιτεῖται, δεσμοῖς μόνοις χρώμενος ἐπὶ τῶν κώλων ὑπὲρ ἀντισπάσεως, ἵν᾽, ὥς αὐτός φησι, εἰς τοὺς τῆς φλεγμονῆς καιροὺς ἔχωμεν αὔταρκες αἷμα καὶ μὴ διὰ τὴν ἔνδειαν αὐτοῦ τρέφειν ἀναγκαζώμεθα τὸν ἄῤῥωστον. ἀλλ᾽ ὦ γενναιότατε, φαίη τις ἂν, οἶμαι, πρὸς αὐτὸν, ἐὰν φθάσῃ φλεγμήνας πνεύμων ἐπ᾽ ἀγγείου ῥήξει, μηκέτι ἔλπιζε τοῦτον ἰαθήσεσθαι δι᾽ οὓς ὀλίγον ἔμπροσθεν εἶπον λογισμούς· ὥστ᾽ οὐδὲν ἔτι σου χρήζει, προδοθεὶς ἐν ἀρχῇ. παραπλήσιον γάρ τι ποιεῖς κυβερνήτῃ δι᾽ ἀμέλειαν περιτρέψαντι τὸ πλοῖον, εἶτ᾽ ἐγχειρίζοντι σανίδας τῶν πλω-

*morbos extrema prorſus remedia maxime valere.* Quanam igitur inductus opinione Eraſiſtratus in talium affectuum principio ſegnis tardusque eſt, poſt diligens, quum periit occaſio? Nam ſanguinis miſſione, quum ſanguis rejicitur, nusquam prorſus utitur vitioſiſſima ratione inductus, ſed nec purgat quenquam, ut nec caput ſiccat. Quibus nimirum ſi quis phthoe occupari periclitantes fraudet, quamvis reliqua omnia probe peragat, nihilo plus arbitror agat. Nam ſanguinem mittere recuſat, ac ſolis artuum devinctionibus ad revulſionem utitur, quo, ut ipſemet ait, ad phlegmones tempora ſat nobis ſanguinis ſuperſit, nec propter inopiam ejus aegrum nutrire cogamur. Sed, o generoſiſſime, dicat, arbitror, aliquis, ſi poſt venam ruptam phlegmone jam pulmonem corripuerit, non eſt quod ſperes hominem ſanandum propter ipſas quas paulo ante comprehendi rationes; quare amplius opera tua non egebit, proditus per te inter initia. Quippe idem facis quod gubernator, qui ubi per ejus incuriam everſa navis eſt, vectorum cuipiam aſſerem

τήρων τινὶ καὶ συμβουλεύοντι διὰ ταύτης πορίζεσθαι τὴν σωτηρίαν. ἀλλ' ἴσως Ἐρασίστρατος ἡγεῖτο τῶν ἐξ ἀνάγκης ἑπομένων τραύμασιν εἶναι τὴν φλεγμονὴν, ἀγνοεῖ δ', εἴπερ οὕτω γιγνώσκει, μεγάλα· πάρεστι γοῦν θεάσασθαι τῷ βουλομένῳ μυρίους τῶν ὁσημέραι μονομαχούντων ἄνευ φλεγμονῆς τραύματα μέγιστα κολληθέντας· ὥστε τῇ δευτέρᾳ ἢ τῇ τετάρτῃ τῶν ἡμερῶν ἐν ἀσφαλείᾳ πάσῃ καθεστηκέναι. παμπόλλους δὲ καὶ ἡμεῖς ἐθεραπεύσαμεν ἀγγεῖον ἐν πνεύμονι ῥήξαντας ἐκ κατα[128]πτώσεως ἢ ἐκ πληγῆς ἢ βοῆς, πρὶν φλεγμῆναι τὸ ῥαγέν. εἰ δὲ καὶ τοῦτόν φησι φλεγμῆναι τὸν πνεύμονα, τοῖς ἑαυτοῦ μάχεται δόγμασιν, ἅμα μὲν φλεγμαίνειν λέγων κύριον σπλάγχνον ἐγγυτάτω κείμενον καρδίας, ἅμα δ' ἀπύρεκτον φαίνεσθαι τὸν ἄνθρωπον, ἔτι τε λυθείσης τῆς φλεγμονῆς, μηδὲν ἀναπτυσθῆναι. ἀντακουσάτω τοιγαροῦν παρ' ἡμῶν ὡς οὔτε κολληθῆναι τὸ ἕλκος οἷόν τ' ἐστὶν, ἐὰν ὁ πνεύμων φλεγμαίνῃ· καὶ πάντως πυρέξει φλεγμήναντος· ἀναπτύσει θ' ἑξῆς σὺν βηχὶ πυώδη πτύσματα, λυομένης τῆς φλεγμονῆς. ἐὰν τοίνυν μήτε πυρέξῃ μήτε βήξῃ μήτε ἀνα-

in manum dat, indeque falutem comparare fuadet. Sed Erafiftratus fortaffis exiftimabat phlegmonen effe ex iis quae neceffario vulnus comitentur; verum fi ita fentiebat, in magna plane erat ignorantia, quum videre cuique liceat, fexcentis eorum qui quotidie fingulari certamine decertrant, maxima citra phlegmonen glutinata vulnera, fic ut fecundo vel quarto die fint omnino in tuto. Nos vero etiam plurimos ex iis qui vas in pulmone ex cafu, clamore plagave rupiffent, priusquam in phlegmone in vafe rupto excitaretur, curavimus. Quod fi horum quoque pulmones phlegmonen invafiffe afferit, ipfe fuis placitis repugnat, fimul princeps viscus, quod maxime vicinum cordi fit, phlegmone laborare affirmans, fimul hominem febre carere; itemque rupta phlegmone nihil expuiffe. Ergo a nobis quoque invicem audiat nec fieri poffe ut glutinetur ulcus, fi phlegmone pulmonem invaferit, omninoque fi invaferit, febricitaturum, ac purulenta deinde, cum phlegmone folvitur, tuffi expuiturum. Ergo fi quis nec febricitabit, nec tuffiet, nec

πτύσῃ τι τῶν ἐφ᾽ ἕλκει καὶ φλεγμονῇ ἰχώρων, τίνα νοῦν ἔχει φλεγμῆναι φάναι τούτου τὸν πνεύμονα; τοῦτό τε οὖν τὸ βοήθημα μέγιστον ὑπάρχων οὐκ ὀρθῶς παρ᾽ αὐτοῦ κατέγνωσται, τούτῳ τ᾽ ἐφεξῆς ἡ κάθαρσις ἀμνημόνευτος ἔαται, καὶ φάρμακον ἀγωνιστικὸν οὐδὲν εἴρηται τῷ ἀνδρὶ κατ᾽ οὐδὲν γένος τῶν προειρημένων. ἀλλ᾽ ἐάν τε κεφαλὴ πέμπῃ τὸ ῥεῦμα, φυλαχθήσεται πέμπουσα· ἐάν τε διὰ δυσκρασίαν αὐτῶν τῶν ἀναπνευστικῶν γένηται ἡ βὴξ, καὶ αὐτὴ φυλαχθήσεται. παραπλήσιος γοῦν ἐστιν ὁ Ἐρασίστρατος ἀγαλματοποιῷ, τὰ μὲν ἄλλα πάντα κοσμήσαντι, τυφλὸν δ᾽ ἐργασαμένῳ τὸ ἄγαλμα. τί γὰρ ὄφελος τοῦ λοιποῦ κάλλους, ὀφθαλμῶν μὴ παρόντων; εἶτα τῶν τηλικούτων ἀνδρῶν μέγιστα σφαλλομένων ὁ θαυμασιώτατος Θεσσαλὸς, οὐδ᾽ ἐννοήσας τὴν τέχνην, ἀξιώσει μεθοδικὸς ὀνομάζεσθαι· καὶ νῦν ὁρῶμεν σχεδὸν ἅπαντας τοὺς ἀπ᾽ αὐτοῦ φλεβοτομοῦντας ἄλλους τε πολλοὺς τῶν καμνόντων, οἷς οὐχ ὅπως ὠφέλιμον, ἀλλὰ καὶ βλαβερὸν ἐχρῆν ὑπειλῆφθαι τὸ βοήθημα, φυλαττόντων γε αὐτῶν τὰς οἰκείας ὑποθέσεις· οὐχ ἥκιστα δὲ καὶ τοὺς αἷμα πτύσαντας, εἴτε

ſaniem aliquam ex ulcere et phlegmone ſpuet, quae ratio eſt ut hujus ineſſe pulmoni phlegmonen dicas? Itaque tum hoc maximum certe praeſidium non recte ab eo damnatum eſt, tum purgatio ſine ulla mentione praetermittitur, ac nec ullum medicamentum quod efficax ſit, contra ullum ex comprehenſis generibus ab eo eſt poſitum. Quin, ſive caput fluxionem mittat, eo ſtatu ſervabitur, ſive ex intemperie ipſarum ſpirabilium partium tuſſis incidat, etiam ipſa ſic manebit. Ergo Eraſiſtratus ſtatuario illi aſſimilis videtur, qui reliquis omnibus partibus ſcite perſectis, ſtatuam reliquit caecam. Nam quae, quaeſo, reliquae pulchritudinis gratia, cum oculos deſideres? Poſtea, ſi diis placet, quum tanti viri maxime aberrent, egregius vir Theſſalus, qui artem ne novit quidem, methodicum ſe cenſet appellandum; ac nunc ferme omnes ſectatores ejus ſanguinem mittere videmus, tum aliis aegrorum non paucis, quibus non ſolum non utile, ſed etiam noxium exiſtimare id praeſidii oportebat, praeſertim ſi propriis ipſis hypotheſibus ſtarent; tum vero iis

σὺν ἐμέτοις εἴτε σὺν βηξὶν, ὅταν ὦσιν ἰσχυροὶ τὴν δύναμιν. εἶτα πῶς ἀλλήλοις ὁμολογεῖ ταῦτα, τὸ φλεβοτομεῖν τινα τῶν αἷμα πτυσάντων, αὐτοὺς ἐν τοῖς ἰδίοις συγγράμμασι γράφοντας τοῖς στεγνοῖς πάθεσιν ἐπιτήδειον εἶναι τὸ βοήθημα; μὴ τοίνυν ἔτι μηδὲ μεθοδικοὺς ἑαυτοὺς ὀνομαζέτωσαν, ἀλλ᾽ ἐμπειρικοὺς, οἳ παρέντες τὸν λόγον, ὃν ἐνόμιζον ὑπάρχειν ὑγιῆ, τῇ πείρᾳ χρῶνται πρὸς τὴν τῶν βοηθημάτων εὕρεσιν. ἆρ᾽ οὖν ἐν τούτοις μὲν ἐναργῶς ἐξελέγχονται μηδὲν μήτε μεθόδῳ μήθ᾽ ὅλως λόγῳ τινὶ πράττοντες, ἐν οἷς δὲ τὰ μέρη φασὶν ὑπάρχειν ἄχρηστα πρὸς τὴν τῆς θεραπείας εὕρεσιν, οὐ πολὺ μᾶλλον; καὶ μὴν εἴ τις ἀναμνησθείη τῶν εἰρημένων ἡμῖν ἐπὶ ὤτων καὶ μυκτήρων καὶ ὀφθαλμῶν καὶ στόματος καὶ θώρακος καὶ πνεύμονος, ἔτι τε μήτρας καὶ κύστεως καὶ τῶν κατὰ τὴν γαστέρα, τοῦ παντὸς ἁμαρτάνοντες φανοῦνται. τοιοῦτος γοῦν καὶ ὁ τῷ Μακεδονικῷ φαρμάκῳ χρώμενος ἐπ᾽ αἰδοίου φλεγμαίνοντος, ἅμα τῷ χαλαστικῷ καταπλάσματι, τῷ συνήθει τούτῳ τῷ δι᾽ ἄρτου καὶ ὑδρελαίου σκευαζομένῳ. καί τις ἄλλος αὐτῷ παραπλήσιος ἐφ᾽

qui fanguinem, five hunc per vomitum five etiam cum tuffi rejiciunt, modo valentes vires habeant? Sed quomodo cohaerebunt haec fecum, ut venam ubi fanguis rejicitur incidere jubeant, et in commentariis fuis fcribant remedium id adftrictis affectionibus convenire? Ergo ne fe methodicos amplius nominent, fed empiricos, fi rejecta ratione, quam effe rectam putabant, experientia utuntur ad invenienda praefidia. An igitur in iis quidem clare deprehenduntur nec methodo nec omnino ratione aliqua quicquam facere, ubi vero partes inutiles effe ad curationis inventionem ajunt, non multo magis? Atqui fi quis ad memoriam revocet ea quae de auribus, naribus, oculis, ore, pectore, pulmone, praeterea utero, vefica et ventriculo diximus, errare eos tota via videbit. Talis igitur erat qui ad phlegmonen pudendi Macedonico medicamento eft ufus, ac cum eo etiam cataplasmate relaxante, folemni hoc quod ex pane, aqua et oleo conficitur. Etiam alius quidam illi per-

Ed. Chart. X. [128. 129.] Ed. Baf. IV. (94.)

ἕδρας ἡλκωμένης τοῖς αὐτοῖς χρώμενος· ἀλλ' ἐν τοῖς περὶ τῶν φλεγμονῶν λόγοις ὑπὲρ τῶν τοιούτων ἐροῦμεν. ἕλκη δὲ χωρὶς φλεγμονῆς ἐν αἰδοίῳ καὶ ἕδρᾳ καταπλάσματος μὲν οὐδενὸς δεῖται, φαρμάκου δ' ἐπουλοῦντος, οὐ μὰ Δία τοιούτου τὴν φύσιν οἷον εἰς οὐλὴν ἄγει τὰ κατὰ τὰς σάρκας ἕλκη, ἀλλ' εἰς τοσοῦτον ξηροτέρου τὴν δύναμιν εἰς ὅσον ἐστὶ καὶ τὰ μόρια ξηρότερα σαρκός. καὶ τό γε θαυμασιώτερον, αὐτῶν τῶν ἐν αἰδοίῳ συνισταμένων ἑλκῶν ἐπὶ μᾶλλον δεῖται ξηραίνεσθαι τά τε τοῦ [129] καυλοῦ σύμπαντος ὅσα τε ἐκτὸς αὐτοῦ κατὰ τὸ πέρας ἐστὶν, ὃ προσαγορεύουσι βάλανον. ἧττον δὲ τούτων χρήζει ξηραινόντων φαρμάκων ὅσα τῆς πόσθης ἐστὶν ἕλκη, κᾀκ τούτων ἔθ' ἧττον ὅσα κατὰ τοῦ λοιποῦ δέρματος ὃ περὶ σύμπαν ἐστὶ τὸ αἰδοῖον. ὑγρὸν οὖν ποθ' ἕλκος ἐπὶ τῆς βαλάνου τῶν ἀμεθόδων ἰατρῶν τις, τούτων δὴ τῶν Θεσσαλείων, μὴ δυνάμενος ἰάσασθαι τούτοις τοῖς ἐπουλωτικοῖς ὀνομαζομένοις φαρμάκοις, εἰς συμβουλὴν ἡμᾶς παρεκάλεσεν. ἀκούσας οὖν ὅτι πολὺ ξηροτέρου δεῖται φαρμάκου τὸ μόριον τοῦτο, παρ' ὅσον ἐστὶ καὶ φύσει ξηρότερον,

fimilis, qui ad fedem exulceratam iisdem eft ufus; verum de talibus ubi de phlegmonis difputabitur agemus. Caeterum ulcera quae citra phlegmonen in pene fedeve confiftunt, nullum cataplasma defiderant, fed medicamentum quod cicatricem inducat; non tamen hercle ejus naturae quae ulcera carnium inducere cicatrice poffit, imo quae tanto magis ficcare poffit quanto hae partes funt carne ficciores. Quin etiam, quod magis admirere, ipforum quae in pene funt ulcerum magis etiam ficcari poftulant et quae in toto cole haeferunt et quae extra hunc etiam finem ejus qui glans dicitur infeftant; minus vero quae in praeputio funt, atque etiam his minus quaecunque in reliqua funt cute quae totum colem veftit. Quum igitur humidum in glande ulcus quidam ex amethodis iftis medicis, iftis inquam Theffaliis, fanare aliquando non poffet medicamentis epuloticis vocatis, adhibuit in confilium me. Ubi igitur ex me audivit longe ficciore medicamento partem egere, propterea quod ficcioris naturae effet, primum non credidit; ut vero coa-

ἠπίστει μὲν τὸ πρῶτον· ὡς δ᾽ ὑπ᾽ ἀνάγκης εἰς τὸ χρήσασθαί τινι τῶν ἡμετέρων ἀφίκετο, τρισὶ μὲν ἡμέραις ὑγιάσθη τὸ ἕλκος· εὔδηλος δὲ ἦν ὁ ἰατρὸς οὐ τοσοῦτον χαίρων ἐπὶ τῷ θεραπεῦσαι τὸν ἄνθρωπον ὅσον ἀνιώμενος ἐπὶ τῷ πονηρᾷ συντετράφθαι δογμάτων αἱρέσει. τὸ γάρ τοι διὰ χάρτου κεκαυμένου, τοῦτο δὴ τὸ σύνηθες ἡμῖν, ἰᾶται τὰ τοιαῦτα τῶν ἑλκῶν, ὥσπερ γε καὶ ἄνηθον κεκαυμένον ὁμοίως ἐπιπαττόμενον, καὶ κολοκύνθη δὲ ξηρὰ κεκαυμένη κατὰ τὸν αὐτὸν τρόπον· ἄλλα τε πολλὰ τῶν ὄντως ἰσχυρῶς ξηραινόντων φαρμάκων. ὅσα δ᾽ ἄνικμα τῶν τοιούτων (95) ἑλκῶν ἐστι καὶ πρόσφατα, τούτοις καὶ ἡ ἀλόη μόνη φάρμακον ἀγαθόν· ἐπιπάττεται δὲ χνοώδης ξηρά. αὕτη δὲ καὶ τὰ κατὰ τὴν ἕδραν ἕλκη τὰ ξηρὰ θεραπεύει καλῶς. ὁμοιοτάτην δ᾽ αὐτῇ δύναμιν ἔχει καὶ καδμεία δι᾽ οἴνου πεπλυμένη ξηρά. καὶ ταύτης ἐγγὺς ἐστιν ἡ καλουμένη λιθάργυρος. εἶθ᾽ ἑξῆς ἡ μολύβδαινα. πάντων δ᾽ αὐτῶν ἀνωδυνώτατόν τε καὶ οὐδενὸς ἧττον δραστήριον ὁ πομφόλυξ ἐστίν. εἰ δ᾽ ὑγρότερα τύχοι πίτυός τε φλοιὸς αὐτὸς καθ᾽ ἑαυτὸν, ὅ τε λίθος ὁ αἱματίτης ὀνομαζό-

ctus necessitate est aliquo ex nostris medicamentis uti, tribus diebus sanatum ulcus est, perspicuumque erat medicum non tam fuisse de salute hominis laetatum, quam inde adeo tristatum, quod in mala disciplinae secta fuisset educatus. Siquidem medicamentum quod ex papyracea charta combusta fit, hoc scilicet nobis usitatum, id genus ulcerum sanat; sicuti etiam anethum ustum simili modo inspersum, itemque cucurbita sicca, atque usta ad eundem modum, alia praeterea multa ex iis, quae vehementer sicut illa siccant. Si qua vero ejusmodi ulcerum sine madore sunt ac recentia, iis sola aloe salutare medicamentum est; inspergitur autem sicca, sed in tenuissimum ceu pollinem redacta. Haec vero etiam quae in sede consistunt, sicca ulcera probe percurat. Simillimam huic vim habet et cadmia vino elota et sicca. Ac hac quoque non longe abest argenti spuma dicta. Deinceps vero molybdaena sequitur. Omnibus vero tum minus inferens doloris tum nullo minus efficax pompholyx est. Sin humidiora sunt, ipse per se pini cortex, itemque lapis

Ed. Chart. X. [129.] Ed. Baf. IV. (95.)

μενος. εἰ δὲ καὶ βάθος αὐτοῖς συνείη τι, μετὰ τὸ ξηρᾶναι τῶν εἰρημένων τινὶ, μάννης αὐτοῖς τοσοῦτον μικτέον ὅσον αὔταρκες εἰς γένεσιν σαρκός. τούτων τε οὖν οὐδὲν οὐδὲ ὄναρ ἴσασιν οἱ ἀπὸ τῆς ἀμεθοδωτάτης αἱρέσεως ἅπαν ἕλκος ἡγούμενοι τῆς αὐτῆς δεῖσθαι θεραπείας, ἐν ᾧπερ ἂν ᾖ τοῦ ζώου μορίῳ· καὶ πρὸς τούτοις ἔτι, μηδ᾽ ὅπως χρὴ ῥάπτειν αὐτῶν ἔνια, καθάπερ εἰ τύχοι τὰ κατ᾽ ἐπιγάστριον· ὑπὲρ ὧν ἐν τῷ μετὰ ταῦτα λόγῳ λεχθήσεται σὺν τοῖς ὑπολοίποις ἅπασι.

haematites vocatus idoneus eſt. Quod ſi profunditas quaepiam ipſis adſit, ubi exſiccata ſuerint, dictorum alicui tantulum mannae admiscendum eſt, quantum ſit ad carnem gignendam ſatis. Neque igitur horum quicquam vel per ſomnium norunt, qui iſtius ſunt alienae a methodo ſectae, quum omne ulcus in quacunque animantis ſit parte, eandem poſtulare curationem opinentur; neque etiam quemadmodum ſuere quaedam ulcera oporteat, veluti ea quae in abdomine contingunt, de quibus in ſequenti libro cum iis quae reſtant univerſis agetur.

# ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ Ζ.

Ed. Chart. X. [130.] Ed. Bas. IV. (95.)

*Κεφ. α'.* Οἶδ' ὅτι μηκύνειν δόξω τισὶν ἓν γένος ἔτι νοσήματος ἐξηγούμενος, ὅπως χρὴ θεραπεύεσθαι μεθόδῳ. προσήκει δ' αὐτοὺς οὐκ ἐμοὶ τοῦ μήκους ἐγκαλεῖν, ἀλλὰ τοῖς ἃ μηδ' ὅλως ἔγνωσαν ὑφ' Ἱπποκράτους ὀρθῶς εἰρημένα διαβάλλειν ἐπιχειρήσασιν, οὓς οὐδ' ἕλκος ἰᾶσθαι καλῶς ἐπισταμένους ἔδειξα, μή τοί γε δὴ τῶν ἄλλων τι τῶν μειζόνων. αὐτὸ μὲν οὖν τὸ γένος τοῦ πάθους οὗ τῶν εἰδῶν ἕν ἐστι τὸ ἕλκος, εἴτε συνεχείας λύσιν εἴθ' ἑνώσεως ὀνομάζοι, τις οὐ

# GALENI METHODI MEDENDI LIBER VI.

Cap. I. Scio fore nonnullos quibus esse prolixus videbor, qui unum hactenus morborum genus quemadmodum methodo curetur exponam. Par est autem non tam mihi longitudinem hanc imputent quam iis qui parum intelligentes, quae rectissime ab Hippocrate sunt scripta, ea calumniari sunt conati, quos probam ulceris curationem nescire ostendi, nedum quod majus sit quicquam. Atque ipsum quidem morbi genus, cujus una species ulcus est, seu continuitatis seu quis unionis solutionem vocet, nihil refe-

διοίσει. δέδεικται δὲ ὅτι καθ᾽ ἕκαστον μέλος τοῦ σώματος ἡ μέθοδος τῆς θεραπείας αὐτοῦ τὰς μὲν ἐξ αὐτοῦ τοῦ πάθους ἐνδείξεις φυλάττει κοινὰς, ἐπικτᾶται δὲ ἀπὸ τοῦ μέρους ἄλλοτε ἄλλας. ἐν μὲν γὰρ τοῖς σαρκώδεσι μορίοις ἐπιγιγνόμενον ὀνομάζεται μὲν ἕλκος, ἔχει δὲ τὸν μὲν κοινὸν σκοπὸν ἁπάντων τῶν παρὰ φύσιν ἀναίρεσιν ἑαυτοῦ, τὸν δ᾽ ὡς διαθέσεως, τὸν διὰ τῶν ἐναντίων, τὸν δὲ ὡς διαιρέσεως ἕνωσιν· ἡ γάρ τοι τοῦ νοσήματος τοῦδε γένεσις ἐν τῇ διαιρέσει τῆς ἑνώσεώς ἐστι. καὶ διὰ τοῦτο κατὰ μὲν τὸ ὀστοῦν ὀνομάζεται κάταγμα, κατὰ δὲ τὰς νευρώδεις ἶνας σπάσμα, κατὰ δὲ τοὺς μῦς ἕλκος τε καὶ ῥῆγμα· προείρηται δὲ αὐτῶν ἡ διαφορά. νεύρῳ μέντοι [131] καὶ ἀρτηρίᾳ καὶ φλεβὶ ταὐτὸν τοῦτο τὸ πάθος ἐγγινόμενον οὐδὲν ἴδιον ὄνομα κέκτηται· συγχρῆται δ᾽ ἐνίοτε μὲν τῇ τοῦ ἕλκους, ἔστι δ᾽ ὅτε τῇ τοῦ τραύματος ἢ ῥήξεως προσηγορίᾳ. ἀλλ᾽ ὅτι βραχύ τι χρὴ φροντίζειν ὀνομάτων ὅτῳ περ σπουδὴ τῶν πραγμάτων αὐτῶν ἐξευρίσκειν τὴν ἐπιστήμην, εἴρηταί μοι πολλάκις. ἐπὶ ταύτην οὖν σπεύδωμεν

rat. Monftrata eft methodus curationis ejus in quacunque corporis parte fit, quae quidem ab affectu ipfo fumantur, indicationes fervare communes; quae vero a parte alias atque alias habere. Quum enim carnofis partibus inciderit, nominatur quidem ulcus, habet vero fcopum omnium quidem quae praeter naturam funt, communem fui ademptionem; alium vero, ceu affectus, ut per contraria *tollatur*, alium autem, ut divifionis unitionem; nam generatio hujus morbi in divifione unitatis confiftit. Ideoque in offe vocatur fractura, in nervofis fibris fpasma, in musculis ulcus et ruptio; quorum differentia prius jam dicta eft. Idem tamen morbus, quum in nervum et arteriam et venam inciderit, nullam propriam appellationem eft fortitus, mutuatur autem interdum ulceris, interdum vulneris vel ruptionis appellationem. Caeterum parum effe de nominibus follicitum debere eum, cui rerum fcientiam invenire fit propofitum, faepe jam diximus. Itaque huc potius nominibus neglectis propere-

ἀμελήσαντες τῶν ὀνομάτων· οὐδὲ γὰρ ἐκ τῆς τούτων ἀκριβοῦς θέσεως, ἀλλ᾽ ἐκ τῶν προσηκόντων ἰαμάτων οἱ κάμνοντες ὀνίνανται. πάλιν οὖν ἀναμνηστέον ὡς ὁ τολμηρότατος Θεσσαλὸς οὐδεμίαν εἰπὼν μέθοδον ἑλκῶν ἰάσεως οἴεται πάσας εἰρηκέναι. τὸ γὰρ, εἰ οὕτως ἔτυχε, τὸ μὲν κοῖλον ἕλκος δεῖσθαι σαρκώσεως, τὸ δ᾽ ἁπλοῦν κολλήσεως, οὐδὲ τοὺς ἰδιώτας λανθάνει, πῶς δ᾽ ἄν τις εὕροι μεθόδῳ φάρμακα δι᾽ ὧν ἤτοι σαρκωθήσεται τὸ κοῖλον, ἢ κολληθήσεται τὸ ἁπλοῦν ἕλκος, οὐκέτι οὐδεὶς ἰδιώτης ἐπίσταται· καὶ τοῦτό ἐστιν ὃ πρόκειται σκοπεῖσθαι τοῖς ἰατροῖς· κἀν τούτῳ βελτίων ἐστὶν ἕτερος ἑτέρου. καὶ γὰρ εὑρήσει φάρμακα καὶ τοῖς εὑρημένοις ὀρθῶς χρήσεται, καθάπερ ἐδείκνυμεν ἐν τοῖς ἔμπροσθεν, ὁ γεγυμνασμένος ἐν τῇ θεραπευτικῇ μεθόδῳ.

Κεφ. β΄. Ἵνα γὰρ ἤδη τινὸς ἐχώμεθα τῶν ἀκολούθων τοῖς ἔμπροσθεν, ὑποκείσθω τις ἥκων πρὸς ἡμᾶς νενυγμένος αὐτὸ μόνον τὸ δέρμα βελόνῃ· τοῦτον τὸν ἄνθρωπον, εἰ μὲν εὐελκὴς εἴη, κἂν χωρὶς φαρμάκου, γυμνὸν ἔχοντα τὸ

mus; non enim ex horum exquifita impofitione, fed ex appofitis remediis aegrotis falus paritur. Rurfus igitur revocandum ad memoriam eft, quemadmodum audacillimus Theffalus, quum nullam curandi ulceris methodum tradiderit, omnes tamen dixiffe fe arbitratur. Nam fi ita contingat ut cavum ulcus carne poftulet impleri et fimplex glutinari, haec nec idiotis funt ignota; quemadmodum tamen methodo quis medicamenta inveniat, quibus vel impleatur quod cavum eft, vel glutinetur quod fimplex ulcus eft, haec vulgus non novit; at id eft quod medicis confiderandum proponitur, atque in eo alius alio eft praeftantior. Etenim, veluti in praecedentibus oftendimus, et inveniet remedia et inventis recte utetur quisquis in medendi methodo eft exercitatus.

Cap. II. Ut enim jam aliquid perfequamur, quod praecedentibus fit confequens, fingamus quempiam ad nos venire, cui tantum cutis acu fit puncta. Hunc hominem, fi is fit, cui facile ulcera fanescant, etiam fi citra medica-

μέλος, ἐπὶ τὰς συνήθεις ἀπολύσῃς πράξεις, οὐδὲν πείσεται φαῦλον· εἰ δὲ δυσελκὴς εἴη, πρῶτα μὲν ὀδυνήσεται, μετὰ ταῦτα δὲ ἤδη καὶ σφύξει καὶ φλεγμανεῖ τὸ μέρος. ὁ μὲν οὖν ἐμπειρικὸς ἐξ ἀνακρίσεως εἴσεται τὴν φύσιν τοῦ ἀνθρώπου· ἡμεῖς δὲ κἀκ ταύτης μὲν ἅπασί γε χρώμενοι τοῖς ἐκ τῆς πείρας εὑρισκομένοις, οὐδὲν δὲ ἧττον καὶ ἐξ ὧν ἔχομεν γνωρισμάτων εὐχύμου καὶ κακοχύμου φύσεως, εὐαισθήτου τε καὶ δυσαισθήτου, πληθωρικῆς τε καὶ συμμέτρως ἐχούσης χυμῶν, εὖ εἰδότες ὡς ὁ μὲν πληθωρικὸς, ἢ κακόχυμος, ἢ εὐαίσθητος, ἤ τινα τούτων, ἢ πάντα ἔχων, φλεγμαίνει· ὅτῳ δ' ὑπάρχει τἀναντία, δεινὸν οὐδὲν πείσεται. καὶ ταῦτα προγνόντες, οὐ μὰ Δία τὸ κολλητικὸν ἐπιθήσομεν φάρμακον, ὁποῖα τὰ πλεῖστα τῶν καλουμένων ἐναίμων ἐστὶν, ἃ προσφάτοις ἐπιτίθενται τραύμασιν, ἀλλὰ μαλακόν τε καὶ παρηγορικὸν καὶ ἀνώδυνον. ἔνθα μὲν γὰρ ἡ διαίρεσις ᾖ μεγάλη, σπουδὴν χρὴ ποιεῖσθαι ξηραντικωτέροις φαρμάκοις εἰς σύμφυσίν τε καὶ ἕνωσιν ἄγειν τὰ χείλη τοῦ ἕλκους·

mentum nudoque membro ad opera confueta dimittas, nihil fentiet mali; fin cui difficulter fanentur, primum quidem dolebit, poft etiam tum pulfu pars infeftabitur tum phlegmone. Ac empiricus quidem examinando percontandoque hominis naturam difcet, nos vero tum ex ejusmodi examinatione omnibus his ufi quae per experientiam inveniantur, tum nihilominus ex iis notis quas de boni fucci malique natura habemus; praeterea de iis qui acris hebetisque funt fenfus, tum plenitudine gravatis modiceque fe in fuccis habentibus, non ignari quod qui vel plethoricus eft vel vitiofis fuccis premitur vel acris eft fenfus vel horum quibusdam omnibusve premitur, phlegmone tentabitur; qui contra eft affectus, nihil mali fentiet. Atque haec profpicientes non equidem medicamentum quod glutinet imponemus, cujusmodi plurima funt eorum quae enaema vocant, ea funt quae recentibus ftatim applicantur vulneribus, imo molle et mitigatorium et dolorem fedans; ubi enim magna divifio eft, ibi ftudium impendi debebit, ut magis ficcantibus remediis labra ulceris

ἔνθα δ' ἐκ βελόνης ἢ γραφίου διαίρεσις, ἑνὸς μόνου χρὴ φροντίζειν τοῦ μὴ φλεγμῆναι. κἀν τῷδε δῆλον ὡς ὁ γεγραμμένος ὑπὸ Θεσσαλοῦ σκοπὸς τῶν ἐναίμων ἑλκῶν οὐδὲν ἡμᾶς οὐδέπω διδάσκει πλέον οὗ καὶ τοῖς ἰδιώταις μέτεστιν. οὐ γὰρ ὃ χρὴ ποιεῖσθαι γιγνώσκειν μέγα, φύσει γε ὑπάρχον ἅπασιν ἀνθρώποις, δι' ὧν δ' ἄν τις αὐτὸ ποιήσειεν ἐπίστασθαι τῶν τεχνικῶν ἐστι. καὶ γὰρ εἰ ναῦν τις μέλλει πήξεσθαι καλῶς, ἴσμεν [132] δήπου καὶ ἡμεῖς ἅπαντες οὐκ ὄντες ναυπηγοὶ, ποῦ μὲν χρὴ τάξαι τὰ πηδάλια, ποῦ δὲ τὴν πρύμναν καὶ τὴν πρῶραν, ἕκαστόν τε τῶν ἄλλων· ἀλλ' οὐδὲν ἡμῖν πλέον πρόσεστιν ἀγνοοῦσι πῶς αὐτὰ δημιουργήσομεν. οὕτω δὲ καὶ οἰκίαν κατασκευαζόμενός τις οὐκ ἀγνοεῖ δήπουθεν οὔθ' ὡς πρῶτα χρὴ θέσθαι τὰ θεμέλια τῶν τοίχων, οὔθ' ὡς ἐπ' αὐτοῖς καὶ ἀκλινεῖς ἐγεῖραι τοὺς τοίχους, οὔθ' ὡς κατὰ τοῦτον πήξασθαι τὴν ὀροφὴν, οὔθ' ὡς θύρας τε καὶ θυρίδας, ἕκαστόν τε τῶν ἄλλων μερῶν τῆς οἰκίας ἐν οἰκείῳ τάξαι χωρίῳ· ἀλλ' οὐ-

uniantur atque coalescant; ubi autem acu filove facta divifio eft, id duntaxat curandum eft, ne phlegmone pars corripiatur. Atque ex hoc manifeftum eft cruentorum ulcerum indicationem a Theffalo proditam nihil nos majus adhuc docere quam cuilibet e plebe notum eft. Non enim fcire quid fieri oporteat, id magna res eft, ut quod omnibus hominibus natura infit, fed quibus rationibus illud efficias, id vero fcire artificum eft. Nam fi quis probe fit navem fabricaturus, fcimus profecto omnes, etiam qui navium fabri non fumus, quo loco poni gubernacula debeant, quo loco puppis, quo prora ac reliquorum quidvis; caeterum nihil nobis haec ad rem conferunt, utpote nescientibus quemadmodum ipfa ftruantur. Aeque et qui aedes molitur, utique non ignorat, nec quod jacienda primum parietum fundamenta fint, neque quod fuper his erecti minimeque inclinantes erigendi fint parietes, nec quod fuper his ftrui tectum oporteat, nec quod oftia, feneftrae fingulaeque reliquarum domus partium propriis collocandae funt locis; ve-

δὲν τοῦτο πλέον οὐδὲν εἰς οἰκίας κατασκευὴν, ἄχρι περ ἂν ἀμαθὴς ὑπάρχων οἰκοδομικῆς, ἀγνοεῖ δημιουργεῖν αὐτά. μόνῳ τοίνυν τῶν ἁπάντων ἀνθρώπων σοφωτάτῳ ἀρκεῖ Θεσσαλῷ πρὸς ἐπιστήμην τεχνικὴν ὃ χρὴ ποιῆσαι γινώσκειν. ἀλλ᾽ ἡμεῖς καὶ διὰ τῶν ἔμπροσθεν ἐδείξαμεν, ὡς ἀρχὴ μέν τίς ἐστι τοῦτο τῶν κατὰ τὰς τέχνας πράξεων, οὔπω μὴν ἴδιον οὐδὲν αὐτῶν μόριον, ἀλλ᾽ ἔτι κοινὸν ἰδιώταις ἅπασιν· αἱ γὰρ ἐνδείξεις αἱ πρῶται κατὰ πᾶσαν τέχνην φύσει πᾶσιν ἀνθρώποις ὑπάρχουσιν. (96) ὥστε εἴπερ εἰσὶν ἱκαναὶ τεχνίτας αὗται ποιεῖν, οὐδὲν κωλύει καὶ ναυπηγεῖν ἡμᾶς καὶ τεκταίνεσθαι καὶ δύνασθαι πάντας ὑποδήματά τε κατασκευάζειν καὶ ἱμάτια καὶ οἰκίας ἀρχιτεκτονεῖν τε καὶ κιθαρίζειν καὶ ῥητορεύειν. ἀλλ᾽ οὐχ οὕτως ἔχει τὸ ἀληθές· οὐδ᾽ ὁ γινώσκων ὅτι τῷ τρωθέντι μορίῳ τὴν κατὰ φύσιν ἕνωσιν ἐκποριστέον ἰατρός ἐστιν, ἀλλ᾽ ὁ δι᾽ ὧν ἐκποριςθήσεται· καίτοί γε οὐδὲ τοῦτό γ᾽ αὐτὸ μόνον ἱκανὸν, ἐὰν ἀγνοῇ τις ὅπως χρηστέον αὐτοῖς ἐστιν, ἀλλ᾽ ὁ τὴν ὁδὸν ἅπασαν ἐπιστάμενος τῆς θεραπείας, ἄχρι τοῦ τυχεῖν

rum haec ad domum aedificandam quid conferant, quoad ipfe fabrilis artis ignarus ea fabricare nesciat? Uni igitur Theffalo omnium hominum fapientiffimo noffe quid fieri oporteat ad artificiofam notitiam fatis effe videtur. Sed nos per fuperius comprehenfa monftravimus id effe operum, quae ex artibus expectentur veluti principium quoddam, nondum aliquum eorum propriam partem, fed quae etiam fit cuivis e plebe communis; quippe primae in omni arte indicationes omnibus hominibus natura funt praefto. Quare fi hae fatis funt ad opifices faciendos, nihil vetat quin et naves ipfi aedificemus, promptumque fit omnibus tum calceos faceretum veftes tum domos, fed et architectos effe et cithara perfonare et rhetoricari. Verum non ita fe rei habet veritas, nec qui vulneratae parti naturalem unitionem effe moliendam novit, is medicus eft, fed qui quibus id rebus perficiat intelligit; quanquam ne hoc quidem ipfum per fe fatis eft, fi quis etiam quo pacto his fit utendum nesciat, fed qui viam omnem curationis eousque percalluit, ut ipfum confequi defti-

τοῦ σκοποῦ, μόνος οὗτός ἐστιν ὁ γινώσκων ἰᾶσθαι. συμβαίνει τοιγαροῦν γε τοῖς ἀμεθόδοις Θεσσαλείοις ἐξ ὧν μείζω τολμῶσιν ἢ δύνανται μηδὲ τῶν δυνατῶν ἐφικνεῖσθαι. γραφείῳ γοῦν τινος ἔναγχος εἰς τὴν χεῖρα πληγέντος, ὡς διαιρεθῆναι μὲν ὅλον τὸ δέρμα, νυχθῆναι δέ τι τῶν ὑποκειμένων αὐτῷ νεύρων, ἐν ἀρχῇ μὲν ἐπέθηκεν ἔμπλαστόν τι φάρμακον ὁ σοφώτατος Θεσσάλειος, ᾧ πολλάκις ἐπὶ μεγίστων τραυμάτων εὐδοκίμει χρώμενος. ᾤετο γὰρ, οἶμαι, τῆς αὐτῆς δεῖσθαι θεραπείας ἅπαν τραῦμα. φλεγμονῆς δὲ ἐπιγενομένης, ἐπὶ τὸ δι᾽ ἀλεύρου πυρίνου κατάπλασμα μεταβὰς, ἐν τούτῳ τε σήπων τὸν ἄνθρωπον, ἀπέκτεινεν ἐντὸς τῆς ἑβδόμης ἡμέρας. οὐδ᾽ ἀριθμήσασθαι δυνατὸν ὅσοι σπασθέντες ἀπέθανον, εἰς τὰς Παιωνείας χεῖρας ἐμπεσόντες αὐτῶν· ἵνα δηλαδὴ σώζηται τὸ Θεσσάλειον θέσπισμα, πᾶν ἕλκος ἔναιμον ὁμοίως θεραπευθῆναι, μηδὲν τῶν πεπονθότων μορίων συνενδεικνυμένων. ἀλλ᾽ οὐχ ἥ γε ὄντως μέθοδος εἰς τοσοῦτον ἀμέθοδός ἐστιν εἰς ὅσον ἡ Θεσσάλειος· εὑρίσκειν δὲ δύναται καὶ νῦν ἔτι μετὰ τοσούτους τε καὶ τηλι-

natum finem queat, is demum eft qui mederi novit. Ergo iftis amethodis Theffali aemulis illud accidit, ut majora viribus audeant, nec ad ea quae confequi alioqui poffent accedant. Quippe quum dudum ftilo quidam vulneratus in manu effet ita ut tota divifa cute aliquis nervorum, qui fubvertant, pungeretur, fapientiffimus Theffalius in principio emplafticum quoddam medicamentum impofuit, quo faepe in maximis vulneribus ufus profpere fuerat. Putabat enim, arbitror, omne vulnus eandem curationem requirere. Phlegmone vero oborta ad cataplasma, quod ex farina tritici componitur fe conferens, atque interdum hominem putrefaciens, intra feptimum diem jugulavit. Nec fane comprehendere numero eft quot, ubi in Paeonias iftorum manus incidere, convulfione perierint, quo, fi diis placet, fanctio illa Theffalia fervetur, omne cruentum ulcus fimiliter effe curandum, idque partibus laborantibus nullam indicationem conferentibus. Caeterum vera ipfa methodus non perinde atque haec Theffali eft amethodos, imo poteft vel nunc etiam poft

κούτους ἰατροὺς οὐ μόνον φάρμακα βελτίω τῶν ἔμπροσθεν, ἀλλὰ καὶ τὸν σύμπαντα τῆς θεραπείας τρόπον. οὐδεὶς γοῦν χρώμενος εὐθὺς ἐξ ἀρχῆς οἷς ἡμεῖς εὕρομεν φαρμάκοις ἐπὶ νεύρων τρώσεσιν ἐσπάσθη. κατενόησα γὰρ ὡς, ἐπειδὰν νυγῇ νεῦρον, ἀναγκαῖον αὐτῷ διὰ περιττὸν τῆς αἰσθήσεως ὀδυνᾶσθαί τε μειζόνως ἢ τἄλλα καὶ φλεγμαίνειν ἐξ ἀνάγκης, εἰ μή τις ἐξεύροι ἄκος τῶν ὀδυνῶν, ἐπίσχοι τε τὴν γένεσιν τῆς [133] φλεγμονῆς. εὔλογον οὖν ἐφαίνετό μοι τὴν μὲν τοῦ δέρματος τρῶσιν ἀκόλλητον φυλάττειν, ὅπως ἐκρέοιεν δι᾽ αὐτῆς οἱ ἐκ τῆς τοῦ νεύρου τρώσεως ἰχῶρες, ἀπέριττον δ᾽ ἐργάζεσθαι τὸ σύμπαν σῶμα καὶ τοῦ μηδεμίαν ὀδύνην ἐπιγίνεσθαι τῷ τετρωμένῳ μορίῳ, μεγάλην ποιεῖσθαι φροντίδα. καὶ τοίνυν ἐξεῦρον οὐκ ὀλίγα φάρμακα κατὰ τοῦ τραύματος ἐπιτιθέμενα πρὸς ἄμφω θαυμαστῶς παρεσκευασμένα, τό τε τὴν ὀδύνην ἰᾶσθαι καὶ τὴν ἐκροὴν ἀναστομοῦν τοῖς ἰχῶρσιν. ἀσφαλέστερον δ᾽ ἂν εἴη καὶ προσανατέμνειν τὸ δέρμα, τὸ δ᾽ ὅλον σῶμα διὰ φλεβοτομίας ἐκκενοῦν, ἐῤῥωμένης τῆς δυνά-

tot tantosque medicos non folum meliora medicamenta quam prius fuere, fed etiam univerfum curationis modum invenire. Nemo enim ftatim ab initio iis ufus quae nos invenimus medicamentis, ex nervi vulnere in convulfionem incidit. Adverti namque ubi punctus nervus effet, ei ex fentiendi quod obtinet acumine neceffe effe, tum in dolorem incidere quam reliquis partibus majorem tum ex neceffitate phlegmonen confequi, nifi quis et medelam dolori inveniret et phlegmones generationem prohiberet. Rationabile igitur mihi eft vifum cutis quidem vulnus apertum inglutinatumque cuftodire, quo per id ex nervo vulnerato fanies efflueret, totum vero corpus fupervacuis humoribus liberare, ac ne quis dolor vulneratam partem urgeret in primis folicitudinem habere. Itaque etiam medicamenta excogitavi non pauca quae vulneri impofita ad utrumque mire funt comparata, tum ut dolori medeantur tum ut exitum faniei patefaciant. Tutius vero fuerit etiam, fi quis cutem latius incidat, ac totum corpus fanguinis miffione inaniat, utique fi robuftae

μεως· εἰ δ᾽ εἴη κακόχυμον, ἐκαθαίρειν αὐτίκα. τὸ δὲ τὰς ἄλλας φλεγμονὰς ἱκανῶς παραμυθούμενον ὕδωρ θερμὸν πολεμιώτατον ἡγεῖσθαι νεύρου τρώσει, γεγενημένης γε τῆς οὐσίας αὐτοῦ κατὰ ψύξιν τε καὶ πῆξιν ἐξ ὑγροτέρας ὕλης· ἅπασαι γὰρ αἱ τοιαῦται συστάσεις ὑπὸ τῶν θερμαινόντων τε καὶ ὑγραινόντων ἅμα διαλύονταί τε καὶ σήπονται. τοῦ μὲν οὖν ὕδατος τοῦ θερμοῦ παντάπασιν ἀπέσχον τοὺς οὕτω τρωθέντας· ἐλαίῳ δὲ καταιονᾷν ἄμεινον εἶναι κρίνας θερμῷ· διότι καὶ τοῦτο ἀποδέδεικταί μοι, ψυχρὸν μὲν προσφερόμενον ἐμπλάττειν, θερμὸν δὲ διαφορεῖν. ἔφυγον μὲν οὖν καὶ τούτου τό τε ὠμοτριβὲς ὀνομαζόμενον καὶ ὅλως τὸ στῦφον, εἱλόμην δὲ τὸ λεπτομερέστατον, οἷόν πέρ ἐστι τὸ Σαβῖνον· ἄμεινον δὲ εἴη, εἰ καὶ δυοῖν, ἢ τριῶν ἐτῶν εἴη· διαφορητικώτερον γὰρ τοῦτο τοῦ προσφάτου· τὸ δ᾽ ἔτι παλαιότερον, ἀεὶ μὲν καὶ μᾶλλον ἑαυτοῦ γίνεται διαφορητικώτερον, ἀνώδυνον δὲ ἧττον. ἐν δὲ τοῖς φαρμάκοις ἐθέμην σκοπὸν, ὧν ἡ δύναμις λεπτομερής τέ ἐστι καὶ θερμὴ συμμέτρως καὶ ξηραίνειν ἀλύπως ἱκανή·

fint vires; fi vero vitiofis fuccis repletum corpus fit, protinus purget. Aqua vero calida quanquam reliquas phlegmonas valde mitigat, vulneratis tamen nervis eft inimiciffima, quum praefertim eorum fubftantia ex refrigerata concretaque humidiore materia fit condita; omnis enim ejusmodi conftitutio per ea quae fimul calefaciunt et humectant refolvitur ac putrescit. Itaque aqua calida eos qui ita vulnerati fuerant omnino prohibui, utilius judicans oleo calente fovere, propterea quod demonftratum a me eft, hoc quoque fi frigidum applicetur, tenues meatus obftruere, fin calidum, discutere. Porro fugi ex hujus quoque generibus et crudum, quod omotribes dicitur, et quod denique adftringendi vim haberet. Delegi autem tenuiffimum, cujus generis fabinum eft, quod etiam utilius fuerit, fi bimum trimumve fit; quippe id quam recens magis per halitum discutit, quoque magis eft antiquum, hoc femper magis discutere poteft, verum dolore minus fedat. In medicamentis autem huc omne confilium direxi, ut effet eorum facultas tum tenuis tum modice excalefaciens, et quae ficcare citra dolorem pof-

μόνη γὰρ αὕτη δύναιτ' ἂν ἐκ βάθους ἕλκειν ἰχῶρας ἄνευ τοῦ συντείνειν καὶ δάκνειν τὸ μόριον. ἐχρησάμην δὲ πρῶτον μὲν τῇ τερμινθίνῃ ῥητίνῃ, καθ' ἑαυτήν τε καὶ βραχὺ προσμίξας εὐφορβίου. καθ' ἑαυτὴν μὲν ἐπί τε παίδων καὶ γυναικῶν καὶ ὅλως τῶν ἁπαλοσάρκων· σὺν εὐφορβίῳ δὲ ἐπὶ τῶν σκληροσάρκων. οὕτω καὶ προπόλει καθ' ἑαυτήν τε καὶ σὺν εὐφορβίῳ μαλάττων αὐτήν· εἴπερ δ' εἴη σκληροτέρα, σύν τινι τῶν λεπτομερῶν ἐλαίων. καὶ σαγαπηνῷ δὲ ἐχρησάμην κατὰ τὰ σκληρὰ σώματα μετ' ἐλαίου τε καὶ τῇ τερεβινθίνῃ μιγνύς· καὶ ὀποπάνακί τε κατὰ τὸν αὐτὸν τρόπον, ὡς καὶ ὁ Κυρηναῖος ὀπὸς ὀνήσειν, εἴ τις δι' αὐτοῦ σκευάσειε φάρμακον ἐπίπαστον ἐμπλαστὸν, ὁποῖον ἡμεῖς τὸ δι' εὐφορβίου συνεθήκαμεν, ἀλλ' οὐδέπω τοῦθ' ἡμῖν ἐκρίθη τῇ πείρᾳ, καθάπερ τὰ ἄλλα σύμπαντα. χρὴ γὰρ ἡγεῖσθαι μὲν τὴν ἐκ τῆς ἀληθινῆς μεθόδου τῶν ἰασομένων εὕρεσιν, ἐπιμαρτυρεῖν δ' αὐτῇ καὶ τὴν πεῖραν εἰς ἀκριβεστέραν πίστιν. ἀπὸ γοῦν τῆς τοιαύτης μεθόδου καὶ τὸ θεῖον τὸ ἄπυρον, ὅταν γε

ſet, quum ſola haec trahere ex profundo ſaniem, neque contracta neque demorſa parte poſſit. Uſus ſum autem primum terebenthina reſina, tum per ſe tum etiam paulum euphorbii admiscens. Et per ſe quidem in pueris et mulieribus et generaliter iis, qui molli eſſent carne, cum euphorbio vero in iis qui dura carne. Sic et propoli non per ſe modo, verum etiam cum euphorbio ipſam molliens, quod ſi durior eſſet, cum tenui quopiam oleo. Quin et ſagapeno in duris corporibus ſum uſus cum oleo, et terebinthina id miscens, ſed et opopanace ad eundem modum et quo ſagapeno. Mihi vero et lachryma Cyrenaica non inutilis fore videtur, ſi quis emplaſticum medicamentum applicandum ex ea faciat, cujusmodi eſt quod nos ex euphorbio compoſuimus; verum nondum in experientia quemadmodum reliqua omnia comprobavimus. Quippe praecedere oportet eam quae a vera methodo proficiscitur remediorum inventionem, huic vero experientiam ad certiorem etiam fidem ſubſcribere. Siquidem ex tali methodo etiam ſulſur, quod ignem exper-

Ed. Chart. X. [133. 134.] Ed. Baf. IV. (96.)

μὴ λιθῶδες, ἀλλ' ἱκανῶς ὑπάρχῃ λεπτομερὲς, ἠλπίσαμεν ὀνήσειν τοὺς τὰ νεῦρα τρωθέντας εἰς τοσοῦτον ἐλαίῳ λεπτομερεῖ μιγνύντες, ὡς ἐργάσεσθαι γλοιῶδες τὸ μικτὸν ἐξ ἀμφοῖν. ἐπὶ δὲ τῶν ἰσχυροτέρων τε καὶ σκληροτέρων σωμάτων, εἰ καὶ μελιτῶδες ἐργάσαιο τῇ συστάσει, καὶ οὕτως ὀνήσεις, ἐκρίθη γὰρ καὶ τοῦτο τῇ πείρᾳ. καὶ τὴν πεπλυμένην δὲ τίτανον ἐπενοήσαμεν ὁμοίως μιγνύντες ἐλαίῳ προσφέρειν αὐτοῖς· καὶ μᾶλλόν γε ὀνίνησιν, ἐπειδὰν θαλάττῃ πλυθῇ· καλλίστη δὲ ἡ πλύσις ὥρᾳ θέρους ἐν τοῖς ὑπὸ κύνα καύμασιν· εἰ δὲ καὶ δὶς αὐτὴν ἢ τρὶς ἐκπλύναις, ἄμεινον ἐργάσῃ τὸ φάρμακον· ὅπως δὲ χρὴ σκευάζειν τὰ τοιαῦτα διὰ τῆς τῶν περὶ φαρμάκων συνθέσεως ὑπομνημάτων εἴρηται [134] νυνὶ δὲ ἀρκέσει μοι λεχθῆναι τοσοῦτον, ὡς καὶ ταῦτα καὶ τἄλλα πλείω φάρμακα πρὸς νεύρων τρώσεις ἐξεῦρον, οὔτε τῶν διδασκάλων τινὰ θεασάμενος χρώμενον οὔτε ἀναγνοὺς που γεγραμμένα κατά τι θεραπευτικὸν σύγγραμμα τῶν πρεσβυτέρων, ἢ τούτων δή τι τῶν ἐπιγεγραμμένων αὐτοῖς δυνάμεων ἐξ ἰδίας σοφίας, ἀλλ' ἐξ αὐτῆς τῶν πραγμάτων

tum non fit quodque lapidofum non fit, fed omnino tenuium partium ei, cui nervus vulneratus effet, conducturum fperavimus, tantum ejus tenui oleo miscentes, dum quod ex utrisque mixtum erat, fordium haberet craffitudinem. In valentioribus vero durioribusque corporibus, etiam fi ad mellis fpiffitudinem redigas, fic quoque juveris, nam id quoque comprobatum experientia eft. Quin etiam totam calcem fimiliter oleo admixtam his applicandam excogitavimus; quae etiam fi mari lavetur, magis proficiet; lavatur optime per aeftatem in aeftu caniculae; quod fi bis terve eam laveris, utilius medicamentum efficies, quo pacto autem talia praeparanda fint, ex commentariis quos de medicamentorum compofitione edidimus intelliges. Nunc mihi tantum dixiffe fufficit, me tum haec tum alia multa medicamenta adverfus nervorum vulnera inveniffe, quum nec fub aliquo magiftro ea ufurpata viderim, nec in veterum alicujus aut medendi libris, aut quos de facultatibus ex propria fapientia infcribunt prodita; fed ex ipfa rerum natura

τῆς φύσεως ἐνδεικτικῶς ὁρμηθεὶς, ὅπερ ἐστὶν ἴδιον ἰατροῦ μεθόδῳ χρωμένου. Θεσσαλὸς δὲ ὁ θαυμασιώτατος οὐδὲν φάρμακον εὑρὼν ἐγνῶσθαί φησι τὴν ὕλην αὐτῶν ἐκ πολλοῦ. καὶ μὴν οὐκ ἔγνωσταί τι παμπόλλων φαρμάκων ὧν ἡμεῖς εὑρήκαμεν, οὐ μόνον Θεσσαλῷ καὶ τοῖς πρὸ αὐτοῦ πᾶσιν ἰατροῖς, ἀλλ᾽ οὐδὲ τοῖς μετ᾽ αὐτὸν ἄχρι δεῦρο. ὑπαχθεὶς γοῦν ἐγὼ πρός τινά ποτε τῶν σηπομένων ὑπὸ Θεσσαλείων ἰατρῶν ἀμεθόδων καὶ θεασάμενος αὐτὸν μέλλοντα καταπλάττεσθαι τῷ δι᾽ ἀλεύρου πυρίνου καταπλάσματι, μηδὲν ἐν τῷ παραχρῆμα φάρμακον ἔχων, ᾔτησα κονίαν στακτὴν, ἑωρακὼς ἐκ γειτόνων τοῦ κάμνοντος πηλοποιὸν, ἑψήσας δὲ δι᾽ αὐτῆς ἄλευρον κρίθινον, οὐχ ὡς ἐκεῖνοι δι᾽ ὑδρελαίου τὸ πύρινον ἑψοῦσιν, ἐπέθηκα. καὶ αὖθις ὀρόβινον ἄλευρον ὁμοίως ἑψήσας, ἐπὶ (97) φλεγμαίνοντός τε καὶ σηπομένου τοῦ νεύρου, διὰ τὰς καλὰς αὐτῶν θεραπείας ἐπιθεὶς, ἔπαυσα ταύτης τῆς σηπεδόνος τὸν ἄνθρωπον. ἀλλὰ περὶ μὲν τῶν φλεγμαινόντων καὶ σηπομένων ἕτερος μὲν

indicationes fampferim, id quod proprium effe medici methodo utentis exiftimo. Mirificus autem Theffalus quum ne unum quidem medicamentum invenerit, jampridem materiam eorum notam effe affirmat. Atque multorum medicamentorum quae nos excogitavimus non modo Theffalo, qui ante eum medici fuerunt, materia nota non eft, fed nec iis qui poft eum in hunc usque diem fuerunt. Siquidem ipfe cum accerfitus aliquando effem ad quendam qui a Theffalis iftis amethodis medicis putris fuerat factus, ac cernerem eum cataplasma quod ex triticea farina fit impofiturum, ubi nullum ad praefens mihi medicamentum erat, poposci ex figulo quodam quem videram aegri, vicino aquam lixivam; tum coquens in ea farinam hordeaceam, non autem ficut illi in oleo et aqua triticeam, impofui. Poftea vero farinam ervi fimili modo coctam jam phlegmone inflammato et putri ex bella horum curatione, nervo imponens vindicavi ab ea putrefactione hominem. Verum de iis quae cum phlegmone putrescunt alia disceptatio fequetur eaque dif-

λόγος ἐκδέχεται μακρὸς, ἐν ἰδίῳ καιρῷ τῆς πραγματείας. τῆς δὲ τοῦ νεύρου τρώσεως ἀρκεῖ τὰ εἰρημένα φάρμακα. καὶ πάμπολλοί γε τῶν εὑρημένων ἡμῖν ἑνὶ χρῶνται, μάλιστα τῷ δι᾽ εὐφορβίου καὶ κηροῦ καὶ φρυκτῆς ῥητίνης ἐμπλαστῷ φαρμάκῳ· εἶτα οὐκ οἶδ᾽ ὅπως ἔνιοι μὲν ἔμιξαν αὐτῷ Σινώπιδος, ἔνιοι δ᾽ ὤχρας, ὑπὲρ τοῦ χρωσθὲν ἐκ τίνων σύγκειται λανθάνειν, ἵνα μὴ δοκῇ εἶναι τὸ ἐμὸν φθονοῦντες· οὐ μὴν ὑπ᾽ ἐμοῦ γε ἐξ ἀρχῆς οὕτως συνετέθη. τινὲς δ᾽ ἂν ἴσως αὐτῷ μίξειαν ἁλὸς ἄνθος, ἤ τι τοιοῦτον ἕτερον ὃ καὶ τὴν χροιὰν ὑπαλλάξει καὶ τὴν δύναμιν οὐ βλάψει· δύναιτο δ᾽ ἄν τις ὑπ᾽ ἀγνοίας μῖξαί τι καὶ τοιοῦτον, ὅπερ βλάψει τὴν δύναμιν. ἀλλ᾽ ἡμεῖς γε συνεθήκαμεν αὐτὸ διὰ κηροῦ καὶ ῥητίνης τερμινθίνης καὶ πίττης καὶ εὐφορβίου, τοῦ μὲν κηροῦ βάλλοντες μέρος ἓν, τῆς τερμινθίνης δὲ καὶ τῆς πίττης ἑκατέρας ἥμισυ· ὥστε τὸ ἐξ ἀμφοῖν ἴσον εἶναι τῷ κηρῷ. δύναιτο δ᾽ ἄν ποτε καὶ πλέον γίγνεσθαι τὸ ἐξ ἀμφοῖν τοῦ κηροῦ· δύναιτο δ᾽ ἂν καὶ τὸ ἕτερον αὐτῶν μόνον μίγνυσθαι τῷ κηρῷ. καὶ

fufa in opportuno operis loco. De nervis vero vulneratis fatisfaciant quae dicta jam funt medicamenta. Et fane ex iis quae ipfi invenimus plurimi uno illo emplaftico medicamento utuntur, quod ex euphorbio et cera et fricta refina eft compofitum, cui nescio quomodo aliqui aliquid poftea miscuerunt Sinopidis, aliqui ochrae, quo videlicet fucatum, unde componatur lateret, aegre ferentes, fi meum id effe videretur; verum non eft a principio fic a me compofitum. Miscuerunt fortaffis ei nonnulli et e falis flore aliquid aut aliud quippiam tale quod colorem ejus immutet, nec vim ejus minuat; poteft quis per ignorantiam etiam tale aliquid immiscere, quod facultatem ejus immutet. Verum nos illud ex cera, refina terebinthina, pice et euphorbio compofuimus, immiscentes ex cera partem unam, ex terebinthina et pice utriusque partis unius dimidium, fic ut quod ex utrisque conflaretur cerae par effet. Licet autem interdum et plus fit quod ex ambobus confit quam cera, licet rurfus et alterum eorum tantum cerae admiscere. Quin etiam penuria tere-

μέντοι καὶ μὴ παρούσης τερμινθίνης ἥ τ' ἐκ τῶν κεραμίων ὑγρὰ καὶ ἡ φρυκτὴ καλῶς ἂν μιχθεῖεν· οὐδὲν δὲ ἧττον αὐτῶν καὶ ἐλατίνη μιγνύοιτ' ἄν. ἡ δὲ στροβιλίνη μόνον τῶν σκληρῶν σωμάτων ἐστὶ φάρμακον· ἐπὶ δὲ τῶν μαλακωτέρων οὐ χρὴ μιγνύειν. εἰ μὲν οὖν ὑγρὰ ῥητίνη μιγνύοιτο, κόψας καὶ διασείσας τὸ εὐφόρβιον ἀναγμίγνυε τοῖς ἄλλοις τακεῖσιν· ἔστω δὲ ὁ σταθμὸς αὐτοῦ τὸ δωδέκατον μέρος τοῦ κηροῦ καί ποτε καὶ πλέον, εἰ βούλοιο ποιεῖν ἰσχυρότερον· εἰ δὲ ξηρὰ, καθάπερ ἡ φρυκτὴ δεήσεται βραχέος ἐλαίου τὸ εὐφόρβιον. ὥστ' ἔγωγε τηνικαῦτα λεῖον αὐτὸ σὺν ἐλαίῳ καὶ γλοιῶδες ἐργαζόμενος ἐψυγμένοις τοῖς ἄλλοις μετὰ τὸ τακῆναι ξύσας μιγνύω, πολλάκις δὲ καὶ ὕδατος ἔμιξα σκευαζομένῳ τῷ φαρμάκῳ τοσοῦτον ὅσον ἐν αὐτῷ τῷ τήκεσθαι τὰ μιγνύμενα, δαπανηθῆναί τε δύναται καὶ ἀφανισθῆναι τελέως. ἀλλὰ τὰ μὲν τοιαῦτα σύμπαντα τῆς περὶ φαρμάκων πραγματείας ἐστὶν οἰκειότερα. [135] νυνὶ δ' ἀρκεῖ, καθάπερ ἔμπροσθεν ἐποιήσαμεν, ὁποῖον εἶναι χρὴ τὸ γένος τῶν φαρμάκων δηλώσαντας, ὀλίγα προσ-

binthinae tum humidam pineam tum etiam frictam commode admisceas; non minus etiam his et abietinam immittas. Strobilina vero duris tantum corporibus idoneum medicamentum est, ad mollia vero immiscenda non est. Si itaque humidam resinam immiscebis, tunsum cribatumque euphorbium reliquis immittes liquatis; esto vero pondus ejus cerae pars duodecima, etiam plus aliquando, ubi scilicet valentius efficere est in animo; sin siccam, ut quae fricta est, utique olei pusillum desiderabit euphorbium. Quare ego tum id cum oleo contundens ac ad sordium spissitudinem redigens, mox reliquis post liquationem refrigeratis terens misceo; saepe etiam tantulum aquae immiscui medicamento conficiendo, quantum in mixtis ipsis liquandis tum absumi tum evanescere prorsus potuit. Verum omnia hujus generis ad tractationem de medicamentorum compositione magis attinent. Nunc sufficerit, sicuti antea fecimus, indicato, quale esse debeat medicamenti genus, pauca particulatim exempli causa

τιθέναι τῶν κατὰ μέρος ἕνεκα παραδείγματος. ἄφθονον γὰρ ἁπάντων τὴν ὕλην ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων ἔχεις πραγματείᾳ· σκευάζειν δ' ὡς ἐν τῇ περὶ συνθέσεως εἴρηται. νῦν οὖν ἀρκεῖ τοῦτο εἰπόντι μόνον ἐπ' ἄλλα μεταβαίνειν. ἡ τοῦ τετρωμένου νεύρου θεραπεία φαρμάκων δεῖται, θερμασίαν μὲν ἐγειρόντων χλιαρὰν, ξηραινόντων δ' ἱκανῶς, καὶ τῇ φύσει δὲ τῆς οὐσίας ἑλκτικῶν τε ἅμα καὶ λεπτομερῶν. οὐ μόνον δὲ εἰς εὕρεσιν φαρμάκων τε καὶ διαιτημάτων ἡ θεραπευτικὴ μέθοδος ἐπιτήδειός ἐστιν, ἀλλὰ καὶ εἰς τὴν τῶν εὑρημένων χρῆσιν. ὥσπερ γὰρ ἐν τοῖς ἔμπροσθεν ἐδείκνυμεν οὐδὲ τῷ τυχόντι φαρμάκῳ τῶν πρὸς ἕλκη καλῶς δύνασθαι χρήσασθαι τὸν ἄνευ μεθόδου μεταχειριζόμενον αὐτὰ, τὸν αὐτὸν τρόπον ἔνεστι καὶ νῦν ἐπιδεικνύναι. γνωρίζειν γὰρ εἰς ὅσον ἤ τί γε ἐξήρανεν, ἢ ἐθέρμηνεν, ἢ παρηγόρησεν, ἢ ἠρέθισε τὴν διάθεσιν ἡ τοῦ φαρμάκου προσφορὰ, μόνος ὁ κατὰ μέθοδον ἰατρεύων ἱκανός ἐστιν. οὗτος δ' αὐτὸς οἶδε μόνος ἤ τί γ' ἐπιτεῖναι τὴν ἐξ ἀρχῆς χρῆσιν, ἢ ἐκλῦσαι. τὸ γοῦν δι' εὐφορβίου φάρμακον ἐπιθείς τις παραχρῆμα νευροτρώτῳ,

apponere. Uberem namque omnium materiam in opere de fimplicibus medicamentis invenies, praeparare autem debebis ut in opere de eorum compofitione eft traditum; nunc igitur fatis eft hoc tantum dixiffe, atque ad alia tranfire. Vulnerati nervi curatio medicamenta poftulat, quae et tepidum calorem excitent et valenter ficcent, tum quae fubftantiae fuae natura et trahendi vim habeant et tenuium fint partium. Sane non ad medicamentorum modo victusque inventionem ipfa medendi methodus proficit, fed etiam ad ipfum inventorum ufum. Nam ut in fuperioribus oftendimus, quisquis citra methodum quae ulceri apta medicamenta funt molitur, eum ne minimo quidem eorum probe uti poffe, ita et nunc oftendere licet. Siquidem intellexiffe quantopere affectum vel ficcarit, vel calefecerit, vel mitigarit, vel laceffierit medicamenti applicatio, is demum potis eft, qui methodo quadam curat. Idem vero ipfe folus etiam intendere ea, quibus inter initia eft ufus vel remittere novit. Quum namque medicamentum de euphorbio quidam vulne

Ed. Chart. X. [135.] Ed. Baf. IV. (97.)

πολλάκις δὲ ἄρα πρόσθεν εὐδοκιμοῦντος αὐτοῦ πεπείρατο, τριταῖον ἐπεδείκνυέ μοι τὸ τετρωμένον μόριον, ὀδυνώμενόν τε ἅμα καὶ φλεγμαῖνον, ἀπορῶν ὅπως οὐδὲν ἤνυσε τὸ φάρμακον. ἠρόμην οὖν τὸν τετρωμένον εἰ θερμασίας τινὸς οἷον ἐξ ἡλίου πραέος ᾔσθετο, τῇ πρώτῃ τῶν ἡμερῶν ἐπιβληθέντος αὐτοῦ· ὁ δὲ ἀπεκρίνατο μηδενὸς ᾐσθῆσθαι τοιούτου. πάλιν οὖν ἠρόμην τὸν ἰατρὸν ἐκ πόσου τε χρόνου τὸ φάρμακον ἐσκευασμένον ἔχει καὶ τίνας αὐτῷ θεραπεύσειεν. ὁ δὲ τὸν μὲν χρόνον ἐνιαυτοῦ πλέονα, τοὺς δὲ θεραπευθέντας ἔλεγε δύο μὲν παῖδας, ἓν δὲ μειράκιον εἶναι. πυθομένου δέ μου καὶ περὶ τῆς τοῦ μειρακίου σχέσεως τῆς κατὰ τὸ σῶμα, λευκὸν ἔφρασεν αὐτὸ καὶ μαλακὸν εἶναι. τούτων ἀκούσας ἐγὼ καὶ συνεὶς ἐλλείπειν ὡς πρὸς τὴν τοῦ παρόντος νεανίσκου κρᾶσιν τὸ εὐφόρβιον, αἰτήσας τε τὸ ἐμπλαστὸν φάρμακον καὶ τὸ εὐφόρβιον ἀνελόμενος, ὅσον ἤλπιζον αὐτάρκως αὐτῶν ἀλλήλοις μιχθήσεσθαι, μαλάττειν μὲν ταῖν χεροῖν ἐκέλευσα τὸ φάρμακον, ἀκριβῶς δὲ λειῶσαι τὸ εὐφόρβιον. ὡς δὲ ταῦτα ἐγένετο, μιγνύειν αὐτὰ πρὸς ἄλληλα

rato nervo ſtatim impoſuiſſet; idque ſaepe prius proſpere fuerat expertus, tertio die indicavit mihi vulneratam partem tum dolentem tum phlegmone obſeſſam, miratus medicamentum nihil contuliſſe. Percontatus igitur vulnere laborantem ſum, num primo die quum impoſitum medicamentum eſſet, calorem quempiam veluti ex ſole ſuavem ſenſiſſet; is ſe quicquam ejusmodi ſenſiſſe negavit. Rurſus itaque percontabar et medicum, quanto jam tempore praeparatum apud ſe medicamentum habuiſſet ac quos eo ſanaſſet. Ille plus anno apud ſe habuiſſe, ſanatos vero a ſe ajebat pueros duos et adolescentem unum. Quum autem et de corporis habitu adolescentis rogaſſem, album eum mollique corpore fuiſſe affirmabat. His ergo auditis quum intelligerem, ut ad propoſiti adolescentis temperiem euphorbium deeſſe, poſtulans tum ipſum emplaſticum medicamentum tum etiam euphorbium, ſumensque ex his quantum ad ea inter ſe miscenda ſatis putavi, juſſi manibus medicamentum ſubigere, ac euphorbium diligenter contundere. Poſteaquam haec facta

κελεύσας, εἶτ᾽ αὐτὸς ἔλαιον Σαβῖνον ἠρέμα παλαιὸν θερμήνας συμμέτρως, καιήντλησα τὸ τετρωμένον μόριον, ἀνακείρας τε βραχὺ μεμυκυῖαν αὐτοῦ τὴν ὀπὴν τῆς νύξεως, ἐπέθηκα τὸ φάρμακον, ἀσιτῆσαι προστάξας τὸν ἄνθρωπον· ἐς ἑσπέραν τε πάλιν ἐκέλευσα τὸν ἰατρὸν ἐπιλῦσαί τε καὶ χρήσασθαι κατὰ τὸν αὐτὸν τρόπον ἐλαίῳ καθ᾽ ὃν ἐμὲ χρώμενον ἐθεάσατο. τούτων οὖν γενομένων ἀνώδυνόν τε ἅμα καὶ ἀφλέγμαντον ἐφάνη κατὰ τὴν ὑστεραίαν τὸ πεπονθὸς μόριον, ἔγνωσάν τε πάντες οἱ παραγενόμενοι τῷ ἔργῳ τῷδε τὸ πολλάκις ἡμῖν λεγόμενον ἀληθέστατον ὑπάρχειν, ὡς οὐδέν τι μέγα δύναιτο τὰ φάρμακα χωρὶς τῶν χρωμένων ἐπιτηδείως αὐτοῖς. τοῦτο δ᾽ αὐτὸ τὸ χρῆσθαι δεξιῶς, εὔδηλον δήπου μεθόδῳ γιγνόμενον, οἵαν ἡμεῖς ἤδη πολλάκις ἐν τοῖς πρὸ τοῦδε διήλθομεν ὑπομνήμασιν, ἐπὶ τὸ θερμὸν καὶ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρὸν ἁπάσης χρήσεως φαρμάκων ὡς ἐπὶ κανόνας ἀναφερομένης. ἣν οὐ μόνον οἱ ἀμέθοδοι Θεσσάλειοι μεταχειρίζεσθαι καλῶς ἀδυνατοῦσιν, ἀλλὰ καὶ οἱ περὶ τὸν Ἐρασίστρατόν τε καὶ τοὺς ἄλλους ἰατροὺς ὅσοι τὰ

funt, miscere ea fimul juffi, ipfe vero oleum Sabinum utique fubantiquum modice calefaciens fovi vulneratam partem, refectoque leviter puncturae quod connivebat foramine impofui medicamentum injunxique homini inediam; medico vero praecepi ut vefperi rurfus eum folveret, ac fimili modo quo me viderat oleo uteretur. Atque his peractis apparuit poftridie pars aegra et fine dolore et fine phlegmone, intellexeruntque qui huic operi aderant omnes veriffimum effe quod nos faepe ufurpamus, non effe adeo magnum quod medicamentum praeftare poffit, nifi nactum fit qui eo dextre utatur. Eft autem dexter ufus qui tali plane methodo qualem ipfi jam faepe in commentariis qui ante hunc funt oftendimus procedit, omnium medicamentorum ufu ad calidum, frigidum, humidum et ficcum veluti ad normas relato. Quam methodum non folum amethodi Theffali fectatores probe tractare non valent, fed nec Erafiftratus nec alius medicorum quisquam qui corporum elementa aut prorfus non inveftigarunt, aut

Ed. Chart. X. [135. 136.] Ed. Baf. IV. (97.)

στοιχεῖα τοῦ σώματος ἢ οὐδ' ὅλως ἐζήτησαν, ἢ ἀλλ' ἅττα τῶν εἰρημένων ἔθεντο. περὶ μὲν δὴ τούτων ἅλις.

Κεφ. γ'. [136] Εἰ δὲ μὴ νυγείη τὸ νεῦρον, ἀλλὰ τρωθείη σαφῶς τῇ τομῇ, σκέπτεσθαι τὴν τρῶσιν ὁποία τις ἐγένετο· πότερον ἐγκαρσία τις, ἢ κατὰ τὸ τοῦ νεύρου μῆκος· ὁπόσον τέ τι τοῦ προκειμένου διῄρηται δέρματος. ὑποκείσθω δὴ πρότερον ἀνεπτύχθαι πολὺ τοῦ δέρματος, ὡς γυμνὸν φαίνεσθαι τὸ νεῦρον, ὄρθιον, οὐκ ἐγκάρσιον διῃρημένον. οὐ χρὴ τούτῳ τῷ νεύρῳ τῶν εἰρημένων φαρμάκων οὐδὲν προσφέρειν, ὅσα δι' εὐφορβίου καὶ τῶν οὕτω δριμέων ἐμπλαστὰ γίνεται· γεγυμνωμένον γὰρ οὐκ οἴσει τὴν δύναμιν αὐτῶν, ὥσπερ ὅτε διὰ μέσου τοῦ δέρματος ἔφερεν. ἄριστον οὖν τηνικαῦτα τὴν πεπλυμένην τίτανον ἐλαίῳ πλείονι δεύσαντα χρῆσθαι· ἀγαθὸν δὲ καὶ τὸ διὰ τοῦ πομφόλυγος φάρμακον ἐν πλέονι ῥοδίνῳ τακέν· ἄμεινον δὲ εἰ καὶ τὸ ῥόδινον εἴη καὶ τοὔλαιον ἄναλον· σκοπὸς γάρ σοι γιγνέσθω τῆς θεραπείας ἁπάσης ἐπὶ νεύρου γεγυμνωμένου τὸ ξηραίνειν ἀδηκτότατα· πάνυ δὲ

alia quam quae comprehenfa a nobis funt pofuerunt. Sed de his hactenus.

Cap. III. Si autem non punctus, fed plane caefim vulneratus nervus fit, confideranda eft vulneratio qualis facta fit, utrumne transverfa an per nervi longitudinem; tum vero quantum praepofitae divifum fit cutis. Proponatur igitur primum, multum effe cutis adapertum adeo ut nervus nudus appareat, isque per directum non per transverfum divifus. Huic nervo nullum jam memoratorum medicamentorum quae ex euphorbio ac fimiliter acribus emplaftri fpecie fiunt applicabis; nudatus namque non feret eorum vim ita ut quum interpofita cutis erat tulit. Optime igitur eo cafu calce elota in multo oleo foluta uteris; falutare vero eft et quod ex pompholyge medicamentum fit, fi in largo rofaceo fit liquatum; quod melius fuerit, fi tum rofaceum ipfum tum oleum falis fit expers; fiquidem nudato nervo omnis curationis fcopus fit tibi ut minima cum mordicatione ficces; poffunt vero id praeftare plane pau-

Ed. Chart. X. [136.] Ed. Baf. IV. (97. 98.)

ὀλίγιστα φάρμακα τὸ τοιοῦτο (98) πέφυκε δρᾷν. ἔστω τοίνυν ἡ τίτανος τηνικαῦτα πολλάκις ὕδατι χρηστῷ πεπλυμένη ὥρᾳ θέρους· πεπλύσθω δὲ, ὡς εἴρηται, καὶ ἡ πομφόλυξ, ὥσπερ οὖν καὶ πέπλυται κατὰ τὸ σύνθετον φάρμακον, ᾧ συνήθως χρώμεθα, πολλὰ καὶ ἄλλα πεπλυμένα δεχόμενον. ὅσα γὰρ ἐκ μετάλλων ἐστὶ, πεπλύσθαι χρὴ πάντα μέλλοντά γε ξηραίνειν ἀδήκτως. ἀγαθὸν δὲ καὶ τὸ διὰ μέλιτος ἐμπλαστὸν φάρμακον, ὅταν ἐκ καλλίστου μέλιτος ᾖ. λύειν δὲ καὶ τοῦτο χρὴ ῥοδίνῳ τά τε ἄλλα καλλίστῳ καὶ τῶν ἁλῶν ἥκιστα μετέχοντι· καὶ τὸν κηρὸν δὲ χρὴ πεπλύσθαι τὸν εἰς τὰ τοιαῦτα φάρμακα βαλλόμενον· εἰ δὲ καὶ τερμινθίνης τι ῥητίνης μιγνύοιτο, πεπλύσθαι χρὴ καὶ ταύτην· ἔτι δὲ μᾶλλον, εἰ ἄλλης ἡστινοσοῦν. ἐξ ἁπάντων γὰρ ὧν ἂν πλύνῃς φαρμάκων οἱ δριμεῖς καὶ δακνώδεις ἰχῶρες ἐκκλύζονταί τε καὶ ἀποῤῥύπτονται. εἰ δ᾽ ἰσχυρὸς ὁ τετρωμένος εἴη καὶ σὺν τούτῳ καὶ ἀπέριττος τὸ σῶμα, δυνατὸν ἐπ᾽ αὐτοῦ χρῆσθαι καὶ τῶν ἰσχυροτέρων φαρμάκων ἐνίοις· ὥσπερ ἐγώ ποτε τοι-

ciffima medicamenta. Efto igitur hic calx falubri aqua aeftatis tempore faepe elota; efto praeterea, ut dictum eft et pompholyx elotus, quemadmodum et elotus habetur in eo compofito medicamento quo publice utimur, quodque alia elota in fe non pauca continet. Nam quae ex metallis confiftunt, ea elota effe omnia oportet, fi modo citra morfum ullum fint ficcatura. Salubre vero medicamentum eft et quod ex melle fub emplaftri fpecie componitur, quum ex optimo fit melle. Solvi vero et id rofaceo oportet, quod tum reliquis conditionibus fit optimum tum falis omnino expers; quin etiam ceram, quae ejusmodi medicamentis fit miscenda, elotam effe convenit; aeque fiquid terebinthinae refinae injicies, haec quoque elota fit oportet; atque hoc magis, fi alterius cujusquam refinae *quid immittes*. Nam medicamentis omnibus quae laveris acris mordensque fanies eluitur atque abftergitur. Si vero robuftus fit qui vulnus accepit et cui corpus fit a fupervacuis humoribus mundum, in hoc fas eft etiam valentioribus remediis nonnullis uti; ut ipfe aliquando quum id genus vulneris in

Ed. Chart. X. [156.] Ed. Baf. IV. (98.)

αὐτῆς τρώσεως γενομένης ἐκ καρπῷ ἐπὶ νεανίσκου φιλοσοφοῦντος, εὐέκτου τε τἄλλα καὶ κατωπτηκότος ἐν ἡλίῳ θερινῷ τὸ σῶμα τὸν Πολυείδου τροχίσκον ἀνεὶς σιραίῳ, κἄπειτα χλιάνας ἐφ᾽ ὕδατος θερμοῦ, βάψας ἐν αὐτῷ μοτοὺς ἐπέθηκα. καὶ γὰρ καὶ τούτου χρὴ μάλιστα φροντίζειν ἀεὶ, τοῦ μηδὲν τῶν ψαυόντων τῆς τρώσεως ψυχρὸν εἶναι, ἐπειδὴ τὸ πεπονθὸς μόριον αἰσθητικώτατόν ἐστι καὶ τῇ κυριωτάτῃ τῶν ἀρχῶν συνεχὲς, ἔτι τε τῇ κράσει ψυχρότερον· ἐξ ὧν ἁπάντων ἑτοίμως μὲν ὑπὸ τοῦ ψυχροῦ βλάπτεται, διαδίδωσι δὲ ἐπὶ τὸν ἐγκέφαλον τὸ πάθος. εἰ δὲ καὶ τῶν εἰς μῦς καθηκόντων εἴη, καὶ σπασμοὺς ἐπικαλεῖται ῥᾳδίως· ἐδείχθησαν γὰρ οἱ μύες ὄργανα τῆς κατὰ προαίρεσιν κινήσεως. οὕτω δὲ καὶ ἐπὶ τῶν τενόντων προσδόκα γενήσεσθαι διὰ τὰς αὐτὰς αἰτίας. ἀλλὰ τό γε προειρημένον φάρμακον ἐπιθεὶς τῷ νεανίσκῳ κατά τε τοῦ τραύματος αὐτοῦ καὶ μέντοι καὶ τῶν ὑπερκειμένων μερῶν, οὐκ ὀλίγον ἐπιλαμβάνων αὐτῷ τὰ κατὰ μασχάλας καὶ τράχηλον καὶ κεφαλὴν, ἐλαίῳ θερμῷ διέβρεχον ἅπαντα συνεχῶς. ἀφεῖλον δὲ καὶ τοῦ αἵματος αὐτοῦ σχάσας τὴν

carpo accepiſſet juvenis quidam philoſophiae ſtudioſus, alioqui corpore bene habito et tum in aeſtivo ſole peruſto, ex Polyidae paſtillis ſapa ſolutis, poſtea ſuper calida aqua tepefactis linamenta imbuta impoſui. Nam id quoque vel in primis ſemper habendum curae eſt, ne quid ex iis quae vulnus contingent frigidum ſit; quandoquidem ipſa laborans pars et ſenſilis maxime eſt et principium partium primati continua et temperamento ſuo frigida; quorum omnium occaſione et ex facili a frigido laeditur et ſuam laeſionem impertit cerebro. Quod ſi ex iis fuerit quae in musculos perveniant, etiam convulſionem facile accerſit; ſiquidem monſtratum eſt musculos voluntarii motus inſtrumenta eſſe. Idem fore et in tendonibus expectabis iisdem de cauſis. Caeterum quum memoratum remedium tum vulneri ipſi juvenis impoſuiſſem, tum vero partium quae ſupra erant non parum eodem complexus fuiſſem, quae citra axillas, collum caputque ejus erant, omnia calente oleo aſſidue madeſeci. Detraxi vero illi et primo ſtatim die ſanguinem,

φλέβα κατὰ τὴν πρώτην ἡμέραν εὐθέως. [137] ἐν οὖν τῇ τετάρτῃ τῶν ἡμερῶν οὗτος ὁ νεανίσκος ἔσχε καλῶς, ὥστε ῥυσσὸν καὶ βραχὺ καὶ προσεσταλμένον φαίνεσθαι τὸ ἕλκος. οὐ μὴν ἀλλὰ καὶ προμηθέστερον ἐδόκει μηδὲν νεωτεροποιεῖν ἄχρι τῆς ἑβδόμης, μεθ᾽ ἣν τελέως ἦν ὑγιής. ἐλαίῳ δ᾽ αἰονᾷν οὐ χρὴ τὸ τοιοῦτον ἕλκος, καὶ μάλισθ᾽ ὅταν ὡς νῦν εἴρηται θεραπεύηται· τῇ γὰρ τοῦ τροχίσκου δυνάμει τὸ ἔλαιον ἐναντίον ἐστὶ καὶ ῥυπαίνει τὸ ἕλκος. οὐ γὰρ δήπου ταὐτόν ἐστιν ἢ γυμνῷ τῷ νεύρῳ προσφέρειν τοὔλαιον, ἢ διὰ προβεβλημένου τοῦ δέρματος. ἀποπλύνειν οὖν αὐτοῦ τοὺς ἰχῶρας, ἔριον μαλακὸν ὑπαλείπτρῳ περιελίττοντας· ἀποβρέχειν δὲ εἰ βούλοιο τὸ ἔριον, ὅπως μὴ ξηρῷ ψαύσῃς τὸ ἕλκος, ἀρκέσει τὸ σίραιον, ὅπερ καὶ ἕψημα καλοῦσι παρ᾽ ἡμῖν ἐπὶ τῆς Ἀσίας συνήθως. ἐν τούτῳ βάψας τὸ ἔριον, εἶτ᾽ ἀποθλίψας, οὕτως ἀπομάττειν τὸ ἕλκος. ἔστω δὲ καὶ αὐτὸ τοῦτο χλιαρὸν ἐν ταῖς πρώταις μάλιστα ἡμέραις. εἰ δὲ πάντα κατὰ γνώμην περαίνοιτο, καὶ οἴνῳ γλυκεῖ βρέχειν ἀκίνδυνον, ἄδηκτος δὲ ὁ γλυκὺς οἶνος ἔστω παντάπασιν, οἷος ὁ Θηραῖος

inciſa vena. In quarto igitur hic quoque juvenis recte habuit, adeo ut et rugoſum et parvum et contractum ulcus jam cerneretur. Verumtamen conſultius viſum eſt usque ad ſeptimum nihil novare; poſt quem diem plane redditus eſt ſanus. Sane oleo perfundere tale ulcus non oportet, praeſertim quum ut nunc comprehenſum eſt curatur; nam oleum paſtilli hujus viribus eſt adverſum, ac ſordidum ulcus reddit. Neque enim parum intereſt, nudove nervo oleum an per interpoſitam cutem admoveas. Abluenda igitur a vulnere ſanies eſt, molli lana ſpecillo circumvoluta; madefacienda vero lana ſi placet, ne ſcilicet ſicco ulcus attingas, ſapa ſuffecerit, quam et hepſema vulgo apud nos in Aſia vocant. In hac igitur lanam intingens, mox exprimens ulcus detergebis. Eſto vero haec quoque ipſa tepida primis maxime diebus. Quod ſi omnia ex ſententia ſucceſſerint, etiam vino dulci madefacere citra periculum licebit; ſed vinum dulce haud omnino mordax ſit, cujusmodi tum The-

τε καὶ Σκυβελίτης ἐστὶ καὶ μετ᾽ αὐτοὺς ὁ καρύϊνος ὀνομαζόμενος· ὅσοι δὲ γλυκεῖς τε ἅμα καὶ κιῤῥοὶ τῶν οἴνων εἰσὶν, ὥσπερ ὁ Φαλερῖνος, ἀνεπιτήδειοι, δριμεῖς γὰρ ἅπαντες οἱ τοιοῦτοι καὶ πέρα τοῦ μετρίου θερμοί· ἤδη δὲ εἰς οὐλὴν ἰόντων τῶν ἑλκῶν, ὅσοι λευκοὶ τῶν οἴνων εἰσὶν ἀκριβῶς καὶ λεπτοὶ καὶ ὀλιγοφόροι καὶ ἄνοσμοι, βελτίους τῶν γλυκέων εἰσίν. ὕδατος δὲ χρῆσιν ἀεὶ φεῦγε τρωθέντος νεύρου, καθάπερ γε καὶ καταπλάσματος χαλαστικοῦ. τῇ δὲ εἰρημένῃ τοῦ τροχίσκου χρήσει πλησίον ἥκει τὸ διὰ τῆς χαλκίτεος φάρμακον, ᾧ συνήθως χρώμεθα· τετῆχθαι δὲ καὶ τοῦτο χρὴ θέρους μὲν ῥοδίνῳ, χειμῶνος δὲ Σαβίνῳ· γέγραπται δ᾽ ἐν τῷ πρώτῳ περὶ φαρμάκων συνθέσεως. ὁ δὲ Πολυείδου τροχίσκος, ἢ κυκλίσκος, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, γιγνώσκεται σχεδὸν ἅπασι· καὶ εἰ μὴ παρείη, τὸν Ἄνδρωνος, ἢ τὸν Πασίωνος ἀντ᾽ αὐτοῦ περιλαμβάνειν, ἢ τὸν ἡμέτερον ἰσχυρότερον ἁπάντων αὐτῶν ὑπάρχοντα. προείρηται δὲ ὅτι τοῖς μὲν ἰσχυροῖς σώμασι τὰ ἰσχυρὰ φάρμακα, τοῖς δὲ ἀσθενέσι τὰ μαλακὰ προσφέρειν χρή· ταῦθ᾽ εὑρίσκει μὲν ἡ ἀλη-

raeum eft tum Scybelites atque ab his quod caryinum vocant; quaecunque vero et dulcia pariter et fulva funt vina, veluti Falernum, inutilia funt, quippe acria funt omnia talia ac fupra modum calida; ulcere vero jam ad cicatricem veniente quae alba plane vina funt et tenuia, nec multam aquam tolerant nec odora funt, ea dulcibus praeftant. Aquae vero ufum ad nervum vulneratum femper fugies, ficuti etiam relaxans cataplasma. Ad jam dicti vero paftilli ufum prope etiam accedit et medicamentum diachalciteos, quo publice utimur; liquari vero etiam hoc debebit aeftate rofaceo, hieme Sabino oleo; descriptum autem eft medicamentum hoc a nobis in primo de medicamentorum compofitione. Polyidae vero paftillus, vel trochiscus, vel quomodocunque appellaffe libet, omnibus ferme notus eft; cujus fi copia non eft, Andronis vel Pafionis pro eo eft fumendus, vel nofter, qui etiam omnibus illis eft valentior. Sane jam dictum eft robuftis corporibus valentiora medicamenta, imbecillis mitiora effe adhibenda; ifta et vera

θὴς μέθοδος, ἐπισφραγίζεται δὲ ἡ πεῖρα. Θεσσαλὸς δὲ ἅμα τοῖς ἑαυτοῦ σοφισταῖς ἐφ᾿ ὑψηλοῦ θρόνου καθήμενος ἐν κριομύξοις ἀνδράσιν, ὡς ὁ Κερκίδας φησὶν, εὐδοκιμήσει, κατασκευάζων τῷ λόγῳ παντὸς ἕλκους προσφάτου τὴν αὐτὴν εἶναι θεραπείαν, οὐδεμίαν ἔνδειξιν ἐκ τῆς τοῦ μορίου φύσεως λαμβάνουσαν. εἷς δέ τις τῶν ὑπὸ τῆς σοφίας αὐτοῦ κεκομισμένων θαυμαστὴν ἐξεύρισκε θεραπείαν τῶν νευροτρώτων· αὐτίκα γὰρ ὅλα διέκοπτεν ἐξαίφνης αὐτὰ, μηδὲ προειπών τι τῷ τρωθέντι· καίτοι κἀνταῦθα προεδίδου τὴν αἵρεσιν. ἐχρῆν γὰρ ἢ καὶ τοὺς μῦας τρωθέντας καὶ τὰς ἀρτηρίας καὶ τὰς φλέβας καὶ πᾶν ὁτιοῦν ἄλλο διακόπτειν ὅλον, ἢ μηδὲ τὸ νεῦρον. ἢ οὕτως ἂν ὃ φεύγουσι πράττοντες ἁλίσκονται, διάφορον ἐκ τῶν διαφερόντων μορίων ἔνδειξιν θεραπείας λαμβάνοντες. τούτων μὲν οὖν ἀπαλλαγῶμεν ἤδη, τῆς δ᾿ ἐγκαρσίας τρώσεως τῶν νεύρων μνησθῶμεν, ἐφ᾿ οἷς καὶ ὁ κίνδυνος τοῦ σπασθῆναι μείζων, τῆς μὲν φλεγμονῆς ἐκ τῶν τετρωμένων ἰνῶν εἰς τὰς ἀτμήτους διαδιδομένης, τοῦ σπασμοῦ δὲ διὰ τὰς ἀτμήτους γιγνομένου. τὰ μὲν δὴ τῆς θεραπείας τοῦ

methodus invenit et experientia confirmat. Theffalus vero cum fuis una fophiftis in alto throno refidens inter muccofos inftar arietum viros, ut Cercidas ait, in pretio erit; dum fuis rationibus confirmat omnis ulceris recentis eandem effe curationem, neque hanc ullam ex partium natura indicationem fumere. Unus tamen magni in ejus fapientia nominis admirandam vulneratorum nervorum curationem excogitavit; nam protinus eos totos praecidit ne admonito quidem qui vulneratus fuerat, quanquam in hoc quoque a fecta fua descivit. Siquidem par erat vel ut musculos vulneratos et arterias et venas et aliud quidvis totum praecideret vel nec nervum. Alioqui fic quod fugiunt, id facere deprehenduntur, ut diverfam pro discrimine partium indicationem accipiant. Verum hos jam mittamus, ac de transverfo nervi vulnere agamus, in quo major convulfionis metus impendet, phlegmone fcilicet a vulneratis fibris ad non fectas communicata, caeterum convulfione ab ipfis non fectis excitata. Ac quae ad ulceris curationem attinent,

ἕλκους καὶ τούτοις τὰ αὐτά· κενοῦν δ' αἵματος ἀφειδέστερον αὐτῶν καὶ λεπτότερον ἢ κατ' ἐκείνους διαιτᾷν, ἐν ἡσυχίᾳ τε καὶ στρωμνῇ μαλακῇ συνέχειν τὸν ἄνθρωπον [138] ἐλαίῳ θερμῷ δαψιλῶς χρώμενον ἐπὶ μασχαλῶν καὶ τραχήλου καὶ τενόντων καὶ συνδέσμων καὶ κεφαλῆς. εἰ δὲ τῶν ἐν σκέλει νεύρων εἴη τὸ τμηθὲν, ὥσπερ ἐπὶ χειρὸς μασχάλας, οὕτως ἐνθάδε βουβῶνας ἐλαίῳ πολλῷ τέγγειν, ἐπαναβαίνειν δὲ δι' ὅλης τῆς ῥάχεως ἐπὶ τράχηλόν τε καὶ κεφαλήν. ἡ δὲ θλάσις ἡ τῶν νεύρων, ὅταν μὲν ἅμα τῷ δέρματι θλασθέντι τε καὶ ἑλκωθέντι γίγνηται, φαρμάκων δεῖται τῶν μὲν τοῦ ξηραίνειν σκοπὸν ἐχόντων κοινὸν, συνάγειν δέ πως καὶ σφίγγειν δυναμένων τὰ διὰ τὴν θλάσιν ἀλλήλων ἀφεστῶτα μόρια. τὰ δὲ χωρὶς τοῦ θλασθῆναι τὸ δέρμα συνεχέστατα καταντλεῖν ἐλαίῳ θερμῷ διαφορητικῷ, τὴν δ' ὅλην τοῦ σώματος ἐπιμέλειαν ὁμοίαν ποιεῖσθαι. ἅπαξ οὖν εἶδον τοῦτο γιγνόμενον, ἰασάμην τε ταχέως αὐτὸ διὰ τῆς καταντλήσεως. ἅμα μέντοι τῷ δέρματι πάνυ πολλάκις ἐθεασάμην νεῦρα θλασθέντα καὶ διὰ τὸ συνεχὲς τοῦ συμπτώματος οἱ ἀθληταὶ τῇ πείρᾳ

his quoque funt eadem; caeterum detrahere largius fanguinem ac tenui magis quam in illis uti victu, tum in quiete omnino, ac lectulo molli hominem continere oportet; tum oleo calenti ubertim in axillis, collo, tendonibus, ligamentis et capite uti. Quod fi vulneratus nervus ex iis fit qui in crure habentur, ficuti cum in manu erat, alae, ita in his bubones largo oleo imbuendi, tum per totam fpinam ad collum et caput ascendendum. Contufi vero nervi, ubi cum his una cutis quoque contufa exulcerataque eft, medicamenta poftulant, quae in ficcando quidem commune nervi ulcera fanantium confilium fervent, caeterum quae partes, quum per contufionem a fe diffideant, contrahere conftringereque fint apta. Qui vero absque cutis fimili affectu funt contufi, hos oleo calente discutiente faepiffime perfundere oportet, ac totius corporis fimilem curam habere. Semel hoc incidere vidi fanavique, id mature ipfa ex oleo perfufione. Verum una cum cute nervos contufos faepenumero vidi; et propter ejus fymptomatis frequentiam athletae ipfo

διδαχθέντες ἔχουσι κατάπλασμα τὸ δι᾽ ὀξυμέλιτος καὶ τοῦ τῶν κυάμων ἀλεύρου καὶ ἔστιν ὄντως ἀγαθὸν φάρμακον. εἰ δ᾽ ὀδύνη τις συνείη τῇ θλάσει, πίττης ὑγρᾶς μιγνύειν ἕψοντάς τε καλῶς ἐπιτιθέναι θερμόν· ὅταν δὲ ξη(99)ραντικώτερον ἐθέλῃς γίγνεσθαι, μιγνύειν ὀρόβων ἀλεύρου. καὶ εἰ μᾶλλον βούλοιο ξηραίνειν, ἴρεως τῆς Ἰλλυρίδος ἢ μυρίκης. ἡ δὲ τοῦ παντὸς σώματος ἐπιμέλεια καὶ τούτοις κοινή. διακοπέντος δὲ ὅλου τοῦ νεύρου κίνδυνος μὲν οὐκέτι οὐδεὶς, ἀνάπηρον δ᾽ ἔσται τὸ μόριον. ἡ δὲ ἴασις κοινὴ τοῖς ἄλλοις ἕλκεσιν, ἣν μόνην ἴσασιν οἱ Θεσσάλειοι. περὶ μὲν δὴ τῶν νεύρων ἱκανὰ καὶ ταῦτα. τὰς δὲ ἐπιγινομένας αὐτοῖς φλεγμονὰς ὅπως χρὴ θεραπεύειν ἐν τῷ τῶν φλεγμονῶν λόγῳ διαιρησόμεθα.

Κεφ. δ΄. Ὁμοιοτάτην δὲ τοῖς τένουσιν ἔχοντες ἰδέαν οἱ σύνδεσμοι θεραπείας ἰσχυροτάτης ἀνέχονται, διά τε τὸ μὴ περαίνειν ἐπὶ τὸν ἐγκέφαλον ἀναίσθητοί τε εἶναι· τὰ μὲν γὰρ νεῦρα σύμπαντα τὰ μὲν ἄντικρυς ἐξ αὐτοῦ πέφυκε

ufu edocti habent cataplasma, quod ex oxymelite et fabacea farina conficitur; quod plane falutare medicamentum eft. At fi dolor una cum contufione vexet, etiam picem liquidam immiscere ac bene coquere, tum calens medicamentum imponere oportet; ubi vero magis ficcans efficere voles, ervi farinam miscebis. Quod fi ut amplius quoque ficcet defiderabis, irim Illyricam vel myricam immittes. Totius autem corporis cura his quoque communis eft. At fi totus praecifus nervus fit, periculum praeterea nullum inftat, fed mutila pars manebit. Curatio vero *eius* communis eft caeteris ulceribus, quamque unam Theffalii norunt. Ergo de nervis haec abunde fint dicta. Phlegmonas vero his fupervenientes quomodo curare oporteat, ubi de phlegmonis agemus, docebimus.

Cap. IV. Quum ligamenta fimillimam habeant tendonibus fpeciem, valentiffimorum remediorum vim tolerant, quod nec ad cerebrum pertingant et fenfus fint expertia; nam nervi omnes alii ex ipfo ftatim cerebro ortum habent,

τοῦ ἐγκεφάλου, τὰ δὲ διὰ τοῦ νωτιαίου. καὶ μέν γε καὶ οἱ τένοντες, ἐπειδὴ σύνθετον αὐτῶν ἐπεδείκνυμεν εἶναι τὴν οὐσίαν ἐκ νεύρου καὶ συνδέσμου, καθ᾽ ὅσον μὲν νεύρου μετέχουσι, κατὰ τοσοῦτον ἐξ ἐγκεφάλου πεφύκασιν, οὐ μὴν ἧττόν γε τῶν νεύρων αὐτῶν ἐπιφέρουσι τοὺς σπασμούς. οἱ σύνδεσμοι δὲ ἐξ ὀστοῦ πεφυκότες, ὅσοι μὲν στρογγύλοι, νεύροις ἐοίκασι, πολὺ δὴ τῇ σκληρότητι διαφέροντες· ἀλλὰ τῷ λευκοί τε εἶναι καὶ ἄναιμοι καὶ ἀκοίλιοι, διαλύεσθαί τε εἰς ἶνας, ἡ ὁμοιότης αὐτῶν ἐστι πρός τε τὰ νεῦρα καὶ τοὺς τένοντας. ἔνθα μὲν οὖν στρογγύλοι σύνδεσμοι καὶ τένοντές εἰσι, τοῖς ἀπείροις ἀνατομῆς ὡς νεῦρα φαντάζονται, καὶ μάλισθ᾽ ὅταν ἀγνοῶσιν ὅτι καὶ σκληρότεροι πολὺ τῶν νεύρων εἰσίν· ἔνθα δὲ πλατεῖς, ἐνταῦθ᾽ ὅτι μὲν νεύρων διαφέρουσιν ἐπίστανται, καίτοι γε οὐδὲ τοῦτο πάντες· οὐ μὴν γιγνώσκουσί γε διακρίνειν αὐτοὺς ἀπ᾽ ἀλλήλων. ἀλλὰ σύ γε τὴν φύσιν ἑκάστου τῶν τριῶν μορίων ἐπιστάμενος, ἔτι τε διάπλασιν καὶ θέσιν ἣν ἔχουσιν ἐν ἅπαντι τῷ σώματι καθ᾽ ἕκαστον μέλος, ἐπειδάν ποτε τύχῃ κατ᾽ ἐκεῖνο τραῦμα γενόμενον, ἑτοί-

alii fpinali medulla. Tendones quoque, quoniam compofitam eorum effe fubftantiam ex nervo ligamentoque oftendimus, quatenus nervi participes funt, eatenus ex cerebro oriuntur, caeterum minus faltem quam ipfi nervi convulfionem accerfunt. Ligamenta vero, quum ex offe ortum habeant, quaecunque rotunda funt, ea nervis affimilia funt, duritie tamen plurimum diffident; verum in eo quod alba fint et exanguia et cavitate carentia et in fibras dividuntur, fimilitudo illis cum nervis et tendonibus conftat. Ergo ubi teretia ligamenta tendonesque vifuntur, qui diffectionum funt ignari nervos eos imaginantur, potiffimum qui multo duriora ea nervis effe non intelligunt: at ubi lata funt, ibi ea a nervis diverfa effe intelligunt, quanquam ne id quidem omnia; caeterum ipfa a fefe discernere non valent. Verum tu, qui cujusque trium partium naturam perfpectam habes, tum vero et conformationem et quam in toto corpore pofituram obtinent, in quacunque parte vulnus fieri

μως γνωριεῖς εἴτε νεῦρόν ἐστι τὸ τετρωμένον, εἴτε σύνδεσμος, εἴτε τένων. περὶ μὲν δὴ τῆς τῶν νεύρων καὶ τενόντων θεραπείας προείρηται. [139] σύνδεσμος δὲ τρωθεὶς ὁ μὲν ἐξ ὀστοῦ διήκων εἰς ὀστοῦν ἀκινδυνότατός ἐστι, καὶ πάντῃ ξηραίνων αὐτὸν ὁποίοις βούλοιο φαρμάκοις οὐδὲν βλάψεις τὸν ἄνθρωπον. ὁ δ᾽ εἰς μῦν ἐμφυόμενος ὅσον ἀκινδυνότερός ἐστι τένοντος καὶ νεύρου, τοσοῦτον τῶν ἄλλων συνδέσμων σφαλερώτερος, ἢν μὴ χρηστῶς θεραπεύηται. τούτων οὐδὲν οἷοί τέ εἰσι διαπράξασθαι μεθόδῳ τῶν ἰατρῶν ὅσοι μήτε τὴν ἀπὸ τῶν μορίων ἔνδειξιν εἰς τὰς τῶν ἑλκῶν ἰάσεις χρήσιμον εἶναι συγχωροῦσιν, οὔθ᾽ ὅσοι τοῦτο μὲν ὁμολογοῦσιν, ἀγνοοῦσι δὲ τὴν ἑκάστου φύσιν, ἥτις, ὡς ἐδείκνυμεν, ἐκ τῆς τῶν στοιχείων γίνεται κράσεως. ἀλλ᾽ οὗτοι μὲν εἰ καὶ μηδὲν ἄλλο, τά γ᾽ ἐκ τῆς ὀργανικῆς κατασκευῆς τῶν μορίων ἐνδεικτικῶς λαμβανόμενα γιγνώσκουσι· οἱ δ᾽ ἀπὸ τοῦ Θεσσαλοῦ καὶ ταῦτ᾽ ἀγνοοῦσιν, οἷον αὐτίκα διαιρεθέντος ἐπιγαστρίου μέχρι τοσούτου βάθους ὡς προπεσεῖν ἔντερον, ὅπως τε χρὴ καταστεῖλαι τοῦτο· καὶ ἢν

contigerit, ſtatim intelliges nervusne ſit vulneratus, an ligamentum tendove. Et de nervi quidem ac tendonis curatione jam dictum nobis eſt. Ligamentum vero vulneratum, quod ab oſſe ad os permeat et maxime ſine periculo eſt et omnino ipſum ſiccans quibuslibet medicamentis, nihil hominem offendes. Quod vero in musculum ſe inſerit, quanto eſt nervo et tendone minus periculo opportunum, tanto, niſi rite curetur, reliquis ligamentis magis terrere debet. Horum nihil peragi methodo ab iis medicis poteſt, qui indicationem, quae a partibus ſumitur utilem eſſe ad ulcerum curationem negant, nec ab iis qui id quidem coſitentur, ſed tamen cujusque partis naturam ignorant, quae nimirum, ſicut oſtendimus, ex ipſo elementorum conſtat temperamento. Verum ii quanquam nihil aliud, ſaltem quae ex organica partium conſtitutione indicantur, intelligunt. Theſſali vero ſequaces etiam haec ignorant; veluti ſtatim ſi diviſum abdomen tam alte ſit ut inteſtinum ex eo procidat nec quemadmodum id reponere conveniat, nec ſi omentum exciderit, ab-

ἐπίπλους προπέσῃ, πότερον ἀποκόπτειν, ἢ οὐκ ἀποκόπτειν αὐτὸν χρή· καὶ πότερον βρόχῳ διαλαμβάνειν, ἢ μή· καὶ εἰ ῥάπτειν, ἢ μὴ ῥάπτειν τὸ τραῦμα· καὶ ῥάπτοντας ὅτῳ χρὴ τρόπῳ ῥάπτειν, οὐδὲν τούτων ἐπίστανται, οὐδὲ γὰρ ἡμεῖς ἂν ἔγνωμεν, εἰ μὴ δι᾽ ἀνατομῆς ἐμάθομεν ἁπάντων τῶν τῇδε μορίων τὴν φύσιν, ἣν καὶ διελθεῖν ἀναγκαῖόν ἐστιν οὐ σαφηνείας μόνης ἕνεκα τῶν λεχθησομένων, ἀλλὰ καὶ πίστεως. δέρμα μὲν ἔξωθεν ἁπάντων προβέβληται τελευτῶν εἰς ὑμένα. μεθ᾽ ὃ κατὰ μὲν τὴν μέσην χώραν ἀπονευρώσεις μυῶν τέτανται διτταὶ δίκην ὑμένων· ἃς οὐδ᾽ ὅτι δύο εἰσὶν οἱ πολλοὶ τῶν ἀνατομικῶν ἐπίστανται. καὶ γὰρ καὶ συμπεφύκασιν ἀλλήλαις, ὡς ἔργον εἶναι χωρίσαι, καὶ λεπτότητος εἰς ἄκρον ἥκουσιν. ἐφεξῆς δὲ ταῖσδε δύο μύες ὄρθιοι σαρκώδεις ἀπὸ τοῦ στήθους ἐπὶ τὰ καλούμενα τῆς ἥβης ὀστᾶ καθήκουσι. ταῦτα μὲν δὴ σύμπαντα τὰ εἰρημένα συμφυῆ τ᾽ ἐστὶ καὶ οἱ τὰς καλουμένας γαστροῤῥαφίας ὅπως χρὴ ποιεῖσθαι γράψαντες, ἐπιγάστριον ὀνομάζουσι τὸ συγκείμενον

fcindendumne id fit, an non, nec an vinculo id excipiendum, an fecus, nec an fuendum vulnus fit, nec ne, nec fi fuendum fit, qua ratione fuendum, quicquam intelligunt, ut quae ne nos quidem intelligeremus, nifi ex diffectionis ratione omnium quae iftic continentur partium naturam didiciffemus; quam etiam exponere neceffum eft non claritatis modo gratia eorum quae dicenda funt, fed etiam probationis. Cutis extrinfecus omnibus anteftat, haec vero in membranam finitur. A cute medio circiter loco aponeurofes musculorum geminae tenduntur membranarum ritu. Eas plerique anatomicorum duas effe minime norunt, quum et una fibi cohaereant coalescantque, fic ut labor fit eas feparaffe et fumma propterea fint tenuitate. Poft has deinceps habentur duo musculi recti et carnofi, qui a pectore ad ipfa pubis offa perveniunt. Atque haec quidem memorata omnia et fibi cohaerent coalescuntque, et quod conflatum ex ipfis eft, qui quemadmodum vocatas gaftrorrhaphias, *id eft ventris feu abdominis futuras*, fieri conveniat, prodi-

ἐξ αὐτῶν. ὅσον δ' ἐφεξῆς τῷδε, καλεῖται μὲν ὑπ' αὐτῶν περιτόναιον, οἰομένων ἓν ἁπλοῦν ἀσύνθετον εἶναι σῶμα· τὸ δὲ οὐχ οὕτως ἔχει, σύγκειται γὰρ ἐκ δυοῖν σωμάτων, ἀναίμων μὲν ἀμφοῖν καὶ νευρωδῶν, ἀλλὰ τὸ μὲν ἕτερον αὐτῶν ἀπονεύρωσίς ἐστι μυῶν ἐγκαρσίων, τὸ δ' ἕτερον ὑμὴν ἀκριβῶς λεπτὸς, οἷόν περ τὸ ἀράχνιον, ὅπερ δὴ τὸ περιτόναιον ὄντως ἐστί. τοιοῦτον μὲν ἐν τοῖς μέσοις ἑαυτοῦ τὸ ἐπιγάστριον· ὅσον δὲ ἀποκεχώρηκεν ἑκατέρωσε πρὸς τὸ πλάγιον ὡς ἐπὶ τέσσαρας δακτύλους, τοῦτο ἐφεξῆς τῷ δέρματι τοὺς λοξοὺς ἔχει μῦς· προτέρους μὲν τοὺς ἀπὸ τοῦ θώρακος καταφερομένους, δευτέρους δὲ τοὺς ἀπὸ τῶν λαγόνων ἀναφερομένους· εἶτα ἐπὶ τούτοις τὸν ἐγκάρσιον, ἐφ' ὧν τὸ περιτόναιον. ἀκινδυνότερόν τε οὖν ἐστι τοῦτο τὸ χωρίον τοῦ μέσου, μηδεμίαν ἔχον ἀπονεύρωσιν· αἵ τε γαστρο῾ῥαφίαι κατὰ τὸ μέσον εἰσὶ δυσμεταχείριστοι· καὶ γὰρ καὶ προπίπτει τὰ ἔντερα ταύτῃ μάλιστα καὶ δυσκάθεκτά ἐστιν ἐν τούτῳ τῷ τόπῳ· τὸ γὰρ σφίγγον αὐτὰ καὶ προστέλλον οἱ ὄρθιοι μύες ἦσαν οἱ σαρκώδεις, οὓς ἐκ

derunt, abdomen nominarunt. Quod vero hoc deinceps excipit, ab illis quidem vocatur peritonaeum, putantibus videlicet unum et fimplex id effe corpus minimeque compofitum, fed non ita fe res habet, quum id compofitum ex duobus corporibus fit, quorum utrumque et exangue et nervofum fit. Verum alterum eorum aponeurofis eft musculorum transverforum, alterum membrana praetenuis velut aranea, quae utique vere eft peritonaeum. Ac tale quidem in medio fui eft abdomen, partes vero ejus, quae utrinque latus ad quatuor quafi digitos recedunt, hae ftatim a cute obliquos musculos habent; priores quidem qui a pectore demittuntur, fecundos qui ab ilibus ascendunt, deinde poft hos transverfum *musculum*, fub quo eft peritonaeum. Ergo et minus periculi in hoc loco quam in medio eft, quum aponeurofin nullam habeat et futurae in medio difficulter adminiftrentur, quippe quum et procidant hac parte maxime inteftina et aegre hoc in loco contineri queant; qui enim conftrinxerant contraxerantque ea, recti

*τοῦ θώρακος ἐπὶ τὰ τῆς ἥβης ὀστᾶ καθήκειν ἔφαμεν. ὅταν οὖν τις τούτων τρωθῇ διὰ διττὴν αἰτίαν, ἀναγκαῖόν ἐστι προπίπτειν ἔντερον, ἐκ μὲν τῶν πλαγίων μερῶν ὑπὸ τῶν ταύτῃ μυῶν σφιγγόμενον, ἐκ δὲ τῶν μέσων οὔτε τὸν μῦν ἐῤῥωμένον ἔχον, ἐπιτήδειόν τε χώραν εἰς πρόπτωσιν. εἰ δὲ* [140] *καὶ μεῖζον εἴη τὸ τραῦμα, πλείω τε προπίπτειν ἀναγκαῖόν ἐστιν ἔντερα καὶ χαλεπώτερον καταστέλλεσθαι. καθ᾽ ἕτερον δ᾽ αὖ τρόπον αἱ βραχεῖαι τρώσεις δυσμεταχείριστοι. ἢν γὰρ μὴ παραχρῆμά τις εἰς τὴν ἑαυτοῦ χώραν ἐμβάλλῃ τὸ προπεπτωκὸς, εἰς ὄγκον αἴρεται πνευματούμενον· ὥστ᾽ οὐκ ἔτι οἷόν τε δι᾽ ὀπῆς στενῆς ἐμβάλλειν αὐτό. βέλτιον οὖν ἐν ταῖς τοιαύταις τρώσεσι τὸ σύμμετρον τραῦμα. ταυτὶ μὲν δὴ προεπίστασθαι χρή· ὡς δ᾽ ἄν τις ἄριστα μεταχειρίζοιτο τὰς τοιαύτας τρώσεις, ἐφεξῆς σκεπτέον. ὅτι μὲν γὰρ οὐκ ἀρκεῖ τὸ Θεσσάλειον παράγγελμα τὸ κολλᾷν τοῖς ἐναίμοις φαρμάκοις αὐτὰς, οὕτως ἡγοῦμαι πρόδηλον ὑπάρχειν ὡς οὐδένα λαθεῖν τῶν ἐχόντων νοῦν. ἐπεὶ τοίνυν προηγεῖσθαι*

illi carnofique musculi erant, quos ex pectore ad pubis offa demiffos diximus. Ergo quoties horum aliquis eft vulneratus, duplici de caufa procidere inteftinum eft neceffum, a partibus quidem quae funt ad latus propterea quod musculis qui iftic funt conftringitur, a mediis vero quod nec mufculum eum qui contineret habet etiamnum validum, et quod locus opportune ad procidentiam eft comparatus. Quod fi majus etiam vulnus fuerit, tum plura necelfe eft inteftina excidere, tum difficilius denuo immitti. Porro alia ratione parva vulnera tractatu funt difficilia. Nam nifi quod procidit, illico in locum fuum reponas, inflatur furgitque in tumorem, quo evenit ut per anguftum foramen immitti nequeat. Minus igitur grave in ejusmodi vulnerationibus mediocre foramen eft. Atque haec quidem praefciffe oportet; proximum eft ut quemadmodum quis hoc genus vulnerum commodiffime contrectet confideremus. Nam Theffali praeceptum, quo cenfet enaemis ea medicamentis glutinanda effe, parum fatisfacere manifeftius puto quam ut quenquam latere qui compos fit mentis poffit. Quoniam igitur

μὲν χρὴ ἐς τὴν οἰκείαν χώραν ἀποτίθεσθαι τὰ προπεπτωκότα ἔντερα, δεύτερον δὲ ἐπὶ τόδε ῥάψαι τὸ ἕλκος, εἶθ' ἑξῆς τρίτον ἐπιθεῖναι τὸ φάρμακον, εἶτ' ἐπ' αὐτὸ τέταρτον ὅπως μὴ συμπάθῃ τι τῶν κυριωτέρων προνοεῖσθαι, περὶ τοῦ πρώτου ῥηθέντος ἤδη σκοποῦμεν. οὐσῶν δὲ, ὡς εἴρηται, τριῶν ἐν τοῖς τραύμασι κατὰ μέγεθος διαφορῶν, ἀφ' ἑκάστης αὐτῶν πειρᾶσθαι χρὴ λαβεῖν οἰκείαν ἔνδειξιν. ἔστω δὴ πρότερον μικρὸν οὕτως ὡς τὸ προπεσὸν ἔντερον ἐμφυσηθὲν μηκέτι οἷόν τε εἶναι καταστέλλειν, ἆρ' οὐκ ἀναγκαῖον ἐνταῦθα δυοῖν θάτερον, ἤτοι τὴν φῦσαν ἐκκενοῦν ἢ τὸ τραῦμα μεῖζον ἐργάζεσθαι; βέλτιον οὖν οἶμαι τὸ πρότερον, ἐάν περ οἷόν τε ᾖ τυχεῖν αὐτοῦ. πῶς δ' ἄν τις τύχοι μᾶλλον; εἰ τὴν αἰτίαν ὑφ' ἧς ἐκφυσᾶται τὸ ἔντερον ἐκποδὼν (100) ποιησαίμεθα. τίς οὖν ἐστιν αὕτη; ἡ ἐκ τοῦ περιέχοντος ἀέρος ψύξις· ὥστε καὶ ἡ ἴασις ἐν τῷ θερμῆναι. σπόγγον οὖν χρὴ μαλακὸν ὕδατι θερμῷ βρέξαντας, εἶτ' ἐκπιέσαντας ἐκθερμῆναι τούτῳ τὸ ἔντερον. εὐτρεπιζέσθω δὲ ἐν τῷ τέως οἶνος αὐστηρὸς θερμὸς,

principio id agendum eſt ut inteſtina, quae exciderunt, in ſuum locum recondantur; ſecundo loco ut ulcus ſuatur; tertio ut medicamentum imponas; quarto ut ne qua praeſtantior pars ſimul afficiatur proſpicias; age jam de primo horum agamus. Quum igitur triplex, ut dictum eſt, discrimen horum vulnerum in magnitudine ſit, propriam a quoque indicationem ſumere tentemus. Eſto autem principio vulnus adeo parvum ut inflatum jam quod excidit inteſtinum remittere amplius non ſit; numquid igitur hoc loco alterum e duobus eſt neceſſum, aut flatum educere, aut vulnus ampliare? Praeſtiterit autem, ut arbitror, prius ſi modo id conſequi liceat. At non alia potius ratione id conſequare, quam ſi cauſam unde excitata inteſtini inflatio eſt ſubmoveris. Ea igitur quae demum eſt? Certe ambientis aëris refrigeratio, itaque etiam ſanatio ex calefaciendo petetur. Ergo ſpongia molli et ex calente aqua madenti, ac mox expreſſa calefacere inteſtinum conveniet. Praeparetur vero interea vinum auſterum calidum; quippe

καὶ γὰρ θερμαίνει μᾶλλον ὕδατος καὶ ῥώμην ἐντίθησι τῷ ἐντέρῳ. εἰ δὲ καὶ τούτῳ χρησαμένων ἔτι διαμένει τὸ ἔντερον ἐμπεφυσημένον, ἐπιτέμνειν τοῦ περιτοναίου τοσοῦτον ὅσον δεῖται τὸ προπεπτωκός. ἐπιτήδεια δ᾽ ἐστὶν εἰς τὴν τοιαύτην τομὴν τὰ καλούμενα συριγγοτόμα. τὰ δ᾽ ἀμφήκη τῶν μαχαιρίων, ἢ κατὰ τὸ πέρας ὀξέα παντὶ τρόπῳ φευκτέα. σχῆμα δ᾽ ἐπιτήδειον τῷ κάμνοντι πρὸς μὲν τοῖς κάτω μέρεσι τῆς τρώσεως γεγενημένης τὸ ἀνάῤῥοπον, πρὸς δὲ τοῖς ἄνω τὸ κατάῤῥοπον. εἷς δ᾽ ἐπ᾽ ἀμφοῖν σκοπὸς, ὡς μὴ βαρύνοιτό τι πρὸς τῶν ἄλλων ἐντέρων, τὸ προπεπτωκός. ὥστε καὶ τοῦ σκοποῦ τοῦδε κατὰ μὲν τὰ δεξιὰ μέρη τοῦ τραύματος γεγονότος, ἐπὶ θάτερον ῥέπειν· εἰ δὲ ἐκ τῶν ἀριστερῶν ᾖ, πρὸς τὴν δεξιὰν ἐπικλίνεσθαι πλευρὰν ὑψηλότερον ἀεὶ ποιοῦντας τὸ τετρωμένον μόριον. τοῦτο μέντοι καὶ τοῖς μεγάλοις καὶ τοῖς μέσοις ἕλκεσι συνοίσει· κοινὸς γὰρ ἁπάντων ὁ σκοπός. αἱ δ᾽ ἀποθέσεις τῶν ἐντέρων εἰς τὴν οἰκείαν χώραν, ὅταν ἐπὶ τοῖς μεγάλοις γίγνωνται τραύμασιν,

id magis calefacit quam aqua et robur inteſtino acquirit. Quod ſi huic etiam praeſidio inteſtini inflatio non ceſſerit, incidendum peritonaei tantulum eſt quantum ei quod excidit reponendo ſit ſatis. Appoſita porro ad ejusmodi inciſionem ſunt ea quae ſyringotoma vocant. Scalpelli vero quibus acies utrinque habetur aut quibus cuspis acuta eſt, omnino ſugiendi ſunt. Figura vero laboranti appoſita fuerit, quum in inferiore parte factum vulnus eſt, ſi ſurſum vergat, quum vero in ſuperioribus, ſi deorſum. Unum autem utrobique cavetur, ne quod exciderit ab aliis quicquam inteſtinis degravetur. Itaque ex hoc ſcopo conveniet, ut ſi in dextris vulnus ſit, corpus in contrariam partem inclinetur; ſin in ſiniſtris ſit, in dextram, ſic ut quae vulnerata pars eſt, ſemper altiorem locum occupet. Atque hoc tum in magnis, tum etiam in mediocribus vulneribus conducibile fuerit; quippe is omnibus communis ſcopus eſt. Caeterum repoſitio inteſtinorum in ſuum locum, ubi ex magno exciderunt vulnere, plane miniſtrum poſtulat dextrum.

Ed. Chart. X. [140. 141.] Ed. Baf. IV. (100.)

ὑπηρέτου δέονται δεξιοῦ. χρὴ γὰρ αὐτὸν ὅλον ἔξωθεν καταλαβόντα τὸ τραῦμα ταῖς ἑαυτοῦ χερσὶν εἴσω προστέλλειν τε καὶ σφίγγειν, ὀλίγον ἑκάστοτε τῷ ῥάπτοντι προγυμνοῦντα· καὶ μέντοι καὶ τὸ ῥαφὲν αὐτὸ μετρίως προστέλλειν, ἄχριπερ ἂν ὅλον ἀκριβῶς ῥαφῇ. τίς δ' ἂν εἴη τρόπος ἐπιτήδειος εἰς τὰ τοιαῦτα τῆς καλουμένης γαστροῤῥαφίας ἐφεξῆς λέγωμεν. ἐπειδὴ συμφῦσαι χρὴ τῷ περιτοναίῳ τὸ ἐπιγάστριον, ἀρκτέον μὲν ἀπὸ τοῦ δέρματος ἔξωθεν εἴσω διαπείροντα τὴν βελόνην. ἐπειδὰν δὲ τὸ δέρμα καὶ τὸν μῦν τὸν ὄρθιον ὅλον διεξέλθοι, τὸ παρακείμενον ὑπερβαίνοντα περιτόναιον, [141] ὠθεῖν αὐτὴν ἔσωθεν ἔξω διὰ τοῦ λοιποῦ ἀντικειμένου περιτοναίου, κἄπειτ' ἐντεῦθεν ἔσωθεν ἔξω διαπείρειν τὸ ἕτερον ἐπιγάστριον. διεξελθούσης δὲ τελέως αὐτῆς, ἔξωθεν εἴσω τὸ ἐπιγάστριον τοῦτο διαιροῦντας, εἶτα τὸ παρακείμενον αὐτῷ περιτόναιον ὑπερβαίνοντας, ἐπί τε τὸ ἀντικείμενον ἐλθόντας ἔσωθεν ἔξω τοῦτο διακεντεῖν, ἅμα δ' αὐτῷ καὶ τὸ πλησίον ἐπιγάστριον ἅπαν· εἶτ' αὖθις ἀπὸ τούτου πάλιν ἀρξαμένους συῤῥάπτειν αὐτὸ τῷ ἀντικειμένῳ

Debet enim, ubi manibus fuis totum vulnus extrinfecus apprehenderit, intro reprimere, tum conftringere, ac exiguum femper fuenti praenudare; quin etiam id ipfum quod affutum eft modice comprimere, quoad totum perfuatur. Jam vero quae commoda ratio fuendi abdominis in talibus vulneribus fit deinceps doceamus. Quoniam *coire* coalescereque cum peritonaeo oportet abdomen, incipiendum quidem a cute eft, atque ab externo introrfus acus injicienda Ubi vero tum cutem tum rectum musculum totum transierit, praeterito quod ei fubeft peritonaeo, per reliquum peritonaeum oppofitum eam ab interno extrorfus injicies, atque inde per reliquum abdomen ab interno extra transmittes. Ubi hoc penitus transmifit, rurfus ab externo introrfum idem abdomen eft perforandum. Mox ubi peritonaeum, quod illi quoque fubhaeret, praeterieris atque ad contrarium veneris, hoc quoque ab interno extrorfus perpungendum, unaque cum eo totum ipfi vicinum abdomen. Deinde ab hoc rurfus incipiendum atque id cum contrario

περιτοναίῳ· κἄπειτα διεκβάλλειν διὰ τοῦ πλησίον δέρματος, ἐκεῖθεν δ᾽ αὖ πάλιν εἴσω διείρειν, συῤῥάπτοντας αὐτὸ τῷ ἀντικειμένῳ περιτοναίῳ, διεκβάλλοντάς τε διὰ τοῦ πλησίον δέρματος. εἶτ᾽ αὖθις καὶ αὖθις ἐργάζεσθαι ταῦτα, μέχρι περ ἂν ὅλον ὁμοίως ῥάψωμεν τὸ τραῦμα./ διάστημα δὲ τῶν ῥαφῶν ὅσον μὲν ἐπὶ τῷ σφίγγεσθαι τὰ ὑποκείμενα βραχύτατον εἶναι χρεών· ὅσον δ᾽ ἐπὶ τῷ τὸ μεταξὺ τῶν ῥαφῶν δέρμα διαμένειν ἀσύῤῥηκτον οὐ χρηστὸν τὸ βραχύ. φεύγων οὖν ἑκατέρου τὴν ὑπερβολὴν ἀμφοῖν αἱρεῖσθαι τὸ μέτριον. ἤδη δὲ καὶ τοῦτο κοινόν πως ἁπάντων ἑλκῶν, ὥσπέρ γε καὶ αὐτοῦ τοῦ ῥάμματος ἡ σύστασις. τὸ μὲν γὰρ σκληρότερον χρὴ ῥήσσειν τὸ δέρμα, τὸ δὲ μαλακώτερον αὐτὸ φθάνει ῥηγνύμενον. οὕτω δὲ καὶ τὸ μὲν ἐγγυτάτω τῶν ἄκρων χειλῶν διαπείρειν τὴν βελόνην, τὸ λοιπὸν τοῦ δέρματος ὀλίγιστον ὄν, ἀναγκάζεται καὶ βιάζεται ῥήγνυσθαι, τὸ δὲ ἐπὶ πλεῖστον ἀποχωρεῖν τοῦδε πολὺ τοῦ δέρματος ἀκόλλητον ἀπολείπει. ταυτὶ μὲν οὖν εἰ καὶ πάντων

peritonaeo confuendum, ac rurfus vicina cute transmiffa, iterum ab ea parte acus introrfus eft injicienda, confuendumque abdomen id cum contrario peritonaeo, etiam inibi vicina cute transmiffa. Atque haec iterum iterumque facienda, quoad totum vulnus fimiliter confuerimus. Intervallum vero quod futuris intervenit, quod ad compescenda pertinet ea quae fubfunt, breviffimum effe poftulat./ Quod vero ad firmitudinem ipfius cutis, quae in intervallis futurarum eft necubi rumpatur, brevitas parum tuta eft. Quare utriusque vitato exceffu eligenda mediocritas inter utrumque eft. Jam hoc quoque omnium ulcerum commune quodammodo eft, ficuti etiam ipfius quo fuuntur fili confiftentia. Nam quod ifto durius eft cutem rumpat neceffe eft; quod mollius ipfum prius rumpitur. Aeque vero fi proxime fummas oras acum transegeris, quod reliquum eft cutis, quoniam minimum eft, dum violenter adducitur, cogitur perrumpi; fi plurimum ab iis receffferis, multum cutis haud glutinatum relinques. Haec tametfi omnium fint ulcerum

ἑλκῶν ἐστι κοινὰ, μάλιστα αὐτὰ φυλακτέον ἐν ταῖς γαστροῤῥαφίαις. αὐτὰς δὲ τὰς γαστροῤῥαφίας ἤτοι γε ὡς προείρηται ποιητέον, ἐστοχασμένου τοῦ συμφῦσαι τῷ περιτοναίῳ τὸ ἐπιγάστριον, ἐπειδὴ μόγις αὐτῷ συμφύσεται, νευρῶδες ὑπάρχον, ἢ ὡς ἔνιοι, συνάγοντας ἀλλήλοις τὰ κατὰ φύσιν οἰκεῖα, περιτοναίῳ μὲν περιτόναιον, ἐπιγάστριον δ' ἐπιγαστρίῳ. ἔσται δὲ τοῦτο κατὰ τόνδε τὸν τρόπον. ἀπὸ τοῦ πλησίον ἡμῶν ἐπιγαστρίου διεκβάλλειν χρὴ τὴν βελόνην ἔξωθεν εἴσω δι' αὐτοῦ μόνου· κἄπειθ' ὑπερβάντας ἄμφω τὰ χείλη τοῦ περιτοναίου, πάλιν ἀντεπιστρέψαι τὴν βελόνην ἔξωθεν εἴσω, δι' ἀμφοτέρων τῶν χειλῶν τοῦ περιτοναίου· κἄπειτ' αὖθις ἀντεπιστρέφοντας ἔσωθεν ἔξω διεκβάλλειν κατὰ τὸ ἀντικείμενον ἐπιγάστριον. οὗτος ὁ τρόπος τοῦ κοινοῦ καὶ προχείρου, καθ' ὃν διὰ τῶν τεττάρων χειλῶν ἐπιβολῇ μιᾷ διεκβάλλουσι τὴν βελόνην, διαφέρει τῷ κατακρύπτειν ὅλον ἀκριβῶς ἔνδον τοῦ ἐπιγαστρίου τὸ περιτόναιον. ἑξῆς δὲ περὶ τῶν φαρμάκων εἴπωμεν. εἴη δ' ἂν δήπου καὶ ταῦτα τῆς αὐτῆς ὕλης τοῖς ἐναίμοις ὀνομαζο-

communia, maxime tamen fugienda in abdomine fuendo funt. Ipfa vero abdominis futura aut jam dicto modo adminiftrabitur, utique fiquis huc ftudium dirigat, ut peritonaeum abdomini coalescere faciat, vix enim cum eo coalescit utpote nervofum, aut ficut nonnulli faciunt, qui quae cognatae naturae funt, ea committunt, utique peritonaeo peritonaeum, abdomini abdomen. Id fiet ad hunc modum. Oportet a vicino nobis abdomine incipere, atque ab externo introrfum per id tantum acum transmittere; poft praeteritis utriusque peritonaei labris, ex adverfa parte ab externo introrfus per utrumque ejus labrum acum revocare; deinde rurfus hanc revocare atque ab interno extrorfus per adverfum abdomen trajicere. Hic modus a publico et ex prompto, quo videlicet uno adactu per quatuor labra acum transmittunt, hoc discriminis habet, quod totum peritonaeum intra abdomen prorfus abfcondit. Deinceps vero de medicamentis praecipiamus. Sane haec quoque ejusdem effe materiae debebunt, cujus funt quae enaema dicuntur; quaeque alia-

μένοις, ἃ κἂν τοῖς ἄλλοις μέρεσι συμφύειν τὰ τραύματα διὰ τῶν ἔμπροσθεν ὑπομνημάτων ἀπεδείξαμεν. ἡ δ' ἔξωθεν ἐπίδεσις ἔτι δὴ καὶ μᾶλλον ἐπὶ τούτων ἀναγκαία. τὸ δὲ δὴ τέταρτον ἔτι τῆς θεραπείας μέρος οὐ σμικρῷ τινι τῶν ἄλλων ἀποκεχώρηκεν· ἐλαίῳ γὰρ χρὴ θερμῷ συμμέτρως ἔριον ἁπαλὸν δεύοντας ὅλον ἐν κύκλῳ περιλαμβάνειν τὸ μεταξὺ βουβώνων τε καὶ μασχαλῶν. ἄμεινον δὲ καὶ διὰ κλυστῆρος ἐνιέναι τοῖς ἐντέροις ἕτερον τοιοῦτον. εἰ δέ τι καὶ αὐτῶν τῶν ἐντέρων τρωθείη, τὰ μὲν ἔξωθεν, ὡς εἴρηται, πάντα πράττειν ὡσαύτως, τὸ δὲ ἐνιέμενον οἶνος αὐστηρὸς μέλας χλιαρὸς ἔστω καὶ μᾶλλον εἰ διατρωθείη σύμπαν εἰς τὸν εἴσω πόρον. εὐίατα μὲν οὖν τὰ παχέα [142] τῶν ἐντέρων, δυσιατότερα δὲ τὰ λεπτά. παντάπασι δὲ ἀνίατος ἡ νῆστις διά τε τὸ πλῆθος καὶ τὸ μέγεθος τῶν ἀγγείων καὶ τὸ λεπτὸν καὶ νευρῶδες τοῦ χιτῶνος· ἀλλὰ καὶ τὴν χολὴν ἀκραιφνῆ πᾶσαν ἐκδέχεται τὸ ἔντερον τοῦτο, καὶ πάντων ἐστὶν ἐγγυτάτω τοῦ ἥπατος. γαστρὸς δὲ τὰ μὲν κάτω τὰ σαρκώδη

rum quoque partium unire vulnera in fuperioribus commentariis oftendimus. Deligatio vero extrinfecus vel praecipue in his neceffaria eft. Quarta vero curationis in his pars non paulo ab aliis diffidet; fiquidem quod inter bubones et axillas eft, id totum molli lana ex oleo mediocriter calido imbuta circundare oportet. Satius item fuerit et fi per clyfterem inteftinis aliud fimile infundas. Quod fiquid ipforum inteftinorum fit vulneratum, quae extrinfecus fieri debent, omnia fimiliter, ut diximus, funt peragenda. Caeterum quod injicitur, vinum nigrum, aufterum et tepens erit, eoque magis, fi totum perforatum usque ad internum meatum fit. Ac craffa quidem inteftina facilia fanatu funt, *e contrario* difficiliora quae tenuia funt. Jejunum autem omnino incurabile eft, tum propter magnitudinem multitudinemque vaforum, tum quod tunica ejus praetenuis nervofaque fit; adde quod tum bilem finceram hoc inteftinum recipit univerfam, tum quod omnium jecinori maxime eft vicicum. Ventriculi vero quae carnofae partes infernae funt,

θεραπεύειν τολμῶν· ἐγχωρεῖ γὰρ καὶ τυχεῖν, οὐ μόνον ὅτι παχύτερα ταῦτ᾽ ἐστὶν, ἀλλὰ καὶ τοῖς ἰωμένοις φαρμάκοις εὐπετὴς ἡ ἕδρα κατὰ τήνδε τὴν χώραν αὐτῆς· τὰ δ᾽ ἐν τῷ στόματι καὶ τῷ στομάχῳ τῇ παρόδῳ μόνῃ ψαύει τῶν πεπονθότων· τοῖς δὲ ἐν τῷ στόματι καὶ τὸ περιττὸν τῆς αἰσθήσεως ἐναντιοῦται πρὸς τὰς ἰάσεις. ὅπως δ᾽ ἐπιχειρεῖ γαστέρα τετρωμένην ὁ Ἱπποκράτης ἰᾶσθαι, σὺν καὶ τοῖς ἄλλοις ὀλεθρίοις τρώμασι, παρ᾽ ἐκείνου μανθάνειν ἄμεινον. ἐγὼ γὰρ οὐχ ὑπὲρ τοῦ μηδένα τοῖς Ἱπποκράτους συγγράμμασιν ὁμιλεῖν ἐπὶ τήνδε τὴν πραγματείαν ἧκον, ἀλλ᾽ ὅτι μοι δοκεῖ πρῶτος μὲν ἐκεῖνος ὁδῷ χρήσασθαι προσηκούσῃ, μὴ μέντοι γε ἅπαντα συμπληρῶσαι· καὶ γὰρ ἀδιόριστά τινα τῶν ὑπ᾽ αὐτοῦ γεγραμμένων ἐστὶν εὑρεῖν καὶ ἐλλιπῆ καὶ ἀσαφῆ· διὰ τοῦτο γοῦν ἐγὼ προὐθυμήθην ἅπαντά τε σαφῶς διελθεῖν, ἐξεργάσασθαί τε τὰ χωρὶς διορισμῶν εἰρημένα καὶ προσθεῖναι τὰ λείποντα. προγυμνασάμενος οὖν τις ἐν τοῖς ἡμετέροις ἐπὶ τὴν τῶν Ἱπποκράτους συγγραμμάτων ἀνάγνωσιν ἴτω· καὶ τότε τὸ περὶ τῶν ἑλκῶν βιβλίον ἀναγνώτω τοῦ ἀνδρὸς

curare cum fiducia tentabis; nam fieri poteſt etiam ut bene cedat, non ſolum quod hae craſſiores ſint, ſed etiam quod ſanantia medicamenta facile hoc loco ipſius ſubſiſtant; at in ore ejus ac gula ſolo tranſitu tangunt partes affectas, quae vero in ora ejus ſunt, iis ſenſus quoque acumen ſanationi obſtat. Verum quanam ratione ventriculi vulnerati aliorumque exitialium vulnerum Hippocrates ſanationem moliatur, ab ipſo discere eſt ſatius. Ego namque non eo conſilio, ut nemo Hippocratis libros legat, ad hoc opus ſcribendum acceſſi, verum quoniam is mihi primus idonea uſus eſſe via videtur, nec tamen eam totam compleviſſe, quum quaedam minime limitata, quaedam imperfecta obſcuraque ab eo prodita invenire liceat; idcirco ipſe tum omnia ea lucide explicare, tum quae parum discreta ſunt diſtinguere, tum quae deficiunt ſupplere ſtudui. Ubi igitur aliquis ſe in his noſtris primitus exercuerit, tunc ſe ad libros Hippocratis legendos conferat, ac tum ejus de ulceribus viri librum le-

τό τε περὶ τῶν ὀλεθρίων τρωμάτων. ἕξει δὲ εἰς αὐτὰ μεγίστας ἀφορμὰς ἐκ τῶνδε τῶν ὑπομνημάτων· ἔτι τε γνώσεται βεβαίως ὅτι μήτε τις τῶν ἀπὸ τῆς ὀνόματι μὲν σεμνῷ κεκοσμηκυίας (101) ἑαυτὴν αἱρέσεως τῆς μεθοδικῆς, ἔργῳ δὲ ἀμεθοδωτάτης ὀρθῶς ἕλκος ἰᾶσθαι δυνατός ἐστι, μήτε τῶν ἄλλων λογικῶν, ὅσοι χωρὶς τοῦ γνῶναι τὰ τῶν ὁμοιομερῶν στοιχεῖα μεταχειρίζεσθαι τὴν τέχνην δικαιοῦσιν. ἀπορήσουσι γὰρ καὶ οὗτοι λογικῆς θεραπείας ἐπὶ τῶν ἁπλῶν τοῦ ζώου μορίων, ἀπὸ τῶν ὀργανικῶν μόνων ἐνδείξεις λαμβάνοντες. ὀλίγον οὖν ἔτι πρὸς τοὺς μεθοδικοὺς εἰπόντες ὑπὲρ τῶν κατὰ τὴν γαστέρα τραυμάτων ἐφ᾽ ἕτερόν τι μεταβησόμεθα. τρωθέντος τοῦ περιτοναίου προπίπτει πολλάκις ἐπίπλους, οὔτ᾽ εἰ κύριον ὑπάρχει μόριον, οὔτ᾽ εἰ μὴ κύριον, οὔτ᾽ ἐξ ὧντινων σύγκειται γινωσκόμενον αὐτοῖς, οὔθ᾽ ἥντινα ἔχων ἐνέργειαν ἢ χρείαν. ἐὰν οὖν πελιδνὸν καὶ μέλαν γένηται τὸ προπεσὸν αὐτοῦ μέρος, ὅ τι ποτὲ πράξουσιν ἐπ᾽ αὐτοῦ καλὸν ἀκοῦσαι· πότερον ἀποτεμοῦσιν, ἢ καταθήσουσιν ἔσω τοῦ περιτοναίου; πάντως μὲν γὰρ ἤτοι γ᾽ ἐκ πείρας ἡ γνῶσις ἢ

gat, tum quae de vulneribus exitiofis fcripfit. Porro fimul maximum adjumentum ex his noftris libris habebitur, fimul certo intelliget neminem methodicae fectae, quae nomine fpeciofo venditat, re autem maxime eft a methodo aliena, commode ulcus fanare poffe; fed nec reliquorum rationalium quempiam, quicunque parum cognitis fimilarium partium elementis artem aggredi cenfent; quippe nesciunt hi quoque rationalem fimplicium animalis partium curationem, ut qui ab organicis tantum indicationes fumant. Caeterum paucis etiamnum contra methodicos additis de iftis quae in ventriculo accidunt vulneribus alio ftilum conferemus. Vulnerato peritonaeo excidit plerumque omentum, quod primariane pars fit, an non primaria, vel ex quibus condatur vel quam habeat actionem ufumve, hi compertum non habent. Itaque fi jam livet aut nigricat, portio ea quae excidit, ibi quid faciant, audire eft operae pretium; utrumne praecident an intra peritonaeum remittent? Omnino enim vel ab ipfa experientia *quid agendum fit* intelligent,

ἐξ αὐτῆς τοῦ μορίου τῆς φύσεως ἡ ἔνδειξις αὐτοῖς ἔσται. καίτοι φεύγουσί γ' ἑκατέρας· τὴν μὲν ἐκ τῆς πείρας γνῶσιν ἀνατεινόμενοι τὸ σεμνὸν δὴ τοῦτο τῆς αἱρέσεως αὐτῶν ὄνομα, τὴν μέθοδον· τὴν δ' ἐκ τῆς φύσεως τοῦ μορίου, διότι μήτε τὴν οὐσίαν αὐτοῦ γινώσκουσι, μήτε τὴν ἐνέργειαν ἢ τὴν χρείαν, ἀποστάντες ὡς ἀχρήστου τῆς ἀνατομῆς. ὥστε οὐκ ἴσασιν εἴτε τῶν ἀναγκαίων ἐστὶν εἰς τὸ ζῆν εἴτε τῶν οὐκ ἀναγκαίων μὲν, οὐ μὴν ἀκύρων γε παντάπασιν· ἀλλ' οὐδ' εἰ συμπάσχειν αὐτῷ τι μέλλει μέλος κύριον, ἢ μὴ συμπάσχειν· οὐδ' εἰ τῶν ἀγγείων κατ' αὐτὸ δύναταί τι δι' αἱμοῤῥαγίας ἀποκτεῖναι τὸν ἄνθρωπον· οὐδ' εἰ μετὰ τὴν ἀποτομὴν τοῦ μελανθέντος, εἰ βρόχῳ διαληφθείη τὸ ὑγιὲς, ὑπὲρ τοῦ μηδεμίαν αἱμοῤῥαγίαν γενέσθαι, τοῦτ' αὐτῷ κίνδυνον οἴσει τινά· καὶ γάρ τοι νευρώδης φαίνεται κατά γε τὴν πρόχειρον φαντασίαν. [143] ὥστε εἰ μή τις ἀκριβῶς εἰδείη τὴν φύσιν αὐτοῦ, μή ποτ' ἂν θαῤῥήσῃ βρόχῳ χρήσασθαι, φόβῳ σπασμοῦ. τούτων οὐδὲν οἱ θαυμασιώτατοι γιγνώσκοντες μεθοδικοὶ, τί ποτε

vel ab ipfa partis natura indicationem fument. Atqui refugiunt haec utraque, eam quidem quam experientia fuppeditat cognitionem, dum venerandum hoc fectae fuae nomen, methodum, extollunt, eam quae ex partis natura fuggeritur, quod nec fubftantiam ejus norunt nec actionem nec ufum, dum a diffectione ceu inutili abhorrent. Itaque nesciunt, fitne ex iis quae neceffariae ad vitam fint, an quae neceffariae quidem non fint, non tamen omnino infimae notae, fed nec an ei pars aliqua princeps condolitura fit, an minime per fympathiam aegrotatura, nec an vaforum quae in eo continentur, aliquod poffit per fanguinis profufionem hominem interimere; nec fi quis poft nigrum ejus abfciffum quod integrum eft vinculo complectatur quo fanguinis profluvium declinet, an id ipfum periculo ulli fit futurum; nam levi faltem intuitu omentum nervofum videtur, proinde, nifi quis exacte naturam ejus habeat compertam, nunquam audebit vinculo uti convulfionis metu. Horum quum nihil mirifici ifti methodici intelligant, ubi nigrum redditum omen-

Ed. Chart. X. [143.] Ed. Baf. IV. (101.)

πράξονται ἐπίπλουν μελανθέντος οὐκ ἔχουσι φάναι. ἀλλ' οὐχ ἡμεῖς γε παραπλησίως ἐκείνοις ἄπρακτοι καθεδούμεθα· γινώσκοντες δὲ τὴν μὲν χρείαν αὐτοῦ μικρόν τι τῷ ζώῳ συντελοῦσαν, τὴν δὲ οὐσίαν ἐξ ὑμένος τε λεπτοῦ καὶ ἀρτηριῶν καὶ φλεβῶν συγκειμένην, ἰδόντες δὲ καὶ τούτων τὰς ἀρχὰς ἀπὸ μεγίστων οὔσας ἀρτηριῶν καὶ φλεβῶν, αἱμοῤῥαγίαν μὲν εὐλαβησόμεθα, συμπάθειαν δὲ νεύρων οὐ φοβηθησόμεθα· καὶ διὰ τοῦτο βρόχῳ τε διαληψόμεθα τὸ πρὸ τοῦ μελανθέντος ἀποτεμοῦμέν τε τὸ μετὰ τὸν βρόχον ἐν τῷ κάτω πέρατι τῆς προειρημένης γαστροῤῥαφίας, ἐκκρεμεῖς τοῦ βρόχου τὰς ἀρχὰς ποιησάμενοι, πρὸς τὸ κομίσασθαι ῥᾳδίως αὐτὰς, ὅταν ἀποπτυσθῶσιν ἐκπυήσαντος τοῦ τραύματος.

Κεφ. ε'. Περὶ μὲν οὖν τῶν ἄλλων μορίων τοῦ σώματος αὐτάρκως εἴρηται, περὶ δὲ τῶν ὀστῶν ὑπόλοιπον ἂν εἴη λέγειν. ἐγγίνεται γὰρ δὴ καὶ τούτοις τὸ προκείμενον ἐν τῷ λόγῳ νόσημα, τὸ καλούμενον ὑφ' ἡμῶν ἑνώσεώς τε καὶ συνεχείας λύσις. ὄνομα δὲ ἴδιον αὐτῷ κεῖται κατὰ ταῦτα τὰ μόρια κάταγμα, σχεδὸν πᾶσιν ἀνθρώποις ὅσοι γε τὴν

tum eft, fane dicere quid agendum fit non poffunt. At nos non illis fimiliter inutiles fedebimus, qui quum ufum ejus pauculum quid animali conferentem fubftantiamque ejus ex membrana tenui ac arteriis venisque compofitam fciamus, horum tamen initia ex maximis orta tum arteriis tum venis intelligamus, fanguinis quidem profufionem cavebimus, fympathiam vero nervorum non timebimus; proinde id quod fupra nigricans pofitum eft, vinculo excipiemus, quod poft vinculum eft amputabimus, atque ut in imo fine jam comprehenfae ventris futurae vinculi fines pendeant, curabimus, quo nimirum facile eas, quum ex vulnere fuppurante ejiciuntur, recipiamus.

Cap. V. Ac de reliquis quidem corporis partibus dictum abunde fit, nunc de offibus agendum fupereft; quandoquidem his quoque de quo nunc agitur, morbus accidit quem unitionis five continuitatis folutionem appellamus. Huic cum in hanc inciderit partem, proprium nomen inditum eft catagma *fractura*, omnibus fere hominibus qui

Ed. Chart. X. [143.] Ed. Baf. IV. (101.)

Ἑλλάδα γλῶσσαν ἐπίστανται σύνηθες· ἄπαγμα δὲ τῶν ἰατρῶν ἴδιον ὄνομά ἐστι τοῖς πολλοῖς ἀνθρώποις ἀηθες· εἰώθασι δὲ οὕτω προσαγορεύειν, ὅταν ἀποκαυλισθῇ τι πέρας ὀστοῦ καθ᾽ ὃ διαρθροῦται μάλιστα. καὶ μὲν δὴ καὶ τῶν καταγμάτων ὅσα τελέως διέστησε τὰ μέρη τοῦ κατεαγότος ὀστοῦ, καυληδὸν γεγονέναι φασίν. εὔδηλον δὲ ὡς ἐγκάρσιος ἡ τοιαύτη διαίρεσις, ὥσπερ ἑτέρα κατὰ τὸ μῆκος μᾶλλόν ἐστιν, οὐ διακόπτουσα παντάπασιν ἀπ᾽ ἀλλήλων τὰ μόρια τῶν οὕτω παθόντων, ἀλλ᾽ οἷον σχίζουσα κατ᾽ εὐθυωρίαν, ἣν ὀνομάζειν αὐτοῖς ἔθος ἐστὶ σχιδακηδόν· ἔνιοι δὲ τῶν νεωτέρων ἰατρῶν ἄχρι τοσούτου φιλοτιμοῦνται πάσας τῶν καταγμάτων τὰς διαφορὰς ἰδίοις ὀνόμασιν ἑρμηνεύειν, ὥστε καὶ ῥαφανηδόν τι καὶ ἀλφιτηδὸν γίνεσθαι φασὶν, οὐκ ἀρκούμενοι τῷ λόγῳ δηλῶσαι τὸ πολυειδῶς συντετριμμένον ὀστοῦν. οὐ μὴν Ἱπποκράτης γε τοιοῦτος, ἀλλ᾽ ὡς ἔνι μάλιστα τοῖς συνηθεστάτοις ὀνόμασι χρώμενος, ἑρμηνεύειν οὐκ ὀκνεῖ λόγῳ καὶ ταύτας τῶν καταγμάτων τὰς διαφορὰς καὶ τούτων οὐδὲν

graece loqui norunt tritum; apagma vero *abductio* medicorum appellatio propria eſt, pleriſque hominibus inuſitatum, ſolent autem ita nominare, quoties oſſis finis qua parte maxime cum alio articulate committitur abruptus eſt. Sed et e fracturis ipſis quaecunque fracti oſſis partes jam prorſus ſepararunt, eas cauledon *in ſarcti caulis modum* factas dicunt. Patet vero ejusmodi diviſionem per transverſum eſſe factam, veluti alteram per longitudinem magis eſſe, in qua ſane non omnino ſeparantur a ſe partes ſic affecti oſſis, ſed veluti per rectitudinem ſinduntur, quod genus ſchidacedon, *id eſt aſſulatim,* fieri dicere ſolent. Quidam ex medicis junioribus adeo ambitioſe omnes fracturarum differentias propriis interpretantur nominibus, ut etiam aliquam raphanedon, *id eſt raphani ſpeciem,* vel alphitedon, *id eſt in polentae modum,* fieri dicant, non contenti oratione quod varie ſit fractum explicaſſe. At non Hippocrates hujus fuit ſententiae, ſed quoad fieri licuit, uſitatiſſimis utens nominibus oratione interpretari non eſt gravatus non has modo fra-

ἧττον ὅσα κατὰ τὰ τῆς κεφαλῆς ὀστᾶ γίγνονται. καὶ εἴπερ οὕτως αὐτῷ περὶ πάντων τῶν παθῶν ὁ λόγος ἐξείργαστο, σύντομος ἂν ἡμῖν ἡ προκειμένη πραγματεία ἐγεγένητο. νυνὶ δ᾽ ἐπειδὴ τῶν πλείστων ἐπιδείξας τὴν ὁδὸν οἵαν δεῖ ποιεῖσθαι, τὰ κατὰ μέρος ἀνεξέργαστα παρέλιπεν, ἀναγκαῖον ἡμῖν ἐν ἐκείνοις χρονίζειν· οὐ μὴν οὐδὲ ταῦθ᾽ ὑπερβῆναι δίκαιον, ἀλλ᾽ ὅσα μὲν εἴρηται τελέως Ἱπποκράτει διὰ κεφαλαίων ὑπομνῆσαι, προσθεῖναι δ᾽ ἐνίοις ἀπόδειξιν ἄνευ πίστεως ὑπ᾽ αὐτοῦ ῥηθεῖσι· καί τι καὶ διορίσασθαι τῶν ἀδιορίστων, καὶ τάξαι τῶν ἀτάκτων, καὶ σαφέστερον ἑρμηνεῦσαί τι τῶν ἀσαφεστέρων ὑπ᾽ ἐκείνου [144] γραφέντων. ἀλλ᾽ εἰ μὲν τὰς ῥήσεις αὐτοῦ ἐφ᾽ ἑκάστου παραγράφοιμι, μῆκος ὑπομνημάτων ἐξηγητικῶν ὁ λόγος ἕξει· καί τις ἴσως ἡμῖν ἐγκαλέσει μακρολογίαν εὐλόγως τῶν οὐκ εὐλόγως ἤδη μεμψαμένων ἐπὶ τῷ τρίτῳ καὶ τετάρτῳ γράμματι· κατ᾽ ἐκεῖνα μὲν γὰρ ἀναγκαῖον ἐγένετό μοι πολλὰς ἐκ τοῦ περὶ τῶν ἑλκῶν βιβλίου ῥήσεις Ἱπποκράτους παραθεμένῳ δεικνύναι τοῖς ἄλλοις ἰατροῖς

cturarum differentias, verum etiam earum quae in capitis offibus eveniunt. Ac fi ad eum modum de omni affectione egiffet, profecto concifa mihi propofita tractatio fuiffet; nunc quum plurimorum viam qua fit infiftendum indicarit, fed quae particulatim funt agenda, inchoata indefinitaque reliquerit, neceffum eft in illis immoremur, nec tamen in ipfis plus jufto, fed quae tradita ab Hippocrate perfecte funt, ea fummatim commemoremus; quibusdam etiam demonftrationem adjiciamus, quae ab eo citra probationem enunciata funt, eorum praeterea quae parum funt definita quaedam definiamus, et quae inordinata funt ea in ordinem disponamus; poftremo ex iis quae ille parum lucida reliquit, quibusdam lucem addamus. Verum fi in fingulis verba ejus adfcripfero, expofitorii commentarii longitudinem fermo nofter habebit, nec deerit fortaffis aliquis qui immodicam longitudinem noftram merito accufabit, qui de hac in tertio et quarto volumine parum merito eft quaeftus; in iis enim neceffe fuit mihi multa Hippocratis ex eo libro qui de ulceribus infcribitur, loca apponere, quibus reliquis medicis

ἅπασιν ὁποῖόν τι τὸ κατὰ μέθοδον ἑλκῶν ἐστιν ἴασεις γράφειν. ἐν δὲ τῷ περὶ τῶν καταγμάτων τίς οὕτως ἔμπληκτος ὃς οὐκ ἐπαινεῖ τὴν διδασκαλίαν ὡς σαφῆ τε ἅμα καὶ τελεώτατα πᾶσαν ἐξειργασμένην; εἰ δὲ καὶ φαίη τις εἷς ἢ δύο, μὴ θαυμάζειν τὸ γράμμα, πρὸς τοὺς τοιούτους μάλιστα μὲν ἐν καιρῷ τὸ τοῦ ποιητοῦ λεχθείη, Τούσδε δ' ἔα φθινύθειν ἕνα καὶ δύο. τίς οὖν ἐστιν ἡ τῆς καταγμάτων ἰάσεως ἀληθής τε καὶ ὄντως μέθοδος, ἐξ αὐτῶν τῶν πραγμάτων τῆς φύσεως ἐνδεικτικῶς λαμβανομένη, λέγειν ἂν εἴη καιρὸς ἀρχὴν τῶν λόγων τήνδε θεμένους. ἐπειδὴ λέλυται τῆς συνεχείας τὰ τοῦ κατεαγότος ὀστοῦ μόρια, σκοπὸς μὲν τῆς θεραπείας αὐτοῖς, ὁ γοῦν πρῶτος, ἡ ἕνωσις· εἰ δ' οὗτος ἀδύνατος φαίνοιτο, διὰ τὴν τῶν πεπονθότων μορίων ξηρότητα, δεύτερος ἄλλος ὁ τῆς δι' ἑτέρου κολλήσεως ἀπόκειται σκοπός· ὃς εἰ μηδ' αὐτὸς εὑρίσκοιτο δυνατὸς, ἀνίατον ἐροῦμεν εἶναι τὸ πάθος. ὅτι μὲν οὖν ἀδύνατόν ἐστι συμφῦναι τὸ οὕτως σκληρὸν ὀστοῦν, οἷον ἐπὶ νεανίσκων τ' ἐστὶ καὶ μειρακίων καὶ ἀνδρῶν καὶ πολὺ δὴ μᾶλλον ἐπὶ γερόντων, εὔ-

oftenderem, cujusmodi res fit methodo quadam ulcerum curationem confcribere. In libro autem de fracturis quis adeo eft ftupidus ut doctrinam ejus omnem ceu lucidam planeque abfolutiffimam non fufpiciat? Quod fi quis etiam unus alterve dicat parum fe id opus mirari, his oportuniffime refpondeatur illud poetae: *hos unum atque alterum permitte tabefcere,* Quaenam igitur fit fracturae curandae vera methodus, quamque ipfa rei natura praefcribat, jam tempeftivum dicere videtur, atque hinc fumpto initio. Quoniam fracti offis foluta partium continuitas eft, fcopus certe curationis ipfis faltem primus unitio eft; quod fi is per affectarum partium ficcitatem perfici poffe non videatur, reftat alter fcopus, qui eft, ut alterius cujusdam interventu glutinetur; qui fi nec ipfe comparabilis advertitur, infanabilem effe affectionem dixeris. Quod igitur coalescere nequeat tam durum os quam id quod in juvenibus et adolescentibus et in viris multoque magis in fenibus cernitur, id profecto vel cuivis patere poteft. Poteft certe illud tantum unitio-

Ed. Chart. X. [144.] Ed. Baf. IV. (101. 102.)

δῆλον δήπου παντί. μόνον δ' ἐγχωρεῖ μαλακὸν ἱκανῶς ὀστοῦν, οἷον ἐπὶ τῶν παιδίων ἐστὶ, δέξασθαι σύμφυσιν. ὅτι δὲ καὶ δι' ἑτέρας οὐσίας οἷον διὰ κόλλης ἐγχωρεῖ κολληθῆναί τε καὶ δεθῆναι πρὸς ἄλληλα τὰ διεστῶτα μορία τοῦ κατεαγότος, ἐνθένδε μάλιστα ἄν τις ἐλπίσειεν. ἕκαστον τῶν τοῦ ζώου μορίων τὴν ἰδίαν τροφὴν ὁμοίαν ἔχειν] ἑαυτῷ δέδεικται. εἴπερ οὖν ἀληθὲς τοῦτο, καὶ ἡ τῶν ὀστῶν οἰκεία τροφὴ παχυτάτη καὶ γεωδεστάτη τῶν ἄλλων ἁπασῶν ἔσται τῶν καθ' ὅλον τὸ ζῶον. οὔκουν ἀδύνατον ἐξ αὐτῆς ταύτης τῆς οἰκείας τροφῆς περιττόν τι, (102) τοῖς τοῦ κατάγματος ἐπιπηγνύμενον χείλεσι, δι' ἑαυτοῦ μέσου κἀκεῖνα κολλῆσαι. καὶ δὴ καὶ φαίνεται γιγνόμενον οὕτως· καὶ μαρτυρεῖ τῇ λογικῇ τοῦ πράγματος ἐλπίδι καὶ ἡ πεῖρα. σκεπτέον οὖν ἐφεξῆς, ὅτῳ μάλισθ' ἄν τις τρόπῳ τουτὶ τὸ σῶμα τὸ τοῖς κατάγμασιν ἐπιτρεφόμενον, ὅσον τε καὶ οἷον χρὴ γεννήσειεν. ὅτι μὲν γὰρ οὐθ' ὁπόσον ἔτυχεν οὐθ' ὁποῖον, ἀλλὰ συμμετρίας τινὸς εἰς ἄμφω δεόμενον, ἄντικρυς δῆλον. ἥτις δὲ ἡ συμμετρία, κατά τε τὸ ποιὸν αὐτὸ καὶ κατὰ τὸ ποσὸν ἔτυχεν

nem recipere quod abunde molle eſt, cujusmodi conſpicitur in puerulis. Quod autem alia quapiam interveniente ſubſtantia, ceu glutino quodam agglutinari colligarique ſecum ſeparatae fracti oſſis particulae queant, hinc maxime ſperet quispiam. Monſtratum eſt omnem animalis partem proprium ac ſimile ſibi trahere alimentum. Id ſi verum eſt, oſſium certe idoneum nutrimentum et craſſiſſimum et maxime terreum quam aliud quodvis nutrimentum in toto animali fuerit. Non eſt igitur quod fieri non poſſit, quod ex hoc ipſo proprio alimento redundat, et in labris fracturae concrescit, ſuo ipſius interventu illa quoque conglutinet. Quin etiam ita evenire conſpicitur ſubſcribitque ſpei, quam ratio ſuppeditat, etiam experientia *ipſa.* Itaque conſiderandum deinceps eſt quanam potiſſimum ratione corpus hoc quod fracturis innascitur, quantum qualeque ſit provenire poſſit. Nam quod nec quantum libet nec qualecunque, ſed quod mediocritatem in utroque ſervet, requirimus, id plane eſt evidens. Porro hujus ſymmetriae tum quali-

εὑρόντας, ἐφεξῆς χρὴ ζητῆσαι τὸν τρόπον ᾧ μάλιστ' ἄν τις ἑκατέρου τυγχάνῃ. ζητῆσαι δὲ οὐδὲν ἧττον ἀναγκαῖόν ἐστι καὶ τὸν καιρὸν ἐν ᾧ ταῦτ' ἐργάζεσθαι χρή· πότερον εὐθέως ἅμα τῷ γενέσθαι τὸ κάταγμα, καθάπερ ἐπὶ τῶν τραυμάτων αὐτίκα τὴν σύμφυσιν ἐποιοῦμεν, ἢ μοχθηρὸς μὲν ὁ τοιοῦτος καιρὸς, ἕτερον δέ τινα βελτίω χρὴ ζητεῖν. εὕροιμεν δ' ἂν καὶ αὐτὸ τοῦτο πρὸς τῆς τοῦ πράγματος φύσεως, ὥσπερ καὶ τἄλλα πάντα, διδασκόμενοι. τίς οὖν ἡ τοῦ πράγματος φύσις; ὀστοῦν κατεαγὸς ἅμα τινὶ τῶν εἰρημένων ὀλίγον ἔμπροσθεν διαφορῶν. ἴδωμεν οὖν εἴ τι παρ' ἑκάστης τῶν διαφορῶν εἰς τὴν θεραπείαν αὐτοῦ λαβεῖν ἐστιν, ἀπὸ τῆς καυληδὸν ὀνομαζομένης ἀρξάμενοι. παραλλάττει δ' ἐπὶ ταύτης ἀλλήλων τὰ μέρη τοῦ κατεαγότος ὡς μὴ κεῖσθαι κατ' εὐθύ. δῆλον οὖν ὅτι κατ' εὐθὺ χρὴ πρότερον αὐτὰ ποιήσαντα τῶν ἐφεξῆς τι πράττειν. [145] ἕξει δὲ δήπου τὴν τοιαύτην θέσιν, ἐὰν ἐπὶ τἀναντία παράγηται τὰ ἐξεστῶτα παραδείγματι χρωμένοις τῷ ὑγιεῖ· παρ' ἐκείνου γὰρ ἀκριβὴς ἡ ἔνδειξίς ἐστι τῆς μεταθέσεως αὐτῶν. ἐγχωρεῖ γέ τοι καὶ πρόσω τοῦ

tate tum quantitate inventa deinceps eſt, ut qua maxime quis utrumque aſſequatur, rationem ipſam quaerat. Sed nec tempus quo eſſici conveniat, minus neceſſarium quaeſitu eſt, utrumne ſtatim á fractura facta, velut ſtatim in vulneribus moliebamur unitionem, ad id commodum tempus non eſt, ſed aptius aliud requirendum. Sane invenias hoc quoque ſiculi et reliqua omnia ex ipſa rei natura edoctus. Quaenam igitur eſt ipſius rei natura? Os fractum aliqua paulo ante comprehenſarum diſſerentiarum. Igitur videamus, numquid a ſingulis diſſerentiis aliquid deſumi ad ejus curationem poſſit, a cauliformi dicta orſi. Diſſident ſic a ſe in hac fracti oſſis partes, ut e directo non jaceant. Quare patet primum id eſſe agendum ut in directum agantur, tum eorum quae deinceps ſunt aliquid geratur. Sane cum ſitum habuerint, ſi quis ea quae ſic diſſident, integrae partis exemplo uſus in contrarium adducat, a qua nimirum certiſſima indicatio transpoſitionis eorum erit. Fieri enim

κῶλον καὶ ὀπίσω καὶ τῇδε καὶ τῇδε γενέσθαι τὴν μετάστασιν. ὅσα μὲν οὖν ὀπίσω μᾶλλον μετέστη, ταῦτ᾽ ὠθεῖν χρὴ πρόσω μετὰ τοῦ τὸ ἕτερον μέρος τοῦ κατεαγότος ἀντωθεῖν μετρίως εἰς τοὐναντίον· ὅσα δὲ πρόσω, ταῦτ᾽ εἰς τοὐπίσω μὲν αὐτὰ, τὸ δὲ ὑπόλοιπον μέρος ἄγειν ἠρέμα πρόσω. κατὰ ταὐτὰ δὲ καὶ τῶν εἰς τὸ δεξιὸν μέρος ἐξεστώτων ἡ ἴασις εἰς τὸ ἀριστερὸν ἀγομένων· ὥσπερ καὶ τῶν ἐπὶ τὸ ἀριστερὸν εἰς τὸ δεξιὸν, ἀεὶ τοῦ ἑτέρου μέρους ἀντωθουμένου μετρίως. ἀλλ᾽ ἐν τῷ τὴν ἐναντίαν ὁδὸν ἄγειν ἑκάτερον οὐ σμικρὸς κίνδυνός ἐστι θραυσθῆναί τινας ἐξοχὰς αὐτῶν. οὐ γὰρ δὴ λεῖόν γε το πέρας ἑκατέρου τοῦ μέρους ἐστὶν, ὡς ἐπὶ τῶν ἀποπριομένων γίνεται. καὶ μὴν εἴπερ αὗται θραυσθεῖεν, οὐκ ἂν ἀκριβῶς ἔτι συναρμοσθεῖεν πρὸς ἄλληλα τοῦ κατεαγότος ὀστοῦ τὰ πέρατα, διὰ διττὴν αἰτίαν. αὐτά τε γὰρ, οἶμαι, τὰ θραύσματα, μεταξὺ τῶν συναγομένων μερῶν ἱστάμενα, διακωλύσει ψαύειν ἀλλήλων τὰ συναρμοττόμενα, καὶ εἴπερ ἄρα συνηθείη τι πρὸς τοὐκτὸς τῶν ὀστῶν ἐκπεσεῖν, οὐδ᾽ οὕτως ἀκριβὴς

potest ut tum antrorfum tum retrorfum, tum in hanc partem tum in illam membri facta translatio fit. Quaecunque igitur retrorfum magis funt acta, ea antrorfum impelli convenit; nec minus in alteram quoque fracti offis partem modice ad contrarium retrudi; *contra* quae antrorfum funt emota, haec rurfus ipfa quidem retrorfum, reliquam vero partem fenfim duci antrorfum. Eodem etiam modo et eorum quae ad dextram funt detorta medicatio eft, fi ad finiftram ducantur, contraque eorum quae ad finiftram, fi mutentur ad dextram, femper altera parte modice in contrarium acta. Caeterum in adducendis contrario motu partibus, ne quae frangantur earum exftantiae non leve periculum eft; neque enim, veluti in ferra defectis vifitur, laevis eft utriusque partis finis. Nam fi illae frangantur, non poterunt ad amuffim fecum coaptari fracti offis fines duplici de caufa. Nam five ipfa fragmenta inter partes conjungendas interciderint, non finent ea quae adaptantur fe contingere, five quid forte offium extra ceciderit, ne fic

ἡ ἁρμονία γενήσεται τῶν διαπλαττομένων, ὡς τὴν ἀρχαίαν ἕνωσιν μιμήσεσθαι· μόνως γὰρ ἂν ἐκείνη γένοιτο τῶν ἐξοχῶν ἁρμοσθεισῶν ἐν ταῖς κοιλότησιν. εἰ δ' ἅπαξ ἀπόλοιντο θραυσθεῖσαι, κενὴν χώραν ἀναγκαῖον ἀπολειφθῆναι μεταξὺ τῶν ἁρμοζομένων ἀλλήλοις ὀστῶν, εἰς ἣν ἰχῶρας ἀθροιζομένους, εἶτ' ἐν τῷ χρόνῳ σηπομένους ὅλον ἅμ' ἑαυτοῖς τὸ κῶλον ἀνάγκη διαφθεῖραι. διὰ ταῦτα μὲν οὖν χρὴ τὴν παραγωγὴν τῶν ὀστῶν ποιεῖσθαι διεστώτων. αὐτὸ δὲ δὴ τοῦτο πάλιν οὐχ οἷόν τε καλῶς ἐργάσασθαι χωρὶς ἀντιτάσεως. χρὴ τοίνυν ἤτοι διὰ τῶν χειρῶν, εἰ μικρὸν εἴη τὸ κῶλον, ἢ διὰ βρόχων περιβαλλομένων, ἢ καὶ σὺν αὐτοῖς ὀργάνων οἵων Ἱπποκράτης ἡμᾶς ἐδίδαξε τὴν ἀντίτασιν ποιεῖσθαι τῶν ὀστῶν· ἐπειδὰν δὲ ἱκανῶς διαταθῇ καὶ μηκέτι κίνδυνος ἀλλήλοις ἐνερείδειν τῷ παράγεσθαι, κατ' εὐθὺ θέμενον ἀνεῖναι τοὺς βρόχους, ἐπιτρέψαντα τοῖς μυσὶ συνάγειν εἰς ταὐτὸ τὰ διεστῶτα· συνεφάπτεσθαι δὲ ἐν τούτῳ ταῖς χερσὶ καὶ αὐτὸν εἴ τί που παραλλάττει μικρὸν ἐπανορθούμενόν τε καὶ διαπλάττοντα. μετὰ δὲ ταῦτα δεύτερος ἂν εἴη σκοπὸς ἀτρεμεῖν

quidem eorum quae effinxeris exacta conjunctio erit, fic ut priftinam unionem imitentur, quippe quae folum tum demum erit, quum offis exftantiae in fuas cavitates fuerint reconditae. Quod fi femel comminutae perierint neceffum eft inter applicata fimul offa vacans interveniat fpatium, in quod fanies collecta, atque in tempore putrescens, totum pariter membrum fecum corrumpet. Atque ob haec quidem quae diffident offa, e directo admota effe oportet, quod commode certe fieri nequit, citra antitafin, *tenfionem oppofitam.* Oportet igitur aut manibus, fi parvum fit membrum, aut vinculis circumpofitis aut etiam cum inftrumentis, cujusmodi nos Hippocrates docuit, antitafin offium facere; poftea vero quam abunde retracta fuerint, nec ullum fuperfit periculum, nec fe in adducendo tangant, tum in directum opponere, vinculaque remittere ac musculis ipfis diductorum in idem commiffionem permittere; fed te ipfum quoque manibus fubfervire, ac ficubi aliquid paulum fubfultet, corrigere atque conformare. Ab his fecundus fcopus fuerit,

ἀκριβῶς τὸ κῶλον, ὡς μηδὲν κινοῖτο τῶν διαπλασθέντων· ἀναγκαῖον γὰρ ἐν τῷδε παραλλάττειν αὖθις. εἰ μὲν οὖν ἐπιτρέψαις αὐτῷ τῷ κάμνοντι προνοεῖσθαι τῆς ἡσυχίας αὐτοῦ, περὶ μὲν τὸν τῆς ἐγρηγόρσεως χρόνον ἴσως ἂν τοῦτο πράξειεν, ὑπνώττων δ᾽ ἐξ ἀνάγκης κινήσει τὸ κῶλον. ὅπως οὖν ἀεὶ φυλάττοιτο τῶν διαπλασθέντων ἡ θέσις, οὐ μόνον ὑπνώττοντος, ἀλλὰ καὶ πρὸς ἄφοδον ἀνισταμένου τἀνθρώπου, κἀν ταῖς μεθυποστρώσεσιν ἀσφαλεῖ δεσμῷ περιλαβεῖν χρὴ τὸ κάταγμα, σφίγγειν ἀκριβῶς δυναμένῳ πρὸς ἄλληλα τὰ μέρη τοῦ κατεαγότος ὀστοῦ. ἀλλ᾽ ἐπεὶ τῶν δεσμῶν ὁ μὲν χαλαρὸς ἐπιτρέπει κινεῖσθαι τοῖς ὀστοῖς, ὁ δ᾽ ἰσχυρὸς σφιγγόμενος ὀδύνην ἀπεργάζεται, πειρατέον ἀπολαύοντα τῆς ἀφ᾽ ἑκατέρου χρείας, φυλάττεσθαι τὴν βλάβην. γένοιτο δ᾽ ἂν τοῦτο φευγόντων τὰς ἀμετρίας. μήτε οὖν εἰς τοσοῦτον σφίγγειν ὡς ἤδη καὶ θλίβειν, μήθ᾽ οὕτως ἐκλύειν τὴν σφίγξιν ὡς χαλαρὸν ἐργάζεσθαι. εἰ μὲν οὖν ἰσοπαχὲς εἴη ἕκαστον τῶν μορίων, ὁ πλατύτατος ἂν ἐπίδεσμος ἄριστος ὑπῆρχεν, ὅλων ὁμαλῶς τε καὶ συνεχῶς ἐκ παντὸς μέρους περιλαμβάνων

ut immotum prorfus membrum confiftat, ne quid eorum quae effinxeris moveatur, nam ita neceffe eft ea rurfum diffidere. Ac fi ipfi quidem aegrotanti ut quietudini membri profpiciat permiferis, vigilans fortaffis probe id curaverit, at dormiens membrum movebit. Ut igitur non dormientis modo hominis, fed etiam ad defidendum, itemque quum cubile refternitur furgentis, eorum quae formata funt pofitura fervetur, tuta deligatura complecti fracturam oportet, quaeque fracti offis partes fecum coarctare ad amuffim poffit. At vero quum laxior deligatura offibus moveri permittat, arctior vero conftringendo dolorem excitet, danda opera eft ut vitato ambarum incommodo utriusque fruamur commodo. Id fiet fi quod nimium eft declinabimus. Ergo nec adeo arctare deligaturam debebimus, ut jam comprimat, nec adeo astrictam remittere, ut laxa efficiantur. Ac fi quidem aequalis effet craffitudinis partium quaeque, utique latiffima fascia effet commodiffima, utpote quae totum aequaliter continenterque ex omni parte fractum os

τὸ κατεαγός. [146] ἐπεὶ δ' οὐχ οὕτως ἔχει, τῷ μὲν θώρακι περιβάλλειν ἐγχωρεῖ τὸν πλατύτατον, οὔτε δ' ἐπὶ τῶν κώλων οὔτ' ἐπὶ κλειδὸς, ἀλλ' ἐπὶ τῶν τοιούτων ὁ στενὸς ἀμείνων, ὡς ἂν μήτε ῥυτιδούμενος ἅπαντί τε μορίῳ ψαύων τοῦ δέρματος ᾧ περιελήλικται· ἀλλ' οὗτός γε οὐκ ἀσφαλὴς, ὀλίγαις λαβαῖς συνέχων τὸ κατεαγός. ὅσον οὖν εἰς ἀσφάλειαν αὐτοῦ διὰ τὴν στενότητα λείπει, τοῦτ' ἐκ πλήθους τῶν περιβολῶν καὶ τῆς ἐπὶ τὸ ὑγιὲς νομῆς προστιθέναι. ἀλλ' ἐπεὶ τῶν ἐπιδέσμων, ὅσοι πιλοῦσί τε καὶ σφίγγουσιν ἀλύπως τὴν σάρκα, φύσιν ἔχουσιν ἐκθλίβειν μὲν ἐξ ἐκείνων τῶν μορίων οἷς πρώτοις ἐπιβάλλονται τοὺς χυμοὺς, ἐναποτίθεσθαι δὲ καὶ στηρίζειν εἰς ἅπερ ἐτελεύτησαν, εὔλογον οἶμαι βάλλεσθαι μὲν τὴν ἀρχὴν τῶν ἐπιδέσμων ἐπ' αὐτὸ τὸ κάταγμα· νέμεσθαι δὲ ἐντεῦθεν ἐπὶ τὸ λοιπὸν κῶλον. ὁ γὰρ ἔμπαλιν ἐπιδῶν ἀπὸ τῶν ὑγιεινῶν ἐπὶ τὸ πεπονθὸς ἐκθλίβει τὸ αἷμα. καὶ μὴν εἴπερ ἀπὸ μὲν τοῦ πεπονθότος ἄρχεσθαι προσήκει, τελευτᾷν δὲ ἐπὶ τὸ ὑγιὲς, οὐ μόνον ἀβλαβὴς ἡ ἐπίδεσις εἰς ἅπερ εἴπομεν ἡ τοιαύτη γένοιτ' ἂν, ἀλλὰ καὶ

complecteretur; fed quoniam id non eft, pectori quidem latiffimam licet circumponas, artubus certe et jugulo non potes, fed in talibus utilior eft angufta, ut quae nec rugas contrahet, et totius partis cui circundata eft cutem continget; verum fi paucis complexibus fracturam continet, parum tuta eft. Quantum igitur fecuritatis ex anguftia deficit, tantum ei ex injectionis numero et verfus integrum deductione eft adjiciendum. Sed quoniam deligationum quaecunque citra dolorem carnem conftipant coarctantque id vitium habent, ut ex iis partibus quibus primum injiciuntur fuccos exprimant in eas in quas ipfae funt finitae reponant atque fingant, non alienum a ratione arbitror deligaturae principium fuper ipfam fracturam injici, abhinc vero ad reliquum membrum difpenfari; etenim qui contra deligat, is ab integris ad aegram partem fanguinem compellit. Atqui fi ab aegro loco incipiat, in integrum finiat, non folum innoxia ejusmodi deligatura in iis quae diximus erit, fed etiam utile quiddam contulerit; quippe

Ed. Chart. X. [146.] Ed. Baf. IV. (102. 103.)

χρηστόν τι προσεκπορίζουσα· φλεγμονὴν γὰρ οὐδεμίαν ἐάσει συστῆναι περὶ τὸ κάταγμα· χρὴ δὲ, οἶμαι, καὶ τούτου φροντίζειν ἐν τοῖς μάλιστα. κίνδυνος γὰρ ἐπί τε ταῖς ἀντιτάσεσιν, ἃς διαπλάττοντες τὸ κῶλον ἐποιούμεθα, καὶ πρὸ τούτων, ὅτι τὰ πλεῖστα τῶν ἐργαζομένων αἰτίων τὸ κάταγμα τὴν περιβεβλημένην τοῖς ὀστοῖς σάρκα πρότερον ἀδικεῖ πιλοῦντα καὶ θλῶντα, ὡς μεγάλας ἀκολουθῆσαι φλεγμονάς. οὐ θαυμάσαιμι δ᾽ ἂν οὐδ᾽ εἰ καὶ τοῖς ὀστοῖς αὐτοῖς τοῖς κατεαγόσιν ἀνάλογόν τι φλεγμονῇ συμπίπτει. καὶ γὰρ καὶ φαίνεται τά γε μὴ καλῶς ἰαθέντα σαφῶς ὑγρότερα τῶν κατὰ φύσιν, ὅταν ἅμα τραύματι τὸ κάταγμα γενόμενον ὑπὸ τὴν τῆς ὄψεως ἥκῃ διάγνωσιν. οὐ μὴν οὐδὲ ὁ σφάκελος ἐξ ἄλλης προφάσεως ὁρμᾶται, (103) φθορὰ καὶ αὐτὸς ὑπάρχων ὅλης τῆς οὐσίας αὐτῶν. οὔκουν ἀμελεῖν χρὴ τοῦ τὸ περιττὸν ὑγρὸν ἐκθλίβεσθαι πάντων τῶν περὶ τὸ κάταγμα μορίων. ἄρχεσθαί τε οὖν ἀπὸ τοῦ πεπονθότος καὶ δὶς ἢ τρὶς ἐν κύκλῳ περιβαλόντα νέμεσθαι τοὐντεῦθεν ἐπὶ τὸ ὑγιές. ὁ γὰρ οὕτως ἐπιδῶν ἀπείργει τε τὴν ἐκ τῶν ὑγιῶν εἰς τὸ πεπονθὸς ἐπιῤῥοὴν τοῦ

quum nullam circum fracturam finet excitari phlegmonen; cujus rei curam, ut arbitror, habere in primis oportet. Periculum enim eft ne tum ex illa antitafi, quam membrum in fuam formam effingentes adminiftravimus, tum vel magis ex eo quod caufae quae fracturam faciunt, plerumque circumdatam offibus carnem conftipando contundendoque prius laedunt, magnae fubfequantur phlegmonae. Nec fane mirer, fi phlegmones quiddam fimile etiam ipfis fractis offibus ad proportionem accidat; etenim etiam quae parum probe funt curata magis humida quam pro natura fua manifefte cernantur, ubi una cum vulnere oris fractura fub afpectus notitiam venit. Quin imo nec offis fphacelus ex alia occafione oboritur, qui ipfe totius offium fubftantiae corruptela quaedam eft. Non igitur negligendum quin totum fupervacuum humidum ex omnibus quae circa fracturam habentur partibus exprimas. Incipies itaque ab aegra parte, ac quum bis terve circumdederis, inde fanum verfus progredieris; fiquidem qui ita deligat et ab integris ad laborantem partem fanguinis

αἵματος, ἐκθλίβει τε τὸ φθάσαν ἠθροῖσθαι κατ᾽ αὐτό. διττῶν δὲ ὄντων χωρίων τῶν δυναμένων ἐνδέξασθαί τι παρὰ τῶν πεπονθότων καὶ πέμψαι τὰ μὲν ὑπερκείμενα διά τε τὸ πλῆθος καὶ τὸ μέγεθος ἱκανώτερα πρὸς ἄμφω, τὰ δὲ ἄκρα διὰ τὰ ἐναντία, βραχὺ μέν τι καὶ δέξασθαι καὶ πέμψαι δύναται, πολὺ δὲ οὔτε χορηγῆσαί ποτε τοῖς πεπονθόσιν οὔτε παρ᾽ ἐκείνων λαβεῖν. ὥστε διὰ ταῦτα δύο ἐπιδέσματα πρῶτα ποιησάμενος ὁ Ἱπποκράτης, τῷ μὲν ἑτέρῳ προτέρῳ τό τε περιεχόμενον ἐν τοῖς πεπονθόσιν ἐκθλίβει πρὸς τὰ ὑπερκείμενα, τό τε ἐξ ἐκείνων ἐπιῤῥέον ἀνείργει. τῷ δὲ ὑπολοίπῳ κατὰ μὲν τὰς πρώτας ἐπιβολὰς, ἃς κατ᾽ αὐτοῦ τε τοῦ κατάγματος, ἔτι τε τῆς ἐπὶ τὰ κάτω νομῆς τῶν ὀθονίων ποιεῖται, τὸ μὲν ἐκθλίβει πρὸς αὐτὰ, τὸ δὲ ἀνείργει, κατὰ δὲ τὰς ἑξῆς ἁπάσας, ἡνίκα ἐκ τῶν κατωτάτω μερῶν ἄνω παλινδρομεῖν ἀξιοῖ τὸν ἐπίδεσμον, ὡς εἰς ταὐτὸ τῷ προτέρῳ τελευτῆσαι τοῖς ὑπερκειμένοις ἐκθλίβων, τὰς ἐξ αὐτῶν ἐπιῤῥοὰς κωλύει. φρουρεῖ τ᾽ οὖν ἅμα καὶ στηρίζει τὸ κατεαγὸς, ἀφλέγμαντόν τε φυλάττει τὰ πρῶτα δύο τῶν ὀθονίων· οὐ

confluxum arcet, et quod jam collectum in ea eft exprimit. Quum vero duae partes fint, quae et recipere aliquid a laborante parte et transmittere ad eam poffint quae fuperjacent, tum propter multitudinem tum magnitudinem, ad ambo magis funt habiles; extremae vero propter contrarias conditiones exiguum quidem aliquid vel recipere vel transmittere poffunt, multum vero nec aegris partibus fubminiftrare nec ab ipfis recipere. Quocirca quum duas primas fecerit Hippocrates deligaturas, priore quidem tum quod in laborante parte continetur ad fuperpofita expellit, tum quod ex his confluit repellit; reliqua vero primis quidem complexibus, quos fuper ipfam fracturam facit, itemque fasciae ad inferna progreffu, eo quaedam extrudit; quaedam ne quid illinc confluat prohibet. Reliquis deinceps omnibus quibus ab infimis partibus furfum recurrere deligaturam cenfet, ut eodem loco cum priore finiatur, tum ad fuperiora repellit, tum confluxum ab iis prohibet. Muniunt igitur ac ftabiliunt fractum, nec phlegmonen oriri finunt

*μὴν ἱκανά γε μόνα τὰ εἰρημένα πρὸς ἀμφοτέρας τὰς χρείας. ὅθεν εἰς μὲν τὴν φρουρὰν ἐπικουρίαν αὐτοῖς ὁ Ἱπποκράτης ἐξεῦρε τὴν τῶν σπληνῶν ἐπιβολὴν, [147] ἅμα καὶ τοῖς ἔξωθεν ὀθονίοις, ἃ τούτους αὐτοὺς στηρίζει. πρὸς δὲ τῷ μὴ φλεγμῆναι φαρμάκῳ τινὶ κελεύει χρῆσθαι τῶν ἀφλεγμάντων, οἷά πέρ ἐστιν ἡ ὑγρὰ κηρωτή. ταῦτά τε οὖν ἅπαντα τοῖς εἰρημένοις λογισμοῖς εὑρέθη καὶ πρὸς τούτοις ἔτι τὸ τῆς ἀποθέσεως σχῆμα, διττῷ καὶ τοῦτ᾽ ἐνδείξεως ὑποπῖπτον τρόπῳ· προτέρῳ μὲν ἐκ τῶν κοινῶν ἐννοιῶν ἠρτημένῳ ψιλῷ, ἑτέρῳ δὲ ἐκ τῆς τῶν θεραπευομένων ὀργάνων κατασκευῆς. ὁ μὲν οὖν πρότερος ἀνωδυνώτατον αἱρεῖσθαι συμβουλεύει σχῆμα, πρός τε τῷ μὴ φλεγμαίνειν τὰ μόρια καὶ διαμένειν ἀτρέμα ἐπ᾽ αὐτοῦ μόνου δύνασθαι τὸν κάμνοντα χρόνῳ παμπόλλῳ. ὁ δὲ δεύτερος τρόπος ὁ ἐκ τῆς τῶν θεραπευομένων φύσεως ὁρμώμενος ἀρτηρίας καὶ φλέβας καὶ νεῦρα καὶ μῦς ὡς εὐθύτατα κεῖσθαι κελεύει. καὶ δὴ καὶ ὁμολογοῦσιν ἀλλήλοις οἱ τρόποι· τό τε γὰρ εὐθύτατον ἑκάστου μορίου σχῆμα μάλι-*

prima duo lintea, non tamen ea quae dicta funt ad ambos hos ufus fatisfaciunt fola. Unde ad eorum quidem tutelam Hippocrates praefidium excogitavit, ut fplenia una cum exterioribus fasciis adhiberentur, quae haec quoque ipfa ftabiliant. Ne autem phlegmone oriatur, medicamento quodam phlegmonen prohibente uti jubet, quale eft ceratum humidum. Haec igitur omnia ratione, ut comprehenfum eft, dictante funt inventa, et praeter haec ipfa repofitionis figura, quae ipfa quoque geminae indicationi fubjicitur priori, quae ex folis communibus notionibus pendet; alteri quae ex curandorum organorum naturali conftitutione praeftatur. Prior igitur eam quae maxime a dolore abeft eligendam figuram fuadet, quo nec phlegmonen pars contrahat, et aeger perfiftere in una ea diutiffime immotus poffit. Secunda, quae ex curandorum fumitur natura, arterias, venas, nervos et musculos, quam rectiffimos poni praecipit. Sed et confentiunt inter fe hae indicationes quando et rectiffima cujusque partis figura maxime eft a dolore aliena, et quae-

στά ἐστιν ἀνώδυνον, ὅ τι δ' ἂν ἑτέρου μᾶλλον ἀνώδυνον ᾖ, κατὰ φύσιν μάλιστά ἐστι τῷ κώλῳ· χειρὶ μὲν τὸ καλούμενον ἐγγώνιον, σκέλει δὲ τὸ μικροῦ δεῖν ἐκτεταμένον. εἰς ἀνωδυνίαν δὲ οὐ μόνον τὸ κατὰ φύσιν ἑκάστου σχῆμα τῶν ὀργάνων, ἀλλά τι καὶ τὸ ἔθος ἔοικε συντελεῖν. αὕτη μὲν οὖν σοι καὶ ἡ τοῦ σχήματος εὕρεσις, ἐν ᾧ χρὴ διαφυλάττειν τὸ κῶλον· ἡ δ' αὐτὴ κατὰ τὴν ἀντίτασίν τε καὶ διάπλασιν. ἄμεινον γὰρ ἐν εὐθυτάτῳ καὶ ἀνωδυνωτάτῳ διατείνειν καὶ διαπλάττειν τὸ κῶλον· πολὺ δὴ μᾶλλον ἐν τῷ αὐτῷ σχήματι τὴν ἐπίδεσίν τε καὶ τὴν ἡσυχίαν τοῦ μορίου ποιεῖσθαι προσήκει. τὸ γὰρ ἐν ἄλλῳ μὲν ἐπιδεῖν, ὑπαλλάττειν δὲ εἰς ἕτερον, οὐκ ὀδύνην μόνον, ἀλλὰ καὶ διαστροφὴν ἐργάζεται τοῖς ὀστοῖς. εἰ γάρ τι μεμνήμεθα τῶν ἐν τοῖς περὶ μυῶν κινήσεως ὑπομνήμασιν εἰρημένων, ἀναγκαῖόν ἐστιν ὑπαλλαττόντων τὸ σχῆμα τινὰς μὲν τῶν μυῶν ἐντείνεσθαί τε καὶ οἷον σφαιροῦσθαι συναγομένους, ἐνίους δ' ἐκλύεσθαί τε καὶ χαλᾶσθαι. ἔνθα μὲν οὖν ἐντείνονται, θλίβεσθαί τε πρὸς τῶν ἐπιδέσμων αὐτοὺς ἀναγκαῖόν ἐστιν ὀδυνᾶσθαί τε διὰ τὴν

cunque magis quam alia eſt a dolore libera, ea maxime naturalis membro eſt, brachio quidem anguloſa, cruri vero quae paulo minus porrecta eſt. Porro ad dolorem vitandum non modo naturalis figura cuivis organo, verum etiam conſuetudo conducere videtur. Atque haec quidem tibi figurae, in qua cuſtodire membrum conveniat, inveniendae ratio eſt; at eadem inveniendae figurae ratio eſt et in antitaſi et conformatione ſeu figura. Etenim expedit ut in rectiſſima atque a dolore alieniſſima forma membrum tum extendas tum figures, multoque etiam magis ut ſub eadem figura tum deliges tum ad quietem reponas. Siquidem ſub alia deligare, in aliam vero mutare non dolorem modo incitare poteſt, verum etiam oſſa intorquere; nam niſi eorum quae praecepta ſunt in commentariis quos de musculorum motibus ſcripſimus oblivio obrepſit, neceſſe eſt ubi figura mutatur, alios musculorum tendi ac velut contractos rotundari, alios ſolvi ac remitti. Ergo ubi intenduntur, tum premi eos a deligatura eſt neceſſe tum ex compreſſione ipſa

θλίψιν· ἔνθα δὲ ἡ τάσις ἐκλύεται, χαλαρὰν μὲν ἐν ἐκείνῳ τῷ μέρει τὴν ἐπίδεσιν, ἀστήρικτον δὲ γίνεσθαι τὸ κάταγμα. διὰ ταῦτ᾽ οὖν ἅπαντα διατείνειν τε καὶ διαπλάττειν ἐπιδεῖν τε καὶ ἀποτίθεσθαι καθ᾽ ἓν σχῆμα τὸ ἀνωδυνώτατον, ἕλοιτ᾽ ἄν τις. εἰς μὲν δὴ τὴν πρώτην ἐνέργειαν ἣν ἐνεργοῦμεν ἐν τοῖς κατεαγόσιν, οὐδὲν ἔτι λείπει παράγγελμα. λύειν δὲ κελεύει διὰ τρίτης ὁ Ἱπποκράτης, ὅπως μήτ᾽ ἄση τις γίγνοιτο, μήτε κνῆσις ἀήθως σκεπασθέντι τῷ μορίῳ, μήτ᾽ ἐπὶ πλέον αἱ διαπνοαὶ κωλύοιντο τοῦ φθάσαντος ἐστηρίχθαι κατὰ τὸ κάταγμα· δι᾽ ἃς οὐ μόνον ἀσωδῶς κνήσεσθαι συμβαίνει τισὶν, ἀλλὰ καὶ διαβρωθέντος ὑπὸ τῆς τῶν ἰχώρων δριμύτητος ἐνίοτε τοῦ δέρματος ἕλκωσιν γενέσθαι. καταντλεῖν οὖν ὕδατος εὐκράτου τοσοῦτον, ὅσον ἱκανόν ἐστι διαφορῆσαι τοὺς τοιούτους ἰχῶρας. ἢν δὲ δὴ καὶ αὖθις ὁμοίως πράξῃς, ἑβδόμη μὲν ἂν εἴη μετὰ τὴν πρώτην ἀρχὴν ἡμέρα, φαίνοιτο δ᾽ ἂν ἤδη μηδενός γε ἐμποδὼν γενομένου πάντ᾽ ἀφλέγμαντα, καὶ αὐτοῦ γε τοῦ κατὰ φύσιν ἐνίοτε μᾶλλον ἰσχνά. τότε οὖν ἐγχωρεῖ νάρθηκάς τε περιτιθέναι καὶ λύειν διὰ πλέονος·

dolere; ubi vero tenfio remittitur ea in parte deligaturam effe laxam fracturamque fulcimento deftitui. Horum igitur omnium caufa tum extendere tum effingere tum deligare tum reponere una ea figura, quae doloris minimum habeat, praecipue eft ftudendum. Atque ad primum quidem opus, quod in fracturis molimur, nullum jam relictum eft praeceptum. Solvere autem ex Hippocratis fententia tertio die debebis, quo in parte praeter folitum cooperta nec dolor nec pruritus creatur, nec ejus quod jam infixum fracturae eft perfpiratio prohibeatur, cujus occafione non modo noxius pruritus quibusdam accidit, fed etiam cutem ex acrimonia faniei erofam exulcerari. Infundendum igitur tantum temperatae aquae eft quantum ad evocandam ejusmodi faniem eft fatis. Quod fi rurfus quoque fimili modo facies, feptimo id a primo die facere debebis. Apparuerint vero jam omnia, modo nihil impediat, phlegmone libera, ac quam pro naturali ftatu magis aliquando gracilia. Tum igitur licebit et ferulas circumponere et folvere ex majore intervallo; nam

ἔμπροσθεν μὲν γὰρ ὅθ' ὁ τῆς φλεγμονῆς ἐπεκράτει σκοπὸς, οὐκ ἦν ἀσφαλὲς θλίβειν τοῖς νάρθηξι· νυνὶ δὲ ἐπειδὴ πέπαυται μὲν αὕτη, στηρίζεσθαι δὲ χρὴ τὸ κάταγμα, καλῶς ἄν τις αὐτοῖς χρῷτο. καὶ μὲν δὴ καὶ διὰ πλέονος ἐγχωρεῖ λύειν, ὡς ἂν μηκέτι χρῃζόντων τῶν μερῶν ἀποκρίνειν ἰχῶρας. [148] ἀλλὰ καὶ ἡ πώρωσις ἄμεινον ἂν οὕτως γίγνοιτο· χρὴ γὰρ, ὡς ἔμπροσθεν εἴρηται, παγῆναί τι τῆς οἰκείας τροφῆς τῶν ὀστῶν, ἵνα γένηται πῶρος. οὔκουν χρὴ τοῦτ' ἀποκλύζειν τῶν χειλῶν τοῦ κατάγματος, ἢ διαφορεῖν ἐκτὸς, ὅπερ αἱ συνεχεῖς λύσεις ἐργάζονται. οὐ μὴν οὐδ' οὕτω πολὺ διαλείπειν, ὡς μηδὲ γνῶναι πῶς προσχωρεῖ τὸ κάταγμα. πολλάκις γοῦν ἐθεασάμην ἀκριβῶς ξηρανθέντων τῶν ὀστῶν δυσχερῶς γιγνομένην τὴν πώρωσιν. ἐπαντλεῖν οὖν χρὴ τοῖσδε μέτριον τῷ πλήθει, διὰ τρίτης ἢ τετάρτης ἡμέρας ὕδωρ θερμὸν, ὅρον ἔχοντα τοῦ παύσασθαι τῆς καταιονήσεως τὴν εἰς ὄγκον ἐρυθρὸν ἔπαρσιν τῶν σαρκῶν. ἐπὶ μὲν δὴ τούτων πρὶν ἄρχεσθαι καθίστασθαι παύσασθαι χρὴ, καθάπερ ἐφ' ὧν διαφορῆσαί τι βουλόμεθα, μὴ παύεσθαι πρὸ τοῦ συμ-

antea, quum phlegmones fcopus vinceret, tutum non erat ferulis premere; nunc quum ea defiit ac ftabilire fracturam eft opus, fane non incommode his utare. Sed et folvere ex majore intervallo licet, non defiderantibus praeterea partibus faniem excernere. Quin etiam callus felicius ita provenerit; ad callum enim gignendum, ficut dictum eft, cogi concrescereque aliquid proprii offium alimenti oportet. Non eft igitur hoc a labris fracturae eluendum aut foras evocandum; quod certe affidua folutio faciet. At vero nec tanto intervallo intermittendum, ut nescias quemadmodum fractura procedat. Vidimus enim faepe, quum valenter ficcarentur offa, aegre proveniffe callum. Expedit igitur, iftis tertio vel quarto die modice aquam calidam infundamus, hanc metam finiendae perfufionis habentes, quum carnes in rubrum tumorem attolluntur. Atque in his quidem priusquam fubfidere incipiant defiftendum eft; contra ubi digeri quid volumus, non prius eft defiftendum quam quod ex perfufione intumuit fubfidat. In quibus vero quo minus

πεσεῖν τὸν ἐκ τῆς αἰονήσεως ὄγκον. ἐφ' ὧν δ' ὑγρότης ἐστὶ πλείων καὶ διὰ ταύτην οὐ πωροῦται τὰ κατεαγότα, ξηραίνειν αὐτὴν, ὡς ἔμπροσθεν εἴρηται, πειρᾶσθαι δι' ἐπιδέσεως προσηκούσης καὶ καταντλήσεως, ἤτοι γ' ἐλαχίστης παντάπασιν ἢ πλείστης. ἡ μὲν γὰρ ἐλαχίστη, πρὶν ἐπιῤῥυῆναί τι παυομένη, τά τε πρόχειρα τῶν ὑγρῶν διαφορεῖ, τά τε ἐν τῷ βάθει διαχεῖ μετρίως· συμφέρει δὲ οὕτω κεχύσθαι τοῖς ὑπὸ τῆς ἐπιδέσεως ἐκθλίβεσθαι μέλλουσιν. ἡ δὲ πλείστη διαφορεῖ πλέον ἢ ἕλκει. εὔδηλον δὲ δήπου καὶ ὡς ἐπὶ μὲν τῆς ἐκθλιβούσης ἐπιδέσεως ἧττον χρὴ πιέζειν τὰ τελευταῖα τῶν ὀθονίων, ἐπὶ δὲ τῆς ἀνατρεφούσης οὐχ ἧττον, ταῦτα καὶ συμπάσας τὰς περιβολὰς χαλαρωτέρας ποιεῖσθαι. ἐπεὶ δὲ οὐ μόνον ἐν ᾧ χρὴ καιρῷ συμπράττειν ταῖς πωρώσεσιν, ἀλλὰ καὶ ὅπως ἐξεύρηται, λείποιτ' ἂν ἔτι περὶ τῆς συμπάσης διαίτης εἰπεῖν. ὅτι μὲν οὖν ἐν ἀρχῇ λεπτοτάτως χρὴ διαιτᾶν ἐν τῇ τῶν φλεγμονῶν οἰκείᾳ θεραπείᾳ λεχθήσεται· λεχθήσεται δὲ καὶ ὡς φλέβα χρὴ τέμνειν, ἐνίοτε δὲ καὶ διὰ γαστρὸς ἐκκε-

callus in fractura proveniat humiditas abundantior obftat, ibi hanc ficcare, ficut prius eft dictum, convenienti deligatura et perfufione *aquae* quae vel minima omnino fit vel plurima conabimur. Quippe minima, cum prius defiftat quam aliquid confluat, et qui ad manum humores funt per fpiritum digerit, et qui in alto funt modice liquat; expedit autem ita folvi liquarique ea quae per deligaturam funt expellenda. Plurima vero discutit plus quam attrahit. Sane conftat in ea quidem deligatura, quae exprimet, minus effe arctandos fasciarum fines; in ea vero quae ad renutriendum eft comparata, nec minus hos arctandos et univerfos circumductus laxiores faciendos. Quoniam autem non folum quo tempore fubveniendum callo gignendo fit, fed etiam quo pacto eft inventum, reliquum fuerit de univerfa victus ratione praecipere. Ac quod in principio quidem fit tenuiffime cibandum, id ubi de propria phlegmonarum curatione agemus dicetur; dicetur autem et quod venam incidere interdum oportet, et per ventrem fupervacua expel-

νοῦν τὰ περιττά. κατὰ δὲ τὸν τῆς πωρώσεως (104) καιρὸν ἀνατρέφειν χρὴ τὸ σῶμα σιτίοις εὐχύμοις καὶ τροφίμοις, ἐξ ὧν εἴωθε γεννᾶσθαι χυμὸς οὐ μόνον χρηστὸς, ἀλλὰ καὶ γλίσχρος, ἐξ οἵου χρὴ μάλιστα γίγνεσθαι τὸν πῶρον· ἐκ μὲν γὰρ τῆς ὀῤῥώδους καὶ λεπτῆς ὑγρότητος οὐδ᾽ ἂν γεννηθείη τὴν ἀρχὴν, ἐκ δὲ τῆς παχείας μὲν, ἀλλὰ ψαθυρᾶς καὶ ἀλιποῦς, γεννηθείη μὲν ἂν οὐ βραδέως, ἀλλ᾽ ἐν τῷ χρόνῳ ξηραινόμενος κραυρότερος καὶ διὰ τοῦτο εὔθραυστος γίνεται. μεγέθει δὲ ἔστω τηλικοῦτος, ὡς ἀσφαλῆ τε ἅμα δεσμὸν εἶναι τοῖς ὀστοῖς καὶ μὴ θλίβειν τοὺς μῦς· ὁ μὲν γὰρ μικρότερος ἢ χρὴ σφαλερὸς τοῖς ὀστοῖς, ὁ δὲ μείζων τοῦ προσήκοντος ὀδυνηρὸς τοῖς μυσί. προσέχειν οὖν ἀκριβῶς αὐτῷ τὸν νοῦν, ἤτοι προτρέπειν ἐνδεῶς γιγνόμενον, ἢ κωλύειν ἀμέτρως αὐξανόμενον. ἐξ ὧν δ᾽ ἐργάσῃ ταῦτα, τό τε ποσὸν τῆς αἰονήσεώς ἐστι καὶ τὸ ποιὸν καὶ τὸ ποσὸν τῶν ἐδεσμάτων, αἵ τε ἔξωθεν ἐπιτιθέμεναι κατ᾽ αὐτοῦ δυνάμεις φαρμάκων. περὶ μὲν οὖν αἰονήσεως καὶ διαίτης προείρηται. τῶν δὲ φαρμάκων ὅσα μὲν ἐμπλαστικὰ ταῖς οὐσίαις ἐστὶ μετρίως θερμαίνοντα,

lere. At quo tempore callus gignitur, nutriendum corpus eft cibis boni fucci et qui multum nutriant, ex quibus provenire fuccus foleat non folum bonus, fed etiam tenax, ex quali fieri callum maxime expedit; quum enim ex ferofa humiditate ac tenui gigni prorfus nequeat, ex craffa vero, fed quae fragilis fit ac pinguedinis expers, gigni quidem poterit non fegnitur, caeterum tempore ficcescens friabilior, atque ita fractioni obnoxius reddetur. Magnitudo calli ea fit quae et offibus tuto vinculo fit, nec musculos tamen comprimat; nam qui minor jufto eft, hic offa parum reddet tuta, qui major eft, dolorem musculis invehet. Attendendum vero diligenter eft ut vel promoveatur, fi minor jufto proveniat, vel inhibeatur, fi immodice increscat. Sunt vero quibus haec efficies tum ipfius perfufionis quantitas tum vero ciborum qualitas et quantitas ac medicamentorum quae illi extrinfecus imponuntur facultates. Ac de perfufione quidem et victus ratione fupra eft dictum. Ex medicamentis vero quaecunque emplafticam fubftantiam habent,

προτρέπει τε καὶ συναύξει τοὺς πώρους· ὅσα δὲ διαφορητικὰ, καὶ τοὺς ὄντας ἤδη μεγάλους καθαίρει. μήτε δὲ ἀνατρέφειν ἐθέλων μήτε καθαίρειν τὸν πῶρον, ἀλλ' ὡς αὐτὸς ὡρμήθη δέχεσθαι, φαρμάκων κέχρητο τῶν ἐναίμων ὀνομαζομένων· ἃ δὴ μετρίως ξηραίνοντα καὶ τὴν πῆξιν ἐργάζεται μετρίαν τοῦ πώρου. περὶ μὲν δὴ τῶν ἐγκαρσίων καταγμάτων ἱκανὰ καὶ ταῦτα· [149] περὶ δὲ τῶν παραμήκων τὰ μὲν ἄλλα σύμπαντα τὰ αὐτὰ, πιέζειν δὲ χρὴ μᾶλλον ταῦτα κατ' αὐτὸ τὸ κάταγμα καὶ προστέλλειν εἴσω τὸ ἀφεστηκός. ὅσα δὲ ἐθραύσθη πολυειδῶς καὶ μάλιστα σὺν ἕλκεσιν, ὅπερ ὡς τὰ πολλὰ φιλεῖ γίγνεσθαι, σπλῆνα σκεπαρνηδὸν ὡς Ἱπποκράτης ἐκέλευσε περιβάλλειν, οἴνῳ τέγγοντας αὐστηρῷ τε καὶ μέλανι καὶ μάλιστ' ἐν θέρει. σήπεται γὰρ εἴτε ἐλαίῳ τις εἴτε κηρωτῇ χρῷτο, δεόμενά γε ξηραίνεσθαι μειζόνως ἢ τἄλλα, διότι καὶ μεῖζον τὸ πάθημα. καὶ τοίνυν καὶ τὰ φάρμακα πάντα τῶν ξηραινόντων ἔστω, καθάπερ ἐκεῖνος ἐκέλευσεν, ἅμα καὶ τὸ μέτρον ἐπ' αὐτοῖς ὁρίσας· ἐκ γὰρ τῶν ἐναίμων ὀνομαζομένων

ac modice calefaciunt, ea callos tum promovent tum vero augent; quae vero discutiunt, ea magnos jam callos diminuunt. Si vero nec augere callum nec minuere ſtudes, ſed eo ſicut ultro provenit es contentus, medicamento aliquo eorum quae cruentis dicuntur adhiberi vulneribus utere, quae quum modice ſiccent, etiam coagulari ac concrescere mediocriter callum faciunt. Ac de transverſis quidem fracturis haec ſatisfaciant. De longis vero reliqua omnia ad eundem ſe habent modum, caeterum comprimendae hae magis in ipſo fracturae loco ſunt, tum quod receſſit retrudendum introrſus eſt. Quae vero confracta multifariam ſunt, potiſſimum cum ulcere, quemadmodum ſieri plurimum ſolet, iis ſplenia circumdanda asciae ritu incurva Hippocrates praecepit, eaque vino imbuta tum auſtero tum nigro aeſtate potiſſimum. Quippe putrescunt ſive oleo quis utatur ſive cerato, quum poſtulent amplius quam reliqua ſiccari, utpote vitio ipſo reliquis majore. Quin etiam medicamenta quoque omnia ex ſiccantium ſint numero, ſicuti ille praecepit, ſimul modum ipſum ſiccationis deſiniens; etenim ex

εἶναι κελεύει τὰ τοιαῦτα τῶν φαρμάκων. εἰ δὲ καὶ κατ᾽ ἀρχάς τις εὐθέως αὐτοῖς χρῷτο, τοιοῦτον εἶναι συνεβούλευε τὸ ἔναιμον, ὃ σύντροφόν ἐστιν ἐπιτέγξει. τὰ μὲν οὖν ἄλλα σύμπαντα ταῖς ἐκείνου ποιητέον ὑποθήκαις, οὐκ ἐν τοῖς εἰρημένοις μόνον, ἀλλὰ κἂν γυμνωθὲν τὸ ὀστοῦν ἀποπρίσεως δέοιτο, κἂν παρασχίδας τινὰς ἤτοι γ᾽ αὐτὸν ἀφαιρεῖν ἢ τῆς φύσεως ἐξωθούσης συμπράττειν προσήκει. περὶ δὲ τῶν ὑποτιθεμένων σωλήνων τοῖς σκέλεσιν, ὅσα μὲν Ἱπποκράτης ἠπόρησεν, εἴτε χρηστέον εἴτε μὴ χρηστέον, ἅπαντές τε γινώσκουσιν, ἐπαινεῖν τε χρὴ τοὺς λογισμούς. ὃ δὲ τοῖς νεωτέροις εὕρηται γλωσσόκομον, ᾧ χρώμεθα μάλιστα κατὰ τὸν τῆς πωρώσεως καιρὸν, ἐπαινῶ μὲν εἴπερ τι καὶ ἄλλο τῶν τοιούτων μηχανημάτων, οὐ μὴν ἔοικέ γε Ἱπποκράτης γινώσκειν αὐτὸ καίτοι γε οὐκ ἀμελὴς εἰς τὴν τῶν χρησίμων ὀργάνων εὕρεσιν. ἀλλὰ τό γε τοῖς σκέλεσιν ὑποτιθέμενον ὄργανον ὀρθῶς τοῖς μετ᾽ αὐτὸν ἐξεύρηται, δι᾽ ἑνὸς ἄξονος ἐπὶ τελευτῇ τοῦ μηχανήματος ἐν τοῖς κάτω μέρεσι τεταγμένου τὴν ἀντι-

enaemis vocatis ejusmodi esse medicamenta vult. Quod si protinus ab initio quis ipsis utatur, tale esse debere enaemum suadet, quod imbui sit aptum. Ac reliqua quidem omnia ex illius praeceptis sunt peragenda, non in iis quae dicta sunt modo, verum etiam sive nudatum os desecari serra postulet, sive fragmenta quaepiam, vel te ipsum eximere, vel expellenti naturae subservire oporteat. De iis vero qui cruribus supponuntur canalibus quaecunque Hippocrates addubitavit, utendumne *sit iis* necne, et omnes norunt, et laudandas esse rationes censeo. Quod autem neotericis inventum est glossocomon, quo maxime tempore gignendi calli utimur, laudandum id quidem quantum aliam quamvis ejusmodi machinarum ducimus. Verum non videtur id Hippocrates novisse, quamquam alias in instrumentis quae usui forent excogitandis non indiligens. At vero quod cruribus subjicitur instrumentum, recte iis qui post ipsum fuere excogitatum est; quod per unicum axem, qui in finem machinae ad infernam ejus partem est collocatus, contra-

τασιν ἐργαζόμενον ὅλῳ τῷ κώλῳ ἐντάσεσι διτταῖς. ὀνομάζεται δὲ αὐτῶν ἡ μὲν κατ' εὐθὺ τείνουσα τὸ κῶλον εὐθύπορος, ἡ δ' ἄνω μὲν πρότερον, εὐθὺς δὲ κάτω μεταληπτική· γίνονται δὲ ἀμφότεραι διὰ περιθέσεως βρόχων. ἄριστος δ' εἰς τοῦτο βρόχος ὁ ἐκ δυοῖν διαρτῶν. οὗτος οὖν ἐν μὲν τοῖς κάτω τοῦ κατάγματος μέρεσι τοῦ κώλου περιτιθεὶς τὴν εὐθύπορον ἐργάζεται τάσιν, τῶν σκελῶν αὐτοῦ περιτεθέντων τῷ ἄξονι· ἐν δὲ τοῖς ἄνω μέρεσι τοῦ κατάγματος ὁ αὐτὸς οὗτος βρόχος εἰ περιβληθείη, τὴν μεταληπτικὴν ἀποτελεῖ τάσιν, ἀπαχθέντων αὐτοῦ τῶν σκελῶν, ἄνω μὲν πρότερον, εἶτ' αὖθις κάτω· περιβληθῆναι γὰρ χρὴ καὶ ταῦτα τῷ ἄξονι. τὴν περιαγωγὴν δὲ καὶ τὴν οἷον καμπὴν τῶν σκελῶν τοῦ βρόχου, τὴν ἐκ τῶν ἄνω μερῶν εἰς τὸ κάτω, διὰ τροχιλιῶν γίγνεσθαι χρὴ κατὰ τὰς πλευρὰς τοῦ γλωττοκόμου τεταγμένων. ἔξεστι δὲ καὶ σωλῆνα καλεῖν τὸ τοιοῦτον μηχάνημα καὶ μετὰ προσθήκης σωλῆνα μηχανικὸν ἢ γλωττόκομον μηχανικόν. ἀλλὰ περὶ μὲν ὀργάνων ἐπὶ πλέον ἐροῦμεν ἐν ταῖς τῶν ἐξαρθρημάτων ἰάσεσιν· ὡσαύτως δὲ καὶ περὶ τῆς

rium nixum toti membro gemina tenſione efficit. Nominatur earum altera quae membrum tendit in directum euthyporos, *id eſt in rectum procedens;* quae vero prius ſurſum, mox deorſum, ea metaleptice *dicitur, quaſi translativam dixeris;* cbeuntur ambae per laqueorum circumplexum. Porro aptiſſimus in hunc uſum laqueus eſt, qui duas habeat appendices. Hic igitur quum in inferioribus fracturae partibus membri injectus eſt, euthyporon efficit tenſionem, cruribus ipſius axi circumpoſitis. Quum vero in ſuperioribus fracturae partibus idem laqueus imponitur, metalepticen tenſionem efficit, abactis ipſius partibus prius ſurſum, mox rurſus deorſum; quippe haec quoque circumdanda axi ſunt. Porro circumactum ac veluti flexum crurum laquei, qui a ſuperioribus partibus ad inferiores agitur, per trochleas fieri oportet quae in lateribus glottocomi ſint poſitae. Licebit et ſolena voces ejusmodi machinam et cum adjectione *ſic,* ſolena mechanicum aut glottocomum mechanicum. Verum de inſtrumentis uberius praecipiemus, quando de luxatorum

ἐπιδέσμων ποικιλίας ἐν ἐκείνοις λελέξεται. νυνὶ δὲ ἐπειδὴ περὶ τοῦ μηχανικοῦ σωλῆνος ἐμνημόνευσα, πολλὴν χρείαν παρεχομένου τῷ σκέλει καὶ κατὰ τὴν ἄλλην μὲν ἀπόθεσιν, ἔτι δὲ μᾶλλον ἐπειδὰν ἀλλάττῃ τὴν κοίτην ὁ κάμνων, ἢ ἀποτρίβηταί τι τῶν κατὰ γαστέρα, καλῶς ἂν ἔχοι πρὸς τῷ μηδὲν ἔτι ἐνδεῖν εἰς τὸν ὑπὲρ τούτων λόγον, ἐπαινέσαι πολὺ μᾶλλον ἐκεῖνο τὸ γλωττόκομον, οὗ καὶ τὴν ἑτέραν τῶν πλευρῶν καὶ τὸ σανίδιον ἐφ᾿ ὃ τὸν πόδα στηρίζουσι, κινούμενα κατασκευάζουσιν, ὥστε ἁρμόζειν ἅπαντι μεγέθει κώλου. περὶ μὲν δὴ τῶν ἄλλων καταγμάτων ἀρκεῖ καὶ ταῦτα μετὰ τῶν ὑφ᾿ Ἱπποκράτους εἰρημένων γιγνώσκεσθαι.

Κεφ. στ΄. [150] Περὶ δὲ τῶν ἐν τῇ κεφαλῇ γέγραπται μέν που καὶ περὶ τούτων Ἱπποκράτει βιβλίον ὅλον, ἅπαντα διδάσκοντι ὅσα χρὴ πράττειν ἐπ᾿ αὐτῶν· καὶ ἡμεῖς δὲ ὅταν τήνδε τὴν πραγματείαν ἐπιτελέσωμεν, ἐπιθησόμεθα ταῖς ἐξηγήσεσι τῶν συγγραμμάτων αὐτοῦ. κατὰ δὲ τὸ παρὸν, ἐπειδὴ τά τε προσευρημένα τοῖς ὑπ᾿ ἐκείνου λεχθεῖσιν ἐν τοῖσδε τοῖς ὑπομνήμασι προστίθεμεν, ὅσα τε ἀδιορίστως εἶπε διο-

curatione agemus, ubi etiam de varietate deligaturarum *quae fuperimponuntur* non minus dicetur. Nunc vero poftquam de mechanico folene mentionem feci, qui plurimum cruri commodat tum alias quum reponitur, tum vel magis quum aeger cubile mutat, aut etiam e ventre aliquid excernit, non abs re fuerit, quo nihil tractatione de eo defideretur, multo magis illud glottocomum laudare, cujus alterum laterum, itemque tabellulam in qua pedem collocant, quo nulli non quadret membri magnitudini, mobilia faciunt. Ac de reliquis quidem fracturis haec noffe cum iis quae Hippocrates praecipit fat fuerit.

Cap. VI. De iis vero quae in capite accidunt, Hippocrates certe integrum librum fcripfit, ubi omnia praecipit quae in iis funt agenda, et nos cum huic operi finem impofuerimus, enarranda ejus opera aggrediemur. Ad praefens vero, quoniam in his commentariis et quae fupra ea quae ille dixit funt inventa adjicimus, et quae indefinite

ριζόμεθα, πρῶτον μὲν ἀναγκαῖόν ἐστι μνημονεῦσαι τῶν κοίλων ἐκκοπέων, οὓς καὶ κυκλίσκους ὀνομάζουσιν· εἶθ' ἑξῆς τῶν φακωτῶν· καὶ μετ' αὐτοὺς τῶν στενῶν ξυστήρων· εἶτα περὶ τῆς τῶν φαρμάκων χρήσεως εἰπεῖν τι. τῶν τοίνυν καταγμάτων τοῦ κρανίου τινὰ μὲν ἄχρι τῆς διπλόης ἐξήκει, τινὰ δὲ ἄχρι τῆς ἔνδον ἐπιφανείας τῶν ὀστῶν· καὶ τινὰ μὲν ἁπλαῖ ῥωγμαὶ, τινὰ δὲ θλάσεις, τινὰ δὲ ἕδραι τῶν πληξάντων εἰσίν. αἱ μὲν οὖν ἁπλαῖ ῥωγμαὶ μέχρι τῆς διπλόης διασχοῦσαι τῶν νῦν εἰρημένων ξυστήρων χρήζουσι τῶν στενῶν. εἶναι δ' αὐτοὺς χρὴ πολλοὺς μὲν τὸ πλῆθος, ἀνίσους δὲ τὸ μέγεθος, ὡς μηδέποτε ἀπορεῖν τοῦ χρησιμωτάτου τῷ ἔργῳ· κἄπειτα γυμνωθέντος κατὰ τὰ εἰθισμένα τοῦ πεπονθότος ὀστοῦ, χρῆσθαι πρώτῳ μὲν τῷ πλατυτέρῳ, δευτέρῳ δὲ τῷ μετ' αὐτὸν στενωτέρῳ, κἄπειθ' οὕτως ἑξῆς τοῖς ἄλλοις ἄχρι τοῦ στενωτάτου· τούτῳ δὲ χρηστέον ἐπ' αὐτῆς τῆς διπλόης. εἶτ' ἰᾶσθαι χρὴ ξηροῖς φαρμάκοις αὐτίκα τε καὶ μέχρι τέλους· ἃ δὴ καὶ δι' αὐτὸ τοῦτο προσηγόρευται κεφαλικά. σύγκειται δὲ διά τε τῆς

dixit definimus, necesse est primum de cavis excisoriis scalpris, quos cycliscos, mox de iis, *quos a lenticulae specie* phacotos nominant, post hos de angustis scapellis, demum de medicamentorum usu aliquid dicamus. Ergo de fracturis calvariae quaedam usque ad diploen perveniunt, quaedam usque ad internam ossium superficiem, quaedam etiam simplices fissurae, quaedam contusiones, quaedam vestigia eorum quibus inflicta plaga est. Quae igitur simplices fissurae ad secundam usque laminam perveniunt, iis quos modo diximus angustis scalpellis indigent. Expedit autem hos ut numero multos, ita magnitudine impares esse, necubi desit quod operi sit commodissimum; postea vero nudato prout fieri solet affecto osse, utendum quidem primo latiore, secundo loco eo qui illo est angustior; mox ita reliquis deinceps usque ad angustissimum, hoc vero in ipsa diploe est utendum. Post haec tum protinus tum ad finem usque siccis medicamentis est medendum, quae ob id ipsum cephalica, *id est capitalia* sunt dicta. Ea componuntur ex iri

Ἰλλυρίδος ἴρεως καὶ τοῦ τῶν ὀρόβων ἀλεύρου καὶ μάννης ἀριστολοχίας τε καὶ πάνακος ῥίζης φλοιοῦ, καὶ ἁπλῶς εἰπεῖν ἁπάντων ὅσα ῥύπτειν πέφυκεν ἄνευ τοῦ δάκνειν. αὐτὴ γὰρ ἡ γεννωμένη σὰρξ, ἔργον τῆς φύσεώς ἐστιν· ὥστε οὐδὲν εἰς τοῦτο τῆς ἰατρικῆς ὁ κάμνων δεῖται. τὸ δὲ τὴν γεννωμένην συμφύεσθαί τε καὶ περιφύεσθαι πᾶσι τοῖς τῶν ὀστῶν μέρεσιν ἐκ τοῦ μήτε ῥύπον ἐπ' αὐτοῖς εἶναι μήτ' ἐλαιώδη τινὰ λιπαρότητα γίγνοιτ' ἂν μάλιστα. τοῦτ' οὖν ἐστιν ὃ παρὰ τῶν ἰατρῶν οἱ κάμνοντες ἴσχουσιν εἰς τὴν σάρκωσιν, ὡς ξηρὸν μὲν (105) ἅπαν εἶναι τὸ χωρίον, ἕκαστον δὲ μέρος τῶν πεπονθότων ὀστῶν ἀκριβῶς καθαρόν. ταῦτα μὲν οὖν κοινὰ πάντων τῶν καταγμάτων, ὅταν ἄρχηται σαρκοῦσθαι. τῶν δ' ἄχρι μήνιγγος διασχόντων, εἰ μὲν εἴη μόνη ῥωγμὴ, τοῖς εἰρημένοις ξυστῆρσι χρηστέον· εἰ δὲ μετὰ θλάσεώς τινος, ἐκκόπτειν χρὴ τὸ τεθλασμένον, ἤτοι διὰ τρυπάνων ἐν κύκλῳ πρότερον κατατιτρῶντα, κἄπειθ' οὕτω χρώμενον τοῖς ἐκκοπεῦσιν, ἢ διὰ τῶν κυκλίσκων εὐθὺς ἐξ ἀρχῆς. ἡ μὲν οὖν διὰ τρυπάνων ἐνέργεια σφαλερὰ, διὰ τὸ πολλάκις ἅψασθαί τινας,

Illyrica et ervi farina et manna et ariſtolochia, et panacis radicis cortice, in ſumma omnibus quae extergere citra morſum poſſunt. Ipſa namque generatio carnis naturae opus eſt, itaque aegro ad eam rem nihil opus eſt arte medica. Ut autem quae provenit caro coalescat circumhaereatque omni oſſis parti, id inde maxime eveniet, ſi neque ſordes ſuper eo ſit, nec oleoſa quaedam pinguedo. Id igitur eſt quod aegris medici ad carnis productionem praeſtant, ut totus locus ſiccus ſit, tum quaelibet affecti oſſis pars plane pura. Atque haec quidem omnium fracturarum, quum caro in his produci incipit, communia ſunt. Ex fracturis vero quae ad meningem pervenerunt, ſi ſimplex tantum fractura ſit, jam dictis ſcapellis anguſtis utendum; ſin cum contuſione aliqua, quod contuſum eſt excidi debebit, idque vel terebellis prius in circuitu perforatum, mox deinde ſcalpris admotis, vel protinus ab initio cycliscis. Ac quae per terebellam quidem actio parum tuta eſt, propterea quod dum audacius

ἀθροώτερον αὐτοῦ βαπτισθέντος, τῆς μήνιγγος τῆς σκληρᾶς τῆς ὑποτεταμένης τοῖς ὀστοῖς. ἡ δὲ διὰ τῶν κυκλίσκων οὐδ᾽ αὐτὴ παντάπασιν ἄμεμπτος, σείει γὰρ ἐπὶ πλεῖστον τὴν κεφαλὴν ἡσυχάζειν δεομένην. ἀρκεῖ δέ μοι κἀνταῦθα μεγάλων μὲν οὐσῶν τῶν ῥωγμῶν καὶ τῶν ὀστῶν τῶν κατεαγότων ἰσχυρῶς κεκινημένων τοῖς κυκλίσκοις χρῆσθαι· βραχείαις γὰρ ἐπιβολαῖς χώραν παρέξεις τοῖς φακωτοῖς ἐκκοπεῦσιν· ἰσχυρῶν δὲ κατὰ τὰ πλεῖστα τῶν ὀστῶν ὑπαρχόντων κατατιτρῶναι τοῖς τρυπάνοις αὐτά. τινὲς δὲ ὑπὲρ τοῦ μηδέποτε ἁμαρτεῖν ἀβάπτιστα τρύπανα κατεσκευάσαντο. καλοῦσι δὲ οὕτως αὐτὰ διὰ τὸ μὴ βα[151]πτίζεσθαι· περιθεῖ γὰρ ἐν κύκλῳ περιφερής τις ἴτυς, προὔχουσα μικρὸν ὑπεράνω τοῦ κατὰ τὸ τρύπανον ὀξέος πέρατος. εἶναι δὲ δήπου χρὴ πολλὰ καὶ ταῦτα πρὸς ἅπαν πάχος κρανίου παρεσκευασμένα· τοῖς μὲν γὰρ παχυτέροις τὸ μακρότερον ἁρμόσει τρύπανον· ὀνομάζω δὲ οὕτως ᾧ μεῖζόν ἐστι τὸ μεταξὺ τοῦ τ᾽ ἄκρου πέρατος καὶ τῆς κυκλοτεροῦς ἴτυος· τοῖς δὲ λεπτομερέσι τὸ μικρότερον· ἔστι δὲ δήπου καὶ τούτῳ τὸ μεταξὺ τοῦ πέρατός τε

eam tractant, duram membranam quae offi fubfternitur non raro violant. Quod vero per cycliscos opus adminiftratur, ne id quidem omnino vitio caret, quum quatiat immodice caput, quod potius quietem poftulat. Mihi igitur hic quoque placet, fi magnae fint fracturae et offa quae fracta funt, vehementer mota cycliscis uti, paucis enim acceffibus lenticulatis exciforiis locum facies. Sin firma plurimum offa fint, foranda terebella funt. Quidam autem quo minus usquam aberrent, ejusmodi terebellas excogitarunt, quae quod mergi non poffint, ea abaptiftas vocant; circumcurrit enim fupra terebellae cufpidem acutam, rotundum quoddam fupercilium parum exftans. Sane expedit complures id genus praeparatas habere ad omnem calvariae craffitudinem; nam craffiori longior terebra conveniet, voco autem ita cujus fpatium, quod inter fummam eft cufpidem et rotundum fupercilium, majus eft; tenuiori brevior; eft autem hic quoque quod intereft inter cufpidem et fupercilium minus. Aliqui

καὶ τῆς ἴτυος ἔλαττον. ἔνιοι δὲ τούτων, εἴτε δειλοτέρους χρὴ λέγειν, εἴτ᾽ ἀσφαλεστέρους, ταῖς καλουμέναις χοινικίσιν ἐχρήσαντο. σὺ δὲ εἰ μήτε ἀφύλακτος εἶναι μέλλοις τῶν ὄντων σφαλερῶν μήτε πέρα τοῦ προσήκοντος φοβερὸς, ἄριστόν σοι τοῖς κυκλίσκοις χρῆσθαι, κατὰ μὲν τὴν πρώτην ἐπιβολὴν τοῖς πλατυτέροις, ἑξῆς δ᾽ αὐτῶν τοῖς στενωτέροις, ἄχρι περ ἂν ἐπὶ τὴν παχεῖαν μήνιγγα κατέλθῃς. οὐ μὴν οὐδ᾽ ἐν κύκλῳ πᾶν ὅσον ἐκκοπῆναι χρὴ τοῖς κυκλίσκοις γυμνωτέον, ἀλλὰ κατ᾽ ἐκεῖνο μάλιστα τὸ μέρος, ἔνθα τὸ κάταγμα βιαιότερον αὐτοῦ γέγονε. πρὸς μὲν γὰρ αὖ τοῖς ἄλλοις καὶ ἡ μῆνιγξ ἀφίσταται τάχιστα τῶν ἰσχυρῶς παθόντων ὀστῶν, ὥστε οὐδεὶς ἔσται κίνδυνος ἅψασθαι τῆς ἀφεστώσης ἤδη. ἢν δ᾽ ἅπαξ ἕν τι γυμνώσῃς μέρος, ὑποβαλὼν ἐκκοπέα, τὸ μὲν φακοειδὲς ἐπὶ τῷ πέρατι προὔχον ἀμβλὺ καὶ λεῖον ἔχοντα, τὸ δὲ ὀξὺ κατὰ τὸ μῆκος ὄρθιον ὅταν στηρίξῃς κατὰ τῆς μήνιγγος τὸ πλατὺ τοῦ φακοειδοῦς, ἐπικρούων τῇ μικρᾷ σφύρᾳ, διαιρεῖν οὕτω τὸ κρανίον. συμβαίνει γὰρ ἐπὶ ταῖς τοιαύταις ἐνεργείαις πάντα ὅσων χρῄζομεν. ἡ μέν γε μῆνιγξ,

vero, five illos his timidiores five tutiores appellem, etiam modiolis funt ufi. Tu vero, fi neque improvidus eorum quae fallere poffunt fis futurus, neque quam fatis eft timidior, commodiffime cycliscis utere, et primo quidem aggreffu latioribus, poftea anguftioribus, donec ad craffam meningem perveneris. Ceterum quod excidi oportet, id totum circulo cycliscis nudandum non eft, fed ex ea maxime parte qua fractura eft graviffima. Nam praeter alia etiam maxime ipfa ab offibus vehementer affectis celerrime recedit, adeo ut nullum fit periculum eam, quae jam fejuncta eft, tetigiffe. Si vero unam femel nudaveris partem, ac fcalprum qui in cufpide praefixam habet obtufam laevemque lenticulae fpeciem, aciem vero per longitudinem erectam fubmiferis, ubi latam partem lenticulae fuper meningem ftatueris, feries malleolo, ac fic calvariam divides. Evenient enim ita agentibus quae requirimus omnia. Nam meninx, ne fi dormitans quidem quis agat, lata tantum len-

οὐδ᾽ ἂν νυστάζων τις ἐνεργῇ, τρωθῆναι δύναται, τῷ πλατεῖ μέρει μόνῳ τοῦ φακοειδοῦς ὁμιλοῦσα· καὶ ἣν προσέχηται δέ που τῷ κρανίῳ, καὶ ταύτης τὴν προσάρτησιν ἀλύπως ἀποσπᾷ τὸ περιφερὲς πέρας τοῦ φακοειδοῦς· ἕπεται δὲ ἐξόπισθεν αὐτῷ ποδηγοῦντι, διακόπτων τὸ κρανίον ὁ ἐκκοπεὺς αὐτός. ὥστε οὔτε ἀκινδυνότερον οὔτε θᾶττον ἐνεργοῦντα τρόπον ἕτερον ἀνατρήσεως εὑρεῖν ἐγχωρεῖ. μάλιστα δ᾽ αὐτὸν ἐπαινέσεις ἐν τοῖς σφοδροτάτοις κατάγμασιν· ἃ δή τινες τῶν νεωτέρων ἰατρῶν ἐγγεισώματά τε καὶ καμαρώσεις ὀνομάζουσι, τὰ μὲν ἐγγεισώματα τῷ μέσῳ σφῶν αὐτῶν ἐρείδοντα κατὰ τῆς μήνιγγος, τὰ δὲ καμαρώματα τουτὶ μὲν ὑψηλὸν ἔχοντα, καθ᾽ ἃ δὲ πρῶτον ἀπὸ τῶν ὑγειῶν τὸ πεπονθὸς ἤρξατο χωρίζεσθαι ταῖς τοῦ κατάγματος ῥωγμαῖς, εἴσω μᾶλλον ἀπεληλυθότα καὶ κατὰ τῆς μήνιγγος ἐστηριγμένα. τάχιστα γὰρ ἐπὶ τῶν τοιούτων ἐκκόπτεται τὸ πεπονθὸς ἅπαν, ἑτοιμότερον ὑποδυομένου τοῦ φακωτοῦ πέρατος ἐν τοῖς ἐπὶ πλεῖστον ἐξεστηκόσι τοῦ κατὰ φύσιν. ἀλλὰ καὶ διὰ τῆς ὀστάγρας ἀνατείνοντες ἢ ἀνακλάσαντες ἔνια

ticulae parte occurrens vulnerari poteſt, quod ſicubi adhaereat calvariae, hujus quoque adhaerentiam innoxie dirimit ipſa lenticulae rotunditas; ſubſequitur vero praeeuntem eam a tergo ipſe ſcalper calvariam ſecans. Quare nec qui minus cum periculo, nec qui celerius perſiciatur forandi modum alium invenias. Maxime autem hunc in vehementiſſimis fracturis laudabis, quas utique recentiorum nonnulli medicorum Graece engeiſomata et camaroſes nominant. Engeiſomata quidem quae in medio ſui membranae innituntur; camaromata vero quae eandem ipſam partem exaltatam habent, caeterum qua primum ab integris fracturae partibus diduci aegra coepit, intro magis recedunt ac membranae innituntur. Nam celerrime in talibus quod aegrum eſt totum exciditur; utpote quum promptius ſubintret lenticulati ſcalpri finis in iis quae plurimum a naturali ſtatu receſſerunt. Quinetiam oſtagra aliquibus oſſium, quae vehementer ſunt comminuta, vel exaltatis vel converſis

τῶν ἰσχυρῶς συντετρημένων ὀστῶν, κατ᾽ ἐκεῖνο μάλιστα τὸ μέρος ὑποδῦναι τὸν φακωτὸν παρασκευάσομεν. ἕπεται δὲ τούτου γενομένου πάντα ἐξῆς ὧν δεόμεθα σὺν ἀσφαλείᾳ τε ἅμα καὶ τάχει· καὶ σχεδὸν, ὡς ἄν τις εἴποι, κατὰ μὲν τἄλλα σύμπαντα καλῶς εἴρηται τοῦτο δὴ τὸ πολυθρύλητον, Ἀρχὴ δὲ τὸ ἥμισυ παντός· ἐνταυθοῖ δ᾽ οὐχ ἥμισυ τοῦ παντὸς, ἀλλ᾽ ἤτοι πᾶν ἢ ὀλίγου δεῖν ἅπαν ἔχοις ἂν ἐνθεὶς τὸν φακωτόν. αὕτη μὲν οὖν ἀρίστη χειρουργία τῶν ἐν τῷ κρανίῳ καταγμάτων· ὁπόσον δὲ ἐκκόπτειν χρὴ τοῦ πεπονθότος, ἐφεξῆς σοι δίειμι. τὸ μὲν ἰσχυρῶς συντριβὲν ὅλον ἐξαίρειν· [152] εἰ δ᾽ ἀπ᾽ αὐτοῦ τινες ἐπὶ πλέον ἐκτείνοιντο ῥωγμαὶ, καθάπερ ἐνίοτε φαίνεται συμβαῖνον, οὐ χρὴ ταύταις ἕπεσθαι μέχρι πέρατος, εὖ εἰδότας ὡς οὐδὲν βλάβος ἀκολουθήσει διὰ τοῦτο, τῶν ἄλλων ἁπάντων ὀρθῶς πραχθέντων. ἡμεῖς γοῦν οὐχ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ πάνυ πολλάκις τοῦτο ποιήσαντες ἐτύχομεν τοῦ τέλους. ἡ δ᾽ ἔνδειξις ἡμῖν κἀνταῦθα εἰκότως τῶν ποιητέων ἐκ τῆς φύσεως τῶν πεπονθότων μορίων εὐπορήθη· ἣν γὰρ ἐπὶ τῶν ἄλλων καταγμάτων ἐπίδεσιν

ea potiffimum parte, ut demittatur lenticulatum fcalprum, praeparabimus. Quo facto fuccedunt deinceps omnia quibus eft opus cum fecuritate fimul ac celeritate, ut ferme dixeris celebre illud dictum in reliquis omnibus probe fe habere, *Dimidium facti qui bene coepit habet*, hic vero non totius dimidium, fed vel totum vel paulo minus totum habeas, ubi lenticulatum fcalprum immiferis. Atque haec optima eft fracturarum quae in calvaria funt chirurgia; quantum vero excidere conveniat partis affectae, deinceps tibi exponam. Quod vehementer eft confractum, id totum eft auferendum; fi vero ab eo fragmenta quaedam longius excurrant, quemadmodum aliquando cernitur accidere, haec perfequi ad finem non expedit, illud perfuafum habentibus, minime futurum ut ex eo noxa fequatur ulla, modo reliqua omnia rite fint peracta. Nos enim non femel aut bis, fed plane perfaepe fic facientes voti compotes fuimus. Indicatio vero agendorum hic quoque ex natura ipfarum partium affectarum fubminiftrata eft. Nam deligaturam, quam

Ed. Chart. X. [152.] Ed. Baf. IV. (105.)

ὡς ἀφλεγμαντοτάτην ἐξεῦρεν ὁ λόγος, ἐπὶ κεφαλῆς οὐχ οἷόν τ' ἐστὶ ποιήσασθαι. ὥστε οὔτε ἀποστρέψαι τὸ ἐπιῤῥέον οὔτε τὸ περιεχόμενον ἐν τοῖς πεπονθόσιν ἐκθλῖψαι δυνατόν· ὧν χωρὶς οὐδὲ τῶν ἄλλων ὀστῶν οὐδὲν ὑγιὲς φυλαχθῆναι δύναται. ὑποκείσθω γοῦν βραχίων ἄχρι τοῦ μυελοῦ ῥωγμὴν ἐσχηκὼς, εἶτα μηδεὶς αὐτὸν ἐπιδείτω νόμῳ καταγματικῷ, πᾶσα δήπουθεν ἀνάγκη τοὺς ἰχῶρας οὐκ ἔξω μόνον ὑπό τε τὸ δέρμα καὶ τοὺς μῦς ἀθροιζομένους, ἀλλὰ καὶ τῷ μυελῷ περιεχομένους, ἐκεῖνόν τε πρῶτον καὶ μάλιστα σῆψαι καὶ σὺν αὐτῷ τὸ σύμπαν ὀστοῦν, ὅπου γε καὶ νῦν ἁπάντων προσηκόντως γιγνομένων, ἔστιν ὅτε τοιαῦτα συμπίπτει. πῶς οὖν οὐχὶ καὶ μᾶλλον ἂν ἐπὶ κεφαλῆς ταῦτα συμβαίνοι, μήτε καταγματικὴν ἐπίδεσιν ἐγχωρούσης δέξασθαι, τῶν τε ἰχώρων ἐπὶ τὸ κάταντες φερομένων ὡς ἀθροίζεσθαι πάντας ἐπὶ τῆς μήνιγγος; ἐπὶ μὲν οὖν τῶν ἄλλων καταγμάτων ἡ ἐπίδεσις ὅταν ὀρθῶς γένηται, τοσοῦτον δεῖ περιττὴν ὑγρότητα συγχωρεῖν ἐπιτρέφεσθαι κατὰ τὸ πεπονθὸς ὀστοῦν, ὥστε καὶ τοῦ κατὰ φύσιν ἰσχνότερον ἀποφαίνειν τὸ χωρίον. ἐπὶ δὲ

in aliis fracturis ceu maxime phlegmonas arcentem ratio invenit, capiti aptare non poſſis; itaque nec quod affluit reprimere, nec quod in aegris partibus continetur exprimere queas; ſine quibus praeſidiis nec reliquorum oſſium ullum ſervari ſanum poteſt. Nam pone in brachio ad medullam usque fractum os eſſe neminemque poſtea pro fracturae legibus id deligaſſe, omnino neceſſum erit ſaniem non ſolum quae foris ſub cute et musculis eſt collecta, ſed etiam quae in medulla continetur, tum ipſam primum ac maxime corrumpere, tum cum ipſa os univerſum; quando etiam nunc quoque omnibus rite peractis aliquando talia contingunt. Quomodo ergo non vel magis in capite ea accidant, quum nec deligaturam fracturis convenientem admittat et omnis ſanies prona feratur ſic ut ſuper meningem univerſa coacervetur? In aliis igitur fracturis deligatura quum rite adhibetur tantum abeſt ut ſupervacuam aliquam humiditatem colligi in laeſo oſſe patiatur, ut etiam gracilius quam pro naturali ſtatu membrum reddat. In

Ed. Chart. X. [152.] Ed. Baſ. IV. (105. 106.)

τῆς κεφαλῆς ὁ μὲν διὰ τῆς ἐπιδέσεως τρόπος οὐχ οἷός τ᾽ ἐστὶ ξηραίνειν οὕτω τό τε κατεαγὸς ὀστοῦν αὐτὸ καὶ τὰ πέριξ, ὡς μήτε φλεγμῆναι μήθ᾽ ὅλως ἐργάσασθαί τινα ἰχῶρα· φάρμακόν τε οὐδὲν οὐδ᾽ ἐπὶ τῶν ἄλλων μερῶν ἄνευ τῆς ἐπιδέσεως ἱκανὸν εἰς ὅσον εἴρηται ξηρὸν καὶ ἀπέριττον ἐργάσασθαι τὸ κατεαγός. ἀναγκαῖον οὖν ἡμῖν γίγνεται γυμνῶσαί τι τοῦ κατάγματος, ἵν᾽ ἔχωμεν ἀπομάττειν καὶ ἀποπλύνειν ἀπὸ τῆς μήνιγγος τοὺς ἰχῶρας, ἐπειδὰν ὅ τε τῆς φλεγμονῆς παύσηται καιρὸς, ἀκριβῶς τε ᾖ ξηρὰ πάντα, σαρκῶσαι καὶ συνουλῶσαι τὸ χωρίον. οὐκ ἔστιν ὁ λόγος οὗτος ψιλὸς, οἷον οἱ μηδὲν ἐπ᾽ αὐτῶν τῶν ἔργων εἰδότες σοφισταὶ ζητοῦσι, διὰ τί τὰ τῆς κεφαλῆς οὐ πωροῦται κατάγματα· πωροῦται μὲν γὰρ ὦ βέλτιστοι· καὶ ὑμεῖς οὕτως ἐστὲ ληρώδεις ὥστε τῶν οὐκ ὄντων ὡς ὄντων λέγειν (106) αἰτίας. οἶδα γοῦν ποτε τὸ βρέγματος ὀστοῦν συντριβέν· τὸ δ᾽ ἐφεξῆς αὐτῷ τὸ τοῦ κροτάφου καλούμενον, ἐν ᾧ τὰς λεπιδοειδεῖς ἐπιβολὰς εἶναι συμβέβηκεν, ἄχρι πλείστου μεγίστην ἔχον ῥωγμὴν ἧς ἡμεῖς

capite vero ratio quae per deligaturam eſt excogitata nec poteſt ita tum os ipſum confractum tum quae illi circumſtant ſiccare, ut neque phlegmonen contrahant, neque penitus ullam efficiant ſaniem; nec medicamentum eſt ullum, quod vel in aliis quidem partibus citra deligaturam os fractum, quatenus nunc dictum eſt, ſiccum atque a ſupervacuis purum reddere valeat. Neceſſum igitur eſt nobis primum fracturae aliquid nudare, quo videlicet detergere et abluere ſaniem a meninge liceat; poſt vero quum phlegmones tempus praeteriit omniaque ſicca ad unguem ſunt, carnem producere ac cicatrice locum includere. Non eſt hic ſermo nudus *rerumque vacuus*, cujusmodi eſt ille ſophiſtarum, qui operum artis neſcii quaerunt cur capitis fracturae callum non ducant. Ducunt enim, *viri* optimi; vosque tam dementes eſtis ut eorum quae non ſunt tanquam ſint cauſis aſſignetis. Novimus enim aliquando ſincipitis os fractum; quod autem os huic oſſi protinus ſuccedit, temporis os vocatur, in quo ipſas ſquamatim compactas commiſſuras eſſe accidit; in eo luculenta fractura longiſſime perti-

ὅλως μὴ προσαψάμενοι, μόνον δ᾽ ἐκκόψαντες τὸ τοῦ βρέγματος ἰάσαμεν τὸν ἄνθρωπον, ὡς καὶ νῦν ἔτι ζῆν ἐξ ἐτῶν πολλῶν. εἰ δὲ καὶ τὸ τοῦ βρέγματος εἰάσαμεν, οὕτως ἐσάπη ἂν θᾶττον ἡ κατὰ τοὐθ᾽ ὑποκειμένη μῆνιγξ ἢ ἐπωρώθη τὸ κάταγμα. ὡς εἴ γε μηδεὶς ἐκ τῶν πεπονθότων ἰχὼρ ἐντὸς ἔῤῥει, περιττὸν ἦν ἐκκόπτειν ὀστοῦν. ἐκεῖνοι μὲν οὖν ὡς σύνηθες αὐτοῖς ἐστι φλυαρείτωσαν, ἐγὼ δ᾽ ἐφ᾽ ἑτέρου κατάγματος ὁμοίως γεγονότος ἐνενόησα τὸ μὲν ὑψηλὸν ὀστοῦν ἐᾶσαι, τὸ δ᾽ ἐν τοῖς πλαγίοις ἐκκόψαι πρὸς ὑπόῤῥυσιν τῶν ἰχώρων· [153] εἶτ᾽ ἐννοήσας τό τε πάχος αὐτοῦ καὶ τὴν σκληρότητα βέλτιον ᾠήθην εἶναι τὸ μετέωρον ὀστοῦν ἐξελεῖν μᾶλλον ἢ τῆς ὑποῤῥύσεως φροντίζων σεῖσαι σφοδρῶς τὸν ἐγκέφαλον. ἐνενόησα δὲ καὶ ὡς εἰς τὰ πλάγια γεννηθείσης ὀπῆς μεγάλης τοῖς ὀστοῖς ἐξίσχειν ταύτῃ συμβήσεται τὸν ἐγκέφαλον. ἔστι δὲ δήπου πολλαχόθι κατὰ τὰ πλάγια καὶ νεύρων τις ἔκφυσις ἐπικαίρων· ἐν δὲ τοῖς ὑψηλοῖς τῆς κεφαλῆς, οὐδὲ σμικρότατον οὐδαμόθεν νεῦρον ἐκφύεται. διὰ ταῦτα μὲν δὴ ἀπέστην ἐκκόπτειν τὸ πλάγιον ὀστοῦν τῆς κε-

nebat, quam ipfe equidem minime contingens, fed tantum fincipitis os excindens hominem fanavi fic ut nunc quoque multos jam annos vivat. Quod fi fincipitis quoque os dimififfem, putruiffet citius quae illi fuberat cerebri membrana quam callum fractura duxiffet. Nam fi nulla ex laefis partibus fanies intro confluerct, fuperfluum effet os excindere. Ergo illi prout folent nugentur. Ego vero in alia fimiliter fe habente fractura cogitaram fupernum os dimittere, ac quod a lateribus erat quo fanies deflueret, eximere; mox quum et craffitudinem ejus et duritiam aeftimaffem, utilius fore judicavi fupernum os potius eximere quam ob defluxus folicitudinem cerebrum valenter concutere. Cogitavi praeterea accidere poffe ut fi a latere magnum fieret in offibus foramen, promineret fortaffis hac parte cerebrum. Eft porro et in lateribus plurimis in locis etiam nervorum, horumque non levis momenti quidam exortus, quum in fupernis capitis partibus ne minimus quidem usquam oriatur nervus. His admonitus abftinui ab eximendo offe

Ed. Chart. X. [153.] Ed. Baf. IV. (106.)

φαλῆς. ἐπωρώθη δὲ ἀεὶ θεραπευόντων ὡς χρή. καὶ σχεδὸν ἔτι τοῦθ᾽ ἡμῖν ὑπολείπεται διασκέψασθαι, τίς ἡ τῶν φαρμάκων τε καὶ ὅλης τῆς μετὰ τὴν ἀνάτρησιν ἐπιμελείας ἀγωγὴ βελτίστη πασῶν ἐστιν· ἆρά γε ἡ πρᾳοτάτη καὶ παρηγορικωτάτη, καθάπερ νῦν ὑπὸ τῶν πλείστων γίνεται, ἢ ἡ ταύτης ἐναντιωτάτη, διὰ τῶν ἰσχυρότατα ξηραινόντων φαρμάκων, οἷον καὶ Μέγης ὁ Σιδώνιος ἐπαινεῖ. καί τις ἡμέτερος πολίτης ἐχρῆτο διὰ παντὸς, ὡς καὶ τὴν Ἶσιν ὀνομαζομένην εὐθέως ἐπιθεῖναι γυμνωθείσῃ τῇ μήνιγγι ἔμπλαστρον καὶ κατὰ ταύτης ἔξωθεν ὀξύμελι. πρεσβύτης δὲ ἦν οὗτος ἱκανῶς τρίβων τὰ τοιαῦτα τῆς τέχνης· οὐ μὴν οὔτε ἄλλον τινὰ χρώμενον εἶδον, οὔτε αὐτὸς ἐτόλμησα χρήσασθαι. τοσοῦτο μόνον ἔχω μαρτυρεῖν τῷ Εὐδήμῳ, τοῦτο γὰρ ὁ πρεσβύτης ἐκαλεῖτο, ὡς ἐσώζοντο μᾶλλον οἱ ὑπ᾽ ἐκείνου θεραπευόμενοι τῶν παρηγορικῶς ἀγομένων. ἐπεχείρησα δ᾽ ἄν ποτε καὶ αὐτὸς δι᾽ ἐμαυτοῦ πειραθῆναι τῆς τοιαύτης ἀγωγῆς, εἰ διὰ παντὸς ἐν Ἀσίᾳ κατέμεινα· διατρίψας δ᾽ ἐν Ῥώμῃ τὰ πλεῖστα τῷ τῆς πό-

quod in latere capitis effet. At callum femper duxit, modo rite curaretur. Ac jam quod disquiramus, hoc fere fupereft, quaenam fit poftquam foratum os eft tum medicamentorum tum univerfae diligentiae noftrae praecipua omnium ratio, utrumne maxime leniens ac mitigatoria, veluti qua nunc plerique utuntur; an quae huic maxime eft adverfa, quae per medicamenta quae vehementiffime ficcent perficitur; cujusmodi et Meges Sidonius laudat et civis quidam nofter femper eft ufus fic ut etiam emplaftrum quod Ifin vocant illico nudatae meningi imponeret et fuper hanc foris oximeli. Sane is fenex erat fatis exercitatus in hac artis parte; caeterum neque alium quempiam his ufum vidi, nec ipfe uti fum aufus. Tantum tamen teftificari Eudemo poffum, nam id feni nomen erat, magis fuiffe fervatos qui ab illo curabantur quam qui ab iis qui mitigatoriis utebantur. Aggreffus vero fuiffem aliquando ipfe plurimum experiri ejusmodi curationis rationem, fi perpetuo in Afia manfiffem; fed quum Romae plurimum agerem,

λεως ἔθει συνηκολούθησα, παραχωρήσας τοῖς χειρουργοῖς καλουμένοις τὰ πλεῖστα τῶν τοιούτων ἔργων. τὴν μέντοι φύσιν τοῦ πράγματος ἐπισκοπούμενος ἐννοῶ τοιοῦτόν τινα διορισμὸν, ὑπὸ μακρᾶς πείρας ἡμετέρας μαρτυρούμενον· ὁ καλούμενος ἀκουστικὸς πόρος, οὐ μόνον ἄχρι τῆς σκληρᾶς ἐξικνεῖται μήνιγγος, ἀλλὰ καὶ αὐτοῦ τοῦ νεύρου ψαύει τοῦ καθήκοντος ἐξ ἐγκεφάλου εἰς αὐτόν. κείμενος δ᾽ οὕτως ἐγγὺς, ὅμως ἰσχυροτάτων ἀνέχεται φαρμάκων, ὡς καὶ πρόσθεν εἴρηται. θαυμαστὸν οὖν οὐδὲν, εἰ καὶ μετὰ τὰς ἀνατρήσεις ἡ μῆνιγξ ἡ παχεῖα, πρὶν ἀξιολόγως φλεγμῆναι, τοῖς ἰσχυροτάτοις χαίρει φαρμάκοις, ὡς ἂν φύσει ξηρὰ τὴν οὐσίαν ὑπάρχουσα.

civitatis morem fuum fequutus, permiffa iis quos chirurgos vocant maxima ejusmodi operum parte. Caeterum ipfam rei naturam aeftimans talem quandam determinationem longa noftra experientia confirmatam concipio. Qui auditorius meatus dicitur, non folum usque ad cerebri duram membranam pertinet, fed etiam nervum contingit, qui in ipfam a cerebro descendit. Is autem quamquam ita pofitus in vicino, tamen vehementiffima, ficut dictum prius eft, medicamenta tolerat. Nihil igitur miri fit, fi poft forationes craffa meninx, antequam notabiliter phlegmone occupetur, valentiffimis gaudeat medicamentis, ceu ficcam naturaliter fubftantiam habens.

# ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ Η.

Ed. Chart. X. [154.] Ed. Baf. IV. (106.)

*Κεφ. α'.* Τὴν θεραπευτικὴν μέθοδον, ὦ Εὐγενιανὲ φίλτατε, πάλαι μὲν ὑπηρξάμην γράφειν Ἱέρωνι χαριζόμενος, ἐπεὶ δὲ ἐξαίφνης ἐκεῖνος ἀποδημίαν μακρὰν ἀναγκασθεὶς στείλασθαι, μετ' οὐ πολὺν χρόνον ἠγγέλθη τεθνεὼς, ἐγκατέλιπον κἀγὼ τὴν γραφήν. οἶσθα γὰρ ὡς οὔτε ταύτην οὔτε ἄλλην τινὰ πραγματείαν ἔγραψα τῆς παρὰ τοῖς πολλοῖς ἐφιέμενος δόξης, ἀλλ' ἤτοι φίλοις χαριζόμενος ἢ γυμνάζων ἐμαυτὸν, εἴς τε τὰ παρόντα χρησιμώτατον γύμνασιον εἴς τε τὸ τῆς λήθης γῆρας, ὡς ὁ Πλάτων φησὶν, ὑπομνήματα θησαυρισό-

# GALENI METHODI MEDENDI LIBER VII.

Cap. I. Medendi methodum, Eugeniane cariſſime, quam olim in Hieronis gratiam ſcribendam ſusceperam, poſteaquam illum ſubito longum iter ingredi coactum non multo poſt diem obiiſſe nunciatum, ipſi quoque perſequi deſtitimus. Tu enim mihi conſcius es neque hoc me opus neque aliud ullum popularis aurae ſtudio fuiſſe aggreſſum, ſed quo vel amicis gratificarer, vel me ipſum ſimul utiliſſima ratione ad rem propoſitam exercitarem, ſimul ad oblivionem ſenii, ut Plato inquit, commentarios mihi reponerem. Nam mul-

μενος. ὁ γάρ τοι τῶν πολλῶν ἀνθρώπων ἔπαινος εἰς μὲν χρείας τινὰς ἐπιτήδειον ὄργανον ἐνίοτε γίγνεται τοῖς ζῶσιν, ἀποθανόντας δὲ οὐδὲν ὀνίνησιν, ὥσπερ οὐδὲ τῶν ζώντων ἐνίους. ὅσοι γὰρ ἥσυχον εἵλοντο βίον, ὠφελημένοι μὲν ἐκ τῆς φιλοσόφιας, αὐτάρκη δ᾽ ἔχοντες τὰ πρὸς τὴν τοῦ σώματος θεραπείαν, τούτοις ἐμπόδιον οὐ σμικρόν ἐστιν ἡ παρὰ τοῖς πολλοῖς δόξα, περαιτέρω τοῦ προσήκοντος ἀπάγουσα τῶν καλλίστων αὐτούς. ὥσπερ ἀμέλει καὶ ἡμᾶς οἶσθα πολλάκις ἀνιωμένους ἐπὶ τοῖς ἐνοχλοῦσιν οὕτω συνεχῶς ἐνίοτε χρόνον ἐφεξῆς πολὺν, ὡς μηδ᾽ ἅψασθαι δυνηθῆναι βιβλίου. ἐγὼ [155] δὲ οὐκ οἶδ᾽ ὅπως εὐθὺς ἐκ μειρακίου θαυμαστῶς, ἢ ἐνθέως, ἢ μανικῶς, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ, κατεφρόνησα μὲν τῶν πολλῶν ἀνθρώπων δόξης, ἐπεθύμησα δὲ ἀληθείας καὶ ἐπιστήμης, οὐδὲν εἶναι νομίσας οὔτε κάλλιον ἀνθρώποις οὔτε θειότερον κτῆμα. διὰ ταῦτ᾽ οὖν οὐδ᾽ ἐπέγραψά ποτε τὸ ἐμὸν ὄνομα τῶν ὑπ᾽ ἐμοῦ γεγραμμένων βιβλίων οὐδενί· παρεκάλουν δ᾽, ὡς οἶσθα, καὶ ὑμᾶς μήτ᾽ ἐπαινεῖν με παρὰ τοῖς ἀνθρώποις ἀμετρότερον, ὥσπερ εἰώ-

torum hominum laus commodum ad ufus nonnullos inftrumentum viventibus aliquando eft, mortuis certe nihil prodeft, ficut neque viventium quibusdam. Nam qui vivere in tranquillo optarunt ac fructum ex philofophia ceperunt, et iis quae corpori curando fufficiunt funt contenti, iis utique impedimento non parvo eft apud vulgum fama, ut quae eos a rebus pulcherrimis plus jufto tranverfos auferat; veluti me quoque non ignoras ab iis quae funt molefta fic nonnunquam taedio affectum ut bono interdum fpatio ne tangere quidem librum poffim. Ego vero haud fcio qua ratione ab ipfa usque adolescentia mirifice, five infpiratus, five furore percitus, five quomodocunque dixiffe libet, et vulgi famam contempfi et veritatis fcientiaeque ftudio flagravi, nullam effe hominibus nec honeftiorem nec diviniorem poffeffionem ratus. Atque ideo nulli librorum meorum nomen meum praefcripfi, imo vos, ficut ipfe teftis es, rogavi ne me immodice, ut foletis, apud homines laudaretis, nec nomen

Ed. Chart. X. [155.] Ed. Baf. IV. (106.)

θαι, μήτ᾽ ἐπιγράφειν τὰ συγγράμματα. κατὰ ταῦτ᾽ οὖν ἅπαντα καὶ ἡ θεραπευτικὴ μέθοδος ἐγκατελείφθη μοι, τὰ μὲν κεφάλαια τῶν εὑρημένων διὰ βραχέων ὑπομνημάτων ἐμαυτῷ γράψαντός μου, διεξοδικὴν δ᾽ οὐδεμίαν ἔτι προσθέντος διδασκαλίαν. νυνὶ δ᾽ ἐπειδὴ καὶ σὺ καὶ ἄλλοι πολλοὶ τῶν ἑταίρων, ἅπερ ἐθεάσασθέ με πολλάκις ἐπὶ τῶν νοσούντων ἔργῳ διαπραττόμενον, ἐν ὑπομνήμασιν ἔχειν ἀξιοῦτε, προσθήσω τὸ λεῖπον ἔτι τῇδε τῇ πραγματείᾳ.

Κεφ. β΄. Ἐν μὲν οὖν τῷ τρίτῳ καὶ τετάρτῳ καὶ πέμπτῳ καὶ ἕκτῳ τῶνδε τῶν ὑπομνημάτων τὸ κοινὸν νόσημα τῶν ὁμοιομερῶν τε καὶ ὀργανικῶν μορίων ὅπως χρὴ θεραπεύειν ἐγεγράφειν· ἀρξάμενος μὲν οὖν ἀπ᾽ αὐτοῦ, διότι τε σαφέστερόν ἐστι τῶν ἄλλων ἐναργῆ τε τὸν ἔλεγχον ἔχει τῶν ἔμπροσθεν ἁπάντων σχεδὸν ἰατρῶν ὅσοι μεθόδῳ μὲν ἐπαγγέλλονται μεταχειρίζεσθαι τὴν τέχνην, ἀμέθοδοι δέ εἰσιν ἐν ταῖς θεραπείαις. πλὴν γὰρ Ἱπποκράτους τοῦ πάντων ἡμῖν τῶν καλῶν παρασχόντος τὰ σπέρματα, τῶν ἄλλων οὐδεὶς οὐδ᾽ ἐπεχείρησε τὸ γένος τοῦτο τοῦ νοσήμα-

meum operibus quae proderem infcriberetis. Ob haec igitur omnia et medendi methodus quam inceperam a me eft depofita, cum capita inventorum brevibus commentariis mihi ipfi fcripfiffem, nec ullam pleniorem docendi rationem etiamnum adjeciffem. Nunc quando et tu et alii ex amicis non pauci exigitis quae faepe me opere in aegris peragere vidiftis, ut ea in commentarios redigam, adjiciam huic operi quod reliquum eft.

Cap. II. Ergo in horum commentariorum tertio, quarto, quinto et fexto quemadmodum fimilarium organicarumque partium communem morbum curari conveniat, fcripferam, idcirco nimirum ab eo aufpicatus, quod et confpectior reliquis effet et evidenter omnes propemodum priores medicos, qui certa methodo artem tradere polliciti amethodi in ipfis curationibus deprehenduntur, confutaret. Nam quum ab Hippocrate difcefferis, qui nobis omnium falutarium praeceptorum femina praebuit, reliquorum certe nemo vel conatus eft genus hoc morbi methodo curare.

τος ἰάσασθαι μεθόδῳ. δεῖται δὲ καὶ τὰ Ἱπποκράτους αὐτοῦ γεωργῶν ἀγαθῶν, οἳ σπεροῦσί τε αὐτὰ καὶ αὐξήσουσι καὶ τελειώσουσι προσηκόντως. καὶ ὅτι πρὸ ἡμῶν οὐδεὶς τοῦτ᾽ ἔπραξεν, ἀλλ᾽ οἱ πλεῖστοί γε καὶ προσδιέφθειραν αὐτοῦ τὰ σπέρματα, νομίζω σαφῶς ἐπιδεδεῖχθαι τοῖς προσεσχηκόσι τὸν νοῦν. τοῦτο μὲν οὖν τὸ γένος τοῦ νοσήματος, εἴτε συνεχείας λύσιν, εἴθ᾽ ἑνώσεως, εἴθ᾽ ὁπωσοῦν ἄλλως ὀνομάζειν τις ἐθέλοι, καλεῖν ἐπετρέψαμεν ὡς ἑκάστῳ φίλον. οὐ γὰρ ὑπὲρ ὀνομάτων σπουδάζομεν οὔτε κατὰ ταύτην τὴν πραγματείαν οὔτε καθ᾽ ἑτέραν τινὰ τῶν ἰατρι(107)κῶν, ἀλλ᾽ ὅπως ἂν μάλιστα τοῦ τέλους τῆς τέχνης τυγχάνωμεν. ἐπὶ δὲ τὸ πρῶτον ἁπάντων ἐπανερχώμεθα νῦν τῷ λόγῳ νόσημα, τὸ τοῖς ὁμοιομερέσιν ἐγγινόμενον, ὧν πρῶτόν εἰσιν αἱ κατὰ τὸ ζῶον ἐνέργειαι. δέδεικται γὰρ ἐν ἄλλαις πραγματείαις ὅπως ἕκαστον τῶν ὀργανικῶν μορίων ἐνεργεῖν τι λέγομεν, οἷον ὀφθαλμὸν ὁρᾷν, ἢ βαδίζειν σκέλος. εἶναι γὰρ οὔτε ὅλου τοῦ σκέλους, ἀλλὰ τοῦ μυώδους ἐν αὐτῷ γένους τὸ κῦρος τῆς ἐνεργείας· οὔτε ὀφθαλμοῦ τι βλέπειν, ἀλλὰ τοῦ κρυσταλ-

Poſtulant autem et quae Hippocrates ipſe reliquit non malos agricolas, qui ea tum ſeminent commode tum augeant tum perficiant. Id autem feciſſe ante nos neminem, ſed plerosque etiam ſemina quae reliquit corrupiſſe, iis qui animum adverterunt clare monſtratum arbitror. Itaque hoc morbi genus, vel continuitatis ſolutionem vel unitionis, vel qualitercunque eſt libitum appellare, cuique permiſimus; non enim de nominibus in hoc opere nec in alio medicinalium ullo laboramus, ſed quo pacto artis maxime finem conſequamur. Revertamur autem nunc ad morbum eum qui omnium eſt primus qui in ſimilaribus naſcitur, quibus primum animantis functiones referuntur acceptae. Siquidem monſtratum in aliis operibus eſt quemadmodum organicarum quamque partium aliquid agere dicamus, ut oculum videre, aut crus ambulare. Eſſe enim ſicut id quod praecipuum eſt actionis crurum non cruris totius, ſed musculoſi in eo generis, ſic viſionem non oculi totius, ſed

λοιδοῦς· ἐπί τε τῶν ἄλλων ἁπάντων ὀργάνων ἀνάλογον. ἐδείχθη δὲ ἐν τῷ δευτέρῳ τῆσδε τῆς πραγματείας καὶ ὡς ἀναγκαιότατόν ἐστι τὸ γένος τοῦ νοσήματος τούτου, καὶ ὡς οὐδεὶς αὐτὸ λογικῶς ἰάσαιτο τῶν ἀγνοησάντων τὰ πρῶτα στοιχεῖα, καὶ ὡς οὐδὲν ὧν φθέγγονται συνίασιν ἔνιοι τῶν λογικοὺς ἑαυτοὺς ὀνομαζόντων, ὅταν ἀτονίαν εἶναι φάσκωσιν ἢ κοιλίας, [156] ἢ ἐντέρων, ἢ ἥπατος, ἢ ὀφθαλμῶν, ἢ ὁτουδηποτοῦν μέρους. εἰ μὲν γὰρ τὴν περὶ τὸ σύμφυτον ἔργον ἀσθένειαν οὕτως ὀνομάζουσιν, οὐδὲν ἰδιώτου πλέον ἴσασιν· ἀκοῦσαι γάρ ἐστι κἀκείνων ἀτονεῖν ἑαυτῶν τὴν γαστέρα φασκόντων, μὴ πέττειν γοῦν αὐτὴν, μήτε τὰ σμικρότατα καὶ κουφότατα τῶν προσφερομένων. εἰ δὲ διάθεσίν τινα λέγουσιν ἐν τῇ γαστρὶ τὴν ἀτονίαν, ἑρμηνευσάτωσαν ἡμῖν ἥν τινά ποτε ταύτην εἶναί φασιν, ὡς ἐπὶ φλεγμονῆς ἐποίησαν. τῷ μὲν γὰρ ἐμπειρικῷ τὰ συμπτώματα μόνον ἀρκεῖ τῶν πεπονθότων μορίων ἑρμηνεῦσαι, παρὰ φύσιν ὄγκον εἰπόντι καὶ ἀντιτυπίαν, ὀδύνην τε σφυγματώδη καὶ τάσιν

cryſtallini in ipſo humoris, ac in reliquis quibusque organis ad proportionem. Porro oſtenſum in ſecundo horum voluminum eſt genus hoc morbi non ſolum cognitu eſſe maxime neceſſarium, ſed etiam neminem ipſum ratione curare poſſe qui prima corporis elementa non norit; praeterea non intelligere ea, quae dicant nonnullos eorum, qui rationales ſe nominant, quoties imbecillitatem eſſe dicunt vel ventriculi, vel inteſtinorum, vel jecinoris, vel oculorum, vel alterius cujuslibet partis. Si namque ita nominant infirmitatem impotentiamque ad naturale opus, nihil plus plebejo intelligunt; quippe quem dicere audias imbecillum ſibi ventriculum eſſe, non enim concoquere eum vel minima leviſſimaque quae ſumpſit. Quod ſi imbecillitatem quae eſt in ventriculo affectum quempiam eſſe ajunt, interpretentur quaeſo nobis quemnam demum hunc eſſe volunt, quemadmodum in phlegmone fecerunt; nam empirico ſat fuerit, ſi ſymptomata laborantis partis expoſuerit, tumorem praeter naturam et renixum et pulſatorium dolorem et

ἔρευθός τε καὶ ὅσα τοιαῦτα· καὶ τίθενταί γε πολλάκις ἓν ὄνομα κατὰ τοῦ σύμπαντος ἀθροίσματος ἕνεκα διδασκαλίας συντόμου, καθάπερ ἐπὶ τοῦ προειρημένου φλεγμονήν. οἱ δογματικοὶ δ' οὐχ οὕτως, ἀλλ' αὐτὴν τὴν οὐσίαν ἐπισκέπτονται τοῦ νοσήματος, ᾗ τὸ προειρημένον ἄθροισμα τῶν συμπτωμάτων ἐξ ἀνάγκης ἕπεται. δοκεῖ γοῦν Ἐρασιστράτῳ τὸ παρεμπεσὸν εἰς τὰς ἀρτηρίας αἷμα πρὸς τοῦ πνεύματος ὠθούμενον ἐν τοῖς πέρασιν αὐτῶν σφηνωθῆναι, καὶ τοῦτο εἶναι τὴν φλεγμονήν. ἀλλ' ἦν, οἶμαι, δίκαιος ἢ Ἐρασίστρατος αὐτὸς ἢ τῶν ἀπ' αὐτοῦ τις ὁμοίως ἐξηγήσασθαι καὶ τὴν ἐν ταῖς ἀτονίαις ἑκάστου μορίου διάθεσιν· ὥσπερ γὰρ ἐπὶ τῆς φλεγμονῆς εἰς ὅ τι μεταπέπτωκεν ἡ φυσικὴ κατασκευὴ τοῦ μέρους ἐδήλωσεν, οὕτως ὁ λόγος ἐπιζητεῖ ῥηθῆναι καὶ τὴν εἰς ἀτονίαν ἑκάστου μορίου μετάπτωσιν. οὐ γὰρ δὴ κατὰ φύσιν γε διακείμενον ἀτονεῖ περὶ τὴν οἰκείαν ἐνέργειαν, ἀλλά τι πάντως αὐτῷ παρὰ φύσιν αἴτιον ἐγγενόμενον ἐξέλυσέ τε καὶ κατέβαλε καὶ νεκρῷ παραπλήσιον ἀπέφηνεν· ὃ οὔτε Ἐρασίστρατος οὔθ' Ἡρόφιλος οὔτ' ἄλλος οὐδεὶς ἰατρὸς εἶπε

tenfionem et ruborem aliaque id genus; imponitque nonnunquam brevitatis docendi caufa cunctis fimul collectis unum nomen, ficuti comprehenfis jam phlegmonen. Dogmatici vero non idem, fed ipfam morbi naturam infpiciunt, quam fymptomatum illorum collectio neceffario fequitur. Siquidem Erafiftrato videtur fanguis, qui in arterias incidit, ubi fpiritu impellitur, in finibus earum impactus haerere idque phlegmone effe. At par, arbitror, erat vel Erafiftratum ipfum vel aliquem ex fectatoribus ejus fimili modo affectum qui imbecillitate cujusque partis fubeft interpretari; ut enim de phlegmone, in quidnam translatus naturalis partis ftatus fit explicuit, ita ratio exigebat ut et translatio cujusque partis in imbecillitatem ab eo explicaretur. Non enim quum fecundum naturam eft affecta ad propriam actionem eft imbecilla, fed acceffit omnino aliqua praeter naturam caufa, quae eam diffolvit dejecitque et mortuae fimilem effecit; quam nec Erafiftratus dixit, nec

Ed. Chart. X. [156.] Ed. Baſ. IV. (107.)

τῶν μὴ τολμησάντων ἀποφήνασθαί τι περὶ τῆς τῶν πρώτων σωμάτων φύσεως.

Κεφ. γ΄. Ἀλλ᾽ οὐ χρὴ μηκύνειν ἐπὶ πλέον, αὐτάρκως προαποδεδειχότας ἔμπροσθεν ὡς χρησιμώτατόν τε τοῦτ᾽ ἐστὶ τὸ γένος τοῦ νοσήματος ἐξητῆσθαι τοῖς ἰατροῖς καὶ ἀναγκαῖον τὸ περὶ στοιχείων πρότερον ἐπεσκέφθαι τὸν μέλλοντα καλῶς αὐτὸ μεταχειρίζεσθαι. ὥσθ᾽ ἡμῖν ὁ μέλλων νῦν λεχθήσεσθαι λόγος ἐπὶ τοῖς προαποδεδειγμένοις περανθήσεται στοιχείοις, ὑπὲρ ὧν ἓν, ὡς οἶσθα, βιβλίον ἐποιησάμεθα τὸ περὶ τῶν καθ᾽ Ἱπποκράτη στοιχείων ἐπιγεγραμμένον. ἔστι μὲν οὖν καὶ Διοκλεῖ καὶ Μνησιθέῳ καὶ Διευχεῖ καὶ Ἀθηναίῳ καὶ σχεδὸν πᾶσι τοῖς εὐδοκιμωτάτοις ἰατροῖς, ὥσπερ οὖν καὶ τῶν φιλοσόφων τοῖς ἀρίστοις, ἡ αὐτὴ δόξα περὶ φύσεως σώματος, ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ νομίζουσι κεκρᾶσθαι τά τε ἄλλα σύμπαντα σώματα καὶ τὰ τῶν ζώων οὐχ ἥκιστα. τῷ δὲ περὶ τούτων ἁπάντων ἀποφηναμένῳ τε καὶ ἀποδείξαντι πρώτῳ δίκαιον, οἶμαι, μαρτυρεῖν ἐστι τὴν εὕρεσιν. καὶ διὰ τοῦθ᾽ ἡμεῖς ὀνομάζομεν αὐτὰ καθ᾽ Ἱπποκράτην στοι-

Herophilus, nec alius quisquam medicorum qui de primorum corporum natura auſi aliquid pronunciare non ſunt.

Cap. III. At immorandum in his diutius non eſt, quum praeſertim abunde prius monſtratum ſit et genus hoc morbi utiliſſimum eſſe ut a medicis disquiratur, et qui commode id ſit tractaturus, huic neceſſe prius eſſe de elementis conſideraſſe. Itaque qui nobis habendus ſermo eſt, is totus ex prius demonſtratis elementis abſolvetur, de quibus unum, ut ſcis, volumen edidimus, quod de elementis ſecundum Hippocratem inſcripſimus. Sane eadem opinio de corporis natura eſt tum Diocli tum Mneſitheo tum Dieuchi tum Athenaeo tum probatiſſimis fere quibusque medicorum, itidem ut praeſtantiſſimis philoſophorum, ut qui ex calido, frigido, ſicco et humido mixta putent tum alia corpora univerſa tum vero animantium in primis. Caeterum ei qui de his omnibus primum pronunciavit demonſtravitque juſtum eſt, arbitror, reddere quod invenit. Ideoque et nos ea ſecundum Hippocratem elementa voca-

χεῖα, κἂν ὅτι μάλιστα Χρύσιππος, ἢ Ἀριστοτέλης, ἤ τις ἄλλος ἰατρὸς ἢ φιλόσοφος ὡσαύτως ὑπὲρ αὐτῶν δοξάζῃ. καὶ τοίνυν ἐπειδὴ τῶν τοῦ ζώου μορίων ἕκαστον ἰδίαν ἐνέργειαν ἐνεργεῖ, τῶν ἄλλων ἐνεργειῶν εἰς τοσοῦτον διαφέρουσαν εἰς ὅσον καὶ αὐτὸ διαφέρει τῶν ἐνεργούντων αὐτὰς, διαφέρει δὲ τῷ θερμότερον, [157] ἢ ψυχρότερον, ἢ ὑγρότερον, ἢ ξηρότερον ὑπάρχειν, ἢ κατὰ συζυγίαν τι τούτων πεπονθέναι, τὴν κρᾶσιν αὐτῶν φυλακτέον ἐστὶ τῷ τὴν ἐνέργειαν φυλάττοντι. φυλαχθήσεται δὲ ψυχόντων μὲν, εἰ πρὸς τὸ ψυχρότερον, ὑγραινόντων δὲ, εἰ πρὸς τὸ ξηρότερον· οὕτω δὲ καὶ ξηραινόντων μὲν, εἰ ὑγραίνοιτο, ξηραινόντων δ' ἅμα καὶ θερμαινόντων, εἰ ὑγραίνοιτό τε ἅμα καὶ ψύχοιτο, ξηραινόντων δὲ καὶ ψυχόντων, εἰ πρὸς τὸ ὑγρότερόν τε καὶ θερμότερον ἐκτρέποιτο, καὶ κατὰ τὰς λοιπὰς δύο συζυγίας ἀνάλογον. ἀεὶ γὰρ χρὴ τῷ πλεονάζοντι τὸ ἐναντίον ἀντεισάγειν εἰς τοσοῦτον, ἄχρις ἂν εἰς τὸ σύμμετρόν τε καὶ κατὰ φύσιν ἀγάγῃς τὸ μόριον. ἡ μὲν δὴ καθόλου τοῦ γένους ἅπαντος νοσή-

mus, etiamfi maxime Chryfippus Ariftotelesve, aut alius quispiam medicus philofophusve fimiliter de iis fit opinatus. Ergo quoniam unaquaeque animalis pars propriam actionem edit, quae tantum ab aliarum actionibus differt quantum ipfa pars ab aliis quae illas edunt eft diverfa, differt vero ab aliis pars quaeque eo quod calidior, vel frigidior, vel humidior, vel ficcior fit, aut quod binis horum quibuslibet fit affecta, qui tueri actionem vult, hic temperamentum earum cuftodiat oportet. Cuftodiet autem, fi id quod ad calidius eft converfum refrigerabit, quod ad frigidius *inclinatum eft* calefaciet, quod ad ficcius *eft alteratum* humectabit; pari modo fi quod ad humentius *eft verfum* ficcabit; rurfus quoque fi ficcabit pariter ac calefaciet quod humidum eft redditum et frigidum, ficcabit pariter et refrigerabit quod humidius fimul et calidius evafit, et in reliquis duabus conjugationibus ad proportionem. Semper enim pro eo quod exfuperat inducendum eousque contrarium eft, quoad partem in fymmetriam et fecundum naturam vindicaveris. In fumma quidem omnis morbi generis quod in

ματος ἐν ὁμοιομερέσι συνισταμένου μέθοδος ἰάσεως ἤδη μοι λέλεκται. ὀκτὼ γὰρ ὄντων αὐτῶν, ὡς ἐν τῷ περὶ τῆς τῶν νοσημάτων ἀποδέδεικται διαφορᾶς, ὀκτὼ καὶ οἱ τῆς ἰάσεως ἔσονται τρόποι, κοινὸν ἔχοντες σκοπὸν τὴν ἀλλοίωσιν τοῦ πεπονθότος ὁμοιομεροῦς σώματος· ἐπειδὴ καὶ τὸ νόσημα αὐτὸ κατὰ δυσκρασίαν καὶ ἀλλοίωσιν ἐγένετο τῆς κατὰ φύσιν ἑκάστου κράσεως· ἡ δὲ τῶν κατὰ μέρος ἴασις ἐν δυοῖν τούτοιν προερχομένη γίνεται, τῇ τε τῆς ὕλης εὐπορίᾳ καὶ τῇ ταύτης ἐπιδεξίᾳ χρήσει. τὴν μὲν δὴ τῶν φαρμάκων εὐπορίαν ἔκ τε τῆς περὶ τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ἔτι τε τῆς περὶ συνθέσεως αὐτῶν πραγματείας ἔξεστί σοι λαμβάνειν μεθόδῳ· τὴν δὲ ὁδὸν τῶν διαιτημάτων ἐντεῦθεν. ἀλλὰ καὶ ὅπως χρὴ διαγινώσκειν ἑκάστου μορίου δυσκρασίαν, ἐκ τριῶν πραγματειῶν ἀναμιμνήσκου, πρώτης μὲν τῆς περὶ κράσεων, δευτέρας δὲ τῆς περὶ τῶν πεπονθότων μορίων· καὶ τρίτης, ἣν ἐπιγράφομεν ἰατρικὴν τέχνην. οὔκουν ἔτι δεῖ πολλῶν εἰς τὰ νῦν ἐνεστῶτα τοῖς φύσει τε συνετοῖς καὶ γεγυμνασμένοις τὸν

ſimilaribus conſiſtit, jam dicta mihi medendi eſt methodus. Quum enim octo earum ſint differentiae, veluti in libris de morborum differentia eſt traditum, octo nimirum erunt et medendi rationes, quae communem habent ſcopum alterationem affectae partis ſimilaris, quandoquidem etiam morbus ipſe ex intemperie et naturalis temperamenti alteratione eſt ortus. At quae particularis medicatio *agitur* ex his duobus procedens conficitur, materiae copia et hujus congruo uſu. Ac medicamentorum quidem copiam tum ex libro de ſimplicium medicamentorum facultatibus tum ex ea quae de eorum compoſitione praecipit methodo haurias licebit; eorum quae ad victus rationem pertinent, viam hinc *ſumimus*. Sed et quemadmodum cujusque partis intemperiem dignoscere oporteat ex tribus operibus intelligas; primo eo quod de temperamentis, ſecundo eo quod de partibus affectis, tertio eo quod ars medica inſcribitur. Non eſt igitur ad ea quae nunc ordimur iis qui prudentes natura ſunt, ac cogitationem in primis operibus exercita-

λογισμὸν ἐν τοῖς πρώτοις· ὅτῳ δὲ οὐδέτερον ὑπάρχει τούτων, ἔτι ἐνδεῖ τῷ λόγῳ πάμπολυ. εἰ δὲ καὶ μοχθηρᾷ λόγων αἱρέσει συνανετράφη, διττὴ γ' οὕτω χρεία τοῦ χρόνου· ἑτέρου μὲν, ἵνα ἀποτρίψηται τὰς μοχθηρὰς δόξας, ἑτέρου δ', ἵν' ἀσκηθῇ κατὰ τὰς βελτίους.

Κεφ. δ'. Σὺ μὲν οὖν εὖ οἶδ' ὅτι καὶ αὐτὸς ἱκανὸς ὑπάρχεις ἐκ τῶν καθόλου τοῦ γένους εἰρημένων εὑρίσκειν τὰ κατὰ μέρος· ἀλλὰ καὶ ἡμᾶς ἐθεάσω πολλὰ τῶν τοιούτων νοσημάτων ἰωμένους, ὥστ' ἐξ ἀμφοτέρων ἔχεις τὸ μὴ δεῖσθαι τῶν κατὰ μέρος. ἀλλ' ἐπεί φησιν ὁ Πλάτων, οὐ γάρ ἐστι τὰ γραφέντα μὴ ἐκπεσεῖν, ἵν' εἴποτε καὶ εἰς ἄλλον ἀφίκοιτο τὸ βιβλίον ἀγύμναστον τῷ λογισμῷ, ῥᾶον αὐτὸν διδάξειε, προσθεῖναι χρή τινα τῶν κατὰ μέρος· ἐξ ὧν εὐθέως ἐνέσται καὶ αὐτὸ τοῦτο πεισθῆναι σαφῶς, ὃ μικρὸν ἔμπροσθεν εἴρηται, ὡς δυνατόν ἐστι σαυτῷ τὰ κατὰ μέρος ἐξευρίσκειν. ἐγὼ γοῦν ἐμαυτῷ πάντα ἐξεῦρον αὐτὰ, τῷ λόγῳ ποδηγούμενος. ὅσον μὲν γὰρ ἐπὶ τοῖς διδασκάλοις, ἐχρῆν δήπου κἀμὲ τοῖς ἀτόνοις τὴν γαστέρα συμβουλεύειν ἐδέσματα μὲν

runt multis praeterea opus; cui neutrum horum adeſt, huic certe ad praeſentem diſputationem non parva re eſt opus. Quod ſi in pravae doctrinae ſecta praeterea ſit altus, hic geminum tempus requirit; alterum, in quo pravas opiniones dediscat, alterum, in quo melioribus ſe exerceat.

Cap. IV. Sane te ſcimus et ex iis quae in univerſum dicta ſunt particularia per te invenire poſſe; et alioqui multos id genus morbos a nobis percuratos vidiſſe ſic ut utraque ratione particularium tractationem minus requiras. Sed quoniam, ut Plato ait, non poſſunt quae ſcripta ſunt non e manibus excidere, quo, ſi quando liber in alterius non exercitatae rationis manus devenerit, facilius hunc doceat adjici particularium quaepiam oportet; ex quibus etiam protinus clare id quod proxime dixi intelligetur fieri poſſe, ut per te ipſum particularia invenias. Siquidem ipſe ea per me ipſum omnia inveſtigavi, ratione ipſa viam monſtrante; nam ſi praeceptores ſequutus fuiſſem, ipſe quoque ventriculo imbecillis ſuaſiſſem ut cibis adſtringentibus et

τὰ στύφοντα καὶ ὑπόπικρα· καὶ (108) οἶνον ὡσαύτως τὸν αὐστηρόν· ἀψίνθιόν τε καὶ τοῦ διὰ μήλων κυδωνίων χυλοῦ καὶ ὅσα τοιαῦτα καταπίνεται φάρμακα. τῶν δ᾽ ἔξωθεν ἐπιτιθεμένων πρώτην μὲν τὴν δι᾽ ἀψινθίου καὶ ὠμοτριβοῦς ἐλαίου κατάντλησιν· εἶτ᾽ ἐπίδεσιν ἐρίου πιλήματος, ἐξ αὐτῶν τε τούτων καὶ προσέτι μύρου μηλίνου καὶ μαστιχίνου καὶ ναρδίνου· [158] καὶ μετὰ ταῦτα κηρωτὴν διὰ τῶν αὐτῶν ἐσκευασμένην· εἶτ᾽ ἄλλα φάρμακα κηρωτῶν ἰσχυρότερα, τὰ πρὸς τῶν ἰατρῶν ἐπιθέματα καλούμενα, διά τε τῶν εἰρημένων μύρων συγκείμενα καὶ φαρμάκων τῶν παραπλησίων, ἐν οἷς ἐστιν ἤδη καὶ ἀρωμάτων πλῆθος οὐκ ὀλίγον, στάχυς νάρδου καὶ ἄμωμον καὶ ὁ ἀρωματικὸς κάλαμος, ἶρις τε καὶ λάδανον καὶ τὸ τοῦ μαλαβάθρου φύλλον καὶ στύραξ καὶ βδέλλιον, ὀποβάλσαμόν τε καὶ βάλσαμον καὶ ξυλοβάλσαμον, ὅ τε λοιπὸς τῶν ἀρωμάτων κατάλογος. εἰ δὲ μηδὲ ταῦτα μηδὲν ἐνεργοίη, τὸ κοινὸν ἁπάντων τῶν ἀτονούντων ἐπὶ τέλει βοήθημα ποιοῦμεν, καλοῦσι δ᾽ αὐτὸ φοινιγμὸν, ἤτοι διὰ θαψίας γιγνόμενον, ἢ διὰ νάπυος, ἤ τινος τῶν τοιούτων·

ſubamaris uterentur; vino quoque ſimiliter auſtero, praeterea abſinthio et quod ex mali cotonei conficitur ſucco, aliisque ejusmodi quae devorantur medicamentis. At vero quod ad ea pertinet quae extrinſecus applicantur, primum perſundi ventriculum ex abſinthio et oleo crudo juſſiſſem, mox hapſum lanae tum ex iisdem ipſis, tum vero ex unguentis melino et maſtichino et nardino imponi; ab iis ceratum ex iisdem compoſitum; poſt alia medicamenta utique ceratis valentiora, quae a medicis vocantur epithemata, ea tum ex dictis unguentis tum ex ſimilibus medicamentis componuntur, in quibus eſt aromatum quoque multitudo non parva, ſpica nardi et amomum et calamus aromaticus et iris et ladanum et malabathri folium et ſtyrax et bdellium et opobalſamum et balſamum et xylobalſamum reliquusque aromatum catalogus. Quod ſi horum nihil profeciſſet, commune omnium remedium quibus imbecillitas nocet in fine adhibuiſſem, nempe quod phoenigmum vocant, qui vel per thapſiam vel ſinapi vel tale aliquid exci-

εἶτ᾽ ἀποπέμψαι πρὸς ὑδάτων χρῆσιν αὐτοφυῶν. οὐδὲν γὰρ τούτων οἶδε πλέον ὁ ἐμπειρικὸς, ὡς καὶ τὰ συγγράμματα αὐτῶν δηλοῦσι. Κόϊντος μέν γε τοῖς ἀπεπτεῖν ἢ ἀνορεκτεῖν φάσκουσι πρῶτον μὲν γυμνάζεσθαι συνεβούλευε καὶ ἐσθίειν ὡς εὐπεπτότατά τε καὶ μὴ πολλὰ, μηδὲν δὲ ὠφελουμένων ἠναγκάζετο καὶ αὐτὸς εἰς τὰ τῶν ἐμπειρικῶν μετιέναι. τίς γὰρ οὐκ οἶδεν ὡς τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ ξηρὸν καὶ ὑγρὸν εἰώθει σκώπτειν, βαλανείων ὀνόματα προσαγορεύων, ὧν χωρὶς ἀδύνατόν ἐστι θεραπεῦσαι μεθόδῳ τὰς ἀτονίας τῶν μορίων; ὥσθ᾽ ὅσον μὲν ἐπὶ τούτοις τὴν αὐτὴν ὁδὸν ἐβάδιζον ἂν κἀγὼ κατὰ τὴν τῶν τοιούτων διαθέσεων ἴασιν, ἀλλ᾽ ὁ λόγος ἐδίδαξέ με τὰς ὀκτὼ διαφορὰς τῆς θεραπείας ἀτόνου γαστρός. ἐθεάσω γοῦν καὶ σύ τινας μὲν ἡμέρᾳ μιᾷ, μᾶλλον δὲ ὥρᾳ, ψυχροῦ πόσει θεραπευθέντας· ὧν ἐνίοις μὲν οὐ μόνον τὸ πρόσφατον ἔδωκα πηγαῖον, ἀλλὰ καὶ τὸ διὰ χιόνος ἐψυγμένον, ὡς ἐν Ῥώμῃ σκευάζειν ἔθος ἔχουσι, προθερμαίνοντες τὴν κατασκευὴν ἣν αὐτοὶ προσαγορεύουσι δηκόκ-

tatur; deinde ad ufum aquarum fponte nascentium ablegaffem. Quippe ultra haec empiricus nihil novit, ut et commentarii eorum docent. Quintus vero iis qui de cruditate aut inappetentia quererentur, primum quidem exercitari fuadebat, tum edere concoctu quam facillima et non multa, quibus haec non contuliffent, cogebatur ipfe quoque ad empiricorum dogmata confugere. Nam quis nescit quemadmodum calidum, frigidum, humidum et ficcum illudere fit folitus, balneatorum effe nomina dictitans? fine quibus tamen methodo curare partium imbecillitatem omnino non eft. Quare per hos nihil obftitit quominus ego quoque eadem inftitiffem via in ejusmodi affectibus fanandis, verum ratio me docuit differentes octo imbecilli ventriculi curationes. Vidifti igitur et tu quosdam uno die, vel potius hora frigidae potione curatos, quorum aliis non *aquam* modo dedi fontanam recentem, fed etiam quae nive effet refrigerata, ut Romae praeparare folent, calefacientes prius eam praeparationem quam ipfi decoctam vocant, cibos praeterea

των· ἐδέσματά τε τὰ οὕτως ἐψυγμένα πολλάκις ἐθεάσω συγχωροῦντά με λαμβάνειν αὐτοῖς· ἐν οἷς ἐστι καὶ ἡ μέλκα, τῶν ἐν Ῥώμῃ καὶ τοῦτο ἓν εὐδοκιμούντων ἐδεσμάτων, ὥσπερ καὶ τὸ ἀφρόγαλα· τοῖς δ' αὐτοῖς τούτοις καὶ τὰς ψυχρὰς κατὰ δύναμιν ὀπώρας ὁμοίως ἀποψύχων ἐδίδουν· καὶ πτισάνην καλῶς ὡσαύτως ἐψυγμένην, ἕτερά τε τοιαῦτα μυρία, σκοπὸν ἕνα ποιούμενος ἐπ' αὐτῶν τὴν ψύξιν· ἐκώλυον δ' ἀψινθίου καὶ τῶν στυφόντων ἅψασθαι καθάπερ γε καὶ ἄλλους ὁμοίως μὲν ἀπῆγον τῶν ψυχόντων, ἐθέρμαινον δὲ παντοίως οἶνον παλαιὸν τῶν ἱκανῶς θερμῶν τῇ δυνάμει διδοὺς, οἷοι μάλιστά εἰσι Φαλερῖνός τε καὶ Συῤῥεντῖνος, καὶ τροφὰς θερμαινούσας μετὰ πεπέρεως συχνοῦ. ἐπί τινων δ', ὡς οἶσθα, τὸν σκοπὸν τῆς θεραπείας ἐποιησάμην ἐν τῷ ξηραίνειν· καὶ ἦν αὐτοῖς ἐδέσματά τε τὰ φύσει ξηρὰ, καλῶς ὠπτημένα καὶ τὸ σύμπαν ὀλίγιστον ποτόν· ἥ τε τῶν στυφόντων ἁπάντων χρῆσις, ἣν μόνην γινώσκουσιν οἱ χωρὶς λόγου θεραπεύοντες αὐτούς. ἄλλον δ' οὐ πρὸ πολλοῦ ξηρότατον ἤδη γεγεννημένων, ὡς ὁμοιότατον εἶναι τὴν ἰδέαν

ad eundem modum refrigeratos identidem me illis permittere vidifti, in quibus eft et *quam melcam vocant*, unus is quoque Romae laudatorum ciborum, veluti etiam aphrogala; fed et frigidae facultatis fructus fimiliter refrigerans iisdem dedi, et ptifanam probe coctam pari ratione refrigeratam, alia que id genus infinita. In quibus unam rem mihi propofui pifam refrigerationem, vetui autem abfinthium et quicquid adftringeret contingere, veluti alios rurfus fimiliter a refrigerantibus abftinui. Calefeci autem omni ratione vinum vetus facultate valde calidum exhibens, cujus maxime generis funt Falernum et Surrentinum, tum nutrimentum calefaciens cum largo pipere. In nonnullis, ut nofti, fcopum curationis ad ficcandum direxi, dabamque iis tum cibos natura ficcos ac probe affatos, tum prorfus exiguam potionem; injunxi autem et adftringentium omnium ufum, quem unum qui illis citra rationem medentur norunt. Alium vero non pridem, qui jam adeo ficcatus fuerat ut forma

τοῖς μαρασμώδεσιν, ἰασάμην, εἰς τὰ ἐναντία πάντα μεταγαγὼν ἢ ὡς οἱ θαυμασιώτατοι ἰατροὶ συνεβούλευον. οὐδὲ γὰρ οὐδὲ ἐξ ἄλλου τινὸς εἰς τοῦτο ἧκε κινδύνου, βραχεῖαν τότε κατ᾽ ἀρχὰς ἔχων δυσκρασίαν ἐπὶ ξηρότητι δεομένην ὑγράνσεως· ἀλλ᾽ οἱ παραλαβόντες αὐτὸν, ἀψίνθιόν τε ποτίζοντες καὶ πικροὺς ἀσπαράγους καὶ βολβοὺς ἐσθίειν διδόντες, ἔτι τε μῆλα κυδώνια καὶ κεστιανὰ καὶ ῥοιὰς, ὕστερόν τε, ὡς οὐδενὸς τούτων ἡ γαστὴρ ἐκράτει καὶ ῥοῦ χυλὸν ἀναγκάζοντες πιεῖν, ὅσα τε ὀλίγον ἔμπροσθεν εἶπον ἐπιτιθέντες ἔξωθεν ὀλίγου δεῖν ἀπεφήναντο ἀλίβαντα, [159] τοῦτον ἡμεῖς ἰασάμεθα, παντοίως ὑγραίνοντες αὐτοὶ τὴν ὕλην ἐξευρίσκοντες, ἐκ τῆς γεγραμμένης ἡμῶν μεθόδου κατὰ τὴν περὶ τῶν φαρμάκων πραγματείαν.

Κεφ. ε΄. Ὡς γὰρ κἀν τῷ περὶ τῆς ἀποδεικτικῆς εὑρέσεως εἴρηται γράμματι, περιαντληθεὶς ὑπὸ τοῦ πλήθους τῆς τῶν ἰατρῶν διαφωνίας, εἶτ᾽ ἐπὶ τὸ κρίνειν αὐτὴν τραπόμενος, ἔγνων χρῆναι πρότερον ἐν ἀποδεικτικαῖς μεθόδοις γυμνάσασθαι. καὶ τοῦτο πράξας ἔτεσιν ἐφεξῆς πολλοῖς ὑπέβαλλον

fimillimus effet iis qui marasmo marcescunt, fanavi, contrariis omnino exhibitis iis quae egregii ifti medici fuaferant. Non enim ex alia occafione eo periculi venerat, quum inter initia exiguam intemperiem ex ficcitate quae humectari poftulabat habuiffet, quam quod ii qui eum curandum fusceperunt, tum abfinthium potandum, tum amaros afparagos et bulbos edendos dantes, itemque mala cotonea et ceftiana et punica; poft quoque ubi venter nihil horum continebat, etiam rhois fuccum bibere cogentes, tum quae paulo fupra dixi extrinfecus imponentes, paulo minus omnis madoris expertem reddiderunt, hunc nos fanavimus omni ratione humectantes, ipfique materiam invenientes ex ea methodo quae in opere de medicamentis eft tradita.

Cap. V. Nam ficuti in libro de demonftrandi inventione dixi, numerofis medicorum inter fe diffidiis undique confufus, ubi me ad judicandum de his converti, intellexi prius in demonftrativa methodo exercitandum me effe. Quod quum multis deinceps annis feciffem, fingula ipfi dog-

οὕτως ἕκαστον τῶν δογμάτων αὐτῇ καὶ ὡς ἡ τῶν εὑρεθέντων ἔνδειξις ἐποδήγει με, τὰς θεραπείας ἐποιούμην. ἀλλὰ γὰρ οὐ πάντες γε τοιοῦτοι, χρὴ τοίνυν γράφειν αὐτοῖς γυμνάσια τῆς ἐν τοῖς κατὰ μέρος εὐπορίας τῶν ὑλῶν, ἐπὶ τοῖς ὀκτὼ σκοποῖς τῆς θεραπείας, ἀρξαμένους αὖθις ἀπὸ τῆς κοιλίας, ἐπειδὴ πρώτης ταύτης ἔτυχον ἄρτι μνησθείς. εὐιατότατοι μὲν οὖν εἰσιν αἱ κατὰ θερμότητα καὶ ψύξιν ἀλλοιώσεις, ὅτι ταῖς δραστικωτάταις ἐπανορθοῦνται ποιότησι· δυσιατότεραι δὲ αἱ καθ' ὑγρότητα καὶ ξηρότητα· ταῖς γὰρ ἀσθενέσι καὶ ὡς ἂν εἴποι τις ὑλικωτέραις ποιότησιν ἡ ἴασις αὐτῶν ἐπιτελεῖται, καὶ μάλισθ' ὅταν ὑγραίνειν δέῃ. τὰ μὲν δὴ τοῦ χρόνου τῆς ἐπανορθώσεως ἴσα πώς ἐστι θερμότητί τε καὶ ψυχρότητι, τὸ δὲ τῆς ἀσφαλείας οὐκ ἴσον. εἰ μὴ γὰρ ἰσχυρὰ πάντα εἴη τὰ πέριξ μόρια τοῦ θεραπευομένου, κίνδυνος αὐτοῖς ὑπὸ τῶν ψυχόντων οὐ σμικρὰν πληγῆναι πληγήν. ἐπὶ δὲ τῶν ὑπολοίπων δυοῖν ποιοτήτων ἡ μὲν ἀσφάλεια παραπλήσιος, ὁ δὲ χρόνος τῆς θεραπείας πολλαπλάσιος ἐπὶ ταῖς ξηραῖς δυσκρασίαις· οἷον γάρ τι τὸ γῆράς ἐστιν ἐπὶ τῶν ὑγιαινόν-

mata fubjeci, atque prout inventorum indicatio me ducebat, ita curationes inftitui. Verum enim id non omnes poffunt, expediet igitur ipfis fcribi per octo curationis fcopos particularis materiae comparandae exercitationes, a ventriculo rurfus fumpto initio, quoniam hujus primum mentionem modo fecimus. Ac facillimae quidem ad curandum alterationes funt quae ex calido et frigido confiftunt, propterea quod maxime activis qualitatibus corriguntur. Aegrius curantur quae in humido ficcoque habentur, quod imbecillis et, ut fic dicam, magis materialibus qualitatibus eorum curatio perficitur, potiffimumque quum humectandum effe requiritur, ac tempus quidem caloris frigorisque reparandi par quodammodo eft, fecuritas tamen impar. Nifi enim cuncta quae ei quod curatur circumdata funt corpora valida plane fint, periculum eft ne ab iis quae refrigerent noxam contrahant non levem. In reliquis duabus qualitatibus fecuritas fimilis eft. Tempus curationis in ficca intemperie multo amplius; quippe quod fenium in fanis eft, id

Ed. Chart. X. [159.] Ed. Baf. IV. (108.)
των, τοιοῦτον ἡ ξηρὰ δυσκρασία τοῖς νοσοῦσιν, ὥστε καὶ ἀνίατον ὑπάρχειν, ὅταν ἀκριβῶς συμπληρωθῇ. τὸ δ' ἀκριβὲς τῆς συμπληρώσεώς ἐστιν ἐν τῷ τὰ τῆς στερεᾶς οὐσίας τῶν ὁμοιομερῶν σωμάτων γεγονέναι ξηρότερα.

Κεφ. στ'. Ἑτέρα γάρ ἐστιν ἡ ξηρότης τῶν ἐκ τῆς ὑγροπαγοῦς οὐσίας συνεστώτων, ὁποῖόν ἐστι πιμελὴ καὶ σάρξ, ἐκτακέντων. καὶ τρίτη γε πρὸς ταύταις τῆς οἰκείας ὑγρότητος, ἐξ ἧς τρέφεται τὰ μόρια, τελέως ἀπολλυμένης. περιέχεται δ' αὐτὴ κατὰ πάντα τοῦ ζώου τὰ μόρια δροσοειδῶς ἐν αὐτοῖς παρεσπαρμένη, καὶ λέλεκται πολλάκις ἤδη περὶ αὐτῆς ἑτέρωθι· ταύτην οὖν ἐνθεῖναι τοῖς μορίοις οὐχ οἷόν τε χωρὶς τροφῆς· καὶ διὰ τοῦτο χαλεπωτάτη τῶν τοιούτων ἐστὶ διαθέσεων ἡ ἴασις· ἄλλη δὲ ξηρότης ἐστὶν ἡ κατὰ τὰς ἀρτηρίας καὶ φλέβας τὰς ἰδίας ἑκάστου τῶν μορίων συνισταμένη. γίγνεται δὲ καὶ αὕτη δηλονότι κατὰ τὴν τοῦ αἵματος ἔνδειαν. ἁπάσας ταύτας ξηρότητας ἐσχάτως βλάπτουσιν αἱ τῶν αὐστηρῶν ἐδεσμάτων καὶ πομάτων καὶ φαρμάκων προσφοραί· ἐκδαπανῶσι γὰρ εἰ καί τι λείποιτο τῆς ἐν αὐτοῖς ὑγρότητος ἐμφύτου,

ſicca intemperies eſt in aegris. Itaque etiam inſanabilis eſt, ſi prorſus ſit conſummata. Eſt autem prorſus conſummata, ubi ſolida ſimilarium partium ſubſtantia reddita eſt ſiccior.

Cap. VI. Nam eſt et altera ſiccitas utique, quum ea quorum ſubſtantia ex humore concreto conſtat, ſicut adeps et caro ſunt liquata. Etiam tertia, quum propria humiditas, unde partes nutriuntur, omnino eſt abſumpta. Continetur ea in omnibus animalis partibus, ceu ros quidam per eas ſparſus, de qua dictum alibi ſaepe eſt; hanc igitur inſerere partibus ſine nutrimento non eſt, ideoque difficillima eſt omnium ejusmodi affectuum curatio. Diverſa ab iis ſiccitas eſt quae in propriis cujusque partis exilibus arteriis veniſque conſiſtit; provenit et haec ex ſanguinis penuria. Omnibus itaque his ſiccitatibus maxime contrarius eſt auſterorum uſus, ſive ea cibi ſint ſive potiones ſive etiam medicamenta; quippe quae, ſi quid in iis ſupereſt naturalis humoris, id abſumunt, partim ebibentia, partim in

τὸ μὲν ἐκπίνουσαι, τὸ δὲ ἐκθλίβουσαι διὰ τῶν πόρων εἰς τὴν ἐντὸς εὐρύτητα τῆς κοιλίας, τὸ δ' ἐπὶ τὰ συνεχῆ μόρια διωθούμεναι. [160] θεραπεύειν οὖν αὐτὰς προσήκει, τὸ μὲν συνιζηκὸς τῶν πόρων ἀναπεταννύντα, τὸ δ' εἰς τὰ παρακείμενα (109) μόρια διωσθὲν ἐπισπώμενον, ὑγραινούσῃ τε τροφῇ πληροῦντα τῆς οἰκείας ὑγρότητος ἕκαστον τῶν ὁμοιομερῶν, ὥσπερ καὶ ἡμεῖς τὸν ἐξηρασμένον ὑπὸ τῶν ἰατρῶν ἐθεραπεύσαμεν ἄνθρωπον. ἐν μὲν γὰρ τῇ κατὰ τὸ θερμὸν καὶ ψυχρὸν ἀντιθέσει μηδεμίαν ἐπικρατοῦσαν ἐναργῶς ἔχοντα δυσκρασίαν μήτε καθ' ὅλον τὸ σῶμα μήτε κατὰ τὴν γαστέρα, ξηρὸν δὲ καὶ λεπτὸν ἱκανῶς γεγενημένον, ἐκ τοῦ μὴ πέττειν καλῶς ἀτονούσης τῆς κοιλίας ἐπὶ τῇ κατὰ ξηρότητα δυσκρασίᾳ. τούτου γὰρ ὁ μὲν σκοπὸς τῆς θεραπείας ἦν ὑγρᾶναι τήν τε γαστέρα καὶ σύμπαν τὸ σῶμα. τίσι δ' ἐνεργείαις ἐχρησάμεθα ταῖς κατὰ μέρος, ἐπὶ τίσι τε μάλισθ' ὕλαις ὑπὲρ τοῦ τυχεῖν τοῦ σκοποῦ διελθεῖν ἄμεινον. οἴκημα μὲν αὐτῷ παρεσκευασάμην ἐγγυτάτω τοῦ βαλανείου· τοιαῦτα δ' ἐστὶν, ὡς οἶσθα, πολλὰ κατὰ τὰς τῶν πλουσίων οἰκίας· ἐξ

cavitatem ventris per exiguos meatus exprimentia, partim ad continentes partes trudentia. Curabis igitur ipfas, fi meatus qui contracti fint dilataveris, ac quod in vicinas partes eft compulfum revellas, praeterea fi fingulas fimilares partes propria humiditate, humectante nutrimento repleas, ut et nos quem hominem memoravimus a medicis exficcatum curavimus. Is in ea contrarietate quae in frigido et calido confiftit nullam evidenter vincentem habebat intemperiem, nec in univerfo corpore, nec in ventriculo; ficcus tamen et gracilis admodum eft redditus, propterea quod ventriculus ejus ex ficca intemperie imbecillus male concoxerat. Hujus namque fcopus curationis erat ut humectaretur tum ventriculus tum univerfum corpus. Quibus autem figillatim operationibus quibusque maxime materiis fim ufus, ut fcopi compos effem, differere praeftat. Domum ei paravi maxime balneo vicinam, qualia multa effe in divitum domibus non ignoras; ab hac ftatim in balneum fuper linteis

αὐτοῦ δ᾽ εὐθέως ἕωθεν εἰς τὸ βαλανεῖον εἰσεφερόμην ἐπὶ σινδόνων, ὅπως μὴ καταξηραίνοιτό τε δι᾽ ἑαυτοῦ κινούμενος ἐκλύοιτό τε πρὸ τοῦ δέοντος καιροῦ· τούτων γὰρ τὸ μὲν εἰς αὐτὴν τὴν διάθεσιν συντελεῖ, τὸ δὲ συντέμνει τὴν ἐν τῷ βαλανείῳ διατριβήν. ἐπὶ πλεῖστον γὰρ χρὴ τὸν ἄνθρωπον ἐνδιατρίβειν τῷ ὕδατι· καὶ διὰ τοῦτο καὶ αἱ κολυμβῆθραι βελτίους εἰσὶ τῶν μικρῶν πυέλων καὶ μάλισθ᾽ ὅσαι πλησίον ὑπάρχουσι τῆς ἔξωθεν θύρας, ὡς μηδὲ διὰ μακροῦ τὴν ἐκ τοῦ ὕδατος αὐτῷ πρὸς τοὐκτὸς εἶναι φοράν· οὐ γὰρ δὴ τοῦ ἀέρος ἐπὶ τῶν οὕτως ἐχόντων χρήζομεν. ἔστω δ᾽ ἀκριβῶς εὔκρατον τὸ ὕδωρ· τὸ μὲν γὰρ ψυχρότερον λεληθυῖαν ψύξιν ἐναπεργάζεται τοῖς ἀσθενοῦσι σώμασι, τὸ δὲ θερμότερον συνάγει καὶ σφίγγει τοὺς πόρους καὶ πυκνοῖ. ἡμεῖς δ᾽ ἀνεῖναι καὶ χαλάσαι καὶ ἀνευρῦναι δεόμεθα συνιζηκότας αὐτούς· ὅπερ ἡ τῶν εὐκράτων ὑδάτων ἐργάζεται ποιότης· ἡδίστη γὰρ οὖσα προκαλεῖται τὴν φύσιν ἐξαπλοῦσθαι καὶ ἀποτείνεσθαι πανταχόσε πρὸς τὸ τερπνὸν, ἀνάπαλιν τοῖς ἀήδεσιν· ἀποχωρεῖ γὰρ ἀπὸ τούτων καὶ φεύγει πρὸς τὸ βάθος. οὐδὲν οὖν θαυ-

mane intuli, utique ne, fi ipfe fe moveret, tum ficcaretur tum antequam tempus commodum effet exfolveretur; horum enim alterum in ipfum affectum confert, alterum moram in balneo contrahit. Longiffime namque in aqua verfari hominem expedit; ideoque etiam natationes utiliores funt quam parvi pyeli, *id eft alveoli*, atque ex ipfis natationibus potiffimum quae propinquae funt externis foribus, quo fcilicet illi ab aqua foras non longa fit via; nam aërem in ita affectis haudquaquam defideramus. Efto autem aqua ad unguem temperata; frigidior namque abditum frigus corporibus infirmis infinuat, calidior autem cogit conftringitque tenues meatus ac denfat. At nos ipfos coactos remitti, laxari ac dilatari poftulamus, quod temperatae aquae qualitas praeftat, utpote quae jucundiffima quum fit, naturam ad explicandam fe atque ad dulcedinem quam praeftat quoquoverfus extendendam provocat, contraria videlicet ratione iis quae funt injucunda; ab iis enim recedit fugitque

Ed. Chart. X. [160.] Ed. Baf. IV. (109.)

μαστὸν ἐπὶ μὲν τῇ τῶν ἀνιώντων ὁμιλίᾳ πιλεῖσθαι καὶ σφίγγεσθαι καὶ σκληρύνεσθαι τὰ σώματα καὶ τοὺς πόρους αὐτῶν συνάγεσθαι καὶ πυκνοῦσθαι, τοῖς δ᾽ ἐναντίοις τοῖς ἥδουσιν ἕπεσθαι τὰ ἐναντία· χεῖσθαι μὲν γὰρ καὶ μαλάττεσθαι τὰ σώματα, τοὺς πόρους δ᾽ εὐρύνεσθαι. μετὰ δὲ τὸ τοιοῦτον λουτρὸν εὐθέως ἐδίδομεν ὄνειον γάλα τὴν ὄνον εἰς τὸν οἶκον εἰσάγοντες ἐν ᾧ κατέκειτο. ἐπεπείσμεθα γὰρ ὡς μάλιστα μὲν, εἰ αὐτὸν τὸν ἄνθρωπον οἷόν τε ἦν θηλάζειν τὴν ὄνον, οὕτως ἂν ἐθεραπεύθη τάχιστα· τούτου δ᾽ ἔχοντος ἀηδίαν ἐλάχιστον χρόνον ὁμιλεῖν αὐτὸ τῷ πέριξ ἀέρι, τάχιστα μεταβάλλεσθαι πεφυκὸς, ὁμοίως τῷ σπέρματι· καὶ γὰρ καὶ τοῦτο χρόνον οὐδένα χρὴ διαμένειν ἔξω τῶν οἰκείων ὀργάνων, εἰ μέλλει τὴν ἑαυτοῦ φυλάξειν δύναμιν· ἀλλ᾽ ἢ ἐν τοῖς τοῦ ἄῤῥενος εἶναι μορίοις, ἢ τοῖς τῆς θηλείας συνῆφθαι. καὶ δὴ καὶ τὸ γάλα κάλλιστον μὲν εἰ ἐξ αὐτῶν τῶν θηλῶν ἐπισπῷτό τις, ὥσπερ Εὐρυφῶν καὶ Ἡρόδοτος καὶ Πρόδικος ἀξιοῦσιν· οἳ τοσοῦτον ἄρα τεθαῤῥήκεσαν αὐτῷ πρὸς ἀναθρέψιν σωμάτων ὥστε καὶ τοὺς ὑπὸ φθόης συντετηκότας ἐκέ-

ad profundum. Nihil itaque mirum eſt ex offendentium contactu ſtipari, conſtringi ac durari corpora, tenuesque eorum meatus cogi ac denſari, contrariisque oblectantibus ſuccedere contraria, utique fundi ac molliri corpora, dilatarique meatus. Ab ejusmodi lavacro ſtatim aſininum exhibui lac, ſed inducta in ipſam qua jacebat domum aſina. Quippe ſic mihi perſuaſeram, maxime quidem celeriter hominem ſanandum, ſi fieri poſſet, ut ipſe aſinam ſugeret, ſin id gravaretur, expedire ut quam minimo tempore in aëre ambiente lac moraretur; proterea quod celerrime mutari ſit aptum, utique genitalis ſeminis ritu, quod nec ipſum aliquandiu extra propria vaſa, ſi modo ſuas vires ſervabit, morari patitur; ſed vel in ipſius maris partibus contineri, vel ipſius feminae partibus ſitum eſſe poſtulat. Et ſane optimum lac eſt, ſi ex ipſis mamillis quis attraxerit, veluti Euryphon et Herodotus et Prodicus cenſent, qui tantam in eo ad corpora reficienda ſiduciam habuerunt, ut etiam qui

λευον ἐντιθεμένου τοῦ τιτθοῦ τῆς γυναικὸς τὴν θηλὴν βδάλλειν τὸ γάλα. τοῦτο δὲ οὐχ ὑπομενόντων ποιεῖν τῶν πλείστων ἄμεινόν ἐστιν ὅτι τάχιστα θερμὸν μεταφέρειν ἐκ τῶν τιτθῶν εἰς τὴν κοιλίαν τοῦ κάμνοντος αὐτό. τὸ μὲν οὖν ἀνθρώπειον ὡς ἂν ὁμόφυλον ἄριστον. ἐπεὶ δ' ὑπομένουσιν οἱ πόλλοι γάλα γυναικὸς προσφέρεσθαι δίκην παιδίων, ὡς ὄνοις αὐτοῖς δοτέον ὄνειον γάλα. [161] τοῦτο γάρ ἐστι πάντων τῶν ἄλλων ἄριστον εἰς τὴν ἐνεστῶσαν διάθεσιν· λεπτότατον γὰρ ὑπάρχει, ἥκιστά τε τυροῦται καὶ τάχιστα διαδίδοται πανταχόσε. δεῖται δ' ἀμφοῖν τούτοιν ὁ πεπονθὼς τὴν γαστέρα· τοῦ μὲν μὴ τυροῦσθαι, διὰ τὴν κοινὴν χρείαν· ἅπαντας γὰρ βλάπτει τοῦτο· τοῦ διαδίδοσθαι δὲ, διά τε τὸ δεῖσθαι ταχείας θρέψεως καὶ ὅτι μεμύκασιν αὐτῆς αἱ διέξοδοι. τοῦτό τε οὖν δοτέον αὐτὸ καθ' αὑτὸ καὶ μέλι χλιαρὸν ὀλίγον ἐπιμιγνύειν αὐτῷ. μεγίστη δ' ἔστω φροντὶς ἀμφοῖν τῆς ἀρετῆς ἐν ταῖς τοιαύταις διαθέσεσι. τὸ μὲν οὖν μέλι τὸ ξανθὸν τὴν χροιὰν καὶ ἡδὺ τὴν ὀσμὴν καὶ καθαρὸν οὕτως ὡς ὅλον

phthoe contabuerant ex ipſa mulieris papilla lac ſugere juberent. Verum quum hoc plurimis non placeat, melius eſt calens adhuc ex mamillis, id in aegri ventriculum quam ociſſime transferre; enimvero optimum ut quod ejusdem generis humanum lac eſt. Sed quoniam id exhiberi ſibi ceu pueris plerique recuſant, utique ceu aſinis aſininum ipſis dari conveniet. Id enim reliquis omnibus ad propoſitum affectum eſt utilius, nam tenuiſſimum eſt et minime coagulatur, et quoquoverſus ociſſime in corpus diſtribuitur. Eget autem horum utriusque cui ventriculus laborat, utique ne coaguletur, communis commodi gratia, omnibus enim id eſt incommodum ut quoquoverſus diſtribuatur, propterea quod et celeri nutritione eſt opus, et quod viae per quas alimentum tranſit jam connivent. Igitur tum lac ipſum per ſe eſt his dandum tum etiam mellis tepidi pauxillulum immiscendum. Maxima vero habenda cura eſt in ejusmodi affectibus de utriusque bonitate. Quod igitur mel colore flavo ſit et odore ſuavi, tum purum adeo ut totum

διαυγεῖσθαι καὶ γευομένοις ἐπ' ὀλίγον δριμὺ καὶ ἥδιστον· εἰς τοσοῦτό τε συνεστὼς ὡς ἐπαρθὲν τῷ δακτύλῳ καταῤῥεῖν χαμᾶζε, συνεχὲς ἑαυτῷ διαμένον ἁπάντων ἄριστον. εἰ δ' ἀποῤῥήγνυοιτο κατά τι καὶ μὴ μένοι συνεχὲς, ἐπὶ τὴν γῆν κατατεινόμενον ἤτοι παχύτερόν ἐστιν ἢ λεπτότερον ἢ ἀνομοιομερές. ὀνομάζω δὲ ἀνομοιομερὲς, ὥσπερ οὖν καὶ αὐτὸ τοὔνομα ἐνδείκνυται, τὸ συγκείμενον ἐξ ἀνομοίων μερῶν. εὑρήσεις οὖν αὐτὸ διαθεώμενος ἤτοι παχύτητας ἢ ὑγρότητας ἐμφερομένας ἔχον, οὐχ ὁμοίας ἀλλήλαις τε καὶ τῷ παντί. κηρωδέστερον οὖν μέλι τό τε παχὺ καὶ ᾧ τοιαῦταί τινες ἐμφέρονται παχύτητες. περιττωματικώτερον δὲ καὶ ἀκατεργαστότερον καὶ δυσπεπτότερον τό θ' ὑγρὸν ὅλον ᾧ τε πολλαὶ κατὰ τὰ μόρια κατεσπαρμέναι φαίνονται σταγόνες ὑγρότητος· ᾧ δ' ἐμφέρεταί τις ἢ κηροῦ ποιότης, ἢ προπόλεως, ἤ τις ἄλλη τοιαύτη γευομένοις οὐ μόνον οὐκ ἄριστον, ἀλλ' ἤδη καὶ φαῦλον. ὅλως γὰρ οὐδεμίαν ἐξέχουσαν ἑτέρου οὐδενὸς πράγματος ἐν αὐτῷ χρὴ περιέχεσθαι ποιότητα. διόπερ

pelluceat ac gustanti parum acre jucundissimumque, praeterea tam sibi cohaerens ut digito si attollatur, continuum sibi nec intercisum ad humum defluat, id omnium est optimum. Si vero abrumpitur nec demissum ad terram usque continuitatem servat, id aut crassius justo est aut tenuis aut minime similare. Voco autem anomoeomeres, quod sane et nomen ipsum indicat, *quippe significat quod* ex dissimilibus partibus est compositum. Deprehendas autem id, si diligentius inspicias aut crassitudines, aut humiditates habere innatantes, quae nec inter se sint similes nec etiam toti. Cerosum itaque magis mel est, quod et crassius est, et cui tales quaepiam crassitudines innatant. Excrementosius vero ac persici concoquique difficilius tum quod totum humidum est, tum in quo multae in partibus sparsae apparent humoris guttae; porro in quo vel cerae qualitas aliqua, vel propolis, vel id genus alia gustu deprehenditur, adeo non est optimum, ut etiam malum sit, quippe nullam penitus alterius cujusquam rei eminentem in se con-

οὐδὲ τὸ τῶν θύμων ὄζον ἐναργῶς ἐπαινῶ· ἀκατεργαστότερον γάρ ἐστι τοῦτο καὶ οὐκ ἀκριβῶς πως μέλι· καίτοι τινας οἶδα τὸ τοιοῦτον ἐπαινοῦντας, ὥστε καὶ τῶν πιπρασκόντων ἔνιοι κόπτοντες τὸν θύμον ἐπιβάλλουσιν, ὅπως αὐτοῦ ὄζοι καὶ δόξειεν εἶναι κάλλιστον. ἀλλ᾽ ἐγὼ τὸ μὲν οὕτως ἀναιδῶς ὄζον οὐκ ἐπαινῶ· καὶ πολὺ δὴ μᾶλλον, εἰ ἐπεμβληθείη τι θύμου· τὸ δ᾽ ἀμυδράν τινα ποιότητα κατ᾽ ὀσμὴν ἢ γεῦσιν φέρον οὐ μέμφομαι. κατὰ ταὐτὰ δὲ καὶ τὸ γάλα μηδεμίαν ἔξωθεν ἐπιδεικνύσθω ποιότητα κατ᾽ ὀσμὴν ἢ γεῦσιν· ἀλλ᾽ ἔστω γλυκὺ μὲν ὡς ἔνι μάλιστα καὶ συνεχὲς ἑαυτῷ καὶ λαμπρὸν, ὡς γάλακτι πρέπει· πρὸ πάντων δ᾽ ὁμοιομερὲς εἰς ὅσον ἐγχωρεῖ γάλακτι γενέσθαι τοιούτῳ· τελείαν γὰρ οὐκ ἐπιδέχεται τὴν ἀρετὴν, ὥσπερ τὸ μέλι τὸ ἄριστον. ὅπως δ᾽ εἴη τοιοῦτον, καὶ τροφὰς τῷ ζώῳ παρασκευαστέον ἐπιτηδείους καὶ γυμνάσια γυμναστέον σύμμετρα, καὶ εἴ τινα θηλάζει πῶλον, ἀφαιρετέον. ὅτι δὲ καὶ ἡλικίᾳ τὸ ἀκμαιότατον εἶναι προσήκει παντί που δῆλον. ἐπιμελητέον δὲ καὶ ὅπως εὐπεπτότατον

tinere qualitatem debet. Quocirca quod thymum plane redolet non probo; eft enim id parum confummatum, nec plane quodammodo mel, quamquam non ignoro a quibusdam id laudari, eoque fieri ut nonnulli venditores incifum thymum illi injiciant, quo id redoleat videaturque effe optimum. Ego tamen quod tam improbe thymum olet non laudo, multoque minus fi cui injectum thymum fit; quod autem confufam quandam qualitatem odore guftuve prae fe ferat, id non vitupero. Ad eundem modum et lac nullam externam qualitatem odore guftuve prae fe ferat, fed efto quam dulce, ut folius praecipue lactis eft, et fibi continuum et prout lacti convenit fplendens, fuper omnia, quoad ejus fieri poteft, fimiles habeto partes; namque hanc dotem veluti mel optimum ad perfectionem non recipit. Quo vero tale lac fiat, et idonea nutrimenta animali fuppeditanda funt, exercitationibus mediocribus id exercendum, et pullus, fi quem lactat, auferendus. Quod autem aetatis quoque maxime florentis effe debeat, id neminem latet. Curandum

ἔσται, καταφρονοῦντας τῶν γελασόντων, εἰ καὶ τὰς ὄνους διαιτήσειν μέλλομεν. εἰ γὰρ οἱ περὶ Βαίνετον καὶ Πράσινον ἐσπουδακότες ὀσφραίνονται τὰς κόπρους τῶν ἵππων ἕνεκα τοῦ γνῶναι πῶς κατεργάζονται τὰς τροφὰς, ὡς ἐκ τούτου τὴν ὅλην αὐτῶν εὐεξίαν κατανοήσωσι, καὶ ἡμᾶς δήπου χρὴ πολὺ δὴ μᾶλλον εἰς ἀνθρώπου σωτηρίαν ἅπαντα προορᾶσθαι τὰ τοιαῦτα, καὶ πόας τε παρέχειν τῷ ζώῳ μὴ λίαν ὑγρὰς καὶ χόρτου καὶ κριθῆς τὸ σύμμετρον· οὐκ ἀμελεῖν δὲ οὐδὲν ψύχειν καὶ ἀνατρίβειν καὶ ἀποῤῥύπτειν καὶ καθαίρειν τὸ τῆς ὄνου σῶμα. εἰ μὲν οὖν ἀποπατήσειεν ὑγρότερα καὶ δυσωδέστερα καὶ μετὰ φύσης μεστὰ φαίνοιτο, πρόδηλον δήπουθεν ὡς οὐκ ἔπεψε καλῶς· [162] ὥστε ἤ τι τῶν τροφῶν ἀφελεῖν, (110) ἢ προσθεῖναι τοῖς γυμνασίοις, ἢ ὑπαλλάξαι χρὴ τὰς ποιότητας, ἢ τὴν περὶ τὰς τρίψεις τε καὶ ψύξεις ἐπιμέλειαν οὐ τὴν αὐτὴν ποιεῖσθαι, σκληρότερα δ' ἀποπατήσαντος τοῦ ζώου πρὸς τἀναντία βλέπειν κἀκείνων τι μετακοσμεῖν. ἐγὼ γὰρ εἰ πάνθ' ὅσα χρὴ σκοπεῖσθαι περὶ τὸ ζῶον οὗ τῷ γάλακτι χρῆσθαι μέλλοιμεν ἑξῆς ἅπαντα λέγοιμι, τῆς ὑγιεινῆς

item ut quam optime concoquat, contemptis videlicet iis qui fi afinis quoque victus rationem praefcribemus ridebunt. Si enim Vaeneti et Prafini ftudiofi fectatores equorum ftercora, quo intelligant quemadmodum alimenta concoxerint, odorantur, tanquam ex eo omnem eorum bonam habitudinem cogniturі, multo profecto magis noftrum fuerit pro hominis falute nihil tale non profpicere, atque herbas animali non admodum humidas foenumque et hordeum mediocre objicere; fed nec illa omittere, ut afinae corpus refrigeremus et fricemus et detergamus et mundemus. Porro fi humidiora et olentiora et flatus plena excreverit, planum profecto eft non concoxiffe probe; quare aut detrahendum aliquid de alimento eft, aut exercitationi aliquid adjiciendum, aut qualitates immutandae, aut refrigerationis frictionisque cura varianda. Sin duriora reddat animalis alvus, ad contraria eft infpiciendum, atque illorum aliquid immutandum. Nam fi ego omnia quae confideranda circa animal funt cujus lacte ufuri fumus deinceps perfequar, totam tuendae

ὅλης ὑπομνήσομαι πραγματείας, ἣν ἀναγκαῖον μέν ἐστι γινώσκειν τὸν χρηστὸν παρασκευάσοντα τὸ γάλα, λέγειν δ᾽ οὐ νῦν καιρὸς, ἑτέρωθί γε διειλεγμένον τελεώτατα ὑπὲρ αὐτῆς. ἀλλ᾽ ἐπὶ τὸ προκείμενον ἐπάνειμι. καί μοι πάλιν ἀναμιμνήσκου τοῦ λελουμένου τε καὶ τὸ γάλα προσενεγκαμένου. τοῦτον οὖν τὸν ἄνθρωπον ἡσυχάζειν ἐάσαντες ἄχρι τοῦ δευτέρου λουτροῦ τρίψομεν τηνικαῦτα μετρίως τε ἅμα καὶ λιπαρῶς, εἰ ἀκριβῶς κατείργασται τὸ δοθὲν γάλα ταῖς ἐρυγαῖς τε καὶ τῷ[1] τῆς γαστρὸς ὄγκῳ τεκμηρόμενοι. σύμμετρος δὲ ἀπὸ τοῦ πρώτου λουτροῦ πρὸς τὸ δεύτερον, ὡρῶν ἰσημερινῶν τεττάρων ἢ πέντε χρόνος, εἴ γε τὸ τρίτον ἔτι μέλλοις λούειν αὐτὸν, εἰ δὲ μὴ, πλεόνων. λούσεις δὲ τὸ τρίτον, ἢν εἰθισμένος ᾖ λουτροῖς χρῆσθαι πλείοσιν· οὗτοι γὰρ καὶ χαίρουσι καὶ ὀνίνανται πολλάκις λουόμενοι. καὶ μὲν δὴ καὶ ἐπαλείψομεν αὐτὸν ἐλαίῳ πρὶν ἀμφιέννυσθαι καθ᾽ ἕκαστον λουτρόν· εἰς ἀνάθρεψιν γὰρ συντελεῖ καὶ τοῦτο, καθάπερ καὶ αἱ τρίψεις. εἴρηται δὲ ὑπὲρ ἁπάντων τῶν τοιούτων τῆς δυνάμεως ὁ λογισμὸς ἐν τοῖς ὑγιεινοῖς· οὐδὲν μὴν χεῖρον ἀνα-

fanitatis artem commemorem, quam teneat neceffe eft quisquis idoneum lac praeparabit; nunc vero dici opus non eft, quum alibi de ea traditum fit abfolutiffime. Sed ad propofitum revertor. Ac mihi jam rurfus memoria repetes hominem, qui et lavatus eft et lac fumpfit. Hunc itaque ad fecundam usque lavationem quiescere permittemus, tum modice fricabimus et pinguiter utique lac quod fumpfit, jam ad unguem confecit, id quod tum ex ructu, tum ventriculi mole licebit conjicere. Modicum vero temporis inter primam et fecundam lavationem intervallum erit, fi quatuor aut quinque aequinoctialium horarum fpatium interfit, fi tertio adhuc lavare paras, fin aliter, plurium. Sane tertio lavabis, fi multis lavationibus fuit affuetus, hi namque et delectantur et juvantur, fi faepe lavent. Quin etiam poft quamque lavationem hominem ungemus priusquam fe veftiat, conducit enim ad renutritionem id quoque, ficut et frictio. Reddita vero de horum omnium facultate ratio eft in libris qui de fanitate tuenda funt fcripti; non tamen

μνῆσαι καὶ νῦν ἐπὶ κεφαλαίων αὐτῶν. εἴτε γὰρ ὕδωρ ἐπιχέοις θερμὸν εὔκρατον ὁτῳδήποτε μορίῳ τοῦ σώματος, εἴτε τρίβοις, εἴτε λούοις, εἴθ' ὁπωσοῦν ἄλλως θερμαίνοις, ὄψει γιγνόμενον ὅπερ Ἱπποκράτης ἐπὶ τῶν ὕδατι θερμῷ καταντλουμένων εἶπε· τὸ μὲν γὰρ πρῶτον αἴρεται, ἔπειτα δὲ ἰσχναίνεται. διὰ τοῦτο σαρκῶσαι μὲν ἡμῖν βουλομένοις ὁτιοῦν σῶμα μέχρι τοσούτου θερμαντέον ὡς εἰς ὄγκον ἀρθῆναι. διαφορῆσαι δὲ καὶ κενῶσαι μέχρι τοσούτου χρονιστέον ὡς ἰσχνωθῆναι τὸ πρότερον ὀγκωθέν. ἀκριβῶς δὲ τὸν νοῦν προσέχειν χρὴ τὸν ἐπιστατοῦντα ταῖς τοιαύταις ἐνεργείαις καὶ μάλιστα ἐφ' ὧν βούλεται σαρκῶσαι· τοῦ μὲν γὰρ διαφορῆσαι πλατὺς ὁ καιρὸς, ὥστε οὐδ' ἑκὼν ἁμάρτοις ἂν αὐτοῦ· τοῦ σαρκῶσαι δ' ὀξύς· ὅταν γὰρ πρῶτον ὀγκωθῇ, τότε παύσασθαι χρή· τὸ δ' ὀγκωθῆναι τοῦτο καθ' ἕκαστον τῶν σωμάτων ἴδιόν ἐστιν. οὐ γὰρ οἷόν τε τὸν τῷ λόγῳ προκείμενον νῦν τὸν ἰσχνὸν εἰς ὄγκον ἀφικέσθαι τοῖς ὑγιαίνουσιν ἴσον· ἀλλ' ὅταν ἐπ' ὀλίγον ἀρθῇ, διαφορεῖται παραυτίκα. χρὴ τοίνυν ἀκρι-

inutile fuerit nunc quoque fummatim ea repetiffe. Nam five cuilibet parti corporis temperatam infundas calidam aquam, five frices five laves five aliter quomodocunque calefacias, idem fieri cernes quod Hippocrates de iis dixit, quibus aqua calida defuper infunditur; nam primum attollitur, mox gracile efficitur. Ideoque ubi carne implere quodlibet corpus ftudemus, id eatenus calefaciendum nobis eft, dum intumescat. Ubi vero discutere et vacuare cupimus, eatenus continuandum eft, dum quod prius intumuit fubfidat. Sane qui ejusmodi operibus praeficitur, folicite attentus effe debebit, potiffimumque ubi carne implere ftudetur; nam discutiendi certe tempus adeo late patet, ut etiam fi velis, in eo non aberres; at carne implendi plane praeceps eft occafio; quum enim primum intumuerit, tum eft defiftendum, at intumescere hoc fingulis corporibus fuum eft. Non enim fieri poteft ut qui nunc nobis propofitus gracilis eft ita intumescat ut illi qui fani funt, imo poftquam leviter intumuit, protinus discutitur. Itaque attendendum dili-

Ed. Chart. X. [162. 163.] Ed. Baf. IV. (110.)

βῶς προσέχειν τὸν νοῦν, ὅπως μὴ λάθῃ σε παρελθὼν ὁ καιρός. ἐὰν γοῦν ἀνατρίβῃς τὸν ἄκρως ἰσχνὸν, ἀρκεῖ τὸ ἐρύθημα μόνον· ἐάν τε λούῃς, τὸ θερμῆναι μετρίως· ἐπέκεινα δὲ τοῦδε χρονίζων καταλύσεις μᾶλλον ἢ θρέψεις αὐτόν. ἐπαλείφειν δὲ ἐλαίῳ μετὰ τὰ λουτρὰ χάριν τοῦ μὴ διαπνεῖσθαι πλέον τοῦ προσήκοντος, ἀλλ' ἐμπεφράχθαι τοῦ δέρματος τοὺς πόρους. εἴη δ' ἂν εὐθέως αὐτὸ τοῦτο τῆς μὲν ξηρότητος ἄκος, οἷον πρόβλημα δέ τι πρὸς τὴν ἐκ τοῦ περιέχοντος βλάβην. καὶ εἰ μὲν οὖν ἥδοιτο τῷ γάλακτι, καὶ μετὰ τὸ δεύτερον αὐτῷ δώσομεν λουτρόν· εἰ δὲ μὴ, πτισάνην ἀκριβῶς καθεψημένην, ἢ χόνδρον ὡς πτισάνην κατεσκευασμένον. εἶτ' αὖθις ἡσυχάσαντα πάλιν πρὸς τὸ τρίτον ἄξομεν λουτρὸν ἢ ἄντικρυς ἐπὶ τὸ δεῖπνον. [163] ἄρτος δ' ἔστω παρεσκευασμένος αὐτῷ κλιβανίτης καθαρὸς ἐπιμελῶς μὲν ὠπτημένος, ἔχων δὲ ζύμης τε καὶ ἁλῶν αὐτάρκων. ὄψον τε τῶν πετραίων ἰχθύων, ἢ ὀνίσκος ἐκ λευκοῦ ζωμοῦ. καὶ μὴν καὶ τὰ πτερὰ καὶ οἱ ὄρχεις τῶν ἐν γάλακτι τρεφομένων ἀλεκτρυόνων ἐπιτήδειοι, μὴ

genter eſt, ne clam te elabatur propoſitus temporis articulus. Sive igitur hominem qui extrema gracilitate eſt perfrices, ſufficiat tibi ſolus rubor, ſive laves, ſatis eſto mediocris calor; ſi quid ultra peragas, reſolves hominem magis quam nutries. Ungendum vero poſt lavationem oleo eſt, ne videlicet plus juſto perſpirando discutiatur, ſed obſtruantur exigua cutis ſpiramenta. Idem protinus et ſiccitatis remedium fuerit, et adverſus incommodum quod ab aëre ambiente contingit veluti munimentum. Ac ſiquidem delectetur lacte, poſt ſecundam quoque lavationem id exhibebis, ſin aliter, ptiſanam diligenter coctam, aut alicam ptiſanae ritu praeparatam. Hinc ubi rurſus quieverit, ad tertiam reducendus lavationem eſt, aut illico ad coenam. Sit autem praeparatus illi panis purus, et qui curioſe in furno ſit coctus et tum fermenti tum ſalis quod ſatis eſt habuerit. Obſonium quoque ex ſaxatilibus piſcibus, aut ex albo jure aſellus. Praeterea alae teſteſque gallinacei qui lacte ſit altus idonei ſunt, quorum ſi copia non eſt, aliis

Ed. Chart. X. [163.] Ed. Baf. IV. (110.)

παρόντων δὲ τούτων ἄλλοις χρηστέον. οὕτω δὲ καὶ πέρδιξι καὶ στρουθοῖς χρῆσθαι τοῖς ὀρείοις τε καὶ μαλακοσάρκοις, φυλάττεσθαι δὲ τά θ' ἕλεια καὶ σκληρόσαρκα· συνελόντι δὲ φάναι, τὸ κεφάλαιον τῆς τροφῆς, εὔπεπτος ἔστω καὶ τρόφιμος, ἥκιστα δὲ καὶ γλίσχρος καὶ περιττωματική. τροφιμώτατον οὖν ἐστιν ἁπάντων ὧν ἴσμεν ἐδεσμάτων χοίρειον κρέας, ἀλλ' οὐχ ὁμοίως τοῖς εἰρημένοις εὔπεπτον καὶ χυμοῦ γλίσχρου καὶ παχέος γεννητικόν. οὐδὲ γὰρ οὐδ' ἄλλως οἷόν τε διακεῖσθαι τὸ ἄκρως τρόφιμον. ἴσχεσθαι γὰρ αὐτὸ χρὴ καὶ προσπλάττεσθαι δυσαπολύτως, οὐ διαῤῥεῖν ὑπὸ λεπτότητος. οὐ μὴν εἴς γε τὰ παρόντα χρηστόν. εἰ μὲν γὰρ ἡ τροφὴ ἑαυτὴν πέττουσα καὶ ἀναδιδοῦσα καὶ τοῖς τρεφομένοις ὁμοιοῦσα, προσεφύετο τοῖς πλείστης ἀναθρέψεως δεομένοις, τροφιμωτάτων ἂν ἔδει σιτίων. ἐπεὶ δ' οὐκ ἄλλο μέν ἐστι τὸ τρέφεσθαι δεόμενον, ἄλλο δὲ τὸ ταῦτα κατεργαζόμενον, ἀλλ' ἑαυτῷ τε τὴν τροφὴν ἐπισπᾶται τὸ τρέφεσθαι μέλλον, ἑαυτῷ τε μεταβάλλει καὶ πέττει καὶ προσφύει καὶ ἐξομοιοῖ, διττὸν

utendum. Ad eundem modum et perdicibus et avibus montanis et mollis carnis vescendum. Vitanda autem et quae paluſtria ſunt et quae carne, ſunt dura et, ut paucis alimenti ſummam complectar, ſit id coctu facile et nutriens minimeque glutinoſum atque excrementoſum. Porro omnium quos novimus ciborum maxime nutriens ſuilla caro eſt; verum non aeque ac praedicta concoctu facilis eſt, praeterea glutinoſum ſuccum craſſumque generat. Alioqui nec alio eſſe habitu poteſt, quod in ſummo ſit nutriens, quippe adhaerere id debet et firmiter affigi, non autem prae tenuitate diſſluere. Non tamen ad propoſitum affectum uti hac convenit. Si enim nutrimentum ipſum ſe ipſum concoqueret ac in partes diſtribueret, praeterea alendi partibus aſſimilaret et quibus alimento plurimo eſt opus adhaeresceret, proculdubio maxime nutriente cibo eſſet opus. Verum quoniam non aliud eſt quod nutrimentum deſiderat, aliud quod ipſum conficit, ſed quod nutrimentum eſt, ipſum ſibi et nutrimentum attrahit et mutat et concoquit et adjungit et

ἕξει σκοπὸν τῆς τῶν σιτίων ἐπιτηδειότητος· ἕνα μὲν οὖν αὐτοῦ τοῦ σιτίου τὴν φύσιν, ἕτερον δὲ τὴν οἰκείαν τε αὐτῷ καὶ σύμφυτον δύναμιν. ἐξ οὖν τῶν εἰρημένων εὔδηλον ὡς οὔτε τὸ τροφιμώτατον σιτίον ἄριστον εἰς τὰ δεόμενα σώματα πλείονος ἀναθρέψεως· οὐ γὰρ ὑπάρχει τῷ τοιούτῳ τὸ πέττεσθαι ῥᾳδίως· οὔτε τὸ εὐπεπτότατον, ὅτι γε μηδὲ τοῦτο δυνατὸν εἶναι τροφιμώτατον. ἐναντιουμένων οὖν ἀλλήλοις τῶν σκοπῶν οὐ χρὴ τοῦ ἑτέρου τῆς ἀκρότητος ὀριγνώμενον ἐπιλαθέσθαι θατέρου παντάπασιν, ἀλλ' ἀμφοῖν ἀεὶ μεμνημένον, εἰς ὅσον οἷόν τέ ἐστι μιγνύειν αὐτούς. τούτου μὲν δή μοι διαπαντὸς μέμνησο τοῦ παραγγέλματος. οἴνου δ' ἐφεξῆς ποιότητός τε καὶ ποσότητος μνημονεύσωμεν, μεγίστην ἔχοντος εἰς τὰ τοιαῦτα δύναμιν, ἐπειδὴ καὶ μόνῳ τούτῳ ποτῷ χρηστέον εἶναί φημι πᾶσι τοῖς ἀναθρέψεως δεομένοις σώμασιν ἄνευ τοῦ πυρέττειν. ἔστω τοίνυν ὡς ἐν παραδείγματι μὲν εἰπεῖν, οἷος ὁ Σαβῖνος μὲν ἐπὶ τῆς Ἰταλίας, Ἀρσύνιος δὲ κατὰ τὴν Ἀσίαν, ὡς δὲ τύπῳ τε καὶ ὅλῳ τῷ γένει περιλαβεῖν, ὁ ὑδατώδης μὲν τἄλλα, βραχεῖαν δ' ἔχων τὴν

aſſimilat; duplicem ſcopum cibi eligendi eſſe dictat, unum ipſius cibi naturam, alterum vires ipſi proprias inſitasque. Itaque ex his illud patet, nec plane quod maxime nutriat optimum eſſe iis corporibus quae reſici magis egent, utpote quibus concoquendi facilitas non eſt; nec etiam quod facillimum concoctu eſt, quum ſcilicet ipſum nequeat maxime eſſe nutriens. Quum igitur hae indicationes ex adverſo pugnent, committendum non eſt ut dum alterius exceſſui nimium ſis intentus, alterius omnino obliviscaris, ſed utriusque ſemper memor quoad licet utrumque misceas, quod mihi praeceptum ubique memoria teneri velim. Jam vini tum qualitatem tum quantitatem memoremus, quod maximam ad talia vim habeat, quum uno hoc in potu utendum cenſeo omnibus, quibus reſici corpus eſt opus, modo non febricitent. Eſto igitur vinum, quod exempli loco dicatur, quale eſt Sabinum in Italia, Arſynium vero in Aſia ac ut ſumma quadam ac generatim comprehendam, quod aquoſum quidem alioqui eſt, caeterum leviter adſtringit. Aquoſum

στύψιν. ὑδατώδη δ᾽ οἶνον ὀνομάζω τὸν λεπτὸν καὶ λαμπρὸν τὸν λευκὸν, ὃς καὶ καθαρὸν καὶ ὀλιγοφόρον, ὡς Ἱπποκράτης ἐκάλεσεν. ὀλιγοφόρος δ᾽ ἐστὶν, ὡς ἂν ἐν τῷ κεράννυσθαι, τὴν τοῦ ὕδατος μῖξιν ὀλιγίστην φέρει. τουτέστιν ὁ ἀσθενέστατός τε καὶ ὑδατωδέστατος ὡς ἐν οἴνοις· ὁ γὰρ ἀνεχόμενος ὕδατος πλείστου μῖξιν ἐν τῷ κεράννυσθαι σφοδρότατός ἐστι καὶ ἰσχυρότατος. ὠνόμαζε τὸν τοιοῦτον ὁ Ἱπποκράτης οἰνώδη. ἀλλὰ τοῦτον μὲν φυλάττεσθαι, πλήττοντα τὰς ἀσθενεῖς δυνάμεις. ὁ δ᾽ ὑδατώδης μὲν, αὐστηρὸς δὲ, ἐπιτήδειος, ὡς ἂν τὴν τοῦ ὕδατος ἐκπεφευγὼς ἀσθένειαν καὶ μηδέπω τὴν οἴνου βλάβην ἔχων. ἐκ τούτων οὖν τῶν σκοπῶν εὑρήσεις αὐτοῦ καὶ τὴν ἡλικίαν καὶ τὴν κρᾶσιν. ὁ μὲν γὰρ νέος ὑδατωδέστερός τε καὶ ἀσθενέστερός πως ἢ ὡς οἴνῳ πρέπει, μετὰ καὶ τοῦ δυσπεπτότερος εἶναι καὶ περιττωματικώτερος. ὁ δὲ πρεσβύτερος οἰνωδέστερός τε καὶ ἰσχυρότερος ἢ ὡς τοῖς παροῦσιν ἁρμόττει. [164] διὸ καὶ θᾶττον ἐτῶν ἓξ ὁ εὐγενὴς Σαβῖνος οὐκ ἐπιτήδειος, ἐμπλέων ἐπὶ πλεῖστον ἔν τε τῷ στομάχῳ καὶ τῇ γαστρὶ καὶ κλύδωνας ἐργαζόμενος.

natura appello vinum quod tenue eſt et album et ſplendidum et purum et oligophoron, ut Hippocrates nominavit Eſt autem oligophoron, quod ſi diluatur, minimam ſuſtinet aquae mixtionem. Id eſt ſane imbecillimum et ut in vinis aquoſiſſimum; nam quod plurimum aquae in mixtura ſuſtinet, id tum vehementiſſimum tum validiſſimum eſt. Ejusmodi vinum Hippocrates vinoſum nominat. Verum ab hoc cavendum eſt, quoniam imbecillas vires feriat. At quod aquoſum natura eſt, caeterum auſterum, id percommodum eſt, quod et ab aquae imbecillitate receſſit, et vini noxam nondum habet. Ex his itaque ſcopis tum aetatem ejus tum temperamentum inveniat. Quippe quod novellum eſt, id tum aquoſius tum vero imbecillius quodammodo eſt, quam ut vino conveniat; adde etiam quod aegrius concoquitur ac magis excrementoſum eſt. Antiquius vero ut vinoſius eſt, ita vehementius eſt quam ut propoſitis ſit ex uſu. Quocirca citius ſexto anno nobile Sabinum idoneum non eſt, quod et diutiſſime in ſtomacho ac ventriculo innatet et ſlu-

εὐγενῆ δ' ὀνομάζω τὸν αὐστηρὸν, ὁμοίως μὲν Σαβῖνον, ὁμοίως δὲ Ἀδριανόν τε καὶ Ἀλβανὸν, ὁμοίως (111) δὲ Ἀρσύνιόν τε καὶ Τιτακαζηνὸν, ὅσοι τε ἄλλοι τοιοῦτοι· λέλεκται γὰρ ἐπὶ πλέον ὑπὲρ ἁπάντων οἴνων ἰδίᾳ. πρὸς τούτους οὖν ἀναφέρων τοὺς σκοποὺς καὶ τὴν πρὸς τὸ ὕδωρ αὐτοῦ ποιεῖσθαι κρᾶσιν· ἔτι δ' ἂν μᾶλλον ἀκριβῶς στοχάζοιο τῶν εἰρημένων, εἰ τῆς τοῦ ὕδατος κακίας τὰ κεφάλαια διὰ μνήμης ἔχοις· ἤρτηται δὲ ἐκ τῆς ψυχρότητος αὐτοῦ πάντα, δι' ἣν ἐν τοῖς ὑποχονδρίοις τε μέχρι πλείστου παραμένει καὶ κλύδωνας ἐργάζεται καὶ πνευματοῦται καὶ διαφθείρεται καὶ τῆς γαστρὸς ἐκλύει τὸν τόνον, ὡς καὶ τὰς πέψεις διὰ τοῦτο χείρους γίγνεσθαι· συμπράττει δ' οὐδὲ ταῖς ἀναδόσεσι τῆς τροφῆς οὐδὲν ὅ τι καὶ ἄξιον λόγου. καὶ μέν γε καὶ αἱ τῶν προειρημένων οἴνων ἀρεταὶ ταῖς νῦν εἰρημέναις κακίαις ἐξ ὑπεναντίου τὴν φύσιν ἔχουσιν· οὔτε γὰρ ἐμφυσῶσι τὸ ὑποχόνδριον, ἀλλ' εἰ καὶ φυσωδέστερόν πως εἴη προστέλλουσιν, οὔτε χρονίζουσιν αὐτόθι τῷ τῆς θερμασίας συμμέτρῳ, τάς θ' ὁδοὺς τῆς ἀναδόσεως ἀνοιγνύντες, αὐτοί τε συνεπωθοῦντες

ctuationes faciat. Nobile voco quod aufterum eft, non Sabinum modo, verum etiam Adrianum et Albanum et Arfynium et Titacazenum, omniaque id genus; dictum namque fufius de omnibus vinis feorfum eft. Ad hos igitur fcopos referens etiam mixturam ejus cum aqua temperabis; quin etiam exactius conjecturam de jam dictis facies, fi vitiorum aquae capita memoria tenueris; porro pendent ea ex frigiditate ejus omnia, cujus culpa et in praecordiis diutiffime moratur, et fluctuationes excitat, et in flatum mutatur et corrumpitur, et ita ventriculi refolvit robur, fic ut deterius proinde concoquat; fed nec diftribuendo per corpus alimento aliquid magnopere conducit. At vero memoratorum vinorum virtutes enarratis jam *aquae* vitiis adverfam quodammodo naturam habent, quum nec inflent praecordia, imo fi magis inflata fint, fubfidere faciant, nec ibi moram trahant, propter caloris fymmetriam; adde quod, cum diftributionis vias aperiant et pariter impellant, ac nutrimentum

ἅμα καὶ συναναφέροντες τὴν τροφὴν εἰς τάχος τῇ κατὰ τὴν ἀνάδοσιν ἐνεργείᾳ συντελοῦσιν, εὔχυμοί τ' εἰσὶ καὶ κατακεραστικοὶ καὶ πεπτικοὶ τῶν κατὰ γαστέρα τε καὶ φλέβας. αὐξάνουσι δὲ καὶ τὴν δύναμιν τῶν ὀργάνων καὶ τὰ περιττώματα πρὸς τὰς ἐκκρίσεις ποδηγοῦσι. ταῦτ' ἄρα καὶ οὐρητικοὶ τῶν ἄλλων οἴνων οἱ τοιοῦτοι μᾶλλόν εἰσιν, ὡς ἂν αὐτοί τε ταχέως διερχόμενοι τὸ σύμπαν σῶμα καὶ τὰ περιττώματα τῇ ῥύμῃ τῆς φορᾶς ἑαυτοῖς συνεκκρίνοντες. εἴρηται μὲν οὖν ἑτέρωθι τελεώτερον ὑπὲρ τῆς τῶν οἴνων δυνάμεως, ὥσπέρ γε καὶ περὶ τῆς τῶν σιτίων· καὶ χρὴ τὸν μεθόδῳ τὴν τέχνην ἐργάζεσθαι βουλόμενον ἰδίας τῶν ὑλῶν ἁπασῶν ἐκμαθόντα τὰς δυνάμεις μηκέτι καθ' ἕκαστον πάθος ἀκούειν ἀξιοῦν, ἀλλ' αὐτὸ μόνον ἐπιγνόντα τὸ τῆς θεραπείας εἶδος εὑρετικὸν εἶναι τῆς ἁρμοζούσης διαίτης. ἐγὼ δ' οὐκ ὀκνήσω, κηδόμενος τῶν τἀληθῆ σπευδόντων ἐκμανθάνειν, ἐφάψασθαι καὶ τῆς τοιαύτης διδασκαλίας, ἕνεκα τοῦ τοὺς ἀγυμναστοτέρους τὸν λογισμὸν ἀπὸ τῶν καθόλου μεταβαίνειν ἐπὶ τὰ κατὰ μέρος ὑπὸ τῶν παραδειγμάτων ποδηγουμένους. ὅσον οὖν ὑπόλοιπόν

fursum agant, ad celeritatem diftributionis in corpus conducunt. Sunt praeterea boni fucci et ad contemperanda concoquendaque ea quae in ventriculo et venis funt idonea. Jam vires quoque organorum adaugent, et expellendis excrementis viam faciunt. Eoque fit ut etiam talia vina praeter caetera urinas moveant, quare et ipfa totum corpus celeriter tranfeunt, et impetu curfus fui excrementa fecum expellunt. Ac dictum quidem alibi diligentius eft de vinorum facultate aeque ac ciborum. Convenitque ut qui artem methodo tradi fibi ftudet, proprias omnis materiae facultates prius praedidicerit, nec eas fe in fingulis affectibus audire putet, fed ut fimulac curationis tantum fpeciem norit, debitam victus rationem invenire poffit. Ego vero iis confulens qui veritatis discendae funt avidi, ejusmodi doctrinam attingere faltem non gravabor, quo qui minus exercitata ratiocinatione funt, exemplis e generalibus ad particularia veluti manuducti descendant. Ergo quod reliquum eft

ἐστι προσθετέον αὖθις. ὁ σκοπὸς τῆς ποσότητος ἐπὶ μὲν τοῦ πόματος, ὡς μηδέ ποτ᾽ ἐμπλεῦσαι τῇ γαστρὶ καὶ κλύδωνος ἐργάζεσθαί τινα αἴσθησιν, ἐπὶ δὲ τῶν σιτίων, μάλιστα μὲν εἰ οἷόν τε, μηδὲ βαρῦναί ποτε αὐτήν· χαλεπὸν δὲ τὸ τοιοῦτον ἢ ἴσως ἀδύνατον, ἐν ἀτόνῳ γαστρὶ φυλάξασθαι παντάπασιν, δεύτερον δ᾽ ὅτι τάχιστα παύσασθαι τὸ βάρος· ἐφεξῆς δὲ διάτασίν τε καὶ πνευμάτωσιν ὑποχονδρίων φυλάττεσθαι. εἰ μὲν δὴ συμπέσοι τοιοῦτό τι κατὰ τὴν πρώτην ἡμέραν, ἀνάλογον τῷ μεγέθει τοῦ συμπτώματος ἀφελεῖν χρὴ τῶν σιτίων ἐπὶ τῆς ὑστεραίας· εἰ δ᾽ ἀμέμπτως ἅπαντα γίγνοιτο, προσθεῖναι βραχύ τι. κατὰ δὲ τὸν αὐτὸν λόγον ἐπὶ τῆς τρίτης ἡμέρας ἢ ἀφαιρεῖν ἢ προσθεῖναι, τῇ προηγουμένῃ παραβάλλοντας. καὶ οὕτως ἄχρι παντὸς ἀναθρεπτικῶς τε καὶ ἀναληπτικῶς ἅπαντα διαπράττεσθαι κινήσεσιν, αἰωρήσεσι καὶ περιπάτοις ἀνάλογον τῇ τοῦ σώματος ἐπιδόσει, προστιθέντα καὶ τἄλλα πάντα κατὰ τὸν ἀναληπτικὸν ὀνομαζόμενον τρόπον, ὃς οὐ τῷ γένει διενήνοχε τοῦ νῦν ἡμῖν ἐνεστῶτος, ἀλλὰ τῷ σύμπαν ὡσαύτως ἔχειν ἐπ᾽ ἐκείνου τὸ σῶμα, καθά-

apponendum; fcopus quantitatis potionis erit ut nec in ventriculo innatet, nec fluctuationis ullius fenfum invehat. Ciborum vero potiffimum, fi fieri poteft, ut ne gravent quidem ipfum, quod cum difficile fit vel fortaffe ejusmodi quod vitiari in imbecillo ventriculo omnino nequeat proximum eft, ut quam citiffime gravis effe definat, ab hoc tenfio inflatioque praecordiorum vitandae iis funt. Quod fi tale quippiam primo die inciderit, pro magnitudine fymptomatis ad proportionem detrahendum poftridie de cibo eft, fin innoxie omnia cedunt, paulum adjiciendum. Ad eundem modum et in tertio die vel demere vel adjicere conveniet cum praecedente conferentibus. Atque ita femper omnia pro renutriendi reficiendique ratione motionibus, *frictionibus,* geftationibus et inambulationibus, prout corporis incrementum procedit, adminiftrare, etiam reliqua omnia pro refectoria vocata ratione adjicientibus, quae fane genere a propofita ratione non differt, fed in eo quod fub illa totum corpus

περ ἡ γαστὴρ ἐπὶ τοῦδε. [165] συμβαίνει δὲ μάλιστα κατὰ τὰ χρόνια τῶν ἀῤῥωστημάτων, ὅταν ἡ σύμφυτος ὑγρότης ἑκάστου μέρους, ἐξ ἧς πρώτης τρέφεται, κινδυνεύει μηκέτι εἶναι· τὴν μὲν γὰρ αὐτῶν τῶν στερεῶν σωμάτων ξηρότητα τῶν ἀδυνάτων ἐστὶν ἐπανορθώσασθαι, καθάπερ καὶ τὸ γῆρας, ὡς κἀν τῷ περὶ μαρασμοῦ δέδεικται λόγῳ· τὴν ὑγρότητα δὲ κἂν ἀπόληται τελέως, οἷόν τε γεννῆσαι κατὰ τὴν εἰρημένην ἀρτίως δίαιταν. ἐν μὲν οὖν ταῖς ἄλλαις ἀναλήψεσιν οὐδὲν ἐξαίρετον ἡ γαστὴρ πέπονθεν· ἐν δὲ τῇ νῦν προκειμένῃ διαθέσει τὸ νόσημα μέν ἐστι τῆς γαστρὸς, λεπτύνεται δὲ τῷ χρόνῳ τὸ σύμπαν σῶμα μὴ καλῶς τρεφόμενον· εὔλογον οὖν ἀκριβεστέρας δεῖσθαι διαίτης τούσδε, διὰ τὸ περὶ τὰς πέψεις ἄῤῥωστον, ἀλλ' ὅταν γε βελτίους γένωνται, κατὰ βραχὺ μετάγειν αὐτοὺς ἐπὶ τὴν ἀναθρεπτικὴν καὶ ἀναληπτικὴν ὀνομαζομένην ἀγωγήν. γίγνοιτο δ' ἂν τοῦτο τρίψεσί τε πλείοσιν ἢ πρόσθεν αἰωρήσεσί τε χρωμένων. ὑπαλλάττειν δ' ἐν τούτῳ χρὴ καὶ τῶν τροφῶν τό τε ποσὸν καὶ τὸ ποιὸν, ὡς καὶ πλείω καὶ ἰσχυρότερα σιτία τῶν ἔμπροσθεν διδόναι.

eft affectum, ficuti fub hac ventriculus. Accidit autem fic affici corpus in diuturnis potiffimum morbis, quum nativa cujusque partis humiditas, ex qua prima nutritur, propemodum omnis exhaufta jam eft; nam ut folidarum ipfarum ficcitas corrigatur, id fieri omnino non poteft, ficuti nec fenium, veluti in libro de marasmo docuimus; hanc vero humiditatem, etiam fi omnino fit abfumpta, regigni modo dicta victus ratione licet. Atque in aliis refectionibus ventriculus egregie prae caeteris non afficitur, in propofito autem affectu morbus eft ipfius ventriculi, tempore vero totum corpus, parum probe nutritum macrescit. Confentaneum igitur eft exquifitiorem hos victus rationem requirere propter concoctionis imbecillitatem. Caeterum quum meliores funt effecti, transferendi fenfim funt ad renutritoriam refectoriamque vocatam victus rationem. Id fiet fi pluribus et frictionibus et geftationibus quam ante utemur. Mutanda vero interea eft et ciborum tum qualitas tum quantitas fic ut tum plures cibi tum valentiores quam prius

καὶ τοῦ χρόνου δὲ προϊόντος, ὅταν ἤδη πλησίον ἥκωσι τῆς ὑγιεινῆς καταστάσεως, ἀποχωρῆσαι πτισάνης καὶ γάλακτος· ἔτι δὲ τῶν ἐκ χόνδρου ῥοφημάτων ἐπὶ τὰ συνήθη προσάγοντας σιτία· εἶτα καὶ τοὺς ἰχθύας ἀφελεῖν, εἰ μὴ δι᾽ ἔθους εἶεν, ἐπὶ τοῖς πτηνοῖς διαιτωμένους· ἐδωδῆς τε χοιρείων κρεῶν, ἄρξασθαι μὲν ἀπὸ ποδὸς ἐν πτισάνῃ καθεψημένου· μετὰ ταῦτα δὲ καὶ ὁ κωλῆν ἂν ληφθείη καλῶς, ἔπειτα ἤδη καὶ τἄλλα μόρια· τὸ μὲν πρῶτον ἱερείου νέου καὶ, εἰ χειμὼν εἴη, πρὸ μιᾶς ἡμέρας ἐσφαγμένου· τὸ γὰρ ἕωλον εὐπεπτότερόν ἐστι τοῦ προσφάτου. θέρους δ᾽ ἀρκεῖ τεθύσθαι μὲν ἕωθεν τὸ ἱερεῖον, ἐσθίεσθαι δὲ περὶ δυσμὰς ἡλίου· πειρατέον γὰρ ἄχρι παντὸς μὲν διαφυλάττειν ὃ παρῃνέσαμεν ἐν τοῖς ἔμπροσθεν, ἡνίκ᾽ εἰς ἑσπέραν ἠξιοῦμεν, δίδοσθαι τὴν ἰσχυροτέραν τροφὴν, οὐ μικρῶν ἀγαθῶν ἀπολαβόντων τῶν οὕτω διαιτωμένων· γνώσῃ δ᾽ ἐπισκεψάμενος ἀκριβέστερον· ἄμεινον γὰρ ἐπ᾽ ἀρχὴν ἀναγαγεῖν τὸν λόγον. ἐπειδὴ δέονται μὲν οἱ οὕτως ἔχοντες ὅτι πλείστου τοῦ θρέψαντος, οὐ δύνανται δὲ πέττειν οὐδὲ τὰ μέτρια, κατὰ βραχὺ καὶ πολλάκις ἄμεινον αὐτοῖς

exhibeantur. Ac tempore procedente cum ad ſanitatis ſtatum prope ventum jam eſt, ſeponenda ſunt ptiſana et lac, praeterea ſorbitio ex alica ac ad conſuetos veniendum; poſt etiam pisces detrahendi, niſi in conſuetudine fuerunt ac volatilibus cibandum, tum ſuillas carnes eſſe a pedibus in ptiſana elixis incipient; poſt vero etiam imum crus recte ſumant, ab hoc etiam reliquas partes, primum quidem juvenis porcelli, qui ſi hiems ſit, etiam pridie juguletur; nam heſternum quam recens necatum facilius concoquitur. Aeſtate ſat fuerit, ſi mane immolatus porcellus ſit, ac circa ſolis occaſum comedatur; nam quod in ſuperioribus ſuaſimus, quum valentius alimentum veſperi exhibendum cenſuimus, id ſemper obſervare ſtudebimus, utique non leve percepturis commodum iis, qui ita cibabuntur, quod ſane diligentius inſpiciens agnosces; ſatius enim eſt a principio rem coepiſſe. Quoniam qui ita ſe habent plurimo nutrimento indigent, nequeunt autem vel mediocria concoquere, paulatim hos et ſaepius cibare melius fuerit. At-

διδόναι. διὰ τοῦτο οὖν οὐ μόνον ἅπαξ οὐχ οἷόν τ᾽ ἐστὶ τρέφειν αὐτοὺς ἱκανῶς, ἀλλ᾽ οὐδὲ δὶς, ἕως ἂν ὦσιν ἰσχνότατοι· καὶ διὰ ταύτην τὴν αἰτίαν εἴωθα τρὶς αὐτοὺς τρέφειν. ὅταν μέντοι βελτίους ἑαυτῶν ἐναργῶς ἤδη φαίνονται γεγονότες, ἀρκεῖ καὶ δὶς αὐτοὺς τρέφειν. τοσαύτην οὖν εὔλογον εἶναι αὐτοῦ τὴν πρώτην τροφὴν, ὡς ἀκριβῶς ἅπασαν πεπέφθαι πρὶν ἢ τὴν δευτέραν λαμβάνεσθαι. τοῦτο δὲ οὐχ οἷόν τε ταῖς ἰσχυροτέραις ὑπάρξαι. ληπτέον οὖν ἀσθενῆ τὴν πρώτην, ὡς πεφθῆναί τε τάχιστα καὶ ὑπελθεῖν αὐτῆς τὸ περίττωμα καὶ κενῇ καὶ καθαρᾷ τῇ γαστρὶ τὴν δευτέραν δοθῆναι τροφήν. ἀλλ᾽ ἐπεὶ μὴ μόνον ἡσυχία καὶ ὕπνος, ἀλλὰ καὶ χρόνος μακρότερος ἐκδέχεται τὴν ταύτης οἰκονομίαν, εὔλογον ὅσα τῶν σιτίων ἰσχυρότερα κατὰ τοῦτον μάλιστα δίδοσθαι τὸν καιρόν. ἀμέλει καὶ οἱ ἀθλοῦντες οὕτω πράττουσιν ἅπαντες, οὐ λόγου μόνον ἐξευρόντος αὐτοῖς τινος, ἀλλὰ καὶ τῆς πολυχρονίου πείρας μαρτυρούσης. καὶ μέντοι καὶ ὅπερ ἐκεῖνοι πράττουσιν, οὐδὲν χεῖρόν ἐστι καὶ τοὺς ἀναληπτικῶς ἀγομένους ποιεῖν καὶ μὴ πίνειν ἐπὶ τῷ δείπνῳ παραυτίκα, πρὶν πεφ-

que idcirco fieri non poteſt ut ſemel eos cibaſſe ſit ſatis, ſed nec bis, quoad ſint gracillimi, atque hac de cauſa ego ter eos cibare ſum ſolitus. Verum quando jam manifeſte meliores facti apparent, etiam bis nutriviſſe ſit ſatis. Ergo tantam exhiberi primam cibationem eſt rationale, quanta priusquam ſecunda ſumatur, tota prorſus erit concocta. Id contingere valentiori alimento non poteſt. Quare primum leve ac imbecillum ſumendum his eſt, quo concoquatur celerrime et excrementum ejus diſcedat, et vacuus priusque ventriculus ſecundum excipiat. At quoniam non ſolum quies et ſomnus, ſed et longius tempus hujus naturalem adminiſtrationem excipit, rationabile eſt ut valentiores cibi hoc maxime tempore offerantur. Itaque etiam athletae omnes ſic faciunt, qui eum uſum non ſolum aliqua ratione invenerunt, ſed etiam longa experientia comprobarunt. Sed etiam et quod illi faciunt nihil mali ſit, ſi ii qui convaleſcentium victu utuntur etiam faciant ut illico poſt coenam

θῆναι τὴν τροφήν· ἐμπλέει γὰρ τὰ σιτία πινόντων, ὡς μὴ ψαύειν αὐτῶν τὸ τῆς γαστρὸς σῶμα, μέσης ἱσταμένης τῆς ὑγρότητος. εἰ δὲ διψώδεις εἶεν, ἀπέχειν μὲν αὐτοὺς τὸ πάμπαν ἀνιαρόν τε ἅμα καὶ ἀλυσιτελές· [166] ὀλίγον δὲ δοτέον ὡς παραμυθήσασθαι τὴν ἀνίαν καὶ πραῦναι τὸ δίψος. ἐπειδὰν δὲ πέψωσι τὴν (112) τροφὴν, ἐπιτρέπειν αὐτάρκως πιεῖν· ἀναδίδοται γὰρ οὕτω πραξάντων τάχιστα. μετὰ δὲ τὸν ὕπνον, ἕωθεν μὲν ἀποπατήσαντα καὶ βραχύ τι περιπατήσαντα τρῖψαι συμμέτρως. ἡ δὲ σύμμετρος ἐπὶ τούτων τρίψις ἐστὶν, ὡς θερμῆναι τὸ σῶμα· κἄπειτα αἰώραις χρηστέον· εἶτ᾽ αὖθις λουτέον τε καὶ τριπτέον ἐντὸς τοῦ μέσου τῆς ἡμέρας, ἢ πάντως γε περὶ τὸ μέσον ὡς ἱκανὸν γίγνεσθαι τὸ πρὸς τὴν ἑσπέραν διάστημα. τὸ δ᾽ ὅτι καὶ τῶν οἴκων ἐν οἷς ὁ ἀναλαμβανόμενος διαιτᾶται φροντιστέον ἐστὶν ἐν τοῖς μάλιστα, ὅπως μὴ ψυχρότεροι τοῦ προσήκοντος ἢ θερμότεροι γενηθῶσιν, οὐδὲν δέομαι λέγειν· ὅσα τ᾽ ἄλλα τοιαῦτα δυνατὸν ἑαυτῷ τινα χωρὶς ἡμῶν εὑρίσκειν, οὐ μόνον ἐκ τῶν ἐνταῦθα λελεγμένων ὁρμώμενον, ἀλλὰ καὶ ἐκ τῆς ὑγιεινῆς

non bibant antequam cibus fuerit concoctus, fiquidem innatant cibi fi bibant, ita ut eos ventriculi corpus propter interpofitum humorem non contingat. Verum fi fitibundi fuerint, prohibere eos in totum, ut grave eft, ita nec expediens; fed tantillum indulgendum quod et moleftiam foletur et fitim levet. Poftea vero quam nutrimentum concoxerint, abunde bibere funt finendi; nam celerrime, fi ita faciant, per corpus diftribuitur. Mane vero poft fomnum, quum dejecerint et paulum inambulaverint, modice funt fricandi. Eft autem commoderata his frictio quae fit quoad corpus incaleat, mox geftationibus utendum, dein rurfus tum lavandi funt tum fricandi, intra meridiem aut plane circa ipfum meridiem, quo idoneum ad vefperam fpatium interveniat. Quod autem et de domibus in quibus convalescens nutritur, habenda in primis cura fit, potiffimum ne frigidiores calidioresve jufto fint, fupervacuum dicere arbitror, pari modo et de aliis ejus generis quae invenire fibi quisque fine noftra opera poteft, doctus videlicet non folum ex his quae hic, fed

πραγματείας. ἔστι γὰρ ἡ ἀναληπτικὴ δίαιτα μέση τῆς ὑγιεινῆς τε καὶ θεραπευτικῆς· ὥστε ἐκ τῶν καθ᾽ ἑκατέραν λεγομένων οὐδὲν ἔτι χαλεπὸν ἑαυτῷ τινα τὸ μέσον ἐξευρίσκειν. τά τε γὰρ ἄλλα καὶ οὐχ ἓν εἶδος ἅπασι διαίτης ἐν ἔθει· τοῖς μὲν γὰρ ἅπαξ, τοῖς δὲ δὶς σιτεῖσθαι, καὶ τοῖς μὲν θᾶττον, τοῖς δ᾽ εἰς ἑσπέραν ἄρχεσθαι τῆς προσφορᾶς ἔθος ἐστί. καὶ δὴ καὶ τὰ ἐσθιόμενα τοῖς μὲν ἰχθύες εἰσὶ τὸ πλεῖστον ἢ ὅλως τὰ ἐκ τῆς θαλάττης, τοῖς δὲ λάχανα μᾶλλον ἢ ὅλως τὰ ἐκ κήπων τοῖς δὲ ὀπῶραι, τοῖς δὲ ὄσπρια, τοῖς δὲ ἀκρόδρυα, τοῖς δὲ κρέα τετραπόδων ζώων, ἄλλοις ἄλλα, τοῖς δὲ ὀρνίθων, ἄλλων ἄλλοις καὶ ταῦτα. καὶ δὴ καὶ τυρῷ καὶ γάλακτι χρῶνταί τινες, οἱ πλεῖστοι μὲν αἰγῶν τοὐπίπαν ἢ βοῶν, ἔνιοι δὲ καὶ ἑτέρων τινῶν. καὶ πίνουσιν οἱ μὲν θερμὸν, οἱ δὲ ψυχρόν· καὶ οἶνον ἢ πολὺν, ἢ ὀλίγον, ἢ οὐδόλως, ἢ τοῖον, ἢ τοῖον. εἰς ταὔτ᾽ οὖν ἐπανάγειν ἕκαστον εἰς ἅπερ εἴθισται. γέγραπται δὲ καὶ περὶ ἔθους ἀκριβέστερον ἰδίᾳ· καὶ νῦν ἀρκεῖ τό

etiam quae in opere de fanitate tuenda funt dicta. Eft namque *convalefcentium* victus ratio quaedam media inter eam quae fanorum propria eft et quae aegrotantium. Quare difficile non eft ex iis quae de utraque funt prodita ut per fe ipfum quis mediam inveniat. Nam ficut nec aliarum rerum, ita nec victus una omnibus fpecies in confuetudine eft, quum aliis femel effe, aliis bis et aliis citius, aliis ad vefperam incepiffe cibum moris fit. Jam cibus ipfe aliis piscis ut plurimum eft, aut denique aliquid ex mari, aliis olera magis aut omnino hortenfia, aliis poma, aliis legumina, aliis nuces, *aliis aliud quippiam*, aliis quadrupedum carnes, atque harum aliis aliae, aliis avium, idque aliis aliarum. Quin etiam cafeo et lacte utuntur nonnulli, plurimi quidem in univerfum caprarum vel boum, quidam vero et aliorum animalium. Bibunt quoque alii calidum, alii frigidum, et vinum vel copiofum vel parvum vel omnino nullum, vel hoc genus vel illud. Ad ea igitur reducendus quisque eft quibus infuevit. Scriptum autem diligentius de confuetudine feorfum eft. Nunc illud dixiffe abunde fit, non modo in analeptica victus ratione, fed

γε τοσοῦτον εἰπεῖν, ὡς οὐ μόνον ἐπὶ τῆς ἀναληπτικῆς διαίτης, ἀλλὰ καὶ κατὰ τὰς νόσους παμπόλλην μοῖραν εἰς ὕλης τροφῆς καὶ φαρμάκου ἔκλεξιν ἐκ τῶν ἐθῶν ἐστι λαβεῖν. ὁ μὲν γὰρ λόγος ὅλου τοῦ γένους ὑπαγορευτικώτερός ἐστι· τὰς δὲ ὕλας ἔκ τε τῶν ἄλλων ὧν εἶπον, ἀτὰρ οὐχ ἥκιστα καὶ ἐκ τῶν ἐθῶν ληπτέον. ἐπιβλέπειν δὲ καὶ τὰς τῶν φύσεων ἰδιότητας. οἶδα γοῦν τινας, εἰ διὰ τῆς νυκτὸς ὁτιοῦν ἀναγκασθεῖεν ἐγρηγορικὸν διαπράξασθαι, μηκέτι κοιμηθῆναι δυναμένους. ἐκείνοις οὖν οὐ χρὴ συμβουλεύειν ἐν τῇ νυκτὶ πίνειν, μή πως δι᾽ αὐτὸ τοῦτο περιπεσόντες ἀγρυπνίᾳ βλαβῶσι τὰ μέγιστα· ξηραίνει γὰρ ὅλου τοῦ σώματος τὴν ἕξιν ἡ ἀγρυπνία καὶ διὰ τοῦτό ἐστι βλαβερωτάτη τοῖς κατὰ ξηρότητα νοσοῦσιν. ἔνιοι δὲ εἰ γεύσαιντο πτισάνης, αὐτίκα ναυτιῶσιν· ἐνίοις δ᾽ ὀξύνεται ῥᾳδίως. ὅτι δὲ καὶ τὰ βόεια κρέα πέπτουσί τινες ῥᾳδίως, ἕν τι τῶν τεθρυλημένων ἐστί· καὶ ὡς ἄλλοι πρὸς ἄλλα βρώματά τε καὶ πόματα διάκεινται εὖ τε καὶ κακῶς. οὐ μόνον δ᾽ ἐκ τούτων, ἀλλὰ κἀκ τῶν ὡρῶν τε καὶ χωρῶν εὐπορία τῆς ὕλης τῶν διαιτημάτων γίγνεται. καὶ ἤδη πολλοῖς τῶν πρὸ ἐμοῦ πρεσβυτέρων γέγραπται

etiam in morbis permultam partem ad materiae alimenti medicamentique electionem ex confuetudine fumi. Ratio enim totum genus magis praecipit, materia cum ex aliis quae retuli, tum vero ex confuetudine non minime eft fumenda. Sed et naturarum infpiciendae funt proprietates; novi enim quosdam qui fi quod vigilantium opus nocte obire fuiffent coacti, dormire praeterea non poterant. Illis igitur ut noctu bibant confulendum non eft, ne videlicet ea occafione vigilare coacti maximam inde noxam fentiant; ficcat namque totum corporis habitum vigilia, eoque infeftiffima eft ex ficcitate laborantibus. Sunt et qui, fi ptifanam guftent, protinus naufeant, eadem in quibusdam facile acescit. Effe vero aliquos qui facile carnem bubulam concoquant, jam unum ex publice jactatis eft, praeterea alios effe qui ad alios cibos potusque recte fe aut non recte habeant. Non folum autem ex his materiae quae ad victum pertinet copia fuggeritur, fed etiam ex regione et tempore. Scriptaque jam

ταῦτα· διὸ κἀγὼ παρατρέχω μὲν τὰ τοιαῦτα, μόνον ἀναμιμνήσκων αὐτῶν, ὑπὲρ τοῦ μηδὲν παραλείπεσθαι. τὸ παραλελειμμένον δὲ τοῖς νεωτέροις ἰατροῖς ἅπασιν ἐπέξειμι, τὸ τὰς διαθέσεις τῶν σωμάτων θεραπεύειν μεθόδῳ τῶν παλαιῶν, ὡς εἶπον καὶ πρόσθεν, ἀρξαμένων μὲν καλῶς, οὐ συντελεσάντων δὲ τὴν μέθοδον. ἀλλ' ἐπὶ τὸ προκείμενον ἰτέον αὖθις. αἱ ξηραὶ δυσκρασίαι τῶν σωμάτων αὐτῶν ἁψάμεναι τῶν στερεῶν, [167] εἰ μὲν περί τι μόριον συσταῖεν, ὥσπερ ὑπόκειται νῦν κατὰ τὴν γαστέρα, τελέως οὐκ ἄν ποτε θεραπευθεῖεν, οὐδ' ἐπανέλθοιεν εἰς τὴν πρὸ τοῦ νοσῆσαι διάθεσιν. ἀλλ' ὅπερ εἴωθε λέγεσθαι συνήθως ὑπ' αὐτοῦ τοῦ πράγματος διδαχθεῖσι τοῖς πολλοῖς, ὡς ἡ νόσος ἐκάκωσε τὴν γαστέρα καὶ ἀσθενῆ παρεσκεύασεν εἰς τὸν ἔπειτα βίον, ἐπὶ ταῖς τοιαύταις μάλιστα συμπίπτει δυσκρασίαις. γέροντος γὰρ οὗτοι ἴσχουσι γαστέρα πρὶν γηρᾶσαι· διὸ καὶ βλάπτονται ῥᾳδίως ὑπὸ σμικρῶν αἰτιῶν, ὥσπερ οἱ γέροντες, καὶ πέττειν οὐ δύνανται καλῶς· ἐξ οὗ συμβαίνει καὶ τὸ σύμπαν αὐτοῖς σῶμα

haec funt a multis veteribus, qui me praeceſſerunt, quo minus ego iſtis inſiſto, qui ideo tantum ea commemoro, ne quid videlicet ſit omiſſum. Quod vero ab omnibus junioribus medicis eſt omiſſum, id perſequar, nempe quemadmodum affectus corporum methodo curentur, eam methodum veteres, ut ante dixi, probe inchoarunt, nemo tamen eorum ipſam abſolvit. Verum rurſus ad propoſitum redeundum. Siccae intemperies ubi ſolida ipſa corpora contigerunt, ſiquidem in una quapiam parte conſiſtant, veluti nunc in ventriculo propoſitum eſt, nunquam ad perfectionem ſanabuntur, nec in eum ſtatum qui ante morbum fuit revertentur. Sed quod dici in conſuetudine vulgo ſolet, re ipſa edocto, id talibus maxime intemperantiis accidit, morbum ventriculum corripuiſſe et in reliquam vitam imbecillum reddidiſſe. Nam ſenum ii ventriculum obtinent priusquam conſenuerint; quo fit ut facile ex levibus laedantur cauſis, perinde ac ſenes, nec probe concoquere poſſint, quo evenit ut etiam totum his corpus deterius ſe habeat. Ita vero et

χεῖρον ἴσχειν· οὕτως δὲ κἂν ἄλλο τι πάθωσι μόριον, ἂν δὲ καὶ τὴν καρδίαν αὐτὴν, ἐν τάχει μαραίνονται· καὶ καλεῖ τὸν τοιοῦτον μαρασμὸν ὁ Φίλιππος ἐκ νόσου γῆρας. οὗτος μὲν οὖν ὁ μαρασμὸς ἐπὶ θάνατον ἄγει συντόμως· ἐφεξῆς δὲ καὶ ὁ ἀπὸ τοῦ ἥπατος ἀρξάμενος· εἶθ᾽ ὁ ἀπὸ τῆς γαστρός· οἱ δ᾽ ἐπ᾽ ἄλλοις μορίοις εἰς τοσοῦτον χρονιώτεροι εἰς ὅσον ἕκαστον αὐτῶν ἀκυρώτερόν ἐστι τῶν εἰρημένων. εἰ δὲ βραχύ τι τὸ τῆς καρδίας σῶμα ξηρανθείη, ταχύγηροι μὲν γίγνονται, διαρκοῦσι δ᾽ εἰς ἔτη πλείω τῶν ἰσχυρῶς βλαβέντων. μετὰ ταῦτα δ᾽ ἐφ᾽ ἥπατι καὶ γαστρὶ, καθάπερ εἴρηται, κἀπὶ τοῖς ἄλλοις ἅπασιν ἀνάλογον. ἀλλ᾽ ἥ γε δίαιτα κατὰ γένος ἡ αὐτὴ καὶ ταύτῃ τῇ ξηρότητι καὶ τῇ τὴν ὑγρότητα μόνην ἐκδαπανώσῃ, τὴν τρέφουσαν τὰ στερεά· καὶ πρὸς ταύταις γέ τοι τῇ τρίτῃ ῥηθείσῃ ξηρότητι κατὰ τὸν ἔμπροσθεν λόγον. εὐιατοτάτη δὲ πασῶν ἐστιν ἡ τετάρτη, καθ᾽ ἣν αἱ φλέβες ἐκκενοῦνται τῶν χυμῶν. καὶ μᾶλλον ὡς ψυχρότης ἕξεως ἡ τοιαύτη θεραπεύεται διάθεσις ἤπερ ὡς ξηρότης· καὶ ἵνα σαφέστερον εἴπω, τὸ μὲν τῆς ψύξεως ἐπικρατεῖ καὶ ὁ κίν-

ſi alia quavis afficiantur parte, quod ſi etiam cor morbus corripiat, celeriter marcescunt, vocatque marasmum ejusmodi Philippus ex morbo ſenium. Is igitur marasmus brevi ad mortem ducit, proxime huic qui a jecinore eſt inceptus, mox qui a ventriculo, qui ab aliis partibus ortum habet, tanto ſane tardius quanto quaelibet harum minoris eſt praeſtantiae quam illae. Si vero leviter cordis corpus ſiccatum ſit, ſenescunt quidem celeriter, ſed plures annos trahunt quam qui vehementer ſunt laeſi. Poſtea vero et in jecinore et ventriculo, ceu dictum eſt, ac in reliquis omnibus ad proportionem. At victus ratio eadem genere eſt tum in hac ſiccitate tum in illa quae ſolam eam humiditatem abſumit, quae ſolidas nutrit; praeterea etiam in tertia quam ſupra memoravimus ſiccitate. Facillima vero omnium ſanatu quarta eſt, in qua venae ſunt humoribus inanitae. Imo talis affectus ut frigiditas habitus magis curatur, quam ut ſiccitas, vel, ut clarius loquar, frigiditatis affectus exſuperat,

Ed. Chart. X. [167.] Ed. Baf. IV. (112.)

ὄντος κατὰ τοῦτο. δευτέρα δ᾽ ἐστὶν ἡ ξηρότης, ὅθεν καὶ ἡ ἴασις ἑτοίμη τε καὶ ταχίστη. δύο γὰρ ἡμέραις εἴ τις αὐτοὺς διαιτήσειε πεφυλαγμένως θερμαίνων τε ἅμα τὰ μέτρια καὶ ἀνατρέφων ἀσφαλῶς, εὐθέως τῇ τρίτῃ προσίενται δίαιταν ἁδροτέραν ἀβλαβῶς· καὶ πολὺ δὴ μᾶλλον τῇ τετάρτῃ καὶ τῇ πέμπτῃ. καὶ τοῦτο ἄρα ἦν τὸ ὑφ᾽ Ἱπποκράτους λεγόμενον, τὰ ἐν πολλῷ χρόνῳ λεπτυνόμενα νωθρῶς ἐπανατρέφειν, τὰ ἐν ὀλίγῳ ὀλίγως.

Κεφ. ζ. Ἰστέον δ᾽ ὅτι ταῖς ξηρότησι τῶν στερεῶν σωμάτων ψύξις ἐξ ἀνάγκης ἀκολουθεῖ χρονιζούσαις. διαμένειν γὰρ αὐτὴ καθ᾽ ἑαυτὴν ἡ ξηρότης, ἀμέμπτου τῆς κατὰ τὸ θερμὸν καὶ ψυχρὸν ἀντιθέσεως ὑπαρχούσης, οὐ δύναται. τάχιστα γὰρ ἐπὶ ταῖς ἀτροφίαις ἀποψύχεται τὰ μόρια, διότι καὶ ἡ θρέψις αὐτοῖς ἐστιν ἐκ θερμοῦ χυμοῦ τοῦ αἵματος. ἀλλ᾽ ὅπερ ἐν ἀρχῇ λέλεκται, ξηρότητος ἴασιν ἐποιησάμεθα τῆν ἐξ ἀρχῆς τε συστάσης μόνης ἄχρι πλείστου τε μηδεμίαν ἀξιόλογον ἀκολουθοῦσαν ἐχούσης ψύξιν. ἑξῆς ἂν οὖν εἴη μιγνύειν αὐτῇ ψύξιν ἐναργῆ μὲν ἔχουσαν τὰ γνωρίσματα, μὴ μέντοι με-

periculumque in ea eft. Siccitas fecundum locum obtinet, unde et fanatio tum prompta tum celerrima. Siquidem, fi biduo quis victus rationem his caute exhibeat, modice calefaciens et tuto nutriens, ftatim in tertio pleniorem victum citra noxam admittunt, multoque id magis in quarto et quinto. Atque hoc fane erat quod Hippocrates praecipit, quae multo tempore extenuata corpora funt, ea fegniter reficere oportet, quae brevi pauco.

Cap. VII. Sciendum eft folidorum corporum ficcitatibus, fi perdurent, fuccedere neceffario frigiditatem. Nam permanere ficcitas ipfa per fe, non mutata oppofitione quae ex calido et frigido confiftit, non poteft. Celerrime enim ex nutriendi defectu refrigerantur partes, propterea quod ex calido fucco fanguinis nutriuntur. Sed quod inter initia dictum eft, nunc ficcitatis curationem exequuti fumus, et quae ab initio fola eft contracta, et quam nulla diutiffime fequuta eft notabilis frigiditas. Ergo proximum fuerit frigiditatem illi copulare quae evidentes quidem habeat notas,

Ed. Chart. X. [167. 168.] Ed. Baf. IV. (112. 113.)

*γάλα. ἔσται τοίνυν ὁ σκοπὸς τῆς θεραπείας οὐκέθ᾽ ἁπλοῦς, ὡς ὁ καὶ πρόσθεν· οὐ γὰρ ὑγραίνειν μόνον, ἀλλὰ καὶ θερμαίνειν δεήσει. προσέχειν οὖν ἀκριβῶς ταῖς ὕλαις τῶν βοηθημάτων μή τι λάθωμεν ἡμᾶς αὐτοὺς, ἐπιπλέκοντές τι τῶν ἄγαν θερμαινόντων τοῖς ὑγραίνουσιν· ὑπάρχει γὰρ τούτοις τὸ ξηραῖνον ἰσχυρῶς. ἀλλὰ καὶ τὸ ποσὸν τῆς βλάβης ἐν ἑκατέρᾳ δυσκρασίᾳ πρὸς τὴν [168] τῆς ὕλης εὕρεσιν ἱκανὸν ἔσται ποδηγεῖν· οἷον αὐτίκα μεγίστης μὲν ξηρότητος ἴασιν ἄρτι πέπαυμαι γράφων· αἱ μέτριαι δὲ τῆς οὕτως ἀκριβοῦς οὐ δέονται διαίτης, ὅτι μηδὲ τὰ τῆς (113) δυνάμεως ἐπ᾽ αὐτῶν ἐσχάτως καταπέπτωκεν. οὐδὲ γὰρ οὐδὲ δι᾽ ἄλλο τι χαλεπὸν γίγνεται θεραπεῦσαι καλῶς ἰσχυρὰν ξηρότητα σώματος ἢ ὅτι χρήζει μὲν ἀναθρέψεως, ἡ τροφὴ δ᾽ οὐ πέφυκεν ἑαυτὴν προσφύειν, ἀλλ᾽ αὐτοῦ δεῖται τοῦ τρεφομένου δημιουργοῦντος αὐτὴν, ὅπερ ἐστὶν ἄτονον. ὅταν οὖν ᾖ μετρίως τοῦτο ξηρὸν, ἅτε μηδὲ τῆς δυνάμεως ἐσχάτως καταπεπτωκυίας, ἁδρότερόν τε διαιτᾶν ἐγχωρεῖ καὶ κίνδυνος οὐδεὶς ἁμαρτεῖν τοῦ μέτρου. διὰ τοῦτο καὶ ἡμεῖς ἐπὶ τὴν χαλεπωτάτην δυσ-*

caeterum magna non fit. Erit itaque curationis fcopus non fimplex, ut et prius, quum non modo humectare oportuerit, fed etiam ut calefacere. Quare intendendum accurate eft ad praefidiorum materiam, necubi imprudentes humectantibus nimium calefacientia adjungamus; his enim vehementer ficcandi vis fubeft. Jam vero quantitas noxae in utraque intemperie ad materiae inventionem poteft viam oftendere, ut jamjam maximae quidem ficcitatis fanationem modo perfcripfimus; modice vero adeo accurata victus ratione non indigent, quandoquidem nec vires ipfis funditus funt collapfae. Etenim nulla alia de caufa difficilis redditur validae ficcitatis in corpore commoda curatio quam quod refici quidem corpus poftulat, cibus vero per fe coalescere cum eo non poteft, fed ejus quod nutritur operam qua praeparetur requirit, quod eft imbecillum. Ergo quum id modice ficcum fuerit, propterea quod vires non penitus conciderunt, uberius cibare licet, nec periculum eft ullum ne a modo aberres. Quo magis ipfi de difficillima intemperie

Ed. Chart. X. [168.] Ed. Baf. IV. (115.)

κρασίαν τὸν λόγον ἀγαγόντες ἐγυμνάσαμεν τοὺς φιλομαθεῖς ἐπ' αὐτῆς ὡς ἐπὶ παραδείγματος· ἐντεῦθεν γὰρ ὁρμηθέντες αὐτοὶ ἐξευρήσουσιν ὕλας ἐπιτηδείας εἰς ἐπανόρθωσιν ξηροτήτων μετρίων. ὑποκείσθω δὲ καὶ νῦν ἔτι παραπλησία μὲν ἡ ξηρότης τῇ πρόσθεν, ἐζεύχθω δ' αὐτῇ ψυχρότης. εἰς τοσοῦτον οὖν ἐπιμίξομεν τοῖς ἔμπροσθεν εἰρημένοις τὴν τῶν θερμαινόντων ὕλην εἰς ὅσον ἔψυκται τὸ μόριον. ὑποκείσθω δὴ πρῶτον ἐψῦχθαι μετρίως αὐτό· προσθήσομεν οὖν τοῖς εἰρημένοις ὀλίγον ἔμπροσθεν, ἐν μὲν τῇ τοῦ γάλακτος χρήσει τὸ μέλι πλέον, ἐν δὲ τῇ τοῦ οἴνου τὸν αὐτὸν μὲν τῷ γένει δώσομεν, ἧττον δ' ὑδαρῆ τοῦ πρόσθεν, ἐτῶν δὲ πλειόνων. ἀλλὰ καὶ αὐτὰ τὰ ἐδέσματα σύμπαντα θερμότερα δοτέον οὐ ταῖς φυσικαῖς κράσεσι μόνον, ἀλλὰ καὶ ταῖς προσφάτοις ποιότησι. καὶ ναρδίνῳ μύρῳ συνεχῶς ἐπαλειπτέον τὴν κοιλίαν ὡς μηδέποτε γενέσθαι ξηράν. εἰ δὲ τοῦτο μὴ παρείη, τὸ μαστίχινον ἱκανόν· ἀλλὰ καὶ ὀποβαλσάμῳ χρίσομεν αὐτὴν, αὐτῷ τε καθ' ἑαυτὸ καὶ μιγνύντες τοῖς προειρημένοις. καὶ εἰ μᾶλλον ἐθέλοιμεν ἔχεσθαι τοῦ χρωτὸς αὐτὰ, καὶ κηροῦ τι

differere inftituimus, ac in ea veluti exemplo ftudiofos exercuimus; hinc namque orfi ipfimet ad mediocres ficcitates corrigendas idoneam materiam invenient. Proponatur autem nunc ficcitas quidem fimilis priori, copuleturque ei frigiditas. Ergo calefacientis materiae admiscendum jam dictis tantum erit quantum pars ad frigus inclinavit. Proponamus igitur eam primum modice refrigeratam, ergo iis quae paulo ante retulimus, in lactis quidem ufu mel uberius adjicietur. Vinum vero quod quidem ad genus fpectat idem, caeterum quod minus aquofum quam prius et plurium annorum fit dabimus. Quin etiam efculenta omnia calidiora exhibebimus idque non naturalibus modo ipforum temperamentis, verum etiam recentibus qualitatibus. Nardino praeterea ungendus affidue venter eft, fic ut nunquam remaneat ficcus. Sin id unguentum non adfit, maftichinum fatisfecerit, fed et opobalfamo eum perungas, tum ipfo per fe, tum vero cum jam dictis mixto. Quod fi corpori ea magis adhaerere ftudebis, etiam cerae aliquid admiscebis.

προσμίξομεν. εἰ δὲ καὶ τὸ περιέχον εἴη ψυχρὸν, ἔριον βρέξαντες ἐπιθήσομεν. ἀλλὰ καὶ τὴν Χίαν μαστίχην ἐν ὀποβαλσάμῳ λειώσαντες, ἢ μύρῳ ναρδίνῳ, κἄπειτα ἔριον δεύσαντες ἐπιθήσομεν τῇ γαστρί. κάλλιον δὲ τὸ δευόμενον ἀρίστην εἶναι πορφύραν οἵα πέρ ἐστιν ἡ Τυρία· στύφειν τε γὰρ χρὴ μετρίως αὐτὴν, ἐμπλάττειν τε τοῦ δέρματος τοὺς πόρους. τὰ μὲν γὰρ ἀραιοῦντα καὶ χαλῶντα διαφορεῖ τε ἅμα καὶ τοῖς ἔξωθεν προσπίπτουσι ψυχροῖς εὐάλωτα παρασκευάζει τα μόρια· τὰ δ᾽ ἐπὶ πλέον στύφοντα ξηραίνει. ὅθεν οὔτε διαφορητικῆς εἶναι προσήκει δυνάμεως τὸ θερμαῖνον φάρμακον τὰ οὕτως διακείμενα σώματα καὶ μὴ πολλὴν ἔχειν ἐπιμεμιγμένην στύψιν. ἀναμνήσθητι γὰρ ὧν ἐπί τε τῶν ἀῤῥώστων ἐθεάσω κἀν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις ἐδιδάχθης, ὡς κατὰ μὲν τὴν ἑαυτῆς δύναμιν ἡ στρυφνὴ ποιότης ψύχει τε καὶ ξηραίνει· ξυμμιγνυμένη δέ τινι τῶν ἰσχυρῶς θερμαινόντων τὸ συγκείμενον ἐξ ἀμφοῖν ἧττον μὲν ἐργάζεται θατέρου θερμαῖνον, οὐχ ἧττον δ᾽ ἑκατέρου ξηραῖνον. ἐναν-

Si vero jam aër ambiens ſit frigidus, lanam ex his imbutam impones. Quin etiam Chiam maſtichen in opobalſamo aut nardino unguento liquans lanam inde madentem ventriculo impones. Sane utilius fuerit ſi quod madefacies, etiam optima ſit purpura, qualis eſt Tyria; nam et adſtringi ipſum modice et cutis ejus meatus obſtrui expedit. Siquidem quae rarefaciunt et laxant, ea tum discutiunt ſimul tum partes frigidis extrinſecus advenientibus obnoxias reddunt; quae vero valentius adſtringunt, ea ſiccant. Unde neque discutientis eſſe facultatis decet medicamentum ita aſſecta corpora calefaciens, nec multum habere adſtrictionem immixtam. Memineris enim velim tum eorum quae in aegris es contemplatus, tum quae in opere de medicamentis es edoctus, acerbam qualitatem ſua quidem ipſius facultate et refrigerare et ſiccare, quod ſi cui valide calefacientium ſit admixta, quod ex ambobus compoſitum eſt, minus quidem in calefaciendi munere efficere quam alterum, ſiccando vero non minus quam utrumque. Maxime contraria faciunt iis, *quae prae-*

τιώτατα δὲ τούτων οἱ νῦν ἰατροὶ διαπράττονται, ξηρῷ καὶ ἀτρόφῳ μορίῳ πολλάκις ἐπιτιθέντες ἐκ θερμῆς καὶ στρυφνῆς ὕλης σύνθετον φάρμακον. ἔστι δὲ οὐδὲν τῶν στρυφνῶν μετρίως στῦφον, ὅθεν οὐδὲ ξηραίνει μετρίως· ἀφεκτέον οὖν ἐστιν αὐτῶν ἐπὶ τῶν προκειμένων διαθέσεων. εἰ δὲ καὶ ἡ ψύξις εἴη πολλὴ μετὰ τῆς κατὰ ξηρότητα δυσκρασίας, ὡς ἀναγκάζειν ἐπὶ πλέον θερμαίνειν, πρῶτον μὲν ἀναμιμνήσκου τοῦ τῆς δυσκρασίας εἴδους· ἐδείχθη γὰρ ἁπάντων χαλεπώτατον· ὥστε δυσεπανόρθωτον αὐτὸ γίνωσκε καὶ πολλῆς ἀκριβείας δεόμενον. [169] ἀπέχεσθαι δὲ ὁμοίως τῶν ἰσχυρῶς θερμῶν καὶ στρυφνῶν πειρῶ, ἐλπίζων ἐν χρόνῳ πλείονι διὰ τῶν ἀσφαλεστέρων ἰᾶσθαι τὴν διάθεσιν. ἀσφαλέστεραι δέ εἰσιν αὗται, αὖθις γὰρ εἰπεῖν ὑπὲρ τῶν ὄντως ἀναγκαίων ἄμεινον, ἐν ναρδίνῳ μύρῳ λειώσας μαστίχην Χίαν ὡς λιπαρωτάτην, ἀναλαμβάνων πορφύρᾳ χρῶ. μιγνύναι δ᾽ ἄμεινον εἰ παρείη καὶ τὸν ὀπὸν τοῦ βαλσάμου. διδόναι δὲ καὶ τὸ μέλι πλέον ἅμα τῷ γάλακτι προαπηφρισμένον, ὅπως ἧττον

*cipimus*, nostri temporis medici, qui siccae parti et tabescenti compositum saepe medicamentum ex calida et acerba materia imponunt. Est autem acerborum nullum modice adstringens, ideoque nec modice siccans, quo videlicet magis prohibenda ea in jam dictis affectibus sunt. At vero si cum siccitatis intemperie multa frigiditas sit, sic ut fortius calefacere subigat, omnium primum intemperiei genus ad memoriam revocabis; quippe quod omnium gravissimum esse ostendimus, quocirca ad corrigendum quoque esse difficillimum, multaque solicitudine egere noscas. Abstinere vero simili modo a vehementer calidis et acerbis tentabis, sperans fore ut longiore tempore per tutiores sanetur affectus. Sunt porro tutiores hae, nam repetere ea quae sunt tam necessaria est satius; in nardino unguento solves mastichen Chiam quam pinguissimam, ac purpura excipiens uteris. Eritque utilius, modo copia ejus sit, si opobalsamum adjeceris. Dandum praeterea uberius cum lacte mel est, sed detracta prius spuma, quo et minus sit excrementosum et magis nutriat.

τε εἴη περιττωματικὸν καὶ μᾶλλον τρόφιμον. ἀλλὰ καὶ αὐτὸ καθ' ἑαυτὸ ἀφηψημένον τὸ μέλι τροφὴ καλλίστη ψυχρᾷ γαστρὶ, πολεμιώτατον δὲ τῇ θερμῇ. καὶ χρὴ μεμνῆσθαι τούτων ἀμφοτέρων ἐν τοῖς μάλιστα, μὴ γινωσκομένων τοῖς πλείστοις ἰατροῖς, καὶ μήθ' αἱρεῖσθαί τι μέλιτος μᾶλλον ἐν ψυχροῖς σώμασι μήτε φεύγειν ἐν θερμοῖς. ἡ μὲν δὴ πλείστη τροφὴ τῆς τοιαύτης διαθέσεως ἔστω μὲν μέλι τὸ κάλλιστον ἀφηψημένον ἐπ' ἀνθράκων δρυΐνων, ἢ ἀμπελίνων εἰς τέλος διακαῶν, ἀφῃρημένου παντὸς τοῦ ἀφροῦ. τὸν δ' οἶνον ἀεὶ καὶ μᾶλλον αἱρεῖσθαι παλαιότερον ὅσῳ περ ἂν ἡ ψύξις ἐπὶ μᾶλλον κρατῇ. καὶ εἰ δεήσειεν ὅλον τὸ γένος ὑπαλλάττειν, Ἀδριανὸν μὲν τὸ πρῶτον, εἶτ' αὖθις Τιβουρτῖνον, ἤ τινα τῶν ὁμοίων αἱρούμενον ἅπαντας παλαιοὺς μὲν, ἀλλ' οὐχ οὕτως ὥστε πικροὺς ὑπάρχειν ἤδη· ξηραίνουσι γὰρ οἱ πικροὶ, περαιτέρω τοῦ δέοντος. ἄριστον δὲ φάρμακον ἐπὶ τῶν τοιούτων ἁπάντων ᾧ καθ' ἑκάστην ἡμέραν οἱ πιττωταὶ χρῶνται. καταχρίειν οὖν αὐτῷ προσήκει τὴν γαστέρα σύμπασαν· εἶτ' ἀποσπᾷν πρὶν ψυχθῆναι· καὶ τοῦτο ἀρκεῖ ποιῆσαι δὶς

Quin etiam mel ipfum decoctum per fe optimum nutrimentum frigido ventriculo eft, ita ut calido adverfiffimum. Atque haec ambo meminiffe in primis oportet plurimis medicis ignota. Ac neque aliquid in frigidis corporibus melle magis expetendum, neque in calido magis refpuendum. Ergo plurimum huic affectui pro nutrimento mel optimum efto, fed quod prius fuper prunas ex quercu viteve ad fummum candentes fuerit decoctum ac prorfus defpumatum. Vinum autem eligendum femper eft antiquum, eoque antiquius quo major fuerit frigiditas. Tum fi res poftulabit totum genus immutandum, ac primum Adrianum, mox Tiburtinum aliudve fimilis generis eligendum, vetera quidem omnia, caeterum non adeo ut amara jam fint; ficcant enim quae amara funt immodice. Sane optimum medicamentum talibus omnibus fit quo picatores quotidie utuntur. Ergo illinere eo totum ventrem conveniet, ac poft avelli priusquam refrigeretur, atque hoc fi bis uno die deinceps fece-

Ed. Chart. X. [169.] Ed. Baf. IV. (113.)

ἐφεξῆς ἐν ἡμέρᾳ μιᾷ· πλεονάκις δ᾽ οὐ χρή· διαφορήσεις γὰρ οὕτως, οὐ πληρώσεις αἵματος χρηστοῦ τὸ μόριον· ἡμεῖς δὲ οὐ διαφορεῖν τὸ περιεχόμενον, ἀλλ᾽ ἐκ τῶν πλησίον ἐπισπᾶσθαι βουλόμεθα. τοῦτο καὶ ἐπὶ τῶν ἠτροφηκότων ἁπάντων μορίων θαυμαστὸν φάρμακον, ἤν τις ἐπίστηται μετρίως χρῆσθαι. καὶ μέντοι καὶ τὸ θερμαίνειν τὴν γαστέρα, μὴ ποιότητι παραύξοντα τὸ θερμὸν, ἀλλ᾽ ὅτι μάλιστα φυλάττοντα μὲν αὐτοῦ τὴν κατὰ φύσιν εὐκρασίαν, αὐξάνοντα δὲ τὴν οὐσίαν, οὐχ ὁ φαυλότατός ἐστι τῶν ἐν ταῖς τοιαύταις διαθέσεσι σκοπῶν. ἐργάζεται δὲ τοῦτο κατὰ μὲν τὴν δίαιταν ἅμα τοῖς εἰρημένοις ἔμπροσθεν οἶνος μάλιστα· τῶν δ᾽ ἔξωθεν τῇ γαστρὶ προσφερομένων εὔσαρκον παιδίον συγκοιμώμενον, ὡς ψαύειν ἀεὶ τῶν κατ᾽ ἐπιγάστριον. ἔνιοι δὲ καὶ κυνίδια λιπαρὰ τῆς αὐτῆς ἕνεκα χρείας ἔχουσιν, οὐκ ἐν τῷ νοσηλεύεσθαι μόνον, ἀλλὰ καὶ ὑγιαίνοντες. τὰ μὲν οὖν τοιαῦτα καὶ τοῖς διὰ ξηρότητα μόνην ἀτονοῦσι τὴν κοιλίαν ἐπιτήδεια. καὶ χρὴ περὶ παντὸς ποιεῖσθαι τὸ παιδίον ἄνικμον ἔχειν τὸν χρῶτα· τὰ γὰρ ἐφιδροῦντα διὰ νυκτὸς ψύχει μᾶλ-

ris, abunde erit, faepius autem non expedit, quod ita per halitum discutias, non fanguine bono partem impleas, at nos ex propinquis locis attrahere, non id quod continetur discutere ftudemus. Idem omnibus partibus haud nutritis mirificum medicamentum eft, fi quis eo moderate fciat uti. Sed et calefacere ventriculum, ita ut in qualitate calorem ejus non intendas, fed quam maxime naturale ejus temperamentum tuearis, ac fubftantiam inaugeas, nec is leviffimus eft in ejusmodi affectibus fcoporum. Efficit hoc in victu fimul cum iis quae prius dicta funt maxime vinum; ex iis vero quae ventri extrinfecus applicantur carnofus puellus una fic accubans ut femper abdomen ejus contingat. Sunt qui catellos pingues in hunc ufum habeant, neque id adverfa modo valetudine, verum etiam in profpera; tales itaque iis qui propter ficcitatem quoque folam imbecillum ventriculum habent funt idonei. Servandumque ante omnia eft ne puellus humecta fit cute; qui enim noctu fudore perfun-

λον ἢ θερμαίνει. βλάπτουσι δὲ καὶ αἱ θερμαὶ πυρίαι τὰς τοιαύτας διαθέσεις, αἱ μὲν οὖν ἅμα ξηρότητι συνιστάμεναι, διότι τῶν ὁμοιομερῶν σωμάτων ἐκβόσκονται τὰς νοτίδας· αἱ δὲ σὺν ὑγρότητι τῷ διαφορεῖν τε ταύτας, καὶ μάλισθ᾽ ὅταν ἐπὶ πλέον χρησώμεθα, καὶ τῷ σφόδρα μανὸν ἐργάζεσθαι καὶ τὸ σῶμα καὶ εὔψυκτον. περὶ μὲν οὖν ταύτης τῆς συζυγίας τῶν δυσκρασιῶν ἱκανὰ καὶ ταῦτα.

Κεφ. η'. [170] Μιγνύσθω δ᾽ ἐφεξῆς δαψιλεῖ ξηρότητι, καθάπερ ὑπόκειται, μὴ πάνυ πολλὴ θερμότης. ἐπὶ μὲν τῆς τοιαύτης ὑπαλλάξεως τὴν πρώτην ἀγωγὴν φυλάξομεν, οὐχ ὅπως αὐξάνοντες ἢ τὴν τοῦ οἴνου δύναμιν, ἢ τὸ πλῆθος τοῦ μέλιτος, ἀλλὰ καὶ καθαιροῦντες ὡς μέλιτος μὲν μηδόλως γεύεσθαι, τὸν δ᾽ οἶνον ἥκιστα παλαιὸν προσφέρεσθαι. χλιαρὰ δὲ τὰ ἐδέσματα προσοίσομεν, ἃ καλεῖν ἔθος ἐστὶ τοῖς ἰατροῖς γαλακτώδη· θέρους δ᾽ ὄντος ἃ κα(114)λοῦσι κρηναῖα· καὶ τὴν κοιλίαν ἐπαλείψομεν ὀμφακίνῳ τε καὶ μηλίνῳ· πολὺ δὲ δὴ μᾶλλον ἐὰν πλείων ἡ θερμότης ᾖ, τὸν οἶνον ὑδαρέστερόν τε δώσομεν καὶ οὕτως ἔχοντα ψύξεως ὡς τὸ κρηναῖον ὕδωρ

duntur, refrigerant potius quam calefaciunt. Nocent praeterea tali affectui et calida fomenta, quae quidem ficca funt, eo quod rorem fimilarium corporum depascunt, quae humida funt, quod hunc discutiunt, potiffimum ubi largius his utimur, quod nimis rarum frigorique opportunum corpus efficiunt. Ac de hac intemperierum conjugatione hactenus fit fatis.

Cap. VIII. At deinceps copiofae, ut propofitum eft, ficcitati juncta caliditas efto non admodum multa. In ejusmodi intemperie primum curationis modum fervabimus, fed vini vim mellisque copiam diminuentes, non folum non augentes, ita ut femel prorfus non deguftetur; vinum vero exhibeatur quod minime fit antiquum. Jam cibos apponemus tepentes, quos medici lacteos vocare confueverunt; fed fi aeftas fit, fontanos, fed et ventriculum ungemus oleo tum omphacino tum melino, ac multo fane magis, fi pluscula caliditas fit, ipfum tum aquofius exhibemus, tum fub eo frigore quod fontis aqua per medium ver exhibet, illud

ἐν ἦρι μέσῳ, γινώσκοντες ὡς ἡ τοιαύτη διάθεσις ἀνάλογός ἐστι πυρετῷ· ὅπερ γὰρ ἐκεῖνος ἢ κατὰ σύμπαν τὸ ζῶον, ἢ κατὰ τὴν καρδίαν ἐστὶ, τοῦθ' ἡ νῦν προκειμένη διάθεσις ἐν τῇ γαστρί. καὶ ἐγὼ πρῶτον μὲν ἁπάντων οἶδά τινα θεασάμενος ἅμα τοῖς διδασκάλοις ἄνδρα τῆς καθεστώσης ἡλικίας, ἐνοχλούμενον ἤδη μηνῶν οὐκ ὀλίγων· ἀλλ' οὔτ' ἐκείνων τις ἐγίνωσκε τὴν διάθεσιν οὔτ' ἐγώ· μετὰ ταῦτα δ' ἀνεμνήσθην εὑρηκὼς ἤδη τὴν θεραπευτικὴν μέθοδον, ὡς τοῦτ' ἄρ' ἦν ἐκεῖνο τὸ θεωρηθέν μοι πάλαι. κάλλιον δ' αὐτὸ καὶ διηγήσασθαι, πάντως γὰρ δή που καὶ τοὺς ἀκούσαντας ὀνήσει, καθάπερ κἀμέ. τετταρακοντούτης μὲν ἦν ὁ ἄνθρωπος, ἕξεως δὲ συμμέτρου κατὰ πάχος καὶ λεπτότητα κατὰ τὸν τῆς ὑγείας χρόνον. ἐδίψα δὲ σφόδρα καὶ μισεῖν ἔφασκε τὸ θερμὸν, ἐδίδου δ' αὐτῷ οὐδεὶς ψυχρὸν ἱκανῶς λιπαροῦντι· πυρέττειν μέντοι τοῖς ἰατροῖς οὐκ ἐδόκει· καὶ ἡ γαστὴρ ἐξέκρινε τὰ ληφθέντα τριῶν ἢ τεττάρων ὡρῶν ὕστερον ἅμα τῷ ποτῷ. ταῦτ' ἄρα καὶ ἰσχνὸς ἦν ἤδη καὶ πλησίον ἀφῖκτο κινδύνου,

nobis persuadentes, ejusmodi affectum febri proportione respondere; nam quod illa vel in toto animali vel in corpore est, id propositus nunc affectus in ventriculo est. Atque ego scio me una cum praeceptoribus primum omnium vidisse hominem quendam maturae aetatis non paucos jam menses vexatum; sed nec eorum quisquam affectum ejus intellexit, nec etiam ego; postea vero quum jam medendi methodum invenissem, venit mihi in mentem hunc utique *illum esse affectum*, quem olim fueram contemplatus. Melius autem est, cum etiam exponere, nam utilis omnino erit iis qui audierint non secus ac fuit mihi. Homo erat quadragenarius, medio, dum recte valebat, crassitudinis et gracilitatis habitu. Is vehementer sitiebat ac calidam aversari se dicebat, quum illi frigidam nemo daret, tametsi hanc impense flagitabat, febricitare tamen medicis non videbatur, et ventriculus quae sumpserat tribus aut quartuor horis post excernebat, simul cum potione. Itaque gracilis jam effectus erat, ac periculo propinquus, minime videlicet adju-

μηδὲν ὀνινάμενος ὑπὸ τῶν αὐστηρῶν καὶ στρυφνῶν ἐδεσμάτων τε καὶ φαρμάκων. ἐλάμβανε δὲ καὶ οἶνον αὐστηρὸν ἐπὶ τῇ τροφῇ οὗτος ὁ ἄνθρωπος, ἅμα μὲν οὐκέτι φέρων τὸ δίψος, ἅμα δὲ καὶ, ὡς ἔφασκεν, ἑλόμενος ἀποθανεῖν μᾶλλον ἢ ζῇν ἀνιώμενος. ὕδατος ψυχροῦ δαψιλὲς ἀθρόως ἐπὶ τῇ τροφῇ προσενεγκάμενος αὐτίκα μὲν ἐπαύσατο διψῶν, ἐξήμεσε δ᾽ ὀλίγον ὕστερον τὸ πλεῖστον. φρικῶδες δὲ τοὐντεῦθεν γίνεται τὸ σύμπαν σῶμα καὶ δεῖται σκεπασμάτων πλειόνων ἀποῤῥίπτων ἔμπροσθεν ἅπαντα· τό τε οὖν λοιπὸν ἅπαν τῆς ἡμέρας ἐφεξῆς τοῦτο ἔπραξε καὶ δι᾽ ὅλης νυκτὸς ἐφ᾽ ἡσυχίας ἔμεινεν, ἐνθάλπων ἑαυτὸν ἐπιβλήμασιν. ἐξέκρινε δ᾽ ἅπαξ ἡ γαστὴρ αὐτῷ μετρίως συνεστῶτα διὰ μέσης νυκτός· ὥστε οὐδὲ διψώδης ἦν ἔτι κατὰ τὴν ὑστεραίαν, εὐχρούστερός τε μακρῷ καὶ ἰσχυρότερος ἀπείργαστο. καὶ σκέψις μὲν ἐγένετο τοῖς ἰατροῖς εἰ λουστέον αὐτὸν, ἐνίων μὲν κελευόντων, ἐνίων δ᾽ ἀπαγορευόντων· ἐκράτει δὲ ἡ τοῦ λούειν δόξα. καὶ τοίνυν λουσάμενος εὐφόρως, μετρίως τε διῃτήθη καὶ κρεῖττον ἢ κατὰ τὴν προτεραίαν ἔπεψεν ἡ γαστήρ. ἐμέμψατο δὲ τὴν

tus ab aufteris acerbisque tum cibis tum medicamentis. Sumebat vero et poft cibum aufterum vinum is homo, quum nec ultra fitim toleraret, ac, ut ajebat, mori mallet quam in cruciatu vivere. Aquam frigidam fimul multam fuper cibum hauriens protinus fitire deftitit, paulo vero poft plurimum evomuit. Abhinc horrorem in toto corpore fenfit, pluraque operimenta poposcit, quum prius omnia abjiceret, tunc igitur reliquum totum diem quo id fecit noctemque totam in quiete egit, cooperimentis fe fovens. Venter vero circa mediam noctem femel excrevit quae mediocriter erant coacta; itaque nec fiticulofus praeterea erat poftero die, tum coloratior multo tum firmior eft effectus. Ac deliberant jam medici an hominem lavare expediret, alii quidem fuadentes, alii diffuadentes, vicit autem fententia eorum qui lavare *fuaferunt*. Itaque etiam lavatus citra offenfam eft, ac modice cibatus, tum melius ei quam pridie venter concoxit. Queftus autem eft quod difficulter transglutiret,

κατάποσιν ὡς δυσχερῆ καὶ πᾶσιν ἐδόκει διὰ τὸν ἔμετον ἀήθως γενόμενον ἐσπαράχθαι τι καὶ κάμνειν τὸν στόμαχον, ὡς δὲ καὶ τῶν ἑξῆς ἡμερῶν ἔμενε τὸ σύμπτωμα, δῆλον ἐγίγνετο πᾶσιν ἡμῖν ὡς ἡ μὲν γαστὴρ ἐθεραπεύθη τὴν ἀτονίαν, ὁ στόμαχος δὲ ἐψύχθη. καὶ οὐδὲν ἄρα θαυμαστὸν ἦν εἰς συμμετρίαν μὲν ἐπανελθεῖν τῇ πόσει τὸ ὑπερτεθερμασμένον, ψυχθῆναι δὲ τὸ μετρίως θερμόν. [171] οὐ μὴν οὐδὲ ἠδυνήθη τις αὐτοῦ θεραπεῦσαι τὸν στόμαχον, ἀλλ' ἕτερον ἀνθ' ἑτέρου κακὸν ἀνταλλαξάμενος ἐτελεύτα τῷ χρόνῳ. ἄλλον δὲ τοιοῦτον ἔτεσιν ὕστερον οὐκ ὀλίγοις ἐθεασάμην, ἤδη διαγινώσκειν εἰδὼς ἁπάσας τῆς γαστρὸς τὰς δυσκρασίας, ἐδόκει μοι δὴ ψύχειν ἀγωνιστικώτερον εὐθέως πρὶν ἐπὶ πλέον λεπτυνθέντα παραπλήσιόν τι τῷ πρόσθεν ἐπὶ τῇ ψύξει παθεῖν. ἀσφαλέστερον οὖν ἐφαίνετό μοι τὴν πρώτην ἀποπειραθῆναι τῶν κατὰ τὸ ὑποχόνδριον ἐπιτιθεμένων ψυκτηρίων φαρμάκων. καὶ οὕτω πράξαντος ἠλαττώθη μὲν τὸ καῦμα τῆς κοιλίας, ἀνέπνει δὲ τοῖς στενάζουσιν ὁμοίως ὁ ἄνθρωπος, ὡς μόλις κινῶν ὅλον τὸν θώρακα. καὶ μέντοι καὶ αὐτὸς ἀνερωτώμε-

visumque omnibus est propter vomitum, qui praeter consuetudinem inciderat, vellicatam illi gulam fuisse ac proinde male habere. Caeterum ut etiam sequutis diebus symptoma permansit, constabat nobis omnibus ventriculi imbecillitatem esse sanatam, gulam autem esse perfrigeratam. Nec sane mirandum erat, si potione illa quod immodice calefactum erat, ad symmetriam est reversum et quod mediocriter calebat, fuisse refrigeratum. Caeterum gulam ejus nemo potuit sanare, sed vitio in vitium mutato tandem mortuus est. Alium vero huic similem non paucis annis post vidi, quum omnem ventriculi intemperiem dignoscere jam possem, visum igitur est mihi statim majore conatu refrigerandum esse priusquam homo magis extenuatus simile quippiam priori ex refrigeratione pateretur. Tutius igitur visum est primum, refrigerantia medicamenta quae praecordiis imponuntur experiri. Quo ita facto aestus sane ventriculi est remissus, caeterum homo suspiranti similiter respirabat, tanquam aegre totum

νος ὡμολόγει τοιούτου τινὸς αἰσθάνεσθαι παθήματος. ἔγνων οὖν ἐψῦχθαι τὰς φρένας αὐτῷ· καὶ διὰ τοῦτο ἀποῤῥίψας τὰ ψυκτήρια, κατήντλουν ἐλαίῳ θερμῷ. τάχιστα δὲ τῆς ἀναπνοῆς ἀπολαβούσης τὸν κατὰ φύσιν ῥυθμὸν, ἐπαυσάμην μὲν τῆς αἰονήσεως, ἔγνων δὲ μετρίως αὐτὸν ψύχειν ἐν χρόνῳ πλείονι. τά τε οὖν ἔξωθεν ἐπιτιθέμενα κάτω μᾶλλον ἐπετίθην ἀποχωρῶν τοῦ διαφράγματος, ὡς ἐπὶ τὸν ὀμφαλόν· ἅπαντά τε τὰ ἐσθιόμενα καὶ τὰ πινόμενα πλὴν τοῦ γάλακτος ἐδίδων ψυχρὰ, παραπλησίως ὕδατι κρηναίῳ. καὶ οὕτως ἐν χρόνῳ πλείονι κατέστη, μηδὲν τῶν ἄλλων βλαβείς. ἰστέον δέ σοι καὶ τοῦτο πρὸ πάντων, ὡς ἐπειδὰν μὲν ἰσχυρῶς ἀλλοιωθῇ κατ᾽ ἀμφοτέρας τὰς ποιότητας ὁτιοῦν μόριον, ἀπόλλυται τὸ ἔργον αὐτοῦ σύμπαν. οὐ ῥᾴδιον δὲ οὐδὲ τὸ οὕτω διατεθὲν ἐπανελθεῖν εἰς τὸ κατὰ φύσιν. ἐπειδὰν δὲ ἡ ἑτέρα μόνη ποιότης ἐπὶ πλέον ὑπαλλαχθῇ, καθάπερ νῦν ὑπεθέμεθα τὴν ξηρότητα, τῶν δ᾽ ἄλλων τις ᾖ μετρία, δυνατὸν ἰάσασθαι τὸν οὕτω διακείμενον ἄνθρωπον.

thoracem moveret. Quin ipſe quoque interrogatus talem quampiam ſentire ſe affectionem ſatebatur. Adverti itaque illi transverſum ſeptum refrigeratum eſſe, proindeque abjectis refrigeratoriis ſovi locum oleo calido. Quum autem reſpiratio ſtatim naturalem motus ſui ordinem recepiſſet a fovendo deſtiti, ſtatui autem hominem longiore ſpatio moderate refrigerare. Ergo et quae extrinſecus refrigeratoria applicui infra magis impoſui, a ſepto umbilicum verſus recedens, et cibum potionemque omnem, excepto lacte, ſub fontanae aquae frigiditate exhibui. Atque ita longiore ſpatio ſanatus eſt, nusquam alibi offenſus. Scire tamen illud ante omnia debebis, ubi valide in ambabus qualitatibus immutata pars quaevis eſt, omnem ejus actionem perire, nec facile quod ſic eſt affectum, ad ſuam naturam reverti poſſe. Ubi vero altera tantum qualitas plusculum immutata eſt, veluti nunc ſiccitatem ſinximus, reliquarum autem aliqua mediocriter ſe habet, utique qui ita affectus eſt ſanari poteſt.

Κεφ. θ΄. Ὑποκείσθω δὴ πάλιν ἐπικρατεῖν μὲν τὴν θερμὴν δυσκρασίαν, μίγνυσθαι δ᾽ αὐτῇ ποτὲ μὲν ὑγρότητα, ποτὲ δὲ ξηρότητα, μετρίαν ἑκατέραν, καὶ προτέραν γε τὴν ὑγρότητα. τὴν τοιαύτην δυσκρασίαν ἀδεέστερον ὕδατι θεραπεύσομεν ψυχρῷ διὰ τὸ μὴ βλάπτεσθαι πρὸς αὐτοῦ τὰ γειτνιῶντα μετρίως διακείμενα. κατὰ γὰρ τὰς ξηρὰς διαθέσεις ἀναγκαῖόν ἐστιν οὐ τὰ πλησιάζοντα μόνον, ἀλλὰ τὸ σύμπαν ἰσχνότερον γενέσθαι τὸ σῶμα· τῆς κοιλίας δ᾽ αὐτῆς μηδέπω κατεξηρασμένης, ὡς ὑπόκειται νῦν, οὐδὲ τὸ σύμπαν σῶμα λεπτύνεσθαι δυνατόν· ὥστε οὐδὲ βλάπτεσθαι τῇ πόσει τοῦ ψυχροῦ. εἰ δ᾽ οὕτω ποτὲ ἰσχυρὰ δυσκρασία θερμότητος εἴη κατὰ τὴν κοιλίαν ὡς μέχρι τῆς καρδίας ἐξικνεῖσθαι, πυρέττειν ἀνάγκη τὸν ἄνθρωπον· ὥστε καὶ τὸν κίνδυνον ὀξύτερον εἰκὸς ἕπεσθαι ταῖς τοιαύταις δυσκρασίαις· ἡ δ᾽ ἴασις ἡ αὐτὴ μὲν κατὰ γένος, εἰρήσεται δὲ αὖθις ἐν ταῖς θεραπείαις τῶν πυρετῶν. ἡ δὲ μετὰ ξηρότητος θερμότης τοῖς αὐτοῖς μὲν ὑπάγεται κατὰ γένος, οὐ μὴν ὁμοίως γε ἀδεὴς τῶν ψυχόντων ἡ χρῆσίς ἐστι, δι᾽ ἃς εἶπον αἰτίας. ἡ δὲ ὑγρὰ δυσκρασία καὶ

Cap. IX. Proponamus itaque rurfus exfuperare intemperiem calidam, huic autem adjunctam elfe modo humiditatem, modo ficcitatem, fed mediocrem utramque ac prius humiditatem. Hanc intemperiem minore metu aqua frigida curabimus, quando minime ex ea laedentur vicinae partes, quae mediocriter fe habeant. Nam in ficcis affectibus necelfe eft, non ea modo quae proxima funt, fed etiam totum corpus gracilius reddi, ventriculo autem ipfo nondum ficcato, ut nunc eft propofitum, nec totum attenuatum elfe corpus poteft, quare nec frigidae potu laedi. Si vero adeo vehemens caloris intemperies ventriculi fuerit ut usque ad cor ipfum perveniat, febricitare hominem necelfe eft, proindeque ejusmodi intemperiem gravius periculum infequi, fanatio tamen genere eadem eft; tradetur autem poftea ubi de febrium curatione differetur. Qui autem cum ficcitate conjunctus calor eft, eadem genere remedia pofcit, caeterum non adeo fecurus eft refrigerantium ufus propter eas quas retuli caufas. Humida vero intemperies five fola con-

μόνη συστᾶσα πασῶν ἐστιν εὐιατοτάτη καὶ μετὰ θερμότητος ἢ ψυχρότητος ἐπιπλεκομένη. καὶ διότι γε συνεχῶς αἱ τρεῖς αὗται δυσκρασίαι καταλαμβάνουσι τὴν γαστέρα καί εἰσιν ἰαθῆναι ῥᾷσται, τὴν θεραπείαν δὲ ἀεὶ τούτων ἔχοντες ἐν μνήμῃ, πάντες οἱ χωρὶς μεθόδου θεραπεύοντες τὰς νόσους ἐπὶ τὰς ἄλλας, ὡς εἴρηται, μεταφέρουσιν ἀγνοοῦντες ὅτι πλείους εἰσίν. [172] ἔστι δὲ δήπου τῆς μὲν ὑγρᾶς δυσκρασίας μόνης συνισταμένης βοηθήματα τὰ ξηραίνοντα τῶν ἐδεσμάτων, ἄνευ τοῦ θερμαίνειν ἢ ψύχειν ἰσχυρῶς· ἔτι τε πρὸς τούτοις ἔνδεια τῶν συνηθῶν ποτῶν· τῶν δὲ μετὰ θερμότητος ἡ στυφόντων ἐδεσμάτων καὶ ποτῶν χρῆσις· ἔστω δὲ καὶ ταῦτα χωρὶς τοῦ θερμαίνειν αὐστηρὰ, καὶ μὲν δὴ καὶ τὸ ψυχρὸν ποτὸν ἐπιτήδειον αὐτοῖς. τῆς δὲ μετὰ ψύξεως ὑγρᾶς δυσκρασίας ἄριστα μὲν ἰάματα τὰ δριμέα σύμπαντα· μιγνύσθω δ᾽ αὐτοῖς καὶ τὰ στρυφνὰ χωρὶς τοῦ ψύχειν σαφῶς. ἄριστον δ᾽ ἴαμα καὶ τούτοις ὀλίγιστον πόμα καὶ τοῦτό τις τῶν θερμαινόντων ἰσχυρῶς οἴνων· εὔδηλον δὲ καὶ ὡς ὁ τοιοῦτος οὐδὲ νέος ἐστίν. ἀνάλογον δὲ τοῖς ἐσθιομένοις

fiftat, five cum calore frigoreve conjuncta fit, omnium facillime curatur. Et quoniam tres hae intemperies creberrime ventriculum affligunt funtque curatu facillimae, harum curationem femper in memoria habent quicunque absque methodo morbis medentur, ac ad alias eam intemperies, ut dictum eft, transferunt, ignorantes videlicet plures effe. Sunt autem ipfius humidae intemperiei quum fola confiftit remedia cibi qui citra valentem calefactionem refrigerationemve ficcent; praeterea confuetae potionis parcitas, ejus autem quae cum caliditate conjuncta eft, adftringentium et ciborum et potionum ufus, fint autem et hi aufteri fine calefactione, quin et frigida potio eis eft conveniens. At intemperiei quae cum frigiditate humida eft conjuncta optima praefidia funt acria omnia, quibus admifceri debebunt acerba, fed citra manifeftum frigus fint. Optimum eft et his praefidium exigua potio, atque ea vini cujusquam infigniter calentis, conftat autem id minime novum effe. Ad proportionem vero eorum quae comefta et bibita

καὶ πινομένοις (115) καὶ τἄλλα ἔστω σύμπαντα τὰ ἔξωθεν προσαγόμενα.

Κεφ. ί. Ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, πάλιν ἐπ' ἀρχὴν τὸν λόγον ἀναγαγόντες, ἀθροίσωμεν αὐτοῦ τὰ κεφάλαια. τὴν μὲν οὖν θερμὴν δυσκρασίαν ψυκτέον ἐστὶ, τὴν δὲ ψυχρὰν θερμαντέον· οὕτω δὲ καὶ τὴν μὲν ὑγρὰν ξηραντέον, τὴν δὲ ξηρὰν ὑγραντέον. εἰ δὲ κατὰ συζυγίαν τινὰ εἴη γεγενημένη, μιγνύειν ἀμφοτέρους τοὺς σκοποὺς, τὴν μὲν ὑγρὰν καὶ θερμὴν ξηραίνοντας καὶ ψύχοντας, τὴν δ' ὑγρὰν καὶ ψυχρὰν ξηραίνοντας καὶ θερμαίνοντας· οὕτως δὲ καὶ ξηρὰν καὶ θερμὴν ὑγραίνοντας καὶ ψύχοντας, τὴν δὲ ψυχρὰν καὶ ξηρὰν ὑγραίνοντας καὶ θερμαίνοντας. ἁπασῶν δὲ χειρίστην ἰστέον εἶναι τῶν μὲν ἁπλῶν τὴν ξηρὰν, τῶν δὲ συνθέτων τὴν ξηράν τε ἅμα καὶ ψυχράν. ἐν τούτῳ μὲν ἡμῖν τέλος ἐχέτω τὰ περὶ τῆς δυσκρασίας τῆς γαστρὸς, ἄνευ περιττῆς τινος ἔξωθεν ὑγρότητος.

Κεφ. ιά. Ἑξῆς δ' ἐπὶ τὰς διά τι τοιοῦτο γιγνομένας ἴωμεν τῷ λόγῳ. πολλάκις μὲν οὖν ἐν αὐτῷ τῷ κύτει τῆς

funt, etiam reliqua omnia quae foris applicantur adhiberi debebunt.

Cap. X. At quoniam de his abunde tractatum eft, repetito rurfus fermonis initio, capita ejus colligamus. Calida ergo intemperies refrigeranda eft, frigida vero calefacienda, fimiliter humida ficcanda et ficca humectanda. Quod fi per copulationem aliquam duarum qualitatum intemperies confiftat, miscendi amborum fcopi funt, ac quae humida calidaque eft ficcanda et refrigeranda, quae vero humida et frigida ficcanda ac calefacienda, ad eundem modum ficca et frigida humectanda ac calefacienda, ficca vero et calida humectanda et refrigeranda. Scire vero licet omnium harum peffimam effe inter fimplices ficcam, in compofitis ficcam fimul et frigidam. Atque hoc loco finem habeant ventriculi intemperies, quas fcilicet extrinfecus nullus alit fupervacuus humor.

Cap. XI. Deinceps ad eas quae ex ejusmodi quapiam occafione fiunt ftilum convertam. Saepe igitur in ipfa

κοιλίας τι περιεχόμενον ὑγρὸν ἤτοι θερμαίνειν, ἢ ψύχειν, ἢ ὑγραίνειν, ἢ ξηραίνειν αὐτὴν πεφυκὸς, ἢ κατὰ συζυγίαν τινὰ τούτων ποιεῖν· ἐνίοτε δ᾽ εἰς αὐτοὺς τοὺς χιτῶνας, ὡς ἂν εἴποι τις, ἀναπεπωμένον, ἢ ἐμπεπλασμένον ἐργάζεται τὴν δυσκρασίαν. ἡ μὲν οὖν προτέρα διάθεσις εἰ μὲν ἅπαξ συσταίη, δι᾽ ἐμέτων ἐκκαθαρθεῖσα καθίσταται ῥαδίως· εἰ δ᾽ αὖθις καὶ αὖθις ἐξ ἑτέρου τινὸς ἢ ἑτέρων ἐπιῤῥέοι μορίων, ἀκριβοῦς δεῖται τῆς διαγνώσεως. ἡ θεραπεία δ᾽ εὐθέως ἐπακολουθήσει τῇ γνώσει τῆς ποιούσης αἰτίας. ἐλέχθη γὰρ ἡμῖν ἔν ἄλλοις τέ τισι κἂν ταῖς τῶν πυρετῶν διαφοραῖς ὡς ἐπιῤῥεῖ πολλάκις ἐξ ἑτέρων μορίων ἑτέροις, ἡ περιουσία· καθάπερ, εἰ οὕτως ἔτυχε, τῶν κατὰ τὴν κεφαλὴν τοῖς ὀφθαλμοῖς. ἔνθα χρὴ τὰ πέμποντα θεραπεύοντα μόρια μόνου τοῦ τόνου προνοεῖσθαι τῶν ὀφθαλμῶν, ὡς μὴ ῥαδίως δέχοιντο μηδὲν τῶν ἐπιῤῥεόντων αὐτοῖς. οὕτως οὖν χρὴ καὶ ἐπὶ τῆς κοιλίας εὑρόντα τὸ πέμπον τὰ περιττὰ σύμπασαν μὲν ἐκείνῳ προσάγειν τὴν θεραπείαν, τῆς γαστρὸς δὲ προνοεῖσθαι τοσοῦ-

cavitate ventriculi contentus humor, qui aut calefaciendi aut perfrigerandi aut humectandi aut ficcandi, aut etiam horum aliqua per conjugationem efficiendi naturam obtinet, intemperiem creat; interdum vero et in ipfas ventriculi tunicas, ut ita dicam, imbibitus five impactus. Ergo prior affectus fi femel confiiterit, per vomitum expurgatus facile quiescit. Sin rurfus ex alia quapiam vel aliis partibus confluit, diligenter dignosci indiget. Curatio vero poft effectricis caufae cognitionem ftatim fe exhibet. Dictum enim nobis eft tum alibi tum vero in iis quae de differentiis febrium fcripfimus, confluere nonnunquam ex aliis in alias partes id quod in his redundat, veluti, fi ita fors tulerit, ex capite ad oculos. Quo cafu oportet curata ea parte quae transmittit, duntaxat firmitati profpicere oculorum, quo videlicet eorum quae ad fefe confluunt minus prompte quicquam admittant. Ita igitur et in ventriculi affectu oportet, ubi quod fupervacuum transmittit inveneris, omnem huc curationem conferre, de ventriculo autem tantifper effe

τον μόνον, ὡς μὴ ῥᾳδίως δέχοιτο τὰ ἐπιῤῥέοντα. γένοιτο δ' ἂν, οἶμαι, τοῦτο κατὰ διττὸν τρόπον· ἕνα μὲν τὸν κοινὸν ἁπάντων ῥευμάτων, ἀναστέλλεται γὰρ ὑπὸ τῶν στυφόντων· ἕτερον δὲ καὶ τοῦτον κοινὸν ἁπάντων τῶν εἰς εὐεξίαν ἀγομένων μορίων ὑπὸ τῆς ἐν τῇ κράσει συμμετρίας. [173] ἐπισκέπτεσθαι τοιγαροῦν ὅλον μὲν τὸ σῶμα πρότερον χρὴ, εἰ περιττωματικὸν ἢ πληθωρικὸν ὂν ἐπιπέμπει ῥεῦμα τῇ γαστρί· δεύτερον δ', εἰ μὴ τοῦτο φαίνοιτο, τὸ καθ' ἓν ἕκαστον τῶν μορίων σκοπεῖσθαι. κατὰ μὲν δὴ τὴν τοῦ παντὸς σώματος ἐπίσκεψιν ἔμαθες μὲν καὶ τὰ τοῦ πλήθους καὶ τὰ τῶν περιττωμάτων γνωρίσματα διά τε τῆς ὑγιεινῆς πραγματείας καὶ τοῦ περὶ πλήθους βιβλίου. προσεπισκέπτου δ' αὐτοῖς καὶ τάδε· πρῶτον μὲν ἐπὶ γυναικῶν, εἰ μὴ καθαίρονται κατὰ φύσιν· ἑξῆς δ' ἐπ' ἀνδρῶν, εἰ ἡ συνήθης ἔκκρισις ἐπέσχηται. πολλοῖς μὲν γὰρ αἱμοῤῥοΐς εἴθισται τὸ περιττὸν ἐκκενοῦν· ἐνίοις δ' αἱμοῤῥαγίαι διὰ ῥινῶν, ἢ ἔμετος, ἤ τι κατ' ἄλλον τινὰ τόπον ἐν ὡρισμέναις περιόδοις ἀποστομούμενον ἀγγεῖον· οἶδα γοῦν ἐν στόματι καὶ φάρυγγι πολλοῖς τοῦθ' ὑπάρχον.

folicitum, ne quae confluant prompte recipiat. Id duplici, ut arbitror, ratione fiet, una omnium fluxionum communi, quippe quae ab adftringentibus repelluntur; altera vero et ipfa omnium partium quae ad bonam habitudinem reducuntur communi, nempe ex ipfarum temperiei fymmetria. Ergo primum infpiciendum totum corpus eft, an excrementofum, an plethoricum, fluxionem ventriculo immittat; fecundo, fi id non videatur, fingulae partes expendendae. Atque in toto quidem corpore aeftimando tum plenitudinis tum excrementorum notas et ex opere de fanitate tuenda et ex libro de plenitudine didicifti. Super has tamen illa quoque aeftimabis, primum quidem in mulieribus, an naturaliter non purgentur; mox in viris, an excretio aliqua confueta his retenta fit. Plerisque haemorrhoides vacuare fuperflua confueverunt. Aliis profluens e naribus fanguis aut vomitus, aut alio quopiam modo in certis periodis vas aliquod reclufum; novi enim tum in ore tum in faucibus

ἔστι δ᾽ οἷς καὶ διὰ γαστρὸς αἵματος ἔκκρισις ἀνὰ χρόνον γίγνεται, καὶ μάλισθ᾽ ὅσοι γυμνασίων ἰσχυρῶν ἀποστάντες οὐκ ἀπέστησαν τῆς ἔμπροσθεν διαίτης, ἤ τι κῶλον ὅλον ἀφῃρέθησαν, ὡς ἐδήλωσε καὶ ὁ Ἱπποκράτης. ἐνίοις δὲ καὶ διάῤῥοιαι καὶ χολέραι διὰ χρόνων τινῶν γιγνόμεναι κενοῦσιν ἅπαντος τοῦ σώματος τὴν περιουσίαν. ἐπὶ δὲ τοῖσδε σκεπτέον ὁποίᾳ τινὶ κέχρηται διαίτῃ· πότερον ἀπεψίαις πλείοσιν, ἢ πλησμοναῖς, ἐν ἀργῷ βίῳ καὶ μάλιστα παρὰ τὸ ἔθος, ἢ τοὐναντίον. εἶθ᾽ ἑξῆς ἐπισκεπτέον εἰ μέλος ἄλλο τοῦ σώματος ἐνοχλούμενον ἐν περιόδοις τισὶ χρόνων οὐκ ἐνοχλεῖται νῦν. ἐνίοις μὲν γὰρ ἀρθρῖτις, ἢ ἰσχιὰς, ἢ ποδάγρα· κεφαλαία δ᾽ ἄλλοις, ἢ εἰς ὀφθαλμοὺς ἢ εἰς ὦτα κατασκῆπτον ῥεῦμα μετέστη νῦν εἰς τὴν γαστέρα. πολλοῖς δὲ καὶ κατάῤῥοι καὶ κόρυζαι συνεχῶς γινόμεναι μεθίστανται κατά τινα χρόνον εἰς τὰ κατὰ τὴν γαστέρα χωρία. ταῦτ᾽ οὖν ἅπαντα κατασκεψάμενος, εἰ μὲν ἐξ ἀκυρωτέρων ἡ μετάστασις εἴη γεγενημένη, πρὸς ἐκεῖνα πάλιν ἀντισπάσεις τὸ περιττεῦον· εἰ δ᾽

id multis contingere. Non desunt quibus et per ventriculum sanguinis expulsio certo tempore fiat, ac potissimum iis qui quum vehementem exercitationem deposuerunt, a priore tamen victu non destiterunt; aut etiam artuum toto aliquo sunt privati, veluti etiam Hippocrates declaravit. Sunt quibus diarrhoeae et cholerae certis intervallis omnem corporis redundantiam educant. Ab his illud aestimandum, quanam victus ratione sit usus, utrumne frequenti cruditati aut satietati inciderit, idque in ociosa vita ac praecipue praeter consuetudinem, an contra. Illud deinde perpendendum, an aliud membrum corporis certo temporum circuitu vexari solitum nunc non vexetur. Aliis enim articularis morbus aut coxendicus aut podagra, aliis cephalaea aut etiam fluxio aliqua quae in oculos vel aures procubuit, nunc migravit ad ventriculum. Multis vero catarrhi et coryzae assidue oborientes certo tempore in ventriculi loca transferuntur. His igitur omnibus consideratis, siquidem ex minus principalibus translatio facta est, quod superfluum est, rursus ad

ἐκ κυριωτέρων, ἀμφοῖν ὁμοίως προνοήσεις τὴν ἐργαζομένην τὸ ῥεῦμα διάθεσιν ἐκκόπτων ἀεί. γίγνοιτο δ' ἂν τοῦτο πάντα μὲν εἰς εὐεξίαν ἀγόντων ἡμῶν τὰ τοῦ σώματος μόρια, πάσας δὲ τὰς φυσικὰς ἐκκρίσεις εὔρους ἀεὶ παρασκευαζόντων. ὅπως δ' ἄν τις ἐργάζοιτο ταῦτα διὰ τῆς ὑγιεινῆς πραγματείας δεδήλωται. πρόδηλον δ' ὅτι κἂν εἰ διὰ πληθώραν ὅλου τοῦ σώματος ἡ γαστὴρ δέχηται ῥεῦμα, τὸ σύμπαν σῶμα κενωτέον ἐστίν. ὥσπερ γε καὶ εἰ διὰ κακοχυμίαν, ἐκείνην ἐκκαθαίρειν προσήκει, κᾄπειθ' οὕτως ἐπ' αὐτὴν ἰέναι τὴν γαστέρα. πάντως γὰρ δήπου πλείοσιν ἡμέραις εἰς αὐτὴν ἐνηνεγμένων τῶν περιττῶν ἀπήλαυσέ τι τῆς μοχθηρίας αὐτῶν. ὥστε ἐν καιρῷ χρήσαιτ' ἂν ὁ οὕτω κάμνων ἀψινθίῳ ποτῷ. δήλη δ' οἶμαί σοι καὶ ἡ μετὰ ταῦτα πρόνοια μέχρι τοῦ τὴν ἔμπροσθεν ἕξιν ἀνακτήσασθαι τῇ γαστρί. κατὰ γάρ τοι τὴν κρᾶσιν τοῦ λυπήσαντος αὐτὴν ῥεύματος ἔστιν ὅτε δύσκρατος γενομένη τῶν ἐναντίων εἰς ἐπανόρθωσιν ἰαμάτων δεῖται. ῥᾷστον δὲ δήπου τὴν τοιαύτην ἰάσασθαι βλάβην,

ea revelles. Sin ex principalioribus, ambobus ſimul conſules, eum ſemper ſubmovens affectum qui fluxionem excitet. Fiet id ſi omnes corporis partes ad bonam habitudinem reducamus, ac omnes naturales excretiones fluxiles ſemper reddamus. Haec quemadmodum efficere poſſis in opere de ſanitate tuenda eſt praeceptum. Nec illud latet, ſi propter aequalem totius corporis plethoram ventriculus fluxione tentatur, totum corpus vacuandum eſſe. Simili modo ſi propter cacochymiam, eam purgandam eſſe atque ad ventriculum veniendum. Prorſus enim quum plures jam dies delata in eum ſupervacua ſint, aliquid vitii ex malitia eorum contraxit. Itaque non intempeſtive qui ita laborat abſinthii potione utetur. Sed nec quae poſtea adhibenda providentia ſit, quoad ventriculo priſtinum habitum recuperaris latere arbitror. Quippe ſi pro temperamento noxiae fluxionis intemperie aliquando laboret, corrigi nimirum per contraria praeſidia poſtulat. Facillimum vero eſt ejusmodi noxam corrigere,

ὅταν ὀλίγων ἡμερῶν ᾖ. ὡς εἴ γε δι᾽ ἀπορίαν τῶν ἰασομένων διαμείνῃ χρόνῳ πλείονι, ποτὲ μὲν οἱ χιτῶνες αὐτῆς ἐμπίπλανται τῆς κακοχυμίας, ἔστι δ᾽ ὅτε καὶ αὐτὸ τὸ ὁμοιομερὲς αὐτῶν σῶμα δύσκρατον ἱκανῶς γενόμενον ὁμοίας χρήζει θεραπείας τῇ λελεγμένῃ πρόσθεν ἐν τῷδε τῷ λόγῳ τῶν δυσκρασιῶν. ὑπόλοιπον οὖν ἐστι διελθεῖν ὅπως ἄν τις ἰῷτο τὰς ἐν τοῖς χιτῶσι τῆς γαστρὸς κακοχυμίας. ἔστι δὲ ἐπιτήδεια πρὸς τὰς τοιαύτας διαθέσεις φάρμακα [174] τῷ γένει μὲν ἐκ τῶν καθαιρόντων μετρίως, ὡς μὴ προϊέναι τὴν δύναμιν αὐτῶν ἀνωτέρω τῶν κατὰ γαστέρα τε καὶ τὰ ἔντερα χωρίων· ἢ εἴπερ ἄρα πρὸς τούτοις, ἅπτεσθαι τῶν κατὰ τὸ μεσεντέριον ἀγγείων. ἐν εἴδει δὲ τὰ διὰ τῆς ἀλόης ἐστὶ κάλλιστα καὶ αὐτὴ καθ᾽ αὑτὴν ἡ ἀλόη, μὴ παρόντων ἐκείνων. ἄπλυτος μὲν οὖν ἱκανώτερον ἐκκενοῖ, πλυθεῖσα δὲ ἧττον μὲν καθαίρει, ῥώννυσι δὲ μᾶλλον τὴν γαστέρα. χρὴ τοίνυν ἔχειν τὴν καλουμένην ἤδη πρὸς ἁπάντων τῶν ἰατρῶν πικρὰν, ἐσκευασμένην διττῶς, ἐξ ἀπλύτου τε καὶ πεπλυμένης ἀλόης. μίγνυται δὲ αὐτῇ κινναμώμου τε καὶ ξυλοβαλσάμου καὶ ἀσάρου

ubi paucos duravit dies. Nam fi ob confilii inopiam ejus qui curaffet longiore fpatio permanfit, aliquando tunicae ejus malo fucco implentur, aliquando ipfa fimilaris earum fubftantia intemperata non leviter effecta, fimilis curae indiget ei, quam prius de intemperiebus in hoc libro retulimus. Reliquum igitur eft ut exponamus quemadmodum curari fuccus vitiofus debeat, qui in ventriculi tunicis eft receptus. Sunt porro ad ejusmodi affectus idonea medicamenta, genere quidem ea quae moderate purgant, fic ut eorum vis fuper ventriculi et inteftinorum loca non ascendat, aut fi quid ultra, vafa tantum in mefenterio contingant. Speciatim vero quae ex aloe *componuntur* funt aptiffima, etiam fi illa praefto non fint, aloe ipfa per fe. Haec itaque non elota valentius vacuat, elota purgat quidem minus, fed roborat ventriculum magis. Expedit ergo paratam habere quam omnes medici picran, *id eft amaram,* vocant, atque hanc dupliciter confectam ex aloe elota et non elota. Admiscentur autem horum cinnamomum et xylobalfamum et afarum

καὶ νάρδου στάχυος καὶ κρόκου καὶ Χίας μαστίχης. ἔστωσαν δὲ ἓξ μὲν τούτων ἑκάστου δραχμαὶ, μόνης δὲ τῆς ἀλόης ἑκατόν. ἄριστον δὲ τοῦτο τὸ φάρμακον εἰς τὰς τῶν χιτώνων τῆς γαστρὸς κακοχυμίας· ἄμεινον δὲ χρῆσθαι ξηρῷ δι' ὕδατος ὅσον δυοῖν κοχλιαρίων μικρῶν τὸ πλῆθος, ὅταν γε μετρίως καὶ μέσως αὐτῷ χρῆσθαι προαιρώμεθα· τὸ γὰρ δὴ πλεῖστον καὶ τελεώτατον οὐ σμικρῶν δυοῖν, ἀλλὰ μεγάλων ἡ (116) πόσις, ἐν ὕδατος εὐκράτου τρισὶ κυάθοις· ἐλαχίστη δὲ δόσις ἑνὸς κοχλιαρίου μικροῦ. χρῆσθαι δ' ἐν τῷ καιρῷ τῷδε καὶ πτισάνης χυλῷ, πρῶτον αὐτὸν ἀπὸ τοῦ βαλανείου λαμβάνοντα. τὸ μὲν γὰρ φάρμακον αὐτὸ κατὰ τὸν συνήθη τοῖς καθαίρουσι διδόσθω καιρόν. ἐπ' αὐτῷ δὲ περιπατήσαντα σύμμετρα καὶ κινηθέντα μέτρια τῶν ἄλλων τῶν κατὰ τὴν δίαιταν ὑπαλλάττειν μηδέν. ἔνιοι δ' ἀποτίθενται τὸ φάρμακον, ἀναλαμβάνοντες ἀπηφρισμένῳ μέλιτι, καὶ γίνεται μὲν οὕτω μονιμώτερον, οὐ μὴν δὲ ὁμοίως γε πρὸς τὰς ὑποκειμένας ἐν τῷ παρόντι λόγῳ διαθέσεις ἀγαθόν· ἧττον γὰρ ῥώννυσι τὴν κοιλίαν καὶ μᾶλλον ὑπάγει. γλίσχρου μέντοι φλέ-

et ſpica nardi et crocus et Chia maſliche. Sunto autem horum cujusque drachmae ſex, ſolius autem aloes drachmae centum. Praeſtantiſſimum hoc medicamentum eſt ad vitioſos ſuccos, qui in tunicis ventriculi habentur, utiliusque eſt eo ſicco ex aqua uti duorum parvorum cochlearium menſura, ubi mediocriter ac medio quodam modo eo uti ſtudebimus, nam maximus ejus modus ac abſolutiſſimus eſt duorum non parvorum, ſed magnorum potio in aquae temperatae cyathis tribus, minimus unius parvi cochlearis. Utendum vero hoc tempore et ptiſanae cremore eſt, qui primus a balneo ſumetur. Nam medicamentum ipſum ſolito purgantium medicamentorum tempore dabitur; poſt id vero ubi modice inambulaverit, et modice ſe moverit, de reliqua victus ratione nihil eſt immutandum. Sunt qui reponunt medicamentum excipientes id deſpumato melle, et ſit quidem ita durabilius, caeterum non perinde ad propoſitos hoc loco affectus utile, quum et minus ventriculum roboret, et magis alvum dejiciat. Verum quibus lenta pituita ventriculo eſt infixa, iis

γματος ἐμπεπλασμένου τῇ γαστρὶ δοτέον αὐτοῖς πρότερον ὅσα τέμνει τοῦτο, κἄπειτα οὕτω καθαρτέον. εἰ δὲ καὶ πρὸς ἔμετον ἐπιτηδείως ἔχοιεν, οὐδὲν ἂν εἴη χεῖρον ἐμεῖν ἀπὸ ῥαφανίδων δι᾽ ὀξυμέλιτος. εἰ δὲ μήτε γλίσχρος ὁ χυμὸς εἴη μήτε παχὺς, ἀρκεῖ καὶ ὁ ἀπὸ χυλοῦ τῆς πτισάνης ἔμετος μόνου καὶ ὁ ἀπὸ τοῦ μελικράτου· λαμβάνειν δ᾽ ἑκατέρου πλέον ἢ ὡς ἄν τις ἔλαβεν, ἤτοι τροφῆς ἕνεκεν ἢ ὑπαγωγῆς γαστρός. ἐπιτήδειον δὲ καὶ τὸ μελίκρατόν ἐστιν, ἀφηψημένου καθ᾽ αὑτὸ τοῦ ἀψινθίου πίνεσθαι· καὶ γὰρ καὶ τοῦτο καλῶς ὑπάγει κάτω τοὺς λεπτοὺς χυμοὺς, ὅσοι περ ἂν ἐν τῷ στόματι τῆς γαστρὸς αὐτῆς περιέχονται. κοινωνεῖ δὲ ὁ λόγος ὅδε σύμπας ὁ περὶ τῆς δυσκρασίας τοῖς ὑγιεινοῖς παραγγέλμασι, καθ᾽ ἕν τι μέρος ἑαυτοῦ τὸ τῶν ἀσθενῶν ἐνεργειῶν, οὐ γὰρ δὴ τῶν γε ἀπολωλυιῶν, ἢ πλημμελῶς γιγνομένων· ἐκπέπτωκε γὰρ ἐκεῖνο τελέως τῶν ὑγιεινῶν· ἡ δ᾽ ἀσθενὴς ἐνέργεια κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον τῆς ὑγιεινῆς ἐστι πραγματείας ἢ τῆς θεραπευτικῆς, ὀλίγον μέν τι παραποδιζομένη τῆς ὑγιεινῆς, ἐπὶ πλέον δὲ τῆς θεραπευτικῆς. ὅρος δ᾽ ἑκατέρας τὸ

prius exhibenda funt quaecunque hanc incidant ac deinde purgandum. Quod fi ad vomendum fint idonei, non inutile fit per radiculas ex oxymelite vomere. Si vero nec lentus humor fit, nec craffus, abunde quoque fit a ptifanae folius cremore vomuiffe, item a mulfa, quo cafu fumendum utriusvis plus eft, quam vel nutrimenti, vel etiam dejectionis caufa fumeretur. Idoneum vero eft et fi mulfa, in qua incoctum fit abfinthium bibatur; nam id quoque tenues fuccos quicunque videlicet in ipfius ventriculi ore continetur, commode deorfum impellit. Sane communis eft totus hic fermo, qui de intemperie agit, cum fanitatis tuendae praeceptis, ea fcilicet fui parte qua de parum firmis actionibus difputat; non enim profecto ea qua de perditis ac vitiofe functis agit; pars enim illa a fanitatis tuendae contemplatione plane fejuncta eft. Imbecilla vero actio, prout magis minusve talis eft, aut ad fanitatis tuendae aut ad medendi tractationem pertinet, leviter quidem impedita ad hygienem, gravius ad therapeuticen. Discernitur utraque ex eo, quod a

τῶν συνηθῶν πράξεων ἤτοι γε ἀφίστασθαι διὰ τὸ μέγεθος τῆς βλάβης ἢ μή.

Κεφ. ιβ΄. Λέλεκται δὲ καὶ περὶ τούτων ἐν τοῖς ὑγιεινοῖς· καὶ χρὴ καὶ διὰ τοῦτο θᾶττον ἀφίστασθαι τοῦ λόγου, [175] γεγραμμένης γε δὴ συμπάσης ἤδη τῆς μεθόδου, καθ' ἣν χρὴ τὰς δυσκρασίας ἰᾶσθαι τῆς γαστρὸς, εἴτε καθ' ἕξιν, εἴτε κατὰ σχέσιν ἐν αὐτῇ γένοιτο. δῆλον δὲ ὡς καὶ μικτὴ ποτ' ἐστὶ διάθεσις ἐν τῇ γαστρὶ τῶν εἰρημένων τριῶν τῶν ἁπλῶν· ὥστε καὶ αὐτὰ τὰ στερεὰ μόρια δυσκράτως ἔχειν καὶ χυμοὺς μοχθηροὺς ἐμπεπλάσθαι δυσεκνίπτως τῇ γαστρὶ καὶ κατὰ τὴν ἔνδον εὐρυχωρίαν ἑτέρους περιέχεσθαι. δύναται μὲν γάρ ποτε καὶ τὸ πρῶτον ἅμα τῷ δευτέρῳ ῥηθέντι συστῆναι· δύναται δὲ καὶ τὸ δεύτερον ἅμα τῷ τρίτῳ· καὶ αὖθίς γε τὸ πρῶτον ἅμα τῷ τρίτῳ· καὶ πάνθ' ἅμα πολλάκις. ἐφ' ὧν ἀναμνησθήσῃ μὲν δήπου καὶ τῆς ἔμπροσθεν εἰρημένης μεθόδου ἐν τοῖς περὶ τῶν ἑλκῶν λόγοις ἁπασῶν τῶν ἐπιπλεκομένων ἀλλήλαις διαθέσεων, οὐδὲν δ' ἂν εἴη χεῖρον καὶ νῦν αὐτὴν διελθεῖν. ἐπίσκεψαι γὰρ ἐν ταῖς τοιαύταις ὑπαλλάξεσι

confuetis actionibus obeundis propter noxae magnitudinem vel defiftatur vel non *defiftatur.*

Cap. XII. Dictum autem et de his eft in opere de fanitate tuenda, quo celerius transeunda eorum tractatio nunc eft, praefertim omni methodo qua ventris intemperies fint curandae, jam praefcripta, five hae habitu five difpofitione ipfi inhaeferint. Clarum vero eft effe aliquando mixtum ex tribus jam dictis fimplicibus in ventriculo affectum, ita ut et ipfae folidae partes intemperie laborent, et pravi fucci ita ventriculo fint impacti, ut elui ex facili nequeant, et alii in interna ejus capacitate contineantur. Poteft namque interdum fieri ut primus cum fecundo dicto confiftit, poteft et fecundus una cum tertio, poteft rurfum et primus cum tertio, faepe etiam omnes fimul. Pro quibus methodum quam prius de ulceribus tradidimus, ubi omnes affectus fimul conjunximus, ad memoriam revocabis, quam nunc quoque apponere non fit inutile. Primum namque in ejusmodi complexu aeftimabis, a quo maxime dis-

πρῶτον μὲν ἀφ᾽ οὗ μάλιστα κινδυνεύειν εἰκός ἐστι τὸν κάμνοντα, δεύτερον δὲ, τί μὲν ἐξ αὐτῶν ἢ τίνα λόγον αἰτίας ἔχει, τίνα δὲ ἀποτελεῖται πρὸς αὐτῶν, καὶ τρίτον οἷς τ᾽ ἀδύνατόν ἐστιν ἰαθῆναι πρὸ τῶν ἄλλων καὶ ὅσοις δυνατὸν, ὥσπερ ἐπὶ τῶν ἑλκῶν ἐδείκνυμεν τῶν ἅμα φλεγμοναῖς συνισταμένων. ἔνθα μὲν γὰρ ἀπό τινος τῶν διαθέσεων οὐ μικρὸς ὁ κίνδυνός ἐστιν, ὁ πρὸς τὸ κατεπεῖγον σκοπὸς αἱρετέος· ἔνθα δὲ τὸ μὲν ποιοῦν ἐστι, τὸ δὲ γιγνόμενον, ὁ πρὸς τὸ αἴτιον· ἔνθα δὲ οὐχ οἷόν τε θεραπευθῆναι τόδε πρὸ τοῦδε, ὁ ἀπὸ τῆς τάξεως. ἐν μὲν οὖν τῷ πρὸς τὸ κατεπεῖγον σκοπῷ τὸ μέγεθος τῆς διαθέσεως σκεπτέον. ἔστι δὲ τρία μεγέθη, τὸ μέν τι κατὰ τὸ τῆς βεβλαμμένης ἐνεργείας ἀξίωμα, τὸ δέ τι κατὰ τὴν οἰκείαν οὐσίαν τῆς διαθέσεως, καὶ τρίτον ἐπὶ τοῖσδε τὸ πρὸς τὴν διοικοῦσαν τὸ βεβλαμμένον σῶμα δύναμιν. ἐν δὲ τῷ πρὸς τὸ αἴτιον σκοπῷ θεωρητέον τί μὲν ἐκ τῶν ἐπιπεπλεγμένων ἀλλήλοις αὐξάνειν ἢ γεννᾷν πέφυκε τὰ λοιπὰ, τίνα δ᾽ ἤτοι τὴν γένεσιν, ἢ τὴν αὔξησιν ὑπ᾽ ἐκείνου λαμβάνει. ἐν δὲ τῷ κατὰ τὴν τάξιν, τί πρὸ τίνος, ἢ τί σὺν τίνι, ἢ τί μετὰ

crimen aegro impendere videatur. Secundo quid quaeve ex his caufae rationem obtineant, et quae ab ipfis efficiantur. Tertio quae fanari ante alia poffint et quae non poffint, veluti de ulceribus quae una cum phlegmonis conftitere oftendimus. Vbi namque a quoquam affectuum non leve periculum inftat, ad id quod urget dirigi primum *curantis* confilium debet, ubi aliud efficiens eft, aliud quod ab eo efficitur, ipfa caufa *fpectanda.* At ubi curari hoc ante illud non licet, ad id quod ordo dictat *eft refpiciendum.* Enimvero in eo ad quod urget fcopo affectus magnitudo perpendenda eft. Ea triplex eft magnitudo, alia quae ex laefae actionis praeftantia *fpectatur*, alia quae ex propria affectus effentia, et tertia praeter has quae ex facultate laefum corpus gubernante *aeftimatur.* In eo vero qui ad caufam eft fcopo animadvertendum eft, quidnam eorum quae inter fe conjuncta funt augere aut gignere reliqua poffit, quae rurfus ab eo vel gignantur vel incrementum accipiant. In eo vero quod ordo praefcribit, quid ante quod,

τί δυνατὸν ἰᾶσθαι. ὑποκείσθω γοῦν εἰς τὴν γαστέρα καταῤῥέουσά τις ἐξ ἐγκεφάλου περιουσία ψυχρὰ καὶ διὰ ταύτην ἤδη μέν τις οὖσα δυσκρασία κατὰ τὴν κοιλίαν· ἔτι δὲ μᾶλλον καὶ χυμοὶ μοχθηροὶ καθ᾽ ὅλον αὐτῆς τὸ σῶμα τὰς μεταξὺ χώρας ἁπάσας τῶν ὁμοιομερῶν κατειληφότες. ἐν ταῖς τοιαύταις ἐπιπλοκαῖς ἀξιώματι μέν ἐστι μείζων ἡ δυσκρασία, διότι καὶ ἡ εὐκρασία· κατὰ δὲ τὴν οἰκείαν οὐσίαν ὅ τι περ ἂν αὐτῶν τύχῃ περὶ τὸν ὑποκείμενον ἄῤῥωστον ἐν τῷ λόγῳ. καὶ κείσθω πρός γε τὸ παρὸν ἐν τοῖς εἰρημένοις τρισὶ μείζων εἶναι διάθεσις ἡ τῶν ἐν τοῖς χιτῶσι τῆς γαστρὸς χυμῶν. ἔστω δ᾽, εἰ βούλει, καὶ τοῦτο αὐτὸ πάθημα δῆξιν ἐργαζόμενον, καὶ διὰ τοῦτο αὐτὸ λειποψυχίαν τε καί τινας ἱδρῶτας ἅμα συγκοπτικαῖς ἐκλύσεσιν, ὡς εἶναι μεῖζον αὐτὸ τῶν ἄλλων, καθ᾽ ὅσον ὑπὲρ τὴν δύναμίν ἐστιν. εὔδηλον οὖν ὅτι τὴν μὲν πρώτην ἄν τις ἐπιμέλειαν ἀντιτάξαιτο πρὸς τὸ καταλῦον τὴν δύναμιν. ἑξῆς δ᾽ ἐπειδὴ μέγιστον τῶν ἄλλων ὑπέκειτο τοῦτο κατὰ τὴν οἰκείαν οὐσίαν, ἐπὶ πρῶτον ἄν τις αὐτὸ παραγί-

vel quid cum quo vel quid poſt quid ſanari poſſit. Fingatur igitur in ventriculum defluere ex cerebro ſuperfluum *quendam humorem* frigidum, atque ejus occaſione intemperiem quandam in ventriculo contractam jam eſſe; adhuc vero etiam magis, malum jam ſuccum per totum ejus corporis media omnia ſimiliarium *partium* ſpatia occupaſſe. In ejusmodi complicatis ob praeſtantiam major eſt intemperies, propterea quod et *fuit* temperies; propriae vero eſſentiae ratione quodcunque tale fuerit, circa propoſitum in ſermone aegrum. Ac ponatur ad praeſens maximus trium aſſectus eſſe ſuccorum, qui in tunicis ventris continentur. Eſto, ſi libet, ut idem quoque aſſectus morſus ſenſum faciat, atque ex eo ipſo animi defectum, et ſudores quosdam cum ſyncoptica diſſolutione accerſat, ita videlicet ut quatenus ſupra vires eſt reliquis ſit major. Conſtat igitur primam eſſe adhibendam curam, ut ei quod vires reſolvit occurratur. Deinde quoniam caeterorum maximum propriae eſſentiae ratione hoc ſinximus, utique ad id primum te verteris ac

γνοιτο καὶ πρῶτον ἰῷτο. εἰ δ' ἡμῖν ἤδη μετρίως ἔχει τοῦτο καὶ μήθ' ἡ δύναμις ἔτι καταπίπτει μήτε ἡ κατὰ τὴν γαστέρα κακοχυμία παμπόλλη τις εἴη, τότε ἐπὶ τὴν αἰτίαν ἀφιξόμεθα, γιγνώσκοντες ὡς οὐχ οἷόν τ' ἐστὶ τελέως ἰαθῆναι διάθεσιν οὐδεμίαν, ἔτι μενούσης τῆς ἐργαζομένης αὐτὴν αἰτίας. ἡ δέ γε τάξις τῆς θεραπείας ἐνίοτε μὲν ὡς ἐπὶ φλεγμονῆς καὶ ἕλκους ἐναντίων ἐστὶν ἐνδεικτικὴ βοηθημάτων· ἐδείκνυτο γὰρ ὡς τὰ τὴν φλεγμονὴν θεραπεύοντα μεῖζον ἀποφαίνει τὸ ἕλκος, ἐνίοτε δ' [176] οὐδὲν βλάπτει τὴν ἑτέραν διάθεσιν, ὥσπερ ἐπὶ τῆς ἐνεστώσης ὑποθέσεως. ὁ γὰρ ἐκκενῶν τὸ περιεχόμενον ὑγρὸν ἐν τῷ τῆς γαστρὸς κύτει, τῶν ἐν τοῖς χιτῶσι περιεχομένων ὑγρῶν ὑποτέμνεται τὴν τροφήν· ὥσπερ γε καὶ ὁ τὸν ἐγκέφαλον ἰώμενος, ὡς μηδεμίαν ἐν ἑαυτῷ γεννᾷν αἰσθητὴν περιουσίαν, ἐκκόπτει τὴν οἷον πηγὴν τῶν εἰς τὴν γαστέρα ῥευμάτων. ἐπὶ μὲν δὴ τούτων ἡ τάξις τῆς θεραπείας τῇ τάξει τῶν αἰτίων ὁμολογεῖ, κἂν ἐν ἄλλοις διαφέρηται. τὸ δ' ἀπὸ τοῦ μεγέθους χρὴ διορίζεσθαι, καθάπερ εἴρηται. καὶ πρῶτον μὲν πειρᾶσθαι τῷ μεγίστῳ τὴν

primum id fanes. Ubi jam nobis id mediocriter fe habuerit, ac neque vires amplius labent, neque plurimum vitiofi fucci in ventriculo fit, tum nimirum ad caufam accedes, illud pro comperto habens, non poffe ad perfectionem ullum affectum fanari, manente adhuc ipfa ipfum efficiente caufa. Ordo autem curationis aliquando contraria inter fe remedia, ficut in phlegmone et ulcere, indicat, oftenfum namque eft quae phlegmonem fanant, ea majus reddere ulcus, aliquando alteri affectui nihil nocet, ficut in propofito nunc cafu. Qui enim educit humorem qui in cavitate ventriculi continetur, is humorum qui in tunicis continentur alimentum adimit, aeque et qui cerebrum ita fanat, ne quam fenfibilem redundantiam creet, is veluti fontem fluxionis in ventriculum deftruit. In his ergo ordo curationis cum ordine caufarum confentit, quanquam in aliis diffentit. Caeterum quod ex magnitudine fpectatur, id diftingui prout dictum eft debebit. Ac primum quidem id agendum eft, ut ei

οἰκείαν ὕλην ἐφαρμόζειν τῶν βοηθημάτων· ἑξῆς δὲ κατὰ τὸν τῶν αἰτιῶν στοῖχον ἰᾶσθαι τὸ σύμπαν. ὅταν γὰρ μήτε πλῆθος ἀξιόλογον ᾖ τῶν κατὰ τὴν γαστέρα περιττωμάτων μήτ᾽ ἐν τῇ κοιλότητι περιεχομένων αὐτῆς μήτ᾽ ἐν τοῖς χιτῶσι, μήτε δῆξις ἀδικοῦσα τὴν δύναμιν, ἁπάντων μὲν χρὴ πρῶτον ἐκνοσηλεῦσαι τὸν ἐγκέφαλον, ἐφεξῆς δὲ τὸ κύτος τῆς γαστρὸς ἐκκενῶσαί τε καὶ διαῤῥύψαι, καὶ μετὰ ταῦτα ἐκκαθῆραι τοὺς χιτῶνας, εἶτα τὴν δυσκρασίαν ἰᾶσθαι. εἴρηται δὲ ἑκάστου τὰ ἰάματα πρόσθεν, ὥστε οὐ χρὴ μηκύνειν ἔτι τὰ κατὰ τὸν λόγον, ἀλλ᾽ ἤδη τέλος ἐπιθεῖναι τῷ γράμματι. τὰς γὰρ τῶν ἄλλων ἁπάντων μορίων δυσκρασίας ἀνάλογον ἄν τις ἰῷτο (117) τοῖς ἐπὶ τῆς γαστρὸς εἰρημένοις. ἀεὶ γὰρ χρὴ τό τ᾽ ἐναντίον τῇ διαθέσει πορίζεσθαι βοήθημα καὶ τὴν ἀπὸ τῆς φύσεως τοῦ πεπονθότος ἔνδειξιν τῶν ὠφελησόντων προστιθέναι, περὶ ἧς εἴρηται μὲν ἤδη καὶ διὰ τῶν ἔμπροσθεν, εἰρήσεται δὲ καὶ διὰ τῶν ἑξῆς ἐπὶ πλέον. ἀναγκαῖον δ᾽ ἂν εἴη καὶ νῦν ἐπ᾽ ὀλίγον αὐτῆς μνημονεῦσαι.

quod maximum eſt, propriam medicamentorum materiam accommodes, deinde pro cauſarum ordine totum cures. Etenim quum neque copia notabilis excrementorum in ventriculo ſit, nec eorum quae in capacitate ejus continentur, nec eorum quae in tunicis, ſed neque mordicatio quae viribus officiat, tum omnium primum ſanandum ipſum cerebrum eſt. Ab hoc ſinus ipſe ventriculi vacuandus extergendusque eſt; poſtea ipſae tunicae expurgandae, poſtremum intemperiei eſt medendum. Dicta vero prius ſunt cujusque horum medicamenta, itaque nec prolixus habendus adhuc ſermo eſt, ſed finis jam libro imponendus. Omnium enim reliquarum partium intemperies ſimiliter iis, quas in ventriculo propoſuimus ſanabuntur. Semper enim comparandum remedium eſt, quod ſit affectui contrarium, ac illi remediorum indicatio quae ab laborantis natura ſumitur adjicienda, de qua dictum in ſuperioribus jam eſt, dicetur tamen in ſequentibus uberius. Neceſſum vero erit et nunc paucis de ea mentionem facere.

Κεφ. ιγ'. Πρώτη μὲν ἔνδειξις ἀπὸ τῆς τοῦ πεπονθότος τόπου κράσεώς ἐστι, τὸ μέτρον ὁρίζουσα τοῦ θερμαίνειν, ἢ ψύχειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν, ἢ κατὰ συζυγίαν τι πράττειν αὐτῶν. δευτέρα δὲ ἀπὸ τοῦ κοινὸν εἶναι τὸ ἔργον ἅπασι τοῖς τοῦ ζώου μορίοις, ἢ κοινὴν τὴν δύναμιν χορηγεῖν. καὶ τρίτη παρὰ τῆς διαπλάσεως αὐτοῦ. καὶ τετάρτη παρὰ τῆς θέσεως ἧς μέρος ἐστὶν ἡ πρὸς τὰ πλησιάζοντα τοῦ ζώου μόρια κοινωνία· καὶ πρὸς τούτοις ἅπασι τὸ τῆς αἰσθήσεως ποσόν. λεχθήσεται μὲν οὖν κἀν τοῖς ἑξῆς ὑπὲρ ἑκάστου τῶν εἰρημένων ἐπὶ πλέον· ἐπέλθωμεν δὲ καὶ νῦν αὐτὰ διὰ βραχέων. ὅσα μὲν θερμότερα φύσει μόρια, κατὰ τὴν ψύξιν νοσεῖ, μειζόνως τε ταῦτα καὶ μέχρι πλείονος χρόνου θερμαίνεσθαι δεῖται, καθάπερ γε καὶ τὰ ψυχρότερα κατὰ θερμότητα νοσοῦντα ψύχεσθαι, καὶ τὰ ξηρότερα καθ' ὑγρότητα ξηραίνεσθαι· καὶ δὴ κατὰ τὸν αὐτὸν λόγον ὑγραίνεσθαι τὰ φύσει μὲν ὑγρότερα, κατὰ ξηρότητα δὲ νοσοῦντα, μειζόνως τε καὶ μέχρι πλείονος χρήζει τοῦ χρόνου. τοσοῦτον γὰρ ἐπανελθεῖν εἰς τὸ κατὰ φύσιν ἕκαστον αὐτῶν ἀναγκαῖόν

Cap. XIII. Prima quidem indicatio a laborantis loci temperie fumitur, quae calefaciendi, refrigerandi, ficcandi, vel humectandi, vel aliquid horum conjuncte cum alio faciendi menfuram praefcribit. Secunda ex eo fumitur quod actio ejus omnibus animalis partibus fit communis, aut quod communem facultatem fubminiftret. Tertia ab ipfa partis conformatione. Quarta a fitu cujus portio eft ad vicinas animalis partes focietas, tum praeter haec omnia ipfa fentiendi vel acrimonia vel hebetudo. Ac dicetur quidem in fequentibus de fingulis horum latius, nunc paucis ea transcurramus. Quaecunque calidiores natura partes ex frigore laborant, hae et liberalius et diutius calefieri poftulant, ficuti etiam quae frigidiores *natura funt,* fi ex calore laborent, refrigerari, et ficciores, fi ex humiditate *male habeant,* ficcari, ad eundem vero modum humectari quae humidiora naturaliter funt, ubi ficcitate laborant, tum uberius tum diutius poftulant. Tantum enim ad eum qui fecundum natu-

ἐστιν, ὁπόσον εἰς τὰ παρὰ φύσιν ἐξετράπετο· καὶ καθάπερ ὁδόν τινα παλινδρομοῦσαν εἰς τοὐπίσω τῆς γεγομένης αὐτῷ μεταστάσεως. ἔμπαλιν δὲ τῷ μὲν θερμοτέρῳ φύσει μορίῳ θερμὸν νόσημα νοσοῦντι βραχείας ἢ ὀλιγοχρονίου δεῖται τῆς ψύξεως, τῷ δὲ ψυχροτέρῳ τῆς θερμάνσεως· ὡσαύτως δὲ κἀπὶ τῶν ὑγρῶν τε καὶ ξηρῶν. [177] ὀλίγη γὰρ ἡ εἰς τὸ παρὰ φύσιν ἐκτροπὴ τοῖς τοιούτοις ἐστὶ καὶ ἡ εἰς τὸ κατὰ φύσιν ἐπάνοδος. ὅθεν καὶ κινδυνεύουσιν ἧττον οἷς ἂν οἰκεία τῆς φύσεως ἡ νόσος ὑπάρχει. δῆλον δ' ὅτι καὶ κατὰ συζυγίαν αἱ δυσκρασίαι γιγνόμεναι τηλικαύτην ἕξουσι τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον ἡλίκην ἐποιήσαντο τὴν εἰς τὸ παρὰ φύσιν ἐκτροπήν. οὕτω μὲν οὖν ἀπὸ τῆς κράσεως τῶν πεπονθότων μορίων ἡ τῶν βοηθημάτων ἔνδειξις γίγνεται, ἀπὸ δὲ τοῦ κατὰ τὴν ἐνέργειαν ἤτοι χρήσιμον ἅπασι τοῖς τοῦ ζώου μορίοις ὑπάρχειν, ἢ ὀλίγοις τισὶν, ἢ ἑαυτῷ μόνῳ κατὰ μὲν τὰς ἄνευ χυμῶν δυσκρασίας οὐδὲν ἐκ τούτου τοῦ σκοποῦ λαμβάνεται. καὶ γὰρ ψύχεσθαι καὶ θερμαίνεσθαι καὶ

ram eſt affectum earum *partium* quamque redire neceſſe eſt, quantum in eum qui praeter naturam eſt affectum deceſſerit, veluti via quadam in oppoſitum facta in ea transmutationis recurrente. Contra vero pars quae calidior natura eſt, ſi calido morbo aegrotat, exigua brevisque temporis refrigeratione eget, ſicut quae frigidior eſt, calefactione, ad quem modum in humidis quoque et ſiccis ſe habet. Siquidem parvus eſt in ejusmodi in id quod praeter naturam eſt lapſus, quare et rurſus in id quod ſecundum naturam reditus. Unde etiam minus periclitantur quicunque cognato naturae ſuae morbo laborant. Non latet vero et quod, ſicubi conjugatae intemperies inciderunt, eatenus hac reduci naturam poſtulant, quatenus a natura receſſerunt. Atque ita quidem a temperamento laborantis partis auxiliorum indicatio ſumitur. Ab eo vero quod actio ejus omnibus animalis partibus utilis ſit, aut paucis quibusdam, aut uni ſibi, in iis intemperiei generibus quae absque humore infeſtant, nihil ex hac indicatione ſumitur. Nam et refrigerari et calefieri et ſic-

ξηραίνεσθαι καὶ ὑγραίνεσθαι καὶ κατὰ συζυγίαν πάσχειν τι τούτων, ἕκαστον τῶν μορίων ἀνάλογον δεῖται τοῦ νοσήματος. κατὰ μέντοι τὰς ἐπὶ τοῖς χυμοῖς, εἰ μὲν ἑαυτῷ μόνῳ τὸ μόριον ἐνεργοίη, θαῤῥῶν ποιήσεις τὰς κενώσεις, ὡς ἂν ἡ διάθεσις ὑπαγορεύῃ, συνεπιβλέπων τὴν δύναμιν· εἰ δ᾽ ἀναγκαῖον εἴη τὸ ἔργον αὐτοῦ πᾶσι τοῖς τοῦ ζώου μορίοις, ὥσπερ τὸ τῆς γαστρός τε καὶ τοῦ ἥπατος, οὐ μικρὰν χρὴ φροντίδα ποιεῖσθαι τοῦ τόνου τῆς δυνάμεως, μή πως καταλύσωμεν αὐτὸν ἀθροωτέρᾳ κενώσει χρησάμενοι. κοινὸν δὲ τὸ ἔργον ἐστὶ καὶ φλεψὶ καὶ ἀρτηρίαις καὶ καρδίᾳ καὶ θώρακι καὶ νεφροῖς καὶ κύστει τῇ τε τὸ οὖρον ὑποδεχομένῃ καὶ τῇ χοληδόχῳ, σὺν τοῖς ἀπ᾽ αὐτῆς ἀγγείοις. ἐγκεφάλου δὲ τὸ ἔργον ὑγιαινόντων μὲν ἡμῶν εἰς τὰς καθ᾽ ὁρμὴν ἐνεργείας ἀναγκαῖόν ἐστι τοῖς τὰς τοιαύτας ἐνεργείας διαπραττομένοις ὀργάνοις, οὐκ ἀναγκαῖον δὲ νοσούντων, ὅτι μὴ μόνον τοῖς ἀναπνευστικοῖς. ἄλλων δ᾽ ὀργάνων ἐνέργεια μὲν οὐκ ἔστιν, ὑπηρεσία δὲ ἀναγκαία πρὸς τὸ ζῆν, ὡς πνεύμονος καὶ τραχείας ἀρτηρίας καὶ φάρυγγος. ἐκ μὲν δὴ τῶν τοιούτων μο-

cari et humectari et per conjugationem quidvis horum pati ſingulae partes pro morbi proportione requirunt. In iis tamen quae ex humoribus ſunt ortae, ſi pars ſoli ſibi inſerviat, audacter vacues licet, prout affectus ſuadebit, ſed tamen etiam viribus attentus, ſin neceſſarium opus ejus ſit omnibus animalis partibus, ut ventriculi et jecinoris non levis habenda ſolicitudo de robore virium eſt, ne hoc magna ſemel vacuatione uſus diſſolvas. Eſt autem commune opus et venarum et arteriarum et cordis et thoracis et renum et utriusque veſicae tum ejus quae lotium excipit tum ejus quae bilem, cum vaſis etiam quae ad utraque *procedunt.* Cerebri vero opus, cum ſani ſumus, ad voluntarias actiones neceſſarium eſt, iis inſtrumentis quibus ejusmodi actiones obimus, quum aegri ſumus neceſſarium non eſt, niſi iis tantum quae ad reſpiratum ſunt deputata. Reliquorum vero organorum actio certe non eſt, miniſterium tamen eſt ad vitam neceſſarium, veluti pulmonis et aſperae arteriae et faucium. Ergo ex ejusmodi partibus quamprimum vacuare

ρίων ὅτι τάχιστα τὰς περιουσίας ἐκκενοῦν ἔξεστιν ὡς ἂν ἐθέλῃς· ἐκ γαστρὸς δὲ καὶ ἥπατος οὐχ ὡς ἔτυχεν, ἀλλὰ σὺν τῷ φροντίζειν μηδὲν βλάψαι τὴν δύναμιν. ἐπεὶ δ' οὐκ ἴσον ἐστὶ τὸ τῶν ἔργων ἀξίωμα πρὸς τὸ διασώζεσθαι τοὺς νοσοῦντας, ἀλλὰ τὸ μὲν μᾶλλον αὐτοῖς ἐστι, τὸ δὲ ἧττον χρηστὸν, ἀνάλογον χρὴ τῶν ἀξιωμάτων ἑκάστου μορίου προνοεῖσθαι τοῦ τόνου. μέγιστον μὲν οὖν ἀξίωμα τὸ τῆς καρδίας ἐστὶν ἔργον, καὶ πάντων ἀναγκαιότατον τοῖς νοσοῦσι· τοῦ δ' ἐγκεφάλου πρὸς μὲν τὴν ζωὴν ὁμότιμον, οὐ μὴν τῆς ἴσης ῥώμης ἐπὶ νοσούντων αὐτοῦ χρῄζομεν· οὐ γὰρ ἀναγκαῖον πᾶσιν ἐνεργεῖν νεύροις καὶ μυσίν. ὥστ' ἀρκεῖ τοσοῦτον αὐτοῦ διασωζόμενον ᾧ μέλλει μόνον ἐπιτελεῖσθαι τὸ τῆς ἀναπνοῆς ἔργον. ἡ δ' ἥπατος ἐνέργεια πᾶσι μὲν ἀναγκαία τοῖς μορίοις ἐστὶν, οὐ μὴν οὕτω γε διηνεκῶς ἔχει τὸ ἀναγκαῖον ὡς ἡ τῆς καρδίας. ἀνάλογον δ' αὐτῷ καὶ ἡ τῆς γαστρός. ἐπιστάμενος οὖν ἁπάντων τῶν μορίων τὰς ἐνεργείας καὶ τὰς χρείας ἐν ἑτέροις ὑπομνήμασιν ἀποδεδειγμένας οὐ χαλεπῶς ἂν εὑρίσκοις εἰς ὅσον

redundantiam licet prout volueris, ex ventriculo vero et jecinore utcunque vacuare non licet, ſed cum cautione, ut nequid viribus officias. Quoniam autem non par eſt actionum dignitas ad aegros ſervandos, ſed aliae magis his, aliae minus utiles ſunt, ad proportionem dignitatis etiam cujusque partis proſpiciendum eſt robori. Maxima igitur eſt cordis officii dignitas atque aegrotantibus maxime omnium neceſſaria; cerebri vero ad vitam quidem par eſt momentum, non tamen par robur ejus in aegrotis requirimus, quum neceſſe omnibus non ſit nervorum ac musculorum opera uti. Itaque abunde fuerit, ſi tantum ejus ſervatum ſit quo reſpirationis munus ſit obeundum. At vero jecinoris opus omnibus partibus perneceſſarium eſt, non tamen adeo ſaltem perpetuam neceſſitatem habet ſicuti ipſius cordis. Ad proportionem autem jecinoris, etiam ventricuculi *opus ſe habet*. Intelligens ergo omnium partium tum functiones tum uſus, quos in aliis commentariis tradidimus,

ἑκάστου φυλάττειν χρὴ τὸν τόνον. οὕτω δὲ καὶ ὅσα τῶν μορίων ἑτέροις ἀρχαὶ δυνάμεών εἰσι, διασώζειν αὐτῶν χρὴ τὸν τόνον ἀνάλογον τῇ χρείᾳ τῶν δυνάμεων, ἵν᾽ ὑπηρετῇ τοῖς τοῦ ζώου μέρεσιν. ἔμαθες δὲ καὶ περὶ τῶν τοιούτων μορίων ὡς ἐγκέφαλός ἐστι καὶ καρδία καὶ ἧπαρ· ὁ μὲν τοῖς νεύροις τε καὶ μυσὶν, ἡ δὲ ταῖς ἀρτηρίαις, τὸ δ᾽ ἧπαρ ταῖς φλεψὶ χορηγὰ τῆς δυνάμεως. ἀπὸ δὲ τῆς διαπλάσεως ἡ ἔνδειξις γίγνεται τοῦ τρόπου τῆς κενώσεως τῶν περιττῶν ὧδέ πως. ἐμέτοις μὲν καὶ διαχωρήμασιν ἡ γαστὴρ ἐκκενοῦται, τὰ δ᾽ ἔντερα μόνοις τοῖς κάτω διερχομένοις, ὥσπερ γε καὶ τοῦ ἥπατος τὰ σιμά. νεφροὶ δὲ καὶ [178] κύστις καὶ τοῦ ἥπατος τὰ κυρτὰ πολλῆς μὲν ἐμπεπλησμένα κακοχυμίας διὰ τῶν ὑπηλάτων τε καὶ κατωτερικῶν ὀνομαζομένων ἐκκαθαίρεται φαρμάκων, μετρίας δὲ διὰ τῶν οὐρητικῶν πόρων, ἐγκέφαλος δὲ δι᾽ ὑπερώας καὶ ῥινῶν καὶ ὤτων, θώραξ δὲ καὶ πνεύμων διὰ τραχείας ἀρτηρίας καὶ φάρυγγος. ἀπὸ δὲ τῆς θέσεως ἔνδειξις ἔσται εἴς τε τὰς δυσκρασίας τῶν στερεῶν, οὐχ ἥκιστα δὲ καὶ τὰς

haud difficulter invenies quatenus cujusque robur cuftodiri oportet. Ad eundem vero modum et quaecunque partes aliis auctores facultatum funt, harum quoque robur fervare decet pro facultatis earum ufus proportione, quo animalis partibus fubminiftrent. Sane de his partibus illud, arbitror, didicifti, ut cerebrum fit et cor et hepar, illud nervis ac musculis, alterum arteriis et hepar venis facultatem fuppeditant. A conformatione vero indicatio ipfius modi vacuandi excrementi fuggeritur ad hunc modum. Ventriculus vomitu dejectionique evacuatur. Inteftina dejectione tantum, ficuti etiam jecinoris cava. Renes vero et vefica ac jecinoris gibba, fi multo vitiofo humore funt referta, per dejectoria medicamenta quae hypelata et catoterica nominant expurgantur, fin mediocri, per urinales meatus. Cerebrum vero per palatum et nares et aures. Pectus et pulmones per afperam arteriam et fauces. A fitu indicatio dabitur tum ad folidarum intemperies tum autem ad fuccorum

κακοχυμίας, οὐ μικρά. τοῖς μὲν γὰρ ἐπιπολῆς δυσκράτοις, οἵων δεῖται φαρμάκων, τοιαῦτα προσοίσομεν· τοῖς δ᾽ ἐν τῷ βάθει προσλογιούμεθα τὸ διάστημα· εἰ γὰρ οἵων δεῖται, τοιούτοις χρῷο, πολὺ ἂν ἀσθενέστερα τῆς χρείας γιγνόμενα πρὸς τὸν πεπονθότα τόπον ἀφίκοιτο. καὶ πρὸς τὰς κενώσεις δὲ ἡ θέσις συνενδείκνυταί τι διδάσκουσα τὴν κοινωνίαν τοῦ πεπονθότος μορίου πρὸς τὰ ἄλλα. εἰ μὴ γὰρ εἰδείημεν ὅτι τοῖς σιμοῖς τοῦ ἥπατος ὑπόκειται τὰ κατὰ τὴν γαστέρα καὶ τὴν νῆστιν, ὅτι τε τὴν μὲν νῆστιν ἐκδέχεται τὸ λεπτὸν ἔντερον, ἐκεῖνο δὲ τὸ κῶλον, εἶτ᾽ αὖθις ἐκεῖνο τὸ ἀπευθυσμένον, οὐκ ἂν οἷοί τε εἴημεν εὑρεῖν, ἐκκαθαίρεσθαι μὲν δύνασθαι, καὶ διὰ τῆς κάτω γαστρὸς καὶ δι᾽ ἐμέτων τὸ ἧπαρ, ἀμείνω δ᾽ εἶναι τὴν προτέραν κένωσιν, ἀνέχεσθαι μεμελετηκότων τῶν ἐντέρων ἀεὶ τῆς ἐξ ἥπατος περιουσίας. οὐ σμικρὰ δ᾽ ἔνδειξις οὐδὲ παρὰ τῆς εὐαισθησίας τε καὶ δυσαισθησίας τῶν μορίων ἐστί· καταφρονεῖ μὲν γὰρ πάντων τῶν φαρμάκων τὰ δυσαίσθητα, κἂν ἱκανῶς ᾖ δακνώδη· τὰ δ᾽ εὐαίσθητα μόρια καταλύεται τὴν

vitium fane non levis. Nam qui per fumma corporis intemperie laborant, iis medicamenta quae intemperies requirit applicabimus, quibus autem in profundo corpore intemperies eft, in iis rationem intervalli inibimus; fi enim medicamentis utaris quae intemperies requirit, utique multo imbecilliora quam pro ufu tuo ad locum affectum pervenient. Jam ad vacuationes quoque nonnihil fitus indicat, dum focietatem laborantis partis cum aliis docet. Nam nifi illud compertum haberemus, quod cavo jecinoris fubjicitur ventriculus et jejunum, tum quod jejuno ipfi tenue inteftinum fuccedit, id vero colon excipiat, ac colon id rectum, utique inveniffe illud non licuiffet, quod jecur et per alvum et per vomitum expurgari poffit; caeterum aptior fit prior vacuatio, tanquam ufu jam callentibus inteftinis jecinoris fuperflua tolerare. Non fpernenda vero indicatio eft et ea quam fenfus partium acuitas hebetudoque fuppeditant, quando omne medicamentum contemnunt, quae tardi funt fenfus, etiamfi non leviter mordeat; at partes quae acuti funt fenfus,

δύναμιν ἀνιώμενα. χρὴ τοίνυν ταῦτα (118) μὲν οὐκ ἀθρόως οὐδ᾽ ἅπαξ ἰσχυροῖς ἐπιχειρεῖν ἰᾶσθαι φαρμάκοις, ἀλλ᾽ ἐν χρόνῳ μᾶλλον ἀσφαλῶς. ἐπὶ δὲ τῶν δυσαισθήτων οἷόν τ᾽ ἐστὶ καὶ διὰ ταχέων ἀκοῦσαι τὸ δέον, εἰσάπαξ χρησαμένους τῷ προσήκοντι βοηθήματι. ἀλλ᾽ ὥσπερ ἔφην εἰρήσεται καὶ αὖθις ἐπὶ πλέον ὑπὲρ τῆς ἀπὸ τῶν τόπων ἐνδείξεως, καὶ μάλισθ᾽ ὅταν ἡμῖν ὁ λόγος γίγνηται περὶ τῆς τῶν παρὰ φύσιν ὄγκων ἰάσεως.

earum vires dolore refolvuntur. Expedit igitur has nec confertim nec femel valentibus medicamentis mederi tentes, fed tuto potius in tempore. At ubi tardus eft fenfus, in his etiam celeriter obire quod juftum eft licet, femel ufis remedio quod fit idoneum. Verum ut fupra dixi, de indicatione quae a locis fumitur latius disceptabitur in fequentibus, ac praecipue quum de tumorum praeter naturam curatione agemus.

# ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ Θ.

Ed. Chart. X. [178. 179] Ed. Bas. IV. (118.)

Κεφ. α'. Ὡς δ' ἄν τις καὶ τοὺς πυρετοὺς ἰῷτο μεθόδῳ, τοῖς ἄλλοις ὡσαύτως νοσήμασι τοῖς κατὰ δυσκρασίαν συνισταμένοις ἐν ἡμῖν, ἃ διῆλθον ἐν τῷ πρὸ τοῦδε γράμματι, καιρὸς [179] ἂν εἴη λέγειν. ὅτι μὲν οὖν, ὦ Εὐγενιανὲ, ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ κεραννυμένων ἀλλήλοις ἡ τῶν ἁπλῶν καὶ πρώτων μορίων συνέστηκε φύσις, ἅπερ Ἀριστοτέλης προσαγορεύει ὁμοιομερῆ δι' ἑνὸς ἀποδέδεικται γράμματος, ἐν ᾧ περὶ τῶν καθ' Ἱπποκράτην στοιχείων ἐσκοπούμεθα. ὅτι δ' ἐν τῷ τὸ μὲν θερμότερον

# GALENI METHODI MEDENDI LIBER VIII.

Cap. I. Quemadmodum vero febres quoque peracque ac alii morbi ex intemperie in nobis consistentes, quos in praecedenti libro narravi, methodo curentur, tempestivum nunc dicere videtur. Quod igitur, Eugeniane, simplicium ac primarum partium, quas Aristoteles similares vocat, natura ex calido, frigido, humido et sicco inter se mixtis constet, uno volumine ostendimus, in quo de elementis secundum Hippocratem disputavimus. Quod vero

εἶναι, τὸ δὲ ψυχρότερον, ἢ ὑγρότερον, ἢ ξηρότερον, ἢ κατὰ συζυγίαν τι τούτων πεπονθέναι, τῶν ἁπλῶν καὶ πρώτων μορίων ἐστὶν ἡ πρὸς ἄλληλα διαφορὰ, διὰ τῆς περὶ κράσεων ἐδείχθη πραγματείας. ἐν δέ γε τῷ περὶ τῆς τῶν νοσημάτων διαφορᾶς βιβλίῳ τῶν μὲν ἁπλῶν τοῦ ζώου μορίων δύο τὰ πάντ᾽ εἶναι γένη νοσημάτων ἐδείκνυτο· κοινὸν μὲν τὸ ἕτερον αὐτοῖς, πρὸς τὰ σύνθετά τε καὶ δεύτερα καὶ ὀργανικὰ μόρια, καλοῦμεν δὲ αὐτὸ λύσιν ἑνώσεως· ἕτερον δ᾽ ἐξαίρετον ἴδιον ἐν δυσκρασίᾳ θερμοῦ καὶ ψυχροῦ καὶ ξηροῦ καὶ ὑγροῦ συνιστάμενον. εἶναι δὲ τῶν δυσκρασιῶν τὰς μὲν κατὰ μίαν ἀντίθεσιν ἁπλᾶς, τὰς δὲ κατ᾽ ἄμφω συνθέτους. ἐν μὲν οὖν τῇ κατὰ τὸ θερμὸν καὶ ψυχρὸν ἀντιθέσει δύο συνίστασθαι δυσκρασίας ἁπλᾶς· ἑτέραν μὲν, ὅταν ἑαυτοῦ γένηταί τι θερμότερον εἰς τοσοῦτον ὡς ἤδη βλάπτεσθαι τὴν ἐνέργειαν αὐτοῦ· δευτέραν δὲ, ὅταν ὁμοίως ἐπικρατήσῃ τὸ ψυχρόν. ἐν δὲ τῇ κατὰ τὸ ξηρὸν καὶ ὑγρὸν ἑτέρας αὖ δύο καὶ κατὰ τάσδε δυσκρασίας, ὑγρὰν καὶ ξηράν. ἐπιπλεκομένων δ᾽ ἀλλή-

ex eo quod haec calidior ſit, illa frigidior vel humidior vel ſiccior, vel ſimul horum aliquibus copulatis affecta, ſimplices ac primae partes inter ſe differant, id in libro de temperamentis eſt aſſertum. At in libro quo de morborum differentiis agitur, duo in univerſum eſſe morborum genera, quae in ſimplicibus animalis partibus oriantur, docuimus; alterum quod etiam ſecundis et compoſitis et organicis ſit commune, vocavimus autem id unitionis ſolutionem; alterum ipſarum peculiare, quod in calidi, frigidi, humidi et ſicci intemperie conſiſtat. Eſſe autem ex intemperiebus ipſis quae quidem in una ſunt contrarietate, ſimplices, quae in ambabus compoſitas. In ea itaque quae eſt inter calidum et frigidum, oppoſitione, duas eſſe ſimplices intemperies, alteram ubi quicquam tanto efficitur quam ante erat calidius, ut ejus laedatur actio; alteram ubi pari modo invaluit frigidum. In ea vero oppoſitione quae eſt inter humidum et ſiccum alteras etiam geminas intemperies, nempe humidam et ſiccam. Copulatis vero invicem ſimplicibus,

λαις τῶν ἁπλῶν ἄλλας συνίστασθαι τέτταρας, ὑγρὰν καὶ ψυχρὰν, ὑγράν τε καὶ θερμὴν, καὶ ξηρὰν καὶ θερμὴν, ξηράν τε καὶ ψυχράν. εἴρηται δὲ καὶ γεννῶντα τὰς δυσκρασίας αἴτια δι' ἑτέρου γράμματος, ἐν ᾧ τὰς τῶν νοσημάτων αἰτίας ἐδηλοῦμεν. ἓν δέ τι τῶν κατὰ δυσκρασίαν νοσημάτων ἐστὶ καὶ ὁ πυρετὸς, εἰς τοσαύτην ἀμετρίαν αἰρομένης τῆς θερμασίας ὡς ἀνιᾷν τε τὸν ἄνθρωπον ἐνέργειάν τε βλάπτειν, ὡς εἴ γε μήπω μηδέτερον ἔχει, κἂν ὅτι μάλιστα θερμότερος ἑαυτοῦ τύχῃ γεγονὼς, οὐδέπω πυρέττειν αὐτὸν ἐδείκνυμεν. ἐπεὶ δ' ἕκαστον τῶν παρὰ φύσιν ἐν ἡμῖν συνισταμένων, εἴτε εἰδικωτέρας τυγχάνῃ προσηγορίας, εἴτε γενικωτέρας, οὐκ ἔστιν ἐκτὸς τοῦ σώματος, ἀλλὰ καὶ ἡ φλεγμονὴ καὶ ἡ πλευρῖτις καὶ ἡ νόσος ἅμα τὰ τρία καθ' ἓν γίνεται σῶμα τὸ Δίωνος, εἰ οὕτως ἔτυχεν, ἐνδείκνυται δὲ καὶ τούτων μὲν ἕκαστον ἰδίαν ἔνδειξιν, οὐδὲν δ' ἧττον αἱ διαφοραὶ τοῦ πάντων εἰδικωτάτου, διὰ τοῦτ' οὖν ἄμεινον ἔδοξεν ἰδίᾳ πραγματεύεσθαι περὶ τῆς διαφορᾶς τῶν πυρετῶν, ἵν' ἐφ' ἑτοίμοις ἅπασιν ὁ λόγος ἡμῖν ἐνθάδε περαίνοιτο, χωρὶς τῆς πρὸς τοὺς κακῶς ὑπὲρ αὐτῶν

alias exiftere quatuor, humidam et frigidam, humidam et calidam, ficcam et frigidam, ficcam et calidam. Traditae vero funt et caufae quae has intemperies generent in alio libro, in quo morborum caufas reddimus. Sane unus quispiam morborum eft, qui per intemperiem fiunt et febris, quum adeo immoderate auctus calor eft, ut et hominem offendat et actionem laedat, quod fi neutrum adhuc efficiat, quantumvis fit homo nunc quam ante calidior, non tamen febricitare eum monftravimus. Quoniam autem quicquid praeter naturam in nobis oritur, five fpeciale nomen fortitum fit five generale, id extra corpus non eft, fed tum phlegmone tum pleuritis tum morbus, tria fimul in uno confiftunt corpore verbi gratia Dionis; indicat autem et horum quodque propriam indicationem aeque profecto ut ejus quod maxime omnium fpeciale eft, ipfae differentiae; ob haec utilius vifum eft feorfum de febrium differentiis tractare, quo omnibus prius praeparatis fermo nobis hoc loco citra omnem eorum qui parum recte de iis fcripferunt re-

γράψαντας ἀντιλογίας. ἀναμνησθῶμεν οὖν τὰ κεφάλαια τῆς διαφορᾶς αὐτῶν, ἵν' ἐξ ἑκάστου τὴν οἰκείαν ἔνδειξιν ἀναλάβωμεν. ἔστιν οὖν μία μὲν αὐτῶν διαφορὰ καθ' ἣν ἤτοι πάρεστιν ἔτι τὸ ποιοῦν αἴτιον τὸν πυρετὸν, ἢ πέπαυται ποιῆσαν· ἑτέρα δὲ καθ' ἣν ἤτοι γ' ἑκτικός ἐστιν ὁ γεγονὼς πυρετὸς, ἢ ὡς ἂν εἴποι τις σχετικός. ἐπειδὴ γὰρ ὀνομάζουσι τὰς μὲν εὐλύτους διαθέσεις ἐν σχέσει, τὰς δὲ μὴ τοιαύτας, ἐν ἕξει, συγχωρητέον ἐστὶν ἕνεκα σαφοῦς διδασκαλίας καὶ αὐτῶν τῶν πυρετῶν τοὺς μὲν δυσλύτους ἑκτικοὺς, τοὺς δ' εὐλύτους σχετικοὺς ὀνομάζεσθαι. καὶ λεκτέον ἐνίους μὲν τῶν πυρετῶν εὔλυτον ἔχειν τὴν διάθεσιν οὕτως ὡς τὸ θερμανθὲν ἐν ἡλίῳ ξύλον, ἐνίους δὲ δύσλυτον, ὡς τὸ μέχρι τοῦ τύφεσθαί τε καὶ καπνὸν ἀποβάλλειν ὑπὸ πυρὸς θαλφθέν. αὗται μὲν αἱ πρῶται διαφοραὶ τῶν πυρετῶν, ἃς συνάψαντες πρότερον ταῖς γενικωτέραις ἐνδείξεσιν, αὖθις ἐπὶ τὰς αὐτῶν τῶν εἰρημένων εἰδικωτέρας ἀφιξόμεθα. [180] πρώτη μὲν γὰρ ἔνδειξις ὡς ἀπὸ νοσήματός ἐστιν, ἅπαντος πυρετοῦ τὴν ἀναίρεσιν ἐνδεικνυμένη· δευτέρα δὲ ὡς τοιοῦδε νοσήματος,

futationem abfolveretur. Revocemus igitur ad memoriam discriminis earum capita, quo propriam ex una quaque indicationem fumamus. Eft igitur una earum differentia illa, in qua caufa adhuc adeft febrem efficiens, aut febre excitata jam defiit; altera vero qua vel hectica febris eft quae jam facta eft, vel etiam, ut aliquis dixerit, fchetica. Nam quoniam eos affectus qui facile folvuntur, in difpofitione, qui tales non funt, in habitu, concedendum eft dilucidioris doctrinae caufa etiam febrium ipfarum eas quae aegre discutiuntur hecticas, quae facile fcheticas nominari. Dicendumque febrium alias facile folubili affectu effe, perinde ut calefactum in fole lignum, alias difficile folubili, veluti quod igni eatenus excalefactum eft, ut jam accendatur et fumum edat. Hae funt primae febrium differentiae, quas ubi cum fummis primum indicationibus junxerimus, mox ad magis illis fpeciales veniemus. Prima enim indicatio, ut a morbo eft, ablationem totius febris; fecunda vero ceu a tali eft morbo, quae non abfolute fublationem, ut prior, fed certam

Ed. Chart. X. [180.] Ed. Baf. IV. (118.)

οὐκέθ᾽ ἁπλῶς ἀναίρεσιν, ἀλλὰ τοιάνδε τινά. κατὰ γάρ τοι δυσκρασίαν νοσούντων τῶν πυρεττόντων ἀναγκαῖον καὶ τὴν ἴασιν αὐτῶν ἀναίρεσιν εἶναι τῆς δυσκρασίας. ἅπασα δ᾽ ἀμετρία διὰ τῆς ἐναντίας ἀμετρίας ἶται, καὶ γὰρ καὶ τοῦτ᾽ ἔμπροσθεν ἐδείχθη. καὶ τοίνυν καὶ ἡ τῆς τοῦ πυρετοῦ δυσκρασίας ἀμετρία διὰ τῆς ἐναντίας ἀμετρίας ἰαθήσεται. ἔστι δ᾽ ἡ ἀμετρία τῆς τῶν πυρεττόντων δυσκρασίας ἐν πλεονεξίᾳ θερμότητος· ἡ τοίνυν εἰς εὐκρασίαν ὁδὸς αὐτοῖς διὰ ψύξεως ἔσται. εἰ μὲν οὖν ἤδη γεγονότες εἶεν οἱ πυρετοὶ, τὸ δὲ ποιῆσαν αὐτοὺς αἴτιον οἴχοιτο, μόνος ἂν οὗτος εἴη τῆς θεραπείας αὐτῶν ὁ σκοπὸς ἡ ψύξις. ὥστε ζητητέον ἡμῖν τὰς ὕλας ὅσαι ψύξιν ἰσόῤῥοπον ἔχουσι τῇ πλεονεκτούσῃ θερμότητι. γιγνομένων δ᾽ ἔτι τῶν πυρετῶν τὴν ποιοῦσαν αὐτοὺς αἰτίαν ἀναιρετέον· εἰ δὲ τὸ μὲν ἤδη γεγονὸς αὐτῶν εἴη, τὸ δ᾽ ἔτι γίγνοιτο, τοῦ συναμφοτέρου στοχαστέον, ἀναιρούντων πρότερον μὲν τὴν ἀνάπτουσαν αἰτίαν αὐτοὺς, ἐφεξῆς δὲ σβεννύντων, τὸ φθάσαν ἀπ᾽ αὐτῆς ἀνῆφθαι. τίνες οὖν αἰτίαι πυρετοὺς γεννῶσαι καὶ κατὰ τίνα σώματος ἑκάστου διάθεσιν,

quandam fublationem indicat. Nam cum febricitantes ex intemperie laborant, neceffe eft fanationem quoque eorum intemperiei depulfionem effe. Omnis autem exceffus per contrarium exceffum fanatur, etenim id quoque ante eft oftenfum. Quare febrilis quoque intemperiei exceffus per contrarium exceffum fanabitur. Eft autem febrilis intemperiei exceffus in caloris abundantia; huic ergo ad temperiem via erit per id quod refrigerat. Itaque fi jam genita febris fit, fed caufa quae eam excitavit jam defiit, folus is fuerit curationis ejus fcopus refrigeratio. Quare quaerenda nobis talis materia eft, quae cum redundante calore paria refrigerando faciat. At fi in generatione adhuc febris eft, caufa quae eam accendit fubmovenda eft, fin pars ejus jam genita eft, pars ejus gignendo adhuc eft, utrique confulendum eft; primum quidem fubmovendo quae eam accendit caufam, deinde extinguendo quae ab hac accenfa eft febrem. Ergo nifi quis ad unguem memoria teneat et quae caufae febres generent,

εἰ μή τις εἴη μεμνημένος ἀκριβῶς, οὐκ ἄν ποτε μεθόδῳ προνοήσαιτο πυρετῶν.

Κεφ. β'. Ἐλέχθη γοῦν ἐν ἐκείνοις τοῖς σώμασιν ἡ στέγνωσις ἐργαζομένη πυρετὸν, ἐν οἷς ἐστι τὸ διαπνεόμενον οὐκ ἀτμῶδες οἷόν περ ἐν τοῖς εὐχύμοις, ἀλλὰ δακνῶδες καὶ δριμὺ καὶ καπνῷ παραπλήσιον ἢ λιγνύϊ. τούτοις οὖν τοῖς σώμασιν ὑγιεινότατα μὲν λουτρὰ γλυκέων ὑδάτων εὐκράτων καὶ τρίψις ἀραιωτικὴ καὶ γυμνάσια σύμμετρα καὶ δίαιτα γλυκύχυμος, ἐναντιώτατα δὲ λουτρὰ ψυχρὰ καὶ στυπτηριώδη καὶ ἀλουσία καὶ γυμνάσιον ὀξὺ καὶ τρίψις ἤτοι μηδ' ὅλως ἢ σκληρὰ γινομένη καὶ δίαιτα κακόχυμος, ἀγρυπνία τε καὶ θυμὸς καὶ λύπη καὶ φροντὶς, ἔγκαυσίς τε καὶ κόπος. ἀλλὰ περὶ μὲν τῶν ἄλλων αὖθις ἐπάνειμι· περὶ δὲ τῆς στεγνώσεως νῦν ὅθεν ὁ λόγος ὡρμήθη γινώσκειν χρὴ σαφῶς ὅτι καὶ μόνη χωρὶς τῶν ἄλλων ἁπάντων ἱκα(119)νὴ γεννῆσαι πυρετούς. ἐὰν οὖν εἴρξῃς τὰς τοιαύτας φύσεις τῶν οἰκείων λουτρῶν, αὐτίκα πυρέττουσιν. ἐθεάσω δὲ δήπου καθ' ὃν ἐν

et in quo cujusque corporis affectu, is nunquam methodo febri profpiciet.

Cap. II. Dictum namque eft in iis corporibus meatuum conftipationem febrem excitare, in quibus quod tranfpirat halituofum non eft, cujusmodi vifitur in iis, qui boni funt fucci, fed mordax et acre, fumo fuligineve non abfimile. His igitur corporibus faluberrima eft ex aqua dulci et temperata lavatio, tum frictio quae rarefaciat, et exercitationes mediocres et victus qui dulces efficiat fuccos. Advertiffima vero funt lavatio frigida et aluminofa, lavationis abftinentia et exercitatio acuta; et frictio vel plane nulla vel dura, et victus mali fucci et vigiliae et ira et triftitia et cura, uftioque in fole et fatigatio; verum de reliquis poft dicam, de ftipatione vero *meatuum* impraefentiarum, unde digreffus fermo eft, liquido fcire licet folam eam, fi reliqua omnia defint, accendere febrem poffe. Si itaque ejusmodi naturas a convenientibus fibi lavationibus prohibeas, protinus febricitant. Vidifti autem profecto quo tempore Ro-

Ῥώμῃ σὺν ἡμῖν διέτριψας χρόνον ἐνίους οὕτω νοσήσαντας· ἐφ᾽ ὧν οἱ τὴν θαυμαστὴν διάτριτον ἀσίτους ὑπερβάλλειν ἀξιοῦντος, αὐτοὶ κακοηθεστάτους πυρετοὺς κατασκευάζουσι, δέον αὐτίκα τοῦ πρώτου παροξυσμοῦ παρακμάζοντος ἀπάγειν εἰς τὸ βαλανεῖον, ἐπιτρέπειν τε λούεσθαι πολλάκις εἰ βούλοιντο, μὴ μόνον ἅπαξ, ἀλλὰ καὶ δίς. ἐγὼ γοῦν ἐάσας ἅπαντας τοὺς ἄλλους ἀναμνήσω σε τοῦ λουσαμένου μὲν ἐν τοῖς στυπτηριώδεσιν ὕδασιν, ἃ καλοῦσιν Ἄλβουλα, πυκνωθέντος δ᾽ ἐκ τούτου τὸ δέρμα, κἀντεῦθεν ἀρξαμένου πυρέττειν, ἀρκέσει γὰρ ἕνεκα σαφηνείας οὗτος οἷον παράδειγμά τι τοῦ λόγου γενέσθαι. παρῆσαν μὲν ἐπισκοπούμενοι τῶν οὐκ ἀφανῶν τινες ἰατρῶν ὁ μὲν Ἐρασιστράτειος, ὁ δὲ μεθοδικός· ἔδοξε δ᾽ ἀμφοτέροις ἀσι[181]τῆσαι τὸν ἄνθρωπον. οὐ μὴν εἰάσαμέν γε ἡμεῖς, χωρισθέντων αὐτῶν ἐλθόντες, ἀλλ᾽ εἰς βαλανεῖον εἰσαγαγόντες εὐθέως καὶ χλιαρὸν ἔλαιον ἐπὶ πλεῖστον αὐτῷ περιχέαντες, ἀνατρίψαντές τε πρᾳότατα, τὸ πλεῖστον τοῦ χρόνου μέρος ἐν τῷ τῆς θερμῆς δεξαμένης ὕδατι διατρίβειν ἐκελεύσαμεν. εἶτα ἐξελθόντα καὶ

mae nobiscum egifti, aliquos ita laborare, in quibus qui mirificam diatriton transmittere eos in cibi inedia cenfent, ipfi malignifiimas febres faciunt, quando protinus in primae acceffionis declinatione, in balneum eos ducere oportebat, ibique finere crebro, fi vellent, nedum femel aut bis lavare. Ego namque reliquis omnibus omiffis eum tibi in memoriam revocabo, qui in aquis aluminofis, quas Albulas vocant, laverat, ac ex eo cute denfata poft coeperat febricitare; nam fatisfaciet is pro claritate fermonis noftri veluti exemplum. Sane hominem invifebant medici quidam non incelebres, alter Erafiftratius, alter methodicus, vifum autem eft ambobus hominem a cibo continere. Quod tamen nos quum poft illos digreffos fupervenimus non permifimus, fed ftatim in balneum perductum et tepenti oleo largiffime perfufum, tum blandiffime perfrictum, quam plurimum temporis in calidi folii aqua verfari juffimus. Mox egreffo ac frigida ex confuetudine

Ed. Chart. X. [181.] Ed. Baf. IV. (119.)

χρησάμενον ὕδατι ψυχρῷ, κατὰ τὰ εἰωθότα σκεπάσαντες σινδόνι καὶ βραχὺ καθίσαι κελεύσαντες, ὡς ἀνακτήσασθαι τὴν δύναμιν, αὖθις εἰσαγαγόντες εἰς τὸ βαλανεῖον ὁμοίως τε πάλιν ἀλείψαντές τε καὶ τρίψαντες καὶ κατὰ τὸ θερμὸν ὕδωρ χρονίσαι κελεύσαντες· εἶτ᾽ αὖθις ἐξαγαγόντες καὶ τῷ ψυχρῷ βάψαντες, ἀπομάξαντές τε τροφὴν ἐδώκαμεν αὐτίκα μὲν ἐξελθόντι μετὰ τὸ πιεῖν ὕδατος πτισάνης χυλὸν, εἶτα βραχὺ διαλιπόντες θριδακίνην, καὶ μετ᾽ αὐτὴν ἐξ ἁπλοῦ λευκοῦ ζωμοῦ τῶν ἁπαλοσάρκων ἰχθύων, οἷοί περ οἱ πετραῖοι πάντές εἰσι καὶ οἱ ὀνίσκοι καλούμενοι. κάλλιον δ᾽ ἕνεκα τοῦ παραλελεῖφθαι μηδὲν ἅπαντα προσθεῖναι τῇ διηγήσει. τοῦ μὲν ἔτους ἦν ὁ καιρὸς ἐκεῖνος ἐν ᾧ ταῦτ᾽ ἐπράττετο βραχύ τι μετὰ τὰς ὑπὸ κύνα προσαγορευομένας ἡμέρας, ὁ δὲ ἄνθρωπος ὡς πέντε καὶ τριάκοντα ἐτῶν, μελάντερος τὴν χροιὰν καὶ λεπτὸς τὴν ἕξιν καὶ δασὺς, ἁπτομένοις τε σαφῶς δακνώδη τὴν θερμασίαν ἔχων, ὁπότ᾽ ὑγίαινεν, οὖρα κατακορῆ ξανθὰ καὶ εἰ ἐπὶ πλέον ἀσιτήσειε δάκνοντα, γαστὴρ ἐξηραίνετο συνεχῶς καὶ ἦν τὰ διαχωρήματα βραχέα καὶ δριμέα καὶ ξηρά· τὸ

ufo, tum findone cooperto, confidere paululum ad vires recreandas praecepimus; poftea denuo in balneum perducto, ac rurfus fimiliter tum uncto tum perfricto, ac in calida morari juffo; dein rurfum educto, ac frigida merfo deterfoque exhibuimus cibum, protinus quidem ut egreffus eft atque aquam bibit; ptifanae cremorem; dein parvo intervallo lactucam, ac poft hanc ex fimplici albo jure pifcium aliquid eorum qui molli funt carne, cujusmodi faxatiles omnes et afelli quos vocant. Porro non alienum fit, quo nihil narrationi defit, omnia recenfere. Tempus anni erat quo haec agebantur paululum poft caniculares quos vocant dies. Homo ipfe circiter quinque et triginta annorum, colore nigello et habitu corporis gracili atque hirto, tum qui tangentibus, etiam cum valeret, manifefte calorem exhiberet mordentem; urinas quoque habebat abunde flavas, ac fi plusculum cibo abftineret, etiam mordentes, alvus affidue ficca erat, tum quae excernebat exigua acriaque et ficca;

δὲ τῆς ψυχῆς ἦθος ὀξύθυμόν τε καὶ φροντιστικὸν ὑπῆρχεν, ὀλιγόϋπνός τε τὰ πάντα καὶ συνεχῶς ἀγρυπνίαν μεμφόμενος. οὗτος ἐν χωρίῳ τινὶ πράξεων ἕνεκα γενόμενος ἐχρῆτο τοῖς Ἀλβούλοις πλησίον οὖσιν ὥρας, τε ἑβδόμης, ὡς ἔφασκε, καὶ τρίς γε καὶ τετράκις ἐλούετο, χρηστόν τι δὴ τοῦτο νομίζων ἐργάζεσθαι. ἐκεῖθέν τε πάλιν εἰς τὸν ἀγρὸν ἀφικόμενος καὶ τροφὴν προσαράμενος, εἶθ᾽ ὑπνώσας βραχέα παρεγένετο μὲν εἰς τὴν πόλιν ἑσπέρας βαθείας, ἀπορήσας δ᾽ ἐπιτηδείου λουτροῦ διὰ τῆς νυκτὸς ἐπύρεξε. θεασάμενοι δὲ αὐτὸν οἱ ἰατροὶ σχεδὸν ὥρας τρίτης τῆς ἡμέρας ἐκέλευσαν οὐ μόνον ἐκείνην, ἀλλὰ καὶ τὴν ἑξῆς ἀσιτεῖν ὅλην, ἵνα τὴν διὰ τρίτης νύκτα φυλάξαιντο, καὶ ταῦτ᾽ εἰπόντες ἀπηλλάττοντο. λούσαντες οὖν ἡμεῖς αὐτὸν καὶ διαιτήσαντες, ὡς εἴρηται, τοῖς οἰκέταις ἐκελεύσαμεν, ἐὰν εἰς ἑσπέραν οἱ ἰατροὶ παραγενηθῶσιν ἡσυχάζειν τε φάναι τὸν ἄνθρωπον, ἀποπέμπειν τ᾽ ἐκείνους παραχρῆμα, τῆς ἐπιούσης ἡμέρας ἥκειν ἀξιώσαντας. ὡς δ᾽ ἐχωρίσθησαν, αὖθις ὁμοίως λούσαντές τε καὶ διαιτήσαντες αὐτὸν, ἐξ αὐτῶν τούτων ὧν ἐπράξαμεν ὑπνῶσαι καλῶς ἐποιήσα-

mores animi ad iram et cogitationem propenfi, ipfi pauci omnino fomni et perpetuo de vigiliis querebatur. Hic quodam loco quo negociorum gratia conceflerat, Albulis, quae haud longe aberant, eft ufus, feptima, ut ajebat, diei hora ac ter quaterque fe lavit, falubriter fibi confuluiffe ratus. Hinc quoque ubi rurfus in agrum fe recepiffet, ac cibum fumpfiffet et paululum indormiffet, venit ad urbem fero vefpere, ubi deftitutus idoneo balneo nocte febricitavit. Quum autem tertia fere diei hora contemplati eum medici effent, jufferunt non eum modo diem, verum etiam pofterum totum per inediam tranfigere, quo tertiae diei noctem obfervarent, atque his dictis abierunt. Nos tum lavato tum, ut praedictum eft, cibato, miniftris praecepimus, fi medici vefperi venirent, quiescere hominem dicerent, eosque ftatim remitterent ac poftridie mane redire juberent. Ut vero abierunt, rurfus hominem fimili modo lavatum ac cibatum, iis ipfis quae egimus dormire probe fecimus. Ac-

μεν. παραγενόμενοι δὲ οἱ ἰατροὶ κατὰ τὴν ὑστεραίαν ἕωθεν, ἠξίουν αὐτὸν ἔτι κἀκείνην ἀσιτῆσαι τὴν ἡμέραν, εἰ καὶ ὅτι μάλιστα τελέως ἀπύρετος εἴη. τοῦ δ᾽ ὑποσχομένου πράξειν ὡς κελεύουσιν, οἶσθα μὲν δή που τὸν γέλωτα τὸν γενόμενον ἀπελθόντων αὐτῶν, ὃν ἡμεῖς ὀλίγον ὕστερον ἀφικόμενοι κατελάβομεν. ἐπίστασαι δὲ καὶ ὅπως ἐπράχθη τὰ κατὰ τὸν ἄῤῥωστον. ἐπειδὴ γὰρ, ἔφην, ὑγιαίνων ἐλούου δὶς, οἱ δ᾽ ἰατροὶ τελέως ἀσιτῆσαί σε κελεύουσιν, οὔτ᾽ ἐκείνοις τὸ σύμπαν πεισθῆναι δίκαιον, διαλλάξαι τέ τι τῶν ἐπὶ τῆς ὑγείας προσήκει. τοῦ δ᾽ οἰομένου με συμβουλεύειν αὐτῷ λούσασθαι μὲν, ἀλλ᾽ οὐ δὶς, ἑτοίμου τε πράττειν εἶναι φάσκοντος ὅ τι περ ἂν ἐγὼ κελεύσαιμι· μὴ τοίνυν, ἔφην, μήτ᾽ ἀσιτήσῃς μήτε λούσῃς δὶς, καὶ γὰρ καὶ καμεῖν μοι δοκεῖς τρίτην ἡμέραν καί που καὶ θερμανθῆναι σφοδρότερον ὑπὸ τοῦ ἡλίου· διά τε οὖν τὸν κάματον, ἔφην, καὶ τὴν ἔγκαυσιν ἕν σε χρὴ προσθεῖναι λουτρὸν τοῖς δύο καὶ τρὶς λούσασθαι πειθόμενον ἐμοὶ, [182] τοῦτο γὰρ ὑπέσχου ποιήσειν. ὁ δὲ μειδιάσας χαλεπὰ μὲν, ἔφη, προσ-

cedentes autem mane poſtridie medici cenſuerunt etiam eo die cibo illi abſtinendum, etiam ſi quam maxime ſine febre prorſus eſſet. Illo vero promittente ſe facturum quod juberent, ſcis quantus illis digreſſis riſus ſit excitatus, quem nos paulo poſt pervenientes deprehendimus. Non fugit vero nec quomodo cum laborante ipſo ſit actum. Nam quoniam, inquam, quum valeres, bis lavare ſolebas ac medici cibum tibi omnino circumcidunt, nec illis jure in totum obſequendum eſſe, et aliquid eorum quibus per ſanitatem es uſus immutandum arbitror. Eo vero putante me ſibi ſuadere ut lavaret quidem, ſed non bis, tum paratum ſe affirmante quicquid juſſerim exequi, ergo, inquam, neque inediam tolerabis neque lavabis bis, ſi quidem et laboraſſe mihi videris jam triduo et calefactus vehementius a ſole fuiſſe; propter igitur laborem, inquam, et uſtionem, unam te adjicere lavationem ad duas oportet, ac ter mihi audientem lavari, quoniam id mihi facturum te pollicitus es. Ille ſubridens dura, inquit, imperas, caeterum quo-

τάττεις, ἀλλ᾿ ἐπεὶ συνθήκας φυλάττειν δίκαιον, ἃ κελεύεις ποιήσω. τὰ δὲ πραχθέντα μετὰ ταῦτα τοῖς ἰατροῖς οἶσθα δήπου σαφῶς ὁπόσου καταγέλωτος ἦν ἄξια. δὶς μὲν ἐλέλουτο καὶ ἠριστηκὼς ἐκεκοίμητο, περὶ δὲ δυσμὰς ἡλίου τῶν οἰκετῶν τις ἀγγέλλει παρεῖναι τοὺς ἰατρούς. ὁ δὲ προσποιεῖται πυρέττειν καὶ περιβαλλόμενος ἱμάτιον, εἴσω τε στραφεὶς, ὅπως μὴ καταφανὴς αὐτοῖς γένοιτο πεπωκὼς οἶνον, τῶν φίλων τινὶ κελεύει τοῖς ἰατροῖς ἀνθ᾿ αὑτοῦ ποιεῖσθαι τὰς ἀποκρίσεις, ἤν τι πυνθάνωνται. ἔμελλον δὲ δήπου τὸ συνηθέστατον αὐτοῖς πρῶτον ἐρήσεσθαι, θεώμενοι περιβεβλημένον ἐπιμελῶς ἅμα τῇ κεφαλῇ τὸν ἄνθρωπον, ἥτις ἦν ὥρα καθ᾿ ἣν ὁ παροξυσμὸς εἰσέβαλεν. ἀποκρινομένου δὲ τοῦ φίλου σχεδὸν οὐδεμίαν ὁλόκληρον ὥραν γεγονέναι μεταξὺ, πότερον μετὰ φρίκης, ἢ μετὰ περιψύξεως ὑπήρξατο πυνθάνονται. τοῦ δὲ μετὰ φρίκης εἰπόντος ἅπτονται τοῦ ἀνθρώπου, διά τε τὸ γελᾶν καὶ περικεκαλύφθαι νοτιζομένου. ἐπαινέσαντες οὖν αὐτὸν ἐπὶ τῷ πεισθῆναί σφισι καὶ μηδὲν ἁμαρτεῖν, πρὸ τοῦ διὰ τρίτης παροξυσμοῦ, τοιγάρ τοι διὰ τοῦτο ἔφασαν ἤδη μέν σοι πέ-

niam ſtare pactis eſt juſtum, faciam quae jubes. Quae vero medici poſt haec egere noſti plane quanto erant digna riſu. Bis jam lavatus fuerat pranſusque dormierat, quum circa occaſum ſolis miniſtrorum quidam adeſſe medicos nunciat. Hic vero febricitare ſe ſimulat, ac veſte circumdatus involutusque, quominus bibiſſe vinum ab ipſis deprehenderetur, amico cuidam mandat, medicis, ſi quid percontentur, pro ſe reſpondeat. Erat autem de more, ubi involutum curioſe hominem etiam cum capite viderant, primum illud ſolenne ipſi rogaturi, quota hora acceſſio invaſiſſet. Quum autem amicus reſpondiſſet, ferme ne unam quidem integram ex quo coepiſſet interceſſiſſe horam, cum horrorene an frigore coepiſſet rogant. Eo cum horrore reſpondente, tangunt hominem jam corpore propter riſum et operimentum madentem. Itaque ubi hominem laudaſſent, quod ſibi obtemperaſſet, nec quicquam ante tertiae diei acceſſionem deliquiſſet, ob id ipſum, inquiunt, nunc te deſeruit horror,

παυται τὰ τῆς φρίκης, ἱδρῶτος δ᾽ ἐστὶν ὑπόφασις καὶ νοτὶς πολλὴ περὶ τὸ δέρμα, καὶ ταῦτ᾽ οὐκ ἂν ἐγένετο, μὴ ἀσιτήσαντός σου καὶ τὴν διάτριτον ὑπερβάλλοντος. κελεύσαντες οὖν τοῖς οἰκείοις, ἐὰν γένωνταί τινες αὐτῷ νοτίδες, ἀπομάττειν ἐπιμελῶς, ὅπως μὴ ψυχθείη, παραγενήσεσθαί τε φάντες ἕωθεν ἀπαλλάττονται, μηδὲ τότε κελεύοντες ἐπὶ τοῖς ἱδρῶσι τραφῆναι τὸν ἄνθρωπον· ἐδόκουν γὰρ αὐτοῖς αἱ κατ᾽ ἐκεῖνον τὸν καιρὸν νύκτες εἶναι μικραὶ καὶ κάλλιον ἐφαίνετο κατὰ τὴν ὑστεραίαν ἕωθεν τρέφειν. ἀπαλλαγέντων οὖν αὐτῶν ἐν ἱδρῶτι ῥεόμενος ὁ νεανίσκος, ὡς ἐνετετύλικτο τοῖς ἱματίοις, καταδραμὼν εἰς τὸ βαλανεῖον, ἐλούσατο τὸ τρίτον, ὁμοίως τε διῃτήθη. κἄπειτα κατὰ τὴν ὑστεραίαν, πρὶν ἀφικέσθαι τοὺς ἰατροὺς, προῆλθε τῆς οἰκίας ἐπίτηδες, ὅπως μὴ καταλάβοιεν αὐτόν. οἳ δ᾽ ἄρα μικρὸν ὕστερον ἥκοντες (120) καὶ μαθόντες αὐτὸν προεληλυθέναι καθ᾽ ἑαυτοὺς ἐθαύμαζον, ὅ τι ποτ᾽ εἴη τὸ προελθεῖν ἀναγκάσαν ἠσιτηκότα δυοῖν ἡμέραιν τὸν ἄνθρωπον. εἰ μὲν οὖν ἓν τοῦτο μόνον ὑπὸ τῶν τοιούτων ἰατρῶν οἱ κάμνοντες ἠδικοῦντο, τὸ μέχρι πλειόνων ἡμερῶν ἐπὶ τῆς κλίνης κατέχεσθαι, δυνάμενοι καὶ χωρὶς ἀσιτίας ἀκαί-

eſtque ſudoris indicium ac multa humiditas circa cutem, quae haudquaquam eveniſſent niſi inediam toleraſſet, et triduum transmiſiſſes. Juſſis igitur propinquis, ſi quae guttulae illi manarent, diligenter detergerent ne frigore afficeretur, tum mane ſe redituros praefati discedunt, ne tum quidem poſt ſudores juſſo homine nutriri; viſae namque ſunt illis noctes eo tempore breves, utiliusque eſſe poſtridie mane nutrire. Digreſſis igitur ipſis perfuſus ſudore juvenis, ita ut involutus veſtibus fuerat in balneum cucurrit, ac tertio lavit et ſimiliter eſt cibatus. Poſtridie priusquam adventarent medici, egreſſus domo dedita opera eſt, ne ſe deprehenderent. Itaque quum paulo poſt venirent, et egresſum intelligerent, mirati inter ſe ſunt, quid tandem hominem egredi ſubegiſſet jam bidui paſſum inediam. Ergo ſi hoc uno male ab ejusmodi medicis aegris afficerentur, quod pluribus diebus in cubilibus detinerentur, quum liceret ſine

ρου πολὺ θᾶττον ἐπὶ τὰς συνήθεις ἀφικνεῖσθαι πράξεις, ἦν μὲν ἂν δήπου καὶ οὕτω δεινὸν τὸ γιγνόμενον, ἀλλ᾽ ἧττον μακρῷ τῶν καταλαμβανόντων αὐτούς. ἐπειδὴ δὲ χαλεπωτάτοις ἁλίσκονται πυρετοῖς αἱ εἰρημέναι φύσεις, ὅταν οὕτω διαιτηθῶσιν, οὐδὲν ἀποδεῖν μοι δοκοῦσι δημίων οἱ τὰ τοιαῦτα διαπραττόμενοι τῶν ἰατρῶν. οὐ γὰρ ὥσπερ οἱ ὑγροὶ καὶ εὔχυμοι κατὰ τοὺς ἐφημέρους πυρετοὺς ἀναγκασθέντες ὑπερβάλλειν τὴν δαιμονίαν διάτριτον ἓν τοῦτο ἀδικοῦνται μόνον, τὸ κατατρίβεσθαι μάτην, οὕτω καὶ αἱ προειρημέναι φύσεις, ἀλλ᾽ ἐπὶ ταῖς μακροτέραις ἀσιτίαις ἁλίσκονται πυρετοῖς δριμυτάτοις τε καὶ ὀξυτάτοις, ἐξ ὧν ἡ μετάπτωσις εἰς τοὺς ἑκτικοὺς γίνεται ῥᾳδίως, κἀξ ἐκείνων αὖθις εἰς τὸν περιφρυγῆ μαρασμὸν, ἢ ἐὰν εὐαδίκητον εἴη τὸ στόμα τῆς γαστρὸς, εἰς τὸν συγκοπώδη. πολλάκις γοῦν ἤκουσας ἡμῶν λεγόντων ἐνίοις τῶν τοιούτων ἰατρῶν ὡς ἔξεστιν αὐτοῖς ἐναργέστατα μαθεῖν ἡλίκον ἐργάζονται κακὸν ἐν ἀσιτίᾳ φυλάττοντες τὰς προειρημένας φύσεις, ἢν ἐθελήσωσιν ὑγιαίνοντας ἀμέμπτως αὐτοὺς ἀσιτῆσαι κελεῦσαι δυοῖν ἡμέραιν·

intempeftiva hac inedia multo citius ad confueta vitae munia redire, effet profecto vel id pergrave; verum longe gravius eft quod ipfis accidit. Quum enim dictae naturae, ubi fub tali victu reguntur, graviffimis corripiantur febribus, qui hunc injungunt medici, nihil mihi a carnificibus differre videntur. Non enim veluti qui humidi ac boni fucci funt, ubi in febre diaria transmittere mirificam diatriton coguntur, unum id tantum patiuntur incommodum quod fruftra crucientur, fic etiam naturae jam praedictae; imo ex longiore inedia acerrimis acutiffimisque corripiuntur febribus, a quibus promptus eft in hecticas tranfitus, atque ab his rurfus in torridum marasmum, aut fi os ventriculi facile injuriis pateat, in fyncopofum. Audifti enim faepe nonnullis talium medicorum dicentem me, licere ipfis evidenter intelligere, quantum mali committant, dum praedictas naturas in inedia cuftodiunt, fi velint, dum fani omnino funt, biduum eos inediam jubere tolerare; cernent enim illico

ὄψονται γὰρ αὐτίκα πυρέττοντας δι᾽ οὐδὲν ἄλλο δήπουθεν, ἢ τὸν λιμόν. ᾧ γὰρ οὔτ᾽ ἦν ἔμπροσθεν οὐδὲν ἄλλο περὶ τὸ σῶμα [183] μέμψεως ἄξιον, οὔτ᾽ ἐν τῷ μεταξὺ προσεγένετό τι νεώτερον ἔξωθεν, οὗτος ἐναργῶς ὑπὸ τῆς ἀσιτίας ἐπύρεξεν. ὅταν δ᾽, ὡς εἴρηται, μὴ μόνον εἷς ἢ δύο τῶν οὕτω δυσκράτων, ἀλλ᾽ ἐφεξῆς ἅπαντες ἀσιτήσαντές τε καὶ ἀλουτήσαντες ἁλίσκωνται πυρετοῖς, οὐδ᾽ ἀμυδρὰν ὑπόνοιαν ἔτι δυνατὸν ἡμῖν γίγνεσθαι τοῦ δι᾽ ἄλλο τι καὶ μὴ διὰ τὴν ἀσιτίαν πυρέττειν αὐτούς. οἷς γὰρ ἐν τῇ κράσει τοῦ μὲν ὑγροῦ τὸ ξηρὸν, τοῦ δὲ ψυχροῦ τὸ θερμὸν πλεονεκτεῖ, τούτοις ἡ μὲν ἕξις τοῦ σώματος ἰσχνὴ καὶ δασεῖα καὶ μελαντέρα, καὶ εἰ ἅψαιο, θερμοτέρα τῶν ἄλλων τριῶν τῶν δυσκράτων, τῶν ἧττον θερμῶν, ἐντεύξῃ· παμπόλλη δ᾽ ἡ ξανθὴ χολὴ καὶ οὖρα καὶ διαχωρήματα κατακορῆ καὶ οἱ σφυγμοὶ μεγάλοι καὶ ὕπνοι λεπτοὶ καὶ ὀλίγοι καὶ ὁ θυμὸς σφοδρός. εἴρηται τοιγαροῦν ἐπ᾽ αὐτῶν ὀρθῶς Ἱπποκράτει τό τε καθόλου τῆς διαίτης εἶδος ὁποῖόν τι χρὴ ποιεῖσθαι καὶ ὅσα καὶ οἷα καταλαμβάνει συμπτώματα τοὺς τοιούτους ἀνθρώπους, οὐ μόνον ἐπειδὰν δι᾽ ὅλης ἡμέρας

febricitantes, idque ob nullum profecto aliud quam famem. Siquidem cui nec fuberat prius quicquam in corpore conquestione dignum, nec quicquam illi interim acceffit extrinfecus novi, is plane ex inedia febricitavit. Quum autem, ut dictum eft, non unus alterve fic intemperatorum, fed deinceps omnes, ubi inediam tolerarunt et balnei folio abftinuerunt, febre corripiuntur, ne vel levis quidem amplius relinqui nobis fufpicio poteft, quafi ob aliud quippiam et non inediam febricitarint. Quibus namque in corporis temperamento ficcum praevalet humido et calidum frigido, his corporis habitus gracilis, hirfutus et nigrior eft, ac reliquis tribus intemperamentis, quae hoc funt minus calida, tactu calidior advertitur; plurima quoque his flava eft bilis, urinaeque ac dejectio bile fatura et pulfus magni et fomni leves et pauci et animi impetus vehemens. Ergo recte horum Hippocrates tum generalem victus formulam, cujusmodi effe conveniat, tum quot ac qualia fymptomata in ejusmodi homines incidant, non folum ubi totum diem in cibi ine-

ἀσιτήσωσιν, ἀλλὰ κἂν τῆς ἑτέρας τροφῆς ἀπόσχωνται τῆς κατὰ τὸ ἄριστον. ἐν μὲν γὰρ τῷ ἕκτῳ τῶν ἐπιδημιῶν φησὶν, ἐν θερμῷ φύσει ψύξις, ποτὸν ὕδωρ, ἐλιννύειν. ἐν δὲ τῷ περὶ διαίτης ὀξέων, ὃ τινες ἐπιγράφουσι πρὸς τὰς Κνιδείας γνώμας, ὑπὲρ τῶν ἐκλειπόντων τὸ εἰθισμένον ἄριστον διαλεγόμενος, ἐμνημόνευσε καὶ τούτων τῶν φύσεων ὀνομάζων αὐτὰς πικροχόλους ἀπὸ τοῦ κρατοῦντος χυμοῦ. ἔχει δ' ἡ ῥῆσις ὧδε· Ἀλλὰ μὴν καὶ οἱ μεμαθηκότες δὶς σιτέεσθαι τῆς ἡμέρης, ἢν μὴ ἀριστήσωσιν, ἀσθενέες καὶ ἄῤῥωστοί εἰσι καὶ δειλοὶ εἰς πᾶν ἔργον καὶ καρδιαλγέες, ἐκκρεμᾶσθαι γὰρ δοκέει αὐτοῖς τὰ σπλάγχνα καὶ οὐρέουσι θερμὸν καὶ χλωρὸν καὶ ἡ ἄφοδος συγκαίεται· ἔστι δ' οἷσι καὶ πικραίνεται τὸ στόμα καὶ οἱ ὀφθαλμοὶ κοιλαίνονται καὶ οἱ κρόταφοι πάλλονται καὶ τὰ ἄκρα διαψύχονται. ταῦτα προειπὼν, εἶθ' ἑξῆς ἕτερά τινα περί τε τοῦ δείπνου καὶ τῆς νυκτὸς, ἐπὶ τελευτῇ τοῦ λόγου φησὶ τοὺς πικροχόλους χαλεπώτερόν τε φέρειν τήν τε μονοσιτίαν καὶ τὴν ἀσιτίαν τῶν ἄλλων ἀνθρώπων, ἕν τι μέρος ἐξηγούμενος ἐπ' αὐτῶν ἐν ἐκείνῳ τῷ βιβλίῳ, τὸ κατὰ τὴν

dia transegerint, verum etiam ubi altero cibo, qui pro prandio datur, abſtinuerint, prodidit. In ſexto enim Epidemiorum ita inquit: *in calida natura refrigeratio, aqua potio, quies.* In libro autem de acutorum victu, quem aliqui adverſus Cnidias ſententias inſcribunt, quum de iis disputat qui ſolitum prandium dimittunt, etiam hujus naturae hominum meminit, picrocholos eos a redundante ſucco nominans. Ejus verba ita ſe habent: *Sed et qui bis die comedere conſueverunt, ii ſi non prandent, aegrotant, tum imbecilli et infirmi fiunt ac timidi ad quodvis opus;* praeterea cardialgiam patiuntur, ſiquidem *ſuſpenſa illis viscera videntur et calidum pallidumque mingunt et dejectio uritur;* ſunt praeterea *quibus os amaricat, oculi cavantur, tempora palpitant et extremae partes frigent.* Haec ubi praedixit, mox alia quaedam tum de coena tum de nocte ad finem ſermonis ait, picrocholos tum unicum in die victum tum inediam quam alios homines difficilius ferre, unam in eo libro exponens partem eorum, quae in ſexto

δίαιταν, ὧν ἐν τῷ καθόλου παρήνεσεν ἐν τῷ ἕκτῳ τῶν ἐπιδημιῶν. ἡ γάρ τοι ψύξις ἣν ἐν ταῖς θερμαῖς φύσεσι συνεβούλευε, γίγνεται μὲν καὶ ἐξ ἄλλων τινῶν, οὐχ ἥκιστα δὲ καὶ διὰ τῆς τῶν σιτίων προσφορᾶς. ὅσοις γὰρ αὐχμῶδές τέ ἐστι καὶ δριμὺ τὸ ἔμφυτον θερμὸν ἀμετρότερον ἐξ ἀρχῆς κρατηθεῖσι, τούτοις αἱ τροφαὶ πραότερον αὐτὸ καὶ ἧττον ἀποφαίνουσι δακνῶδες. εὔδηλον δὲ δήπουθεν ὡς εὐχύμους τε καὶ ἀκριβεῖς εἶναι χρὴ τροφὰς τὰς διδομένας αὐτοῖς, οὐ τῷ μετέχειν τῆς τοιαύτης ὀλίγης οὐσίας ὀνομαζομένας τε καὶ τρέφειν μὴ δυναμένας, ἀλλὰ τῷ τὸ πλεῖστον ἐν ἑαυταῖς ἔχειν χρηστόν. εἰσὶ μὲν γάρ πως καὶ αἱ μαλάχαι καὶ αἱ κράμβαι καὶ τὰ τεῦτλα καὶ αἱ θριδακίναι καὶ ἁπλῶς εἰπεῖν τὰ λάχανα σύμπαντα καὶ αἱ ὀπῶραι τροφαὶ, περιέχεται γάρ τις ἐν αὐταῖς οὐσία τρόφιμος. ἀλλ' ὥσπερ τούτων ὀλίγον μέν ἐστι τὸ τρέφον, οὐκ ὀλίγον δὲ τὸ ἄχρηστον, οὕτως ἐπ' ἄρτου καθαροῦ καὶ ὠῶν καὶ κρεῶν καὶ χόνδρου πλεῖστον μὲν τὸ τρέφον, ἐλάχιστον δὲ τὸ μὴ τοιοῦτον. ἐὰν δὲ δὴ πρὸς τῷ μὴ τρέφειν τὸ μεμιγμένον ἄχρηστον τῷ χρησίμῳ συμβαίνῃ δριμεῖαν, ἢ ὀξεῖαν, ἢ

epidemiorum monuit in univerfum, quod ad victum fpectat. Nam refrigeratio, quam calidis naturis fuafit, efficitur cum ex aliis quibusdam tum non minime ex cibi exhibitione. Quibus enim tum fqualidus tum acer nativus calor eft, temperamento immoderatiori temperatis, his alimenta mitiorem eum minusque mordentem reddunt. Sane illud non latet, et boni fucci et exquifita debere effe quae his exhibeantur nutrimenta, non tamen ea quae boni fucci, propterea quod exiguum hujusmodi fubftantiae in fe habent, nominentur ac nutrire nequeant, imo quod utile plurimum in fe contineant. Sunt namque et malvae et braffìcae et betae et lactucae, et denique omnia olera et fructus nutrimenta, quum fubftantia in his habilis ad alendum contineatur. Verum ficut in his exiguum eft quod nutrit, non exiguum quod eft inutile, ita in pane puro et ovis et carne et alica plurimum eft quod nutrit, minimum quod eft inutile. Quod fi id inutile quod admixtum utili eft, praeterquam quod non nutrit, etiam acrem, aut acidam, aut

στρυφνὴν, ἢ πικρὰν, ἢ ὅλως μοχθηράν τινα δύναμιν ἔχειν, οὐ μόνον ἐκπέπτωκε τὰ τοιαῦτα τοῦ μὴ κυρίως ὑπάρχειν τροφαὶ, ἀλλὰ καὶ τῆς τῶν φαρμάκων δυνάμεως οὐ σμικρόν τι μετείληφε. τρέφειν οὖν χρὴ τοὺς τοιούτους ἀνθρώπους ἐκείναις ταῖς τροφαῖς ὅσαι μήτε τινὰ φαρμακώδη δύναμιν ἔχουσιν αἰσθητὴν, [184] ἀλλὰ μηδ' αὐτὸ τὸ τρόφιμον πάμπολυ· πρόσεστι γάρ τις καὶ τούτῳ κακία πλεονασθέντι. πρῶτον μὲν γὰρ οὐδ' ἡ κατὰ τὴν γαστέρα πέψις ἐπ' αὐτῶν ἀκριβοῦται· εἰ δ' ἄρα καὶ κρατήσειεν αὐτῶν ἡ γαστὴρ, ἀλλ' ἥ γε κατὰ τὰς φλέβας οὐκ ἀκριβὴς γίγνεται. εἰ δὲ κἀν ταύτῃ μηδέν τι μέγα πλημμεληθείη, τὴν γοῦν τρίτην πέψιν, ἥτις ἐστὶν ἑκάστου τῶν μορίων οἰκεία, χαλεπὸν ἐν ἅπασιν αὐτοῖς κατορθωθῆναι. πρόσεστι δὲ δήπου τῷδε καὶ τὸ χρῆναι τὰς τροφὰς, ἐπειδὰν θερμότερόν τε καὶ ξηρότερον ἑαυτοῦ γένηται τὸ σῶμα, ψυχούσας πως εἶναι καὶ ὑγραινούσας. ὅθεν ἄριστος μὲν ὁ τῆς πτισάνης χυλὸς ἀκριβῶς καθεψημένης, οὐδὲν ἐχούσης ἐν ἑαυτῇ περίεργον ἥδυσμα. καὶ γὰρ ἐμψῦξαι καὶ ὑγρᾶναι καὶ ἄδιψον φυλάξαι τὸν ἄνθρωπον ἱκανὴ πρὸς τῷ μήτ' ἀτμῶδές

acerbam, aut amaram, aut denique vitiofam quampiam qualitatem habet, non modo non proprie nutrimenta funt, fed etiam medicamentofae facultatis non parum in fe habent. Expedit igitur tales homines illis nutrire cibis, quicunque nec medicamentofam ullam fenfu perceptibilem vim habeant, fed nec ipfum quod nutrit plurimum, hoc enim quoque fi exfuperat, vitio non caret. Principio namque nec quae in ventriculo eorum agitur concoctio eft exacta, nec fi ventriculus ea fuperet, quae in venis obitur eft abfoluta Quod fi hic quoque haud magnus fit error, faltem tertiam, quae fingulis partium propria eft, difficile fuerit in omnibus illis rite perfici. Conveniet profecto huic et ut frigidum humidumque quodammodo ei nutrimentum exhibeas, ubi corpus tum calidius tum ficcius folito eft redditum. Quare commodiffimus huic eft ptifanae cremor ad unguem coctus, in quo nullum fit fuperfluum condimentum, utpote qui et refrigerare et humectare ac fine fiti fervare hominem poteft, cum eo quod nec halituofum nec humidum nec ficcum detinet

τι μήθ᾽ ὑγρὸν μήτε ξηρὸν ἐπέχειν περίττωμα. καλῶ δ᾽ ἀτμώδη μὲν ὅσα διὰ τοῦ δέρματος εἰς τοὐκτὸς ἀποῤῥεῖν πέφυκεν, ὑγρὰ δ᾽ ὅσα διὰ τῆς κύστεως, ξηρὰ δ᾽ ὅσα διὰ τῆς κάτω γαστρός· ἀπὸ γὰρ τῆς ἐπικρατούσης ἐν ἑκάστῳ τῶν εἰρημένων οὐσίας ἐθέμην αὐτοῖς τὰς προσηγορίας. ὅτι δ᾽ οὐδέν τι τούτων ἐφέξει πτισάνης χυλὸς εὔδηλον. αἱ μὲν γὰρ διὰ τῆς κάτω γαστρὸς ὑποχωρήσεις τῶν περιττῶν ὑπὸ τῶν στυφόντων ἴσχεσθαι πεφύκασιν, αἱ δὲ δι᾽ οὔρων τε καὶ σύμπαντος τοῦ δέρματος, ὑπό τε τῶν ἐμπλαττομένων τοῖς πόροις καὶ σφοδρῶς στυφόντων, ἅπερ ὀνομάζουσι στρυφνά· πτισάνη δ᾽ οὔτε ἐμπλαστικῆς οὔτε στυπτικῆς μετέχει δυνάμεως. ὅτι μὲν οὖν οὐ στύφει δηλοῖ καὶ ἡ γεῦσις, ἧς μόνης ἴδιόν ἐστιν αἰσθητὸν τὸ στῦφον. ὅτι δ᾽ οὐδ᾽ ἐμπλάττει λογίσασθαι (121) πάρεστιν ἐκ τῶν ἄλλων αὐτῆς ἔργων. εἴτε γὰρ ἔξωθεν ἀνατρίβοις τῇ πτισάνῃ ῥυπαρὸν σῶμα, ῥύπτει τοῖς ἀφρονίτροις τε καὶ τῷ μέλιτι παραπλησίως, εἴτ᾽ ἐν τῇ γαστρὶ περιεχόμενον μέτριον φλέγμα δι᾽ ἐμέτων ἐκκενῶσαι βουληθείης, οὐδὲν ἧττον μελικράτου πτισάνης χυλὸς χρήσι-

excrementum. Voco halituoſa quaecunque per cutim foris effluere ſunt apta, humida quae per veſicam, ſicca quae per alvum; quippe a vincenti in ſingulis eorum ſubſtantia nomina ipſis impoſui. Quod autem nullum horum retinebit ptiſanae cremor manifeſtum eſt. Quae enim per alvum excrementorum dejectiones ſunt, eas adſtringentia retinere ſolent, quae per urinas et univerſam exeunt cutim, haec detinent ea quae exiguis meatibus inhaerent, *emplattomena vocant;* praeterea quae valenter adſtringunt, eas ſtryphna vocant; ptiſana vero nec exiguos cutis meatus obturandi nec adſtringendi vim habet ullam. Ac quod non adſtringat quidem vel guſtus ipſe docet, cujus unius eſt proprium quod adſtringendi vim habeat discernere. Quod vero nec cutis meatibus emplaſtica inhaereat, id ratiocinari ex aliis ejus effectibus eſt promptum. Nam ſive ſordidum corpus extrinſecus ptiſana defrices, ſicut aphronitrum et mel deterget, ſive ex ventriculo per vomitum educere mediocrem pituitam velis, nihilo minus mulſa utilem ptiſanae cremo-

μος. πρόσκειται δ' ἐν τῷ λόγῳ τὸ μέτριον, ὅτι, εἰ πολὺ καὶ γλίσχρον ἰσχυρῶς καὶ παχὺ, ῥαφανῖδες δι' ὀξυμέλιτος, οὐ μελίκρατον καὶ πτισάνη πεφύκασιν ἀποῤῥύπτειν. ἔστι μὲν δὴ καὶ μελίκρατον εἰς ἁπάσας τὰς εἰρημένας ἐκκρίσεις ἐπιτήδειον, ἀλλ' οὔτε ἄδιψον ὥσπερ ἡ πτισάνη κἀν ταῖς πικροχόλοις φύσεσιν ἐκχολοῦται ῥᾳδίως. ἄριστον μὲν οὖν, ὡς εἴρηται, σιτίον ἐπὶ τῶν τοιούτων κράσεων ἡ πτισάνη. δεύτερον δ' ἐπ' αὐτῇ χόνδρος ὄξος χάριν ἀναδόσεως ὀλίγον εἰληφώς. τρίτον δ' ὁ χωρὶς ὄξους ὑγρὸς, οὐ παχὺς, ὁποῖον ἔνιοι σκευάζουσιν ἔτνει παραπλήσιον· ἐμβαλεῖν δὲ καὶ τῷδε βέλτιον ἑψημένῳ πράσου· δῆλον δ' ὅτι καὶ ἀνήθου καὶ ἁλῶν ἐξ ἀνάγκης μετέχειν. καὶ μὲν δὴ καὶ οἱ κριβανῖται τῶν ἄρτων ἀγαθὸν ἔδεσμα καὶ τῶν ἰχθύων οἱ πετραῖοι πάντες. οὐδὲν δ' ἧττον αὐτῶν οἱ ὀνίσκοι, πλὴν εἴ που λίμνης ἢ ποταμῶν μεγάλων ἐμβαλλόντων εἰς θάλατταν νεμόμενοι πλησίον ὑγροτέραν τε καὶ γλισχροτέραν ἔχοιεν τὴν σάρκα. ἐφεξῆς δὲ τῶν ὀνίσκων τά τε βούγλωσσά ἐστι καὶ αἱ νάρκαι καὶ τῶν ἰχθύων ὁ λά-

rem experieris. Additum tamen in dictione eſt, mediocrem, quoniam ſi multa et vehementer glutinoſa et craſſa pituita ſit, hanc radicula ex oxymelite, non mulſa aut ptiſana detergere eſt habilis. Eſt ſane et mulſa ad omnes ante dictas excretiones idonea, verum nec ſitim reſtinguit, ut ptiſana et in picrocholis *amara bile abundantibus* naturis facile vertitur in bilem. Optimum igitur, ut diximus, in ejusmodi temperamentis nutrimentum eſt ptiſana. Proximum ab hoc alica, cui paululum aceti diſtributionis gratia ſit adjectum. Tertium quae ſine aceto liquida eſt, non craſſa, qualem nonnulli praeparant aſſimilem pulti; injeciſſe vero huic dum coquitur aliquid porri ſatius eſt; nam quae tum anethi, tum ſalis aliquid neceſſario habebit neminem latet. Quin etiam in furno coctus panis utilis eſt cibus, ſicut etiam e piscibus ſaxatiles omnes. Nec ipſis minus aſelli, niſi ſi prope lacum aut magnum flumen, quod in mare decidat depaſti, humidam magis glutinoſamque habeant carnem. Proxime ab aſellis ſunt ſolea et torpedo, itemque inter pis-

βραξ καὶ ἡ τρίγλα κἄπειτα πελάγιος κέφαλος. ἅπαντες δὲ χείρους ἰχθύες ὅσοι λίμνης θαλάττῃ συναπτούσης ἢ στόματος ποταμοῦ μεγάλου νέμονται πλησίον. ἐκ δὲ τῶν πτηνῶν ἄριστοι μὲν οἱ πέρδικες ἅμα τοῖς ὀρείοις ἅπασι στρουθοῖς, ἐφεξῆς δὲ ἀλεκτορίδες καὶ φασιανοὶ καὶ νέαι περιστεραί· μὴ καθείρχθω δ᾽ ἔνδον μηδὲ ταῦτα, περιττωματικὰ γὰρ ἅπαντα τὰ ἀγύμναστα, περιττωματικὰ δὲ καὶ τὰ λιμναῖα σύμπαντα καὶ ἑλώδη· διὸ καὶ τῶν χοιρείων αὐτῶν ἀμείνω τὰ ἐκ τῶν ὀρῶν· ἐφεξῆς δὲ αὐτῶν οἱ ἔριφοι. [185] πάντων δὲ τῶν εἰρημένων φευκτέα τά τε παλαιὰ ζῶα καὶ τὰ νεωστὶ γεγενημένα· τὰ μὲν γὰρ σκληρότερά ἐστι καὶ δυσπεπτότερα, τὰ δὲ πέρα τοῦ δέοντος ὑγρὰ καὶ περιττωματικὰ, καὶ μάλισθ᾽ ὅσα φύσει τῶν ζώων ἐστὶν ὑγρὰ, καθάπερ ὄϊές τε καὶ σύες. ἀλλὰ περὶ μὲν τῆς ἐν ἅπασι τοῖς ἐδέσμασι δυνάμεως ἑτέρωθι διήρηται· νυνὶ δ᾽ ἕνεκα παραδείγματος ὥσπερ τἄλλα τὰ κατὰ τήνδε τὴν πραγματείαν, οὕτω λελέχθω καὶ ταῦτα· πρόκειται γὰρ οὐ τὰς ὕλας ἡμᾶς ἐξευρεῖν ἐν αὐτῇ, καθάπερ ἔν τε τοῖς περὶ τῶν ἐδεσμάτων καὶ φαρμάκων, ἀλλὰ μόνας

ces lupus et mullus, poſt mugile pelago. Omnis autem piscis deterior eſt qui prope lacum qui mari conjungitur aut magni fluminis oſtium pascit. Ex volatilibus autem optimi ſunt perdices ac montani omnes aviculae. Ab his gallinacei et phaſiani et juvenes columbae, ſed nec hae tamen intus claudendae, quum excrementoſa ſint omnia quae exercitatione carent. Excrementoſa vero non minus ſunt tum lacuſtria tum paluſtria omnia, quo ſit ut etiam ex ipſis ſuillis carnibus optima ſit montana, ab his deinceps haedi ſunt. In omnibus jam dictis ſugienda tum vetula tum recens edita ſunt, illa namque duriora concoctuque difficiliora ſunt, haec immodice humida et excrementoſa, ac potiſſimum quaecunque ex animalium generibus ſunt, quae naturaliter humida ſunt ut oves ſuesque. Verum de omnium ciborum facultate albi praecipimus, nunc veluti alia in hoc opere, ſic iſta quoque exempli cauſa ſint dicta, ſiquidem propoſitum nobis in hoc eſt non tanquam in iis quae de alimentis et medicamentis ſcripſimus materias inveſtigare, ſed ſolas facultates genera-

τὰς καθόλου δυνάμεις· οὐδὲν δὲ δήπου διοίσει δυνάμεις γενικὰς ἢ καθόλου προσαγορεύειν αὐτάς. ἐπανέλθωμεν οὖν αὖθις ἐπὶ τὸ προκείμενον. οἷς δ᾽ ἀποῤῥεῖ τι δριμὺ καθ᾽ ἑκάστην ἡμέραν, ἕτοιμον τούτοις ἁλῶναι πυρετῷ στεγνωθεῖσι τὸ δέρμα. στεγνοῖ δ᾽ αὐτὸ τά τε στύφοντα πάντα, καθάπερ ὀλίγον ἔμπροσθεν ἐμνημονεύσαμεν τῶν Ἀλβούλων ὑδάτων, ὅσα τ᾽ ἐμπλάττεται τοῖς πόροις. ἔστι δ᾽ ὅτε καὶ ἡ ξηρότης αὐτοῦ τοῦ δέρματος ἀμετροτέρα γινομένη πυκνοῖ τοὺς πόρους αὐτοῦ. διὰ τοῦτο οὖν ἡμᾶς ἐθεάσω καὶ τὸν οἰνάνθῃ χρώμενον ἐν τῷ βαλανείῳ κωλύσαντας χρῆσθαι, καθ᾽ ὃν ἔφησε χρόνον, ἀνωμαλίας αἰσθάνεσθαι, καὶ τὸν ὡσαύτως ἐκείνῳ μετ᾽ ἐλαίου βραχέος οἴνῳ πολλῷ, καὶ τὸν τῷ σχινίνῳ δὲ χρώμενον, ἡνίκα πυκνώσεως ᾔσθετο, καὶ τοῦτον, ὡς οἶσθα, τοῦ λοιποῦ χρῆσθαι διεκωλύσαμεν. εἴρξαμεν δὲ καὶ τὸν εἱληθεροῦντα καθ᾽ ἑκάστην ἡμέραν καὶ τὸν τῇ κόνει χρώμενον. ἑτέρῳ δ᾽ εἰς ἀνωμαλίαν ἀφικομένῳ πυρετώδη τὸ σφοδρὸν τῆς τρίψεως ἐπανεῖναι προσετάξαμεν. ἄλλον δ᾽, ὡς οἶσθα, ἐθεράπευσα θαυμάσαντα πῶς ἑνὶ λουτρῷ μετὰ τρί-

les, nihil autem profecto referat generalesne facultates an univerſales ipſas appelles. Revertamur ergo rurſus ad propoſitum. Quibus acre aliquid quotidie transpirat, ii, ſi cutis ipſis ſtipetur, prompte febri corripiuntur. Stipant vero hanc tum quae adſtringunt omnia, veluti paulo ſupra memoravimus de Albulis aquis, tum quae exiguis meatibus emplaſtrantur. Aliquando autem ipſius cutis immoderatior ſiccitas exiguos ipſius meatus denſat. Proinde qui oenanthe in balneo utebatur, hunc nos vidiſti quo tempore inaequalitatem ſentire ſe quereretur, uti vetuiſſe; ſimili modo et qui largo vino cum oleo exiguo utebatur, item qui lentiscino tum cum denſitudinem ſentiebat, hunc quoque de caetero, ut ſcis, uti prohibuimus. Inhibuimus non minus et eum, qui quotidie inſolabatur, et eum qui pulvere utebatur. Alteri vero qui jam ad inaequalitatem febrilem pervenerat, vehementiam remittere frictionis juſſimus. Jam alium, ut ſcis, curavimus mirantem quo pacto una lavatione, ac

τρίψεως τῆς προσηκούσης ἡμερῶν παμπόλλων ἀνωμαλίαν αὐτοῦ φρικώδη διελύσαμεν. ἐχρῆτο δὲ κἀκεῖνος ἐλαίῳ στύφοντι τούτῳ, τῷ δικαίως ἐνδόξῳ διὰ τὴν εἰς τἄλλα χρείαν, ὃ καλοῦσιν σπάνον. ἀφελόντες οὖν τοῦτο καὶ τῷ Σαβίνῳ λιπαρῶς τε καὶ μαλακῶς ἐπὶ πλέον ἀνατρίψαντες καὶ λούσαντες δὶς, εὐθέως ἀπεφήναμεν ὑγιῆ. ταῦτά τε οὖν ἅπαντα φυλακτέα τοῖς τὰ καπνώδη τε καὶ λιγνυώδη διαπνεομένοις, ὅσα τε γλίσχρα καὶ παχύχυμα· καὶ γὰρ καὶ ταῦτ᾽ ἐμπλάττοντα τοὺς πόρους ἐπέχει τὰς διαπνοάς. ἐπέχει δ᾽, ὡς εἴρηται, καὶ τὰ ξηραίνοντα τὸ δέρμα πέρα τοῦ μετρίου. πολλοὺς γοῦν ἐν ἡλίῳ χρωμένους τοῖς τοιούτοις, ἄλλους δὲ νίτρῳ πλέονι, τινὰς δ᾽ ἁλσὶν, ἢ γυμνασίοις πολλοῖς, ἢ τρίψει σκληρᾷ, ξηροτριβίᾳ τε καὶ κόνει νοσοῦντας ἐκ τούτων καθ᾽ ἕκαστον ἐνιαυτὸν, οἶσθ᾽ ὡς ἐπισχόντες αὐτῶν ἀνόσους ἤδη παμπόλλων ἐτῶν ἐφυλάξαμεν. ἔστι δ᾽ εἰκότως τὰ τοιαῦτα παραγγέλματα κοινὰ τῶν θ᾽ ὑγιαινόντων ἔτι καὶ τῶν ἤδη δυσαρεστουμένων. οὐ γὰρ τῶν γεγονότων, ἀλλὰ τῶν γιγνομένων

debita frictione horridam ejus multorum dierum inaequalitatem diffolverimus. Utebatur autem et ille adftringente oleo, hoc inquam jure propter alios ufus celebri, rarum *vel pretiofum* vocant. Hoc igitur mutantes ac Sabino tum pinguiter tum molliter uberius perfricantes ac bis lavantes, illico fanum reddidimus. Non folum igitur haec omnia vitanda iis funt qui fumidum et fuliginofum e corpore exhalant, fed etiam quae glutinofum et quae craffum gignunt fuccum, etenim haec parvos meatus obftruentia tranfpirationem morantur. Retinent non minus, ut dictum eft, tranfpirationem et quae cutem immodice ficcant. Multos fiquidem quum talibus in fole uterentur, alios vero cum uberiore nitro, alios cum fale aut exercitatione multa aut frictione dura, praeterea frictione ficca et calidis fomentis et pulvere et horum occafione quotannis aegrotarent; ipfe teftis es, ut ab iis prohibitos multis jam annis fanos fervaverimus. Sunt autem merito ejusmodi praecepta tum valentium adhuc tum eorum qui jam de valetudine queruntur communia. Non enim ei quae jam facta eft febri con-

Ed. Chart. X. [185. 186.] Ed. Baf. IV. (121.)
ἔτι πυρετῶν ἐστι προφυλακτικὰ κατὰ τὴν τῶν ποιούντων αὐτοὺς αἰτιῶν ἄρσιν· ὁ γὰρ ἔτι γιγνόμενος πυρετὸς ἀρθέντος τοῦ αἰτίου συναναιρεῖται καὶ αὐτός. ὥσθ᾽ ὅσαπερ ἐν τῇ τῶν ὑγιεινῶν πραγματείᾳ περὶ τῶν τοιούτων κράσεων εἴρηται, μεταφέρειν ἅπαντα προσήκει ἐπὶ τὴν τῶν ἀρχομένων πυρέττειν, εἴτε ἴασιν χρὴ λέγειν, εἴτε προφυλακήν. ἰώμεθα γὰρ τὸ ἤδη γεγονὸς αὐτῶν, κἂν ὀλίγον ᾖ, προφυλαττόμεθα δὲ μὴ γενηθῆναί τι πλέον ἀναιροῦντες τὸ αἴτιον.

Κεφ. γ'. [186] Ὥσπερ δὲ εὔρουν τε καὶ ἔμπνουν εἶναι τὸ σῶμα πάντῃ κοινὸς ἐπὶ τῶν εἰρημένων μάλιστα φύσεων ὑγιαινόντων τε καὶ δυσαρεστουμένων σκοπὸς, οὕτω καὶ τὸ φεύγειν ἀγρυπνίας καὶ θυμοὺς καὶ λύπας καὶ φροντίδας, ἐγκαύσεις τε καὶ ψύξεις καὶ κόπους· ἑτοιμότατα γὰρ ἐφ᾽ ἑκάστῳ τῶν εἰρημένων αἱ τοιαῦται κράσεις ἀναλίσκονται πυρετοῖς. ἰᾶσθαι δὲ αὐτὰς, ὅταν ἐπί τινι τῶν λελεγμένων προφάσεων πυρέξωσιν, ἔστιν οὖν ᾗ μὲν ὁμοίως τοῖς ἐπὶ στεγνώσει ῥηθεῖσιν, ᾗ δὲ καὶ διαφερόντως. ἄγειν μὲν

fulunt, fed ei quae nunc in generatione eft profpiciunt, tollendis iis quae illas excitant caufis; nam quae adhuc in generatione febris eft, dum aufertur caufa, ipfa una interit. Quare quae in libris de fanitate tuenda de ejusmodi temperamentis funt prodita, ea omnia ad eos qui febricitare incipiunt, five id fanationem appellaffe oportet five providentiam, funt transferenda. Siquidem fanamus id febris quod jam invafit, etiam fi exiguum eft profpicimus, nequid amplius proveniat adimentes caufam.

Cap. III. Quemadmodum vero jam dictarum maxime naturarum et quum valent et quum de fe queruntur communis fcopus eft ut fluxile et tranfpirabile undique corpus reddatur, ita illud quoque ut tum vigilias tum iram tum triftitiam tum curam tum uftionem tum frigus tum laffitudinem fugiant, cum promptiffime poft haec ejusmodi temperamenta febre capiantur. Sanare vero ea quoties ex aliqua dictarum occafionum febricitarint oportet, partim fimiliter iis quos ex ftipata cute laborare diximus, partim diffi-

γὰρ ἐπὶ τὰ λουτρὰ χρὴ πάντας ἐν τῇ παρακμῇ τοῦ πρώτου παροξυσμοῦ· τρίβειν τε λιπαρῶς τε ἅμα καὶ μαλακῶς τοὺς μὲν ἐπί τινι τῶν στυψάντων τὸ δέρμα, καθάπερ εἴρηται, τοὺς δ᾽ ἐπὶ ξηρότητι τρίβειν μὲν, ἀλλ᾽ ἐλάττω τούτοις, λούειν δὲ πλείω. στοχάζεσθαι δ᾽ ἀεὶ τοῦ μέτρου τῆς δυνάμεως ἐν ἅπαντι τῷ τοιούτῳ βοηθήματι. θυμοὶ μὲν οὖν καὶ λῦπαι καὶ ἀγρυπνίαι καὶ φροντίδες οὔτε τρίψεων οὔτε λουτρῶν δέονται πολλῶν, ἀλλὰ πολὺ μὲν ἐξ ἁπάντων ἐκ τοιᾶσδε πυρεξάντων αἰτίας, ἔλαιον περιχεῖν χλιαρὸν ἥκιστα μετέχον στύψεως· ἀνατρίψαντες δὲ βραχέα, λούειν ὡς ἔθος. αἱ δ᾽ ἐγκαύσεις εὐθέως μὲν ἐξ ἀρχῆς τῶν ψυχόντων δέονται καὶ πλειόνων λουτρῶν, ἥκιστα δὲ ἐλαίου δαψιλοῦς, ἢ συχνῆς τρίψεως. ἔστω δὲ τὰ ψύχοντα ῥόδινόν τε καὶ τὸ καλούμενον ὀμφάκινον ἔλαιον, ὅπερ, οἶμαι, καὶ ὠμοτριβὲς ὀνομάζουσιν. ἀμείνω δ᾽ ἐξ αὐτῶν ὅσα μηδ᾽ ὅλως ἐν ἑαυτοῖς ἔχει τῶν ἁλῶν. ἐργάζεσθαι δὲ ψυχρὸν τὸ ἀγγεῖον, ἐν ᾧ μᾶλλον περιέχεται, κρεμῶντας ἐν φρέατι,

militer. Quippe in prima acceffione inclinante ducendi in balneum omnes funt, tum pinguiter fimul ac molliter fricandi, ii quidem qui ex aliquo quod cutem adftrinxit laborant ficut dictum eft; qui vero ex ficcitate, fricandi quidem et ipfi, fed parcius, lavandi autem uberius. Refpiciendum vero femper ad virium modum eft in omnibus ejusmodi auxiliis. Atque irae quidem et triftitiae et vigiliae ac curae nec frictionibus nec lavationibus multis indigent, fed omnibus qui ex ejusmodi occafione febricitarint oleum infundendum tepidum large eft, cui minime adftringens vis infit, tum paululum fricandi atque ex confuetudine lavandi. Uftio vero protinus ab initio refrigerationem defiderat, tum crebriorem lavationem, minime vero aut oleum largum aut crebram frictionem. Sint autem quae refrigerent et rofaceum et omphacinum, quod etiam, arbitror, omotribes, *id eft* crudum, oleum nominant. Utiliora vero his funt quae nihil in fe falis omnino habent. Efficies haec frigida fi vas in quo continentur magis in puteo fufpendas, ut aquam

ψαῦον τοῦ ὕδατος. ἔτι δὲ μᾶλλον (122) εἰ κρουνὸς ὕδατος ψυχροῦ καταῤῥάττει τοῦ ἀγγείου, ψύχει τὸ ὑγρόν. εἰ δ' ἐπὶ πλέον ἐψῦχθαι βούλοιο, χιόνι περιπλάττειν αὐτό. καταχεῖν δὲ τοῦ βρέγματος μετέωρον ἐξαίροντα τὴν χεῖρα δι' ἐρίου συμμέτρου τῷ μεγέθει. ταῦτα ποιήσαντα μέχρι τῆς παρακμῆς ἄγειν ἐπὶ τὸ λουτρόν. εἰ δὲ καὶ ψυχθεὶς πυρέξειεν ὁ τὴν προειρημένην ἔχων κρᾶσιν, ὑπὲρ οὗ ταῦτα πάντα λέγεται, καὶ τοῦτον ἐπὶ τὸ βαλανεῖον ἀκτέον ἐν ταῖς παρακμαῖς. εἰ δὲ σὺν κορύζῃ καὶ κατάῤῥῳ πυρέττοι, πρὶν πεφθῆναι ταῦτα, λούειν οὐ χρή. τοὺς δ' ἐπ' ἐγκαύσει καὶ τούτων παρόντων λουστέον, ὡς ἐν τοῖς ὑγιεινοῖς ἐπεδείκνυμεν. ἐπὶ δὲ τῷ λουτρῷ τὴν κεφαλὴν τοῖς αὐτοῖς ἑκατέρων βρέχειν οἷς πρὸ τοῦ, ψύχουσι μὲν τῶν ἐπ' ἐγκαύσει πυρεξάντων, θερμαίνουσι δὲ τῶν ἐπὶ ψύξει. μέτρια δ' ἔστω καὶ ταῦτα μετὰ τὸ λουτρὸν, οἷόν τό τε καλούμενον ἴρινόν ἐστι καὶ τὸ νάρδινον μύρον. ἀλλ' οὐ χρὴ μηκύνειν ἔτι περὶ τῶνδε λελεγμένων ἐν τοῖς ὑγιεινοῖς. ἀρκέσει δ' εἰπεῖν ὡς τὰ μὲν ἄλλα πρακτέον ὁμοίως ἐπὶ τῶν πυρεξάν-

tangat. Praeterea fi defluxus frigidae aquae vafi fe illidat, magis humorem refrigerat. Quod fi largius refrigerata cupis, vas nive circumdabis. Infundere autem fincipiti fublata in altum manu per mediocrem lanae modum oportet. Haec usque ad inclinationem faciens in balneum duces. Si vero qui memorato eft temperamento, de quo omnis hic fermo eft, ex frigore febricitet, etiam ducendus ad balneum in remiffione is eft. Si autem cum gravedine et deftillatione febricitet, priusquam haec concocta fint lavandus non eft. At qui ex uftione febricitant, ii vel quum haec adfint lavari debebunt, veluti in libris de fanitate tuenda oftendimus. Poft lavacrum vero iisdem quibus ante madefacienda amborum capita funt, eorum quidem qui ex uftione febricitarunt refrigerantibus, qui ex frigore calefacientibus. Sunto autem et haec poft balneum mediocria, cujusmodi irinum dictum eft et nardinum unguentum. Verum de his immorandum pluribus non eft, praefertim in libris de fanitate tuenda jam proditis. Sed fuffecerit dixiffe reliqua fimili modo in

Ed. Chart. X. [186. 187.] Ed. Baf. IV. (122.)

των, ἅπερ ἐπὶ τῶν ἐγκαυθέντων τε καὶ ψυχθέντων ἐλέγομεν χρῆναι πράττειν, ἄνευ τοῦ πυρέξαι· οὐ μὴν ἅπαντί γε καιρῷ τοὺς πυρέξαντας λουστέον, ἀλλ᾽ ἐν τῇ παρακμῇ τοῦ παροξυσμοῦ. καὶ μέντοι καὶ ὡς ἐπιτείνειν μὲν χρὴ τῶν πυρεξάντων ἐπ᾽ ἐγκαύσει τὴν ἐμψυκτικὴν ὀνομαζομένην ἀγωγὴν, ἐκλύειν δὲ τῶν ψυχθέντων [187] τὴν θερμαντικήν. ὑπόλοιπον δ᾽ ἂν εἴη τὴν ἐν τῇ διαίτῃ κοινότητά τε καὶ διαφορὰν ἐπελθεῖν ἁπάντων τῶν εἰρημένων ἐπὶ τῆς ὑποκειμένης κράσεως, ἁλούσης ἐφημέρῳ πυρετῷ. κοινὸν μὲν δὴ πάντων εἶδος ἔστω σοι διαίτης, εὔχυμον, εὔπεπτον, οὐδαμόθι κατὰ τοὺς πόρους ἰσχόμενον· ἀλλὰ τοῖς μὲν ἐγκαυθεῖσι μετὰ τοῦ ψύχειν καὶ ὑγραίνειν. οὕτως δὲ καὶ τοῖς θυμωθεῖσι. τοῖς δὲ ψυχθεῖσι, μετὰ τοῦ θερμαίνειν μετρίως. τοῖς δ᾽ ἀγρυπνήσασι καὶ λυπηθεῖσι καὶ πλεῖον φροντίσασιν, ὑγρὸν καὶ ὑπνῶδες. οὕτως δὲ καὶ τοῖς μὲν κοπωθεῖσι τροφιμώτερον, τοῖς δὲ ψυχθεῖσιν ἀτροφώτερον, τοῖς δ᾽ ἄλλοις τὸ μέσον ἀμφοῖν. οἶνον δὲ πίνειν γινώσκεις δή που καὶ σὺ διδόντα με τοῖς

febricitantibus esse facienda, quemadmodum in ustis et refrigeratis citra febrem facienda praecepimus, non tamen quovis tempore lavandos febricitantes esse, sed in accessionis remissione. Praeterea qui ex ustione febricitant, iis intendendam quae ex refrigerantibus constat curationem esse; iis vero qui ex frigore, eam quae ex calefacientibus consistit remittendam. Reliquum autem fuerit ut communitatem ac differentiam in victu omnium comprehensarum conditionum in proposito temperamento, ubi febre diaria laborat, exponamus. Omnium igitur communis victus species esto, quae et boni sit succi et concoctu facilis, et quae nusquam exiguis cutis meatibus inhaereat; sed ii qui exusti sunt, cum eo quod refrigeret et humectet. Pari modo iis quos ira male habuit. Iis vero qui refrigerati fuerunt cum eo quod calefaciat modice. Iis qui pervigilio, tristitia et nimia cura sunt affecti, quod humectet ac somnum conciliet. Ad eundem modum iis qui fatigati sunt magis nutriens, iis qui refrigerati sunt minus nutriens, reliquis quod medium sit amborum. Vinum vero ipse conscius es omnibus me ejusmodi *naturis*

τοιούτοις ἅπασι, τὸν ὑδατώδη καὶ ὄψει καὶ δυνάμει· βελτίων γὰρ ὕδατος αὐτὸς τὰ πάντα, τῇ πέψει συναιρόμενος καὶ οὖρα καὶ ἱδρῶτας προτρέπων. δῆλος δ' ἐστὶ καὶ ὁ Ἱπποκράτης οὐ μόνον ἐν τοῖς ἐφημέροις πυρετοῖς, ἀλλὰ κἀν τοῖς ὀξέσι διδοὺς οἶνον, ἐξ ὧν ἐν τῷ περὶ διαίτης ὀξέων γράφει. κατὰ δὲ τὸ ἕκτον τῶν ἐπιδημιῶν εἴτε οὖν αὐτὸς εἴτε καὶ Θεσσαλὸς ὁ υἱὸς αὐτοῦ παραιτεῖται τὸν οἶνον οὐ μόνον εἰ πυρέξειαν οἱ θερμοὶ ταῖς κράσεσιν, ἀλλὰ κἀν τῷ τῆς ὑγείας χρόνῳ· ἐν θερμῇ γοῦν φύσει παραινεῖ ψύξιν τε καὶ ποτὸν ὕδωρ καὶ ἐλιννύειν· εἰ μὴ ἄρα τὸ πλείονι χρῆσθαι τῷ ὕδατι τοῦ οἴνου κατὰ τὰς τοιαύτας φύσεις, ἥπερ ἀρέσκει τισὶ, φαίημεν ὑπ' αὐτοῦ παραινεῖσθαι. τοῦτο μὲν οὖν αὐτὸ καθ' αὐτὸ ζητείσθω, περὶ δὲ ποτοῦ ψυχροῦ διοριστέον. ἐγὼ μὲν δή φημι τὰς τοιαύτας φύσεις ὑγιαινούσας τε μᾶλλον πρὸς τοῦ τοιούτου πόματος ὀνίνασθαι μεγάλα καὶ κατὰ τὸν ἐφήμερον πυρετὸν οὐκ ἀφαιροῦμαι τοὺς εἰθικότας· ἀήθει δὲ οὐκ ἀρξαίμην τηνικαῦτα διδόναι, ἀλλὰ πρότερον ἀκριβῶς ἀποδοὺς αὐτῷ τὴν ἀρχαίαν ὑγείαν. εἰ δὲ διὰ δειλίαν, ἢ

concedere, fed quod tum afpectu tum viribus fit aquofum, id enim ad omnia utilius quam aqua eft, ut quod et concoctionem juvet, et urinas ac fudores provocet. Conftat autem et Hippocratem non in diariis modo febribus, verum etiam in acutis ex iis quae de acutarum victu prodit vinum dare. At in fexto epidemiorum five ipfe fit, five Theffalus ejus filius, vinum calidis temperamentis prohibet, idque non modo quum febricitant, fed etiam per fanitatem; quippe in calida natura fuadet tum refrigerationem tum aquae potionem tum quietem, nifi forte copiofius utendum effe aqua quam vino ejusmodi naturis fuadere eum dixeris, quemadmodum nonnullis placet. Hoc igitur feorfum per fe disquiratur, de potione vero frigidae decidendum. Ego igitur cenfeo ejus generis naturas et dum valent ejusmodi potione magnopere juvari, nec in diaria febre iis quibus in ufu fuit eam circumcido; fi quis vero non affuevit, huic per febrem dare non inceperim, nifi priftina plane fanitate prius reddita. Quod fi vel propter timiditatem, vel propter

Ed. Chart. X. [187.] Ed. Baſ. IV. (122.)

ἔθος ἐκ παίδων, ἢ ὑπόληψιν ψευδῆ φοβοῖτο τὸ ψυχρὸν, ἔργῳ τε πείσαιμ' ἂν αὐτὸν, ἐπιτηρήσας ποτὲ αὐτὸν καυσούμενον ἐν θέρει καὶ λόγῳ μετὰ τὸ ἔργον. ὅταν γὰρ ἐπὶ τῇ χρήσει τοῦ τοιούτου πόματος ἀπαλλαχθῇ μὲν αὐτίκα τοῦ καυσοῦσθαί τε καὶ ἀλύειν, ἑαυτοῦ δὲ εὐτονώτερον ἐπὶ τῷδε τὸν στόμαχον ἔχειν φαίνηται, καὶ ἡ γαστὴρ καταῤῥήξῃ χολῶδες καὶ πέψῃ καλῶς, αὖθίς τε καὶ αὖθις χρησαμένῳ ἀνατρέφηται τὸ σῶμα, τότε ἂν ἤδη καὶ τοὺς ἄλλους αὐτῷ δείξας οὓς ὁμοίως ὤνησα, διέλθοιμι πρῶτον μὲν ὡς παντὸς μᾶλλον ἀληθές ἐστι τὸ τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα· γέγραπται δέ μοι περὶ τούτου πρόσθεν. εἶθ' ὡς ἡ κρᾶσις αὐτῷ τὴν ὑγιεινὴν ἐκβεβηκυῖα συμμετρίαν πλησίον ἥκει νόσου, καὶ ὡς τοῖς τοιούτοις σώμασιν ἡ ὑγίεια σφαλερὰ καὶ κατὰ σχέσιν μᾶλλον ἢ καθ' ἕξιν ὑπάρχει, καὶ ὡς εἰ μὲν ἀγαθῆς ὢν ἔτυχε κράσεως, ἐφύλαττον ἂν ἐκείνην αὐτῷ τρόπῳ παντὶ, μοχθηρᾶς δ' ὑπάρχοντι φύσεως ἐπὶ τὸ κρεῖττον ἐξαλλάττω. λέλεκται δὲ καὶ περὶ τούτων ἐπὶ πλέον ἐν τοῖς ὑγιεινοῖς· ὅθεν οὐ χρὴ μηκύνειν ἐνταῦθα

conſuetudinem a pueris, vel falſam opinionem frigidam timeat, tum opere homini perſuadeam obſervans in aeſtate quum aeſtuat, tum ratione poſt opus. Nam ubi poſt uſum ejusmodi potionis liberatus ſtatim ab urendo aeſtuandoque eſt, viſusque firmiorem ex eo ſtomachum quam ante habere, tum ventriculus illi bilioſum dejecit et probe concoxit, ac corpus [quum ea iterum iterumque uſus fuerit reficitur, tum vero aliis quoque ei indicatis quibus ſimili ratione contuli expoſuerim, primum quidem illud eſſe omnium longe veriſſimum, *contraria contrariorum eſſe remedia*, proditum autem mihi de hoc prius eſt. Mox illud, *temperamentum ejus ſanitatis ſymmetriam egreſſum morbo eſſe propinquum*, tum ſanitatem ejusmodi corporum dubiam eſſe, ac potius in affectu quam in habitu. Praeterea quod ſi boni temperamenti eſſet, hoc illi omni ſtudio tuerer, quum vero vitioſi ſit temperamenti et naturae, in melius immuto. Porro dictum et de his fuſius eſt in libris de ſanitate tuenda, unde

μιμούμενον ἐκείνους τῶν συγγραφέων, ὅσοι παντάπασιν ὀλίγα γινώσκοντες, ἐν ἅπασι τοῖς βιβλίοις αὐτὰ διέρχονται. τουτὶ γὰρ οὐχὶ πολλὰ διδάσκειν, ἀλλὰ γράφειν ἐστὶ πολλὰ καὶ πολλοὺς χάρτας ἀναλίσκειν, ἐὸν ὀλίγους, καὶ πολὺν κατατρίβειν χρόνον, ἐὸν μή. οὔκουν μηδὲ τὰς διαγνώσεις τῶν ἐφημέρων πυρετῶν ἐνταυθοῖ γράφω, προειρηκὼς μὲν ἐν τῷ δευτέρῳ περὶ κρίσεων ὀλίγου δεῖν ἁπάσας, εἰρηκὼς δὲ τὰ λείποντα κἀν τῷ πρώτῳ περὶ τῆς διαφορᾶς τῶν πυρετῶν. [188] οὐδὲν δ᾽ ἧττον κἀν τοῖς περὶ σφυγμῶν ὅσον ἐξ αὐτῶν χρηστὸν ἑρμηνεύσας, ὡς οἶσθα, μόνος ἁπάντων τῶν ἔμπροσθεν οὕτω σαφῶς ὡς μηδ᾽ ἂν παῖδα λαθεῖν τὸ δηλούμενον, Ἀρχιγένους ὡς ἐπεδείξαμεν, οὐ διδάξαντος, ἀλλὰ περιλαλήσαντος τὰ πλεῖστα κατά τε τὸ περὶ σφυγμῶν σύγγραμμα καὶ τὴν πραγματείαν ἣν αὐτὸς ἐπιγράφει περὶ τῆς τοῦ πυρετοῦ σημειώσεως. ὥσπερ δὲ τὸν ἐν τῷ στυπτηριώδει λουσάμενον ὕδατι τὴν τρίτην ἡμέραν ἀσιτεῖν ἐκέλευον οἱ ἰατροὶ, κατὰ τὸν αὐτὸν τρόπον οἶσθα καὶ τῶν ἐγκαυθέντων τε καὶ κοπωθέντων ἐπί τε τοῖς ἄλλοις τοῖς εἰρημένοις αἰτίοις

nec immorandum mihi hic multis eſt eos imitanti ſcriptores qui quum pauca prorſus ſciant, ipſa in omnibus libris inculcant. Id enim non multa eſt docere, ſed multa ſcribere et multas chartas conſumere, quum liceat paucas, ac multum temporis nulla neceſſitate conterere. Itaque nec notas diariarum febrium hoc loco deſcribo, utpote jam praedictas mihi in ſecundo de criſibus propemodum univerſas, ſi quae vero reliquae fuerunt, etiam in primo de febrium differentiis proditas. Quin etiam in libris de pulſibus quantum ex ipſis ſit utile expoſuimus ſoli ut ſcis, omnium qui ante nos fuerunt, adeo, arbitor, clare ut nec puerum quod tradidimus lateat, quum Archigenes, ut oſtendimus, non docuerit, ſed deblaterarit plurima tum in opere de pulſibus tum in eo quod de febrium ſignificatione inſcribit. Ut autem eum qui in aluminoſa aqua ſe lavit medici usque in tertium diem cibo abſtinere juſſerunt, ad eundem ſcis modum neminem eorum qui et exuſti et fatigati fuerunt, vel alia quapiam ex jam dictis cauſis febre tentati,

πυρεξάντων, οὐδένα λούοντας, οὐδὲ τρέφοντας αὐτοὺς πρὶν ὑπερβαλεῖν τὴν διάτριτον. ἀνάγκη δήπου κἀμὲ λέγειν διάτριτον, ὅπως μὴ καὶ περὶ τοῦδε τῆς φλυαρίας αὐτῶν ἐνέχωμαι, φασκόντων ἕτερον μὲν εἶναι τὸν διὰ τρίτης παροξυσμὸν, ἑτέραν δὲ τὴν πρώτην διάτριτον· ἤκουσας γάρ ποτε καὶ σὺ μέχρι τοσούτου τῆς ἀδολεσχίας αὐτῶν ἐκταθείσης. ἀλλ᾽ εἴτε πρώτην διάτριτον, εἴτ᾽ ἄλλο τι καλεῖν ἐθέλουσιν, οὐχ ἅπαξ ἢ δὶς ἢ τρὶς, ἀλλ᾽ ὁσάκις οὐδὲ μεμνῆσθαι δυνατὸν ἔν τε τῇ πρώτῃ τῶν ἡμερῶν, εὐθέως εἰς ἑσπέραν ἐλούσαμεν τοὺς τὸν ἐφήμερον πυρέξαντας, ἔν τε τῇ δευτέρᾳ πολὺ μᾶλλον, ἀλλὰ καὶ κατ᾽ αὐτὴν τρίτην, ὡς ὀλίγον ἔμπροσθεν ἔφαμεν ἐπὶ τοῦ στεγνωθέντος τὸ δέρμα. τουτὶ μὲν οὖν τὸ αἴτιον ὀλιγάκις ἐθεασάμην ἀνάψαν πυρετὸν, ὅθεν αὐτὸ μάλιστα προὐχειρισάμην, ἔγκαυσιν δὲ καὶ κόπον ἕκαστόν τε τῶν ἄλλων πάνυ πολλάκις. ἐθεάσω δὲ καὶ σὺ πάντας αὐτοὺς τῇ τετάρτῃ τῶν ἡμερῶν ἕωθέν τε προσελθόντας ἐπὶ τὰς συνήθεις πράξεις, ἀπαντῶντάς τε τοῖς ἰατροῖς ὅσοι καὶ τὴν τρίτην ἡμέραν ᾤοντο τελέως αὐτοὺς ἠσιτηκέναι. καὶ τοίνυν θαυμάζοντί σοι καὶ ζητοῦντι, τί ποτ᾽ ἐστὶ τὸ αἴτιον τοῦ μὴ κἂν νῦν γοῦν

lavisse aut nutrivisse priusquam diatriton transmisissent. Necesse enim profecto est et me diatriton dicere, ne in hoc quoque nugis eorum me exponam, dicentium aliam esse tertii diei accessionem aliam ipsam primam diatriton; quippe hactenus eorum nugas processisse ipse aliquando audisti. Sed sive primam diatriton sive aliud quidvis appellasse velint, non semel nos bisve aut ter, verum saepius quam ut meminisse possimus, tum in primo statim die ad vesperam eos qui diaria febre laborarunt lavimus, tum vel magis in secundo, imo etiam in ipso tertio, ceu paulo ante diximus de eo, cui stipata cutis fuerat. Verum hanc causam rarenter vidi febrem accendere, itaque etiam maxime tractanda desumpsi; ustionem vero et lassitudinem et caeterorum singula plane saepe. Vidisti autem eos omnes quarto die mane ad solita redire munia, ac medicis qui ipsos tertium diem prorsus in cibi inedia exegisse fuerant opinati occurrere. Itaque etiam miranti tibi ac quaerenti quid demum

ἀποστῆναι τοὺς τοιούτους ἰατροὺς τῶν κακῶς αὐτοῖς ὑπειλημμένων, ὡς νομίζω, προσηκόντως (123) εἶπον ὅτι μήτε γινώσκουσι τὴν ἀληθῆ θεωρίαν, αἰδοῦνταί τε νῦν ἄρξασθαι μανθάνειν αὐτήν. ἔνιοι δ᾽, ὡς ἤκουσάς ποτέ τινος ἐξ αὐτῶν ὁμολογήσαντος ἡμῖν ἰδίᾳ τἀληθῆ μετὰ τοῦ δακρύειν, οὐδὲ τῶν ἐπιτηδείων εὐπορῆσαί φασιν, ἐὰν οἱ νομίζοντες αὐτοὺς ἐπίστασθαί τι θεάσωνται μανθάνοντας. ἀλλὰ σὺ μὲν ἅπαξ ἤκουσας τοῦτο, θεοὺς δ᾽ ἐγὼ σύμπαντας ἐπόμνυμι πολλοὺς ἐμοὶ πολλάκις ὡμολογηκέναι μόνῳ ταῦτα μετὰ τοῦ δακρύειν τε καὶ τὴν ἑαυτῶν ὀδύρεσθαι δυστυχίαν ἐπὶ τῷ τὸν χρόνον ἀπολέσαι μοχθηροῖς διδασκάλοις χρησαμένους. ἐπόμνυμι δ᾽ αὖθίς σοι τοὺς θεοὺς καὶ τοῦτό μοι λεχθῆναι πάνυ πολλάκις ὑπὸ τῶν συμφοιτησάντων ἔτι μειρακίῳ τὴν ἡλικίαν ὄντι. ἐπειδὴ γὰρ εἴωθα, ὁπότε τις ἔροιτο περί τινος δόγματος εἰ ἀληθὲς εἴη, μηδὲν ἀποκρίνασθαι δύνασθαι φάσκειν, εἰ μὴ καὶ τὰ τῶν ἄλλων ἁπάντων μάθοιμι καί τινα μέθοδον κτησαίμην ἢ διαγινώσκοιμι τὸ βέλτιον, οὐκ ὀλίγοι τῶν ταῦτα ἀκουόντων συμφοιτητῶν ἔφασάν μοι, σὺ μὲν καὶ φύσει διαφερούσῃ

caufae effet cur vel nunc faltem ejusmodi medici ab iis quae perperam opinantur non recedant convenienter, ut arbitror, refpondi, quod neque veram fpeculationem noscerent, et nunc eam incipere discere erubescerent. Aliqui tamen, veluti confitentem aliquando ex iis quendam cum lacrymis veritatem nobis folis audivifti, nec vitae fibi necesfaria ajunt affutura, fi qui eos fcire aliquid exiftimant discentes jam videant. Verum tu hoc femel audivifti, deos autem omnes teftor multos ea mihi faepe foli confeffos lacrymantes ac infelicitatem fuam deplorantes, quod fub malis praeceptoribus tempus perdidiffent. Juroque tibi rurfus deos illud quoque mihi perfaepe a condiscipulis dictum effe, quum effem adhuc aetate adolescens. Nam quum mihi mos effet, ubi aliquis me de dogmate aliquo num verum effet percontaretur, me dicere refpondere non poffe, nifi reliquorum omnium *dogmata* didiciffem, ac methodum quandam mihi comparaffem qua quod melius effet discernerem, non pauci ex condiscipulis qui haec audierant mihi

κέχρησαι καὶ παιδείᾳ θαυμαστῇ διὰ τὴν τοῦ πατρός σου φιλοτιμίαν, καὶ ἡλικίαν δυναμένην μανθάνειν ἔχεις ὅθεν τε δαπανᾷν χρὴ σχολάζοντα μαθήμασι κέκτησαι· τὸ δ' ἡμέτερον οὐχ ὧδ' ἔχει· καὶ γὰρ ἀπαίδευτοι τὴν πρώτην παιδείαν ἐσμὲν καὶ οὐκ ὀξεῖς τὴν διάνοιαν ὥσπερ σὺ καὶ ἀναλίσκειν οὐκ ἔχομεν· ἀγαπητέον οὖν ἡμῖν ἐστιν ὁποῖά ποτ' ἂν εἴη ταῦτα τὰ νῦν γινωσκόμενα. μὴ τοίνυν ἔτι θαύμαζε διὰ τί πολλοὶ τῶν ἰατρῶν οὐκ αἰσχύνονται φθεγγόμενοι τὴν διάτριτον, καίτοι μυριάκις ἡμᾶς ἑωρακότες ἐπὶ τῶν νοσούντων προγινώσκοντας εἴτ' ἐφήμερός ἐστιν ὁ πυρετὸς εἴτε καὶ κατὰ τὴν τρίτην ἢ τετάρτην ἡμέραν οἴσει τινὰ παροξυσμόν. ἀλλ' ἐκεῖνο σκόπει τὸ ὑφ' Ἱπποκράτους εἰρημένον, ἀνθρώπου [189] φιλοσοφωτάτου τὸ ἦθος. ὅκου μὲν οὖν κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει καὶ τῇ ἐσχάτως λεπτῇ διαίτῃ ἀναγκαῖον χρέεσθαι. ὅκου δὲ μὴ, ἀλλ' ἐνδέχεται ἁδροτέρως διαιτᾷν, τοσοῦτον ὑποκαταβαίνειν, ὁκόσον ἂν ἡ νοῦσος μαλθακωτέρα τῶν ἐσχάτων εἴη. πόνους μὲν γὰρ λέγει πάντα τὰ λυποῦντα τὸν ἄνθρωπον, ἐσχάτους δὲ ὀνομάζει τοὺς μεγί-

refponderunt, me et excellenti natura et fingulari propter patris mei liberalitatem effe eruditione et aetatem ad discendum idoneam et impenfas unde disciplinis vacem fuppeditatas habere, fecum non ita agi, qui et rudes in primis disciplinis effent, nec acuto ut ego ingenio, nec quod impenderent habere; itaque contentos effe oportere iis, quae nunc noffent, qualiacunque ea forent. Minime igitur mireris cur plerosque medicorum non pudeat diatriton in ore habere, etiam fi fexcenties nos praefagire in aegris viderunt, diariane febre laborarent, an ea quae tertio quartove die acceffionem aliquam effet habitura. Illud potius aeftima quod Hippocrates monuit, homo alias ingenio maxime philofophico. *Quum equidem peracutus morbus eft, extremos quam primum labores habet, tum fumme tenuiffimo victu neceffe eft uti. Quum vero non, fed licet liberalius cibare, tantum eft de extrema victus ratione remittendum, quantum morbus extremis eft mitior.* Labores namque dicit omnia quae hominem offendunt, extremos vero maximos,

στους, οἵπερ ἐν ταῖς ἀκμαῖς γίνονται. κελεύει δ' εἰς τοῦτον τὸν χρόνον ἀποτίθεσθαι τῆς διαίτης τὸ λεπτότατον, οὐδέν τι διδάσκων ἀλλοιότερον ἢ ὁπότ' ἔφασκεν· ὁκόταν ἀκμάζῃ τὸ νόσημα, τότε καὶ τῇ λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. καὶ μὴν οὐχ οἷόν τε τὸ λεπτότατον τῆς διαίτης εἰς τὴν ἀκμὴν ἀναβάλλεσθαι, χωρὶς τοῦ κατὰ τὴν ἀρχὴν ἐστοχάσθαι περὶ πόσην ἡμέραν ἀκμάσει τὸ νόσημα. ἀλλὰ καὶ Ἱπποκράτη φασὶ ληρεῖν ταῦτα γράψαντα καὶ ἡμῶν ἔργῳ διαδεικνυμένων αὐτὰ, πάντα μᾶλλον νομίζουσιν ἢ δυνατὸν ἀνθρώπῳ κατὰ τὸν πρῶτόν ποτε παροξυσμὸν, ἀκριβῆ γνῶσιν ἔχειν τῆς τοῦ κάμνοντος διαθέσεως. ἐγὼ δ' οὔτ' ἐφ' ἁπάντων τῶν νοσούντων ἀκριβῶς φημι γινώσκειν τὴν διάθεσιν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν οὔτε τῶν ἐφημέρων τινὰ πυρετὸν λαθεῖν ἄν με· τοῦτο δ' ἀρκεῖ κατά γε τὰς πρώτας ἡμέρας εἰς τὸ μηδὲν ἁμαρτεῖν ἐν τῇ διαίτῃ, τὸ διακρῖναι τὸν ἐφήμερον πυρετὸν τῶν ἄλλων. διὰ τοῦτό γέ τοι τῇ τετάρτῃ τῶν ἡμερῶν, ἐν ᾗ πρῶτον ἐκεῖνοι προταριχεύσαντες τὸν ἄνθρωπον ἄρχονται τρέφειν, ἡμεῖς ἤδη τὰ συνήθη τῶν ἔργων παρεχόμεθα πράττειν, κωλύομεν δὲ

quales in fummo vigore fiunt. Jubet autem refervari in id temporis fummam victus tenuitatem, nihil profecto docens diverfum ab eo, quod alibi dixit: *Quum in fummo vigore morbus eft, tum victu uti tenuiffimo eft neceffe.* Atqui fieri non poteft, ut fummam victus tenitatem ad fummi vigoris tempus differas, nifi inter initia conjeceris, circiter quotum diem in vigore morbus fit futurus. Sed et infanire Hippocratem dicunt qui haec fcripferit, et tametfi nos opere ea oftendimus, omnia potius putant, quam poffe quempiam in prima aliquando acceffione certam notitiam affectus aegrotantibus habere. Ego vero nec in omnibus aegrotantibus fateor exacte me fcire in primo die affectum, nec ullam diariam me febrem poffe fugere; at vero ut nihil in victus ratione primis faltem diebus pecces, hoc fatis eft, fi discernere diariam a reliquis queas. Ac propterea quarto die in quo illi hominem quem jam emaciarunt, primum nutrire incipiunt, nos ad confueta munia dimittimus, ac a diariis

κἀκ τῶν ἐφημέρων πυρετῶν τὴν μετάστασιν εἰς τοὺς ὀξεῖς γενέσθαι, τῷ τρόπῳ τούτῳ τῆς διαίτης· ὡς εἴ γέ τις ἑτέρως διαιτήσειεν, ἐξ ἀνάγκης ἀκολουθήσουσι κατά γε τὰς προειρημένας κράσεις ὅσοι διακαέστατοι τῶν πυρετῶν. ἕτεραι γάρ εἰσι φύσεις ἐφ᾽ ὧν ἢ οὐδὲν ἢ οὐκ ἀξιόλογόν γέ τι τοσούτων ἡμερῶν βλάπτει λιμός· ὥσπερ ἕτεραί γε πάλιν ἐφ᾽ ὧν οὐ μόνον ἀβλαβὴς, ἀλλὰ καὶ πρὸς ὠφέλειάν ἐστιν ἡ ἀσιτία τῶν τριῶν ἡμερῶν. ἀλλὰ περὶ μὲν τῶν ἄλλων φύσεων ἑξῆς διορίσω. τὴν ὑποκειμένην δ᾽ ἐξ ἀρχῆς κρᾶσιν εἰς τοὔσχατον ἄγουσι κίνδυνον αἱ ἀσιτίαι κατὰ πάντας τοὺς πυρετοὺς, οὐ μόνους ὧν νῦν ἐμνημόνευσα, τοὺς ἐφημέρους ὀνομαζομένους.

Κεφ. δ'. Εἰ γὰρ καὶ δι᾽ ἔμφραξιν, ὡς ἐλέχθη, στεγνωθείη ποθ᾽ ἡ διαπνοὴ, μικρὰν μὲν ὑπάρχουσαν αὐτὴν, εἴ τις ὀρθῶς διαῤῥύψειε, κωλύσει γενέσθαι δεύτερον παροξυσμόν· ἀξιολόγου δὲ γενομένης, οὐκ ἔθ᾽ ὁμοίως ἐπαγγείλασθαι δυνατόν. εἰ δὲ καὶ πολλοὶ καὶ παχεῖς καὶ γλίσχροι σφηνωθεῖεν χυμοὶ, τὸν ἐπὶ τούτοις πυρετὸν ἀδύνατόν ἐστιν ἐν τοῖς ὅροις διαμεῖναι τῶν ἐφημέρων. ἐξ ἀνάγκης γὰρ αὐτὸν ὁ ἐπὶ σήψει

in acutas febres tranfitum fieri hac victus ratione prohibemus; quum fi quis aliter cibet, excipiant neceffario jam dictas naturas ardentiffimae febres. Sunt enim aliae naturae quibus aut nihil aut non magnopere incommodet tot dierum inedia; ficut e diverfo aliae quibus non modo innoxia, fed etiam utilis eft trium dierum inedia. Verum de caeteris naturis poft decernam. Propofitum vero nunc nobis ab initio temperamentum inediae in fummum ducunt discrimen, in quacunque injungantur febre, non folum iis quas modo commemoravi diariis.

Cap. IV. Etenim fi propter obftructionem aliquando, ut dictum eft, coacta tranfpiratio fit, fi parva ea fit, qui recte deterferit, fecundam fore acceffionem vetabit; fin infignis, non poffis ita promittere. Quod et fi multi et craffi et glutinofi impacti humores fint, quae hos excipit febris fieri non poteft ut intra fines diariarum confiftat, quando ex neceffitate huic in mali fucci naturis ea quae ex

χυμῶν διαδέξεται κατὰ τὰς κακοχύμους φύσεις. ὡς ἐπ' ἄλλων γε κράσεων ἃς ἐν τοῖς ἑξῆς ἑρμηνεύσω γένοιτ' ἂν τις ἰδέα πυρετοῦ συνόχου διὰ τὴν τοιαύτην αἰτίαν ἄνευ σήψεως χυμῶν. ἕπεσθαι δὲ τοῖς τοιούτοις λόγοις ἀδύνατον ὅσον ἄν τις μὴ πρότερον ἐν ταῖς εἰρημέναις πραγματείαις γυμνάσηται, καὶ μάλιστα τῇ περὶ τῆς διαφορᾶς τῶν πυρετῶν. ἐπειδὰν γὰρ ἔμφραξίς τις ᾖ μετρία δι' ἣν ἐπύρεξαν οἱ κακόχυμοι κατὰ μὲν τὴν πρώτην καὶ δευτέραν ἡμέραν ἄχρι τινὸς, οὐκ ἔστιν ἐν τῷ σφυγμῷ τὸ τῆς σήψεως σημεῖον, ὥσπερ οὐδ' ἐν τοῖς οὔροις τὸ τῆς ἀπεψίας. μηκυνομένης μέντοι τῆς παρακμῆς καὶ μηκέτ' ἀνάλογον ἐνδιδούσης ὥσπερ ὑπήρξατο [190] μετὰ τὴν ἀκμὴν ὕποπτός ἐστιν ἡ διάθεσις, ὥσπερ ἐφ' ὧν ἐπείγεται πρὸς τὴν λύσιν, ἀτμοί γέ τινες, ἢ νοτίδες, ἢ ἱδρῶτες ἐξεκρίθησαν, ἢ οὖρα πλείω χρηστὰ μετὰ τῶν κατὰ τὸν σφυγμὸν σημείων ἀγαθῶν ὑπαρχόντων, ἐφήμερός ἐστι βεβαίως ὁ πυρετός. ἀλλ' ὅ γε διὰ μικρὰν ἔμφραξιν ὅμοιος μὲν τοῖς ἐφημέροις ἐστὶν, ὡς εἴρηται, κατά γε τὰ πρῶτα, μηκυνομένης δὲ τῆς παρακμῆς ὕποπτος γίγνεται, κἂν μηδέπω τὸ τῆς σήψεως

putredine humorum accenditur fuccedet. Nam in aliis faltem temperamentis quae in fequentibus exponam, excitari ex tali caufa poteft citra humorum putredinem aliqua continentis febris fpecies. Porro capere ejusmodi fermones omnino non poteft, qui prius in memoratis operibus non fit exercitatus, ac potiffimum in eo quod de febrium differentia infcribitur. Nam ubi obftructio quaepiam mediocris eft, ob quam febricitant quibus vitiofus eft humor in primo die, atque etiam fecundi aliqua parte, nullum eft in pulfu putredinis fignum, aeque ut nec cruditatis in urinis. Protracta tamen declinatione nec amplius pro ratione, ficut poft fummum vigorem inceperat, cedente, fufpectus affectus eft, veluti *e diverfo* in quibus ad folutionem feftinat, vel halitus aliqui vel madores vel fudores exierunt, vel multa bona urina cum fignis in pulfu bonis, in iis procul dubio diaria febris eft. Sed quae ex parva oritur obftructione, ea, ut dictum eft, faltem inter initia fimilis diariis eft, protracta tamen declinatione fufpecta red-

σημεῖον ἐμφαίνηται τοῖς σφυγμοῖς· ἐὰν γὰρ μὴ διαπνευσθῇ τελέως, ἀναγκαῖόν ἐστι σαπῆναι τὴν κακοχυμίαν. ἵν᾽ οὖν διαπνεύσῃ, μείζονος ἡμῖν ἤδη βοηθείας ἐστὶ χρεία. εἰ μὲν οὖν ἤτοι παιδίον ἢ γέρων εἴη, φλεβοτομεῖν οὐκ ἔτ᾽ ἐγχωρεῖ· μεταξὺ δὲ τῶν ἡλικιῶν τούτων ῥώμης παρούσης τῷ κάμνοντι φλεβοτομητέον, εἰ καὶ τὰ τοῦ πλήθους ἀπείη σημεῖα. βέλτιον γὰρ ἐκκενώσαντα τὸ πλέον τῆς κακοχυμίας, ἐπὶ τὸ διαῤῥύπτειν τὰς ἐμφράξεις ἰέναι· κίνδυνος γὰρ ἐκφραττόντων, πρὶν ἐκκενῶσαι, σφηνωθῆναι μᾶλλον αὐτάς. ἐκφράττουσι μὲν οὖν αἱ ῥυπτικαὶ δυνάμεις, ἔξωθέν τε προσπίπτουσαι τῷ δέρματι καὶ εἴσω τοῦ σώματος λαμβανόμεναι. κίνδυνος δὲ καὶ τὰς ἐκτὸς ἑλκούσας ἅμα τοῖς ἐμφράττουσι συνεπισπᾶσθαί τι καὶ ἄλλο, καὶ τὰς ἔνδοθεν ἀναφερομένας ἑαυταῖς συνεπισύρεσθαί τι τῶν ἐν τοῖς ἀγγείοις. ὅπερ εἰ μὲν γλίσχρον, ἢ παχὺ τύχοι, διπλασιάσει τὴν ἔμφραξιν· εἰ δὲ μὴ, ἀλλὰ τῷ πλήθει γε, πάντως οὐ σμικρὰ λυπήσει. φαίνεται γὰρ ἐνίοτε καὶ τὸ πολὺ ῥεῦσαν ἀθρόως οὐδὲν ἧττον ἐμφράττεσθαί τε

ditur, quamvis putredinis indicia in pulſu adhuc non appareant; quippe niſi vitioſus humor penitus tranſpiret, neceſſe eſt putreſiat. Ergo ut tranſpiret majore jam auxilio eſt opus. Ac ſiquidem vel puer vel ſenex ſit, ſanguinem detrahere non licet; inter has aetates ubi robur aegro non deeſt, ſecanda vena eſt, etiam ſi plenitudinis ſigna non adſunt. Praeſtat enim vitioſi humoris majore parte emiſſa ad detergendas obſtructiones accedere, quum alioqui metus ſit ſi obſtructionibus liberandis, priusquam vacuaveris, ſtudeas, ne ipſas magis impingas. At ſolvunt quidem obſtructiones quae deterſoriam facultatem obtinent, ſeu foris cuti ſint admota, ſeu intro in corpus accepta. Periculum vero eſt etiam ne quae foras trahunt, una cum iis quae, obſtruunt, etiam aliud quippiam attrahant, et quae ab interno ſurſum feruntur, aliquid ſecum in iis quae in vaſis continentur rapiant. Quod ipſum ſi tenax ſit vel craſſum obſtructionem plane geminabit; ſin aliter, multitudine certe ſua non parum omnino nocebit. Cernimus enim aliquando etiam quod multum eſt, cum ſimul totum confluit, obſtruendo haerere,

καὶ σφηνοῦσθαι τῶν γλίσχρων καὶ παχέων· εἰ δὲ καὶ διὰ πόρων στενῶν ἡ διέξοδος εἴη, πολὺ δὴ μᾶλλον ἴσχεσθαι. ὅπως οὖν ἀσφαλὴς (124) καὶ τούτοις ἡ φορὰ καὶ τοῖς ἔξωθεν ἡ ὁλκὴ γίγνοιτο, χρησιμώτατόν τέ ἐστι κενῶσαι τὸ σῶμα. καὶ μέντοι καὶ τὰ διαπνεόμενα τῶν χυμῶν καπνώδη καὶ λιγνυώδη περιττώματα μειωθέντων αὐτῶν ἐλάττω γίγνοιτο ἄν. ὥστε καὶ διὰ τοῦτο βραχύτερον ἔσται τὸ πυρετῶδες θερμὸν, ὡς ἐγχωρεῖν αὐτὸ διαπνεῖν εἰς τοὐκτὸς, εἴπερ εἶεν αἱ ἐμφράξεις βραχεῖαι. ὅταν οὖν ποθ᾽ ὑπονοήσῃς ἐστεγνῶσθαι τὸ δέρμα δι᾽ ἔμφραξιν, ἔκ τε τῶν μὴ γίγνεσθαι κατὰ τὴν παρακμὴν τοῦ πρώτου παροξυσμοῦ κενώσεις ἀξιολόγους καὶ διαμένειν ὁμοίαν ἑαυτῇ τὴν παρακμὴν, εἰ μὲν ἀπὸ μηδενὸς τῶν προφανῶν αἰτίων ἐπύρεξεν ὁ ἄνθρωπος, ἔτι καὶ μᾶλλον ἂν εἴη σοι βεβαιοτέρα τῆς ἐμφράξεως ἡ διάγνωσις· εἰ δὲ σύν τινι τῶν προφανῶν, οὐκ ἀδύνατον ἅμα συνεληλυθέναι διττὰς αἰτίας. εἰ γὰρ ἡ ἑτέρα μόνη τῶν αἰτιῶν ἡ ἐκ τοῦ προκατάρξαντος αἰτίου ἦν, ἐμειοῦτο ἂν ἡ παρακμὴ σὺν αἰσθηταῖς ἐκκρίσεσιν· οὔκουν ἀναβάλλεσθαι τῶν τοιούτων ἀῤῥώστων

infigique non minus quam ea quae glutinofa funt et craffa; quod fi per meatus anguftos eft tranfitus, multo profecto magis retineri. Quo igitur et his iter liberum, et iis quae foris admoventur attractio tuta fit, utiliffimum eft corpus inaniffe. Quin etiam fumofa fuliginofaque humorum excrementa, quae *per cutim exhalant*, *fuccis* imminutis pauciora reftabunt. Quare inde quoque minor reddetur febrilis calor, fic ut foras evanescere, fi exiguae obftructiones fint, queat. Ergo quum fufpicio erit cutim effe ex obftructione praeclufam, id quod tum ex eo conjicies, quod non fuerit in primae acceffionis remiffione vacuatio fatis magna, tum quod fimilis fibi perduraverit remiffio, fi homo ex nulla manifefta febricitavit caufa, etiam certiorem obftructionis dignotionem habes; fin ex evidenti aliqua caufa, fieri poteft ut duae fimul coierint caufae. Nam fi altera tantum caufarum quam externa impreffit fubeffet, imminuta remiffio fuiffet cum fenfibili alicujus excretione; haudquaquam igi-

ἀφαιρεῖν αἵματος, ἀνάλογον τῇ τε δυνάμει καὶ τῷ μεγέθει τῆς ἐμφράξεως. ἔνδειξις δὲ τοῦ ποσοῦ τῆς ἐμφράξεως ἐκ τοῦ μεγέθους ἔσται τοῦ κατὰ τὸν πυρετόν· μείζων μὲν γὰρ ἐπὶ ταῖς σφοδροτέραις ἐμφράξεσιν, ἐλάττων δ᾽ ἐπὶ ταῖς μικροτέραις συμπίπτει. κενώσαντα δὲ τὸ σύμμετρον οὐ μετὰ πολὺ διδόναι τῶν ῥυπτικῶν τινα τροφῶν ἢ φαρμάκων. ἔστι δ᾽ οὐ πολλὰ τὰ τοῦτο δυνάμενα ποιεῖν ἐν πυρετοῖς, ἀλλ᾽ ὡς εἴρηται καὶ πρόσθεν, ἐν τῷ τροφῆς μὲν λόγῳ ἡ πτισάνη τ᾽ ἐστὶ καὶ μελίκρατον, ἐν φαρμάκοις δὲ τό τε ὀξύμελι καὶ ὅσα τῷ μελικράτῳ συνεψεῖν οἷόν τε, ὡς καλαμίνθη καὶ ὕσσωπον καὶ ὀρίγανον καὶ ἕρπυλον καὶ ἶρις καὶ σέλινον. ἀλλὰ ταῦτά γε πάντα πλέον ἢ δεῖ θερμὰ καὶ διὰ τοῦτο ἐξάπτει τοὺς πυρετοὺς ὥσπερ οἶνος. ὀξύμελι δὲ μόνον οὔτε τοὺς πυρετοὺς ἐξάπτει καὶ ῥύπτει γενναίως, ὡς διαλύειν μὲν ὅσα γλίσχρα καὶ παχέα, τοὺς πόρους δ᾽ ἐκφράττειν. ἐν δὲ τῷ μεταξὺ μελικράτου τε καὶ ὀξυμέλιτος εἴη [191] ἂν τὸ καλούμενον ἀπόμελι, χρῶνται δ᾽ αὐτῷ κατὰ τὴν Πελοπόννησον πλεῖστον. θείη δ᾽ ἄν τις εὐλόγως, οἶμαι,

tur differendum eſt ſanguinem ita laborantium mittere, tum ad virium tum ad obſtructionis magnitudinis proportionem. Indicetur autem obſtructionis magnitudo ex ipſa magnitudine febris, ut quae ex majore obſtructione major, ex minore minor inciderit. Ubi vero modice vacuaveris, haud multo poſt aut nutrimentum aliquod aut medicamentum ex iis quae detergeant exhibebis. Sunt porro non multa quae in febribus id praeſtent; ſed ſicut dictum prius eſt, in alimentorum ratione ſunt ptiſana et mulſa, in medicamentorum oxymeli et quaecunque incoquere in mulſa licet, ceu calamintha et hyſſopum et origanum et ſerpillum et iris et apium. Verum haec omnia juſto ſunt calidiora, ideoque febres accendunt ut vinum. Oxymeli vero ſolum nec febres accendit et ſtrenue deterget, ſic ut ea quae glutinoſa craſſaque ſunt, diſſolvat et meatus obſtructos liberet. At inter mulſam et oxymeli medium locum habet quod apomeli dicitur, cujus plurimus in Peloponneſo eſt uſus. Non immerito,

καὶ τὸ σάκχαρ ἐν τοῖς τοιούτοις.' ἐπὶ δὲ τῇ τοιαύτῃ τροφῇ παραφύλαττε πόσον ἀφαιρεῖται τῆς πυρετώδους θερμασίας. εἰ γάρ σοι φαίνοιτο κατὰ τὴν τρίτην ἡμέραν ἕωθεν ἐλάχιστόν τι λείπεσθαι τοῦ πυρετοῦ, μήτε τοῦ τῆς σήψεως τῶν χυμῶν σημείου παρόντος ἐν τοῖς σφυγμοῖς μήτ' ἐν τοῖς οὔροις τοῦ τῆς ἀπεψίας, ἡ δ' ὕποπτος ὥρα καθ' ἣν εἰσέβαλεν ὁ πυρετὸς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ἐξωτέρω τῆς μεσημβρίας εἴη, θαῤῥῶν λοῦε τὸν ἄνθρωπον ὅσον οἷόν τε τάχιστα πρὸ πολλοῦ τῆς ἕκτης ὥρας. ἱκανὸν δὲ κἂν ἐντὸς τρίτης ὥρας ξυμπληρωθῇ τὸ λουτρόν. οὕτω δὲ καὶ εἰ δεκάτην ὥραν ὑποπτεύοις, ἄχρι τῆς ἑβδόμης λούειν ἐγχωρεῖ, τριῶν ἢ τεττάρων ὡρῶν ἰσημερινῶν αὐταρκεστάτων οὐσῶν εἰς διάστημα τοῦ τε βαλανείου καὶ τοῦ παροξυντικοῦ καιροῦ. χρὴ δ' ἐν τῷ βαλανείῳ προαλείψαντα καὶ προανατρίψαντα μετριώτατα διαῤῥύπτειν τε καὶ ἀποπλύνειν ἔξωθεν τὸ σῶμα. τὴν δ' ὕλην τῶν ῥυπτικῶν ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασιν ἔχεις. ἐκλέγειν οὖν ἐκεῖθεν δεῖ τὰ πρὸς τὸ παρὸν ἁρμόττοντα· διῄρηται γὰρ ἐν αὐτοῖς ὅσα τε μᾶλλον αὐτῶν ὅσα θ' ἧττον ῥύπτει. λεχ-

arbitror, et faccharum inter haec numerandum. Ex hoc victu fervabis, quantum de febrili calore minuitur. Etenim fi tertio die mane videris minimum effe quod de febre relinquitur, ac neque putredinis humorum in pulfu nota fubfit, neque in urina cruditatis, fufpecta vero hora qua primo die febris invafit extra meridiem nota fit, audacter hominem quam ocyffime lavabis longe ante fextam horam. Abunde tamen fit fi intra tertiam horam lavationem compleveris. Ad eundem modum et fi decimam horam fufpectam habueris, usque ad feptimam laves licet, quum tres aequinoctiales horas quatuorve inter balneum acceffionisque tempus interponi abunde fit fatis. Debet autem in balneo corpus prius unctum ac moderatiffime frictum, mox detergeri extrinfecus abluique. Sane detergentium materiam expofitam habes in commentariis iis, qui de medicamentis funt confcripti. Deligenda vero femper funt quae ad rem propofitam fint accommoda; quippe diftincta in his funt tum quae magis tum quae minus detergent. Sed et nunc ex-

θήσεται δὲ καὶ νῦν ἕνεκα παραδείγματος ὀλίγα. μετριώτατα μὲν οὖν ῥύπτει τό τε τῶν ὀρόβων ἄλευρον καὶ τὸ τῶν κριθῶν καὶ τὸ τῶν κυάμων, ἔτι καὶ τὸ μελίκρατον τὸ ὑδαρές· μᾶλλον δὲ τούτων ἴρις καὶ πάνακος ῥίζα καὶ ἀριστολοχία καὶ τὸ μέτριον ἐν τῇ κράσει μελίκρατόν ἐστιν, ὥσπερ γε καὶ τοῦδε μᾶλλον ὅταν ἀκρατέστατον ᾖ. γίνεται δὲ τοιοῦτο τῷ μέλιτι μιχθέντος ὕδατος βραχέως, ὡς χυθὲν τοῖς μικροῖς τοῦ δέρματος εὐκόλως ἐνδῦναι πόροις. ἔτι δὲ τοῦδε μᾶλλον ὁ ἀφρὸς τοῦ νίτρου καὶ τὸ νίτρον αὐτὸ καὶ τὸ ἀφρόνιτρον. εἶναι δὲ χρὴ τὸ μὲν νίτρον λεπτομερὲς, οἷόν πέρ ἐστι τὸ Βερενίκιον· εἰ δὲ τὸ λιθῶδες εἴη, καίειν τε καὶ λειοῦν ἀκριβῶς αὐτό. μέλι δὲ τὸ καθαρώτατον καὶ δριμύτατον, οἷόν πέρ ἐστι τὸ Ὑμήττιον. ἔστι δὲ δήπου καὶ ὁ σάπων ὀνομαζόμενος ἐν τοῖς μάλιστα ῥύπτειν δυναμένοις. ἅλις ἔστω σοι παραδειγμάτων τῆς τῶν ῥυπτόντων ὕλης. μετιέναι γὰρ ἤδη καιρὸς ἐπὶ τὰ μετὰ τὸ λουτρόν. ἔστι δ᾽ οὐ πολλά· πλὴν γὰρ ὕδατος ἔχοντος ἐναφηψημένων αὐτῷ σέλινον ὀλίγον, οὐδὲν αὐτοῖς

empli causa pauca dicemus. Moderatissime detergent tum ervi farina tum hordei tum fabarum, praeterea mulsa aquosa; magis vero quam haec iris et panacis radix et aristolochia et mulsa quae mediocri est mixtura, veluti etiam hac magis quae meracissima est. Fit haec ubi mixta melli exigua est aqua, sic ut liquatum mel exiguos cutis meatus facile ingredi possit. Possunt autem vel hac magis detergere tum spuma nitri tum nitrum ipsum tum aphronitrum. Si autem nitrum, opus est eo quod ex tenuibus partibus constet, cujusmodi Berenicium est; si vero lapidosum sit, uri id laevigarique diligenter debebit. Mel autem purissimum acerrimumque, cujusmodi est Hymettium. Est autem et sapo nominatus ex iis quae maxime detergere valeant. Atque haec satis multa detergentium materiae exempla sunt. Tempestivum enim est jam ad ea quae post balneum adhibentur accedamus. Sunt autem ea minime multa, nam praeter aquam quae parum apii incoctum in se habuerit, nihil his est offerendum, licet quod inter balneum et suspe-

Ed. Chart. X. [191.] Ed. Baſ. IV. (124.)

δοτέον, κἂν τὸ μεταξὺ τοῦ τε λουτροῦ καὶ τῶν ὑποπτων διάστημα τριῶν ὡρῶν ἔσεσθαι στοχαζώμεθα. περὶ μέντοι τὴν ἑσπέραν καὶ θᾶττον ὥραις δυοῖν τοῦ κατὰ τὴν πρώτην ἡμέραν εἰσβεβληκότος παροξυσμοῦ καὶ λοῦσαι δυνατὸν ἕωθεν καὶ θρέψαι μόνον πτισάνης χυλῷ. εἶτα εἰ μὲν μηδόλως ἐνέγκοιεν αἱ ὧραί τι, λούειν αὖθις εἰ βούλοιτο καὶ τρέφειν, ὧν εἴρηκα σκοπῶν ἐχόμενον. εἰ δέ τι γένοιτο, παραβάλλειν τε τοῦτο τῷ κατὰ τὴν πρώτην ἡμέραν παροξυσμῷ, συνεπισκοπεῖσθαι τά τε οὖρα καὶ τοὺς σφυγμούς· ἅπαντα δὲ δήπου φαίνεταί σοι μέτρια, βραχείας ὑπολειπομένης ἐμφράξεως, ὥστε καὶ λούσεις τῇ τετάρτῃ τῶν ἡμερῶν αὐτὸν καὶ θρέψεις τῶν εἰρημένων σκοπῶν ἐχόμενος· ἐλπίσεις τε μηδὲν ἔτι τῇ πέμπτῃ συμπεσεῖσθαι. μεγάλης δὲ τῆς ἐμφράξεως γεγενημένης οὐκέτ' ἂν ὁ τοιοῦτος ἐκ τῶν ἐφημέρων εἴη πυρετῶν. ὥστε εἰς τὸν ἑξῆς ἀναβεβλήσθω λόγον, ἐν γάρ τοι τῷδε περὶ τῶν ἐφημέρων μόνων πρόκειται διελθεῖν.

Κεφ. ε'. Ἐπεὶ τοίνυν ἐφήμεροι πυρετοὶ ταῖς ὑποκειμέναις κράσεσι τῶν σωμάτων ἐπιγίγνονται πολλάκις καὶ

ctas horas ſpatium erit, trium fore horarum conjiciamus. Si vero citra veſperam aut duabus horis citius quam primo die acceſſio invadet, tum laviſſe mane liceat tum cibaſſe, ſed tantum ptiſanae cremore. Deinde ſi ſuſpectae horae nihil prorſus afferant, et lavare rurſus, ſi velit, licet et cibare ad eas quas diximus conſiderationes intento. Sin aliquid eveniat et conferendum id eſt cum acceſſione quae primo die inciderat, et tum urinae conſiderandae tum pulſus ſunt, quae omnia profecto mediocria apparebunt, ubi exigua relinquitur obſtructio. Quare ipſum et lavabis quarto die et cibabis jam dictos ſcopos habens, ſperabisque nihil quinto die ſuperventurum. At ſi magna obſtructio facta ſit, ea febris ex diariarum genere non erit. Quare in proximum differatur ſermonem, quum in hoc de diariis tantum agere ſtatuerimus.

Cap. V. Quoniam igitur diariae febres in propoſitis corporum temperamentis, ſaepenumero etiam ciborum cru-

[192] ἀπεψίαις σιτίων, ἑξῆς ἂν εἴη περὶ αὐτῶν διελθεῖν. χειρίστη μὲν οὖν ἐστιν ἐν ταῖς τοιαύταις κράσεσιν ἀπεψία καὶ τάχιστ᾽ ἀνάπτει πυρετὸν, ἐν ᾗ διαφθείρεται τὰ σιτία πρὸς τὸ κνισῶδές τε καὶ καπνῶδες· ὡς ἥ γε εἰς ὀξύτατον τρέπουσα σπανιάκις τε γίγνεται ταῖς τοιαύταις φύσεσι καὶ ἧττον βλάπτει. λεχθήσεται δὲ ὑπὲρ ἑκατέρας ἰδίᾳ ἡμῖν τὴν ἀρχὴν ἀπὸ τῆς πλειστάκις τε γιγνομένης αὐτῆς καὶ μᾶλλον βλαπτούσης ποιησαμένοις. ἔστι δ᾽, ὡς εἴρηται, κνισώδης τέ τις αὕτη καὶ καπνώδης, ἔλαττον μὲν ὑπάρχουσα κακὸν, εἰ καταῤῥήξειεν ἡ γαστὴρ, οὐ μικρὸν δὲ εἰ ἐπισχεθείη. πυρέττουσι γὰρ ἐπὶ ταῖς ἐπισχέσεσιν αὐτῆς ἑτοίμως αἱ κακόχυμοι φύσεις καὶ μάλισθ᾽ ὅταν ἐπὶ τὰς συνήθεις τράπωνται πράξεις, ὑπεριδόντες τοῦ μένειν ἔνδον ἐφ᾽ ἡσυχίας ἐν τῇ στρωμνῇ. πυρέττουσι δ᾽ ἔνιοι καὶ τῶν ἁλόντων διαῤῥοίαις ἐπ᾽ ἀπεψίᾳ, συναυξανομένης αὐτοῖς τῆς πυρετώδους διαθέσεως, οὐχ ἥκιστα κἀκ τοῦ πλήθους τῶν ἐξαναστάσεων. εἰ δὲ καὶ δῆξίς τις, ἢ πόνος, ἢ θερμότης ἄμετρος ἐν τοῖς κατὰ τὴν γαστέρα καὶ τὰ ἔντερα γένοιτο, πολὺ δὴ μᾶλλον ἐντεῦθεν ἡ πυρετώδης αὐξάνεται

ditatibus fuccedunt, proximum fuerit de ipfis differere. Ergo peffima quidem in ejusmodi temperamentis cruditas eft citiffimeque febrem accendit in qua cibi in nidorulentam et fumofam qualitatem corrumpuntur, quando ea quae in acidam vertit, ut rariffime talibus naturis contingit, ita minus nocet. Dicemus autem de utraque feorfum, incipientes ab ea quae faepius his incidit et magis laedit. Ea eft, ut diximus, nidorofa quaedam ac fumofa, quae utique, fi alvus lubrica fit, minus eft noxia, fin adftringitur, gravis eft. Siquidem ex adftrictione ejus vitiofae naturae in febres prompte incidunt, ac potiffimum quum neglecto confilio in lectulo domi manendi ad folita convertuntur opera. Febricitant autem nonnulli et ex iis quos diarrhoea ex cruditate male habet, quibus utique non minime increscit febrilis affectio et ex defurgendi frequentia. Quod fi etiam rofio aut calor immodicus in ventriculo et inteftinis fit, hinc vel longe magis affectio febrilis increscit. Eft autem eorum quibus

διάθεσις. ἴασις δ᾽ οὐχ ἡ αὐτὴ τῶν ἐπισχεθέντων τοῖς ἐκκρίνουσι· λεκτέον οὖν ὑπὲρ ἑκατέρων ἐν μέρει· φανεῖται γὰρ οὕτως οὐ μόνον ὅπῃ διαλλάττουσιν, ἀλλὰ καὶ ὅσον ἐν ἀμφοτέροις κοινόν. εἰ μὲν δὴ φαίνοιτο μόνα τὰ διεφθαρμένα κεκενῶσθαι, λουτέον τ᾽ ἐστὶ καὶ θρεπτέον ἐν τῇ παρακμῇ τοῦ πυρετοῦ, πρόνοιάν τινα τῶν κατὰ τὴν γαστέρα ποιη(125)σαμένοις πρότερον. εἰ δ᾽ οὕτως εἴη πολλὴ κένωσις ἤτοι γεγονυῖα πρόσθεν ἢ καὶ νῦν ἔτι γιγνομένη κατὰ τὸν ἄνθρωπον ὡς κεκμηκέναι τὴν δύναμιν, ἄμεινον θρέψαι χωρὶς τοῦ λοῦσαι προνοησαμένους τῶν κατὰ τὴν γαστέρα. πρόνοια δ᾽ ἐπὶ τῶν οὕτως ἐχόντων, εἰ μὲν μηκέτι γίγνοιτο κένωσις, ἐμβροχὴ δι᾽ ἐλαίου τε καὶ ἀψινθίου· χρὴ δὲ προδιαβρέχειν ὕδατι ζέοντι τὸ ἀψίνθιον, ὅπως μὴ κνισωθείη. καὶ εἴ γέ τις αἴσθησις ὑπολείποιτο κατὰ τὴν γαστέρα δήξεως ἢ πόνου, πίλημα μετὰ τὴν ἐπιβροχὴν ἤτοι θερμὸν καὶ ξηρὸν ἢ βεβρεγμένον μὲν ἐλαίῳ ἐν ᾧ τὸ ἀψίνθιον ἀπεζέσθη, τὸ πλεῖστον δ᾽ ἐκπεπιεσμένον ἐπιβάλλειν χρή. κάλλιον δ᾽ εἰ παρείη μύρον νάρδινον ἐπιμελῶς

ſuppreſſa alvus eſt et quibus fluens non eadem ſanatio; itaque etiam ſeorſum de utrisque agetur, apparebit enim ſic *tractantibus* non ſolum quatenus differunt, ſed etiam quantum ambobus ſit commune. Si igitur ea tantum quae corrupta fuere vacuata eſſe videntur, tum lavandum tum nutriendum in remiſſione febris eſt, ſed ſi iis quae circa ventriculum ſunt prius conſulueris. Sin ita multa inanitio aut prius facta ſit, aut nunc etiam in homine duret, ut virtus jam deſeſſa ſit, ſatius eſt omiſſa lavatione cibare, ſed conſultis prius iis quae circa ventrem ſunt. Conſuletur ita laborantibus, ſi modo vacuatio amplius non duret, perfuſione ex oleo et abſinthio, expedit autem prius irrorari abſinthium, quominus nidore offendat ferventi aqua. Quod ſi quis morſus aut doloris ſenſus in ventriculo adhuç ſuperſit, incingi illi peniculus poſt perſuſionem debebit qui vel ſiccus et calidus ſit vel ex oleo, in quo abſinthium incoctum fuit, madens ac plurimum expreſſus. Satius autem fuerit, ſi nardini unguenti quod curioſe ſit factum facultas ſit, ex

ἐσκευασμένον, ἐν ἐκείνῳ δεύσαντα κατὰ τὸν αὐτὸν τρόπον ἐπιτιθέναι τὸ πίλημα. καὶ πολύ γε κάλλιον, εἰ πορφύρα τοῦτ᾽ εἴη θαλαττία· καὶ κάλλιστόν γε εἰ Τυρία ἀρίστη τυγχάνοι· λεπτομερεστέραν γὰρ ἔχει τὴν στύψιν ἥ τε τοιαύτη πορφύρα καὶ ἡ ἀρίστη νάρδος, ὥστε διὰ τοῦ βάθους διεξέρχεσθαι τῶν κατὰ τὴν γαστέρα σωμάτων, ἡ δύναμις αὐτῶν ξηραινόντων καὶ θερμαινόντων καὶ τονούντων. εἰ δ᾽ ἀτονώτερον ὑπάρχει τὸ στόμα τῆς γαστρὸς, ὅπερ καὶ στόμαχον ὀνομάζειν εἰθίσμεθα καταχρώμενοι τῇ προσηγορίᾳ, καὶ τῆς Χίας μαστίχης ἐν τῇ νάρδῳ λειώσαντες, ὡς γλοιῶδες γενέσθαι, δεύσαντες ἐξ αὐτοῦ, τὴν πορφύραν ἐπιθήσομεν. ἔστω δὲ θερμὸν ἱκανῶς ἕκαστον τῶν τοιούτων κατὰ τὴν πρώτην ἐπιβολήν· ἐκλύει γὰρ ἅπαντα τὰ χλιαρὰ τὸν τόνον τῆς γαστρός. οἶσθα δὲ καὶ ὡς ἐπ᾽ ἀγγείου διπλοῦ προϋποβεβλημένου κατὰ τὸ ἕτερον αὐτῶν τὸ μεῖζον ὕδατος ζέοντος, ἔθος ἡμῖν ἐστι θερμαίνειν τὰ μύρα· διαφθείρεται γὰρ ἡ δύναμις αὐτῶν ἑτέρως θερμανθέντων. ἔτι δὲ ὑπιούσης τῆς γαστρὸς ἄμεινον χρῆσθαι μηλίνῳ καλλίστῳ τε καὶ προσφάτῳ, τὸν αὐτὸν τρό-

eo peniculum eodem modo imbutum *ventri* admovere. Jam multo etiam ſatius ſit, ſi purpura marina is ſit, atque etiam longe optimum, ſi optima ſit Tyria; quippe tenuiorem adſtringendi vim habet tum ea purpura tum optima nardus, ita ut vis earum ſiccando, calefaciendo ac robur inſerendo, in corpora quae circa ventriculum habentur alte penetrare poſſit. Quod ſi os ventriculi, quod ſtomachum appellare ſolemus abutentes nimirum appellatione, imbecillius ſit, etiam tanta portione Chiae maſtiches in nardino tunſa, unde ſordium craſſitudo exiſtat, madefactam ex eo purpuram imponemus. Eſto autem abunde calens talium quodque, quum primum imponitur; quippe quae tepida ſunt omnia ventriculi ſirmitudinem diſſolvunt Non autem te fugit ſolere me unguenta calefacere in vaſe duplici, conjecta prius in vas majus aqua ſervente, nam aliter calefactis vitiatur eorum facultas. Ceterum fluente adhuc alvo, utilius eſt optimo recenteque melino ſimili modo quo nardino uti; utile autem

που τῇ νάρδῳ· χρηστὸν δ' εἰς τὰ τοιαῦτα σύμπαντα καὶ τὸ μαστίχινον. οὐχ ἥκιστα δὲ καὶ τὰ τῆς τρυφῆς ἕνεκα τῶν διατεθρυμμένων γυναικῶν σκευαζόμενα μύρα ταυτὶ τὰ πολυτελῆ, χρήσιμα πρὸς τὰς τοιαύτας διαθέσεις τῆς γαστρὸς, ἅπερ ἔοικεν ὑπὸ τῆς ἐν Ῥώμῃ τρυφῆς εὑρεθέντα καὶ τὰς προσηγορίας ἔχειν [193] Ῥωμαϊκάς· ὀνομάζεταί γέ τοι σπικάτα γε καὶ φουλιάτα. μὴ φερόντων δὲ τῶν καμνόντων τὴν ζώνην, ἤτοι γ' ἐξ ἔθους ἢ τρυφῆς, ἐγχωρεῖ διὰ κηρωτῆς ἀνύειν ταὐτόν. ἔστι δ' εἰς τὰ τοιαῦτα καλλίστη κηροῦ Τυῤῥηνικοῦ τηχθέντος ἐν μύρῳ ναρδίνῳ, ψυχθείσῃ καὶ ξυσθείσῃ τῇ κηρωτῇ μιχθείσης λείας ἀκριβῶς ἀλόης τε καὶ μαστίχης. ἑκάστου δὲ αὐτῶν τὸ πλῆθος εἶναι χρὴ τοσόνδε· κηροῦ μὲν καὶ νάρδου τὸ ἴσον, ἀλόης δὲ τὸ ὄγδοον· ὥσπερ οὖν καὶ τῆς μαστίχης, ἢ εἰ βούλει βραχύ τι ταύτης πλέον. εἰ δὲ καὶ τῶν εἰρημένων τι μύρων τῶν πολυτελῶν ἀναμίξαις τῇ κηρωτῇ, βέλτιον ἔσται σοι τὸ φάρμακον. ἐγκαιομένης δὲ τῆς γαστρὸς, ὡς καὶ φλεγμονώδη διάθεσιν ἐν αὐτῇ ξυνίστασθαι δοκεῖν, ἀμείνων ἡ κηρωτὴ ἡ διὰ τοῦ μηλίνου γιγνο-

ad omnia talia eſt et maſtichinum. Non in poſtremis accommodata ſunt ejusmodi ventriculi affectibus, et unguenta ea quae in gratiam delicatarum mulierum ſiunt, haec, inquam, pretioſa quae Romanorum luxus videtur inveniſſe, appellationesque Romanas dediſſe; nominantur enim tum ſpicata tum ſoliata. Si vero qui aegrotat fasciam non ferat, ſive ob conſuetudinem ſive delicias recuſet, licet cerato idem efficere. Eſt autem in ejusmodi uſum optimum quod ex cera ſit Tyrrhenica in unguento nardino liquata, cui cerato poſtquam refrigeratum ac deraſum eſt, aloes ac maſtiches pertritus pulvis eſt admixtus. Debet autem ſingulorum hic eſſe modus, cerae ac nardi partes pares, aloes partem octavam; ſic etiam et maſtiches vel, ſi placet, hujus paulo aliquid plus. Quod ſi cerato aliquid e ſumptuoſis his unguentis admisceas, praeſtantius medicamentum habebis. Si autem ventriculus intus uritur, ita ut affectus quidam phlegmonae ſimilis in eo conſiſtere videatur, utilius eſt ceratum

μένη. πολλὰ δὲ καὶ ἄλλα φάρμακα τὰ μὲν δι' οἰάνθης ἐστὶ, τὰ δὲ δι' ὑποκυστίδος καὶ βαλαυστίου καὶ φοινίκων σαρκὸς, ἐπιτήδεια καὶ ψύχειν τὴν γαστέρα καὶ ῥώμην ἐντιθέναι. τούτων οὖν ἐκλέγου τὸ κάλλιστον εἰς τὰ παρόντα πρὸς τοὺς εἰρημένους σκοποὺς ἀποβλέπων. τρέφειν δ' ἑξῆς τοῖσδε χρή· ῥεούσης μὲν ἔτι τῆς γαστρὸς, ἀλφίτοις τε καὶ τοῖς καλουμένοις ὀξυλιπέσιν ἄρτοις, ὀλίγιστον ὄξους ἔχουσιν, οὐχ ὡς ἐπὶ δυσεντερίας ἢ χρονίας διαῤῥοίας εἰώθαμεν σκευάζειν. ἐπιπάττειν δὲ τὸ ἄλφιτον, ἐνίοτε μὲν ὕδατι θερμῷ δαψιλὲς, ἐνίοτε δ', ὅταν ἡ γαστὴρ ἔτι ἐκκρίνῃ, πλέον τοῦ δέοντος ἤτοι ῥοιᾶς, ἢ ἀπίων, ἢ μήλων χυλῷ καὶ μάλιστα τῶν κυδωνίων. εἰ δ' ἥδιον τοῖς κάμνουσι καὶ ἀφέψημά τι παρασκευάζοντας ἀπίων, ἢ μήλων, ἢ μύρτων, ἐπιπάττειν αὐτοῖς τὸ ἄλφιτον. εἰ δὲ μηκέτ' ἐκκρίνει ἡ γαστὴρ, ὅ τε χόνδρος ἱκανὸς ὁμοίως ἠρτυμένος πτισάνῃ, τουτέστιν ὄξους ἔχων, τό τε δι' αὐτοῦ ῥόφημα χωρὶς ὄξους οἵ τε ὄρχεις τῶν ἀλεκτρυόνων καὶ οἱ πετραῖοι τῶν ἰχθύων

quod ex melino conficitur. Sunt porro alia medicamenta non pauca, alia quidem ex oenanthe, alia ex hypocyftide et balauftiis et palmularum carne confecta, quae ventriculo tum refrigerando tum vero firmando fint idonea. Horum ergo quod ad rem praefentem fit commodiffimum, id deliges iis quos memoravimus fcopis intentus. Cibandi vero deinceps his funt, fluente quidem etiamnum ventre, polenta et pane, quem oxylipem vocant qui minimum aceti habeat, non ficuti in dyfenteria et diutina diarrhoea praeparare folemus. Infpergere autem polentam debebis alias aqua calida ubertim, alias ubi venter adhuc plus jufto excernit, vel mali punici vel pyrorum vel malorum fucco potiffimum cotoneorum. Quod fi jucundius laboranti *erit*, etiam decocto ex pyris aut malis aut myrtis praeparato, polentam infperges. Sin venter non amplius excernit, fuffecerit tum alica fimiliter ptifanae praeparata, hoc eft aceti habens pauxillum, tum ex ea fine aceto forbitio, tum gallinaceorum tefticuli, et faxatiles ex albo jure pisces; praeterea

ἐκ τοῦ λευκοῦ ζωμοῦ καί τις τῶν στυφουσῶν ὀπωρῶν καὶ μόνη καὶ μετ᾽ ἄρτου. ταύτας δὲ πολὺ μᾶλλον ἐπιδώσεις, ἔτι ῥεούσης τῆς γαστρός. εἰ δ᾽ ἀνορέκτως ἔχοιεν, ὡς ἀπεστράφθαι τὰ σιτία, γίνεται γὰρ καὶ τοῦτο πολλοῖς τῶν ἁλόντων διαῤῥοίαις ἐπ᾽ ἀπεψίᾳ, τοῦ διὰ τῶν κυδωνίων μήλων χυμοῦ προσδοτέον αὐτοῖς ὅσον κοχλιάριον ἓν ἢ δύο· εἰ δὲ μὴ παρείη τοῦτο, τὸ διὰ τῆς σαρκὸς αὐτῶν. εἴρηται δ᾽ ἡ σύνθεσις τῶν τοιούτων φαρμάκων ἐν τοῖς ὑγιεινοῖς. οὕτω μὲν ἐν τῇ πρώτῃ παρακμῇ τοὺς ἐπ᾽ ἀπεψίᾳ πυρέξαντας ἰᾶσθαι προσήκει, τῆς γαστρὸς ἐκκρινούσης. εἰ δ᾽ ἐπέχοιτο τελείως, ἁψάμενος πρότερον τῶν ὑποχονδρίων, εἶθ᾽ ὅλης τῆς γαστρὸς, ἐπίσκεψαι σαφῶς εἰ ὑπελήλυθεν εἰς τὸ λεπτὸν ἔντερον, ἢ εἰς τὸ κῶλον, ἡ τροφή. κἄπειτ᾽ ἐρώτησον ἑξῆς τὸν κάμνοντα κατὰ τί μὲν αἰσθάνεται μάλιστα μέρος, ἤτοι δήξεως ἢ βάρους, ὁποῖαι δέ τινες αἱ ἐρυγαί. διαγνοὺς δ᾽ ἐκ τούτων ἐν ᾧ μάλιστα μέρει τῆς συμπάσης γαστρός ἐστιν ἡ τροφὴ, μετεώρου μὲν οὔσης ἔτι τοῦ διὰ

fructuum aliquis ex iis qui adftringant vel folus vel cum pane. Hos vero vel magis etiam ventre adhuc fluente dabis; quod fi appetentia careant, fic ut cibos averfentur, incidit namque id non paucis eorum quos diarrhoea ex cruditate male habet, etiam de medicamento quod ex fucco fit cotoneorum, unum aut duo cochlearia danda his funt, aut fi hujus copia non eft, ejus quod ex carne eorum componitur. Tradita vero ejus generis medicamentorum compofitio eft in libris de tuenda fanitate. Atque ita quidem in prima remiffione iis qui cruditate febricitant ventre excernente mederi convenit. Si vero omnino venter adftringitur, pertractatis prius hypochondriis, mox toto ventre, confiderabis diligenter num cibus in gracile inteftinum aut in colon descenderit. Deinde aegrum interrogabis qua maxime in parte vel morfum vel gravitatem fentiat, qualesve habeat ructus. Ubi ex his compertum habueris, in quanam totius ventris parte nutrimentum confiftat, fi in fuperioribus partibus pendet, aliquid diatrion pipereon dabis

τῶν τριῶν πεπέρεων διδόναι μὴ τοῦ φαρμακώδους, ἀλλ' ὅπερ ἐπῃνέσαμεν ἐν τοῖς ὑγιεινοῖς ὡς ἁπλούστατόν τε καὶ τοῖς ἠπεπτηκόσιν ἐπιτήδειον· εἶθ' ἑξῆς αἰονᾷν ὑποχόνδριά τε καὶ σύμπασαν τὴν γαστέρα. τοῦτο δὲ κἂν ἤδη κατωτέρω προήκῃ τὰ διεφθαρμένα, τῷ μᾶλλόν τε καὶ ἧττον ἐξαλλάττοντα· πλέονος γὰρ δεῖται καὶ χρόνου καὶ καταντλήσεως εἰς τὴν παρασκευὴν τῶν ἐφεξῆς πρακτέων [194] οἷς ἔτι μετέωρός ἐστιν ἡ διεφθαρμένη τροφὴ κατὰ τὴν γαστέρα. κινηθείσης δ' αὐτῆς ἀξιολόγως ἐπὶ τὰ κάτω, συμπράττειν ἤτοι διὰ τῶν προσθέτων ἢ διὰ κλυσμάτων πράεων, εἰ μὲν δῆξις συνείη, ταύτην πραΰνοντας· εἰ δ' ἐμπνευμάτωσις ἐκείνην, καθιστῶντας· εἰ δὲ μηδέτερον, ἐκ μέλιτος καὶ ὕδατος ἐλαίου τε βραχέως συντιθεμένου τοῦ κλύσματος. ἔνθα δὲ εἴη σφοδροτέρα δῆξις, ἔλαιον Σαβῖνον ἐπιτηδειότερον ἐνιέναι τηχθέντος στέατος ἐν αὐτῷ χηνός· εἰ δὲ μὴ παρείη τοῦτο, τοῦ τῆς ἀλεκτορίδος· εἰ δὲ μηδὲ τοῦτο, τοῦ τῆς αἰγός· ἀποροῦντες δὲ καὶ τοῦδε, κηροῦ βραχύ τι προσεπεμβάλλειν τῷ ἐλαίῳ, καὶ μᾶλλον εἰ πεπλυμένος εἴη. τὰς δὲ ἐμπνευματώσεις ἰᾶσθαι

non medicamentofi illius, fed ejus quod in opere de fanitate tuenda ceu et fimpliciffimum et iis qui cruditate laborarent aptiffimum laudavimus; poft deinde hypocondria omnemque ventrem perfundes. Hoc vero etiam fi inferius descenderint quae vitiofa funt facies, pluris minorisque ratione id varians; fiquidem plus et temporis et perfufionis exigunt ad praeparationem eorum quae deinceps funt agenda quibus in fuperioribus ventris corruptum nutrimentum adhuc manet. Sin motum id notabiliter ad inferiora fit, adjuvandum aut glande fubdita aut levi per inferius infufione eft, utique fi morfus fimul adfit hunc mitigantibus, fi flatus, hunc fedantibus, fin neutrum fuerit, ex melle aqua et paululo olei id quod fubter infundetur facientibus. Ubi vero vehementior morfus urget, Sabinum oleum, in quo aliquid fevi anferini fit liquatum eft utilius; fi vero ejus copia non eft, gallinacei fevi, fin nec hujus facultas eft, caprini, quod fi hujus quoque penuria eft, injiciendum oleo parum cerae eft potiffimum elotae. Flatus vero fanandi funt oleo in quo

συνέψοντας τῷ ἐλαίῳ πηγάνου τέ τι καὶ τῶν ἀφύσων σπερμάτων σελίνου καὶ κυμίνου καὶ μαράθρου καὶ σίνωνος, ὅσα τ' ἄλλα τοιαῦτα. κενωθείσης δὲ τῆς γαστρὸς, αὐτίκα τρέφειν τὰ μὲν ἄλλα παραπλησίως τοῖς ἔμπροσθεν εἰρημένοις, ἀφαιρεῖν δὲ τὰ στύφοντα. εἰ μὲν οὖν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν εἰς ἑσπέραν πραχθείη ταῦτα, ἢ νυκτὸς ὥρας ἡστινοσοῦν, προνοεῖσθαι χρὴ κατὰ τὰ παραπλήσια καὶ τῇ δευτέρᾳ τῶν ἡμερῶν, καὶ λούεσθαί γ' ἐν αὐτῇ συγχωρεῖν, ἐὰν ἀκριβῶς ἀπύρετος ᾖ. κἀπειδὰν τῆς ἐπιούσης νυκτὸς ἀλύπως ὑπνώσῃ, τελέως ἤδη νομίζειν ὑγιαίνειν αὐτόν. εἰ δ' ἡ μετὰ τὴν ἀπεψίαν ἡμέρα μετὰ τῆς ἐπιούσης νυκτὸς ἐνέγκοι τὸν πυρετὸν, ὡς ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν, προνοηθῆναί τε καὶ τραφῆναι τὸν ἄνθρωπον. ἐνέγκοι δέ τι εἰ καὶ ἡ διὰ τρίτης νὺξ βραχὺ πυρετῶδες, οὐδ' οὕτως (126) χρὴ δεδιέναι, ἀλλὰ καὶ τούτους ἐπὶ τῆς ἐρχομένης ἡμέρας καὶ λούειν καὶ τρέφειν, ἅπαντά τε τἄλλα ποιεῖν ἀνάλογον ἐπ' αὐτῶν, ὡς ἔμπροσθεν διῄρηται. τὰς δ' εἰς ὀξεῖαν ποιότητα μεταβολὰς τῆς ἀπεπτηθείσης τροφῆς οὔτε γιγνομένας ἐστὶν ἰδεῖν ἐν ταῖς τοιαύταις φύσεσιν,

ruta et femina quae flatus discutiunt fuere incocta, cujusmodi funt apii et cumini et marathri et finonis aliaque id genus. Vacuata vero alvo nutriendum protinus, in caeteris quidem iis quos memoravimus fimiliter eft, amotis tamen iis quae adftringant. At fi quidem primo die ad vefperam haec egeris, aut etiam noctis qualibet hora, etiam fecundo die fimilem adhibebis providentiam, in quo etiam fi plane defiit febris lavari hominem fines. Ac ubi in fequenti nocte quietus citra offenfam dormierit, fanum jam hominem prorfus exiftimabis; fi vero qui cruditati fucceffit dies cum fequenti nocte febrem attulerit, veluti in fecundo die, ita nunc et accurandus et nutriendus homo eft; fi vero et nox tertiae diei febrile quiddam paululum afferat, ne fic quidem formidandum, fed hos quoque poftridie lavabis nutriesque ac reliquá omnia in illis, ut ante definitum eft ad proportionem exequeris. Sane mutationes crudi alimenti in acidam qualitatem nec incidere in ejusmodi naturis cernuntur

ὅτι μὴ σπανίως, ἐπὶ τροφαῖς ἑτοίμως ὀξυνομέναις οὔτε πυρετὸν ἀναπτούσας ἐφήμερον, ὥσπερ οὐδὲ τὰς βραδυπεψίας· ὡς εἴ γέ ποτε διὰ τοιαύτην ἀπεψίαν πυρέξειαν αἱ πικρόχολοι κράσεις, ἔμφραξίν τε καὶ σῆψιν χυμῶν ὑποπτεύειν προσήκει, περὶ ἧς ἀκριβέστερον ἑξῆς διοριῶ κατὰ τὸν περὶ σήψεων λόγον. νυνὶ δὲ τῇ τῶν ἐφημέρων πυρετῶν διδασκαλίᾳ τοσοῦτον ἐπιπροσθεὶς ἀπαλλάξομαι. καπνώδης ἀναθυμίασις οὐκ ἄν ποτε γένοιτο διὰ βραδυπεψίαν, ἢ ἀπεψίαν ὀξυρεγμιώδη. ψυχροὶ γὰρ ἀτμοὶ ἐκ τῶν τοιούτων χυμῶν ἀποῤῥέουσιν ὀλίγιστοι παντάπασιν, οὐκ ἀναθυμιάσεις πολλαὶ καπνώδεις τε καὶ λιγνυώδεις· οὐδὲ γὰρ οὐδ᾽ ἐπὶ τῶν ἐκτὸς ἑτέρως ἔστιν ἰδεῖν καπνὸν ἢ λιγνὺν, ἀλλὰ καπνὸν μὲν ἐπὶ ταῖς ἡμικαύστοις ὡς ἂν εἴποι τις ὕλαις, λιγνὺν δὲ ἐπὶ ταῖς ὑπεροπτηθείσαις τε καὶ καυθείσαις· ἔστι γὰρ ἡ μὲν λιγνὺς ἀναθυμίασις γεώδης, ὁ δὲ καπνὸς συμμιγὴς ἐξ ὑδατώδους τε καὶ γεώδους οὐσίας· οὐ μὴν οὐδ᾽ ὅπως χρὴ προνοεῖσθαι τῶν βραδυπεπτησόντων καὶ ὀξῶδες ἐρυγγανόντων ἀκούειν χρὴ ποθεῖν ἐν τῷδε· τῆς γὰρ ὑγιεινῆς πραγματείας ἐστὶν ὁ περὶ τούτων λόγος. ἐνταῦθα

nisi admodum raro, idque ex cibis qui prompte acescunt, nec febrem accendere diariam aeque ut nec tarditas concoctionis; quando sicubi propter talem cruditatem febricitant, quibus amara bilis in temperamento abundat obstructionis et humorum putredinis suspicio est, de qua postea diligentius definiam cum de putredine agam. Nunc huic de diariis febribus disputationi hoc adjecto ad alia transibo. Fumidus vapor ex tarditate concoctionis aut cruditate, in qua ructus sentiuntur acidi, nunquam excitatur. Nam frigidi halitus talibus humoribus ascendunt hique omnino paucissimi, minime autem vapores multi fumidique ac fuliginosi, quum nec in iis quae extra sunt aliter aut fumum edi aut fuliginem videas quam fumum ex materiis, ut quis dixerit, semiustis, fuliginem ex immodice assis ustisque; est namque fuligo vapor terrestris, fumus mixtio quaedam ex terrestri aqueaque substantia. Verum non est quod hoc loco audire expectes aut quemadmodum tarde concoquentibus aut acidum ructantibus sit prospiciendum, est enim de his tractatio ad opus de tuenda sanitate

δὲ μόνον τῶν τοιούτων ἀπεψιῶν μνημονεύσομεν αἷς πυρετὸς ἕπεται. ἐπεὶ τοίνυν ἐφήμερος μὲν οὐχ ἕπεται πυρετὸς ταῖς ὀξυρεγμιώδεσιν ἀπεψίαις, ὁ δὲ ἐπὶ σήψει χυμῶν ἕπεταί ποτε, δεόντως εἰς τὸν ὑπὲρ ἐκείνων λόγον ἀνεβαλλόμην περὶ τῶν τοιούτων ἀπεψιῶν ἐρεῖν· οὐδὲ τότε καθ' ὃν ἐν τοῖς ὑγιεινοῖς τρόπον. ἐν ἐκείνοις μὲν γὰρ εἴπομεν ὁποῖ' ἄττα χρὴ πρᾶξαι τὸν ἀπεπτήσαντα περὶ τὸν τῆς ὑγείας καιρόν· ἐνταῦθα δὲ ὁποῖα κατὰ τοὺς ταῖς ἀπεψίαις ἀκολουθήσαντας πυρετούς.

Κεφ. στ'. [195] Σχεδὸν εἴρηταί μοι πάντα περὶ τῶν ἐφημέρων πυρετῶν· οἱ γὰρ ἐπὶ βουβῶσι πυρέξαντες οὐδὲ πυνθάνονται τῶν ἰατρῶν ὅ τι χρὴ ποιεῖν· ἀλλὰ τοῦ θ' ἕλκους ἐφ' ᾧπερ ἂν ὁ βουβὼν αὐτοῖς εἴη γεγεννημένος, αὐτοῦ τε τοῦ βουβῶνος προνοησάμενοι, λούονται κατὰ τὴν παρακμὴν τοῦ γενομένου παροξυσμοῦ. κἂν φθέγξηταί τις τηνικαῦτα διάτριτον, ἅπαντες καταγελῶσι καὶ σχολαστικὸν ἀποκαλοῦσι κατανοοῦντες, οἶμαι, φύσει μὴ δεῖν ὑπερβάλλειν τὸ μηδόλως ἐσόμενον. ἀξιοῦσί τε τοιούτους εἶναι τοὺς ἰατροὺς ἐν ἅπασι τοῖς ἄλλοις

pertinens. Hic tantum earum cruditatum mentionem faciemus, quas febris fubfequitur. Quoniam igitur diaria febris cruditates, quae cum acido ructu funt non fequitur; quae vero ex putredine humorum oritur, ea quando fequitur non fine ratione in eam tractationem quae de illis inftituitur distuli de his cruditatibus praecipere; fed ne tunc quidem eo modo quo in fanitatis tuendae libris. In illis enim diximus quaenam per fanitatem agenda fint illi qui cruditate laborat; hic vero quaenam in iis febribus quae cruditati fuperveniunt.

Cap. VI. Dicta mihi prope funt de diariis febribus univerfa, nam qui ex bubone febricitant medicos quod fibi fit agendum ne confulunt quidem; fed ubi tum ulceri quod bubonis occafio fuit, tum poftea buboni ipfi profpexerint, in remiffione ejus quae inciderit acceffionis levantur. Ac fiquis tum diatriton vel nominet, omnes irrident fcholafticumque, *feu male feriatum,* appellant, natura, puto, ipfa intelligentes id transmittendum non effe quod omnino non erit. Cenfentque etiam in omnibus iis quae fenfum fugiunt

ὅσα διαφεύγει τὰς αἰσθήσεις, οἷοί περ αὐτοὶ περὶ τὰ φαινόμενα. τὸ δ᾽ ἐν ἅπασιν εἶναι τοιούτους οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ γινώσκειν ὁπηνίκα μὲν ἔσοιτο διὰ τρίτης ὁ παροξυσμὸς, ὁπηνίκα δ᾽ οὐκ ἔσοιτο. καὶ μέν γε καὶ ψυχθέντες, ἢ ἐγκαυθέντες, ἢ κοπιάσαντες, ἤ τι τοιοῦτον ἕτερον παθόντες, ἐπειδὰν πυρέξαντες τύχωσιν, εἶτα τῆς ἐν ταῖς παρακμαῖς εὐφορίας αἴσθησιν ἔχωσιν ὑγιεινῆς, οὐδὲ τότ᾽ ἀνέχονται τῶν τὴν διάτριτον φθεγγομένων. ὃ γὰρ εἴωθα λέγειν πολλάκις, ὡς ἅπαντος σοφιστοῦ τῶν ἰδιωτῶν ἕκαστος, ὃς ἂν ἔχῃ κατὰ φύσιν, ἀληθέστερα δοξάζει, τοῦτο κἀπὶ τῆς θειοτάτης αὐτῶν διατρίτου θεάσασθαί σοι πάρεστι, καταγελωμένης ὑπὸ πάντων τῶν κατὰ φύσιν ἐχόντων. ἔναγχος γοῦν τις ἰδιώτης ἐν δείπνῳ πολυτελεῖ πλείω προσενεγκάμενος καὶ πιὼν ἧκε μὲν οἴκαδε, σφαλλόμενός τε καὶ χειραγωγούμενος. ἐπιπολασάντων δὲ αὐτῷ τῶν βαρυνόντων τὴν γαστέρα, πάντ᾽ ἐξεμέσας αὐτὰ, διὰ νυκτὸς μὲν ἐπύρεξεν, ἐκοιμήθη δ᾽ ἐπὶ πολὺ τῆς ἐπιούσης ἡμέρας· εἶτα διαναστὰς καὶ βραχέα περιπατήσας ἐλούσατο καταγελάσας τοῦ τὴν διάτριτον αὐτῷ ἀναμένειν

tales debere effe medicos, quales ipfi funt in iis quae fenfui apparent. Porro in omnibus tales effe nihil eft aliud quam intelligere, quando fit in tertio acceffio futura, et quando futura non fit. Quin etiam qui refrixerunt aut ufti funt aut fatigati aut tale quippiam paffi, poftea vero febricitarunt, hi ubi remiffione talem ftatus quietem qualis erat per fanitatem fentiunt, ne tunc quidem eos qui diatriton nominent ferre poffunt. Quod enim ufurpare faepe foleo, quemlibet privatum qui fecundum naturam fe habeat quovis fophifta veriores opiniones habere, hoc etiam in diviniffima iftorum diatrito videre licet, ut quae ab omnibus qui naturaliter fe habent fit irrifa. Nuper enim e plebe quidam qui in fplendida coena prolixius fibi epulis potuque indulfiffet, venit domum errabundus ac manu deductus. Quum autem ea quibus gravabatur in ventriculo ejus fluitarent, omnia ea evomuit et per noctem quidem febricitavit. Dormivit autem in magnam partem fequentis diei, poftea furgens ac paululum inambulans, lavit rifitque eum

συμβουλεύσαντος· ὅσον μὲν γὰρ ἐπ᾽ ἐκείνῳ καὶ τὴν ἑξῆς ἡμέραν ἀσιτεῖν ἐχρῆν αὐτόν· ὅσον δ᾽ ἐπὶ τοῖς ἀληθέσι καὶ οἷς αὐτὸς ἔπραξε λουσάμενος καὶ μετρίως διαιτηθεὶς καὶ κοιμηθεὶς ἀμέμπτως, ἕωθεν ἀναστάντα τῶν συνήθων ἔχεσθαι ἐν αὐτῇ τῇ διατρίτῳ, καθ᾽ ἣν ἀσιτεῖν αὐτὸν ἐχρῆν πειθόμενον τοῖς διατριταρίοις ἰατροῖς, οὕτω γὰρ αὐτούς τις ἐπισκώπτων ὠνόμαζε χαριέντως, καὶ δεδειπνηκότος δὲ ἤδη κατὰ τὸ συνηθες τοῦ ἀνθρώπου, παρὼν ὁ εὐτράπελος ἐκεῖνος ἐγελωτοποίει, ἀναμιμνήσκων τὸν ἐμημεκότα τρίτης ἑσπέρας ὡς ἐχρῆν αὐτὸν ἄρτι δυοῖν ἡμερῶν ἄσιτόν τε καὶ ξηρὸν καὶ ἄσης μεστὸν κατακεῖσθαι, εἰς τὰς ὥρας ἀποβλέποντα κατὰ τὴν τῶν διατριταρίων πρόσταξιν. ἔστι γάρ, οἶμαι, καὶ τοῖς ἰδιώταις εὔδηλα τὰ παρὰ τὴν ἐνάργειαν ἀποτετολμημένα. κἀκ τούτου δεόντως ἰατροὺς μὲν ἑτέρους εἶναί φασι, λογιατροὺς δ᾽ ἑτέρους. πῶς γὰρ οὐ δίκαιοι τούτου τοῦ προσρήματός εἰσι τυγχάνειν οἱ μὴ γινώσκοντες ἃ μηδεὶς ἰδιώτης ἀγνοεῖ; πῶς δ᾽ οὐ καταγελᾶσθαι καὶ σκώπτεσθαι δικαιότατοι τυγχάνουσιν ὄντες οἱ πρὸς τῷ τὰ τοιαῦτα ἀγνοεῖν Ἱπποκράτει ἑαυτοὺς

qui fibi diatriton manendam fuaferat; illo namque auctore etiam poftero die inediam tolerare debuiffet. Ut autem, res ipfa monebat et ipfe fua fponte faciebat, lotus et modice cibatus, poft fomno deditus eoque inoffenfe fruens, mane furrexiffet ad confuetaque rediiffet etiam in ipfa diatrito, in qua eum tolerare inediam oportuiffet, fi diatritariis medicis paruiffet, ita enim eos per jocum eleganter nominavit quidam, et quidem cum coenatus jam ex confuetudine homo effet, accedens facetus ille rifum excitavit, commemorans quemadmodum eum qui tertio ante vefperi vomuiffet, oportuiffet etiam biduo inediam ficcum ac fordium plenum tolerare, ad horasque fpectantem pro diatritariorum juffu decumbere. Sunt enim, arbitror, vel plebi non obscura quae praeter rerum evidentiam temere audentur. Atque inde merito alios medicos, alios logiatros effe dicunt. Quomodo enim non jure hac appellatione cenfeantur qui ea nesciant quae nemo e vulgo ignorat? Quomodo non meritiffime irridendi carpendique qui etiam, cum talia igno-

προκρίνοντες; ἀλλὰ τὴν μὲν ἐκείνων ἀναισθησίαν οὐδ᾽ ἂν ὁ Ἑρμῆς ἅμα ταῖς Μούσαις ἰάσαιτο.

Κεφ. ζ. [196] Συντετελεσμένου δὲ ἡμῖν τοῦ περὶ τῶν ἐφημέρων πυρετῶν λόγου κατὰ τὰς πικροχόλους φύσεις, ἐφ᾽ ὧν τὸ μὲν θερμὸν στοιχεῖον τοῦ ψυχροῦ, τὸ δὲ ξηρὸν τοῦ ὑγροῦ πλεονεκτεῖ, μεταβαίνωμεν ἤδη πρὸς ἑτέραν κρᾶσιν τῶν σωμάτων οὐδὲν ἧττον τῆσδε κακόχυμον, ἐν ᾗ τὸ μὲν θερμὸν τοῦ ψυχροῦ, τὸ δ᾽ ὑγρὸν τοῦ ξηροῦ κρατεῖ. σηπεδονώδεσι γάρ τοι νοσήμασιν ἡ φύσις αὕτη ἁπασῶν μάλιστα τῶν δυσκρασιῶν ἁλίσκεται, διότι καὶ καθ᾽ ὃν ὑγιαίνει χρόνον ἐγγὺς σηπεδόνος ἐστὶν, ὡς ἔκ τε τῶν ἱδρώτων ἔνεστι τεκμαίρεσθαι δυσωδῶν ὑπαρχόντων, οὐχ ἥκιστα δὲ καὶ τῶν οὔρων καὶ τῶν διαχωρημάτων, ἔτι τε καὶ τῆς ἐκπνοῆς. οἵα γὰρ ἡ τῶν τράγων κρᾶσίς ἐστι, τοιαύτη καὶ ἡ τῶν τοιῶνδε φύσεων. ἕτοιμον οὖν αὐτὴν νοσεῖν ἐξ αἰτίου παντὸς ἄλλα τε νοσήματα πολλὰ καὶ πυρετούς. οὔτε γὰρ ὁπόταν στεγνωθῇ τὸ δέρμα, δυνατὸν τοῖς οὕτω κεκραμένοις μὴ πυρέττειν, οὔθ᾽ ὅταν ἀπεπτῶσιν ἰσχυρῶς, ἢ ἐγκαυθῶσιν, ἤ τι τοιοῦτον ἕτε-

rent, Hippocrati fe praeponunt? Verum illorum ftupiditatem ne Mercurius quidem ipfe cum Mufis fanaverit.

Cap. VII. Abfoluta vero a nobis in iis naturis quibus amara bilis redundat, in quibus elementum frigidum vincitur a calido, et humidum a ficco, de diariis febribus disputatione ad aliud corporum temperamentum tranfeamus, nihil minus quam fupra dictum vitiofo eft fucco, in quo calidum praevalet frigido et humidum ficco. Putridis enim morbis haec omnium maxime intemperies expofita eft; propterea quod per ipfam fanitatem proxime ad putredinem accedit, velut tum ex fudoribus conjicere eft, qui graviter his olent, tum vero ex urinis, dejectione atque etiam ipfa expiratione. Etenim qualis eft hircorum, talis eft et talium naturarum temperies. Ideoque prompta eft ex qualibet caufa tum aliis multis morbis tum vero febribus corripi. Nam qui hac intemperie funt, quum ftipata cutis eorum eft, effugere febrem non poffunt; fed nec quum valentem cruditatem contraxerunt, aut perufti *in fole* fue-

ρον πάθωσιν. αἱ μὲν οὖν στεγνώσεις μάλιστα τῶν κακοχύμων ἅπτονται φύσεων. ὥστε οὐδὲν ἧττον αἱ πικρόχολοι κράσεις τῶν σηπεδονωδῶν ἁλώσονται πυρετοῖς ἐπὶ στεγνώσει. ὑπὸ δὲ τῶν κνισωδῶν ἀπεψιῶν ἑτοιμότερον αἱ ὑγραὶ καὶ θερμαὶ βλαβήσονται φύσεις, ἃς ἀρτίως ὠνόμασα σηπεδονώδεις, ἐπειδὴ ῥᾷστα σήπονται κατὰ ταύτας οἱ χυμοί. περὶ δὲ τῶν ἐμφράξεων τί δεῖ καὶ λέγειν; ἃς διὰ τοῦτο μάλιστα πυρετοὺς ἀνάπτειν ἔφαμεν, ὅτι σήψεις ἐργάζονται κατὰ τὰ μὴ διαπνεόμενα σώματα. ἀλλὰ περὶ μὲν τῶν τοιούτων πυρετῶν αὖθις ἐροῦμεν. οἱ δ' ἐφήμεροι πάντες ἑτοιμότατα μὲν ἐν ταῖς εἰρημέναις συνίστανται κράσεσιν, ἐπὶ πᾶσι τοῖς αἰτίοις ὅσα μικρὸν ἔμπροσθεν εἴπομεν ἐπὶ τῶν πικροχόλων φύσεων· ἴασιν δὲ παραπλησίαν αὐτοῖς ἔχοντες ἐν ὀλίγοις πάνυ διαλλάττουσιν. ὑγρότεραι γὰρ αἱ φύσεις ὑπάρχουσαι, φέρουσιν ἐκείνων μᾶλλον ἀσιτίαν τε καὶ δίψος. ὥσθ' ἧττον οὗτοι βλαβήσονται λιμαγχούμενοι πρὸς τῶν διατριταρίων ἰατρῶν, ἐὰν μόνον ἀκωλύτως διαπνέωνται. διὰ ταῦτα δὲ

runt, aut tale quippiam aliud paffi. Ac vitiofis quidem naturis ftipatio cutis plurimum effe incommoda folet. Ideoque quibus amara redundat bilis, non minus quam putredinofi febribus iis quae ex ftipata oriuntur cute patent. At a nidorofis cruditatibus quae humidae et calidae naturae funt, quas modo putredinofas propterea vocavi quod humores facillime in iis putrescant, promptius laedentur. Nam de obftructione quid attinet dicere? quam idcirco maxime febres accendere diximus, quod putredinem in iis quae non tranfpirant corporibus creet. Verum de ejusmodi febribus poft agemus. Sane diariae omnes promptiffime in jam dictis temperamentis accenduntur, idque ex qualibet earum caufarum, quas modo in amara bile vitiatis naturis retuli, curationemque perfimilem illis habent, ac in paucis omnino diffidentem. Nam quum humidiores naturae fint, magis ferunt quam illae famen fitimque. Itaque minus laedentur hae, fiquando fame diatritarios medicos crucientur, fi modo libera ipfis tranfpiratio non defit. Atque idcirco

Ed. Chart. X. [196. 197.] Ed. Baf. IV. (126. 127.)

καὶ τῶν βαλανείων, ὡς μανούντων μὲν τὸ δέρμα (127) δέονται μᾶλλον, ἢ οὐχ ἧττόν γε τῶν πικροχόλων· ὡς ὑγραινόντων δ᾽ οὐ δέονται. ὅσα δ᾽ ἐπὶ τῶν τοιούτων φύσεων εἴρηται, ταῦτα κἀπὶ τῶν ἐπικτήτων ἕξεων εἰρῆσθαι χρὴ νομίζειν. ἔνιοι γὰρ ὑπάρχοντες εὔχυμοι φύσει πικρόχολοι γίγνονται, συνελθόντων εἰς ἕνα χρόνον ἐνίοτε πλειόνων αἰτιῶν ξηραινόντων τε καὶ θερμαινόντων τὸ σῶμα. φέρε γὰρ εἰς χωρίον ἀφῖχθαι τὸν ἄνθρωπον ὥρᾳ θέρους θερμὸν καὶ ξηρόν· εἶναι δὲ καὶ τὴν ἐν τῷ τότε χρόνῳ κατάστασιν θερμὴν καὶ ξηράν· ἐσθίειν τ᾽ αὐτὸν ἐδέσματα θερμὰ καὶ ξηρά· καὶ φροντίζειν καὶ λυπεῖσθαι καὶ ἀγρυπνεῖν καὶ θυμοῦσθαι καὶ πονεῖν πάμπολλα· δύναιτο δ᾽ ἂν ὁ αὐτὸς ἄνθρωπος ἀφροδισίοις τε συνεχέσι χρήσασθαι κατ᾽ ἐκεῖνον τὸν καιρὸν, ἐν ἡλίῳ τε διατρίβειν τὰ πλείω καὶ πίνειν φαρμάκων ξηραινόντων τε καὶ θερμαινόντων, ὥσπερ ἔνιοι μὲν τῆς θηριακῆς, ἔνιοι δὲ τῆς ἀμβροσίας, ἔνιοι δὲ τῆς ἀθανασίας, ἴσμεν γὰρ δήπου τὰ καλούμενα πρὸς τῶν νεωτέρων ἰατρῶν φάρμακα τοῖς τοιούτοις ὀνόμασιν. [197] ὅστις οὖν ἐν ἅπασι τοῖς εἰρημένοις ἐγένετο

balneum hi, ceu quod cutim eorum laxet vel magis vel certe non minus quam qui amara bile abundant requirunt, ceu quod humectet non requirunt. Quaecunque vero de ejusmodi natura ſunt dicta, eadem de acquiſito habitu dicta eſſe cenſendum. Aliqui enim quibus boni ſunt natura humores, coeuntibus aliquando eodem tempore pluribus ſiccantibus corpus, calefacientibusque cauſis bilioſi evadunt. Da enim veniſſe hominem aeſtatis tempore in regionem calidam et ſiccam; eſſe praeterea eodem tempore ſtatum *coeli* calidum ac ſiccum, tum vesci eum cibis calidis ſiccisque, cogitare quoque ac triſtari et vigilare et irasci et quam plurimum laborare; fieri autem poteſt ut idem homo per id tempus venere ſit uſus frequenti, et in ſole majore ex parte verſatus et medicamenta quae ſiccent calefaciantque biberit, veluti aliqui theriacen, nonnulli ambroſiam, alii athanaſiam; ſcimus enim profecto medicamenta a junioribus medicis ejusmodi nominibus vocari. Cui ergo omnia jam dicta per aeſtatem contigerunt, hunc neceſſe eſt calidum et ſiccum

Ed. Chart. X. [197.] Ed. Baf. IV. (127.)
θέρους, ἀναγκαῖον αὐτῷ θερμὸν καὶ ξηρὸν, καὶ διὰ τοῦτο πικρόχολον εἶναι τὸ σῶμα, κἂν ἔμπροσθεν εὔχυμότατον ἦν. καὶ τοίνυν καὶ πυρέξει ῥᾳδίως οὗτος ἐπὶ πᾶσι τοῖς ἔμπροσθεν εἰρημένοις αἰτίοις. οὕτω δὲ καὶ ὅστις εὔχυμος φύσει, χωρίον εὔκρατον οἰκῶν, εἰς ἕτερον χωρίον ὑγρὸν καὶ θερμὸν ἐν ἦρι μετέλθοι, καταστάσεως οὔσης θερμῆς καὶ ὑγρᾶς ἅπαντά τε τὰ διαιτήματα θερμὰ καὶ ὑγρὰ ποιήσαιτο, καὶ οὗτος ὁμοίως τῷ φύσει σηπιδονώδει τοῖς τ᾽ ἄλλοις ἁλώσεται νοσήμασιν οἷσπερ κἀκεῖνοι· καὶ πυρέξει τούς τ᾽ ἄλλους πυρετοὺς ὁμοίως ἐκείνοις ἐπὶ τοῖς αὐτοῖς αἰτίοις, οὐχ ἥκιστα δὲ καὶ τὸν ἐφήμερον, ὑπὲρ οὗ νῦν ὁ λόγος.

Κεφ. η΄. Ὀκτὼ δ᾽ οὐσῶν τῶν πασῶν δυσκρασιῶν, ὡς ἐδείκνυμεν, ἑτοιμοτάτη μὲν εἰς πυρετοὺς ἡ θερμὴ καὶ ξηρά· καὶ ἤν μή τις αὐτὴν, ὡς εἴρηται, διαιτήσῃ, τάχιστα μεταπίπτουσιν ἀπ᾽ αὐτῶν εἰς τοὺς ὀξεῖς πυρετοὺς οἱ ἐφήμεροι. ἐγγὺς δ᾽ αὐτῇ πυρετῶν γ᾽ ἕνεκα, καίτοι πρὸς ἄλλα γε ὑπάρχουσα χείρων, ἡ θερμὴ καὶ ὑγρά. τρίτη δ᾽ ἐπὶ ταύταις ἐστὶν ἡ ἁπλῆ δυσκρασία, καθ᾽ ἣν ἡ μὲν ἑτέρα τῶν ἀντιθέσεων ἡ

reddiderint, ac propterea picrocholum esse corpus, quamvis antea optimi fucci fuerit. Itaque etiam ex omnibus fupra dictis caufis facile febricitabit. Ita vero et fiquis naturaliter boni fit fucci, ac locum temperatum incolat, fi illinc fe in alterum locum calidum et humidum veris tempore transferat, idque flatu coeli calido humidoque, tum omni victus ratione calida humidaque utatur, is quoque fimiliter illis qui natura funt putredinofa tum caeteris tentabitur morbis quibus illi tum febricitabit non folum aliis, ficut illi ex iisdem caufis febribus, fed etiam non minime diariis, de quibus nunc inftituimus.

Cap. VIII. Quum vero octo intemperies in univerfum fint, ut oftendimus, opportuniffima ad febres eft calida et ficca, ac nifi quis hanc ut dictum eft cibet, ociffime in ea mutatur diaria febris in acutam. Propinqua huic eft, praefertim quod ad febrem attinet, quamvis ad alia fit deterior, calida intemperies et humida. Tertia ab his intemperies eft fimplex illa, in qua oppofitio altera recte fe ha-

κατὰ τὸ ξηρὸν καὶ ὑγρὸν ἄμεμπτος· ἐν δὲ τῇ λοιπῇ πλεονεκτεῖ τὸ θερμόν. ἑτοιμοτέρα γὰρ ἥδε τῶν ὑπολοίπων καὶ βλάπτεσθαι πρὸς ἁπάντων τῶν εἰρημένων αἰτιῶν καὶ μεταπίπτειν ἐκ τῶν ἐφημέρων εἰς τοὺς πολυημέρους· οὐδὲν γὰρ χεῖρον οὕτως αὐτοὺς ὀνομάσαι. ταύτῃ δ' ἐφεξῆς ἐστιν, ἡ κατὰ μὲν τὸ θερμὸν καὶ ψυχρὸν εὔκρατος, ἐπικρατοῦν δὲ τὸ ξηρὸν στοιχεῖον ἔχουσα τοῦ ὑγροῦ. μεθ' ἣν ἡ μέση πασῶν ἡ εὔκρατός ἐστι κατ' ἀμφοτέρας τὰς ἀντιθέσεις. αἱ δ' ὑπόλοιποι κράσεις αἱ τέτταρες οὔτε ῥᾳδίως ἁλίσκονται πυρετοῖς ἐπὶ τοῖς εἰρημένοις αἰτίοις, οὔθ' ἁλοῦσαί τινι τῶν ἐφημέρων, ἐὰν ἀσιτήσωσι, μεταπίπτουσιν εἰς τοὺς πολυημέρους. ἀλλ' ἔνιαί γε αὐτῶν, ἐπειδὰν τύχωσι πλῆθος ἠθροικυῖαι χυμῶν ἄνευ διαφθορᾶς, ἀθροίζουσι δὲ αἱ τοιαῦται συνεχῶς, ὑπὸ ἀσιτίας ὀνίνανται, μάλιστα μὲν ἡ ὑγρὰ καὶ ψυχρὰ, δευτέρα δὲ ἡ ὑγρὰ, καὶ τρίτη μετὰ ταύτας ἡ ψυχρὰ, τετάρτη δ' ἡ ξηρὰ καὶ ψυχρά. ἐπὶ γὰρ τοῖς ἐφημέροις πυρετοῖς παυσαμένοις, ὅταν ἀναγκασθῇ τις οὐδὲν δέον ὑπερβάλλειν τὴν δαιμο-

bet, quae ex humido et ficco conftat, in altera calidum exfuperat. Nam opportunior eft haec quam caeterae quae fequuntur, tum ut omnibus fupra dictis caufis laedatur, tum ex diariis in plurium dierum febres tranfeat, nihil enim alienum fuerit eas fic appellare. Huic proxima eft quae in calido et frigido temperamentum fervet, caeterum ficcum elementum habet humido praevalens. Ab hac deinceps media omnium eft quae probam temperiem in utraque oppofitione fervat. Quatuor quae reliquae funt intemperies, neque facile febribus occafione jam dictarum caufarum patent, neque diaria tentatae fi inediam tolerant, in plurium dierum febres tranfeunt. Imo aliquae faltem earum, ubi redundantiam humorum citra corruptelam contraxerunt, contrahunt autem ejusmodi intemperies affidue, utilitatem ex inedia fentiunt, ac potiffimum quae frigida eft et humida, ab hac quae humida eft, tertia quae frigida, quarta quae ficca eft et frigida. Siquidem poft diarias febres discuffas, ubi coactus quispiam nulla neceffitate eft mirificam diatriton

νιωτάτην διάτριτον· ἕτερος μὲν οὐκ ἂν ἐκ τῆς ἀσιτίας ἀναφθείη πυρετὸς ἐν ψυχραῖς κράσεσι· κακοῦται δ' ἡ ξηρὰ καὶ ψυχρὰ μάλισθ' ἕξις, ὥστε πολλοῦ χρόνου χρήζειν ἵν' εἰς τὸ κατὰ φύσιν ἐπανέλθωσιν οἱ οὕτω δύσκρατοι. συνούσης μέντοι τινος αὐτοῖς κατὰ τύχην ἐπικτήτου κακίας χυμῶν, ἐγχωρεῖ μεταπεσεῖν ἐκ τῶν ἐφημέρων πυρετῶν εἰς τοὺς πολυημέρους, ὅταν ἄσιτοι καὶ ἄλουτοι φυλαχθῶσι τὰς τρεῖς ἡμέρας. ἡ μέν τοι ξηρὰ μὲν, ἀλλ' εὔκρατος κατὰ τὴν ἑτέραν ἀντίθεσιν φύσιν σώματος, ἐν ταῖς μακροτέραις ἀσιτίαις ἰσχνοῦται μὲν τῆς ξηρᾶς καὶ ψυχρᾶς μᾶλλον, ἀνατρέφεται δὲ ῥᾷον ὑπὸ τῆς προσηκούσης διαίτης.

Κεφ. θ'. [198] Ἐξαλλαχθήσεται δὲ καὶ τοῖς τοιούτοις ἅπασιν ἡ δίαιτα πολὺ δή τι πλέον ἢ τοῖς πρώτοις ἁπάντων ῥηθεῖσι τῷ θερμῷ καὶ ξηρῷ καὶ ὑγρῷ. τὸν γοῦν ὑγρὸν καὶ ψυχρὸν φύσει τῷ θερμῷ καὶ ξηρῷ κατ' ἀμφοτέρας τὰς δυσκρασίας ἐναντίως διακείμενον ἐναντίως διαιτήσομεν. ἄμεινον δ' οὐχ ἁπλῶς ἐναντίως εἰπεῖν, ἀλλὰ κατὰ τὴν ἐκ τῆς κράσεως μόνης ἔνδειξιν, ὡς τήν γ' ἐκ τοῦ πεπυρεχέναι τὸν

transmittere, alia quidem nulla in frigidis temperamentis ex inedia febris excitatur, laeditur tamen ipse siccus et frigidus corporis habitus quam maxime, ut nisi longo tempore redire ad naturam, qui ea sunt intemperie non possint. Caeterum si quod forte fortuna his adsit acquisititium humorum vitium, fieri potest, ubi in fame et illoti per triduum custodiuntur, ut ex diariis in plurium dierum febres immigrent. At quae sicca quidem corporis natura est, sed in altera contrarietate temperata, ea in longioribus inediis gracilescit magis quam quae sicca est et frigida, reficitur tamen facilius quum idoneum nacta est victum.

Cap. IX. Enimvero ejusmodi omnibus victus ratio alteranda est multo profecto magis quam iis de quibus primum omnium est dictum, calido et sicco et calido et humido. Nam qui frigidus et humidus natura est, quum calido siccoque in utraque intemperie contrarie est affectus, contrario nimirum utetur victu. Melius tamen est non absolute contrario dicere, sed ex solius temperamenti indicatione, quando ex

αὐτὸν πυρετὸν οὐχ ἑτέραν, ἀλλὰ τὴν αὐτὴν ἕξουσιν ἔνδειξιν πάντη. λέλεκται γὰρ ἤδη πολλάκις ὡς τὸ μὲν κατὰ φύσιν ἀεὶ χρήζει τῶν ὁμοίων, τὸ δὲ παρὰ φύσιν τῶν ἐναντίων· εἴγε τὸ μὲν φυλάττεσθαι σκοπὸς, τὸ δ᾽ ἀναιρεῖσθαι. πυρετὸς μὲν οὖν ἅπας τῶν παρὰ φύσιν ἐστὶ καὶ διὰ τοῦτο χρήζει διαίτης ὑγρᾶς καὶ ψυχρᾶς. αἱ κράσεις δὲ ποτὲ μὲν τῶν ὁμοίων, ἔστι δ᾽ ὅτε τῶν ἐναντίων χρήζουσιν· αἱ μὲν γὰρ ἄμεμπτοι τῶν ὁμοίων ἀεὶ, φυλάττειν γὰρ αὐτὰς προσήκει· αἱ δύσκρατοι δ᾽, ὡς κἀν τοῖς ὑγιεινοῖς ἐλέχθη, ποτὲ μὲν τῶν ὁμοίων, ἔστι δ᾽ ὅτε τῶν ἐναντίων. καὶ τοῦτ᾽ εὐλόγως πεπόνθασιν, οὔτε γὰρ ἀκριβῶς κατὰ φύσιν ὑπάρχουσι, πῶς γὰρ ἂν ἦσαν μεμπτέοι; οὔτε πάντη παρὰ φύσιν ἔχουσι, διὰ παντὸς γὰρ ἂν ἐνόσουν οἱ οὕτως κεκραμένοι· τῶν μὲν οὖν ὁμοίων δέονται κατ᾽ ἄλλα τέ τινα περὶ ὧν αὖθις εἰρήσεται καὶ μέντοι καὶ κατὰ τὰ ἕλκη πάντα· δέδεικται γὰρ ἤδη τοῦτο πολλάκις διὰ τῶν ἔμπροσθεν. τῶν ἐναντίων δὲ κατὰ τὴν ὑγιεινὴν δίαιταν, ὡς ἐν τοῖς ὑγιεινοῖς ἐπεδείκνυμεν· οὐδὲ τούτων διαπαντὸς,

eo quod eadem febre febricitant non diverfam, fed omnino eandem fortientur indicationem. Dictum namque faepenumero jam eft id quod fecundum naturam eft fimilia femper poftulare, quod praeter naturam eft contraria: fiquidem *quod naturaliter fe habet* cuftodire, *quod praeter naturam eft* tollere oportet. Porro febris omnis praeter naturam eft, ideoque victus rationem humidam frigidamque exigit. Temperamenta vero ipfa alias fimilia, alias poftulant contraria. Quae enim vitio carent fimilia perpetuo, quippe quae fervare expedit, quae intemperata ac vitiofa funt, veluti in opere de fanitate tuenda eft dictum, alias fimilia, alias contraria. Idque merito accidit, quum nec ad unguem naturaliter fe habeant, quomodo enim effent vitiofi? nec prorfus praeter naturam, quando qui fic attemperati effent perpetuo aegrotarent, ergo fimilia defiderant tum in aliis de quibus mox dicetur, tum vero in ulceribus omnibus; monftratum enim id faepenumero jam in fuperioribus eft, contraria vero in eo victu, qui per fanitatem adhibetur, veluti in libris de fanitate tuenda docuimus; fed

ἀλλ' ὅταν ἐπανορθοῦσθαι τὴν δυσκρασίαν αὐτῶν ἐθελήσωμεν. εἶναι γὰρ ἡμῖν σκοπὸν διττὸν ἐπὶ τῶν ὑγιαινόντων, ἤτοι φυλάττειν ὑγιαῖνον τὸ σῶμα κατὰ τὴν ἀρχαίαν κρᾶσιν, ἢ καὶ ταύτην αὐτὴν βελτίω ποιεῖν. οὕτως οὖν, οἶμαι, κἀν τῷ διαιτᾷν τοὺς τὸν ἐφήμερον πυρέξαντας ἤτοι τῇ πυρετώδει διαθέσει μόνῃ τὸ ἐναντίον, ἢ καὶ τῇ τοῦ κάμνοντος δυσκρασίᾳ παραλήψομαι. κατὰ μέντοι τὴν εὔκρατον φύσιν ἀναμφισβητήτως, ἀπὸ τοῦ πυρετοῦ μόνου τὴν τῶν ἐναντίων ἔνδειξιν λαμβάνοντες, ὑγρὰν καὶ ψυχρὰν εἰς τοσοῦτον ποιησόμεθα τὴν δίαιταν, εἰς ὅσον ἂν αὐχμωδέστερόν τε καὶ θερμότερον ἑαυτοῦ φαίνηται τὸ σῶμα γεγονός. ἀλλὰ τοῦτο μὲν εὔδηλόν τε καὶ εὐζήτητον, ἐπανέλθωμεν δ' αὖθις ἐπὶ τὰς δυσκράτους φύσεις. ἐπειδὴ γὰρ, ὡς ἐν τοῖς ὑγιεινοῖς διήρηται, τὰς τοιαύτας ἐγχωρεῖ μὲν καὶ φυλάττειν οἵας παρελάβομεν, ἐγχωρεῖ δὲ καὶ μετακοσμεῖν ἐπὶ τὸ βέλτιον, ἄμεινον οἶμαι τὴν ἐξάλλαξιν αὐτῶν τῆς διαίτης, ὅταν ἀμέμπτως ὑγιαίνωσιν, οὐχ ὅταν ἤτοι νοσῶσιν ἢ δυσαρεστῶνται, ποιεῖσθαι. χαίρουσι γὰρ αἱ φύσεις ἀεὶ τοῖς ἔθεσιν, ὡς

fed neque haec perpetuo, fed tum quum corrigere intemperiem eorum ftudemus. Quippe duplex nobis in iis qui fani funt finis proponitur, nempe vel corpus fanum in priftina ejus temperie tueri, vel etiam hanc meliorem reddere. Sic igitur, arbitror, in iis qui diaria febri laborant, cibandis vel uni febrili affectui contrarium, vel etiam ipfi laborantis intemperiei defumemus. In ea tamen natura, quae haud dubie in medio temperamento eft, ab ipfa febre contrariorum indicatione accepta, eatenus humidum frigidumque victum adhibebimus, quatenus ficcius calidiusque quam ante jam redditum corpus apparet. Verum hoc tum perfpicuum tum indubitatum eft. Revertamur autem rurfus ad intemperatas naturas. Nam quoniam eas, ficut in libris de fanitate tuenda eft proditum, licet et quales accepimus fervare, licet et ad melius transferre, fatius, arbitror, eft, quum plane valent non quum aegrotant, vel de fe queruntur victus illis rationem mutare. Gaudent enim naturae confuetis femper, ut et Hippocrates eviden-

Ed. Chart. X. [198. 199.] Ed. Baf. IV. (127. 128.)

Ἱπποκράτης τε διὰ τῶν ἐναργεστάτων ἀπέδειξεν ἐν τῷ περὶ διαίτης ὀξέων, ἅπασί τε σαφῶς φαίνεται τοῖς κατὰ φύσιν ἔχουσι. τοὺς γάρ τοι δυσαρεστουμένους, ὅτι μὲν ἔξω τοῦ χοροῦ τῶν κατὰ φύσιν ἐχόντων θετέον ἐστὶν, οὐκ ἄν τις νοῦν ἔχων ζητήσειεν· εἴτε δ' ἤδη παρὰ φύσιν, εἴτ' οὐ φύσει μόνον ἔχουσι, τοῦτ' ἄν τις σκέψαιτο. καὶ μὴν εἴπερ ἔνδειξίν τινα χρὴ κἀκ τῶν ἐθῶν λαμβάνειν, εἰ μὲν ἤδη φθάνοιμεν ἐκ πολλοῦ τὰς δυσκράτους φύσεις ἐναντίον τῇ (128) κρατούσῃ δυσκρασίᾳ διαιτῶντες, οὕτω καὶ δυσαρεστούντων πράξομεν· εἰ δὲ μὴ τῶν ὁμοίων [199] τῇ κράσει, τὴν ἔνδειξιν ἕξομεν. οὕτω δέ μοι δοκεῖ καὶ ὁ Ἱπποκράτης γινώσκειν, ἐπειδὰν λέγῃ, αἱ ὑγραὶ πᾶσαι δίαιται τοῖσι πυρεταίνουσι ξυμφέρουσι, μάλιστα δὲ παιδίοισι καὶ τοῖσιν ἄλλοισι τοῖσιν οὕτως εἰθισμένοισι διαιτᾶσθαι. τοῖς μὲν γὰρ πυρεταίνουσιν ὑγραὶ δίαιται, καθόσον πυρεταίνουσιν ἐκ τῆς τῶν ἐναντίων ἐνδείξεως ὠφέλιμοι· τοῖς δὲ παιδίοις ἐκ τῆς τῶν ὁμοίων. ὡσαύτως δὲ καὶ τὴν ἀπὸ τῶν ἐθῶν ἔνδειξιν ἔλαβεν, ὡς καὶ τὴν ἀπὸ τῆς ἡλικίας. ἥ τε γὰρ ἡλικία τῶν

tiffimis *argumentis* in libro de acutorum victu adftruxit, et in omnibus qui fe fecundum naturam habent manifefte apparet. Quod namque qui fibi jam difplicent, extra coetum eorum qui fecundum naturam habent fint ponendi, id nemo qui compos eft mentis dubitet; caeterum ii an praeter naturam fe, an non naturaliter folum habeant, id utique quis aeftimandum duxerit. Atqui fi ex ipfa confuetudine indicationem aliquam fumi conveniet, fiquidem multo jam tempore intemperatas naturas contrario victu ei quae vicit intemperiei cibavimus, ita etiam et cum parum ex fententia fe habent faciemus; fin minus quae fimilia temperamento fuadet, indicationem praeferemus. Ita vero et Hippocrates mihi fentire videtur ubi ait: *Humidus omnis victus febricitantibus eft idoneus, potiffimum autem pueris et aliis qui ita cibari funt affueti.* Febricitantibus enim in quantum febricitant, ex ipfa contrariorum indicatione humidus victus conducit, pueris ex fimilium. Eodem autem modo et eam quae a confuetudine praebetur quo eam quae ab aetate datur accepit.

Ed. Chart. X. [199.] Ed. Baf. IV. (128.)

κατὰ φύσιν οὖσα τῶν ὁμοίων ἑαυτῇ δεῖται διαιτημάτων, ἥ τε ἐκ τοῦ ἔθους ἔνδειξις, ὥσπερ καὶ ἡ ἐκ τῆς ἡλικίας ἐλήφθη· φυλάττειν γὰρ συμβουλεύει καὶ τοῦτο, καθάπερ καὶ τὴν οἰκείαν τῆς ἡλικίας κρᾶσιν. ὥστε καὶ ἡμᾶς ἀπὸ πάντων τῶν περὶ τὸν ἄῤῥωστον ἀεὶ χρὴ τὴν τοῦ συμφέροντος εὕρεσιν ποιουμένους ἐπισκοπεῖσθαι πηνίκα μὲν ἀλλήλαις αἱ ἐνδείξεις ὅμοιαι πᾶσαι, πηνίκα δ' ἐναντίαι γίνονται. πασῶν μὲν γὰρ ὁμοίων οὐσῶν ἓν εἶδος ἀκριβὲς διαίτης συστησόμεθα· μαχομένων δ' ἀλλήλαις, τὰς ἰσχυροτέρας τε καὶ πλείους προκρινοῦμεν, ὥσθ' ἡμῖν ἐπικρατεῖσθαι μὲν ἐκ τούτων τὸ τῆς διαίτης εἶδος, οὐ μὴν παρῶφθαι οὐδὲ τὸ ἐναντίον. ἡ δ' ἐπικράτησις ἐνίοτε μὲν ἑκατέρων κεραννυμένων εἰς ἑνὸς βοηθήματος ὕλην, ἐνίοτε δ' ἐν μέρει παραλαμβανομένων γίνεται. κοινὸς μὲν οὗτος ὁ λόγος ἁπασῶν τῶν ἐμπεπλεγμένων ἀλλήλαις ἐναντίων ἐνδείξεων. ὅπως δ' αὐτὸν χρὴ μεταχειρίζεσθαι, ποτὲ μὲν αὐτῶν τῶν νοσημάτων ἐπιπλεκομένων, ἔστι δ' ὅτε ἑνὸς μὲν ὑπάρχοντος τού-

Nam et aetas quum ex iis fit quae natura nobis infunt, fimilem fibi victum poftulat. Et quae a confuetudine indicatio fumitur, fic fumpta eft ficut ea quae ab aetate; quippe fervare quoque hanc jubet perinde ac proprium aetatis temperamentum. Itaque etiam nos tum ex omnibus quae circa aegrum fpectantur, ejus quod conducit inventionem moliri, tum quando indicationes omnes fecum confentiant, et quando inter fe diffentiant infpicere femper conveniet. Omnibus enim confentientibus, unam prorfus victus fpeciem conftituemus; diffidentibus vero inter fe quae valentiores ac plures fint praeferemus, ita ut victus fpecies quam hae praefcribant praeferatur, fic tamen ut ne contraria fit neglecta. Porro praelatio haec alias utrisque in unius auxilii materiam mixtis perficitur, alias feorfum fumptis. Ac communis quidem haec ratio eft omnium quae inter fe complicatae funt contrariarum indicationum. Quomodo autem hanc ad ufum conferre oporteat, quum aliquando ipfi morbi complicati fint contrarii, aliquando morbus unus fit, fed qui con-

του, τὴν δὲ ἔνδειξιν ἐναντίαν ποιουμένου τῇ φυσικῇ κράσει τοῦ κάμνοντος, ἢ τῇ νῦν ἐπικτήτῳ, τῇ θ' ἡλικίᾳ καὶ τῷ ἔθει καὶ τῷ χωρίῳ καὶ τῇ ὥρᾳ, δι' αὐτῶν τῶν κατὰ μέρος ἐπιδείξω. νῦν οὖν ἡμῖν προκειμένου κατὰ τὸν λόγον εὑρεῖν ἐπιτήδειον δίαιταν ἑκάστῃ τῶν εἰρημένων δυσκρασιῶν, ὁ κοινὸς τρόπος τῆς μεθόδου προχειρισθεὶς ὡς ἐπὶ παραδείγματος ἐξεταζέσθω. φέρε γὰρ ἁλῶναι πυρετῷ δύο ἀνθρώπους ἐν εὐκράτῳ μὲν χωρίῳ γεγενημένους καὶ τεθραμμένους, οὐκ ὄντας δ' ἐν αὐτῷ νῦν, ἀλλ' ἐν μὲν θερμῷ καὶ ξηρῷ τὸν ἕτερον, ἐν ὑγρῷ δὲ καὶ ψυχρῷ τὸν ἕτερον· εἶναι δὲ καὶ τῇ κράσει διαφέροντας αὐτοὺς καὶ τῇ φύσει καὶ τοῖς ἔθεσι καὶ ταῖς ἡλικίαις, εἰ δὲ βούλει καὶ κατὰ διαφερούσας ὥρας καὶ καταστάσεις ἀῤῥωστεῖν, ὥστε τὸν μὲν θερμὸν καὶ ξηρὸν φύσει καὶ τῇ διαίτῃ πάσῃ τοιαύτῃ συνειθίσθαι καὶ νεανίσκον εἶναι καὶ χειμῶνος νοσεῖν ἐν ὑγρῷ καὶ ψυχρῷ χωρίῳ καὶ καταστάσει τοιαύτῃ· τὸν δὲ ὑγρόν τε καὶ ψυχρὸν ἐν ἔθει τε διαίτης ὁμοίῳ καὶ παῖδα τὴν ἡλικίαν· καὶ νοσεῖν δὲ θέρους ἐν θερμῷ καὶ ξηρῷ χωρίῳ καὶ καταστάσει τοιαύτῃ, τίνες οὖν

trariam indicationem fubjiciant, aut naturali laborantis temperamento, aut ei quod nunc acquifierit, praeterea aetati et confuetudini et regioni et anni tempori, in ipfa particulatim tractatione oftendam. Nunc ergo quum propofitum nobis *hoc loco* fit unicuique memoratorum intemperiei generum idoneum invenire victum, communis quam defignavimus methodi modus veluti fub exemplo examinetur. Pone enim correptos febri effe duos homines in regione natos educatosque temperata, nunc in ea non effe; imo alterum in calida et ficca, alterum in humida et frigida: praeterea eosdem diverfo effe tum temperamento tum natura tum confuetudine tum aetate, etiam fub diverfo, fi placet, et anni tempore et ftatu coeli aegrotare, fic ut aliter calidus ficcusque natura fit, ac tali victus rationi in totum infueverit; praeterea juvenis fit et hieme aegrotet in humida et frigida regione ac ftatu coeli fimili, alter humidus et frigidus fimili victu affuetus, tum puer aetate ac aeftate in calida ficcaque regione ac fimili coeli ftatu laboret;

ἐν ἑκατέρῳ τούτων αἱ ἐνδείξεις; ἡ μὲν ἀπὸ τοῦ πυρέττειν ἀμφοτέροις κοινὴ, τῶν ὑγραινόντων τε καὶ ψυχόντων δεομένη, τῶν δ᾽ ἄλλων οὐκέτ᾽ οὐδεμία κοινή. τῷ μὲν γὰρ προτέρῳ διά τε τὴν φύσιν καὶ τὴν ἡλικίαν ἐν ὁμοίοις ἑαυταῖς διαιτήμασιν εἰθισμένῳ ἐπιτήδεια τὰ ξηρότερα καὶ θερμότερα τῇ κράσει σιτία· καὶ μέντοι καὶ διὰ τὴν ὥραν τε καὶ τὴν κατάστασιν καὶ τὸ χωρίον· οὐ γὰρ τῶν ὁμοίων ἐστὶν ἡ ἀπὸ τούτων ἔνδειξις, ἀλλὰ τῶν ἐναντίων. τῷ δ᾽ ἑτέρῳ τῶν ὑποκειμένων διὰ μὲν τὴν ἡλικίαν καὶ τὴν φύσιν καὶ τὸ ἔθος τῶν ὁμοίων αὐτοῖς· ὑγρῶν μὲν καὶ συμμέτρως θερμῶν διὰ τὴν ἡλικίαν, ὑγρῶν δὲ καὶ ψυχρῶν διά τε τὴν φύσιν καὶ τὸ ἔθος· διὰ δὲ τὸ χωρίον καὶ τὴν ὥραν καὶ τὴν κατάστασιν τῶν ἐναντίων. [200] ἅπερ ἐστὶ δήπου καὶ αὐτὰ ψυχρότερα καὶ ὑγρότερα τοσούτῳ τῶν εὐκράτων, ὅσῳ πέρ ἐστι καὶ τὰ χωρία τῶν εὐκράτων θερμότερα καὶ ξηρότερα· παρὰ μὲν γὰρ τῶν ἐθῶν ἡ ἔνδειξις ἀεὶ τῶν ὁμοίων ἐστὶν ἄχρις ἂν νοσῶσιν οἱ ἄνθρωποι. παρὰ δὲ τῶν ἡλικιῶν καὶ φύσεων καὶ χωρῶν ὡρῶν τε καὶ καταστάσεων εὐκράτων μὲν οὐσῶν ἔνδειξις ἀεὶ

quaenam igitur in utroque horum funt indicationes? Nempe quae a febricitando fumitur, communis amborum eft, ac quae refrigerent et humectent defiderans, reliquorum nulla eft praeterea communis. Siquidem priori et propter naturam et propter aetatem fimili fibi his victu affueto ficcioris calidiorisque temperamenti cibus idoneus eft, idemque propter et anni tempus et ftatum coeli et regionem *convenit;* non enim quae ab his fuppeditatur indicatio fimilia defiderat, fed contraria. Alteri ex propofitis propter aetatem et naturam et confuetudinem fimilia ipfis *exhibenda indicantur;* propter aetatem quidem humida modiceque calida, propter naturam et confuetudinem humida et frigida, propter regionem et anni tempus et ftatum coeli contraria, quae et ipfa nimirum funt tanto temperatis frigidiora et humidiora, quanto regiones ipfae funt calidiores temperatis et ficciores. A confuetudine enim femper eft indicatio fimilium, quoad aegrotent homines. At ab aetate, natura, regione, anni tempore et ftatu coeli, ubi temperata

τῶν ὁμοίων διαιτημάτων καὶ βοηθημάτων ἐστὶν, ἄν θ' ὑγιαίνωσιν ἄν τε νοσῶσι. παρὰ δὲ τῶν δυσκράτων ὡρῶν μὲν καὶ καταστάσεων καὶ χωρῶν ἔνδειξις τῶν ἐναντίων· ἡλικιῶν δὲ καὶ φύσεων οὐχ ἁπλῶς, ἀλλὰ σὺν τῷ ἔθει. σκοπεῖσθαι δ' ἐπὶ τῶν ἐναντίων ἐνδείξεων οὐδὲν οὕτω προσῆκεν ὡς τὸ μέγεθος ἑκάστου τῶν συνεισφερόντων, ὅπερ ἐδείκνυμεν ἐν τοῖς ὑγιεινοῖς ὑπομνήμασι διττόν· ἕτερον μὲν αὐτοῖς τοῖς τῶν ἐνδεικνυμένων ἀξιώμασι μετρούμενον, ἕτερον δὲ ταῖς οἰκείαις αὐτῶν ὡς ἂν εἴποι τις οὐσίαις, ἃς ἐκ τοῦ παραβάλλειν τῷ συμμέτρῳ τε καὶ κατὰ φύσιν ἔφαμεν χρῆναι λαμβάνειν. εἰ μὴ γὰρ οὕτω τις ἐξετάσειε τῶν ἐνδείξεων τὰς δυνάμεις, οὐχ οἷόν τε τὸ μέτρον ἐξευρεῖν τῆς διαίτης. ἐνδεικνυμένου γὰρ ἀεὶ τοῦ μὲν πυρετοῦ τὸ ψύχειν καὶ ὑγραίνειν, τῶν δ' ἄλλων ἑκάστου, καθότι προείρηται, συμφωνούσης μὲν αὐτῶν τῆς ἐνδείξεως οὐδὲν ἂν εἴη πρᾶγμα, διαφωνούσης δὲ κατὰ τὰ πλείω καὶ μείζω τυποῦσθαι χρὴ τὴν δίαιταν. ἐπὶ γοῦν τῶν ὑποτεθέντων ἀρτίως ὅτι

haec sunt, similium semper victus rationum et praesidiorum est indicatio, sive valeant homines sive aegrotent. Contra ab intemperatis anni tempore, statu coeli et regione contrariorum est indicatio; caeterum ab aetate et natura non absolute, sed cum consuetudine. Porro nihil in contrariis indicationibus tam convenit expendi quam magnitudinem eorum quae ad indicationem coierunt, quam in libris de sanitate tuenda duplicem esse ostendimus, alteram quae ex ipsorum quae indicant dignitatibus censeatur, alteram quae ex ipsorum, ut sic dicam, propriis substantiis spectetur, quas ex conferendo cum mediocri, et quod secundum naturam est accipiendas esse testati sumus. Nisi enim ita quis indicationum potestates examinet, nequeat sane mensuram victus invenire. Quum enim refrigerandum humectandumque esse febris perpetuo indicet, reliquorum vero quodque, prout dictum est, ubi concors eorum indicatio est, nullum exhibetur negotium, ubi discors, pro pluribus ac potioribus formari victus ratio debebit. Siquidem in modo propositis

μὲν πυρέττουσιν ἔνδειξις κοινὴ τῶν ὑγραινόντων καὶ ψυχόντων ἐστὶν, οὐ μὴν ἀπό γε τῶν ἄλλων. ἀλλ' ᾧ μὲν ἥ θ' ἡλικία καὶ ἡ κρᾶσις ἅμα τῷ ἔθει καὶ ἡ χώρα καὶ ἡ ὥρα καὶ ἡ κατάστασις τῶν ὑγραινόντων καὶ ψυχόντων ἔχει τὴν ἔνδειξιν, οὐ μόνον ἀναμφισβήτητόν ἐστι τὸ χρῆναι τοῦτον ὑγραίνειν καὶ ψύχειν, ἀλλὰ καὶ τὸ μὴ μικρῶς μηδ' ὡς ἔτυχεν, ἰσχυρῶς δὲ πάνυ καὶ μεγάλως, ἁπάντων γε τῶν σκοπῶν ἐνδεικνυμένων ταὐτόν. ᾧ δ' ἡ τῶν ἄλλων ἁπάντων ἔνδειξις οὐχ ὑγρῶν καὶ ψυχρῶν ὁμοίως τῷ πυρετῷ τῶν διαιτημάτων ἐστὶν, ἀλλὰ τῶν ἐναντίων αὐτοῖς τῶν θερμῶν καὶ ξηρῶν, ἀμφισβήτησις γίγνεται καὶ μάχη τῶν ἐνδείξεων πρὸς ἀλλήλας, ἡνίκα μάλιστά ἐστι χρεία τοῦ παραβάλλειν τόν τε ἀριθμὸν καὶ τὰ μεγέθη τῶν ἐνδείξεων. ἡ γοῦν ἀπὸ τοῦ πυρέττειν ἔνδειξις ἀριθμῷ μὲν λείπεται τῶν ἄλλων, ὅταν ἅπασαι τὸν ἐναντίον ὑφηγῶνται τρόπον πράττειν, ὑπερέχει δὲ μεγέθει τῷ κατὰ τὴν ἀξίαν, ἢ τὴν δύναμιν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι καὶ μάλισθ' ὅταν ἐπὶ πολὺ τοῦ κατὰ φύσιν ἐξέστηκε.

ex eo quod febricitant communis refrigerantium ac humectantium indicatio praeftatur, non tamen ex caeteris. Sed cujus tum aetas tum temperamentum una cum confuetudine tum regio tum anni tempus et coeli ftatus humectantia refrigerantiaque exhibenda indicant, hunc haud dubium eft non folum humectandum refrigerandumque effe, fed etiam nec leviter haec, nec utcunque facienda effe, imo plane magnopere ac vehementer omnibus fcopis idem dictantibus. Cujus vero reliqua omnia refrigerantem quidem humectantemque victum, quemadmodum et febris, non indicant, fed contrarium ipfi calefacientem et ficcantem ambiguitas pugnaque indicationum inter fe oritur, quo cafu magnopere opus eft, tum numerum indicationum tum magnitudinem fimul conferas. Quippe quae a febri fumitur, ea reliquis, quando omnes contrarium faciendum praefcribunt, numero quidem inferior eft, magnitudine tamen quae ex dignitate aut poteftate aut quomodocunque appellaffe libet fpectatur, fuperior eft, potiffimum fi longe a natura receffit:

δύο γὰρ αὐτῷ τόθ' ὑπάρξει μεγέθη, τό τ' ἐκ τοῦ γένους τῶν πυρετῶν, τὸ κοινὸν ἅπασι, τό τ' ἴδιον οἰκεῖον αὐτοῦ. καὶ γὰρ ὅτι πυρετός ἐστιν, ἐπιστρέφει μᾶλλον ἡμᾶς πρὸς ἑαυτὸν ἁπάντων τῶν ἄλλων· καὶ ὅτι τὸ μέγεθος αὐτῷ τὸ οἰκεῖον ἀξιόλογον ὑπάρχει καὶ διὰ τοῦτο κατακρύπτει τε καὶ συσκιάζει τὰς ἐναντίας ἐνδείξεις. εἰ δὲ μικρὸς ὑπάρχει, δύνανθ' αἱ ἄλλαι πᾶσαι συντεθεῖσαι πρὸς αὐτὸν ἀντεξετάζεσθαι. καὶ εἴπερ ἴσαι φανεῖεν, οὔθ' ἡ τοῦ πυρετοῦ κρατήσειεν ἂν ἔνδειξις ὡς ὑγραίνειν καὶ ψύχειν, οὔθ' ἡ τῶν ἄλλων ὡς θερμαίνειν καὶ ξηραίνειν, ἀλλὰ τὸ μέσον εἶδος τῆς διαίτης ἐπὶ τῶν οὕτως ἐχόντων σωμάτων ἐκλεξόμεθα. κρατούσης δὲ τῆς ἑτέρας ἐνδείξεως εἰς τοσοῦτον ἀποχωρήσομεν τῆς εὐκράτου καὶ μέσης τῆς διαίτης, εἰς ὅσον ὑπερέχει τῶν ἐναντίων τὰ κρατοῦντα. γεγυμνασμένον τε οὖν εἰς ταῦτα πάντα καὶ φύσει [201] συνετὸν εἶναι χρὴ τὸν ἰατρὸν, ἵν' ἑκάστης ἐνδείξεως ἀκριβῶς ἐκλογισάμενος τὴν δύναμιν, ἀλλήλαις τε παραβάλλων ἁπάσας, ἕν τι κεφάλαιον ἀθροίσῃ τῶν οἰκείων τῷ

quippe duplex tum magnitudo illi accedit, et quae ex febris genere provenit, quae omnibus eſt communis, et quae propria ſuaque ipſius eſt. Siquidem et quia febris plus caeteris omnibus ſolicitos nos habet, et quia praeterquam quod febris eſt, etiam magnitudo illi notabilis acceſſit, idcirco contrarias indicationes inducit atque obumbrat. Sin parva fuerit, fas eſt reliquas omnes una conjunctas cum ea conferri atque expendi. Ac ſi quidem pares videantur, neque febris indicatio praeferetur, ſit ut humectandum et refrigerandum ſit, neque etiam reliquorum ſic ut calefaciendum ac ſiccandum ſit; imo media victus ratio, ubi ita ſe corpus habet, eligenda erit. Sin altera indicatio exſuperet, tantum receſſiſſe a temperato et medio victu par eſt, quantum ea quae pollent ſua contraria ſuperant. Ergo tum exercitatum in his omnibus tum natura prudentem eſſe medicum conveniet, quo cujusque indicationis poteſtate diligenter conſiderata omnibusque inter ſe collatis unam idonei victus ſummam quae laboranti ſit commoda comparet. Ac diariarum

κάμνοντι (129) διαιτημάτων. αἱ μὲν οὖν ἀπὸ τῶν ἐφημέρων πυρετῶν ἐνδείξεις ἐκ τούτων τῶν σκοπῶν λαμβάνονται, καὶ σπάνιον εἴ ποτε ἀπὸ τοῦ μέτρου τῆς τοῦ κάμνοντος δυνάμεως. αἱ δὲ τῶν πολυημέρων ἐξ ἀνάγκης μὲν καὶ τὴν δύναμιν προσλαμβάνουσι· οὐ μικρὸς γὰρ ἐπ᾽ ἐκείνων ὁ ἀπὸ ταύτης σκοπός· οὐδὲν ἧττον δὲ καὶ τὴν γεννῶσαν αἰτίαν τοὺς πυρετοὺς, πλὴν τῶν ἑκτικῶν· οὐδεμία γὰρ ἀνάπτει τούτους αἰτία, καθάπερ οὐδὲ τὸ δεδεγμένον ἑκτικῶς εἰς ἑαυτὸ σῶμα τὴν τοῦ πυρὸς θερμασίαν, εἴτε λίθος, εἴτε ξύλον ὑπάρχει. κοινὸν γὰρ αὐτοῖς τὸ μηκέτι γίνεσθαι πρὸς τοὺς ἐφημέρους ἐστὶ, διαλλάττοντας δὲ ἐν τῷ τοὺς μὲν ἐφημέρους κατὰ σχέσιν ἔχειν τὴν θέρμην, τοὺς δ᾽ ἑκτικοὺς ἐν ἕξει δυσλύτῳ. δύναιτο δ᾽ ἄν τις φάναι καὶ τὴν ἀπὸ τῆς δυνάμεως ἔνδειξιν ἀεὶ παρεῖναι κατά τε τἄλλα σύμπαντα νοσήματα καὶ τοὺς ἐφημέρους πυρετοὺς, ἡμᾶς δ᾽ ἐν τῷ νῦν λόγῳ μηδὲν αὐτῆς δεηθῆναι, διότι πρώτως μὲν οὐκ ἐνδείκνυται, κατὰ συμβεβηκὸς δὲ, περὶ οὗ συμβεβηκότος ἐν τοῖς ἑξῆς διοριῶ.

quidem febrium indicationes ex his fcopis capiuntur, raroque accidit, fi alicubi, a laborantis virium modo, quum febrium plurium dierum indicationes tum virium refpectum neceffario adhibeant, non enim levis in his fcopus eft qui a viribus, tum caufarum quae ipfas febres excitant, exceptis tamen hecticis, ut quas nulla accendit caufa, quemadmodum nec corpus id quod jam habitu calorem ignis in fe fuscepit, five id lapis five lignum fit. Illud namque commune cum diariis habent, quod non amplius fiant. Differunt autem in eo quod diariae in fchefi, id eft levi affectu, calorem habent, hecticae in hexi, i. e. habitu qui aegre folvatur. Licet etiam dicas eam quoque quae a viribus fumitur indicationem tum reliquis omnibus morbis, tum in diariis febribus femper adhiberi, nobis tamen in praefenti disputatione opus ea non effe, propterea quod primario non indicet, ex accidenti vero indicet. De eo vero accidente in fequentibus differemus.

# ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ Ι.

Ed. Chart. X. [201.] Ed. Baſ. IV. (129.)

Κεφ. α'. Τῶν ἐφημέρων πυρετῶν, ὦ Εὐγενιανὲ, τὴν τῆς θεραπείας μέθοδον ἐν τῷ πρὸ τούτου γράμματι διῆλθον ὀγδόῳ τῆς ὅλης ὄντι πραγματείας. ἔστι δὲ τοῦ γένους τοῦδε τῶν πυρετῶν εἷς ὁ παροξυσμὸς, ἡμέρᾳ μιᾷ περιγραφόμενος ὡς τὸ πολὺ κατά γε τὴν ἑαυτοῦ φύσιν. ὅσα γὰρ ἢ διὰ τὴν τῶν ἰατρῶν ἀμαθίαν ἢ διὰ τὴν τῶν καμνόντων ἀκολασίαν ἢ διὰ τὴν τῶν ὑπηρετούντων πλημμέλειαν ἁμαρτανόμενα περὶ τοὺς τοιούτους πυρετοὺς εἰς ἕτερόν τι γένος αὐτοὺς μεθίστησιν, οὐ κατὰ τὴν οἰκείαν αὐτῶν ἀποβαίνουσι

# GALENI METHODI MEDENDI LIBER IX.

Cap. I. Diariarum febrium, o Eugeniane, curationis methodum in libro hunc praecedenti expoſui totius operis octavo. Eſt autem hujus febrium generis unica acceſſio, uno ut plurimum die ex ſua natura circumſcripta. Nam quaecunque vel per medicorum ignorantiam vel aegrorum intemperantiam vel miniſtrantium errorem in ejusmodi febribus commiſſa in aliud ipſas genus transferunt, haec ſuae naturae ſponte non incidunt. Non enim eſt profecto

φύσιν. οὐδὲν [202] γὰρ δήπου θαυμαστὸν ἐκ τῶν ἁμαρτανομένων οὐ μηκύνεσθαι μόνον ἢ μεταπίπτειν εἰς ἕτερόν τι γένος ἡντινοῦν τῶν νόσων, ἀλλὰ καὶ γεννᾶσθαι νῦν ἔμπροσθεν οὐκ οὖσαν. ὅπου γὰρ οὐδὲ τοῖς ὑγιαίνουσιν ἁμαρτάνειν ἀσφαλὲς, σχολῇ γ' ἀκίνδυνον ἄν ποτε τοῖς κάμνουσι γένοιτο. λοιπῶν δ' ὑπαρχόντων δυοῖν γενῶν, ὡς ἐν τῷ περὶ τῆς διαφορᾶς τῶν πυρετῶν ὑπομνήμασιν ἐπιδέδεικται, τὸ μὲν ἕτερον ἐπὶ χυμοῖς σηπομένοις ἐδείκνυτο γίνεσθαι, τὸ δ' ἕτερον αὐτὰ τὰ στερεὰ τοῦ ζώου μόρια κατειληφὸς ἑκτικὸν ὀνομάζεται. μεταπίπτουσι δ' εἰς ἑκάτερα γένη πολλάκις οἱ ἐφήμεροι πυρετοὶ, καθάπερ ἔμπροσθεν ἐδείκνυμεν, εἰ μή τις αὐτοὺς προσηκόντως μεταχειρίζοιτο. ὥσπερ δ' ἐν τοῖς ἄλλοις ἅπασι πράγμασιν ὅσα κοινωνεῖ ταῖς φύσεσιν ἑνὶ περιλαμβανόμενα γένει καὶ διὰ τοῦτ' εἰς ἄλληλα μεταπίπτειν δυνάμενα, τρίτη τις ἰδέα κατὰ τὴν μετάπτωσιν αὐτῶν συνίσταται, μηδετέρου τῶν ἄκρων ἀκριβοῦσα τὸν τύπον, οὕτω κἂν ταῖς τῶν ἐφημέρων πυρετῶν μεταπτώσεσι φαντασθείη τις ἂν ἕτερόν τι γένος ἐν τῇ μεταπτώσει συνίστασθαι, μηδετέρῳ τῶν ἄκρων ταὐτόν. καί μοι

mirum, fi per ea quae delinquuntur non folum producatur aut in aliud genus tranfeat morbus quivis, fed etiam quum prius non effet, nunc excitetur. Nam quum iis qui fani funt delinquere non fit tutum, haudquaquam id aegris fine discrimine contingat. Reliqua vero quum fint genera duo, ut in libris de febrium differentiis eft oftenfum, alterum ex humorum putredine nasci docuimus, alterum quod jam folidas animalis partes occupavit hecticum nominant. Tranfeunt faepe autem diariae febres, ut fuperius oftendimus, in utrumque genus, nifi quis eas commode tractet. Quemadmodum autem in caeteris rebus omnibus, quaecunque uno genere comprehenfae focietatem in naturis habent, ac propterea mutuo in fe tranfire valent, tertia quaedam fpecies in tranfitu ipfarum exiftit, quae neutrius extremitatum formam plane exhibet; ita et in diariarum febrium tranfitu imagineris licet alterum quoddam genus in tranfitu exoriri, quod neutri extremitatum fit idem. Atque de

*δοκεῖ περὶ τοῦδε πρώτου διοριστέον εἶναι, ἵν᾽ ὥσπερ καὶ τἄλλα καὶ τοῦτο γνωρίζοιτό τε συνιστάμενον αὐτίκα καὶ κωλύοιτο κατὰ τὴν πρώτην γένεσιν, ὡς μηδὲ δυσίατον ἢ ἀνίατον αὐξηθὲν γενέσθαι. μέσον δ᾽ αὐτὸ συνιστάμενον οὔτε γνωρίσαι δυνατὸν οὔτε ἰάσασθαι τοῖς ἀγνοοῦσι τὴν ἰδέαν τῶν ἄκρων ὧν ὑπάρχει μέσον. ἀλλά σοί γ᾽ ἐπισταμένῳ τά τε τῶν ἐφημέρων πυρετῶν γνωρίσματα καὶ τὰ τῶν ὑπολοίπων δύο γενῶν, ἐπειδὰν ἤτοι νοθεύηται κατά τι ἢ παρεμφαίνηται τὰ τῶν ἄλλων, οὐδὲν ἂν εἴη χαλεπὸν ὑποπτεύειν ἤδη τὴν μετάπτωσιν. ἐπ᾽ ἐγκαύσεσι μὲν οὖν, ἢ ἀπεψίαις, ἢ κόποις, ἢ ἀγρυπνίαις, ἢ πάθεσι ψυχικοῖς, ἢ βουβῶσιν τοῖς διά τινα αἰτίαν προφανῆ γεγενημένοις, μέχρι τρίτης ἡμέρας οὐκ ἄν ποτε προέλθοι πυρετοῦ παροξυσμὸς, ἄνευ τοῦ πλημμεληθῆναί τι περὶ τὸν κάμνοντα. τοῖς δ᾽ ἐπὶ στεγνώσει πυρέξασιν ἐγχωρεῖ καὶ ταύτης ἐξωτέρω προβῆναι τὸν παροξυσμόν. ἐπειδὴ γὰρ ἡ στέγνωσις ἤτοι φραχθέντων ἢ μυσάντων γίγνεται τῶν πόρων, ἢ καὶ τοῦ σώματος αὐτοῦ πιληθέντος ἀμετρότερον, εὐλόγως ἔφαμεν ἐπί τε κρύει καὶ λουτροῖς ἤτοι τῇ*

primo differendum effe mihi videtur, quo ut reliqua etiam ipfum tum protinus noscatur quum incidit, tum fic inhibeatur in primo ortu, ne aut aegre fanabile aut infanabile poftquam auctum eft evadat. Caeterum medium id quum inciderit nec noffe ii poffunt nec fanare qui extremitatum quarum eft medium fpeciem ignorant. At tibi qui praefertim non folum diariarum febrium, fed etiam reliquorum duorum generum notas intelligis, ubi vel diariarum notae aliquatenus funt alienatae, vel reliquarum notae fimul apparent, haud difficile fuerit jam tranfitum fufpicari. Ergo ex aduftione, cruditate, laffitudine, vigilia, animi perturbatione vel bubonibus ex evidenti aliqua caufa obortis, nunquam ad tertium usque diem progredietur febris acceffio, nifi quid delictum circa laborantem fit. At quibus ftipatio febris occafio eft, iis etiam ultra hos porrigi acceffio poteft. Nam quoniam ftipatio vel obftructis exilibus meatibus vel conniventibus, vel etiam corpore ipfo immoderatius denfato accidit, merito diximus ex frigore et balneis quae vel con-

θίξει ψύχουσιν, ἢ τῇ δυνάμει καὶ φαρμάκοις τοῖς τοιούτοις, ἔτι δὲ τοῖς ξηραίνουσι τὸ δέρμα, καθάπερ ἡλίῳ διακαεῖ καὶ τοῖς πιλοῦσιν, ὡς τῇ σκληρᾷ τρίψει μετὰ τῶν ψυχόντων κατέχεσθαι μὲν ἐντὸς τοῦ σώματος τὰς οἷον καπνώδεις ἢ λιγνυώδεις ἀποῤῥοὰς, ἀνάπτεσθαι δ' ἐπ' αὐτοῖς τὸν πυρετόν. ἀλλ' ἐπὶ τούτοις μὲν, ὡς εἴρηται, πίλησίν τέ τινα γίγνεσθαι τῶν σωμάτων αὐτῶν καὶ μύσιν τῶν πόρων, ἔμφραξιν δὲ διὰ γλίσχρους ἢ παχεῖς ἢ πολλοὺς χυμούς. καὶ τοίνυν καὶ τοὺς πυρετοὺς ὅσοι μὲν ἐπὶ μύσει τῶν πόρων ἢ πιλήσει προσφάτῳ τῶν σωμάτων ἐγένοντο, παύεσθαί τε μετὰ τὸν πρῶτον παροξυσμὸν, ἐάν τις ὀρθῶς αὐτοῖς προσφέρηται καὶ ὄντως τούτους ἐφημέρους γίγνεσθαι καὶ προσαγορεύεσθαι· ὅσοι δ' ἐπ' ἐμφράξει τὴν γένεσιν ἔσχον, εἰ μὲν ὀλίγη τις αὕτη συσταίη, λύεσθαι καὶ τούτους ὁμοίως γε τοῖς ἄλλοις ἐφημέροις, ἐὰν ἰάσηταί τις αὐτοὺς προσηκόντως· εἰ δ' ἰσχυρῶς οἱ χυμοὶ σφηνωθεῖεν, ὡς μοχλείας δεῖσθαι σφοδροτέρας, ἐκτείνεσθαι μὲν ἀνάγκη τοὺς τοιούτους πυρετοὺς ὑπὲρ τὴν μίαν ἡμέραν, ἐκπεπτωκέναι δὲ δοκεῖν ἤδη τοῦ γένους τῶν ἐφημέρων.

tactu refrigerent vel facultatibus; praeterea medicamentis fimilis generis, pari modo iis quae cutem ficcent veluti fole fervente, nec minus etiam iis quae denfent veluti dura, cum iis quae frigefaciant frictione et detineri intra corpus ceu fumida fuliginofave excrementa, et ab iis febrem accendi. Verum ex his denfationem quandam corporum ipforum fieri ac exiguorum meatuum conniventiam; obftructionem vero vel propter glutinofos vel craffos vel copiofos fuccos incidere. Quin etiam febres quascunque vel conniventia meatuum vel recens corporum denfatio excitant, has et defiftere poft primam acceffionem, fi quis recte eas tractet et vere diarias tum effe tum appellari; at quae ex obftructione creantur, fi haec pufilla fit, folvi ipfas quoque fimiliter ut alias diarias, fi quis eas legitime fanet, fin valenter impacti humores fint fic, ut valentius aliquid quod eos eximat defiderent, eas febres prorogari ultra unum diem neceffe eft, ac diariarum febrium genus videri egreffas. Quomodo enim dici

πῶς γὰρ ἂν ἐφήμερος ἔτι δύναιτο λέγεσθαι πυρετὸς ὁ μέχρι τρίτης ἡμέρας ἐκτεινόμενος; ἐν γὰρ τῇ δευτέρᾳ τῶν ἡμερῶν προσήκει παύεσθαι τὸν τοιοῦτον πυρετὸν, ὅσον ἐπὶ [203] τῇ προσηγορίᾳ. λέλεκται γὰρ ἔμπροσθεν ὡς τεττάρων καὶ εἴκοσιν ὡρῶν ὁ χρόνος ἐστὶ τῆς οὕτω λεγομένης ἡμέρας, ὡς συναριθμεῖσθαι καὶ τὴν νύκτα τῷ ὀνόματι τῆς ἡμέρας. καὶ μὴν εἰ μήτε σῆψις εἴη χυμῶν μήτ᾽ αὐτὸ τὸ σῶμα τὴν πυρεκτικὴν θερμασίαν ἑκτικῶς ἀναδέξαιτο, τῶν δύο γενῶν ἐκπεπτωκὸς ἂν εἴη. ἢ τοίνυν ἄλλο γένος ἐπὶ τοῖς εἰρημένοις τρισὶν ἀναγκαῖόν ἐστι λέγειν ἐν τῇ πρώτῃ διαιρέσει τῶν πυρετῶν, ἢ καταφρονοῦντα τῆς προσηγορίας ἐφημέρους ὀνομάζειν αὐτούς. οὐ γὰρ δὴ τῆς γ᾽ οὐσίας ἦν αὐτῆς τῶν τοιούτων πυρετῶν ὁ ἐφήμερος ὄνομα· προσηγορίας δ᾽ οἰκείας ἀποροῦντες ἕνεκα σαφοῦς καὶ συντόμου διδασκαλίας ἀπὸ τοῦ πολλάκις αὐτοῖς ἑπομένου τοὔνομα ἐθέμεθα. φύσις μὲν οὖν αὐτῶν ἡ αὐτὴ τοῖς ἐφημέροις ἐστὶν, ὄνομα δὲ οὐ ταὐτόν.

*Κεφ. β΄.* Ἐφ᾽ ὧν γὰρ ὁ παροξυσμὸς εἷς ἀπ᾽ ἀρχῆς ἄχρι παντὸς διαμένων εἰς πολλὰς ἡμέρας ἐκτείνεται συνόχους

ultra diaria febris poteſt, quae in tertium usque diem extenditur? nam ex ipſa nominis ratione in ſecundo eam deſiſtere par erat. Dictum enim ſupra eſt viginti quatuor horas eſſe ſic appellatae diei ſpatium, ut cum nomine diei nox quoque una comprehendatur. Atqui ſi neque humor putreſcens ſubſit, nec corpus ipſum febrilem calorem ut habitum ſusceperit, a duobus generibus diverſum ſit. Aut ergo aliud praeter tria jam dicta genus eſſe in prima febrium diviſione dicendum eſt, aut appellatione pro nihilo habita diarias ipſas nominare *oportebit.* Neque enim profecto de ſubſtantia ipſa talium febrium eſt diariae vocabulum, verum convenienti nomine deſtituti clarioris ſimul breviorisque doctrinae gratia ab eo quod ſaepius eis accidit nomen indidimus. Ac natura quidem eadem his eſt quae diariis, nomen autem non idem.

Cap. II. In quibus enim una acceſſio ab initio ad finem perpetuo manens in multos dies porrigit, eas febres

ὀνομάζουσι τοὺς τοιούτους πυρετοὺς, οὐχ Ἑλληνικῷ μὲν ὀνόματι χρώμενοι, σολοικίζειν δ' ἑλόμενοι μᾶλλον ἢ καταλιπεῖν (130) ἀνώνυμον αὐτῶν τὴν ἰδέαν. ἀλλ' ὥσπερ ἰδέα μία τῶν τοιούτων ἐστὶ πυρετῶν, ἀφ' ἧς ὀνομάζουσι συνόχους αὐτοὺς, οὕτως ἡ φύσις οὐκέθ' ἁπλῆ καὶ μία. τινὲς μὲν γὰρ αὐτῶν ἐναργὲς ἔχουσι τὸ τῆς σήψεως σημεῖον· ἔνιοι δ' οὐδ' ὅλως ἔχουσιν, οὓς ἐκ τοῦ γένους τῶν ἐφημέρων πυρετῶν ἔφαμεν εἶναι. ἐπειδὴ γὰρ ἡ τοῦ παροξυσμοῦ παῦλα διαπνεομένων εἴωθε γίγνεσθαι τῶν ζεσάντων χυμῶν, οὐ διαπνεῖται δ' ἐπὶ ταῖς ἰσχυραῖς στεγνώσεσιν, ἀναγκαῖόν ἐστι πολυήμερον γίγνεσθαι τὸν παροξυσμόν. ὅταν οὖν μηδεμία συνῇ τῷ τοιούτῳ πυρετῷ πρόφασις ἀρχὴν ἑτέρου παροξυσμοῦ γεννῶσα, πρὸς τῷ πολυήμερος ὑπάρχειν οὐδ' εἰσβολὴν ἐπισημασίας οὐδεμιᾶς ποιεῖται· μένει δ' ἀπ' ἀρχῆς ἄχρι τέλους εἷς ὁ πυρετὸς, οὔτ' ἀμφημερινὴν οὔτε διὰ τρίτης οὔτε διὰ τετάρτης ἡμέρας ἔχων ἐπισημασίαν. ὅταν δ' ἀκούσῃς μου λέγοντος ἐντὸς τοῦ σώματος στέγεσθαι τὸ πυρετῶδες θερμὸν ἐπὶ τῶν ἰσχυρῶς ἐστεγνωμένων σωμάτων, οὐχ οὕτω χρὴ νομίζειν ἀκριβῶς γε-

*continentes* appellant, non illi quidem Graeco nomine usi, caeterum soloecismum committendum potius rati quam speciem ipsarum sine nomine relinquendum. At non ut idea una ejusmodi febrium est, a qua synochos eas nominant, ita et natura simplex unaque est. Quaedam namque earum manifestum habent putredinis signum, quaedam prorsus non habent, quas ex diariarum febrium genere esse diximus. Quum enim accessionis remissio ex ferventium humorum transpiratu contingere soleat, non transpirant autem in vehementi stipatione, necesse est multorum dierum fieri accessionem. Igitur ubi in tali febre nulla subest occasio quae alterius accessionis principium excitet, ultra hoc quod multorum dierum febris est, nec invasionem alicujus febrium significationis facit, sed permanet ab initio ad finem una febris, quae nec quotidianae nec tertianae insultum nec quartanae praeferat. Caeterum quum me audis dicentem, ubi vehementer stipata corpora sunt, cohiberi intra corpus febrilem

*γονέναι τὴν πύκνωσιν, ὡς μηδενὶ τῶν ἱκανῶς λεπτυνθέντων χυμῶν ἐπιτρέπειν εἰς τοὐκτὸς διαῤῥεῖν. οὐδὲ γὰρ οὐδ᾽ ἐπὶ τῶν ὀστῶν λεγόμενον ἀληθὲς ἂν εἴη τοῦτο, μήτοι γε δὴ τῶν σαρκῶν τε καὶ τοῦ δέρματος. ἀλλ᾽ ὅταν ἡ μὲν ἐκ τῶν ζεόντων χυμῶν ἀναθυμίασις ᾖ παμπόλλη, διαῤῥέῃ δ᾽ ἐκτὸς ὀλίγη, τὴν ὑπολειπομένην ἀνάγκη διαφυλάττειν τὸν πυρετὸν, οὐ μόνον τῷ μένειν αὐτὴν, ἀλλὰ καὶ τῷ τὰ πλησιάζοντα συνεκκαίειν.*

*Κεφ. γ΄. Ἐπεὶ τοίνυν ἐν δυοῖν τούτοιν ἐστι τὸ φυλάττεσθαι τὸν πυρετὸν, τῷ τε μὴ διαπνεῖσθαι πᾶσαν τὴν ἀτμίδα καὶ τῷ συνεκθερμαίνειν τὰ ψαύοντα, τρεῖς ἀνάγκη διαφορὰς ἐν τοῖς συνόχοις γίγνεσθαι πυρετοῖς, ἤτοι διαμένοντος ἴσου τοῦ μεγέθους, ὃ κατὰ τὸν πρῶτον παροξυσμὸν ἔσχεν ἀκμάσας, ἢ προστιθέντος, ἢ ἀφαιροῦντος ἀεί τι σμικρὸν, καὶ ταῦτα ποιοῦντος ἢ ὁμαλῶς, ἢ ἀνωμάλως. ἂν μὲν οὖν [204] ἴσον ᾖ τῷ διαπνεομένῳ τὸ ἀναπτόμενον, οὔτ᾽ αὔξησιν οὔτε μείωσιν ἕξει τὸ πυρετῶδες θερμὸν, ἀλλ᾽ οὕτως ἑαυτῷ διαμενεῖ παραπλήσιον ὡς εἰ μήτε προσετίθετο μηδὲν*

calorem, non ita factam prorfus denfitudinem putandum eft ut nullum ex iis humoribus qui tenuati admodum fint effluere foras finat, quum nec fi de offibus ita dixeris id verum fit, nedum carne et cute. Verum quum a ferventibus humoribus vapor attollatur plurimus, effluat autem foras exiguus, hunc qui relictus eft febrem fervare eft neceffe, neque id modo propterea quod ipfe manet, fed etiam propterea quod quae proxima funt adurit.

Cap. III. Quoniam igitur ex duobus his fervari febris poteft, et quod totus vapor non transpiret et quod idem vapor ea quae contingit etiam calefaciat, neceffe eft tres effe in fynochis febribus differentias, vel pari permanente magnitudine ea, quam in prima acceffione fummam habuit, vel adjiciente femper exiguum aliquid diminuenteve; atque haec vel aequaliter faciente vel inaequaliter. Ac fi quidem quod accenditur ei quod transpirat par fuerit, nec augeri nec minui febrilis calor cernetur, fed perinde fibi fimilis permanebit, ac fi nihil illi prorfus adjiceretur aut demere-

αὐτῷ μήτ' ἀφῃρεῖτο. διαφέρει γὰρ οὐδὲν εἴς γε τὴν τῆς ἰσότητος διαμονὴν ἢ διαφυλάττεσθαι τὴν αὐτὴν οὐσίαν διαπαντὸς, ἢ τῷ ἐκκενουμένῳ τὸ προστιθέμενον ἴσον ὑπάρχειν· εἰ δέ γε θάτερον αὐτῶν ἐπικρατήσειεν, εἰ μὲν τὸ κενούμενον, ἐλαττοῦσθαι τὸν πυρετὸν ἀναγκαῖόν ἐστιν· εἰ δὲ τὸ προστιθέμενον, αὐξάνεσθαι πάντως. εὔδηλον δὲ καὶ ὡς τὸ μᾶλλόν τε καὶ τὸ ἧττον ἕτερον ἑτέρου τὸν πυρετὸν αὐξάνεσθαί τε καὶ μειοῦσθαι διὰ τὸ τῆς πλεονεξίας ἄνισον ἀναγκαῖόν ἐστι γίγνεσθαι. ποτὲ μὲν γὰρ πλέονι μέτρῳ, ποτὲ δ' ἥττονι πλεονεκτούσης ἤτοι τῆς γενέσεως τῶν πυρετῶν ἢ τῆς διαπνοῆς, οὔτε τοῖς αὐξανομένοις ἅπασιν ἴσην τὴν αὔξησιν οὔτε τοῖς μειουμένοις τὴν καθαίρεσιν οἷόν τε γίγνεσθαι· παμπόλλην δ' εἶναι τὴν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον διαφοράν. ἓν μὲν δὴ τοῦτο τὸ γένος ἢ εἶδος ἢ ὅ τί περ ἂν ὀνομάζειν ἐθέλῃς ἐστὶ συνόχων πυρετῶν, ἐκ τῆς αὐτῆς ὑπάρχον φύσεως τοῖς ἐφημέροις. ἕτερον δ' ὅταν ἐν ἅπασι τοῖς ἀγγείοις καὶ μάλιστα τοῖς μεγίστοις ὁμοτίμως οἱ χυμοὶ διασήπωνται. τῶν τοιούτων πυρετῶν οὐδέτερον ἐν ἰσχνῷ καὶ ψυχρῷ σώματι φιλεῖ συνίστα-

tur. Quippe ad aequalitatis permanfionem nihil intereft ferveturne eadem affidue fubftantia, an ei quae vacuatur par fit ea quae adjicitur; verum fi altera earum vicerit, fi quae vacuatur, minui febrem neceffe eft, fin quae adjicitur, omnino increscere. Sed nec illud fane quemquam latet, quod quum ex febribus altera magis minusve quam altera tum augetur tum minuitur, id ob exfuperantiae imparitatem neceffario accidat. Nam ubi alias ampliore menfura, alias minore vel febrium generatio vel transpiratio exfuperat, nec iis quae augentur omnibus par effe auctio, nec iis quae minuuntur demptio omnino poteft; imo plurimam effe tum exceffus tum defectus differentiam eft neceffe. Atque unum quidem hoc, five genus five fpeciem feu quidvis aliud appellare libet, continentium febrium eft, quodque ex eadem cum diariis natura conftat. Alterum eft ubi in omnibus vafis ac potiffimum maximis aequaliter fucci putrefcunt. Ejusmodi febrium in gracili et frigido corpore neutra

*σθαι, τὰ πολλὰ δ' ἐν πολυαίμοις τε καὶ πολυσάρκοις ἡ γένεσις αὐτῶν. αἵ τε γὰρ ἐμφράξεις οὐχ ἱκαναὶ γεννῆσαι πυρετὸν ἄνευ σήψεως, εἰ μὴ τὸ διαπνεόμενον εἴη πολὺ καὶ θερμὸν, ἥ τε σηπεδὼν τῶν χυμῶν εἰς ἁπάσας τὰς μεταξὺ βουβώνων τε καὶ μασχαλῶν φλέβας ὁμοτίμως τε καὶ διὰ ταχέων ἐκταθῆναι κατὰ τὰς ψυχρὰς ἕξεις οὐ δύναται. δεῖται γὰρ ἀεὶ τὰ σηπόμενα θερμά τ' εἶναι καὶ ὑγρὰ καὶ δυσδιάπνευστα. διὰ τοῦτο οὖν οὔτ' ἐν ψυχραῖς ἡλικίαις οὔτ' ἐν κράσεσι σωμάτων ψυχραῖς, εἴτ' οὖν ἐξ ἀρχῆς εἴτε καὶ νῦν εἴη γεγονότα ψυχρὰ, σύνοχοι γεννῶνται πυρετοὶ, καθάπερ οὐδ' ἐν ἰσχνοῖς ἢ ἀραιοῖς, ἀλλὰ καὶ τῶν ἡλικιῶν ταῖς θερμαῖς καὶ τῶν φύσεων καὶ τῶν ἐπικτήτων κράσεων ταῖς ὁμοίαις ἐγγίγνονται καὶ μᾶλλον ὅταν εὔσαρκοί τε καὶ πολύαιμοι καὶ πυκνοὶ τὰς ἕξεις οἱ κάμνοντες ὦσιν, ἢ περιττώμασι θερμοῖς πεπληρωμένοι. ταῦτ' ἄρα τοῖς οὕτω πυρέττουσιν ὁ σφυγμὸς μέγιστός ἐστι, ὁμαλὸς καὶ σφοδρός· καὶ τὴν σύστασιν τῆς ἀρτηρίας οὔτε σκληροτέραν οὔτε μαλακωτέραν τοῦ κατὰ φύσιν ἔχων, τάχους δ' εἰς*

confiftere folet; fed plurimum in iis qui fanguine abundant et corpulentis gigni cernuntur, nam nec obftructio citra putredinem excitare febrem valet, nifi id quod transpirat et copiofum fit et calidum, nec humorum putredo in omnes quae inter inguina et alias interfunt, venas aequaliter ac cito protrahi in frigido habitu poteft. Debent enim femper quae putrescunt tum calida humidaque effe, tum vero difficilem transpirationem habere. Eoque fit ut nec in frigida aetate, nec in frigido corporis temperamento five id ab initio conftitit, five modo frigidum fit factum, continens excitetur febris. Sed nec in gracilibus vel qui raro funt corporis habitu; imo tum aetate tum natura tum acquifititio temperamento quae calida fint, ac praecipue fi et carnofus et bono ac multo fanguine affluens et denfo corpore aeger fit, aut etiam calidis excrementis refertus. Proinde fit ut qui ita febricitant, iis et pulfus maximus fit et aequalis et vehemens, quibus etiam arteriae confiftentia nec durior quam pro natura eft nec mollior, celeritatis tamen frequentiaeque

τοσοῦτον ἥκει καὶ πυκνότητος εἰς ὅσον ἂν ὁ πυρετὸς αὐτὸς ἥκοι μεγέθους. κοινὰ μὲν οὖν ἀμφοῖν ταῦτα· πρόσεστι δ' ἐξαίρετα θατέρῳ σημεῖα τὰ τῆς σήψεως, ἐν οὔροις τε καὶ σφυγμοῖς καὶ τῷ τῆς θερμασίας ἀηδεῖ.

Κεφ. δ'. Καὶ δὴ παραδείγματος ἕνεκα ἀναμνήσω σε δυοῖν νεανίσκοιν οὓς ἐθεάσω μεθ' ἡμῶν. ἦν δὲ ὁ μὲν ἕτερος αὐτῶν ἐλεύθερος καὶ γυμναστικὸς, ὁ δ' ἕτερος δοῦλος οὐκ ἀγύμναστος μὲν, οὐ μὴν τά γε κατὰ παλαίστραν δεινὸς, ἀλλ' ὅσα δούλῳ πρέπει, τὰ ἐφήμερα γυμνάσιά τε ἅμα καὶ ἔργα μεταχειρίζεσθαι. ὁ μὲν οὖν ἐλεύθερος τὸν χωρὶς σήψεως ἐπύρεξε σύνοχον, ὁ δὲ δοῦλος τὸν μετὰ σήψεως. ὁποίαν δ' ἑκατέρῳ τὴν ἴασιν ἐποιησάμεθα καιρὸς ἂν εἴη λέγειν, ἐπειδὴ μάλιστα μὲν χρὴ γυμνάζεσθαι τοὺς μανθάνοντας ὁτιοῦν ἐπὶ παραδειγμάτων· [205] οὐ γὰρ ἀρκοῦσιν αἱ καθόλου μέθοδοι πρὸς τὴν ἀκριβῆ γνῶσιν. ἀμείνω δὲ τῶν παραδειγμάτων ἐστὶν ὧν αὐτόπται γεγόναμεν· ὡς εἴ γε πάντες οἱ διδάσκειν ἢ γράφειν ὁτιοῦν ἐπιχειροῦντες ἔργοις ἐπεδείκνυντο

eo pervenit quo febris ipſa magnitudinis. Atque haec quidem ambarum ſunt communia, alteri vero privatim putredinis inſunt notae, idque tum in lotio tum pulſu tum caloris ingrata qualitate.

Cap. IV. Ac tibi exempli cauſa redigam in memoriam adoleſcentes duos quos una mecum vidiſti. Erat alter eorum liber et palaeſtrae peritus, alter ſervus haud inexercitatus ille quidem, caeterum in palaeſtra parum vehemens, nec tamen ad quotidiana quae ſervum deceant tum exercitia tum opera tractanda non idoneus. Porro liber continenti citra putredinem febre laboravit, ſervus continenti cum putredine. Horum utrique quaenam ſit adhibita curatio, non intempeſtivum dictu nunc arbitror, quandoquidem in exemplis exercitari quidvis diſcentes maxime expedit, neque enim ſatisfaciunt ad exactum cognitionem univerſales methodi. Sunt autem exemplorum ea pro potioribus habenda, quae ipſi oculis uſurpavimus; quando ſi omnes, qui docere ſcribereve aliquid ſunt aggreſſi, ea prius

πρότερον αὐτὰ, παντάπασιν ἂν ὀλίγ᾽ ἄττα ψευδῶς ἦν λεγόμενα. νυνὶ δ᾽ οἱ πλεῖστοι διδάσκειν ἄλλους ἐπιχειροῦσιν ἃ μήτ᾽ αὐτοί ποτ᾽ ἔπραξαν μήτ᾽ ἄλλοις ἐπεδείξαντο. τοὺς μὲν οὖν πολλοὺς τῶν ἰατρῶν οὐδὲν θαυμαστὸν ἀμελήσαντας ἤθους χρηστοῦ δοξοσοφίαν μᾶλλον ἢ ἀλήθειαν σπουδάσαι. τὸ δ᾽ ἡμέτερον οὐχ ὧδ᾽ ἔχει. οὐ γὰρ δὴ χθὲς ἢ πρώην, ἀλλ᾽ εὐθὺς ἐκ μειρακίου φιλοσοφίας ἐρασθέντες ἐπ᾽ ἐκείνην ἤξαμεν πρῶτον. εἶθ᾽ ὕστερον τοῦ πατρὸς ὀνείρασιν ἐναργέσι προτραπέντος ἐπὶ τὴν τῆς ἰατρικῆς ἄσκησιν ἀφικόμεθα καὶ δι᾽ ὅλου τοῦ βίου τὰς ἐπιστήμας ἑκατέρας ἔργοις μᾶλλον ἢ λόγοις ἐσπουδάσαμεν. οὐδὲν οὖν θαυμαστὸν ἐν ᾧ προσαγορεύουσιν ἄλλοι, περιθέοντες ὅλην τὴν πόλιν ἐν κύκλῳ καὶ συνδειπνοῦσι καὶ παραπέμπουσι τοὺς πλουτοῦντάς τε καὶ δυναμένους, ἐν τούτῳ τῷ χρόνῳ παντὶ φιλοπονοῦντας ἡμᾶς ἐκμαθεῖν μὲν πρῶτον ὅσα καλῶς εὕρηνται τοῖς παλαιοῖς, ἔπειτα διὰ τῶν ἔργων αὐτὰ κρῖναί τε ἅμα καὶ ἀσκῆσαι. τὸν τοίνυν γυμναστικὸν νεανίσκον ἀρξάμενον πυρέττειν ὥρας πρώτης τῆς νυκτὸς ἐθεασάμεθα κατὰ τὴν ἐπιοῦσαν ἡμέραν

operibus ostendissent, prorsus paucula quaedam falso dicerentur. Nunc vero plerique alios docere tentant quae nec ipsi unquam fecerunt, nec aliis ostenderunt. Caeterum vulgus medicorum nihil miri est si contemptis bonis moribus opinioni sapientiae magis quam veritati inhiat. Verum non sic fuit ratio nostra. Non enim heri aut nudius tertius, sed statim ab adolescentia philosophiae studio capti primum nos ad eam contulimus; mox patris evidenti insomnio moniti ad medicinae studium excolendum venimus, ac per totam vitam operibus magis quam verbis utrique studio incubuimus. Quo minus mirum est, si in quo tempore alii totam urbem salutando lustrant, et cum divitibus atque magnatibus coenant ac *eosdem* comitantur, hoc omni nos sedulo laborantes primum quidem omnia quae veteribus pulchre sunt inventa didicimus; mox eadem opere tum perpendimus tum exercuimus. Ergo qui palaestrae peritus juvenis erat, ubi febricitare hora prima noctis coepisset, postridie eum mane circiter horam diei tertiam vidimus. Quum

ὥρας που τρίτης. εὑρόντες δὲ πυρετὸν ἱκανῶς μὲν θερμὸν, ἀλλὰ καὶ τούς τε σφυγμοὺς ὁμαλοὺς καὶ μεγίστους καὶ ταχεῖς καὶ πυκνοὺς καὶ σφοδροὺς καὶ τὴν τῆς θερμασίας ποιότητα τὸ διαβρωτικὸν τῆς ἁφῆς οὐκ ἔχουσαν, ἔτι δὲ καὶ τὰ οὖρα τῇ τε συστάσει καὶ τῇ χροιᾷ τῶν κατὰ φύσιν οὐ πάνυ λειπόμενα, πυθόμενοί τε τοῦ τῶν γυμνασίων ἔθους ἠμεληκότα τὸν ἄνθρωπον ἡμέραις ὡς τριάκοντα, τῇ δὲ προτεραίᾳ μόνῃ γεγυμνάσθαι σφοδρότερον μὲν, ἀλλ' οὐκ ἐπὶ πολὺ, προσενηνέχθαι τε τὰ συνήθη σιτία καὶ ταῦτα πεπέφθαι μὲν, ἀλλὰ βραδέως καὶ μόγις, ὡς ἂν (131) ἐπιγενομένου κατὰ τὴν ἑσπέραν τοῦ πυρετοῦ, φαινομένου δὲ ἐρυθροῦ καὶ μεστοῦ τοῦ ἀνθρώπου καὶ μέντοι καὶ πληρώσεως αὐτῷ τινα αἴσθησιν εἶναι λέγοντος, ἐν τούτῳ τε φθεγξαμένου περὶ φλεβοτομίας τῶν παρόντων τινὸς, ἔδοξεν ἡμῖν ἀναβάλλεσθαι τὴν περὶ τοῦ βοηθήματος σκέψιν εἰς ἕτερον καιρὸν, ἅμα μὲν ἵνα ἀκριβέστερον διαγνῶμεν ἐκ ποίου γένους ἐστὶν ὁ πυρετὸς, ἅμα δ' ἐξ ἀνάγκης διὰ τὴν προγεγενημένην βραδυπεψίαν. ἐπεὶ δὲ καὶ κατὰ τὴν ἑσπέραν ὁμοίως ἀκμάζειν ὁ πυρετὸς ἐφαίνετο μηδὲν ἀφαιρῶν

autem inveniffem febrem admodum calidam, fed pulfus aequales et maximos et celeres et frequentes et vehementes, tum caloris qualitatem quae tactum minime morderet, jam vero et urinas tum craffitudine tum colore a naturali habitu non multum alienas, audiens praeterea hominem circiter triginta dies exercitationis confuetudinem intermififfe, pridie tamen exercitaffe fe vehementius, caeterum non multum, fumpfiffe autem folitos cibos, atque eos concoxiffe quamvis tarde et aegre, utpote quum febris vefpere occupaffet, quum rubicundus plenusque homo appareret, atque etiam plenitudinis fenfum fe percipere diceret, tunc faciente quodam eorum qui aderant de vena fecanda mentionem, vifum nobis eft ejus auxilii confiderationem in aliud tempus remittere, fimul ut certius fciremus cujus generis febris effet, fimul neceffario propter eam quae praeceffferat concoctionis tarditatem. Quum autem vefperi fimilem vigorem tueri febris eft vifa, ceu nihil fenfibiliter remittens, fufpicio jam

αἰσθητῶς, ὕποπτος ἦν ἤδη σύνοχος ὑπάρχειν ἐπ' ἐμφράξει τε καὶ πολυαιμίᾳ καὶ τῇ διὰ τὸ πλῆθος τῶν σαρκῶν στεγνώσει. διαφυλαχθέντος δὲ τοῦ μεγέθους ἴσου δι' ὅλης τῆς νυκτὸς, ἐπὶ τῆς ὑστεραίας ἐδόκει τοῖς ἐπισκοπουμένοις αὐτὸν ἰατροῖς ἅπασι φλεβοτομητέος εἶναι. στάσεως δ' ἐγγινομένης περὶ τοῦ καιροῦ καὶ κρατησάντων τῶν εἰς τὴν ἐπιοῦσαν ἀναβάλλεσθαι συμβουλευόντων, ὁ πυρετὸς ἐναργῶς ἐφάνη δι' ὅλης τῆς ἡμέρας ἐπακμάζων ἑαυτῷ. κἄπειτα τῆς ἐπιούσης νυκτὸς τῆς τρίτης ἄλλος μὲν οὐκ ἐγένετο παροξυσμὸς ὡς πρὸς τὸ πρῶτον ἐξ ἀναλογίας, ἀφόρητον δ' ἦν τὸ καῦμα τῷ κάμνοντι, καὶ τάσις ὅλου τοῦ σώματος ὡς πεπληρωμένου καὶ σφυγμὸς τῆς κεφαλῆς, ἀγρυπνία τε διὰ ταῦτα δεινὴ καὶ μεταῤῥιπτοῦντος ἑαυτὸν ἄλλοτ' εἰς ἄλλο σχῆμα τοῦ νεανίσκου. καὶ τοίνυν ὡς οὐκέτ' ἔφερεν, ὥρας που τῆς νυκτὸς ὀγδόης, ἐκπέμψας οἰκέτην πρός με δεῖται παρ' αὐτὸν ἀφικέσθαι διὰ ταχέων. ὑπακούω δὴ καὶ ἀπέρχομαι καὶ καταλαμβάνω θερμότατόν τε τὸν πυρετὸν καὶ τοὺς σφυγμοὺς οἵους ἔμπροσθεν εἶπον. ἐπεὶ δ' οὔτ' ἐν τούτοις οὔτε ἐν τοῖς οὔροις οὔτ' ἐν αὐτῇ τῇ τῆς

erat fynochon effe, hancque ex obftructione et fanguinis abundantia et prae carnis copia ftipatione. Ac quum parem magnitudinem per totam noctem febris fervaret, poftero die vifum eft medicis omnibus qui inviferant fanguinem effe mittendum. Discordia vero orta de tempore et vincentibus qui id in fequentem diem differendum fuaderent, febris per totum eum diem evidenter vifa eft vigorem fuum augere. Mox tertia fequente nocte alia quidem acceffio minime incidit, quae primae ad proportionem refponderet, erat tamen aeftus ipfe laboranti intolerabilis, urgebatque eum tenfio totius corporis ut repleti, tum capitis pulfatio, atque ob haec gravis vigilia juvene in aliam atque aliam fe figuram jactante. Itaque quum ultra ferre non poffet, hora noctis circiter octava mittit ad me miniftrum, rogatque ad fe ocius veniam. Ipfe annuo atque abeo invenioque febrem calidiffimam, pulfumque qualem praedixi. Quoniam autem nec in hoc nec in lotio nec in ipfa caloris qualitate

θερμότητος ποιότητι σημεῖόν τι σηπεδόνος ἐφαίνετο χυμῶν, ἐδόκει κάλλιον εἶναι τεμεῖν τὴν φλέβα, πρὶν ἄρξασθαι [206] τὴν σῆψιν. ἀφαιρῶ τοίνυν αὐτοῦ τοσοῦτον ἐξεπίτηδες, ὡς λειποθυμίαν ἐπιγενέσθαι, μέγιστόν τι βοήθημα τοῦτο πυρετῶν συνόχων ἐν ἰσχυρᾷ δυνάμει καὶ τῷ λόγῳ καὶ τῇ πείρᾳ δεδιδαγμένος. πρῶτον μὲν γὰρ εἰς ἐναντίαν κατάστασιν ἀφικνεῖται τάχιστα ψυχόμενον ἐν τῇ λειποθυμίᾳ τὸ σῶμα. τούτου δ᾽ οὔτε τοῖς κάμνουσιν οὔτ᾽ αὐτῇ τῇ διοικούσῃ τὰ ζῶα φύσει δύναιτ᾽ ἄν τις εὑρεῖν ἥδιον ἢ χρηστότερον. ἔπειτα δ᾽ ἐξ ἀνάγκης ἐν τοῖς τοιούτοις σώμασιν ἕπεται διαχώρησις γαστρὸς, ἔστι δὲ ὅτε καὶ χολῆς ἔμετος, ἐφ᾽ οἷς αὐτίκα νοτίδες ἀπὸ παντὸς τοῦ σώματος, ἢ ἱδρῶτες. ἅπερ οὖν κἀκείνῳ πάνθ᾽ ἑξῆς γενόμενα παραχρῆμα τὸν πυρετὸν ἔσβεσαν, ὥστε τινὰς τῶν παρόντων εἰπεῖν, ἔσφαξας ἄνθρωπε τὸν πυρετόν· ἐπὶ τούτου μὲν δὴ πάντες ἐγελάσαμεν. ὅπως δὲ πληρώσαιμι τὴν διήγησιν, οὐδὲν ἂν εἴη χεῖρον ὀλίγα προσθεῖναι. μετὰ δύο γὰρ τῆς φλεβοτομίας ὥρας βραχύ τι προσδοὺς τροφῆς τῷ κάμνοντι καὶ κελεύσας ἡσυχάζειν ἀπηλλαττόμην. ἀφικόμενος

indicium aliquod humorum putrescentium apparuit, optimum factu visum est venam incidere antequam putredo inciperet. Aufero itaque ab homine eousque de industria sanguinem, quoad animo linqueretur, maximum plane, ubi valentes vires sunt, continentis febris remedium, id quod tum ratione tum experientia didici. Primum namque in contrarium statum agitur corpus celerrime ex animi defectu refrigeratum. Hoc vero nemo invenire potest neque quod ipsis aegris neque quod naturae quae animantes gubernat jucundius utiliusve sit. Postmodum in ejusmodi corporibus necessario supervenit alvi dejectio, nonnunquam etiam bilis vomitio, quas res statim a toto corpore madores sudoresve excipiunt. Quae nimirum omnia quum huic quoque contigissent, protinus febrem extinxerunt, ut quidam ex iis qui aderant jugulasse me febrem per jocum dicerent, unde omnes risimus. Verum quo narrationem omnem absolvam, nihil mali erit paucula addidisse. Post duas namque a sanguinis missione horas paulo nutrimenti dato ac jusso quie-

δὲ πέμπτης ὥρας τῆς ἡμέρας οὕτω βαθέως ὑπνοῦντα κατέλαβον ὡς ἁπτομένου μου μηδ᾽ ὅλως αἰσθάνεσθαι. λεγόντων δὲ καὶ τῶν ὑπηρετουμένων αὐτῷ βαθὺν οὕτως εἶναι τὸν ὕπνον ὡς μηδ᾽ ὅταν ἀπομάττωσιν αὐτοῦ τὰς νοτίδας ἐξεγείρεσθαι, συνεβούλευον οὕτω πράττειν, εἶναι γὰρ ἀκριβῶς ἤδη τὸν ἄνθρωπον ἀπύρετον. ἀφικόμενος δ᾽ αὖθις ὥρας δεκάτης εὗρον ἔτι καὶ τότε κοιμώμενον αὐτόν. ἐξελθὼν δὲ πάλιν ἐπ᾽ ἄλλους ἀῤῥώστους ἐπανῆλθον ὥρας πρώτης νυκτὸς οὐκέτι μετὰ σιωπῆς, ἀλλ᾽ ἐξεπίτηδες μέγα φθεγγόμενος, ὅπως ὁ κάμνων διεγερθείη τοῦ ὕπνου. καὶ τοίνυν οὕτω γενομένου πτισάνης χυλῷ μόνῳ θρέψας αὐτὸν ἀπηλλαττόμην. ἐπιμετρήσας δὲ τὴν ὑστεραίαν ἐπὶ τὸ λουτρὸν ἀπέλυσα τῇ μετ᾽ αὐτήν. τὰ μὲν δὴ κατὰ τοῦτον οὕτως ἐπράχθη. τὰ δὲ κατὰ τὸν ἕτερον, ἤδη σοι δίειμι. δι᾽ ὅλης ἡμέρας ἐκεῖνος ὁ ἄνθρωπος καμὼν πολλὰ, κἄπειτα λουσάμενος ὀλίγα τε προσενεγκάμενος ὑπήρξατο πυρέττειν ἐν τῇ νυκτὶ συνάψας αὐτῇ καὶ τὴν ἑπομένην ἡμέραν. ἐθεασάμεθα δ᾽ ἡμεῖς αὐτὸν μετὰ τὴν δευτέραν νύκτα τὰ μὲν οὖν ἄλλα πάντα τῷ προειρημένῳ

fcere disceffi. Quinta vero hora reverfus tam profundo fomno indormientem inveni ut tangentem me prorfus non fentiret. Quum vero et miniftri adeo illi altum fomnum fuiffe dicerent ut nec quum madores ejus abftergerent expergisceretur, fuafi ita facerent, effe namque hominem jam prorfus a febri liberum. Reverfus autem et decima rurfus hora etiam nunc dormientem inveni. Egreffus autem iterum ad alios vifendos aegros, redeo hora prima noctis, non tamen ut ante tacens, fed voce de induftria fublata, quo aegrum a fomno excitarem. Quod quum ita accidiffet, ubi folo ptifanae cremore ipfum nutrivi, abii. Cujus modum poftero die augens tertio lavatum dimifi. Ac quae ad hunc pertinebant infirmum ita funt gefta; quae vero ad alterum nunc dicam. Is quum toto die multum laboraffet, deinde lavatus paucula comediffet, coepit nocte febricitare, totum etiam continuans fequentem diem. Hunc nos poft fecundam noctem vidimus in caeteris quidem omnibus jam

παραπλησίως διακείμενον, ἐναργῆ δὲ τὰ τῆς σηπεδόνος τῶν χυμῶν ἔχοντα γνωρίσματα. φλέβα τοίνυν αὐτῷ παραχρῆμα διελόντες ἄχρι λειποθυμίας ἐκενώσαμεν. ἐφ᾽ ᾗ διαλιπόντες αὔταρκες ἐθρέψαμεν, μελικράτῳ μὲν πρῶτον, μετὰ δὲ ὥραν ἐκείνου μίαν πτισάνης χυλῷ. καὶ πάντ᾽ ἐπέπρακτο ταῦτα πέμπτης ὥρας ἐντός. ὁμοίου δὲ αὐτῷ διαμένοντος τοῦ πυρετοῦ σύνοχον εἶναι προσεδοκήσαμεν ἐπὶ σήψει. καὶ τοίνυν καὶ οὕτως ἀπέβη. θεασάμενοι γὰρ αὐτὸν ὥρας που δευτέρας νυκτὸς ἐν ἴσῳ μεγέθει, τὸν διὰ τρίτης παροξυσμὸν ἤτοι γ᾽ ἐσόμενον ἢ οὐκ ἐσόμενον, ἀκριβῶς ἠβουλήθημεν παραφυλάξαι νυκτὸς ὥραν ἑβδόμην τὴν ὕποπτον ἔχοντα. ὄρθρου δὴ βαθέος ἐπὶ τὸν ἄνθρωπον ἐλθόντες εὕρομεν ὅπερ ἠλπίσαμεν. οὔτε γὰρ ὁ διὰ τρίτης ἐγεγόνει παροξυσμὸς ἐφαίνετό τε βραχύ τι μικρότερος ὁ πυρετὸς οὗ κατελείπομεν ἐπὶ τῆς ἑσπέρας. ὡς δὲ καὶ τῆς μεσημβρίας ἰδὼν αὐτὸν, ἦν ἤδη βεβαιότατος ἀφαιρεῖν τι βραχὺ καὶ σύνοχον εἶναι παρακμαστικὸν, ἄμεινον ἐδόκει θρέψαι καὶ τόθ᾽ ὁμοίως τὸν ἄνθρωπον. διελθούσης δὲ καὶ τῆς τετάρτης νυκτὸς ἐναργῶς ἐλάττων ἑαυτοῦ κατὰ τὴν τετάρτην ἡμέραν

dicto *juveni* fimiliter affectum, verum putrescentium humorum evidentes praebentem notas. Itaque vena quoque huic protinus incifa usque ad animi defectum vacuavimus. Poft id idoneo interpofito fpatio cibavimus primum mulfa, deinde una interpofita hora ptifanae cremore. Atque haec omnia intra quintam acta funt horam. Quum autem fimilis fibi perfeveraret febris, fynochon eam fore ex putredine expectavimus; itaque accidit. Quippe quum eam fecunda noctis hora pari magnitudine cerneremus, tertiae diei acceffionem futuranc effet an non effet diligenter obfervare volebamus, cujus in feptimam horam noctis fufpicio erat. Itaque cum fummo mane veniffem, inveni quod expectaram; nam nec tertia inciderat acceffio, febrisque remiffior paululo quam vefperi fuerat apparuit. Ut autem rurfus hominem meridie vidi eramque jam certiffimus et febrem decreviffe et fynochon febrem effe decrescentem, fatius vifum eft tum quoque hominem fimiliter nutrire. Quarta vero exacta nocte manifefte minor etiam quarto die erat, quo rurfus

ἦν, ἐν ᾗ πάλιν ὁμοίως αὐτὸν θρέψαντες ἠκολουθήσαμεν ἀφαιροῦντες τοῦ μεγέθους, δι᾽ ὅλης τε τῆς ἡμέρας ἐκείνης καὶ τῆς ἐπιούσης νυκτὸς τῆς πέμπτης, ὥστ᾽ ἐναργῶς τῇ πέμπτῃ τῶν ἡμερῶν ἐλάττονα φαίνεσθαι τοῦ πρόσθεν. ἀνάλογον δὲ τῇ μειώσει τοῦ πυρετοῦ καὶ ἡ τῶν οὔρων πέψις προὐχώρει. [207] καὶ ἦν δῆλον ὡς κατὰ τὴν ἑβδόμην ἡμέραν παύσαιτο, καὶ οὕτως ἐγένετο. παρακμαστικὸς οὖν ἀκριβῶς οὗτος ἡμῖν ὁ σύνοχος ἐπὶ σήψει χυμῶν ὤφθη. πολλοὺς δ᾽ ἄλλους συνόχους ἐθεασάμεθα τοὺς μὲν ἐπακμαστικοὺς, τοὺς δὲ ὁμοτόνους, ἢ ἀκμαστικοὺς, ἢ ὅπως ἄν τις ἐθέλοι καλεῖν, ἐνίους δ᾽ ὥσπερ καὶ οὗτος ὁ προειρημένος παρακμαστικούς· καὶ τινὰς μὲν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν τὰ τῆς σήψεως ἔχοντας γνωρίσματα, τινὰς δ᾽ ἐν τῇ τρίτῃ σχόντας, ἢ τὸ πλεῖστόν γε τῇ τετάρτῃ, ποτὲ μὲν ἀμαθίᾳ τῶν ἰατρῶν μὴ τεμνόντων τὴν φλέβα, ποτὲ δ᾽ αὐτῶν τῶν καμνόντων δειλίᾳ. τῶν γὰρ ἐπ᾽ ἐμφράξει μόνῃ πυρεξάντων οὐδεὶς μετέπεσεν εἰς τὸν ἐπὶ σηπεδόνι πυρετὸν ἀποχέαι τι φθασάντων αἵματος. ἰσχυρᾶς μὲν

quoque ad eundem modum homine cibato advertimus tum illo die toto tum quae hunc fequuta eft quinta nocte magnitudinem remittere fic ut quinto die liquido plane appareret minor effe febris quam ante. Itaque ad proportionem minuentis fe febris urinae quoque concoctio proceſferat. Eratque haud obfcurum feptimo, id quod factum eft, finiendam. Hanc igitur decrescentem plane continentem ex humorum putredine febrem vidimus. Multas vero alias continentes confpeximus, quarum aliae epacmafticae, *id eft crefcentes*, aliae homotoni et acmafticae, *id eft fimilem tenorem fervantes erant*, vel ut aliquis nominare voluerit, aliae ceu quam modo memoravimus paracmafticae, *id eft decrescentes*. Aliae rurfus in primo die putredinis notas habuerunt, aliae in tertio aut certe ad fummum quarto, idque alias medicorum ipforum infcitia, qui fanguinem non miferant, alias laborantium ipforum timiditate. Siquidem eorum qui ex fola obftructione febricitarent nemo in putredinis febrem incidit qui prius fanguinem miferat. Quem,

οὖν ὑπαρχούσης τῆς δυνάμεως καὶ τῆς ἡλικίας συγχωρούσης, ἄχρι λειποθυμίας ἄμεινον ἄγειν. εἰ δέ τι τούτων ἐνδέοι κατά τι, βέλτιον ἀφελεῖν μὲν ὅσον ἂν ἱκανὸν εἶναι φαίνηται, τήν γε πρώτην· ἐπαφαιρεῖν δ᾽ αὖθις ὅσον ἐνδέοι. μὴ φλεβοτομηθέντες γὰρ οἱ οὕτως πυρέττοντες εἰς ἔσχατον ἥκουσι κινδύνου, πλὴν εἴ ποτε ῥώμη δυνάμεως, ἢ αἱμοῤῥαγία λάβρος, ἢ ἱδρὼς πολὺς ἐξαρπάσειεν αὐτοὺς ὀλέθρου προφανοῦς. ἀλλ᾽ ὅμως ἔνιοι τῶν ἰατρῶν ὁρῶντες τὴν φύσιν ἐναργέστατα δι᾽ αἱμοῤῥαγίας ἐκσώζουσαν οὐκ ὀλίγους τῶν οὕτω κινδυνευόντων, ἀποδιδράσκουσι τὴν φλεβοτομίαν, οὔτ᾽ ἐμπειρίαν οὐδεμίαν οὔτε λόγον ἀληθῆ προστησάμενοι. τούτους μὲν οὖν ἐάσωμεν αὐτάρκως γε πρὸς αὐτοὺς διειλεγμένοι καθ᾽ ἓν ὅλον γράμμα τὸ περὶ φλεβοτομίας (132) πρὸς Ἐρασίστρατον, αὐτοὶ δ᾽ αὖθις ἐπὶ τὸ προκείμενον ἴωμεν.

Κεφ. ε΄. Ἦν δ᾽ ἐν τῷ νῦν λόγῳ προκείμενον ὑπὲρ ἐκείνων διελθεῖν τῶν ἰατρῶν ὅσοι στεγνώσεσιν ἕπονται ταῖς δι᾽ ἔμφραξιν. οὓς, εἰ μὲν ἄνευ σηπεδόνος εἶεν, ἐκ τοῦ τῶν

ubi validae vires fubfunt et aetas permittit, usque ad animi defectum mittere expedit, ubi horum alterum non fatis refpondet, tutius eft quantum fatis vifum fuerit, tantum principio detrahere, quod defuit iteratione fupplere. Etenim hoc praefidio omiffo qui ita febricitant in fummum discrimen veniunt, nifi fi eos vel virium robur, vel largum fanguinis profluvium, vel fudor copiofus ex manifefta pernicie eripiat. Et tamen nonnulli ex medicis funt qui tametfi manifeftiffime vident naturam fanguinis profluvio non paucos eorum qui fic periclitentur fervare, tamen fanguinis miffionem fugiant, nullam nec experientiam nec veram rationem fequuti. Caeterum hos mittamus, disputato praefertim contra illos abunde uno integro libro qui eft de fanguinis miffione contra Erafiftratum fcriptus, ipfi vero ad propofitum revertamur.

Cap. V. Erat vero in praefenti disputatione propofitum de iis febribus differere quae ex ftipatis per obftructionem meatibus oriuntur. Quas, fi fine putredine confi-

ἐφημέρων ἔφασκον ὑπάρχειν γένους, εἰ δέ τις αὐτοῖς ἢ ἐξ ἀρχῆς εὐθέως ἢ ἐξ ὑστέρου σῆψις ἐπιγίγνοιτο, κατὰ μὲν ἁπάσας τὰς φλέβας καὶ μάλιστα τὰς μεγάλας συνισταμένης αὐτῆς τοὺς συνόχους γεννᾶσθαι πυρετοὺς, ἐν ἑνὶ δὲ μορίῳ τοῦ ζώου τοὺς κατὰ περίοδόν τινα παροξυνομένους. ἀλλὰ περὶ μὲν τούτων αὖθις. ὃ δὲ χρὴ καὶ δὶς οἶμαι καὶ τρὶς καὶ πολλάκις αὖθίς τε καὶ αὖθις εἰπεῖν, εἰ μέλλοιεν οἱ οὕτως νοσοῦντες ὀρθῶς θεραπευθήσεσθαι, τὸ τῆς φλεβοτομίας παραληπτέον ἐστίν. ὅσοις γὰρ ἐπὶ πλήθει χυμῶν δυσδιάπνευστον τὸ σῶμα γενόμενον ἤθροισε τοσαύτην θερμασίαν ὡς ἤδη πυρέττειν, ἀφαιρεῖν αἵματος χρὴ τοσοῦτον ἂν ὅσον ἡ δύναμις φέρει, γινώσκοντας ὡς εἰ μὴ παραληφθείη τὸ βοήθημα τοῦτο, πνιγήσεσθαι τοὺς οὕτω διακειμένους τὴν φύσιν, ἢ συγκόπτεσθαί γε πάντως αὐτοὺς, εἰ μήποθ᾽, ὡς εἴρηται, ῥώμη τῆς φύσεως ἢ ἱδρὼς πάμπολυς αὐτοὺς ἢ λάβρος αἱμοῤῥαγία ῥύσηται τοῦ θανάτου. δῆλον μὲν οὖν ἐστὶ, κἂν ἐγὼ μὴ λέγω, τοῖς γε τὸ περὶ πλήθους γράμμα καλῶς ἀναλεγομένοις, οὐδὲν δ᾽ ἧττον

ſtant, ex diariarum eſſe genere dixi, ſin iis putredo aliqua vel ab initio ſtatim vel poſtmodum ſuperveniat, ubi in omnibus venis ac praecipue magnis ea conſtitit, continentes excitari febres; ubi in unica animalis parte, febres quae certis circuitibus exacerbantur. Verum de his poſtea. Quod autem et bis, arbitror, et ter et ſaepius iterumque dicendum eſt, qui ita laborant ſi recte curabuntur, iis ſanguinis miſſio eſt adhibenda. Quibus enim corpus ex humorum abundantia inhabile ad transpirationem jam redditum tantum caloris congeſſit ut inde jam febricitet, iis tantum ſanguinis eſt detrahendum quantum vires tolerant. Pro certo quoque habendum, niſi iis qui hoc per naturam ſunt habitu id adhibeatur praeſidium, fore ut vel ſuffocentur, vel certe ſyncope prehendi omnino periclitentur, niſi, ut dictum eſt, eos vel naturae robur vel plurimus ſudor vel largum ſanguinis profluvium a morte vindicet. At illud vel me tacente conſtat, iis praeſertim qui librum de plenitudine ſtudioſe perlegerunt, quanquam et nunc quoque a me dicetur,

εἰρήσεται καὶ πρὸς ἡμῶν ὅτι νῦν ὁ λόγος ἐστὶν οὐ περὶ τοῦ πρὸς τὴν δύναμιν πλήθους. οὔτε γὰρ ἐμφράττει τοῦτο τὰ στόματα τῶν ἀγγείων, ὡς κωλύειν τὴν ἀνάψυξιν, οὔτε τείνει τοὺς χιτῶνας αὐτῶν οὔτ᾽ ἔρευθος οὔτ᾽ ὄγκον ἐργάζεται, πολὺ δὲ δὴ μᾶλλον οὐδὲ τὰς τῆς σαρκὸς ἢ τοῦ δέρματος ἐπέχει διαπνοάς. [208] ἀλλὰ περὶ τοῦ μηκέτι δυναμένου χωρεῖσθαι πρὸς τῶν ἀγγείων, ὃ καὶ διὰ τοῦτ᾽ αὐτὸ ῥηγνύναι τε καὶ ἀναστομοῦν εἴωθεν αὐτὰ καὶ τἄλλα συμπτώματα τὰ νῦν εἰρημένα φέρει τὴν ἔμφραξιν, τὴν τάσιν, τὸν ὄγκον, τὸ ἔρευθος, ὁ σύμπας μοι λόγος ἐπεράνθη τε καὶ νῦν οὐχ ἧττον περανθήσεται. τὸ γάρ τοι πλῆθος τοῦτο χρηστὸν ὂν συναύξεσθαι πέφυκε τῇ ῥώμῃ τῆς δυνάμεως· ὡς εἴ γε βαρύνειέ ποτ᾽ αὐτὴν, οὔτ᾽ αὐξηθήσεται τοῦ λοιποῦ καὶ παύσεται χρηστὸν ὑπάρχον. εἰ γὰρ ἅπαξ ἀπολέσειε τὸν ἐκ τῆς φύσεως κόσμον, ἀδύνατον αὐτῷ μὴ σαπῆναι, διότι μηδ᾽ ἄλλο μηδὲν ὑγρὸν καὶ θερμὸν σῶμα τουτωνὶ τῶν ἐκτὸς ὁρῶμεν ἄσηπτον διαμένον. ταῦτά τοι χρὴ σπεύδειν ἀφαιρεῖν τοῦ αἵματος, ὅπως ἡ τῶν ἀγγείων φύσις ἐκ τοῦ διαπνεῖσθαί τε καὶ ῥιπίζεσθαι

non esse nunc nobis de ea plenitudine ad vires sermonem; neque enim sic obstruit venarum ora ut refrigerationem prohibeat, nec tunicas earum distendit, nec ruborem nec tumorem invehit, multoque minus vel carnis vel cutis transpirationem moratur; verum de ea quae contineri a vasis ultra non valet, quaeque ob id ipsum tum perrumpere vasa tum recludere solet, reliquaque modo dicta symptomata inducit, obstructionem, distentionem, tumorem, ruborem, de hac mihi omnis sermo tum habitus est, tum vero nihilominus habendus. Siquidem copia haec dum bonitatem suam servat, ut pariter augeri cum robore virium est nata, ita si quando has gravat, nec de caetero augebitur et bonitatem naturae amittet. At si naturalem semel bonitatem amiserit, fieri nequit ut non putrescat, quandoquidem nec aliud ullum ex iis quae foris sunt humidum calidumque corpus manere non putrescens cernimus. Ergo festinare ad sanguinem detrahendum oportet, quo vasorum natura ex transpirando ventilandoque naturalem temperiem

τὴν φυσικὴν εὐκρασίαν φυλάττουσα κατὰ τὸν ἐξ ἀρχῆς τρόπον ἐπικρατῇ τῶν χυμῶν· ὡς εἴ γε δύσκρατος γενομένη κάμοι, κίνδυνος αὐτοῖς σαπῆναι. ἡ δυσκρασία δ᾽ ἐν αὐτῇ γίνεται διὰ τὴν τοῦ πυρετοῦ θέρμην. ἣν ὅταν τις ἀμαθὴς ἰατρὸς αὐξήσῃ τῷ μὴ κενῶσαι τὸ τῆς στεγνώσεως αἴτιον, ἄπορος ἡ λοιπὴ πᾶσα βοήθεια γίγνεται. τοῦ μὲν γὰρ πλήθους κενοῦσθαι δεομένου, τῆς θέρμης δ᾽ ἐμψύχεσθαι, μάχη καὶ στάσις εἰς ἄλληλα τοῖς ἰωμένοις βοηθήμασι γίγνεται, τῶν μὲν ἐμψυχόντων, εἰ καὶ τὴν εὐκρασίαν ἐκπορίζοιτο τῇ φύσει, κατεχόντων γοῦν τὸ πλῆθος ἐν τῷ σώματι, τῶν δὲ τῇ μανώσει τοῦ δέρματος ἐκκενούντων αὐτὸ θερμαινόντων ἁπάντων, ὥστ᾽ εἰ μὲν τοῦτο κενοῦν ἐθέλοις, αὐξήσεις τὸν πυρετὸν, εἰ δ᾽ ἐκεῖνον ἐμψύχειν, καθέξεις τοῦτο. ταύτην τὴν ἀπορίαν τῶν ἰαμάτων οἱ μὴ κενώσαντες εὐθὺς ἐξ ἀρχῆς ἐργάζονται, πεισθέντες Ἐρασιστράτῳ τῷ μηδὲ τὰς αὐτομάτους αἱμοῤῥαγίας μιμήσασθαι δυνηθέντι. κάλλιστον μὲν οὖν εὐθέως ὡς ἐθεάσω διαπαντὸς ἡμᾶς ποιοῦντας, οὐχ ἡμερῶν ἀριθμῷ ἐπὶ παντὸς πράγματος προσέχειν τὸν νοῦν, ἀλλὰ τῇ ῥώμῃ μόνῃ τῆς δυνά-

servans humoribus eo quo inter initia modo dominetur, et si ad intemperiem versa laborabit, metuendum est ne hi putrescant. Excitatur autem intemperies in ea ex febris calore. Quem si quando rudis quispiam medicus auxit, non vacuata stipationis causa, in incerto reliquum omne remedium est. Ubi namque vacuari plenitudo postulat, calor autem refrigerari, pugna discordiaque inter ipsa sanandi oritur remedia, iis quae refrigerent, quamvis temperiem naturae concilient, saltem plenitudinem intra corpus detinentibus, quae vero rarefacienda cute hanc evacuant, omnibus calefacientibus sic ut, si abundantiam vacuare velis, febrem augeas, si febrem refrigerare, abundantiam moreris. In hanc remediorum inopiam deveniunt qui statim a principio non vacuarunt, Erasistrati persuasione inducti, qui nec spontanea sanguinis prosluvia potuit imitari. Optimum igitur est, id quod nos semper in re quaque facere vidisti, statim non numero dierum, sed uni virium robori in febribus

μως ἐπὶ τῶν τοιούτων πυρετῶν· εἰ γὰρ αὐτὴ διασώζοιτο, μὴ μόνον ἑκταίους ἢ ἑβδομαίους, ἀλλὰ καὶ κατὰ τὰς ἑξῆς ἡμέρας φλεβοτομεῖν. εἰ δ' ἀναγκασθείης ποτὲ θεραπεύειν ἄῤῥωστον, ᾧ μὴ μόνον ἔμπροσθεν παρελείφθη τὸ τῆς φλεβοτομίας βοήθημα, ἀλλα καὶ νῦν ἤτοι διὰ τὴν ἀμαθίαν τῶν ἰατρῶν, ἢ τὴν τοῦ κάμνοντος, ἢ τὴν τῶν οἰκείων αὐτῶν δειλίαν, ἐπὶ προήκοντι τῷ χρόνῳ κωλυθείης ἀφαιρεῖν αἵματος, ἐπὶ τὴν τοῦ ψυχροῦ δόσιν ἔρχεσθαι διορισάμενος ἀκριβῶς ὁπόση τις ἐξ αὐτοῦ γενήσεται βλάβη. μικρᾶς μὲν γὰρ ἢ οὐδ' ὅλως ἐσομένης διδόναι πίνειν ἀκραιφνὲς ψυχρὸν ὅσον ἂν ὁ κάμνων βούληται· ἔτι καὶ μᾶλλον θαῤῥῶν, εἰ ψυχροπότης εἴη. μεγάλης δὲ τῆς βλάβης προσδοκωμένης ἀφίστασθαι μὲν τῆς δόσεως, τοῖς δὲ ἄλλοις χρῆσθαι βοηθήμασιν, ἃ τάς τ' ἐμφράξεις ἐκφράττει καὶ τὸ πλῆθος κενοῖ καὶ πραΰνει τὸ ζέον τῶν πυρετῶν. αἱ δ' ἐξ ἀκαίρου ψυχρᾶς πόσεως ἢ ἀμέτρου βλάβαι κατὰ τάδε γίγνονται, τοὺς γλίσχρους καὶ παχεῖς καὶ πολλοὺς χυμοὺς, εἴτ' ἐμφραξιν, εἴτε σῆψιν, εἴτε φλεγμονὴν, εἴτε

ejus generis attentum effe; fi namque fervatum eft, non folum fexto feptimove, fed etiam fequentibus diebus fanguis eft mittendus. Quod fi curare aliquando infirmum cogeris, cui non folum antea fecandae venae remedium praetermiffum eft, fed nunc quoque vel per medicorum ignorantiam, vel ipfius laborantis propinquorumve ejus timiditatem procedente tempore mittere fanguinem prohiberis, ad frigidam exhibendam accedes, fed diligenter ante difcernens quantum ex ea nocumentum contingere poffit. Nam fi id aut exiguum erit aut nullum, offerenda potui eft quae prorfus fit gelida quantum bibere aegro libet, quinimo magis id audebis, fi frigidae potioni infueverit. Sin magnum timetur incommodum, ab hac quidem abftinendum, atque aliis auxiliis quibus obftructio eximatur et plenitudo vacuetur et febris fervor deferveat utendum. Quae vero noxae frigidam potionem intempeftive immodiceque exhibitam fequuntur, in his confiftunt, quod lentos, craffos multosque humores, five hi obftructiones five putredinem five phleg-

ἐρυσιπελατώδη διάθεσιν, ἢ σκιῤῥώδη τύχοιεν, ἢ οἰδηματώδη πεποιημένοι, κωλύει λεπτύνεσθαί τε καὶ διαφορεῖσθαι. ὅταν οὖν ἐκ τούτων μὲν ὁ πυρετὸς ἀνάπτηται, μηδὲν δὲ εἰς τὴν κένωσιν αὐτῶν ἡ τοῦ ψυχροῦ δόσις ὠφελῇ, παραχρῆμα μὲν οὐκ ὀλίγην φέρει τὴν ῥαστώνην ἐπὶ τὸ σβέσαι τὸν ἤδη γεγονότα πυρετὸν, ἅτε δὲ διαμενούσης τῆς αἰτίας αὖθις ἕτερον ἀναγκαῖον ἀνάπτεσθαι καὶ πολλάκις γε χαλεπώτερον τοῦ πρόσθεν, ὅταν ἐκ τοῦ ψυχροῦ πυκνωθῇ τὸ σῶμα. [209] τουτὶ μὲν δή σοι βλάβης εἶδος ἓν οὐκ εὐκαταφρόνητον. ἕτερον δὲ τοιόνδε· πολλὰ τῶν ἀσθενεστέρων τοῦ κάμνοντος μορίων εἴτε διὰ φυσικὴν δυσκρασίαν εἴτε δι᾽ ἐπίκτητον βλάβην ὑπὸ τοῦ ψυχροῦ πλήττεται. τῷ μὲν γὰρ στόμαχος ἔπαθεν οὕτως ἰσχυρῶς ὡς μόγις καταπίνειν, τῷ δ᾽ ἡ γαστὴρ ὡς μόγις πέττειν, ἄλλῳ δὲ τὸ στόμα τῆς γαστρὸς, ἢ τὸ ἧπαρ, ἢ τὸ κῶλον, ἢ ὁ πνεύμων, ἢ αἱ φρένες, ἢ καὶ νὴ Δία νεφροὶ καὶ κύστις ἤ τι τοιοῦτον ἕτερον ὑπὸ τοῦ ψυχροῦ πληγὲν ἄῤῥωστον εἰς τὴν οἰκείαν ἐνέργειαν ἐγίνετο. τινὲς δὲ αὐτῶν ἐξ ἀκαίρου τε καὶ ἀμέτρου πόσεως οὐκ εἰς μακρὰν οὐδ᾽ εἰς

monen, five eryfipelatodem affectum aut fcirrhodem aut oedematodem creaverit, attenuari discutique prohibent. Ergo quoties ex his febris accenditur, atque ad eos vacuandos frigida data non conducit, ad praefens quidem non parvum affert levamen, propterea quod jam accenfam febrem extinguit; verum quum caufa ejus adhuc perftet, aliam denuo accendi eft neceffe, atque ea quae praeceffit nonnunquam difficiliorem, propterea quod denfatum ex frigida corpus eft. Atque haec una noxae fpecies eft minime contemnenda. Altera talis eft; multae laborantis imbecillae partes, five ita fe ex naturali intemperie habeant five ex vitio adfcititio, a frigida laedantur. Alii namque gula adeo vehementer eft affecta ut vix deglutiret; alii ventriculus fic ut vix concoqueret; alii ipfum ventriculi os aut jecur aut colon aut pulmo aut certe et renes et vefica, aut tale quippiam aliud a frigida percuffum ad proprium opus infirmum eft redditum. Nonnulli autem ex intempeftiva immodicaque ejus potione non multo interpofito tempore,

ὕστερον, ἀλλ' αὐτίκα δυσπνοίαις καὶ σπασμοῖς καὶ τρόμοις ἁλίσκονται καὶ συλλήβδην εἰπεῖν κακοῦνται πᾶν τὸ νευρῶδες γένος. οἶδ' ὅτι φοβερὸν ἄν σε πρὸς τὴν τοῦ ψυχροῦ δόσιν εἰργασάμην ἐξ ὧν εἶπον, εἰ μή με πολλάκις ἐθεάσω μὲν χρησάμενον, ἀεὶ δ' ὠφελήσαντα χωρὶς τοῦ βλάψαι τι τὸν κάμνοντα σαφές. ὅσοις μὲν γὰρ ἐν κυρίῳ μορίῳ φλεγμονώδης ὄγκος ἢ οἰδηματώδης ἢ σκιῤῥώδης ἐστὶν, οὐ χρὴ τούτοις διδόναι τὸ ψυχρόν· οὐ μὴν οὐδ' ὅσοις ἔμφραξις ἢ σῆψις χυμῶν ἄπεπτος. εἰ δ' ἐναργῆ βλέποις τὰ τῆς πέψεως σημεῖα, χωρὶς τῶν εἰρημένων ὄγκων ἐκεῖνο μόνον ἔτι διάσκεψαι, μή τι μόριον οὕτω ψυχρὸν εἴη τὴν κρᾶσιν ὡς εἰς αὐτὸ κατασκῆψαι τὴν βλάβην. ἐρυσίπελας δὲ τὸ γοῦν ἀκριβὲς οὐκ ἂν ἄλλως ἰάσαιο. συμμιγὲς δ' εἴπερ εἴη φλεγμονῇ, τὰ τῆς πέψεως ἀναμεῖναι χρὴ γνωρίσματα. ταῦτα μὲν οὖν ἐπιπλέον ἢ κατὰ τὴν ἐνστῶσαν ὑπόθεσιν, ὅθεν ἴσως καὶ αὖθις ἀναγκαῖον ἔσται ποτὲ δόσεως ψυχροῦ μνημονεῦσαι. νυνὶ γὰρ ὁ μὲν ἕτερος τῶν συνόχων ἐμφράξει μόνῃ τὴν γένεσιν εἶχεν, ὁ δ' ἕτε-

nec poſtmodum, ſed illico difficultate ſpirandi et convulſione et tremore corripiuntur, ac toto, ut ſemel dicam, nervoſo genere laeduntur. Nec ignoro quod formidoloſum te ad frigidam offerendam ex iis quae memoravi redderem, niſi ea me uſum ſaepe vidiſſes ſemperque cum ſucceſſu, nec aegrum in ullo manifeſte laeſiſſe. Quibuscunque enim in principe parte tumor aliquis phlegmonodes aut oedematodes aut ſcirrhodes conſtitit, iis frigidam offerre non oportet; ſed nec iis quibus obſtructio putridusve humor non concoctus incommodat. Quod ſi evidentes percipis absque jam dictis tumoribus concoctionis notas, illud duntaxat aeſtimabis ſitne pars aliqua temperamento adeo frigido ut in hanc noxa procumbat. Porro eryſipelas quod verum ſit non aliter ſanaveris, at ſi mixtum cum phlegmone ſit, in concoctionis expectandae ſunt notae. Atque haec latius quam pro re nunc propoſita, quum poſtmodum etiam forte neceſſum erit de frigida exhibenda mentionem facere. Nunc enim altera continentium febrium ex ſola obſtructione eſt

ρος ἅμα σήψει καθ' ὅλας τὰς φλέβας. ὅταν οὖν ποτ' ἐπ' αὐτῶν ἴδῃς τὰ τῆς πέψεως τῶν χυμῶν σημεῖα, περὶ ὧν αὐτάρκως ἐν τοῖς περὶ κρίσεων εἴρηται, θαῤῥῶν διδόναι τὸ ψυχρόν. ἡ γάρ τοι φύσις τῶν στερεῶν τοῦ (133) ζώου μορίων ῥωσθεῖσα τοῖς προλελεπτυσμένοις ἐπιτίθεται χυμοῖς· ὥσθ' ὅσοι μὲν χρηστοὶ καὶ τρέφειν ἱκανοὶ, τούτους μὲν ἕλκειν εἰς ἑαυτὰ, τοὺς δ' ἀχρήστους ἐκβάλλειν ἤτοι διὰ τῆς γαστρὸς ἢ διὰ τοῦ δέρματος. εἰ δὲ ψυχροπότης ὁ κάμνων εἴη, πάνυ θαῤῥῶν δίδου τὸ ψυχρὸν, αὐτῇ τῇ πείρᾳ δεδιδαγμένος ἀνέχεσθαι πάντα τὰ σπλάγχνα τῆς ὁμιλίας αὐτοῦ. πάντως γὰρ εἴ τι ψυχρὸν οὕτως ὑπῆρχεν ὡς πλήττεσθαι πρὸς αὐτοῦ κατὰ τὸν τῆς ὑγείας χρόνον, ἐναργῆ τὴν βλάβην ἐνεδείξατο ἄν· μηδενὸς δὲ μηδὲν μορίου βλαβέντος οὐδ' ἂν ἐν τῷ πυρέττειν βλαβείη τι. ὅπου γὰρ καὶ ἀήθεις ἔνιοι ψυχροῦ, διὰ καυσώδη πυρετὸν ἀναγκασθέντες πιεῖν οὐδὲν ἐβλάβησαν, οὔπου γε τῶν ἐθάδων ἄν τις βλαβείη, πρόβλημα μέγιστον ἔχων ἐξ ἐπιμέτρου τὸ πλῆθος τῆς θερμασίας. αὕτη γὰρ ἐν ταῖς εὐρυχω-

orta, altera vero etiam cum putredine per omnes venas. Quum ergo concoctionis humorum in iis notas videris, de quibus dictum abunde in libris de crifibus eft, audacter frigidam dabis. Quippe folidarum animalis partium natura roborata praetenuatos jam humores aggreditur, ita ut qui utiles fint, atque ad nutriendum habiles, hos quidem ad fe trahat, inutiles vel per ventrem vel per cutem ejiciat. Quod fi etiam frigidae affuetus aeger fuit, magna cum fiducia frigidam exhibebis, ipfa experientia jam doctus omnia vifcera ejus occurfum familiariter tolerare. Omnino namque fiquod frigidum adeo effet ut ab hac offenderetur, id per fanitatis tempus evidenter offenfam fuam oftendiffet; nulla vero per fanitatem pars quicquam ab hac laefa, nec etiam inter febricitandum quicquam laedetur. Ubi namque nonnulli aquae frigidae *potioni* non affueti, tamen propter ardentem febrem eam bibere coacti, nullum incommodum fenferunt, multo profecto minus eorum qui affueverunt quisquam laedi debet, cui etiam quafi pro munimento maximo accedit ipfa caloris copia. Hic namque quum in vafo-

ρίαις τῶν ἀγγείων πολλὴ περιεχομένη, τῆς ἀερώδους οὐσίας ἐν αὐτοῖς καὶ προσέτι τῶν χυμῶν ἁπάντων ἐκπεπυρωμένων, ὅσον ὑπὸ τοῦ ψυχροῦ πάσχει ψυχομένη, τοσοῦτον εἰς αὐτὸ δρᾷ θερμαίνουσα. καὶ διὰ τοῦτο τοῖς ὀλίγον αἷμα καὶ σάρκας ἔχουσιν ἡ πόσις τοῦ ψυχροῦ σφαλερωτέρα· ταχὺ γὰρ ἐπὶ τὰ στερεὰ τοῦ ζώου μόρια διικνεῖται, μηδενὶ προσεντυγχάνων ὑφ' οὗ θραυσθήσεται. διὰ τοῦτο δὲ καὶ οἱ ἑκτικοὶ τῶν πυρετῶν οὔτ' ἀκραιφνοῦς ὁμοίως οὔτε πολλοῦ χρήζουσι τοῦ ψυχροῦ, λεπτοῖς καὶ ὀλιγαίμοις τοὐπίπαν ἐγγινόμενοι σώμασιν. ἀλλὰ περὶ μὲν ἐκείνων αὖθις εἰρήσεται· ἰάματα δὲ συνόχων πυρετῶν δύο ταῦτ' ἐστὶ μέγιστα, φλεβοτομία καὶ ψυχρόν. [210] ἀλλ' ἐκείνη μὲν ἐν παντὶ καιρῷ, φερούσης γε τῆς δυνάμεως· ἡ δὲ τοῦ ψυχροῦ πόσις, ὅταν μὲν τοῖς σφυγμοῖς καὶ τοῖς οὔροις τὰ τῆς πέψεως ἐναργῆ σημεῖα βλέπῃς, μέγιστος δὲ πυρετὸς εἴη. προσεπιβλέπειν δὲ τοῖς τῆς φλεβοτομίας σκοποῖς τά τε προηγούμενα καὶ τὰ πάντως ἐπακολουθήσοντα. προηγησαμένης γὰρ ἀπεψίας σιτίων, τοσοῦτον χρόνον ἀναβάλλεσθαι κέλευε τὴν φλεβοτομίαν ὅσος

rum cavitatibus plurimus contineatur, utpote tum aërea in his fubftantia tum etiam humoribus omnibus inflammatis quantum a frigido patitur refrigeratus, tamen rurfus calefaciendo in ipfum agit. Ideoque minus tuta iis qui exiguum fanguinem carnemque obtinent frigidae potio eft, celeriter namque ad folidas animalis pervenit partes, nulli quod ejus vim frangat occurrens. Eo etiam fit ut hecticae febres nec puram eam quae prorfus fit gelida, nec multam defiderent, ceu quae extenuatis omnino exiguique fanguinis corporibus incidant. Verum de illis poft agetur. Maxima vero continentium febrium remedia haec duo funt, venae fectio et potio frigida. Verum illa omni tempore, modo vires fuftineant, haec frigidae potio quum et in pulfu et urinis concoctionis evidentes cernuntur notae, febris autem eft maxima. Attendenda vero cum venae fectionis fcopis funt tum quae eam praecedunt, tum vero quae omnino fubfequuntur. Nam fi praecedat ciborum cruditas, tanto tempore differre venae fectionem jubebis quantum fatis-

ἂν ἱκανὸς εἶναί σοι δόξῃ πρός τε τὴν πέψιν αὐτῶν καὶ τὴν τῶν περιττωμάτων ὑποχώρησιν. ἑπομένης δέ τινος ἐξ ἀνάγκης κενώσεως, ἀπολιπεῖν αὐτῇ τοῦ περιττοῦ τοσοῦτον ὅσον μέλλει κενώσειν. ὥστε εἴτε καταμήνια τύχοι κινηθέντα κατὰ τὸν τῆς φλεβοτομίας καιρὸν, εἴτ᾽ αἱμοῤῥοῒς ἀναστομωθεῖσα θεασάμενος τοῦ φερομένου τὴν ὁρμὴν, εἰ μὲν ἱκανὸν αὐτὸ φαίνοιτο μόνον ἐκκενῶσαι τὸ δέον, ἐπιτρέπειν τῇ φύσει τὸ σύμπαν· εἰ δὲ μὴ, τοσοῦτον ἀφαιρεῖν αὐτοῦ, ὡς ἐξ ἀμφοῖν συντεθέντων ἀνυσθῆναι τὸ προσῆκον. ὥσπερ δ᾽ ἐπὶ τούτων τὴν φυσικὴν κένωσιν αἰσθητὴν οὖσαν οὐ μικρὸν χρὴ τίθεσθαι σκοπὸν, οὕτως ἑτέρωθι τὴν φύσιν ἢ τὴν ἡλικίαν ἢ τὴν κατάστασιν. ἔνιοι μὲν γὰρ εὐδιαφόρητοι φύσει, παῖδες δ᾽ ἀεὶ διὰ τὴν ἡλικίαν· ἡ κατάστασις δ᾽ ὅταν ᾖ θερμή τε ἄγαν καὶ ξηρά. καλῶ δὲ δηλονότι κατάστασιν τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσιν, ἐν ᾗ καὶ χώρα καὶ ὥρα περιείληπται· καὶ γὰρ καὶ τούτων ἑκάτερον ἔχει τὴν ἔνδειξιν ἐκ τῆς τοῦ περιέχοντος κράσεως. εὐδια-

facere tum ad eorum concoctionem, tum ut excrementa descendant videbitur. Sin fequetur neceffario vacuatio quaepiam, tantum illi de eo quod fuperfluum eft relinquendum, quantum eft per eam vacuandum. Itaque fi tempore mittendi fanguinis menfes moveri contingat, five etiam haemorrhois fit reclufa, fi infpectus fluentis impetus fatis fore videbitur, qui folus quod requiris vacuet, naturae rem omnem permittes, fin minus, tantum ipfe detrahes, quo ex conjunctis ambobus perficiatur quod poftulas. Veluti autem in his ad ipfam naturalem vacuationem, quae fenfu ufurpetur, non leviter attentum effe oportet, ita alibi vel ad naturam ipfam vel aetatem vel coeli ftatum. Sunt enim nonnulli ad discutiendos corporis humores natura propenfi, pueri certe propter aetatem perpetuo; coeli vero ftatus ubi calidus nimium eft et ficcus. Voco ftatum ipfum ambientis nos aëris temperamentum, fub quo et anni tempus et regio comprehenditur, etenim et horum utrumque ex ambientis temperie indicationem mutuatur. Propenfi autem

φόρητοι δ᾽ εἰσὶν οἱ ὑγροὶ τὴν φύσιν ἅπαντες καὶ μᾶλλον ἅμα θερμότητι, καὶ οἱ ἀραιοὶ τὴν ἕξιν, ἔτι δ᾽ οἷς τὸ στόμα τῆς γαστρὸς ἢ πικρόχολον, ἢ ἄῤῥωστον, ἢ πέρα τοῦ δέοντος αἰσθητικόν. οὗτοι μὲν οὖν οἱ ἀντιπράττοντες τῇ φλεβοτομίᾳ σκοποί. συνενδεικνύμενοι δ᾽ αὐτὴν τῇ πρώτως χρηζούσῃ διαθέσει, σκληρὰ μὲν ἡ ἕξις καὶ πυκνὴ καὶ τὸ σύμπαν φάναι δυσδιαφόρητος· ὑγρὸν δὲ ἢ ψυχρὸν τὸ περιέχον. εὐλόγως δήπου τὰ μὲν συνενδείκνυται τὴν φλεβοτομίαν, τὰ δὲ ἀντενδείκνυται· κένωσις μὲν γὰρ αὐτῆς ὁ σκοπός. τῶν δ᾽ εἰρημένων τὰ μὲν ἐπέχει τὰς διαπνοὰς, τὰ δὲ προτρέπει· καὶ τὰ μὲν εὐκένωτά ἐστι, τὰ δὲ οὔ. κωλύει μὲν οὖν διαπνεῖσθαι τὰ σώματα στέγνωσίς τε τῶν πόρων καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος ὑγρότης τε καὶ ψύξις, προτρέπει δὲ τὰ τούτων ἐναντία. τῶν κενουμένων δ᾽ αὐτῶν τὰ μὲν ὑγρὰ καὶ θερμὰ καὶ λεπτὰ διαφορεῖται τάχιστα, τὰ δὲ παχέα καὶ γλίσχρα καὶ ψυχρὰ δυσδιαφόρητά ἐστι. ταυτὶ μὲν οὖν εἴς γε τὰ παρόντα περὶ φλεβοτομίας

ad digerendos corporis fuccos funt quicunque natura funt humidi, magisque fi accedat caliditas; praeterea qui raro corporis funt habitu, ad haec quibus os ventris aut amara bile abundat aut imbecillum eft aut fupra modum fenfile. Atque hi quidem fcopi funt qui fanguinem detrahendum dehortantur. Contra poftulant una cum affectu, cujus caufa primum requirebatur, habitus durus denfusque, et uno verbo, qui haud facile discutit, tum ambiens humidus frigidusque. Sane merito quaedam fanguinem mittendum adhortantur, quaedam dehortantur, vacuatio namque phlebotomiae fcopus eft. At eorum quae comprehenfa funt quaedam transpirationes morantur, quaedam promovent, et quaedam ad vacuandum prompta funt, quaedam fecus. Sane transpirationem corporum prohibent tum meatuum ftipatio tum circumdantis nos aëris humiditas et frigiditas, contra promovent ea quae his funt contraria. Eorum autem quae vacuantur, quae calida humidaque ac tenuia funt, ea celerrime discutiuntur; contra quae craffa, glutinofa et frigida funt, aegre transpirant. Atque haec quidem ad rem

τε καὶ ψυχρᾶς πόσεως ἐγνῶσθαι κάλλιον. ἅπερ ἀμφότερα πολλοὺς ἐθεάσω δεδιότας ἀγυμνάστους ἰατρούς· ὧν τοὺς μὲν αἱμοφόβους, τοὺς δὲ ψυχροφόβους ὀνομάζομεν, ὥσπερ ὑδροφόβους τοὺς λυττῶντας· εἰσὶ γὰρ ἀμέλει καὶ τούτων ἔνιοι διὰ τὴν περὶ τὰ δόγματα σπουδὴν οὐκ ἐν βραχείᾳ λύττῃ. καταλιπόντες οὖν αὐτοὺς ἐχώμεθα τῶν ἐξ ἀρχῆς ἡμῖν προκειμένων ἀναμνησθέντες, ὡς ἐκ τῶν ἐφημέρων πυρετῶν ὁ λόγος εἰς τοὺς συνόχους ἀφίκετο τῇ κοινωνίᾳ τῶν συμβαινόντων αὐτοῖς. ἐπειδὴ γὰρ ἡ τῆς ἐμφράξεως διάθεσις, ὅταν μὲν αὐτή τε σμικρὰ τύχοι καὶ καλῶς παιδαγωγηθῇ, τὸν ἐφήμερον ἐργάζεται πυρετόν. ὅταν δ' ἤτοι διὰ μέγεθος ἢ διὰ ἀμαθίαν ἰατρῶν ἐκπέσοι τοῦ συνήθους χρόνου τῶν ἐφημέρων, ἤτοι σύνοχον ἤ τινα τῶν περιοδιζόντων, εἰκότως [211] ὁ περὶ τοῦ τοῖς ἐφημέροις ὁμογενοῦς συνόχου λόγος ἡμᾶς ἐξεδέξατο· διὰ δὲ τούτων εὐθέως καὶ ὁ τοῦ μετὰ σήψεως χυμῶν. ἔδοξέ τε βέλτιον εἶναι σαφηνείας ἕνεκα καὶ

propofitam de miffione fanguinis ac frigidae aquae potione non ignoraffe expedit. Quarum utramque metuentes non paucos medicos vidifti utique imperitos, quorum alteros haemophobos, *id eft fanguinis mittendi timidos,* alteros pfychrophobos, *id eft frigidae exhibendae formidantes,* nominamus, ficut qui a rabido cane funt morfi hydrophobos; funt enim procul dubio horum quoque aliqui prae dogmatis fui ftudio non levi in rabie. Ergo relictis his quod initio inftitutum nobis fuerat profequamur, ad memoriam revocantes, quemadmodum fermo nofter occafione communium quorundam in ipfis acicdentium a diariis venit ad continentes. Quoniam enim obftructionis affectus, quum et ipfa exilis eft et rite curatur, diariam febrem efficit; quum vero vel propter magnitudinem vel medici infcitiam confuetum diariarum tempus exceffit, aut continentem aut aliquam earum quae certis circuitibus repetunt, merito nos de ea quae diariis cognata eft continenti febre disputatio excepit, propter has vero protinus et de hac quae cum putredine humorum erat. Vifumque fatius eft vel claritatis vel ex-

γυμνασίας ἑνὸς ἀῤῥώστου μνημονεῦσαι καθ' ἑκάτερον εἶδος τῶν πυρετῶν.

Κεφ. ϛ'. Ἐπεὶ τοίνυν πέπρακται τοῦθ' ἡμῖν, ἐναργῶς τε δέδεικται δι' αὐτῶν, ὅπερ ἐν τῷ πρὸ τούτου γράμματι κατὰ τὴν τελευτὴν ἐλέχθη, τὸ χρῆναι τὰς ἐνδείξεις ἐπὶ τῶν ἄλλων πυρετῶν, ὅσοι μηκέτ' εἰσὶν ἐφήμεροι, μὴ μόνον ἀπὸ τῶν ἐν ἐκείνῳ τῷ λόγῳ διδαχθέντων σκοπῶν, ἀλλὰ καὶ τῆς τῶν πυρετῶν ἐργαζομένης αἰτίας καὶ τῆς τοῦ κάμνοντος δυνάμεως λαμβάνεσθαι, πάλιν ἐπὶ τὴν καθόλου γυμνασίαν ἀνέλθωμεν, εὖ εἰδότες ὡς οὐχ οἷόν τ' ἐστὶ τέχνης οὐδεμιᾶς ἐπιστήμην κτήσασθαι χωρὶς τοῦ μέθοδον μέν τινα διὰ τῶν καθόλου λεγομένων θεωρημάτων, ἄσκησιν δὲ διὰ τῶν ἐν μέρει λαμβάνειν παραδειγμάτων. οὔτε γὰρ οἷόν τε χωρὶς τοῦ γυμνάσασθαι πολυειδῶς ἐν τοῖς κατὰ μέρος ἐπὶ τῶν καμνόντων, ἃ χρὴ πράττειν· οὔτ' αὐτὴν τὴν γυμνασίαν ἐγχωρεῖ γίγνεσθαι προσηκόντως ἄνευ τῆς τοῦ καθόλου γνώσεως· ἐν ἐκείνοις μὲν γὰρ ἡ μέθοδος, ἡ δ' ἄσκησις ἐν τοῖς κατὰ μέρος. ὥσπερ οὖν ὅσοι βαδίσαι τινὰ ὁδὸν ἐφίενται τοῖς σκέλεσιν ἀμφοτέροις ἐν

ercendi legentis cauſa unius aegroti in utroque ſebrium genere mentionem facere.

Cap. VI. Igitur quoniam haec nobis peracta ſunt, ac per ea demonſtratum evidenter eſt, id quod in praecedenti hunc libro ad calcem eſt dictum, oportere in aliis ſebribus, quae amplius diariae non ſint, non modo ab iis ſcopis qui in illo libro praecipiantur, faciendorum indicationes peti, ſed etiam a cauſa ſebrem efficiente, ac laborantis viribus, ad univerſalem denuo exercitationem revertamur, pro comperto habentes non licere ullius artis ſcientiam nanciſci, niſi et methodum quandam habueris per univerſalia vocata theoremeta et in particularibus te exemplis exercueris. Quum neque ſieri poſſit ut ſine multiplici in aegris ſingulatim exercitatione quod ex uſu ſit facias, nec ſine univerſalium cognitione probe exercitatio procedat; quippe quum in univerſalibus methodus, in particularibus exercitatio conſiſtat. Tanquam igitur qui iter aliquod ingredi ſtudent utroque

μέρει χρῶνται, θατέρῳ δ᾽ εἴ τις σκάζων μόνῳ χρῷτο, παμπόλλῳ τε χρόνῳ καὶ μετὰ τοῦ σφάλλεσθαι πολλάκις ἀνύσει τὴν πορείαν, οὕτως ὅστις ἐπὶ τέλος ἡστινοσοῦν ἀφικέσθαι τέχνης ἐθέλει, χρηστέον αὐτῷ τοῖς δύο τούτοις οἷόν περ σκέλεσιν ἢ ὀργάνοις ἢ ὅπως ἄν τις ὀνομάζειν βούληται· μεθόδῳ μὲν ἐν τοῖς καθόλου θεωρήμασιν, ἀσκήσει δ᾽ ἐν τοῖς κατὰ μέρος.

Κεφ. ζ΄. Ἀνελθόντες οὖν αὖθις ἐπὶ τὴν μέθοδον ὑπὲρ τῆς τοῦ κάμνοντος ἐπισκεψώμεθα δυνάμεως, εἴτε συντελεῖ τι πρὸς τὴν θεραπείαν, εἴτ᾽ οὐδὲν ὅλως, ὡς ἔδοξέ τισιν. ἔοικε δὲ τοῖς ἄχρηστον εἰς θεραπείας εὕρεσιν εἶναι φαμένοις τὴν δύναμιν οὐκ οἰκεία τοῖς ἔργοις τῆς τέχνης ἡ σκέψις, ἀλλὰ λογικωτέρα μᾶλλον, ὡς σοφισταῖς γεγονέναι. λέγουσι μὲν γὰρ ἐκ τῆς διαθέσεως ἣν θεραπεύομεν εἶναι τὴν ἔνδειξιν (134) ὧν χρὴ πράττειν, οὐκ ἐκ τῆς δυνάμεως. ἀμέλει καὶ ὥρας καὶ χώρας καὶ καταστάσεις καὶ ἡλικίας καὶ ἔθη καὶ κράσεις σωμάτων ἀχρήστους εἶναί φασι κατὰ τὸν αὐτὸν λόγον. εἶθ᾽ ὅταν ἀναγκάζονται τὴν θεραπείαν ἐξαλλάττειν, διὰ ταῦτα τῶν ἐν ἀρχῇ ῥηθέντων ἑαυτοῖς ἐπιλανθανόμενοι, τὰ μὲν αὐτῶν ἀν-

invicem utuntur crure, qui altero claudus eft uno duntaxat utitur, et longo fpatio et faepe errans viam peragit, ita fane et qui finem cujuslibet artis confequi parat, duabus his velúti cruribus vel inftrumentis vel quomodocunque appellaffe libet, uti debebit, in univerfalibus theorematis methodo, in particularibus exercitatione.

Cap. VII. Reverfi igitur rurfus ad methodum, nunc age de aegrotantis agamus viribus, conferantne ad curationem hae quippiam an plane nihil, ceu nonnullis eft vifum. Videtur tamen eorum qui inutiles vires effe ad curationem inveniendam dicunt non propria operum artis disceptatio effe, fed logica potius ac fophiftarum. Ajunt enim ab eo quem curamus affectu faciendorum indicationem praeftari haudquaquam a viribus. Ergo et anni tempus et regionem et ftatum coeli et aetatem et confuetudinem et corporum temperamenta inutilia effe eadem ratione dicunt. Poftea quum mutare curationem propter haec coguntur, immemores eorum quae inter initia dixerant, quaedam eorum

τενδείκνυσθαί φασιν ἐνίοτε τοῖς θεραπευτικοῖς σκοποῖς, τὰ δ' εἰς ὕλας βοηθημάτων εἶναι χρήσιμα, καθάπερ καὶ τὰ μόρια τοῦ ζώου. καὶ γὰρ ἐπ' ἐκείνων τὴν αὐτὴν στρέφονται στροφὴν, ἐν ἀρχῇ μὲν τῶν λόγων ἄχρηστα πρὸς τὴν τῆς θεραπείας εὕρεσιν ὑπάρχειν αὐτὰ φάσκοντες, ὕστερον δ' ὅτ' ἂν ἐξελέγχωνται, πρὸς μὲν τὴν ἔνδειξιν τῆς θεραπείας ἄχρηστα λέγοντες, εἰς δὲ τὴν τῆς ὕλης ἐξαλλαξιν, ἢ εὕρεσιν, ἢ διαφορὰν, ἢ ποιότητα, καὶ γὰρ καὶ ὀνομάζουσιν οὐχ [212] ὡσαύτως ἅπαντες, ἀναγκαῖα συγχωροῦντες ὑπάρχειν. ὅπερ οὖν εἶπον ἀρτίως, ἀναλήψομαι καὶ νῦν, ὡς ἐκ τοῦ χρησίμου τῆς τέχνης μεταβαίνοντες εἰς λογικὴν ἀφικνοῦνται σκέψιν. ἔστι μὲν γὰρ τὸ χρήσιμον ἐξευρεῖν βοηθήματα δι' ὧν ὁ κάμνων θεραπευθήσεται· καταλιπόντες δ' ἐκεῖνοι τοῦτο περὶ ὀνομάτων ἐρίζουσιν, ἐνδείξεις τε καὶ ἀντενδείξεις λέγοντες καὶ κοινότητας καὶ σκοποὺς καὶ ὕλας βοηθημάτων, ὅσα τ' ἄλλα τοιαῦτα τῇ διαφορᾷ τῶν ὀνομάτων ἀπολογεῖσθαι νομίζοντες, ὑπὲρ ὧν ἀπεφήναντο ψευδῶς. ἐγὼ δ' οὐ κωλύω μὲν αὐτοὺς ὀνόμασιν οἷς ἂν ἐθέλωσι χρῆσθαι· μεμνῆσθαι δὲ ἀξιῶ τῶν ἐξ ἀρχῆς

contraria aliquando indicare ajunt curativis fcopis, quaedam ad praefidiorum materias effe utilia, quemadmodum et animalis partes. Etenim in illis quoque eadem verfantur ftropha, in principio fermonis inutiles eas effe ad curationis inventionem afferentes; poft ubi redarguuntur, ad curationis quidem indicationem inutiles dictitantes, ad materiae tamen mutationem vel inventionem vel differentiam vel qualitatem, non enim nominant eodem omnes modo, neceffarias effe fatentes. Itaque quod modo dixi, nunc quoque repetam, quod egreffi ex eo quod in arte eft utile, in logicam disceptationem veniunt. Eft namque *artis* utilitas auxilia quibus aeger fanetur invenire, quo illi relicto de nominibus litigant, indicationes et indicationum contradictiones vocantes, item communitates et fcopos et auxiliorum materias aliaque fimilia *loquentes*, hac nominum diverfitate excufaffe fe pro iis quae falfo affirmaverant arbitrantes. Ego vero minime ipfos prohibeo nominibus quibus libitum fit uti; meminiffe tamen eos velim eorum

Ed. Chart. X. [212.] Ed. Baf. IV. (134.)

προτεθέντων, ἅπερ ἐστὶ βοηθημάτων εὑρέσεις· εἰς ἃς ὅ τι περ ἂν φαίνηται συντελοῦν ὁπωσοῦν ἀναγκαῖον αὐτὸ φατέον εἰς τὴν θεραπείαν ὑπάρχειν. οὕτως οὖν καὶ ἡ δύναμις εἴτ' ἀναγκαία σκοπεῖσθαι τοῖς ἰατροῖς ἐπὶ τῶν ἀῤῥωστούντων εἴτ' οὐκ ἀναγκαία σκοπῶμεν. ἐγὼ μὲν γάρ φημι πολλάκις ἀναγκαιοτάτην ὑπάρχειν αὐτὴν, ὡς πάντα σχεδόν τι τὰ περὶ τὸν κάμνοντα δι' ἐκείνην πράττεσθαι μόνην, ἔστι δ' ὅτε μετρίως ἀναγκαίαν, ὡς λαμβάνεσθαι μέν τι καὶ ἐξ αὐτῆς εἰς τὰ ποιητέα, μὴ μέντοι πρὸς αὐτήν γε τὸ πᾶν κῦρος ἀναφέρεσθαι τῶν πρακτέων. αὖθις δ' ἄν σοι δείξαιμι τὴν δύναμιν οὕτω βραχὺ συντελοῦσαν εἰς τὴν τῶν βοηθημάτων εὕρεσιν, ὡς διὰ σμικρότητα καὶ λανθάνειν ἐνίοτε καὶ παραπέμπεσθαι καὶ σιωπᾶσθαι, καθάπερ ὅλως οὐκ οὖσαν ἐκ τῶν χρησίμων σκοπῶν. ἀλλ' ὅπερ ἐπὶ τῆς δυνάμεώς ἐστι, τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ὑπάρχει τῶν ἐνδεικνυμένων. ἄλλοτε γὰρ αὐτῶν ἄλλο τὸ μὲν ἧττον δύναται, τὸ δὲ πλέον· ἐνίοτε δὲ οὕτως ἰσχυρόν ἐστιν ὡς μόνον ἐνδείκνυσθαι δοκεῖν, ἢ οὕτως ἀσθενὲς ὡς παραλείπεσθαι.

quae ab initio propofuerunt, quae funt auxiliorum inventiones, ad quas quicquid conducere quo modo libet videbitur, id fatendum eft ad curationem effe neceffarium. Sic igitur et virtus neceffariane confideratu in aegris a medico fit an non neceffaria indagemus. Ego enim faepe maxime effe neceffariam ajo fic, ut quae circa aegrum adminiftrantur omnia ferme ejus unius caufa fiant, aliquando mediocriter neceffariam fic, ut aliquid ex hac quoque ad ea quae facienda funt confilii petatur, non tamen praecipua faciendorum ratio huc omnis referatur. Poffum rurfus oftendere tibi virtutem adeo exiguam ad invenienda remedia conferre, ut propter exilitatem etiam lateat; alias vero praetermitti ac filentio praeteriri, quafi prorfus ex utilibus fcopis non fit. Verum quod accidit in virtute, id in reliquis omnibus quae aliquid faciendum indicant ufu venit. Nam aliquando aliud eorum alio minus aut plus valet, aliquando adeo eft valens ut folum indicare videatur, aut ita imbecillum ut omittatur.

Κεφ. η΄. Ταῦτ᾽ οὖν ἐπιδεικνύντι μοι πρόσεχε τὸν νοῦν, ἐκεῖνο διὰ μνήμης ἔχων ὡς οὔτ᾽ ἐν ἄλλοις τισὶ τὸ μεθόδῳ θεραπεύειν ἐστὶν οὔτ᾽ ἄλλος τις πρὸ ἡμῶν διωρίσατο πάνθ᾽ ἑξῆς αὐτὰ, καίτοι γε ὑφ᾽ Ἱπποκράτους εὑρημένης τῆς ὁδοῦ. ταυτὶ γὰρ ἃ νῦν ἐγὼ μέλλω διέρχεσθαι τὴν θεραπείαν ἐνδεικνύμενα πρῶτος ἁπάντων ἐκεῖνος ἔγραψεν· ἀλλ᾽ ὡς ἂν πρῶτος εὑρίσκων οὔτε τὴν προσήκουσαν ἅπασιν ἐπέθηκε τάξιν οὔτε τὴν ἀξίαν ἑκάστου τῶν σκοπῶν ἀκριβῶς ἀφωρίσατο, παρέλιπέ τέ τινας ἐν αὐτοῖς διορισμοὺς, ἀσαφῶς τε τὰ πλεῖστα διὰ παλαιὰν βραχυλογίαν ἑρμήνευσε. καὶ δὴ καὶ περὶ τῶν ἐπιπεπλεγμένων διαθέσεων ὀλίγιστα παντάπασιν ἐδίδαξε. συνελόντι δὲ φάναι τὴν ἐπὶ τὰς ἰάσεις ὁδὸν ἅπασαν μέν μοι δοκεῖ τέμνεσθαι, δεομένην μέντοι γ᾽ ἐπιμελείας εἰς τὸ τέλεον, ὥσπερ καὶ νῦν ὁρῶμεν ἐνίας τῶν ἐπὶ τῆς γῆς ὁδῶν τῶν παλαιῶν ἢ πηλῶδές τι μόριον ἑαυτῶν, ἢ λίθων, ἢ ἀκανθῶν πλῆρες, ἢ λυπηρῶς ὄρθιον, ἢ κάταντες σφαλερῶς, ἢ θηρίων πλῆρες, ἢ διὰ μέγεθος ποταμῶν δύσβατον, ἢ μακρὸν, ἢ

Cap. VIII. Haec igitur dum doceo adfis animo velim, illud habens in memoria, quod nec in aliis ullis curatio quae per methodum agitur confiftit, nec alius ante nos quisquam omnia ea ordine definivit, quamquam etiam ab Hippocrate via eft inventa. Haec enim ipfa quae ego nunc enarraturus fum, ille curationem indicare primam omnium fcripfit; verum ceu primus inventor nec debitum omnibus ordinem dedit, nec cujusque fcopi dignitatem ad unguem finivit, et quasdam in ipfis diorismos omifit, obscureque plurima pro antiqua dicendi brevitate eft interpretatus. Praeterea de complicatis affectibus pauciffima omnino praecepit. Ac ut breviter dicam, omnem ad medicationem viam aperuiffe mihi videtur, fed tamen quae curam diligentiamque ad abfolutionem defideret, veluti nunc quoque videmus quasdam veterum in terris viarum, quibus pars quaepiam eft vel lutofa vel lapidibus fentibusve impedita, vel molefte ardua vel periculofe prona vel feris obfeffa, vel propter magnitudinem fluminum invia vel longa vel afpera.

Ed. Chart. X. [212. 213.] Ed. Baf. IV. (154.)

τραχὺ κεκτημένας. ἀμέλει ταῦτ' ἐχούσας ἁπάσας τὰς ἐπὶ τῆς Ἰταλίας ὁδοὺς ὁ Τραϊανὸς ἐκεῖνος ἐπηνωρθώσατο, τὰ μὲν ὑγρὰ καὶ πηλώδη μέρη λίθοις στρωννὺς, ἢ ὑψηλοῖς ἐξαίρων χώμασιν, ἐκκαθαίρων δὲ τά τε ἀκανθώδη καὶ τραχέα καὶ γεφύρας ἐπιβάλλων τοῖς δυσπόροις τῶν ποταμῶν· ἔνθα δ' ἐπιμήκης οὐ προσηκόντως ὁδὸς ἦν, [213] ἐνταῦθα σύντομον ἑτέραν τεμνόμενος· ὥσπερ καὶ εἰ δι' ὕψος λόφου χαλεπὴ, διὰ τῶν εὐπορωτέρων χωρίων ἐκτρέπων· καὶ εἰ θηριώδης ἢ ἔρημος, ἐξιστάμενος μὲν ἐκείνης, ἐφιστάμενος δὲ εἰς τὰς λεωφόρους, ἐπανορθούμενος δὲ καὶ τὰς τραχείας. οὔκουν χρὴ θαυμάζειν εἰ μαρτυροῦντες Ἱπποκράτει τὴν εὕρεσιν τῆς θεραπευτικῆς μεθόδου γράφειν ἐπεχειρήσαμεν αὐτοὶ τήνδε τὴν πραγματείαν. οὐ γὰρ ὡς οὐδ' ὅλως εὑρεθείσης αὐτῆς, ἀλλ' ὡς δεομένης ὧν ὀλίγον ἔμπροσθεν εἶπον, ἐπὶ τήνδε τὴν συγγραφὴν ἧκον οὐδένα τῶν πρὸ ἐμοῦ συμπληρώσαντα τὴν μέθοδον εὑρών. ἔνιοι μὲν γὰρ οὐδ' ἔγνωσαν ὅλως αὐτὴν, ἔνιοι δὲ γνόντες οὐκ ἠδυνήθησαν προσθεῖναι τὸ λεῖπον· εἰσὶ δ' οἳ καὶ κατακρύψαι καὶ συσκιάσαι προείλοντο καὶ ἀφανῆ ποιῆ-

Itaque cum fic fe haberent omnes in Italia viae, eas Traianus ille refecit, quae quidem earum humidae ac lutofae partes erant lapidibas fternens aut editis aggeribus exaltans, quae fenticofae et afperae erant, eas expurgans, ac flumina quae tranfiri non poffent pontibus jungens; ubi longior quam opus erat via videbatur, aliam breviorem excindens; ficubi vero propter arduum collem difficilis erat, per mitiora loca deflectens, jam fi obfeffa feris vel deferta erat, ab illa transferens ac per habitata ducens, tum afperas complanans. Itaque mirari nemo debet, fi, quum viam rationemque medendi ab Hippocrate inventam effe fim teftis, ipfe tamen hoc opus fcribere fum aggreffus. Neque enim ceu ea plane non effet inventa, fed quod quae proxime diximus defideret, ad haec confcribenda venimus, nemine priorum qui eam methodum abfolverit ante me invento; quandoquidem alii omnino eam non noverant, alii quum noffent, non potuerunt tamen quod defuit adjicere; non deerant qui incognitam effe umbraque inductam ac prorfus

σαι παντάπασιν· οἵτινες δ' εἰσὶν οὗτοι προϊόντος ῥηθήσεται τοῦ λόγου. νυνὶ δ' ὅπερ ὑπεσχόμην ἤδη ποιήσω· πάντας ἑξῆς ἐκθήσομαι τοὺς θεραπευτικοὺς σκοπούς.

Κεφ. θ'. Ἀρχὴ δ' αὐτῶν εἰς σαφήνειαν χρήσιμος ἀνάμνησις ὧν ἐν τῷ πρὸ τούτου γράμματι διῆλθον, ὑπὲρ τῶν ἐφημέρων πυρετῶν διαλεγόμενος. ἐφαίνετο γὰρ ἐπ' ἐκείνων ἔνδειξις ἡ πρώτη μὲν καὶ ὡς ἂν εἴποι τις κυριωτάτη τὴν διάθεσιν τοῦ νοσοῦντος ἐκκόπτειν, ὥσπερ ἐπὶ τῶν ὑγιαινόντων ἐδείχθη φυλάττειν. ἀλλ' ὥσπερ τηρεῖται διὰ τῶν ὁμοίων, οὕτως ἀναιρεῖται διὰ τῶν ἐναντίων. συνενδείκνυσθαι δ' ἐλέγομεν εἰς τὴν τῶν ἰαμάτων εὕρεσιν αὐτήν τε τοῦ σώματος τὴν κρᾶσιν ἅμα τοῖς ἔθεσι καὶ τὴν χώραν καὶ τὴν ὥραν καὶ τὴν κατάστασιν. ἐφ' ὧν δὲ νοσημάτων ἐξαίρετός τις ἐν ἑνὶ μορίῳ τοῦ ζώου διάθεσις ἐγένετο, καθάπερ ἐπὶ τῶν ἐγκαύσεων ἐν τῇ κεφαλῇ, λαμβάνεσθαί τινα κἀκ τοῦ μέρους τούτου ἔνδειξιν. οὐ μὴν ἐν ἐκείνῳ γε τῷ γράμματι περὶ τῆς δυνάμεως ἢ τῆς τὴν διάθεσιν ἐργαζομένης αἰτίας εἴρηταί τι, διὰ τὸ τὴν μὲν δύναμιν οὐδεμιᾶς ἐξαιρέτου δεῖσθαι προνοίας ἐν τοῖς

e medio fublatam voluerunt. Ii vero qui fuerint in fermonis progreffu dicetur. Nunc quod promifi aggrediar, omnesque deinceps medendi fcopos exponam.

Cap. IX. Utile autem ad claritatem eorum principium fumetur ex revocatis ad memoriam iis quae in praecedenti libro differuimus, quum de diariis ageretur. Videbatur enim in illis prima ac, ut fic dicam, maxime praecipua faciendorum indicatio effe, quae affectum aegrotantis excidendum fuadet, aeque ut fanorum fervandum monet. Verum hic ficut per fimilia fervatur, ita per contraria perimitur. Conferre praeterea ad indicationem inventionis remediorum diximus tum ipfam corporis temperiem una cum confuetudine tum regionem tum anni tempus tum coeli ftatum. In quibus vero morbis egregius aliquis in una parte animalis affectus fubfifteret, veluti ex adufiione in capite, a parte quoque ipfa aliquam indicationem fumi. De viribus tamen vel caufa affectum efficiente in eo libro nihil eft dictum, propterea quod nec vires in diariis febribus egregiam

Ed. Chart. X. [213. 214.] Ed. Baf. IV. (134.)
ἐφημέροις πυρετοῖς, ὡς ἂν ἐῤῥωμένην τοὐπίπαν· διάθεσίν τε οὐδεμίαν εἶναι τὸν ἀκριβῶς ἐφήμερον πυρετὸν ἤτοι γεννῶσαν ἢ αὐξάνουσαν, ἑκατέρως γὰρ ἐγχωρεῖ λέγειν. ἀλλὰ νῦν γε περὶ πρώτης διελθὼν τῆς δυνάμεως ἑξῆς ἐπὶ τὰς γεννώσας αἰτίας τὸν πυρετὸν ἀφίξομαι τῷ λόγῳ.

Κεφ. ι'. Διοικοῦσι τὸ ζῶον, ὡς ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων ἐπεδείκνυτο, τρεῖς ἑτερογενεῖς ἀλλήλων δυνάμεις, ὥσπερ ἐκ πηγῆς τινος ἰδίας ἑκάστη παντὶ τῷ σώματι διανεμόμεναι. καλεῖ δ' αὐτὰς ὁ Πλάτων ψυχὰς, ἰδίαν ἑκάστης εὑρίσκων τὴν οὐσίαν. ἔστι δ' ἡ μέν τις αὐτῶν εἰς τὸ τρέφεσθαι τὸ ζῶον ἀναγκαία καὶ κοινὴ πρὸς τὰ φυτὰ, τὴν μὲν οἷον πηγὴν ἔχουσα τὸ ἧπαρ, ὀχετοὺς δ' ἐξ αὐτῆς εἰς ὅλον τὸ σῶμα διασπειρομένους τὰς φλέβας· ἣν εἴτ' ἐπιθυμητικὴν, εἴτε φυσικὴν, εἴτε θρεπτικὴν ὀνομάζοις, οὐδὲν διοίσει, καθάπερ οὐδὲ εἰ ψυχὴν ἢ δύναμιν. ἑτέρα δ' οὐ μόνον ὡς φυτοῖς ἡμῖν ἢ ζῶσιν, ἀλλὰ καὶ ὡς ζώοις ὑπάρχουσα ψυχὴ, κατὰ τὴν [214] καρδίαν ἵδρυται πηγή τις οὖσα καὶ ἥδε τῆς ἐμφύτου θερμασίας· ὀχετοὶ δὲ καὶ ταύτης

ullam providentiam requirant, utpote quae omnino validae fint, nec affectus ullus in vera diaria fubfit, qui eam vel gignat vel augeat, nam utroque modo loqui licet. Verum nunc prius de viribus praecipiam, deinde ad caufas quae febrem excitant accedam.

Cap. X. Gubernant animal, ut in *libris* de Hippocratis et Platonis dogmatis eft monftratum, tres diverfi inter fe generis facultates, toti corpori ex fuo quodam veluti fonte quaeque diftributa; eas Plato animas vocat, propriam cujusque fubftantiam inveniens. Eft enim earum quaedam ad nutriendum animal neceffaria, ac cum ftirpibus communis, quae jecur veluti pro fonte habet; canales vero ad hoc in totum corpus fparfos ipfas venas, hanc feu appetitricem feu naturalem feu nutricem voces, nihil intereft, ut nec fi animam aut facultatem. Altera eft quae non modo ut ftirpibus aut vita praeditis, fed etiam ut animalibus nobis anima eft infita; haec fedem in corde habet, ipfo quoque infiti caloris quodam ceu fonte; ab hoc fonte canales arte-

τῆς πηγῆς αἱ ἀρτηρίαι, καλουμένης καὶ αὐτῆς (135) ὀνόμασι πολλοῖς· καὶ γὰρ δύναμις ζωτικὴ καὶ δύναμις θυμοειδὴς καὶ ψυχὴ ζωτικὴ καὶ ψυχὴ θυμοειδὴς ὀνομάζεται. τρίτη δ' ἐν ἐγκεφάλῳ καθίδρυται ψυχὴ λογικὴ, τῶν κατὰ προαίρεσιν ἐνεργειῶν ἅμα ταῖς αἰσθήσεσιν ἐξηγουμένη, χρῆται δὲ μορίοις καὶ ἥδε καθάπερ ὀχετοῖς τισι τοῖς νεύροις, αἴσθησίν τε καὶ κίνησιν ἐπιπέμπουσα δι' αὐτῶν τῷ ζώῳ παντί. τὸ μὲν δὴ ταύτας φυλάττειν τὰς δυνάμεις οὐδὲν ἄλλο ἐστὶν ἢ τὸ φυλάττειν τὴν ζωήν· ἐδείχθη γὰρ ὅπως ἀπολομένης ἡστινοσοῦν ἐξ αὐτῶν μιᾶς ἀναγκαῖόν ἐστι καὶ τὰς λοιπὰς συναπόλλυσθαι. καὶ διὰ τοῦτο κατὰ τὴν ὑγιεινὴν πραγματείαν ὁ σκοπὸς ἡμῖν οὗτος ἦν. ἐπὶ δὲ τῆς θεραπευτικῆς ὁ μὲν πρῶτος σκοπὸς ἀνάλογον τῷ κατὰ τὴν ὑγιεινὴν ἡ τοῦ νοσήματος ἀναίρεσίς ἐστιν· οἷον γὰρ ἐπ' ἐκείνης τὸ φυλάξαι τὴν ὑγείαν ὑπάρχει, τοιοῦτον ἐπὶ ταύτης ἐκκόψαι τὴν νόσον. ἐν δ' ἀμφοτέραις αὐταῖς κοινὸν ἡ φυλακὴ τῆς ζωῆς· ἐπὶ μὲν τῆς ὑγιεινῆς πραγματείας ἑπομένη τῇ φυλακῇ τῆς ὑγείας· ὃ γὰρ ἂν ὑγείας ἕνεκα πράττηται, τοῦτ' εὐθέως ἐστὶ καὶ τῆς ζωῆς φυλακτι-

riae funt, vocaturque haec multis fane nominibus, nam et facultas vitalis et facultas animofa et anima vitalis et anima animofa dicitur. Tertia anima, ratiocinatrix, in cerebro domicilium habet; ea voluntariis actionibus una cum fenfibus praefidet, utitur et haec partibus quibusdam ceu canalibus, *nempe* ipfis nervis fenfum motumque per hos in totum animal transmittens. Ergo has facultates fervare nihil eft aliud quam vitam fervare, fi quidem monftratum eft, qualibet earum amiffa neceffe effe reliquas quoque una perire. Ac propterea in opere de fanitate tuenda fcopus nobis hic erat. In hac vero medendi methodo primus fcopus ei qui in opere de fanitate tuenda proponitur refpondens morbi eft fublatio; nam cujusmodi in illo fanitatis eft tuitio, ejusmodi in hoc eft morbi fublatio. Quorum utrique unum eft commune, ipfa vitae cuftodia, quae in illo de fanitate tuenda opere fanitatis cuftodiam fequebatur, quod enim fecundae valetudinis tuendae gratia geritur, idem ftatim et vitam tue-

κόν· ἐπὶ δὲ τῆς θεραπευτικῆς οὐκέτι, διὰ τὸ τὰ λυτικὰ τῶν παρὰ φύσιν ἐν ἡμῖν διαθέσεων οὐκ ἐξ ἅπαντος φυλάττειν τὴν ζωήν· ἔνια γὰρ ἐξ αὐτῶν ἐστι τοιαῦτα ταῖς δυνάμεσιν, ὥστε ἀμετρότερον ἢ ἀκαιρότερον αὐτοῖς χρησαμένων ἀπόλλυσθαι τὴν ζωήν. ἐπὶ γοῦν τῆς φλεβοτομίας, ἣν ὀλίγον ἔμπροσθεν ἄχρι λειποθυμίας ἐλέγομεν χρῆναι ποιεῖσθαι, χάριν τοῦ σβέσαι τὴν φλόγα τῶν ἐπὶ στεγνώσει συνόχων, οὐ σμικρόν τι τὸ βλάβος εἰκὸς ἀκολουθήσειν, εἰ μὴ κατὰ τὸν προσήκοντα καιρὸν ἢ τὸ δέον ἀποτελεσθείη μέτρον. δύο οὖν ἀνθρώπους ἀπολλυμένους εἶδον ἐν αὐταῖς τῶν ἰατρῶν ταῖς χερσὶ, λειποθυμήσαντας μὲν, ἀνακομισθέντας δ᾽ οὐκέτι. πολλοὶ δὲ εἰ καὶ μὴ παραχρῆμα διεφθάρησαν, ἀλλ᾽ ἐξ ὑστέρου γε διὰ τὸν τῆς δυνάμεως κάματον· οὓς εἴ τις ἐκένωσεν ἄνευ τοῦ καταλῦσαι τὴν δύναμιν, οὐκ ἂν ἀπώλοντο. καὶ μέν γε καὶ εἰς νόσον ἔνιοι μακρὰν ἐξέπεσον, ἐπὶ κενώσεσιν ἀμέτροις ἐκλυθείσης τῆς δυνάμεως. ἄλλοι δ᾽ εἰς τὸν ἐφεξῆς βίον ἅπαντα τὴν κρᾶσιν ὅλην τοῦ σώματος ἔσχον ψυχροτέρον, οὐ δυνηθέντες οὐκέτ᾽ ἀνακαλέσασθαι τὴν ἐκ τῆς ἀμέτρου κενώσεως

tur. At in opere methodi medendi nequaquam propterea quod quae affectiones praeter naturam in nobis discutiunt, ea non omnino vitam custodiant; nam aliqua ejusmodi praedita sunt facultate, ut si immoderate aut intempestive his utare vitam adimant. Siquidem in venae sectione, quam usque ad animi defectum faciendam esse paulo ante diximus, quo flamma in continentibus ex meatuum stipatione febribus extingueretur, non parvum merito subsequetur incommodum, nisi opportuno tempore aut debita mensura fiat. Duos namque in ipsis medicorum manibus perire vidi, qui postquam animo linquerentur nunquam revixerunt. Multi vero etsi non protinus, at postea propter facultatis infirmitatem perierunt, quos si quis citra ejus resolutionem vacuasset, minime periissent. Quin etiam aliqui in morbos inciderunt longos, postquam immodica vacuatione resoluta naturalis facultas fuit. Aliis quum immodicae vacuationis noxam sarcire non potuissent, in omne reliquum vitae tempus totius corporis temperamentum redditum

βλάβην· ἐξ ἧς ψυχρότητος οἱ μὲν ἄχροοί τε καὶ καχέκται καὶ ῥᾳδίως ἐπὶ παντὶ βλαπτόμενοι διετέλεσαν, ἄλλοι δ' ἐξ αὐτοῦ τούτου νοσήμασιν ἑάλωσαν ὀλεθρίοις, ὑδέροις καὶ ὀρθοπνοίαις καὶ ἥπατος ἀτονίαις καὶ γαστρὸς, ἀποπληξίαις τε καὶ παραπληξίαις. εἰς τοσοῦτον οὖν ἀναγκαίας οὔσης τῆς δυνάμεως, ἁπάντων δ' αὐτὴν τῶν κενωτικῶν βοηθημάτων ὅταν ἀμετρότερον αὐτοῖς τις χρήσοιτο βλαπτόντων, ἐναντιούμεναι δηλονότι πρὸς ἀλλήλαις αἱ ἐνδείξεις γίγνονται κατὰ τὰ τοιαῦτα τῶν σωμάτων ἐν οἷς ἡ μὲν διάθεσις ἵνα λυθῇ δεῖται κενώσεως ἀξιολόγου, φέρειν δ' αὐτὴν ἡ δύναμις οὐ δύναται. πολλάκις δ' οὐδὲν ὑπὸ τῆς κενώσεως ἡ δύναμις βλαπτομένη παρορᾶται τοὐντεῦθεν ὑπὸ τῶν ἀσκέπτων τε ἅμα καὶ προπετῶν ἰατρῶν, ὡς οὐδέποτε οὐδὲν ἐνδεικνυμένη. σφάλλονται δὲ, ὡς εἴρηται, διὰ τὸ μὴ γινώσκειν ὡς ἄλλου μέν τινος ἕνεκεν ἡ δύναμις σκοπὸς τῶν ποιητέων ἐστὶν, εἰς δὲ τὴν λύσιν τῆς διαθέσεως οὐδὲν ἐνδείκνυται. ὥσπερ οὖν ἐπὶ τῶν ὑγιαινόντων ἕπεται διὰ παντὸς τοῖς ἕνεκα τῆς ὑγείας πραττομένοις καὶ οὐδέν ἐστιν εὑρεῖν τὸ φυλακτικὸν ὑγείας

eſt frigidius, ex qua refrigeratione facile ex quavis occaſione laeſi, alii decolorati ac malo corporis habitu vixerunt, alii ex eo ipſo in morbos deciderunt exitiales, aquam inter cutem et orthopnoeam et jecinoris ac ventriculi imbecillitatem et apoplexiam et paraplexiam. Ergo quum vires tantopere neceſſariae ſint, eas autem laedant omnia vacuantia remedia, quum quis iis immoderatius utatur, utique adverſae inter ſe indicationes in talibus corporibus ſunt, in quibus aſſectus quo expugnetur, notabilem vacuationem deſiderat, vires autem hanc ferre non valent. Verum quum ſaepe ex vacuatione vires laedantur, hinc ſumitur inconſideratis et temerariis medicis occaſio, ut eas praetermittant ceu nusquam quicquam indicent. Falluntur autem, ut dictum eſt, propterea quod non intelligunt alterius cujusdam rei cauſa vires eſſe ſpectandas, nec quicquam ad affectum amovendum indicare. Tanquam igitur in iis qui valent ſemper ea comitatur quae ſanitatis gratia adminiſtrantur, nec eſt quicquam

ἀναιρετικὸν τῆς δυνάμεως, οὕτως ἐπὶ τῶν νοσούντων ἐνίοτε μὲν ἕπεται τοῖς ὡς πρὸς τὴν λύσιν αὐτοῦ πραττομένοις, [215] ἐνίοτε δ᾽ ἀναιρεῖται πρὸς αὐτῶν. εἰ μὲν γὰρ ὀλίγον τῆς δυνάμεως εἴη τὸ πλῆθος ἰσχυρότερον, ἐπὶ ταῖς συμμέτροις κενώσεσιν οὐ μόνον οὐδεμία βλάβη τῆς δυνάμεως, ἀλλὰ καὶ ὠφέλεια μεγίστη γίνεται τοῦ βαρύνοντος αὐτὴν ἀρθέντος. εἰ δ᾽ ἵνα μὲν ἡ διάθεσις ἰαθῇ, πολλὴ χρεία τῆς κενώσεως εἴη, καταλύοιτο δὲ ὑπὸ τῆς τοσαύτης ἡ δύναμις, οὐ μόνον αὖ πάλιν οὐδὲν ὀνήσεται πρὸς αὐτῆς ὁ ἄνθρωπος, ἀλλὰ καὶ κινδυνεύσει τὰ μέγιστα. κατὰ μὲν οὖν τοὺς ἐπὶ στεγνώσει συνόχους ἰσχυρᾶς οὔσης ὡς τὰ πολλὰ τῆς δυνάμεως ἀκίνδυνος ἡ κένωσις, ἐν ἑτέροις δὲ νοσήμασιν ἐσχάτως ἐστὶ κινδυνώδης, οἷον ἐπὶ τῆς διαφθορᾶς εἰ τύχοι τῶν χυμῶν· ἐν καιρῷ γὰρ ἂν εἴη μνημονεύειν αὐτῆς ὑπὲρ τοῦ καὶ τοὺς τῆς φλεβοτομίας ἅπαντας σκοποὺς ἐν τούτῳ τῷ βιβλίῳ διορίζειν. τὸ τοίνυν διεφθαρμένον ἀλλότριόν ἐστι τῇ φύσει, τὸ τοιοῦτον δ᾽ ἐνδείκνυται τὴν ἄρσιν. ἐὰν οὖν ἡ διαφθορά ποτε μετὰ δυνάμεως ἀσθενοῦς συμπέσῃ, μάχεται τῆς διαθέσεως τὸ βοή-

invenire quod fanitatem tueatur, quod idem vires tollat, fic in aegrotantibus aliquando iis fuccedit quae veluti in perniciem ejus adminiftrantur, aliquando ab ipfis folvitur. Si namque abundantia paulo viribus fuperior fuerit, utique ex moderata vacuatione adeo nullum accedit viribus incommodum, ut etiam maximum comparetur commodum, quod eas premebat fublato. Sin quo affectus fanetur multa vacuatione eft opus, refolvantur autem ex tanta inanitione vires, non modo rurfus homini non proderint, fed etiam maximum illi periculum afferent. Itaque in iis continentibus febribus, *quae* ex ftipatione *meatuum accenduntur*, quoniam validae plerumque vires funt, citra periculum vacuatio eft; in aliis vero morbis maxime eft periculofa, ut fi forte incidit in corruptela humorum, de qua tempeftivum eft mentionem facere, quo omnes mittendi fanguinis fcopos in hoc libro decidamus. Ergo quod corruptum eft, id alienum a natura eft, quod tale eft, id fui ablationem indicat. Si igitur cum viribus imbecillis corruptela interdum incidat,

θημα τῇ φυλακῇ τῆς δυνάμεως. ἡ μὲν γὰρ διάθεσις ἐνδείκνυται τὴν κένωσιν ἤτοι διὰ φλεβοτομίας ἢ καθάρσεως· οὐδετέραν δ' αὖ ἡ ἄῤῥωστος οἴσει δύναμις. ἐπεὶ τοίνυν ἐν ἁπάσαις ταῖς τοιαύταις μάχαις ἄπορος ἡ βοήθεια γίνεται, ποτὲ μὲν ὅλως ἀνίατος ἡ διάθεσις ἔσται, ποτὲ δὲ ἐν χρόνῳ καὶ μόγις ἰατροῦ μεγάλου τυχοῦσα δύναιτ' ἂν ἰαθῆναι. χρὴ γὰρ δηλονότι κατὰ τὰς τοιαύτας ἐναντιώσεις τῶν ἐνδείξεων κατὰ βραχὺ μὲν ἐκκενοῦν τὸ μοχθηρὸν, κατὰ βραχὺ δ' ἀντ' αὐτοῦ τὸ χρηστὸν ἐντιθέναι. καλεῖται δ' ἐπίκρασις ὑπὸ τῶν ἰατρῶν ἡ τοιαύτη θεραπεία τῆς κακοχυμίας.

Κεφ. ια'. Μέμνησο δέ μοι πρὸς τὰ μέλλοντα καὶ τοὺς τῆς φλεβοτομίας σκοπούς. ἐπειδὴ γὰρ αἵματός ἐστι κένωσις ἡ φλεβοτομία καὶ χρηστὸν τῇ φύσει τὸ αἷμα, χρὴ δήπου καλῶς αὐτὴν γίγνεσθαι τὸ ἄχρηστον τῇ φύσει κενοῦσαν. ἄχρηστον δὲ γίγνεται τῇ φύσει τὸ αἷμα διττῶς· ἢ τὸ μὴ φυλάττον ἀκριβῶς τὴν ἑαυτοῦ ποιότητα, μηδὲ τρέφειν ἔτι δυνάμενον ὡς πρόσθεν χρηστὸν ἢ τὸ πλῆθος τοσοῦτον γενόμενον, ὡς ἤτοι βαρύνειν τὴν δύναμιν, ἢ τείνειν, ἢ ῥήσσειν, ἢ ἐμφράττειν

affectus remedium cum virium conſervatione pugnat. Siquidem affectus vacuationem indicat, vel vena inciſa vel purgatione, harum autem neutram ferent imbecillae vires. Quoniam igitur in omnibus ejusmodi repugnantiis incerta ſuccurrendi ratio eſt, alias inſanabilis omnino affectus relinquetur, alias tempore et vix magnum nactus medicum ſanari poterit. Oportet namque ubi indicationes ita ſibi adverſantur, et paulatim quod vitioſum eſt vacuare, et paulatim invicem quod ſalubre eſt pro eo reponere. Vocant medici ejusmodi vitioſi ſucci curationem epicraſin.

Cap. XI. Memineris vero mihi ad ea quae dicenda ſunt, etiam venae ſectionis ſcopos. Nam quoniam ſanguinis eſt vacuatio phlebotomia et ſanguis utilis naturae, utique probe hanc fieri oportet, ut inutilem naturae evacuet. Fit autem ſanguis naturae inutilis bifariam, vel quum propriam qualitatem ad unguem non ſervat, nec amplius nutrire ſicut prius, quum utilis eſſet, poteſt, vel ita multitudine crevit ut aut vires premat aut tum

τάς τε ἀρτηρίας καὶ τὰς φλέβας. ἐν τούτοις μὲν ἡ φλεβοτομία χρήσιμος, ὡς ἕν τι καὶ αὐτὴ τῶν κενωτικῶν βοηθημάτων· ἐν ἑτέροις δ᾽ ὡς ἀντισπαστικὸν ἢ παροχευτικὸν, ὅταν ὁρμὴν χυμῶν σφοδροτέραν ἤτοι γε εἰς τοὐναντίον ἀντισπάσωμεν δι᾽ αὐτῆς, ἢ παροχετεύσωμεν εἰς τὰ πλάγια. δεῖται δ᾽ ἀεὶ δυνάμεως ἰσχυρᾶς ἐξαρκούσης τῷ ποσῷ τῆς κατ᾽ αὐτὴν κενώσεως. ἐκ τούτων οὖν τῶν σκοπῶν ἐνίοτε μὲν ἅπαξ ἀφαιροῦμεν αἵματος ἐνίοτε δὲ δὶς ἢ τρὶς ἢ πλεονάκις ὡς κἀν τοῖς ἑξῆς ἔσται δῆλον. ἐν δὲ τῷ παρόντι τοῦθ᾽ ἡμῖν δέδεικται σαφῶς ὅτι τῶν κενωτικῶν βοηθημάτων ἐνίοτε μὲν ἀλύπως ἡ δύναμις ἀνέχεται, μήτε ὀνιναμένη πρὸς αὐτῶν μηδὲν ὅ τι καὶ ἄξιον λόγου μήτε βλαπτομένη. πολλάκις δ᾽ ἤτοι μᾶλλον ἢ ἧττον ὠφελεῖταί τε καὶ βλάπτεται καὶ ὡς ὁπόταν μὲν ἀξιόλογον γένηται τὸ βλάβος ἐκ τῶν κενωτικῶν βοηθημάτων, ἐναργῶς φαίνεται τηνικαῦτα ἡ δύναμις ἐνδεικνυμένη τι καὶ αὐτὴ χρήσιμον, ὥσπερ γε καὶ ὁπόταν ὠφελεῖται σαφῶς. ὁπόταν δὲ μήτε ὄφελος αὐτῇ τι μήτε βλάβος ἐκ τῶν τὴν διάθεσιν ἀνασκευαζόντων γένηται, παρορᾶται μὲν τηνικαῦτα ὡς ἄχρηστος.

venas tum arterias vel diftendat vel findat vel obftruat. Ac in his quidem miffio fanguinis utilis eft, ceu vacuantium praefidiorum una; in aliis autem ut revulfivum vel derivativum, quando impetum humorum vehementiorem vel in contrarium revellemus vel derivabimus in latera. Poftulat autem femper valentes vires, quae quantitati vacuationis ejus refpondeant. His igitur fcopis fanguinem detrahimus, alias femel, alias bis vel ter vel faepius, veluti in fequentibus patebit. In praefentia vero illud manifeftum fecimus, vires vacuantia remedia aliquando citra noxam ferre, ut nec adjutas ab his quicquam quod fit aeftimandum nec vero laefas; faepe vero magis minusve tum juvari tum laedi; praeterea quoties notabilis illis ex vacuantibus auxiliis noxa incidet, toties patere ipfas quoque, tunc utile aliquid ad confiderandum indicare, aeque utique ut quum manifefte juvabuntur. Ubi vero ex iis quae affectum fubmovent, nec commodum illis accedit ullum nec incommodum, ibi velut inutiles praetermittuntur.

Κεφ. ιβ'. [216] Μία δὲ κἀκ ταύτης ἐστὶ διαπαντὸς ἡ τοῦ συμφέροντος ἔνδειξις, ὥσπερ καὶ τῶν ἄλλων ἁπάντων. κατὰ γὰρ τὴν ἑαυτοῦ φύσιν ἐνδεικνύμενον ἕκαστον ἓν ἐνδείξεται διαπαντὸς, ὡς ἂν καὶ μίαν ἔχον τὴν φύσιν. καὶ τοῦτο τὸ ἓν εἰ μὲν ἁπλοῦν εἴη, τὸ τὴν ἔνδειξιν ποιούμενον ἁπλοῦν ἔσται καὶ αὐτό· συνθέτου δ' ὑπάρχοντος ἐκείνου καὶ τοῦτο ἔσται σύνθετον. (136) ἔνια μὲν οὖν ἐνδείκνυται τὴν ἑαυτοῦ φυλακὴν, ἔνια δὲ τὴν ἀναίρεσιν· ὁποτέρως δ' ἂν τοῦτο ποιῇ, τὸ μὲν ἁπλοῦν ἁπλῆν καὶ τὴν ἔνδειξιν ἔχει, τὸ δ' οὐχ ἁπλοῦν οὐχ ἁπλῆν. διὰ τοῦτο ἐν τοῖς ἔμπροσθεν ἀεὶ τὴν μὲν ἁπλῆν δυσκρασίαν ἁπλῆν καὶ τὴν ἔνδειξιν ἔφαμεν ποιεῖσθαι, καθάπερ εἰ τύχοι ἐπὶ ψύξεως τὴν θερμότητα, τὴν δ' οὐχ ἁπλῆν οὐδὲ τὴν ἔνδειξιν ἔχειν ἁπλῆν. τὴν γὰρ θερμὴν καὶ ξηρὰν δυσκρασίαν ἐνδείκνυσθαι τὴν ἴασιν ἑαυτῆς διὰ τῶν ὑγραινόντων τε καὶ τῶν ψυχόντων.

Κεφ. ιγ'. Ἕξει τοίνυν καὶ ἡ δύναμις ἀεὶ τὴν ἔνδειξιν μίαν, ἥτις ἐστὶν ἑαυτῆς φυλακή. ἐκ τίνων οὖν φυλαχθήσεται; κατὰ μὲν πρῶτον λόγον ἐκ τοῦ τῆς οὐσίας αὐτῆς τὸ κενού-

Cap. XII. At una femper eft quae ab hac praeftatur conferentis indicatio, ut etiam reliquorum omnium. Nam quicquid pro natura fua indicat, id unum femper indicabit, ceu quod unam habeat naturam. Atque id unum, fi quod indicationem facit fimplex eft, ipfum quoque fimplex erit; fin illud eft compofitum, hoc quoque erit compofitum. Sane quaedam fui confervationem indicant, quaedam demolitionem; utro vero modo id efficiant, quod fimplex eft, fimplicem quoque indicationem habet, quod non fimplex, etiam non fimplicem. Idcirco in fuperioribus femper fimplicem intemperiem fimplicem indicationem praebere diximus, veluti in frigiditate caliditatem, non fimplicem vero etiam indicationem fuggerere non fimplicem. Calidam enim ficcamque intemperiem curationem fui per ea quae humectent et refrigerent moliendam indicare

Cap. XIII. Ergo vires quoque unam femper indicationem fuppetent, quae fui confervatio eft. Quibus ergo *rationibus* fervabuntur? Prima ratione inftaurando, quod

μενον ἢ ἀλλοιούμενον ἐπανορθοῦσθαι, κατὰ δεύτερον δ' ἐκ τοῦ κωλύειν ἡμᾶς τὰ κενοῦν ἢ ἀλλοιοῦν τὴν οὐσίαν αὐτῆς δυνάμενα. περιλαμβανέσθω δ' ἐν τοῖς ἀλλοιοῦσι βραχυλογίας ἕνεκα καὶ τὰ τὴν συνέχειαν ἑαυτῆς διασπῶντα. ταῦτ' οὖν ἀεὶ τῆς δυνάμεως ἐνδεικνυμένης, ἐπὶ μὲν τῶν ὑγιαινόντων, ὡς εἴρηται, συμφωνία τῶν πραττομένων ἁπάντων ἐστὶν εἰς τὴν διαμονὴν αὐτῆς, ἐπὶ δὲ τῶν νοσούντων οὐκ ἀεί. κᾂν τούτῳ χρὴ σκοπεῖσθαι τὸ ἐπικρατοῦν ἤτοι κατὰ τὸ μέγεθος ἢ καὶ κατὰ τὴν ἀξίαν, ὡς καὶ πρόσθεν ἐλέγετο. μέγιστον μὲν οὖν ἀξίωμα τὸ τῶν δυνάμεών ἐστιν· αὐτὸ γὰρ τὸ ζῆν ἡμῖν ἐκ τῆς τούτων ὑπάρχει φυλακῆς, ἐπειδὴ καὶ τὴν ζωὴν ἀναγκαῖον ἤτοι αὐτὰς τὰς δυνάμεις ἢ τὰς ἐνεργείας αὐτῶν ὑπάρχειν· οὐδὲν δ' ἂν εἴη τῆς ζωῆς πρότερον ἐν τοῖς ζώων σώμασιν, ὅτι μηδ' ὑγιαίνειν οἷόν τε χωρὶς τοῦ ζῆν. ἡ δύναμις οὖν ἁπάντων πρῶτον φυλακτέα τοῖς ἀνθρώποις ἐστὶν ἐκ τοῦ μήτε κενοῦσθαι τὴν οὐσίαν αὐτῆς μήτ' ἀλλοιοῦσθαι τοσαύτην ἀλλοίωσιν, ὅση πλησιάσει φθορᾷ. καὶ ταύτης τῆς φυλακῆς ἐστὶ μόριον, ὅταν τὴν εὐκρασίαν ἤτοι φυλάττομεν οὖσαν

fubftantiae earum vel inanitur vel alteratur, fecunda prohibendo quae ipfarum fubftantiam vacuare alterareve poffunt. Comprehenfa vero inter ea quae alterant brevitatis caufa fint et quae earum unitatem diftrahunt. Haec itaque quum vires perpetuo indicent, in valentibus, ficut dictum eft, confenfus agendorum omnium ad ipfarum permanfionem eft, in aegrotantibus autem non femper. Quo tempore aeftimari debebit, quod vel magnitudine vel dignitate, ut prius eft dictum, praevaleat. Maxima igitur dignitas ipfarum eft virium; nam vivere ipfum nobis ex harum confervatione conftat, quum et vitam aut ipfas effe vires aut earum actiones fit neceffe, at vita ipfa nihil effe prius in animantis corpore poteft, quod neque fanos effe citra vitam liceat. Vires ergo omnium primae fervandae hominibus funt, *fervabitur autem* fi nec earum fubftantia inanitur, nec tanta alteratione alteretur, ut ea corruptioni fit propinqua. Atque hujus confervationis pars eft, quum vel temperiem ipfam praefentem fervamus vel abfentem indu-

ἢ οὐκ οὖσαν ἐργαζόμεθα. μετὰ δὲ τὴν δύναμιν ἡ ἀπὸ τῶν διαθέσεών ἐστιν ἔνδειξις, ἃς θεραπεύειν πρόκειται, κἄπειτα ἑξῆς τἄλλα. πᾶν οὖν ὅπερ ἂν μάχηται τῇ ἀπὸ τῆς δυνάμεως ἐνδείξει, δεύτερόν ἐστι καὶ ὕστερον ὧν ἐκείνη κελεύει. τὰ δ' εἰς ταὐτὸ συμβαίνοντα τοῖς ἐκείνῃ συμφέρουσιν ἀμφοτέρας ἔχει τὰς ψήφους, καὶ τὴν τῶν πρωτείων ὡς ἂν εἴποι τις καὶ τὴν τῶν δευτερείων. ὥστε ταῦτα μὲν ἀναμφισβητήτως ποιητέα, τὰ δ' ἐναντιούμενα ποτὲ μὲν οὐδ' ὅλως ἐστὶ ποιητέα, ἐνίοτε δ' ἐπ' ὀλίγον. εἰ γὰρ ἡ διάθεσις ἣν θεραπεύειν προαιρούμεθα χρήζει κενώσεως, ἄῤῥωστος δ' ἡ δύναμις ἐσχάτως ὑπάρχει τῶν τὴν διάθεσιν ἰωμένων, οὐδὲν τῷ κάμνοντι προσάξωμεν ἐν ἐκείνῳ [217] τῷ χρόνῳ παντὶ, καθ' ὅσον ἀνατρέφομεν τὴν δύναμιν. ὅταν δ' εἰς τοσοῦτον ἰσχύος ἥκειν αὐτὴν ὑπολάβωμεν ὡς ἤτοι μηδὲν ἢ ὀλίγον ὑπὸ τῆς κενώσεως βλάπτεσθαι, τηνικαῦτα καὶ πρὸς τὴν τῆς διαθέσεως ἴασιν ἀφιξόμεθα. πρῶτος μὲν οὖν ἁπάντων σκοπὸς ὁ τῆς δυνάμεώς ἐστιν· οὐ μὴν ὡς θεραπευτικός γε πρῶτος, ὅς γε τὴν ἀρχὴν οὐδὲ τῶν θεραπευτικῶν ἐστιν, ἀλλ' ὡς ἂν εἴποι τις τῶν ζωτι-

cimus. Poft autem vires fequitur quae ab affectibus, quos curare proponimus, eft indicatio, poftea deinceps reliquae. Quicquid igitur indicationi a viribus adverfatur, id fecundum eft ac pofterius iis quae illae praecipiunt; quae vero cum iis quae viribus conducunt in idem competunt, haec utrumque calculum referunt, et eorum quae primae, ut ita dixerim, fint notae et eorum quae fecundae. Itaque haec citra controverfiam funt facienda, quae vero adverfantur, aliquando adminiftranda prorfus non funt, aliquando paulatim. Si namque quem curare ftudes affectum, is vacuationem requirat, vires autem extrema imbecillitate laborent, toto illo tempore quo vires reficimus, eorum quae affectum fanent, nihil plane aegrotanti exhibebimus. Ubi vero eo roboris perveniffe eas conjicimus, ut nihil aut parum ex vacuando fint laedendae, tum eft ad affectus quoque curationem accedendum. Primus igitur omnium fcopus eft qui virium eft, non tamen ut primus et curativus, qui poteftate curativarum non fit, verum, ut ita dixerim, vitam con-

κῶν. οὐ γὰρ ἵν' ὑγιαίνωμεν, οὐδ' ἵν' ἀπαλλαγῶμεν νόσων, ἐξ αὐτῆς τι πρώτως λαμβάνομεν, ἀλλ' ἵνα ζῶμεν. πρόσκειται δ' ἐν τῷ λόγῳ τὸ πρώτως, ὅτι γε καὶ κατὰ συμβεβηκός ποτε τῆς δυνάμεως ἡ ῥῶσις εἰς τὴν τῆς διαθέσεως ἴασιν ὑπάρχει χρήσιμος. ἀλλὰ τοῦτο μὲν ἐν τοῖς ἑξῆς ἐπιδειξόμεθα.

Κεφ. ιδ'. Ἐπὶ δὲ τὸ προκείμενον αὖθις ἐπανέλθωμεν, εἰς ὀλίγα κεφάλαια συνόψεως ἕνεκα τὸ πᾶν ἀθροίσαντες. οἱ θεραπευτικοὶ σκοποὶ παρά τε τοῦ νοσήματός εἰσι καὶ τῆς τοῦ σώματος κράσεως καὶ τρίτον τοῦ περιέχοντος ἡμᾶς ἀέρος. εἰ δ' ἔμπροσθεν ἕτεροί τινες εἶεν, ἢ καὶ αὖθις οὐχ οὗτοι μόνον, ἀλλὰ καὶ ἄλλοι ῥηθεῖεν ἐκ τῆς τούτων τομῆς ἅπαντες φανοῦνται γιγνόμενοι. ἡ μὲν γὰρ κρᾶσις τοῦ σώματος ἡ κατ' ἐκεῖνον τὸν καιρὸν, ἡνίκα νοσεῖν ἤρξατο, πρὸς τὴν εὕρεσιν τῶν ἰαμάτων ὑπάρχουσα χρήσιμος, ἐκ φύσεως καὶ ἡλικίας καὶ ἐθῶν καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος γεννᾶται. τὸ περιέχον δ' αὐτὸ τοιοῦτον εἰργάσθη διά τε τὴν χώραν καὶ τὴν ὥραν καὶ τὴν κατάστασιν. ἓν τοίνυν ἑκάτερον αὐτῶν ὑπάρχον ἐκ πολλῶν γίνεται τοιοῦτον. ἡ δέ γε διάθεσις οὐχ ὡς

fervantium. Nam neque ut valeamus, nec ut a morbis liberemur ab ea quicquam primum defumimus, fed ut vivamus. Additum in fermone eft illud, primum quod ex accidente aliquando virium roboratio ad affectus curationem conducit. Verum id in fequentibus docebimus.

Cap. XIV. Nunc ad penfum rurfus redeamus, in paucas fummas compendii caufa rem omnem colligentes. Medendi fcopi a morbo ipfo funt, a corporis temperamento et tertio ambiente nos aëre. Quod fi alii quidam antea funt pofiti, vel poftea non hi modo, verum etiam alii dicentur, omnes tamen ex iis in partes diductis nati videbuntur. Siquidem corporis temperies, quae illo tempore fuit, quo aegrotare id coepit, quaeque ad invenienda remedia eft utilis, ex natura, aetate, confuetudine et ambiente nos aëre ortum habet. Ambiens vero ipfe ejusmodi eft redditus propter tum regionem ipfam tum anni tempus tum coeli ftatum. Ergo quum unum fit eorum utrumque, ex pluribus tamen tale efficitur. Affectus vero haudquaquam in caufas

εἰς αἰτίας τέμνεσθαι πέφυκεν, ἀλλ' ὡς εἰς διαφοράς· ἤτοι γὰρ ἐν τοῖς ὁμοιομερέσιν ἐστὶν, ἢ ἐν τοῖς ὀργανικοῖς συνίσταται μορίοις. ἐν μὲν οὖν τοῖς ὁμοιομερέσιν ἤτοι γ' ἁπλῆ τις ἢ σύνθετος ὑπάρχουσα δυσκρασία, ἐν δὲ τοῖς ὀργανικοῖς περὶ τὴν τῶν ἁπλῶν μορίων γιγνομένη θέσιν, ἢ διάπλασιν, ἢ ἀριθμὸν, ἢ μέγεθος, ὅσαι τε καθ' ἕκαστον τούτων ἐδείχθησαν οὖσαι διαφοραί. ταῦτ' οὖν ἐστι τρία τὰ πρῶτα τὰ τὴν θεραπείαν ἐνδεικνύμενα, τὸ περιέχον ἅμα ταῖς διτταῖς τοῦ σώματος ἤτοι διαθέσεσιν ἢ κατασκευαῖς ἥδιόν σοι φάναι, μιᾷ μὲν τῇ κατὰ φύσιν, ἑτέρᾳ δὲ τῇ παρὰ φύσιν, ἥτις τὸ νόσημά ἐστιν. ὅτι δ' οὐκ ἐνδέχεται αὐτὰ τὰ πρῶτα γένη τῶν θεραπευτικῶν σκοπῶν πλείω τῶν εἰρημένων τριῶν ὑπάρχειν ἐξ αὐτῆς τῆς τῶν πραγμάτων οὐσίας ἔνεστί σοι μαθεῖν. τὸ μὲν γὰρ νόσημα καὶ ἡ ὑγεία διαθέσεις εἰσὶ τοῦ σώματος, ἡ μὲν τὴν ἀναίρεσιν ἐνδεικνυμένη τὴν ἑαυτῆς, ἡ δὲ τὴν τήρησιν· τὸ περιέχον δὲ, οὗ χωρὶς οὔτ' ἀνελεῖν οἷόν τε τὴν νόσον οὔτε κτήσασθαι τὴν ὑγείαν, τουτὶ μὲν οὖν τὸν ὧν οὐκ ἄνευ λόγον ἐπέχει. τὸ νοσοῦν δ' ἀλλοιοῦντες, εἰ μὴ γινώσκοιμεν εἰς ὅ τι

diduci eft aptus, fed in differentias; nam aut in fimilaribus confiftit partibus aut in organicis. Ac in fimilaribus quidem vel fimplex eft intemperies vel compofita, in organicis, circa fimplicium partium vel pofituram vel conformationem vel numerum vel magnitudinem, tum quaecunque horum fingulatim traditae funt differentiae, confiftit. Haec itaque tria illa prima funt quae curationem indicant, ambiens ipfo cum geminis corporis five affectionibus five conftitutionibus libitum eft appellaffe, una quae fecundum naturam, altera quae praeter naturam fit quae morbus eft. Non poffe autem plura effe prima genera indicationum, quae ad medendum pertineant, quam tria quae modo diximus ex ipfa rerum fubftantia fcire licet. Nam morbus et fanitas corporis funt affectus, ille fui demolitionem, haec confervationem indicans: ambiens vero is eft, fine quo nec tolli morbus nec teneri fanitas poteft, hic igitur caufae, fine qua non, obtinet rationem. At vero quum id quod aegrotat alteramus, nifi conftat quousque fit mutandum, utique quando fit ab alte-

μεθιστῶμεν οὐδ᾽ ὁπότε παυσόμεθα τῆς ἀλλοιώσεως εἰσόμεθα. καθόλου οὖν ἐπὶ πάσης τῆς θεραπείας ἐν τούτοις τοῖς τρισὶ γένεσιν οἱ σκοποὶ τοῖς πλείστοις εἰσί. κατὰ μέρος δὲ, ὡς ἔμπροσθεν εἴρηται, τινὲς μὲν τῶν ἁπλῶν μορίων εἰσὶν ἴδιοι, τινὲς δὲ τῶν συνθέτων. ἓν δή τι τῶν ἐγγινομένων τοῖς ἁπλοῖς ἐστιν ἡ κατὰ τὸ θερμὸν δυσκρασία. ταύτης δ᾽ εἰς ὅλον ἐκταθείσης τὸ σῶμα πυρετὸς τοὔνομα. καὶ τοίνυν ἅπαντος πυρετοῦ, καθόσον ἐστὶ πυρετὸς, ὑγρότης καὶ ψύξις ἰάματα. μόνου μὲν οὖν ὄντος αὐτοῦ [218] σκοπὸς ἁπάντων τῶν βοηθημάτων κοινὸς ὁ νῦν εἰρημένος, ὥστε οὐδὲν ἔτι δεῖ πρὸς τὴν ἴασιν ἀλλ᾽ ἢ τὰς ὕλας ἐξευρεῖν ἐν αἷς ὁ σκοπὸς, εὑρόντας δὲ τὰς ὕλας τὸν μὲν καιρὸν ἐξ αὐτῶν τῶν τεσσάρων τοῦ πυρετοῦ λαμβάνειν καιρῶν, τὸ ποσὸν δ᾽ ἐκ τοῦ παραβάλλειν τῷ κατὰ φύσιν τὴν νόσον. εἰς ὅσον γὰρ ἀποκεχώρηκε τοῦ κατὰ φύσιν, εἰς τοσοῦτον χρὴ ψύχειν τε καὶ ὑγραίνειν τὸν κάμνοντα. τὸ περιέχον δὲ, εἰ μὲν ἐναντίαν ἔχοι τῷ νοσήματι τὴν κρᾶσιν, ἕν τι τῶν βοηθημάτων ἐστίν· εἰ δὲ ὁμοίαν, ἕν τι τῶν νοσωδῶν αἰτίων. διότι δὲ τὰς μὲν ἄλλας ὕλας ἐκλέξα-

rando desistendum non intelligemus. Generatim igitur in omni curatione scopi, ut multis *placet,* in his tribus generibus consistunt. Particulatim vero, ut supra est dictum, quidam simplicium partium sunt proprii, quidam compositarum. Eorum ergo quae in simplices incidunt partes, unum est intemperies ea quae in calido consistit. Haec quum in totum diffusa corpus est febris nominatur, ideoque omnis febris qua febris est humectatio refrigeratioque remedia sunt. Ac si sola haec sit, scopus omnium auxiliorum communis nunc dictus est, ita ut nihil sit quod praeterea ad curationem desideretur, nisi ut materiae inveniantur in quibus scopus sit. Materia vero inventa, ut opportunum tempus ex quatuor febris temporibus captes, quantitatem vero ex conferendo cum affectu secundum naturam morbum, quantum enim is a naturali affectu recessit, tantum opus est aegrum refrigeres et humectes. Sane ambiens si contrariam morbo temperiem habeat, praesidiorum unum quoddam est, sin similem, morbosarum causarum est una. Quoniam autem reliquas mate-

σθαί τε καὶ φυγεῖν δυνάμεθα, τὴν δ' ἐκ τοῦ περιέχοντος οὐχ οἷόν τ' ἐστὶ φυγεῖν, ἀλλ' ἀναγκαῖον χρῆσθαι τῇ παρούσῃ καταστάσει, διὰ τοῦτο καὶ ταύτῃ προσέχειν ἀναγκαζόμεθα, πολλάκις μὲν ὁμολογούσῃ τῇ κατὰ τὸ νόσημα ἐνδείξει, ὡς εἴπομεν, πολλάκις δ' ἐναντιουμένῃ τε καὶ ἀντιπραττούσῃ. λόγον μὲν οὖν ἕξει τὸ περιέχον, ὡς εἴπομεν, ἐνίοτε μὲν ὕλης ἰωμένης, ἐνίοτε δὲ ὡς αἰτίου νοσάζοντος. εἰ μὲν γὰρ ὑγραίνεσθαι καὶ ψύχεσθαι δεομένης τῆς νόσου ταῦτ' ἐργάζοιτο, λόγον ὕλης ἔχει θεραπευτικῆς· εἰ δὲ θερμαίνοι καὶ ξηραίνοι, νοσῶδες αἴτιον γίγνεται. συμφω(137)νοῦντος μὲν οὖν αὐτοῦ ταῖς θεραπευτικαῖς ἐνδείξεσιν ἀσμενιστέον, ἐναντιουμένου δὲ κωλυτέον τὴν βλάβην, ἐπιτείνοντάς τε καὶ παραυξάνοντας τῶν ἄλλων βοηθημάτων τήν θ' ὑγρότητα καὶ τὴν ψύξιν. ἐπιτηδευτέον δὲ καθ' ὅσον ἐγχωρεῖ αὐτὸ τὸ περιέχον οἷον χρὴ κατασκευάζειν, ὑγροτέρους τε καὶ ψυχροτέρους οἴκους αἱρούμενόν τε καὶ κατασκευάζοντα· καθάπερ εἰ καὶ ψυχρὸν καὶ ὑγρὸν εἴη τὸ εἶδος τῆς νόσου, τὸ θερμαίνειν καὶ ξηραίνειν ἐνδεικνυμένης, αἱρεῖσθαί τε καὶ κατασκευάζειν οἴκους θερμαί-

rias tum deligere tum fugere possumus, quum autem ambiens praestat, fugere non licet, imo necesse est praesenti coeli statu uti, idcirco huic quoque attenti esse cogimur, qui saepe, ut diximus, morbi indicationi est consentaneus, saepe dissentaneus et qui contra molitur. Habebit ergo, ut diximus, ambiens rationem modo materiae sanantis, modo causae morbum foventis. Si namque quum humectari refrigerarique morbus postulat haec praestet, curativae materiae rationem obtinet, sin calefaciat et siccet, morbi causa est. Ubi igitur cum medendi indicationibus consonat, libenter est acceptandus, quum vero adversatur, ejus noxa prohibenda est, reliquorum auxiliorum humiditate ac frigore intensis adauctisque. Sedulo igitur agendum est, ut ambientem quoad fieri potest, qualem esse expedit praepares, humidiores frigidioresque domos tum deligens tum vero praeparans, ut si et frigida sit humidaque morbi species, calefaciendum siccandumque indicantis, et eligendae et praeparandae domus sunt

νοντάς τε καὶ ξηραίνοντας. αἱρεῖσθαι μὲν οὖν λέγω τοὺς ἐξ ἑαυτῶν τοιούτους, κατασκευάζειν δὲ ἐπιτεχνώμενον, ἐν μὲν τῷ θέρει καταγείους τε καὶ πρὸς ἄρκτον ἐστραμμένους αὐτοὺς, ῥαίνοντα συνεχῶς τὸ ἔδαφος αὐτῶν, ἐξ εὐρίπου τέ τινος αὔραν εἰσπνεῖν ἐπιτεχνώμενον, ἄνθη τε καὶ βλαστήματα δυνάμεως ὑγρᾶς τε καὶ ψυχρᾶς ἐπὶ τοῦ ἐδάφους καταῤῥίπτοντα, χειμῶνος δὲ τἀναντία τούτων ἐπιτεχνώμενον, ὅταν γε τὸ νόσημα κελεύῃ ποιεῖν, ὡς εἴρηται· μὴ κελεύοντος δὲ, τὴν ἀμετρίαν μόνην ἑκατέρας τῆς ὥρας κωλυτέον. ὑπὲρ ἧς ἐξ ἀνάγκης μοί τι καὶ μετὰ ταῦτα λεχθήσεται. νυνὶ γὰρ οὐ τὰς ὕλας τῶν βοηθημάτων ἔγνωκα κρίνειν, ἀλλὰ τὰς μεθόδους ἐκδιδάσκειν.

Κεφ. ιε΄. Ἀνάγωμεν οὖν αὖθις ἐπὶ ταύτας τὸν λόγον, ἐπιδεικνύντες ὅπως ὀλίγοι τε καὶ πολλοὶ γίγνονται σκοποὶ θεραπευτικοὶ κατὰ διαφόρους τομάς. τρεῖς τε γὰρ οἷόν τε ποιῆσαι τοὺς πάντας, ὡς ἀρτίως ἐποιήσαμεν, εἰς ὀλίγα κεφάλαια τὸ πᾶν ἀνάγοντες· ἕκαστόν τε πάλιν αὐτῶν τέμνοντες πολλοὺς ἐξ αὐτῶν ποιήσασθαι, καθάπερ καὶ τοῦτο ἤδη δέδει-

quae calefaciant et exficcent. At deligendas quidem dico quae ex fe ipfis ejusmodi funt, praeparandas vero quum arte noftra molimur, per aeftatem fubterraneas eas et ad feptentriones verfas, ac pavimenta earum affidue humore afpergentes, tum ut ex euripo aliquo aura infpiret machinantes, flores praeterea ac germina quae frigidae humidaeque facultatis fint per aream projicientes, per hiemen vero contraria horum molientes, ubi morbus, ut dictum eft, fuadet, ubi non fuadet, ametria fola utriusque temporis reprimenda. De quo mihi aliquid neceffario poftea eft dicendum. Nunc enim auxiliorum materias explicare non decrevimus, fed methodos docere.

Cap. XV. Quare rurfus ad has *methodos* disputationem revocemus doceamusque quemadmodum et paucae et multae pro diverfa fectione curatoriae indicationes fint; etenim tres univerfas, ut proxime docuimus, facias licet, in pauca capita tota fumma reducta, et qualibet earum rurfus divifa ex ipfis multas efficere, id quod etiam mon-

κται. καὶ μέντοι καὶ αὐτῶν τῶν τμημάτων ἕκαστον οἷόν τε τέμνειν αὖθις, ἄχρις ἂν ἐπί τι τῶν ἀτμήτων ἀφικώμεθα. καὶ τὰ πρῶτα δὲ πάντων εἰρημένα τρία δυνατὸν εἰς ἐλάττω συναγαγεῖν, ὡς εἶναι δύο τὰ πάντα κεφάλαια τῶν τὴν θεραπείαν ἐνδεικνυμένων σκοπῶν τήν τ᾽ ἐνεστῶσαν διάθεσιν, ἣν νόσον ὀνομάζομεν, ἥν τ᾽ ἔμπροσθεν εἶχεν, ἣν ὑγείαν τε καὶ τὸ κατὰ φύσιν ἐκαλοῦμεν. [219] οὐ γὰρ δὴ ἄλλο γέ τι τὸ ὑγιάζειν ἐστὶ παρὰ τὸ τὴν νῦν οὖσαν ἐν τῷ σώματι διάθεσιν εἰς τὸ κατὰ φύσιν ἄγειν· ἐναντίων δ᾽ οὐσῶν τῶν διαθέσεων ἀναγκαῖόν ἐστι δι᾽ ἐναντίων γίγνεσθαι τὴν εἰς ἀλλήλας αὐτῶν μετάπτωσιν. καὶ οὕτως αὖ πάλιν εἷς μόνος ὁ γενικώτατος ἔσται σκοπὸς τῶν ἰαμάτων ἡ ἐναντίωσις. ἐντεῦθεν οὖν πάλιν ἀρξάμενοι τοὺς κατὰ μέρος ἐξεύρωμεν. ἐπειδὴ τὸ νοσοῦν ἐναντίον ἐστὶν ὑγιαίνοντι, δι᾽ ἐναντίων ἡ ὁδὸς ἐπ᾽ αὐτῶν. πῶς δ᾽ εὑρεθήσεται τὸ ποσὸν ἐν τοῖς ἐναντίοις; οὐ γὰρ ἀρκεῖ δήπου προσαγαγεῖν τὰ ψύχοντα ταῖς θερμαῖς διαθέσεσιν ἄνευ τοῦ προσήκοντος μέτρου· κίνδυνος γὰρ ἐλλείποντας μὲν ἀπο-

ſtratum eſt. Quin et ipſarum ſectionum quamlibet rurſum diducas in membra licet, donec ad inſectile venias. Jam primas quoque illas tres quas memoravimus fieri poteſt ut redigas ad pauciores ſic ut duo eorum ſcoporum qui curationem indicent, omnino capita ſint praeſens affectus, quem morbum nominamus, et qui prius fuit, quem ſanitatem et quod ſecundum naturam diximus. Non enim aliud eſt ipſa ſanatio quam praeſentis in corpore vitioſi affectus in eum qui ſecundum naturam eſt adductio, quum autem contrarii hi affectus ſint, neceſſe eſt per contraria fiat eorum alterius in alterum translatio. Atque ita rurſus unus ſolus erit curationum maxime generalis ſcopus contrarietas. Ergo hinc rurſus ſumpto initio, *age* particulares ſcopos disquiramus. Quoniam quod aegrotat bene valenti eſt contrarium, per contraria eſt ab illo in hoc via. At quomodo in contrariis invenietur modus? Non enim ſatis eſt calido affectui admoviſſe frigida, niſi id debita fiat menſura; nam periculum eſt, ſi intra modum id fiat, ne morbi reliquum quippiam

λιπεῖν τι καὶ τῆς νόσου λείψανον, ὑπερβάλλοντας δὲ γένος ἐναντίον ἀπεργάσασθαι νοσήματος. ὁ γὰρ ἐπὶ πλέον ἢ χρὴ ψύχων τὸ θερμὸν νόσημα τὴν ὑγιεινὴν ὑπερβὰς συμμετρίαν, ἕτερον ἐργάσεται νόσημα ψυχρόν. ὅπως οὖν τοῦτο μὴ γίγνοιτο, τὴν φύσιν ἐπίστασθαι χρὴ τοῦ θεραπευομένου σώματος, ἵν᾽ ὁπόσον ἀφέστηκεν αὐτοῦ ἡ νόσος τῆς συμμετρίας γνόντες ἐπιθῶμεν τῷ ψύχοντι βοηθήματι τὸ μέτρον. ἀλλ᾽ οὐχ οἷόν τε τὴν ἀπόστασιν αὐτῶν ἐξευρεῖν, εἰ μὴ γνοίημεν εἰς ὅσον ἦν ὑγρὸν, ἢ ξηρὸν, ἢ θερμὸν, ἢ ψυχρὸν ὅθ᾽ ὑγίαινεν, εἰς ὅσον δ᾽ ἐξέστηκεν ἐν τῷ νοσεῖν. τὸ μὲν γὰρ ἐπὶ πλεῖστον προκεχωρηκὸς τοῦ κατὰ φύσιν ἰσχυρῶν δεῖται τῶν ἐναντίων, τὸ δ᾽ οὐκ ἐπὶ πλεῖστον ἀσθενῶν. ἐπὶ πλεῖστον μὲν οὖν ἀφέστηκε τὸ ψυχρὸν νόσημα τοῦ φύσει θερμοῦ σώματος, ὥσπερ γε καὶ τὸ θερμὸν τοῦ ψυχροῦ· ἔλαττον δὲ ἀφέστηκε τὸ μὲν θερμὸν τοῦ θερμοῦ, τὸ δὲ ψυχρὸν τοῦ ψυχροῦ, ὥστ᾽ ἐξ ἀμφοῖν ἡ ἔνδειξις. ἀλλ᾽ ἐπεὶ τῶν μὲν ἄλλων ἁπάντων βοηθημάτων τῆς ὕλης ἡ ἔκλεξις ἐφ᾽ ἡμῖν ἐστι, τῆς δὲ τοῦ περιέχοντος οὐκ ἐφ᾽ ἡμῖν, εὔλογον δήπου κἀκ τούτου

relinquatur, fin modum excedas, contrarium genus morbi inducas. Qui enim fupra quam par eft calidum morbum refrigerat, is fanitatis fymmetria transmiffa alium excitabit morbum frigidum. Quod quo minus accidat, naturam curandi corporis fcias oportet, quo quantum morbus ab illius fymmetria disceffferit intelligens, menfuram refrigeranti praefidio imponas. At fieri non poteft ut quantum a fe invicem diftent invenias, nifi compertum habeas quam effet corpus aut humidum aut frigidum aut calidum aut ficcum quum valeret, quantumque ex his exceffferit poftquam aegrotavit. Nam quod plurimum ab eo quod eft fecundum naturam receffit, id vehementibus eget contrariis, quod non plurimum, levibus. Sane plurimum receffit frigidus morbus a corpore natura calido, ut et calidus a frigido, minus receffit tum calidum a calido tum frigidum a frigido, quare ex utrisque indicatio *curationis praeftatur.* Verum cum materiae reliquorum praefidiorum omnium electio in noftra poteftate fit, ejus vero quam ambiens praeftat in noftra manu non fit, ratio eft ex hoc quo-

τὴν ἔνδειξιν λαμβάνειν. ἀλλ᾽ ἐπεὶ διαγινώσκειν προσήκει τὰς κράσεις τῶν σωμάτων ἀκριβῶς, ἔστι δὲ πάνυ χαλεπὸν τὸ τοιοῦτον, πειρατέον μὲν δήπου καὶ ἐκ τῶν ἐν τοῖς περὶ κράσεων εἰρημένοις ἐξευρίσκειν αὐτάς· ἐξ ἐπιμέτρου δὲ πρὸς ἐπιστημονικωτέραν διάγνωσιν, ἀπό τε τῆς ἡλικίας καὶ τοῦ προηγουμένου βίου παντὸς, ὃς ἐξ ἐπιτηδευμάτων τε καὶ διαίτης συνέστηκε καὶ τῆς ἐν τῷ τοιῷδε χωρίῳ καὶ ὥρᾳ τῇδε καὶ καταστάσει τῇδε διατριβῆς. εἰ μὲν γὰρ ἰσχνὸς φύσει καὶ θερμὸς ἁπτομένῳ καὶ χολώδης καὶ θυμικὸς καὶ δασὺς, θερμὸς οὗτός ἐστι καὶ ξηρὸς τὴν κρᾶσιν, οὐ μὴν ἐξ ἀνάγκης γε καὶ νῦν, ὁπότε νοσεῖν ὑπήρξατο, τὴν αὐτὴν ἀκριβῶς ἔχει διάθεσιν. ἐγχωρεῖ γὰρ αὐτῷ βίον ἀργὸν ἐν ὑγροῖς καὶ ψυχροῖς ἐδέσμασί τε καὶ ποτοῖς γεγονέναι· καὶ πρὸς τούτοις ἔτι καὶ βαλανείοις ἐπὶ τροφαῖς καὶ ὕπνοις πολλοῖς ἐν ὑγρῷ καὶ ψυχρῷ χωρίῳ χειμῶνος, ὑγρᾶς καὶ ψυχρᾶς ἐπικρατούσης καταστάσεως, ὥσπερ γε τἀναντία τούτων ἐγχωρεῖ προηγήσασθαι, τουτέστι τὰ θερμαίνοντα καὶ ξηραίνοντα καθ᾽ ἕκαστον τῶν εἰρημένων γενῶν. ἐξ αὐτῶν οὖν τῶν προηγησαμένων

que propriam quandam indicationem fumamus. Caeterum quoniam dignoscere ad unguem oportet corporum temperamenta, id vero eft plane difficile, utique tentandum eft tum ex iis quae in libro de temperamentis funt fcripta ea invenire, tum vero ultra haec, quo magis fcientifica notitia fit ex aetate, et tota anteacta vita quae nimirum in vitae exercitio et victus ratione confiftit, praeterea in hac regione et hoc anni tempore et hoc ftatu coeli converfatione. Si namque natura gracilis et tangenti calidus et biliofus et iracundus et hirtus fit, calidus hic ficcusque temperamento eft. Non tamen neceffe eft nunc quoque quum aegrotare incepit, eundem plane habere affectum, fieri enim poteft ipfi vitam otiofam fuiffe, cum frigidis humidisque tum cibis tum potibus; ad haec etiam cum balneis poft cibos et multo fomno, praeterea in regione humida et frigida et hieme in qua frigidus et humidus exfuperabat coeli ftatus. Rurfus fieri poteft, ut horum praeceffferint contraria, id eft calefacientia et ficcantia, idque per fingula dictorum jam generum.

ἀναπληρώσομεν ὅσον ἂν ἐνδεὲς ἔχωμεν εἰς τὴν τῆς ἐνεστώσης διάγνωσιν κράσεως, ἐξ ἐκείνης δὲ εὑρεθείσης τὴν τῶν ποιητέων ἔνδειξιν ἕξομεν.

Κεφ. ιστ΄. Ἐλέγετο γοῦν ἔμπροσθεν ἐπὶ τῆς τοῦ ψυχροῦ δόσεως ἕν τι καὶ τοῦτο ἐπισκεπτέον εἶναι, μή τι τῶν μορίων φύ[220]σει ψυχρὸν ὂν ἐκ τῆς πόσεως αὐτοῦ βλαβείη μεγάλως. ἆρ᾽ οὖν ἐγχωρεῖ τὴν κρᾶσιν ἑκάστου τῶν μορίων ἐπὶ τοῦ κάμνοντος ἀνθρώπου, χωρὶς ὧν εἴπομεν σημείων ἐν ταῖς περὶ τούτων πραγματείαις ἐξευρεῖν; ἐκεῖνοι μὲν οὖν οὔτε ζητοῦσιν οὔτε ἴσασιν, ἀλλὰ καὶ κατὰ τὴν παροιμίαν ἑνὶ καλόποδι πάντας ὑποδέουσιν. ἡμεῖς δὴ ζητήσαντες εὕρομεν ὅτι διὰ πολλῶν καὶ δυσκόλων γνωσθῆναι γνωρισμάτων ἑκάστου τῶν μορίων ἡ κρᾶσις εὑρίσκεται, στοχαστικῶς μᾶλλον ἢ ἐπιστημονικῶς. ἐὰν τοίνυν φανῇ τι γνωρισμάτων πολλῶν τε καὶ μακρῶν ἀκριβέστερον ἕν, οὐκ ἂν ἀποῤῥίψαντες ἐκεῖνα τοῦτο ἀντὶ πάντων ἑλοίμεθα; πᾶς, οἶμαι, νοῦν ἔχων ὁμολογήσει. καὶ μὴν οὐδ᾽ ἐγγύς ἐστι τῇ πίστει τὰ γνωρίσματα τῶν κράσεων ἅπαντα συνελθόντα πρὸς τὴν ἐκ τοῦ

Ergo fi quoad praefens temperamentum noscendum deficimus, id ex praeeuntibus ipfis fupplebimus; ex illo vero invento adminiftrandorum indicatio fuppeditabitur.

Cap. XVI. Ac dictum quidem prius eft, ubi de frigida exhibenda praecepimus, illud quoque ex iis unum effe, quae confideranda tum effent, numquid pars quaepiam cui frigida natura effet laedi magnopere ex ejus potione poffet. An igitur fas eft in aegrotante homine cujusque partis temperamentum inveniffe absque iis notis, quas libris de ipfis retulimus? Atque illi quidem nec inquirunt nec norunt, fed juxta proverbium uno calopodio omnes calceant. Nos certe inquirentes illud invenimus, quod per plures ac cognitu difficiles notas cujusque partis temperamentum, conjectura potius quam fcientia inveniatur. Si igitur notis multis et magnis una certior apparuerit, nonne abjectis illis hanc pro omnibus arripiemus? nemo id, arbitror, qui mentis eft compos negabit. Atqui fi omnes temperamentorum notas in unum colligas, haec longiffime abfunt, ut pa-

ἔθους ἔνδειξιν. εἰ γὰρ ὑγιαίνων τις ἔπινεν ἀεὶ ψυχρὸν, οὔθ' ἧπαρ οὔτε κύστιν οὔτε κοιλίαν οὔτ' ἄλλο τι τῶν τοιούτων βλαπτόμενος, εὔδηλον ὡς ἰσχυρά τ' ἐστὶν ἅπαντα ταῦτα καὶ οὐδ' ἂν νῦν ὑπὸ τοῦ ψυχροῦ βλαβείη. μὴ τοίνυν μικρόν τινα καὶ φαῦλον σκοπὸν εἰς βοηθημάτων εὕρεσιν ὑπολαμβάνωμεν εἶναι τὸ ἔθος, ὥσπερ οὐδ' εἰς ὑγείας φυλακήν. οὐδεὶς γὰρ ἀνθρώπων οὕτως ἐστὶν ἔμπληκτος ὡς μεγάλως βλαπτόμενος ὑπὸ τῆς τοῦ ψυχροῦ πόσεως εἰς πολυχρόνιον ἔθος ἀγαγεῖν τὴν χρῆσιν· ἐν γὰρ τῷ μεταξὺ βλαβεὶς ἐναργῶς ὑπ' αὐτοῦ καὶ νοσήσας ἀποστήσεται πάντως. ὥσπερ οὖν ἄλλα πολλὰ παρὰ τὰς κοινὰς ἐννοίας ἐνίοις ἐῤῥέθη τῶν ἰατρῶν, οὕτω καὶ τὸ μηδεμίαν εὕρεσιν ἢ διαίτης ὑγιεινῆς ἢ θεραπείας νοσούντων ἐξ ἔθους γίγνεσθαι. φαίνεται γὰρ οὐχ ὥσπερ ἄλλ' ἅττα σμικρὰν καὶ φαύλην ἔχον τὴν δύναμιν, ἀλλὰ μεγίστην τε (138) καὶ κυριωτάτην, ὡς ἂν ἐνδεικνύμενον ἑκάστου τῶν σωμάτων τὴν φύσιν. ἡμεῖς μὲν οὖν ἐξ αὐτοῦ μεθόδῳ προερχόμενοι, τὴν διάθεσιν τῶν μορίων εὑρίσκεσθαί φαμεν, εἶτ' ἐξ ἐκείνης αὖθις ἐπὶ τὴν ἔνδειξιν ἔρχεσθαι τῶν

rem ei quam confuetudo praeftat fidem faciant. Si enim antea per fanitatem quispiam frigidam perpetuo biberit, neutiquam nec in jecinore nec vefica nec ventriculo nec alio quopiam talium laefus, planum eft et valida illi effe haec omnia nec nunc a frigida laedenda. Non eft igitur quod parvum quendam ac levem fcopum ad inventionem remediorum confuetudinem exiftimemus, veluti nec ad fanitatem tuendam. Nemo enim adeo eft ftupidus, ut magnopere ex frigidae potione laefus hanc in diuturnum ufum duxiffe velit; propterea quod laefus interim atque ab ea evidenter aegrotans omnino abftinebit. Ergo ut alia non pauca medici praeter communes fenfus, ita illud quoque effuderunt, quod nulla nec falubris inveniendi victus nec aegrorum curationis ex confuetudine fumatur occafio; videtur enim non ficut caetera exiguam levemque, fed maximam ac maxime principalem vim habere, ut quae fingulorum corporum naturam oftendat. Sane ipfi via rationeque ab ea procedentes fatemur nos partium affectum invenire, dein ex

ποιητέων. ὁ δ᾽ ἐμπειρικὸς ὑπερβαίνειν φησὶ τὴν ζήτησιν τῆς φύσεως, ἐφ᾽ ὃ γὰρ ἂν ὑπ᾽ αὐτῆς ἤχθη, τοῦτο ἔχειν ἤδη γνῶσιν τοῦ μὴ βλάπτεσθαι τὸ τοῦ κάμνοντος σῶμα πόσει ψυχροῦ, τοῦτο δ᾽ εἶναι τὸ ἐξ ἀρχῆς ἡμῖν προκείμενον οὐ τῷ γνῶναι τὴν φύσιν. εἶτ᾽, οἶμαι, προσηκόντως ἡμᾶς μὲν ὡς μακρὰν ὁδὸν εἰκῇ περιερχομένους ἐπισκώψειεν· τοῖς δ᾽ ὅλως ἄχρηστον εἶναι λέγουσι τὸ ἔθος, ὡς μηδὲ τὸν κοινὸν νοῦν ἔχουσιν, εἰκότως μέμψαιτο. τί ποτ᾽ οὖν φήσεις πρὸς αὐτοὺς ἐροῦμεν ἡμεῖς οἱ μεθόδῳ τὴν τέχνην συνιστάμενοι; τί δ᾽ ἄλλο γε ἢ ὅτι τἀληθῆ λέγουσιν ἐπὶ τῶν οὕτως ἐναργῆ τὴν ὠφέλειαν ἢ βλάβην ἐχόντων ἐθῶν; ἴσασι γὰρ ἅπαντες αὐτὰ καὶ πρὸ τῆς μεθόδου. τῶν δ᾽ ἄλλων ἐθῶν ἔνια τῶν κατὰ βραχὺ μεγάλην ἀθροιζόντων τὴν βλάβην οὐκέθ᾽ οἷόν τ᾽ ἐστὶ δι᾽ ἐμπειρίας ἐξευρεῖν· εἴρηται δὲ περὶ τῶν τοιούτων ἐπὶ πλέον ἐν τοῖς ὑγιεινοῖς. ὅθεν εἰ κἀν τῇ τοῦ ψυχροῦ δόσει χωρὶς τῆς μεθόδου τὸ ἔθος ἱκανὸν, οὐδ᾽ ἡμεῖς δήπου τὴν ἐμπειρίαν ἐκφεύγομεν, ἀλλ᾽ ὅσα περ ἐκεῖνοι πάντα ἐξ αὐτῆς

illo rurfus ad faciendorum indicationem venire. Empiricus vero praeterire fe naturae inquifitionem profitetur, quippe quod per eam confequutus fuiffet, id jam fe habere, intelligere fcilicet fe, non laedi a frigidae potione aegrotantis corpus; id vero effe quod nobis ab initio proponatur, non ut naturam noscamus. Poft, arbitror, nos quidem veluti ambages fruftra fequutos merito taxet, eos vero qui in totum inutilem effe confuetudinem dicunt, veluti a communi fenfu alienos jufte accufet. Quid igitur, inquies, eis refpondebimus nos qui methodo artem condimus? Quid aliud quam quod vera dicunt de iis confuetudinibus quae adeo evidentem utilitatem offenfamve oftendunt? eas enim omnes etiam ante methodum noverunt. At reliquarum confuetudinum quasdam, quae paulatim magnam contrahunt noxam, non aeque licet per experientiam invenire: dictum autem fufius de ejusmodi confuetudinibus eft in libris de fanitate tuenda. Unde fi in frigidae quoque exhibitione confuetudo citra methodum fatisfacit, nec nos profecto experientiam fugimus; imo omnem quam illi utilitatem ab ea capientes etiam ex-

ὠφελούμενοι προστίθεμεν ἔξωθεν, οἵ γε προστιθέναι δυνάμενοι, τὴν ἐκ τῆς τῶν πραγμάτων φύσεως ἔνδειξιν. ἐν δὲ τῷ παρόντι λόγῳ τὴν ἀκολουθίαν τῆς μεθόδου φυλάττοντες ὁμολογοῦμεν ὁδῷ μακροτέρᾳ ταὐτὸν εὑρίσκειν, ὃ διὰ βραχυτέρας ἐνῆν ἐξευρεῖν ἀναλογισμοῦ χωρίς. ἑωρακότες γὰρ, οἶμαι, πολλάκις ἤδη πολλοὺς τῶν καυσουμένων ἐν πυρετοῖς, ὅταν ἤδη μετρίως ὦσιν οἱ χυμοὶ πεπεμμένοι, [221] παραχρῆμα λύσαντας ἤδη τὸν πυρετὸν ἐπὶ τῇ πόσει τοῦ ψυχροῦ, κἂν ἀήθεις ὦσιν αὐτοῦ, πολὺ δήπου μᾶλλον ἐλπίσομεν ἐπὶ τῶν εἰθισμένων ἄνευ πάσης βλάβης ἔσεσθαι τὴν ὠφέλειαν. ἔχεις οὖν ἤδη καὶ τὸν περὶ τῶν ἐθῶν λόγον, εἰ καὶ κατὰ τὸ πάρεργον, ἀλλ' ἱκανῶς διωρισμένον. ἓν γάρ τι καὶ τοῦτό ἐστι τῶν ἐνδεικνυμένων τὰς ἰάσεις διὰ μέσης τῆς τοῦ νοσήματος φύσεως, ὥσπερ γε καὶ ἡ ἡλικία. καὶ γὰρ καὶ αὕτη διὰ μέσης τῆς κράσεως ἔχει τὴν ἔνδειξιν, οἷον ἡ τῶν παιδίων ὑγρὰν καὶ θερμὴν ἔχουσα τὴν κρᾶσιν ἑτοίμως διαφορεῖται.

Κεφ. ιζ'. Πρόσχες γάρ μοι κἀνταῦθα τὸν νοῦν τῇ διαφορᾷ τῶν σωμάτων. ἡ μὲν τῶν λίθων οὐσία μόνιμός ἐστι

trinfecus praeter hanc adjicimus, qui faltem id poffumus, eam quae a rerum natura fuggeritur indicationem. In hoc vero libro methodi rationem fequentes fatemur longiore via idem invenire, quod brevius invenire citra ratiocinationem liceret. Nam quum faepe jam viderimus non paucos ex iis, qui febribus ardentibus premerentur, quum jam mediocriter concocti humores effent, ftatim ex frigidae potione febre liberatos, quamvis potioni frigidae parum affueti fuiffent, multo, arbitror, magis in iis qui affueverunt utilitatem fore citra noxam ullam fperabimus. Habes itaque nunc etiam de confuetudine rationem, etfi ex incidenti oblatam, tamen fatis definitam. Eft enim ea quoque unum quiddam eorum quae curationes per mediam morbi naturam indicent, quemadmodum et aetas. Siquidem ipfa quoque temperamenti interventu indicationem praeftat veluti puerorum, quae quum humidam et calidam temperiem habeat facile discutitur.

Cap. XVII. Adfis enim animo *velim* ad ea quae de corporum diverfitate hoc loco dicam. Lapidum fubftantia

Ed. Chart. X. [221.] Ed. Baf. IV. (138.)

διὰ ξηρότητα καὶ ψύξιν· οὕτως δὲ ἡ τοῦ χαλκοῦ καὶ τοῦ σιδήρου καὶ ἡ τοῦ χρυσοῦ καὶ συνελόντι φάναι πάντων τῶν γεωδῶν σωμάτων. ἡ δέ γε τῶν ὑγρῶν καὶ θερμῶν εἰς τὸ περιέχον ἀεὶ σκίδναται τάχιστα, ποτὲ μὲν εἰς αἰσθητοὺς ἀτμοὺς λυομένη, ποτὲ δ᾽ εἰς ἀδήλους μὲν τῇ ὄψει, τῷ λόγῳ δὲ γνωστὰς ἀποῤῥοάς. αὗται μὲν οὖν αἱ φύσεις τῶν σωμάτων οἷον ἐκ διαμέτρου πρὸς ἀλλήλας ἀντίκεινται· τῶν δ᾽ ἄλλων ἁπασῶν ἐν μὲν τῇ ξηρᾷ καὶ ψυχρᾷ φύσει πλησιέστερον ὑπάρχουσαι δυσδιαφόρητοι μέν εἰσιν, ἀλλ᾽ ἧττον σιδήρου καὶ λίθου καὶ ἀδάμαντος. ἐν δὲ τῇ θερμῇ καὶ ὑγρᾷ διαφοροῦνται μὲν ἑτοιμότερον, ἀλλ᾽ ἧττον καὶ αὗται τοῦ θερμανθέντος ὕδατος. χωρὶς μὲν γὰρ θερμότητος οὐχ οἷόν τ᾽ ἐστὶ διαφορεῖσθαί τι σῶμα, μενούσης αὐτοῦ τῆς οὐσίας ἐσφιγμένης τε καὶ πεπιλημένης· ὑπὸ θερμότητος δ᾽ οὐχ ἅπαν, ἀλλ᾽ ὅσον ἐπιτήδειόν ἐστιν εἰς ἀτμοὺς λύεσθαι· τοιοῦτον δ᾽ ἐστὶ δήπου τὸ ὑγρόν. ἡ τοίνυν τῶν παιδίων οὐσία ῥᾷστα διαφορεῖται καὶ σκεδάννυται, διότι πασῶν μέν ἐστιν ὑγροτάτη, ψυχροτάτη

constans *stabilisque* propter ficcitatem et frigus eft, ad eundem modum aeris et ferri et auri et uno verbo omnium quae ex terra funt corporum. At quae humida calidaque funt, eorum fubftantia celerrime in ambientem diffipatur, alias in halitum fenfibilem foluta, alias in perfpirationes quae vifum fugiant, fed ratione deprehendantur. Atque hae corporum naturae veluti ex diametro fibi mutuo opponuntur. Reliquarum omnium illae quae frigidae ac ficcae proximae accedunt, aegre quidem per halitum discuti poffunt, minus tamen aegre quam ferrum et lapis et adamas. At quae calidae et humidae funt vicinae, hae promptius quidem discutiuntur atque exhalant, caeterum minus hae quoque quam aqua calefacta. Nam citra calorem non poteft in halitum discuti corpus ullum, fubftantia ejus coacta denfataque manente; fed nec per calorem omne, imo quod habile eft in halitum refolvi, tale porro eft quod humidum eft. Ergo puerorum fubftantia omnium facillime discutitur ac diffipatur, propterea quod eft omnium humidiffima, nulla vero

Ed. Chart. X. [221.] Ed. Baf. IV. (158.)

δὲ οὐδεμιᾶς. ὥστε οὐ χρήζει κενωτικοῦ βοηθήματος, ἐξ ἑαυτῆς ἔχουσα τὸ κενοῦσθαι σύμφυτον. γίγνεται δὲ δήπου καὶ διὰ χώραν θερμὴν καὶ ξηρὰν, ὥραν τε θερινὴν καὶ κατάστασιν ἱκανῶς θερμὴν καὶ ξηρὰν ἡ διὰ τῆς ἐπιφανείας τοῦ σώματος ἀξιόλογος κένωσις, ὥσπερ καὶ διὰ ταύτην τοὺς δεομένους αἵματος ἀφαιρέσεως ἢ οὐδ᾽ ὅλως φλεβοτομήσομεν ἢ ὀλίγον ἀφαιρήσομεν. ἔσονται δὲ καὶ κατὰ τὴν τομὴν τήνδε πολλοὶ σκοποὶ, ἡ φύσις ἡ ἐξ ἀρχῆς, τὸ ἔθος, ἡ ἡλικία, τὸ χωρίον, ἡ ὥρα τοῦ ἔτους, ἡ κατάστασις, ἔτι τε πρὸς τούτοις ἡ νοσώδης διάθεσις ἣν θεραπεύομεν, ἑτέρῳ τε τρόπῳ πρὸ αὐτῆς ἡ τοῦ κάμνοντος δύναμις. οὐσῶν δὲ δηλονότι πολλῶν τῶν διαθέσεων ἰδίᾳ καθ᾽ ἑκάστην αὐτῶν ἡ ἔνδειξις· ἀπὸ μὲν τῆς θερμῆς ἡ τοῦ ψύχειν, ἀπὸ δὲ τῆς ψυχρᾶς ἡ τοῦ θερμαίνειν, ἑκάστης τε τῶν ἄλλων ὑπεναντίωσις, ὥστε ὀκτὼ δυσκρασιῶν οὐσῶν ὀκτὼ καὶ τοὺς κατὰ μέρος εἶναι σκοποὺς ἁπάντων τῶν ἐπιγιγνομένων νοσημάτων τοῖς ἁπλοῖς σώμασιν, ἐξ ἐπιμέτρου δὲ τὸν κοινὸν πρὸς τὰς τῶν ὀργανικῶν διαθέσεις, οὗ μηδὲν ὄνομα ἦν τοῖς ἔμπροσθεν, ἀλλ᾽ ἡμεῖς

frigidior. Quo minus vacuantis praefidii eget, quum habeat ex fe ipfa unde naturaliter vacuetur. Fit autem profecto et propter calidam ficcamque regionem et tempus aeftivum et ftatum coeli impenfe calidum et ficcum notabilis per cutim vacuatio. Itaque etiam hujus caufa iis qui fanguinis detrahendi egent aut prorfus venam non fecabimus aut parum detrahemus. Sane et in hac quoque fectione multi fcopi, natura ab initio, confuetudo, aetas, locus habitationis, anni tempus, coeli ftatus, ad haec morbofus quem curamus affectus, aliaque ratione ante hunc laborantis vires. Quum vero affectus numerofi fint, cuique eorum fua eft curationis indicatio. Quippe a calido indicatio eft refrigerandi, a frigido calefaciendi, ac a reliquorum quolibet contrarium applicandi. Quare quum octo fint intemperies, octo etiam erunt omnium qui fimplicibus corporibus oboriuntur morborum particulares fcopi. Ultraque hos unus ejus affectus qui etiam organicorum eft communis, cujus nullum apud priores nomen fuit; fed nos qui

ἀναγκασθέντες ἑρμηνεύειν αὐτὸ συνεχείας λύσιν ἐκαλέσαμεν, ἐπεδείξαμέν τε τὸν κοινὸν κἀνταῦθα τῆς θεραπείας σκοπὸν εἶναι τὴν ἕνωσιν. ὅσοι δ᾽ ἐξ αὐτοῦ τούτου πάλιν τεμνόμενοι κατὰ μέρος συνίστανται, διὰ τῶν τεττάρων ὑπομνημάτων ἐδείχθησαν, τοῦ τρίτου τῶν ἐν τῇδε τῇ πραγματείᾳ καὶ τετάρτου καὶ πέμπτου καὶ ἕκτου. [222] νυνὶ μὲν οὖν ἔτι τὸν περὶ τῶν δυσκρασιῶν ἐν τοῖς ἑξῆς ὑπομνήμασι ποιήσομαι λόγον. συντελέσας δ᾽ αὐτὸν ἐπὶ τὰ τῶν ὀργανικῶν μορίων ἀφίξομαι νοσήματα καὶ δείξω κατὰ τὴν αὐτὴν μέθοδον ἐν αὐτοῖς τούς τε πρώτους ἁπάντων σκοποὺς, οὓς γενικωτάτους ὀνομάζειν οὐδὲν κωλύει, καὶ τοὺς ἐκ τῆς τούτων τομῆς γενομένους· εἶτ᾽ αὖθις τοὺς ἐξ ἐκείνων, ἄχρι περ ἂν ἐπί τι τῶν μηκέτι ἐγχωρούντων τομὴν ἀφικώμεθα· ταύτην γὰρ ἡμᾶς ὁ Πλάτων ἐδίδαξε μέθοδον ἁπάσης τέχνης συστάσεως. ἀλλὰ περὶ μὲν τῶν ὀργανικῶν, ὡς ἔφην, αὖθις εἰρήσεται· νυνὶ δ᾽ ἀναμνησθέντες ἐν τίνι μέρει τῆς προκειμένης πραγματείας ἐσμὲν, ἐπιθῶμεν ἤδη τῇ παρούσῃ διεξόδῳ τὴν προσήκουσαν τελευτήν. ἓν δή τι γένος ἐστὶ νοσήματος ἐγγινόμενον τοῖς

eum interpretari fumus coacti, continui folutionem appellavimus, oftendimusque communem curationis fcopum hic quoque effe unitionem. At vero qui ex hoc rurfum in partes diducto particulares confiftant, hi quatuor voluminibus funt proditi, tertio, quarto, quinto et fexto hujus operis. Ac nunc quidem inftitutum de intemperiebus fermonem etiam in fequentibus libris perfequar. Hoc abfoluto ad organicarum partium morbos convertar, oftendamque eandem methodum in iis quoque tum primos omnium curationis fcopos, quos generaliffimos appelles licet, tum quae ex harum fectione nafcantur, deinde rurfus qui ex illis oriantur, donec ad eos qui ultra fectionem non admittant pervenero; hanc etenim omnis conftituendae artis methodum Plato nos docuit. Verum de organicis poftea, ut promifi, dicetur; nunc, fi prius in qua parte propofiti operis fimus admonuerimus, praefenti jam disputationi finem idoneum imponemus. Eft igitur unum morbi genus, quod

ὁμοιομερέσι καὶ ἁπλοῖς ὀνομαζομένοις τοῦ ζώου μορίοις, ὃ καλεῖται δυσκρασία. ταύτης τῆς δυσκρασίας ἐνίας μὲν ἐδείξαμεν ἀλλοιουμένων τῶν σωμάτων κατὰ ψιλὰς ποιότητας, ἐνίας δὲ μεθ' ὕλης τινὸς εἰς αὐτὰ κατασκηπτούσης ἀποτελεῖσθαι, γίγνεσθαι δ' ἑκατέρας αὖ πάλιν ἤτοι περὶ ἓν ἢ πλείω μόρια τῶν ζώων ἢ καὶ σύμπαν τὸ σῶμα. διελθόντες οὖν ἐν τῷ τῆσδε τῆς πραγματείας ἑβδόμῳ γράμματι τὰς περὶ τὰ μόρια συνισταμένας δυσκρασίας ἀλλοιουμένων μόνων τῶν ποιοτήτων, ἑξῆς ἐν δυοῖν τούτοιν ἐπὶ τὰς εἰς ὅλον ἐκτεταμένας τὸ ζῶον ἀφικόμενοι περὶ πρώτων ἔγνωμεν διαλεχθῆναι τῶν πυρετῶν. ἐπεὶ δὲ καὶ τούτων αὐτῶν ἔνιοι μὲν ἔτι γίνονται, τῆς ἐργαζομένης αὐτοὺς αἰτίας ἐν τῷ σώματι περιεχομένης, ἔνιοι δ' ἐγένοντο μὲν, οἴχεται δ' αὐτῶν τὸ ποιῆσαν αἴτιον, ἄμεινον ἐδόκει τὸν λόγον ἐπὶ τούτους πρώτους ἄγειν, ἁπλῆν τὴν πρώτην ἔνδειξιν ἔχοντας, εἶθ' ἑξῆς αὐτῶν ἅψασθαι τῷ λόγῳ κἀκείνων τῶν πυρετῶν ὧν ἐν τῷ σώματι τὸ ποιοῦν ἐστιν αἴτιον.

fimilares et fimplices animalis vexat partes, quam intemperiem vocant. Hujus aliquas differentias ex corporibus nuda qualitate alteratis provenire docuimus, aliquas cum materia quapiam, quae in ipfa confluit, rurfusque ambas incidere vel in unicam animalis partem vel plures vel etiam totum corpus. Ergo quum in operis hujus libro feptimo intemperies eas quae alteratis tantum qualitatibus in partibus proveniunt pertractarim, in duobus deinceps libris ad eas quae in totum fe animal extendunt venientibus primum agere de febribus placuit. At quoniam harum ipfarum aliquae adhuc fiunt, manente in corpore caufa eas efficiente, aliquae factae jam funt, fed quae eas accendit caufa jam abiit, fatius vifum eft de iis primum fermonem facere, ut fimplicem primam curationis indicationem habentibus, deinde illas quoque ftilo aggredi quarum in corpore caufa fubfiftit.

# ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ Κ.

Ed. Chart. X. [222. 223.] Ed. Baf. IV. (139.)

*Κεφ. α'.* Ἐπὶ μὲν δὴ τῶν ἐφημέρων πυρετῶν ἁπλῆ τίς ἐστιν ἡ παρὰ φύσιν ἐν τῷ σώματι διάθεσις, ὡς ἂν τῶν πρῶτον ἐργασαμένων αἰτίων αὐτοὺς οὐκ ἔτ᾽ ὄντων. ἐφ᾽ ὧν δ᾽ ἐστὶν ἔτι τὸ ποιοῦν αἴτιον, οὐκ ἐπὶ τούτων οὔθ᾽ ἡ διάθεσις οὔθ᾽ [223] ἡ ἴασις ἁπλῆ. χρὴ γὰρ τὸ μὲν ἤδη γεγονὸς τοῦ πυρετοῦ λύειν ἐκ τῆς οἰκείας ἐνδείξεως αὐτοῦ, τὸ δὲ γεννησόμενον ἀποτρέπειν τε καὶ κωλύειν γενέσθαι· κωλυθήσεται δὲ τῆς ποιούσης αἰτίας αὐτὸ τελέως ἐκκοπείσης. ὥστ᾽ ἐν μὲν τοῖς ἐφημέροις ἡ τῶν πρακτέων ἔνδειξις ἐκ τοῦ πυρετοῦ μά-

# GALENI METHODI MEDENDI LIBER X.

Cap. I. Ergo in diariis febribus fimplex quidam eft in corpore praeter naturam affectus, utpote caufis quae primum eas excitarunt non amplius exiftentibus. In quibus vero caufa efficiens adhuc manet, in iis nec affectus nec fanatio fimplex eft. Quod enim febris jam factum eft, id ex propria ipfius indicatione folvi oportet, quod adhuc eft futurum, id propulfare ac ne fiat vetare, vetabitur autem efficiente id caufa prorfus excifa. Itaque in diariis faciendorum indicatio ex ipfa febre maxime nobis erit; fed

λισθ' ἡμῖν ἔσται, συνεπισκοπουμένοις αὐτῷ φύσιν καὶ ἡλικίαν καὶ ἔθος, ὥραν τε καὶ κατάστασιν καὶ χώραν καὶ δύναμιν. ἐν δὲ τοῖς ἄλλοις ὅσοι τὴν ἀνάπτουσαν αὐτοὺς αἰτίαν ἔχουσιν ἔνδον ὁ πρῶτος σκοπὸς τῆς ἐνδείξεως ἀπὸ τῆς αἰτίας ἐστίν. εἴπερ οὖν ὀρθῶς ἡμῖν ἐδείχθη σῆψις χυμῶν αἰτία τῶν πολυημέρων εἶναι πυρετῶν, ταύτην ἰάσασθαι χρὴ πρώτην, οὐκ ἀμελοῦντας οὐδὲ τοῦ σβεννύναι τὸν ἐξ αὐτῆς ἀνῆφθαι φθάσαντα πυρετόν. εἰ μὲν οὖν εἰς ταὐτὸ συμβαίνοι τά τε τοῦ πυρετοῦ σβεστήρια καὶ τὰ τῆς αἰτίας ἀλεξητήρια, τὸ δηλούμενον ὑπ' ἀμφοῖν ἓν ὂν ἑτοίμως πρακτέον. εἰ δὲ ἡ τῶν ἤδη γεγονότων πυρετῶν ἴασις αὐξάνει τὴν ἀνάπτουσαν αὐτοὺς αἰτίαν, ἢ τὰ τὴν αἰτίαν ἐκκόπτοντα παροξύνει τοὺς πυρετοὺς, ἐπισκεπτέον ἀκριβῶς ὑπὲρ τῆς τῶν βοηθημάτων ἰδέας. ἐπίσκεψις δ' ἀκριβὴς ἄν σοι γένηται διελομένῳ τὴν ὅλην σκέψιν εἰς τρεῖς τούτους σκοποὺς, ἆρά γε τὸν πυρετόν ἐστι μόνον ἰατέον ἀμελοῦντα τῆς αἰτίας, ἢ τὴν αἰτίαν ἐκκοπτέον οὐδὲν φροντίζοντα τοῦ πυρετοῦ, ἢ τὸ μὲν πλεῖστον τῶν βοηθημάτων ὡς πρὸς θάτερον αὐτῶν ἐστὶ ποιητέον,

cum illa naturam et aetatem et confuetudinem et anni tempus et coeli ftatum et regionem et vires fimul expendentes. In reliquis quae accendentem ipfas caufam intus habent, primus fcopus indicationis ab ipfa eft caufa. Itaque fi febrium quae multos dies perdurant recte oftendimus putredinem humorum effe caufam, haec nimirum fananda eft prima; fed nec interim extinguendae febris, quae per eam jam accenfa eft ratio non habenda. Ac fi quidem in idem confentiant et quae febrem extinguunt et quae caufam oppugnant, quod ab utrisque indicatur quum unum fit fine cunctatione agendum eft. Sin febris quae jam accenfa fit fanatio caufam quae hanc excitavit eft auctura, aut quae caufam fubmovent febrem exafperabunt, diligens habenda confideratio eft de remediorum fpecie.[1] Sane diligenter confideraverit qui totam deliberationem in tres fcopos diviferit, febrisne fola curanda fit non folicito de caufa, an caufa oppugnanda minime curanti de febre, an plurimum quidem remediorum ad alteram earum fit adhibendum, non

οὐκ ἀμελητέον δ᾽ οὐδὲ τοῦ λοιποῦ. τὸ μὲν οὖν πρῶτον τῶν ῥηθέντων οὐκ ἐπαινέσομεν· εἰ γὰρ οἷς ἂν ἰώμεθα βοηθήμασι τὸ γενώμενον ἀεὶ τοῦ πυρετοῦ, ταῦθ᾽ ἡμῖν αὐξήσει τὴν ποιοῦσαν αὐτὸν αἰτίαν, οὔτ᾽ ἀναιρήσομέν ποτε τὴν γένεσιν αὐτοῦ οὔτε τὸ μέγεθος καθαιρήσομεν· ἥ τε γὰρ γένεσις ἀκολουθήσει τῇ τῆς ποιούσης αἰτίας ἰδέᾳ τό τε μέγεθος ἐκείνῃ συναυξηθήσεται. τὸ δὲ δεύτερον τῶν ῥηθέντων εἰ διορισώμεθα, γένοιτ᾽ ἂν ἡμῖν χρηστόν. εἰ μὲν γὰρ ἀφόρητον εἴη τῷ κάμνοντι τὸ τοῦ πυρετοῦ μέγεθος, οὐ χρὴ δι᾽ ὧν τὴν αἰτίαν ἐκκόπτομεν αὐξάνειν τὸν πυρετόν. ἅμα γάρ, ὡς ἔοικεν, ἀναιρήσομεν ἀμφοτέρους, τόν τε πυρετὸν καὶ τὸν ἄνθρωπον. εἰ δ᾽ οὕτως εἴη μέτριος ὁ πυρετὸς ὥστε μὴ προκαταλῦσαι τὴν δύναμιν τοῦ νοσοῦντος ἐν ᾧ χρόνῳ πρὸς τὴν αἰτίαν ἐνιστάμεθα μόνην, οὐκ ἀπόβλητος ὁ τοιοῦτος ἂν εἴη τρόπος. οὐκ ἀπόβλητος δὲ οὐδὲ ὁ τρίτος, ἀνθίστασθαι μὲν κελεύων τῷ μείζονα τὴν ἀξίαν ἔχοντι, μὴ μέντοι μηδὲ θατέρου παντάπασιν ἀμελεῖν. ὡς τὰ πολλὰ μὲν οὖν ἡ αἰτία μείζονα τὴν ἰσχὺν ἔχει. γένοιτο δ᾽ ἄν ποτε τηλικοῦτον τοῦ πυρετοῦ τὸ

tamen altera neglecta. At quod primum quidem eft dictum probare non debemus; fi namque quibus praefidiis id febris quod femper gignitur oppugnamus, ea effectricem ejus caufam auxerint, *plane* nec generationem ejus aliquando inhibebimus nec magnitudinem minuemus; quippe et generatio ejus effectricis caufae fpeciem imitabitur et magnitudo cum illa pariter inaugefcet. Quod fecundum dictum eft, fi id diftinguemus, poterit effe nobis commodum. Nam fi intolerabilis aegro magnitudo febris fit, committendum non eft ut per ea quibus caufam adimimus febrem augeamus. Simul enim, arbitror, utrumque, et febrem fuftulerimus et hominem. Sin ita mediocris fit febris ut quo tempore contra caufam tantum pugnas, obruendae interim vires aegrotantis non fint, utique contemnendus is modus non eft. Non contemnendus autem nec tertius eft, qui contra id cujus majus momentum eft inftare jubet, nec tamen alterius omnino negligentem effe. Sane plerumque caufae major eft vis. Fieri tamen aliquando poteft ut ea fit febris ma-

μέγεθος ὡς ὑπόγυιον ἐπιφέρειν τὸν ὄλεθρον, εἰ μή τις αὐτὸ κωλύσειεν· ἡνίκα γε χρὴ τοῦτ' ἐκκόψαντας πρότερον, ἐπὶ τὴν τῆς αἰτίας ἀναίρεσιν ἰέναι. ταυτὶ μὲν οὖν, ὦ Εὐγενιανὲ, διωρίσθω σοι κατ' ἀρχὰς εὐθέως ὑπὲρ τῶν ἐναντίων ἐνδείξεων. ἐπεὶ δ' ἐν τῷ ταύτας ἐξετάζειν οὐ σμικρὰν μοῖραν εἰς τὸ σωθῆναι τὸν ἄνθρωπον ἡ δύναμις ἔχειν ἐφάνη, γίγνοιτ' ἂν σοι καὶ ἥδε σκοπὸς οὐ σμικρὸς εἰς τὴν τῶν πρακτέων εὕρεσιν. ὥστε εἶναι τοὺς πρώτους τρεῖς σκοποὺς ἐνδεικτικοὺς τῶν ποιητέων ἐν τοῖς ὑποκειμένοις τῇ σκέψει πυρετοῖς· ἕνα μὲν οὖν αὐτὸν τὸν πυρετὸν, ἕτερον δὲ τὴν γεννῶσαν αὐτὸν αἰτίαν, καὶ τρίτον τὴν δύναμιν. ἀλλὰ τοὺς μὲν δύο πρώτους σκοποὺς ἀναιρεῖν προσήκει, φυλάττειν δὲ τὸν τρίτον. ἔσται δή σοι κἀνθάδε πάλιν ἡ αὐτὴ σκέψις ἣν μικρὸν ἔμπροσθεν ἐσκέψω, παραβάλλοντι τῇ δυνάμει τόν τε πυρετὸν ἐν μέρει καὶ τὴν αἰτίαν, εἶτα εἰ μὲν τῶν αὐτῶν ἄμφω δέοιντο βοηθημάτων, ἑτοίμως λαμβάνοντι, μαχομένων δὲ τῶν ἐνδείξεων, ἤτοι τὴν ἀπὸ τῆς δυνάμεως ἢ τὴν ἀπὸ τῆς αἰτίας [224] ἢ τοῦ πυρετοῦ προαιρουμένῳ, ἢ τῷ μὲν ἰσχυροτέρῳ

gnitudo quae praeſentem perniciem, niſi occurras, afferat: quo caſu oportebit hac prius ſubmota, deinde ad cauſam ſubmovendam accedere. Atque haec, mi Eugeniane, decidenda tibi inter initia ſtatim de contrariis indicationibus ſunt. Quum autem in iis examinandis non parum viſa eſt ad hominis ſalutem momenti habere vis ipſa *naturalis*, utique de ea quoque non levis tibi ad agendorum inventionem ſcopus eſt habendus. Ita fit ut tres primi ſcopi ſint qui in ſubjectis conſiderationi febribus agendorum indicationem nobis praebeant, unus febris ipſa, alter effectrix ejus cauſa, tertius vis ipſa *naturalis*. Caeterum priores duo ſcopi ſubmovendi ſunt, tertius eſt tuendus. Erit igitur rurſus hic quoque eadem tibi conſideratio quae paulo ſupra, ut cum viribus tum febrem particularem tum cauſam invicem conferas. Mox ſi eadem ambo remedia requirent, ea prompte exequaris. Sin indicationes pugnabunt, unam praeferas vel quae a viribus ſumitur vel quae a cauſa vel quae a febre, ac quae caeteris ſit valentior, hanc magis ſequaris,

μᾶλλον ἑπομένῳ, μὴ μέντοι γ᾽ ἀμελοῦντι μηδὲ τῶν ὑπολοίπων. ἐκ γάρ τοι τῶν τοιούτων διορισμῶν διδαχθήσῃ πρώτως μὲν τὴν αἰτίαν ἐκκόπτειν καὶ τὸν πυρετὸν, ὅταν στοχαζομένῳ σοι φαίνηται τοῖς τοιούτοις ἰάμασιν ἡ δύναμις ἐξαρκοῦσα· πρώτην δ᾽ αὖ πάλιν ῥωννύναι τὴν δύναμιν, ὅταν ἄῤῥωστος οὖσα μὴ φέρῃ τά τε τῆς αἰτίας καὶ τὰ τοῦ πυρετοῦ βοηθήματα. καὶ μέντοι καὶ πάντων ἅμα στοχάζεσθαί ποτε δυνατὸν, ὡς ὀλίγον ἔμπροσθεν ἐπί τε τοῦ πυρετοῦ καὶ τῆς αἰτίας ἐδείχθη.

Κεφ. β΄. Τριῶν οὖν ὄντων τούτων οἷς χρὴ προσέχειν τὸν νοῦν ἐν ταῖς προκειμέναις τῶν πυρετῶν ἰάσεσιν, αὐτοῦ τε τοῦ πυρετοῦ καὶ τῆς ποιούσης αὐτὸν αἰτίας καὶ τῆς τοῦ κάμνοντος δυνάμεως, εὑρημένων δὲ καὶ τῶν τῆς ἐνδείξεως τρόπων τῶν γενικῶν, οὓς καὶ καθόλου προσαγορεύομεν, ἐπὶ τὰς διαφορὰς ἤδη τῶν εἰδικῶν τε καὶ κατὰ μέρος ἰέναι χρὴ βοηθημάτων, ἀναμνήσαντας αὖθις τῶν ἐφημέρων πυρετῶν, ἐπειδή τινες ἐξ αὐτῶν μεταπίπτουσιν εἰς τοὺς πολυημέρους. γιγνομένης δὲ τῆς μεταπτώσεως αὐτῶν καθ᾽ ἕνα τρόπον τὸν κοινότατον, δι᾽ ἀμαθίαν τῶν ἰατρῶν, εἰδικωτέρους δὲ δύο,

nec taman caeteras negligas. Ex hac namque discretione doceberis primo caufam febremque profligare, ubi videlicet conjicis harum remedia vires poffe ferre; rurfus primam roborandam virtutem effe, ubi haec imbecillior eft quam ut caufae febrisque praefidia fuftineat. Quin etiam omnia pariter fub conjecturam agi licet, veluti paulo fupra de febre et de caufa eft monftratum.

Cap. II. Ergo quum tria haec fint quibus adhibere mentem in propofitis febribus curandis oporteat, febris ipfa hujus efficiens caufa et aegrotantis vires, inventique praeterea fint generales indicationum modi, quos etiam generales univerfalesque dicimus, transeundum, arbitror, nunc ad praefidiorum differentias, quae fpecialia particulariaque funt, fed mentione de diariis repetita, quandoquidem ab ipfis in eas quae plures dies continuent aliqui transeunt. At vero quum in has transeant una quidam ratione maxime communi, ipfa medicorum infcitia, duabus magis privatis,

διότι καὶ αὐτῶν τῶν πυρετῶν ἤτοι γ' ἀπήλλακται τὸ ποιῆσαν αἴτιον ἢ καὶ νῦν ἔτι μένει, περὶ ἀμφοτέρων ἐν μέρει λεκτέον. ἀπήλλακται μὲν οὖν τὸ ποιῆσαν αἴτιον, ὅταν ἐπὶ θυμῷ καὶ λύπῃ καὶ ἀγρυπνίᾳ καὶ φροντίδι καὶ ἡλίῳ θερινῷ καὶ κόπῳ καὶ βουβῶνι παυσαμένῳ γένηται πυρετὸς ἄνευ στεγνώσεως· οὐκ ἀπήλλακται δὲ, ὅταν ὑπὸ τοῦ προκατάρξαντος ἢ αὐτοῦ πυρετοῦ γένηταί τις στέγνωσις. ἥ τε γὰρ ψύξις ἀεὶ καὶ ἡ τῶν στυφόντων ὁμιλία διὰ μέσης στεγνώσεως ἐργάζονται πυρετὸν, ἥ τ' ἔγκαυσις ἔστιν ὅτε στεγνοῖ τὴν ἕξιν, αὐτή τε πολλάκις ἡ ἀρχὴ τοῦ πυρετοῦ φρικώδης γενομένη στέγνωσιν εἰργάσατο. καὶ μέντοι καὶ γλίσχροι καὶ παχεῖς ἢ καὶ πολλοὶ χυμοὶ μετρίαν ἔμφραξιν ποιησάμενοι τὸν ἐφήμερον ἐνίοτε γεννῶσι πυρετὸν, ὅταν ἀγαθῶν ἰατρῶν τύχωσιν, ὡς ἔμπροσθεν ἐδείκνυτο. καλοῦνται μὲν οὖν πάντες ἐφήμεροι οἱ τοιοῦτοι πυρετοὶ, διότι λύεσθαι πεφύκασιν ὅσον ἐφ' ἑαυτοῖς ἡμέρᾳ μιᾷ, συναριθμουμένης αὐτῇ δηλονότι καὶ τῆς νυκτός· ὥσπερ ἐν τῷ λέγειν ἡμερῶν εἶναι μῆνα τριάκοντα καὶ τὸν ἐνιαυτὸν τριακοσίων ἑξήκοντα καὶ πέντε, καὶ τόδε τι πέπρακται πρὸ

quod ipfarum febrium vel caufa effectrix vel etiam abiit vel etiamnum manet; de utrisque feorfum eft dicendum. Porro abiit effectrix caufa, quoties ab ira, moerore, vigilia, cura, aeftivo fole, fatigatione et bubone jam fedato excitata citra ftipationem febris eft. Manet quoties vel ab externa caufa, vel ab ipfa febre ftipatio aliqua facta eft. Nam et frigiditas et adftringentium ufus per mediam ftipationem femper febrem excitant. Uftio praeterea nonnunquam corporis habitum conftipat. Jam ipfum febris principium, ubi cum hororre invalit, ftipationem *faepe* fecit. Quin etiam lenti et craffi aut etiam copiofi humores, ubi mediocriter obftruxerunt, diariam aliquando febrem accendunt, quum idoneum fortiti funt medicum, ut fupra eft indicatum. Sane dicuntur idcirco ejusmodi febres omnes diariae, quia folvi, quod ex ipfis eft, uno die funt aptae, conputata nimirum cum hoc una et nocte, quemadmodum quum dicimus menfem effe triginta dierum et annum trecentorum fexaginta quinque, et hoc geftum effe ante tres dies aut gerendum effe poft

τριῶν ἡμερῶν, ἢ πραχθήσεται μετὰ τέσσαρας. οὐ μὴν ἡ αὐτή γε διάθεσις ἁπάντων αὐτῶν ἐστιν, ἀλλ' ἔνιοι μὲν ἀχώριστον ἔχουσι τὴν (140) στέγνωσιν, ἔνιοι δὲ οὐκ ἀχώριστον μὲν, ἤτοι δ' ὡς τὰ πολλὰ συνοῦσαν ἢ ἀμφιδόξως ἢ σπανίως. ἀχώριστος μὲν οὖν ἡ στέγνωσίς ἐστι τοῖς διὰ τὸ στυπτηριῶδες ἢ χαλκανθῶδες ὕδωρ ἤ τι τοιοῦτον ἕτερον, ἢ διὰ ψύξιν ἢ διὰ βραχεῖαν ἔμφραξιν πυρέξασιν, ὡς τὸ πολὺ δὲ τοῖς δι' ἔγκαυσιν· ἀμφιδόξως δὲ τοῖς διὰ κόπον. ὅσοι δὲ διὰ θυμὸν ἢ λύπην, ἢ ἀγρυπνίαν, ἢ σύντονον σκέψιν, ἢ ἀπεψίαν, ἢ βουβῶνα πυρέττουσι, σπανιάκις αὐτοῖς σύνεστι στέγνωσις. οὗτοι πάντες οἱ πυρετοὶ κατὰ τὸν ἑαυτῶν λόγον οὐκ ἀναμένουσι δεύτερον παροξυσμὸν, ἀλλ' ἐντὸς τῶν εἴκοσι καὶ τεσσάρων ὡρῶν παύονται τοὐπίπαν, ἢ εἴπου κατὰ τὸ σπάνιον ἐνίοτε τινὲς αὐτῶν ἐπὶ πλέον ἐκτείνονται, δύο δ' αὐτοῖς αἰτίαι προσγενόμεναι, κωλύουσι λυθῆναι, μία μὲν ἡ ψύξις ἤτοι γ' ἐκ τοῦ περιέχοντος ἀέρος [225] ἢ ἐξ ἀλείμματός τινος ἔξωθεν προσενεχθέντος, ἑτέρα δ' ἡ δαιμονία διάτριτος, ἐὰν ἀναγκασθῶσιν ὑπερβάλλειν αὐτὴν ἰατρῶν ἀμαθίᾳ. εἰ δὲ τὸ περιέχον ἀλεεινὸν

quatuor. Caeterum non eſt idem ipſarum omnium affectus, ſed ab aliquibus inſeparabilis ſtipatio eſt, ab aliquibus minime inſeparabilis, ſed vel ut plerumque ſimul adeſt vel ambigua ſorte vel raro. Inſeparabilis ſtipatio eſt iis qui ex aluminoſa aqua vel vitriolina vel tali quapiam alia, aut ex frigore aut levi obſtructione febricitarunt. Plurimum vero iis adeſt qui ex uſtione febricitant, ambigua ſorte iis qui ex fatigatione. Quicunque vero ex ira vel triſtitia vel vigiliis vel pertinaci ſtudio vel cruditate vel bubone febricitant, iis raro adjuncta ſtipatio eſt. Atque harum omnium febrium nulla, quod ex ipſa ſit, ad ſecundam usque acceſſionem perdurat, ſed intra quatuor et viginti horas omnino deſinit. Aut ſi quando earum aliquae, quod tamen rarius ſit, longius trahant, duae iis accedunt cauſae quae ipſas ſolvi vetant; earum una frigus eſt, quod vel ex ambiente aëre, vel ex unctione quapiam extrinſecus admota proveniat, altera egregia iſta diatritos eſt, ſi qui hanc transire medicorum inſcitia coguntur. Quod ſi et ambiens aër calidus ſit, et nemo ex medicis qui

ὑπάρχει καὶ μηδεὶς τῶν τὴν διάτριτον σεβόντων ἰατρῶν παρείη τῷ κάμνοντι, παύσεται μὲν ὁ πυρετὸς ἐπὶ τῷ πρώτῳ παροξυσμῷ μεθ᾽ ἱδρῶτος ἢ νοτίδος ἢ διαπνοῶν ἀτμωδῶν, ὁ κάμνων δ᾽ αἰσθανόμενος ἀπαλλαγῆναι ἑαυτὸν τοῦ πυρετοῦ τὰ συνήθη πράττειν ἐπιχειρήσει λουόμενος ἢ ἀλειφόμενος ἢ καὶ χωρὶς τούτων ἐσθίων, εἴ τις εἴη τῶν ὀρείων ἀγροίκων. οἱ μὲν οὖν ἰδιῶται καθάπερ ἄλλα πολλὰ πρὸς αὐτῆς τῶν πραγμάτων τῆς φύσεως διδασκόμενοι πράττουσιν ἄμεινον τῶν σοφιστῶν, οὕτω κἀν τοῖς ἐφημέροις πυρετοῖς ἱκανοὶ τὸ σύμπαν ἑαυτοῖς ἐκπορίζειν εἰσὶν, ὅταν γε χωρὶς ἰσχυροτέρας στεγνώσεως συστῶσιν. εἰ δὲ μετὰ τοιαύτης εἰσβάλοιεν, ἀτυχήσαντες μὲν ἰατρῶν περιπίπτουσί τινι τῶν σεβόντων τὴν διάτριτον, εὐτυχήσαντες δὲ τῶν λουσόντων τε καὶ θρεψόντων αὐτοὺς καὶ τἄλλα σύμπαντα πραξόντων, ὅπως ἡ στέγνωσις λυθείη. πολλάκις γοῦν, ὡς εἴρηται, δι᾽ ἔμφραξιν βραχεῖαν ἅμα λεληθυίᾳ πυκνώσει τοῦ δέρματος, ἤτοι διὰ λουτρὸν μοχθηρὸν ἢ δι᾽ ἄλλο τι γενομένῃ, πυρετοῖς ἐφημέροις ἑάλωσαν ἔνιοι· καθ᾽ ὃν καιρὸν ἐὰν μὴ ταχέως τις ἰάσηται τὴν ἔμφρα-

diatriton fufpiciunt ad aegrotantem accedat, febris quidem poft primam acceffionem finietur, idque cum fudore vel madore vel transpiratu halituofo. Aeger autem ubi fe liberatum a febre fenferit, ad confueta munia redibit, lavans ungensque fe, aut etiam, fi agreftis quispiam monticola fit, his omiffis comedens. Ac vulgus quidem ficuti multa alia ab ipfa rerum natura edoctum melius, quam fophiftae agit, ita et in diariis febribus omnia fibi ipfi praeftare fufficit, praefertim ubi citra valentem ftipationem confiftere. Ubi vero cum ejusmodi *ftipatione* invaferint, qui infortunati funt in medicum aliquem incidunt eorum qui diatriton efferunt, qui fortunati, in eum qui ipfos et lavabit et nutriet, caeteraque omnia praeftabit quibus ftipatio folvatur. Saepe namque, ceu dictum eft, ex levi obftructione cum cutis latente denfitudine, quae vel ex vitiofa lavatione vel alio quopiam eft contracta, diariis nonnulli febribus funt correpti, quo tempore nifi quis celeriter obftructionem fubmo-

ξιν, εἰς τοὺς πολυημέρους μεταπίπτουσιν. ἔστι γὰρ ὁ τοιοῦτος πυρετὸς ὅσον μὲν ἐφ᾽ ἑαυτῷ κοινὸς τῶν πολυημέρων τε καὶ τῶν ἐφημέρων, ἀλλὰ διὰ τὴν σμικρότητα τῆς αἰτίας μονήμερος γίνεται, καθάπερ γε καὶ διὰ μεγέθους ἐστὶν ὅτε πολυήμερος· ἀλλ᾽ ὅ γε παροξυσμὸς εἷς αὐτοῦ μέχρι τοῦ τέλους ἀπὸ τῆς ἀρχῆς ἐστιν, ἐὰν μὴ τύχῃ διαδεξάμενος αὐτὸν ὁ ἐπὶ σήψει χυμῶν. ἔστ᾽ ἂν οὖν μήτ᾽ ἐν τῷ σφυγμῷ μηδέπω τὸ τῆς σήψεως ὑπάρχει γνώρισμα μήτ᾽ ἐν τῇ θέρμῃ μήτ᾽ ἐν τοῖς οὔροις, ἐπ᾽ ἐμφράξει τε μόνῃ τὴν γένεσιν ἔχει καὶ ἴασις αὐτῷ τῆς ἐμφράξεως ἡ λύσις γίγνεται, καὶ ὡς χρὴ λύειν αὐτὴν ἔμπροσθεν εἴρηται. πλείους οὖν αἱ κατὰ μέρος διαφοραὶ φαίνονται τῶν ἐφημέρων πυρετῶν· μία μὲν ὅταν μηδ᾽ ὅλως ᾖ μηκέτι τὸ ποιῆσαν αὐτοὺς αἴτιον, οἷον ἡ ἔγκαυσις· ἑτέρα δ᾽ ὅταν ἔτι παρείη, καθάπερ ἡ στέγνωσις, ἧς ἐδείχθησαν οὖσαι διτταὶ διαφοραὶ, πύκνωσίς τε τῶν μικρῶν πόρων καὶ ἣν νῦν μεταχειριζόμεθα κατὰ τὸν λόγον ἔμφραξις. ἔστι δὲ δήπου καὶ τῆς πυκνώσεως ἡ μὲν διὰ ξηρότητα, καθάπερ

verit, in plurimorum dierum febres transeunt. Eft namque ejusmodi febris, quantum ex ipfa eft, earum quae plures dies infeftant et quae diariae funt communis; caeterum propter caufae parvitatem unius diei efficitur, ficut etiam propter magnitudinem multorum interdum dierum, verum acceffio ejus ab initio ad exitum usque una eft, modo ne ipfam excipiat ea quae ex putredine humorum nascitur. Ergo quoad nec in pulfu nec in calore nec lotio putredinis adhuc advertitur nota, atque ex fola obftructione ortum habet, utique ipfa obftructionis folutio ejus eft fanatio; quemadmodumque hanc folvere conveniat ante eft dictum. Multae igitur apparent diariarum effe febrium particulares differentiae; una quando jam prorfus abiit effectrix ipfarum caufa, veluti uftio, altera quando haec etiam adeft, ficut ftipatio, cujus duae monftratae funt differentiae, nempe exiguorum meatuum denfitas et de qua nunc agimus obftructio. Sane denfitudo ipfa alias ex ficcitate provenit, veluti poft fervores aut fatigationes aut iras, alias ex frigore eoque vel

ἐπ' ἐγκαύσεσιν ἢ κόποις ἢ θυμοῖς, ἡ δὲ διὰ ψύξιν ἤτοι γε ἁπλῆν ἢ μετὰ στύψεως· ὅπῃ δ' ἀλλήλων αὗται διαφέρουσιν ἐν τοῖς περὶ φαρμάκων διήρηται. καὶ τῆς ἐμφράξεως δὲ ἡ μέν τις διὰ πλῆθος, ἡ δὲ διὰ ποιότητα γίνεται χυμῶν ἤτοι γλίσχρων ἢ παχέων ὑπαρχόντων. ἐπικρατήσει δὲ κατὰ τὴν ἴασιν ἐν μὲν τῇ διὰ πλῆθος ἀφαίρεσις αἵματος, ἐν δὲ τῇ διὰ ποιότητα τῶν λεπτυνόντων ἡ χρῆσις. ὁ δ' ἀπὸ τῆς δυνάμεως σκοπὸς ἐν μὲν τοῖς ἐφημέροις πυρετοῖς μικρὸς, ἀξιόλογος δ' ἐν τοῖς πολυημέροις ἐστὶ καὶ μᾶλλον ὅσῳ περ ἂν ὦσι μακρότεροι. κατὰ φύσιν μὲν οὖν ἐχούσης τῆς δυνάμεως οὐδὲ τὸ βραχύτατον ἡ τῶν κενωτικῶν βοηθημάτων ἐμποδίζεται χρῆσις ἐν τοῖς πολυημέροις πυρετοῖς καὶ τοῖς ὀλιγημέροις, οὐ κατὰ φύσιν δὲ ἐχούσης, λέγω δὲ οὐ κατὰ φύσιν, ὅταν ἀῤῥωστοτέρα πως ὑπάρχῃ κατὰ τὸ μέγεθος ἀεὶ τῆς ἀῤῥωστίας, ἐμποδίζεται τὰ κενωτικὰ βοηθήματα. σπανιώτερον μὲν οὖν εὐθύς ἐστιν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἢ τῇ δευτέρᾳ τὴν δύναμιν ὑπάρχειν ἀσθενῆ. γίγνεται δ' ἐνίοτε καὶ διὰ καχεξίαν τοῦ κάμνοντος καὶ διὰ γῆρας. ἐνίοις δὲ καὶ

ſimplici vel cum adſtrictoria vi, quae quemadmodum inter ſe differant in libro de medicamentis eſt praeceptum. Jam vero obſtructionum ipſarum alia eſt quae ex plenitudine, alia quae ex humorum qualitate, qui aut lenti aut craſſi ſint, incidit. Praeferetur autem inter remedia in ea quam copia facit ſanguinis miſſio, in ea quae ex humorum qualitate conſiſtit attenuantium uſus. Qui vero ex viribus ſcopus petitur, in diariis ſane eſt exiguus, in iis quae pluribus diebus urgent inſignis eſt, eoque magis quo hae ſunt longiores. Enimvero ubi ſecundum naturam ſe vires habent, ne minimum quidem in plurium dierum ac paucorum febribus vacuantium auxiliorum uſum morantur, ubi non ſecundum naturam ſe habent, voco autem non ſecundum naturam quum infirmiores quodammodo ſunt, pro magnitudine imbecillitatis impeditur vacuantium auxiliorum uſus. Sane rarius accidit ut protinus in primo ſecundove die vires imbecillae cernantur, accidit tamen interdum et propter aegrotantis malum corporis habitum et propter ſenium,

κόπος [226] ἅμα ἐγκαύσει καὶ λύπῃ καὶ ἀγρυπνίᾳ προσγενομένῃ καὶ ἀσιτίᾳ δι᾽ ὅλης ἡμέρας ἐπιγιγνομένῃ, κἄπειτα περὶ τὴν ἑσπέραν εἰςβάλλοντος τοῦ πυρετοῦ, πρὶν τραφῆναι τὸν ἄνθρωπον, ἀγρύπνου τε γενομένου τῆς νυκτὸς ἱκανῶς κατέλυσε τὴν δύναμιν.

Κεφ. γ΄. Καί σοι διηγήσομαι τοιοῦτον ἄῤῥωστον ἐφ᾽ οὗ πρῶτον ἐτόλμησα τῷ λόγῳ ποδηγούμενος ὑπεριδεῖν μὲν τῆς διατρίτου, στοχάσασθαι δὲ τῆς δυνάμεως. ὕστερον δὲ καὶ ἄλλους ἰδὼν ὁμοίως αὐτῷ θαῤῥῶν ἤδη τὸν αὐτὸν τρόπον ἰασάμην ὅνπερ κἀκεῖνον. ἡ γὰρ πρώτη πεῖρα μαρτυρήσασα τοῖς ὑπὸ τοῖς ἐνδείξεως εὑρημένοις θαρσαλεωτέρους ἀποτελεῖ πρὸς τὴν ἐκ δευτέρου χρῆσιν. ὁ τοίνυν ἁλοὺς τῷ πυρετῷ νεανίσκος ἦν μὲν ἐτῶν πέντε καὶ εἴκοσιν, ἰσχνὸς καὶ μυώδης τὸ σῶμα, καθάπερ κύων ξηρὸς καὶ θερμὸς ἀκριβῶς τὴν κρᾶσιν. ἔχαιρε δέ πως καὶ γυμνασίοις καὶ τἄλλα φροντιστής τε καὶ φιλόπονος ἦν. οὗτος ἀποδημῶν, εἶτα πυθόμενός τι τῶν οὐχ ἡδέων ἠνιάθη τε ἅμα καὶ συντείνας ἑαυτὸν εἰς τὴν πόλιν ἠπείγετο. διὰ μὲν οὖν τῆς προτέρας ἡμέρας ἐκοπώθη τε

Nonnullis etiam fatigatio, ubi ustio et tristitia vigiliaeque praecesserunt, et inedia per totum sequuta est diem, dein febris prius quam homo cibaretur circa vesperam corripuit et nox insomnis est acta, vires magnopere resolvit.

Cap. III. Ac tibi talem aegrotum narrabo in quo primum ausus sum ratione deductus et diatriton contemnere et virium rationem habere, posteaque alios quos in simili casu vidi audacter eodem modo quo illum curare, siquidem primum periculum, postquam iis quae ab indicatione sunt inventa subscripsit, ad secundum usum reddit magis animosos. Ergo juvenis qui febre est correptus annos natus erat quinque et viginti, gracili corpore et musculoso veluti canis, tum sicco calidoque omnino temperamento. Jam idem exercitatione quodammodo delectabatur, et alioqui cogitabundus et industrius erat. Is peregre agens quum nuncium parum gratum accepisset et tristatus est, propere se accingens ad urbem festinavit. Ac priore quidem die et laboravit

μετρίως καὶ λουσάμενος καὶ δειπνήσας ἀνεπαύσατο κατά τι πανδοχεῖον ἀγρυπνήσας τὰ πλείω. κατὰ δὲ τὴν ὑστεραίαν ἔτι καὶ μᾶλλον ἠπείχθη καὶ διανύσας ὁδὸν παμπόλλην καὶ ψαμμώδη καὶ αὐχμηρὰν, ἐν ἡλίῳ θερμῷ σχεδὸν ὥρας ἑβδόμης καὶ ἡμισείας εἰς τὴν πόλιν ἀφίκετο. πυθόμενος δὲ ἡδίω δι' ἅπερ ἔσπευδεν, εἰς γυμνάσιον ἐπορεύθη λουσόμενος, εἶτ' ἀλειψάμενος ἀνετρίψατο σύν τινι τῶν αὐτόθι νεανίσκων. καὶ προτραπεὶς ὑπ' αὐτοῦ κινηθῆναι βραχέα, φιλονεικίας αὐτοῖς ἐγγενομένης, οἵαις πολλάκις εἰώθασι περιπίπτειν οἱ γυμναστικοὶ, πλείω τοῦ δέοντος ἐγυμνάσατο· καὶ ἦν ἤδη ξηρὸς ἀμέτρως. ἐξελθὼν δὲ τοῦ γυμνασίου καταλαμβάνει μαχομένους τῶν ἑταίρων τινάς· οὓς διαλύων ἔλαθεν αὖθις ἑαυτὸν ἑτέρῳ περιπεσὼν οὐ μικρῷ γυμνασίῳ, τοὺς μὲν ἕλκων ἐξ αὐτῶν, τοὺς δὲ ὠθῶν, τοὺς δὲ διαλαμβάνων μέσους, ἐπιτιμῶν τέ τισιν ἐξ αὐτῶν ὡς ἀδικοῦσι καὶ θυμούμενος ὑπὲρ τῶν ἀδικουμένων, ὥσθ' ὑποστρέψαι ξηρὸς ἐσχάτως οἴκαδε, κόπου τε καὶ ἀνωμαλίας αἰσθανόμενος. ὕδατος οὖν ὡς εἰώθει πιὼν, ἐπειδὴ μηδὲν ἐγίγνετο κρεῖττον, ἀλλ'

modice et lotus coenatusque in quodam diverforio quievit, fed maxima ex parte fine fomno. Poftera die etiam magis feftinavit, ac longa via et fabulofa et fquallente tum fub fervente fole confecta, hora prope feptima et femiffe pervenit in urbem. Ibi quum ea quorum caufa maturaffet meliora audiret, in gymnafium lavaturus proficifcitur; dein unctus una cum quodam eorum qui aderant juvene perfrictus eft. A quo quum ut paululum dimoveret provocaretur, orta inter eos contentione, qualia faepe incidunt iis qui exercitationibus indulgent, plus jufto eft exercitatus, eratque jam immodice ficcus. Egreffus vero gymnafium invenit amicorum quosdam pugnantes, quos dum dirimit imprudens in aliam exercitationem non levem incidit, dum alios eorum divellit, alios impellit, alios complectitur medios, alios ut injurios increpat, ac pro iis qui injuriis affecti effent irascitur adeo ut domum fe in fumma ficcitate reciperet, laffitudinem inaequalitatemque fentiens. Aquam igitur ex confuetudine bibens, ubi nihilo fe levatum, fed

ἐπετείνετο τὰ τῆς ἀνωμαλίας αὐτῷ, τοῦτο μὲν ἤμεσεν. ἄμεινον δ᾽ ὑπολαβὼν εἶναι μηδέπω τρέφεσθαι, κατέκλινε τότε καὶ ἡσύχαζε (141) ὥρας σχεδόν τι τῆς ἡμέρας ἑνδεκάτης· τοῦτο πράξας, ἀγρυπνήσας δὲ μετὰ τοῦ πυρέξαι δι᾽ ὅλης τῆς νυκτὸς, ἡσύχαζε κατὰ τὴν ἐπιοῦσαν ἄχρι μεσημβρίας, ἰάσασθαι τὴν ἀγρυπνίαν ἐλπίζων. ἡνίκα δέ τινες αὐτὸν ἰατροὶ τῆς διατρίτου θεασάμενοι, κατὰ μὲν τὸ παρὸν ἔφασαν ἀξιόλογον εἶναι πυρετὸν, εἰς ἑσπέραν δ᾽ αὖθις ὄψεσθαι. καὶ τοίνυν καὶ θεασάμενοι πάλιν ἑσπέρας παρακμάζοντα τὸν πυρετὸν, οὐκ ἠξίωσαν οὐδὲ τότε θρέψαι, καίτοι γ᾽ ἄλλου τινὸς ἰατροῦ συμβουλεύοντος, ἀλλὰ ἀντέστησαν ἐκεῖνοι γενναίως, εἰ μὲν γὰρ ἀπύρετος ἐγεγόνει, τάχα ἂν αὐτῷ δοῦναι τροφὴν εἰπόντες, ἔτι δὲ πυρέττοντι οὐκ ἂν δοῦναι. καὶ τοίνυν καὶ κατὰ τὴν τρίτην ἡμέραν ἕωθεν ἀφικόμενοι τὴν διάτριτον ὑπερβάλλειν ἠξίουν. ἦν δ᾽, ὡς εἴρηται πρόσθεν, ἡ ὕποπτος ὥρα τῆς ἡμέρας ἐκείνης ἑνδεκάτη. χωρισθέντων οὖν αὐτῶν ἐγὼ παραγενόμενος ἐθεασάμην τοῦ νεανίσκου τὸ πρόσωπον οἷόν περ ὁ Ἱπποκράτης ἐν προ-

inaequalitatem fibi intendi fentit, hanc quidem vomuit. Ratus autem utilius adhuc cibo abftinere, accubuit ac quieti fe dedit hora ferme diei undecima; quod quum feciffet ac nocte tota febre divexatus vigilaffet, poftridie quoque quievit usque ad meridiem, fperans fe fomni aliquid confecuturum. Quo tempore quum eum medici quidam diatriton colentes inviferent, tum quidem homini fatis magnam effe febrem ajebant, vefperi autem fe illum revifuros. Itaque et vefperi quum redirent, ac febrem declinatam cernerent, ne tum quidem nutriendum cenfuerunt, quamvis etiam id alius quidam medicus fuaderet; imo ftrenue reftiterunt adjicientes, fi quidem fine febre effet, fortaffe cibum daturos, febricitante adhuc minime id facturos. Quin etiam quum tertio die mane redirent, etiam tertiae diei acceffionem transmittendam cenfuerunt, erat autem, ut prius dictum eft, fufpecta hora illius diei undecima. Ergo digreffis illis ego acceffi, ac faciem juvenis contemplatus, vidi talem effe qualem in

γνω[227]στικῷ γράφει διὰ τῆσδε τῆς ῥήσεως· ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι καὶ τἄλλα ἅπερ ἴσμεν ἐφεξῆς αὐτῷ εἰρημένα. πάντως οὖν αὐτὸν ἁλώσεσθαι πυρετῷ ἑκτικῷ τε καὶ μαρασμώδει μὴ τραφέντα πείσας ἐμαυτὸν, ὅτι τάχιστα παρασκευάσας ἐκ χόνδρου ῥόφημα δίδωμι προσενέγκασθαι. ἀλλ' ὅμως καίτοι τοῦτο προσενηνεγμένος, οὐδὲν ἧττον ἐν τῷ καιρῷ τοῦ παροξυσμοῦ περὶ τὴν ἑνδεκάτην ὥραν εἰσβάλλοντος, ἀπεψύχθη τε τὰ ἄκρα δυσεκθερμάντως καὶ ὁ σφυγμὸς αὐτῷ μικρὸς καὶ ἄῤῥωστος ἐσχάτως ἐγένετο. διὸ δὴ καὶ κατὰ τὴν τετάρτην ἡμέραν ἕωθέν τε καὶ εἰς ἑσπέραν ἔδωκα τροφὴν αὐτῷ τήν τε δύναμιν ἀνακτώμενος καὶ τὸν αὐχμὸν τοῦ σώματος ἐπιτέγγων. ἦν γὰρ αὐτῷ τὸ δέρμα καρφαλέον ὥσπερ βύρσα. διαμένοντος δὲ τοῦ πυρετοῦ λεπτοῦ καὶ ὁμοίου, κατὰ τὴν πέμπτην αὖθις ἡμέραν ἐδικαίωσα τρέφειν αὐτὸν οὐχ ἁπλῶς ῥοφήμασιν ὡς ἔμπροσθεν, ἀλλὰ καὶ κόκκους ῥοιᾶς ἐμβαλὼν εἰς χόνδρον ἐξ ὕδατος θερμοῦ χωρὶς ἀρτύσεως. κάλλιστον γὰρ ἔδεσμα τοῦτο κάμνοντι πικροχόλῳ στομάχῳ. καὶ γὰρ καὶ ῥώννυσιν αὐτὸν ἡ ῥοιά. καὶ χωρὶς τοῦ διαφθαρῆναι μέχρι

prognoſticis Hippocrates his verbis pingit: *naſus acutus, concavi oculi*, ac reliqua quae deinceps ab eo dicta ſcimus. Itaque quum omnino mihi perſuaderem fore ut tum in hecticam febrem tum tabidam homo, niſi cibaretur, incideret, ſorbitionem ex alica quamprimum paro atque exhibeo. Et tamen quamvis hac ſumpta quum acceſſio ſuo tempore circa undecimam invaderet, ſic extremis partibus perfrixit ut calefieri haec vix poſſent, et pulſus illi parvus imbecillusque quam maxime fuit. Qua ex cauſa illi etiam quarto die tum mane tum veſperi cibum dedi, quo vires repararem et corpus humectarem, erat namque cutis ejus ceu corium arida. Ubi autem febris tenuis et ſimilis perſeveravit, ſtatui deinde quinto die non ſimplici ſorbitione hominem cibare ut ante, ſed alica ex aqua calida citraque condituram injectis in eam mali punici granis. Eſt namque is optimus cibus bilioſo ſtomacho, nam et roborat hunc malum punicum, et alica quum diutiſſime in ventriculo citra corruptionem maneat,

πλείστου μένων ὁ χόνδρος ἐν τῇ γαστρὶ πέττεται κατα βραχὺ, μήτ' ἀποξυνόμενος μήτ' ἐπιπολάζων, ἅπερ εἴωθε τοῖς ῥοφήμασιν ἔστιν ὅτε συμβαίνειν. ἐγένετο δ' οὖν καὶ κατὰ τὴν πέμπτην ἡμέραν ἡ ἀρχὴ τοῦ παροξυσμοῦ παραπλησία, καὶ πάλιν ἡμῶν κατά τε τὴν ἕκτην καὶ τὴν ἑβδόμην ἡμέραν ὡσαύτως αὐτὸν διαιτησάντων ἡ κατὰ τὴν ὀγδόην αὖθις ὁμοία ταῖς ἔμπροσθεν. ἔνθα δὴ καὶ μάλιστα τὴν ἄνοιαν ἢ τὴν φιλονεικίαν ἢ οὐκ οἶδ' ὅ τι φῶ τῶν τὸν διάτριτον αὐτὸν ἐν ἀρχῇ κελευσάντων ὑπερβάλλειν ἀκριβῶς ἦν καταμαθεῖν. ἐναργῶς γάρ τοι φαινομένου πᾶσιν, ὡς οὐκ ἂν εἰς τὴν τετάρτην ἡμέραν ὁ ἄνθρωπος ἀφῖκτο, μὴ τραφεὶς πρὸ τοῦ κατὰ τὴν τρίτην παροξυσμοῦ, κακῶς ἐκεῖνοι καὶ τότε καὶ ταῖς ἐφεξῆς ἡμέραις ἔφασαν αὐτὸν τεθράφθαι. ἀλλὰ γὰρ οὐχ οἷόν τ' ἦν, ἵν' ἐξελέγξῃ τις αὐτοὺς, προδοῦναι τὸν κάμνοντα μὴ διδόντα τροφὴν ἐν τῇ παροξυντικῇ τῶν ἡμερῶν. ὁμοίως οὖν θρέψαντες ἐπὶ τῆς ἐννάτης ἡμέρας τὸν ἄνθρωπον καὶ θεασάμενοι κατὰ τὸν παροξυσμὸν εὐτονώτερον μὲν ἑαυτοῦ γεγονότα τὸν σφυγμὸν, ἔτι μέντοι τὸ ἄῤῥωστον ἔχοντα μετὰ τῆς

fenfim concoquitur nec acefcens nec innatans; quae vitia accedere forbitionibus aliquando folent. Incidit vero et in ipfo quinto principium acceffionis fimile. Itemque quum et fexto et feptimo eum fimili ratione ciballem, in octavo rurfus fimile principium praecedentibus fuit. Ubi nimirum vel amentiam vel pertinaciam vel haud fcio quid dicam eorum qui in principio hominem transmittere tertiae diei acceffionem; fine cibo jufferant, prorfus intelligere licebat. Nam quum cunctis evidenter appareret tanquam perventurum eum ad quartum fuiffe, fi nutritus ante acceffionem tertii non fuiffet, illi et tum eum et fequutis etiam diebus male nutritum ajebant. Caeterum committendum non erat ut eorum redarguendo ftudio aegrum quis non exhibito in ipfo acceffionis die cibo proderet. Igitur nono die fimiliter hominem nutriens, cernensque in acceffione pulfum ejus redditum quam prius erat firmiorem, caeterum imbecillitatem illam adhuc praeferentem cum extremarum partium

τῶν ἄκρων ψύξεως, οὐχ ὑπεμείναμεν ἀνέχεσθαι τὴν γλωσσαλγίαν τῶν ἰατρῶν, ἀλλὰ κατὰ τὴν ἑνδεκάτην ἡμέραν προειπόντες τοῖς φίλοις τοῦ κάμνοντος ὡς εἴσονται τήμερον μέχρι τοῦ δεῦρο δι' ἡμᾶς τὸν ἄνθρωπον σωζόμενον ἐπετρέψαμεν ὑπερβάλλειν αὐτὸν τὰς παροξυντικὰς ὥρας. ἀσφυξίας οὖν ἐν αὐταῖς γενομένης πάντως καὶ καταψύξεως ἰσχυρᾶς ὅλου τοῦ σώματος, ὡς μήτε φθέγγεσθαι μηκέτι καὶ μόγις τῶν θλιβόντων αἰσθάνεσθαι, κληθέντες ἅμα πάντες οἱ ἐξ ἀρχῆς ὁρῶντες ἰατροὶ μονονοὺ διασπασθῆναι πρὸς τῶν οἰκείων τοῦ κάμνοντος ἐκινδυνεύσαμεν, ἐγὼ μὲν ὡς ἑκὼν προδοὺς τὴν σωτηρίαν αὐτοῦ διὰ φιλονεικίαν, οἱ δ' ἐρασταὶ τῆς διατρίτης διὰ τὴν ἀμαθίαν, ἅμα δὲ καὶ ἀναισθησίαν. ἐκεῖνοι μὲν οὖν ὠχρότεροι καὶ ψυχρότεροι τοῦ νοσοῦντος αὐτοῦ γενόμενοι μηχανήν τινα ἐβουλεύσαντο φυγῆς. προνοήσας δ' ἐγὼ τοῦτο τὴν αὔλειον θύραν ἐκέλευσα κλεισθῆναι, καί τινι τῶν ἑταίρων προσέταξα λαβόντι τὴν κλεῖν φυλάττειν· εἶτ' ἐν τῷ μέσῳ καταστὰς ἤδη μὲν οὖν ὑμᾶς, ἔφην, ἀκριβῶς πεπεῖσθαι τίς ἐστιν ὁ σώσας τὸν ἄνθρωπον ἄχρι τοῦ δεῦρο, σωθήσεται δὲ καὶ νῦν ὑφ' ἡμῶν. οὐ γὰρ ἂν εἰ πάντως αὐτὸν ἀπολέσθαι προσεδοκή-

frigore, non potui fuftinere medicorum illorum loquacitatem, fed undecimo die praefatus prius aegrotantis amicis fore ut ipfo die intelligerent hominem hactenus noftra opera fuiffe fervatum, permifimus illi praeterire acceffionis horas. Ergo quum et fine pulfu omnino in ipfis effet et frigus eum vehemens totius corporis premeret fic ut nec loqueretur amplius et vix impellentem fentiret, convocati in unum medici omnes qui ab initio videramus ab aegrotantis propinquis propemodum fumus difcerpti, ego quidem quod ob pertinaciam ultro aegri falutem prodidiffem, qui vero diatriton colebant, propter ingorantiam fimul et ftupiditatem. Ac illi quidem pallidiores frigidioresque quam ipfe aeger confilium quoddam fugae captabant, quod ego profpiciens aulae oftium obferari jufferam et fimul amico cuidam clavem fervare. Poft medius eorum ftans, jam, inquam, vobis conftare plane arbitror qui hactenus hominem fervarit. Servabitur autem et nunc noftra opera. Neque enim fi peri-

σαμεν ἐν τῷδε τῷ παροξυσμῷ τοῦ τρέφειν ἀπέστημεν ἄν, ἀλλ' ἐπειδὴ τοσοῦτον αὐτοῦ ῥώμης ἐκ τῆς ἔμπροσθεν διαίτης ἔγνωμεν ὑπάρχειν ὡς δύνασθαι διενεγκεῖν τὸν παροξυσμὸν, ἐπετρέψαμεν ὑπερβάλλειν ἀσίτῳ. [228] κάλλιον μὲν οὖν ἦν τεθράφθαι πρὸ πολλοῦ τὸν ἄνθρωπον. ἀλλ' ἵνα καὶ τούτους ἐξελέγξω καὶ πείσω τινὰς τῶν παρεχόντων αὐτοῖς τὰ ὦτα, φάσκουσιν ὑφ' ἡμῶν ἐπιτρίβεσθαι τὸν νεανίσκον, ἀπολέσας ἐκεῖνον τὸν καιρὸν ἐπιδείξω νῦν αὐτοῖς ὅτι καὶ κατ' αὐτὸν τὸν παροξυσμὸν ἐνίους τῶν ἀῤῥωστούντων προσήκει τρέφειν, μήτι γε μὴ πρὸ τοῦ παροξυσμοῦ. τοῦτ' εἰπὼν καὶ διαστήσας τὰς γνάθους αὐτοῦ ἐγχέων πτισάνης χυλὸν δι' ἀγγείου στενοστόμου κυάθων τὸ πλῆθος τριῶν, εἶτα ὀλίγον ὕστερον οἴνου λευκοῦ λεπτοῦ κεκραμένου συμμέτρως θερμῷ δύο κυάθους. ἐφ' οἷς ἀνέβλεψέ τε καὶ ἀκούειν καὶ φθέγγεσθαι καὶ γνωρίζειν τοὺς παρόντας ὑπήρξατο, πρότερον οἷόν περ ξύλον ξηρὸν ἐκτεταμένος ἀναίσθητός τε καὶ ἄφωνος. αὖθις οὖν αὐτῷ δοὺς ἄρτου τι καταπιεῖν ἐξ οἴνου καθ' ὃν εἴρηται τρόπον κεκραμένου τελέως ἀνεκτησάμην. καὶ πάλιν ἐπὶ τὴν ἐξ ἀρχῆς ἀγαγὼν ὁδὸν τῆς διαίτης, εὐφόρως τὸν ἐν τῇ τρισκαι-

turum omnino in hac acceffione putaffem, a cibatione deftitiffem; fed quoniam ex praecedenti jam victu tantum illi roboris fupereffe noveram ut tolerare acceffionem poffet, permifi acceffionis horas fine cibo transmittere. Ac fatius quidem fuiffet multo ante hominem nutrire, verum quo et iftos redarguam et quibusdam his aufcultantium, qui confici a nobis juvenem quod illam occafionem omiferim dicunt, perfuadeam, nunc illis oftendam vel in acceffione ipfa aegrotantes quosdam nutriri debere, nedum ante hanc. His dictis ac diductis hominis maxillis infundo ex angufti oris vasculo, cremoris ptifanae tres cyathos, paulo autem poft albi et tenuis vini modiceque calida diluti duos cyathos. Poft quos et fuftulit oculos et tum audire tum loqui praefentes noffe coepit, quum ante veluti lignum aridum porrectus fine voce ac fenfu jaceret. Rurfus itaque dato ex vino quo dixi modo diluto pane ad comedendum exiguo prorfus hominem revocavi. Quem ut rurfum ad inftitutam ab initio victus

δεκάτῃ παροξυσμὸν ὑπομείναντα θεασάμενος, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ πάλιν ἕωθεν θρέψας ἔλουσα μετὰ τοῦτο περὶ ὥραν ὀγδόην. εἶτ᾽ αὖθις θρέψας γενναιότερον ἐπιδούς τε πιεῖν οἴνου· τοῦτο δὲ καὶ κατὰ τὴν δωδεκάτην τε καὶ τρισκαιδεκάτην ἡμέραν ἐπεποιήκειν· ἐν τῇ πεντεκαιδεκάτῃ πάλιν ἕωθεν ἔθρεψα. μᾶλλον δὲ αὐτοῦ τότε τὸν παροξυσμὸν ἐνεγκόντος εὐφόρως, αὖθις ἔλουσα κατὰ τὴν ἑκκαιδεκάτην ἡμέραν, καὶ τἄλλα ὁμοίως ἔπραξα περὶ τὸν ἄνθρωπον τοῖς ἔμπροσθεν. ἐπεὶ δὲ κατὰ τὴν ἑπτακαιδεκάτην ἡμέραν ὁ παροξυσμὸς ἄθλιπτος καὶ μικρὸς ἐγένετο, θαῤῥῶν ἤδη τοῦ λοιποῦ διῄτων αὐτὸν ἀναληπτικῶς. οὗτος ὁ ἄῤῥωστος ἐπαίδευσε πολλοὺς τῶν ἡμιμοχθήρων τε καὶ μὴ παντάπασιν ὄνων ὡς καὶ πρὸ τῶν παροξυσμῶν ἐνίοτε χρὴ τρέφειν, εἰ καὶ δυοῖν ὡρῶν εἴη τὸ μεταξὺ, καὶ πολὺ δὴ μᾶλλον ἔμπροσθεν τῆς διατρίτου. ἐδίδαξα δέ σε καὶ κατ᾽ αὐτὴν τὴν εἰσβολὴν τοῦ πρώτου παροξυσμοῦ τοὺς τοιούτους τρέφεσθαι δεομένους. λέγω δὲ τοὺς τοιούτους ἐφ᾽ ὧν ἡ δυσκρασία τοῦ σώματος (142) ἐπὶ τὸ ξηρὸν καὶ τὸ θερμὸν ἐκτρεπομένη πυρετοὺς ἀνάπτει.

rationem reduxi, et tertii decimi diei acceſſionem facile tolerare vidi, in quartodecimo rurſus mane cibavi, ac poſt circiter horam octavam lavi; deinde rurſus liberalius cibavi, ac mox vinum bibendum exhibui. Idem vero et in duodecimo et tertiodecimo feceram. In quinto autem decimo rurſum cibavi mane. Quum vero facilius tum quoque acceſſionem ferret, in ſextodecimo denuo lavi, caeteraque circa hominem peregi ſicut in praecedentibus diebus. At ubi in decimoſeptimo minime gravis parvaque acceſſio fuit, audacter hominem de caetero ſub convaleſcentium victus ratione habui. Hic aeger non paucos ſemimalorum ac non penitus aſinorum docuit, etiam ante acceſſiones ipſas nonnunquam eſſe cibandum, vel ſi duarum horarum intercedat ſpatium, ac multo magis ante acceſſionem tertii diei. Oſtendi autem tibi et in prima ipſa acceſſionis invaſione ejusmodi homines eſſe nutriendos. Dico autem ejusmodi homines, in quibus corporis intemperies ad ſiccum et calidum converſa febres accendit.

Κεφ. δ'. Ἔστι μὲν οὖν ἴσως καὶ τοῦτο τοῖς πολλοῖς τῶν ἰατρῶν ἄπιστον. ἀλλ' εἴτε τῷ λόγῳ χρὴ παρέχειν αὐτῷ τὴν πίστιν εἴτε τοῖς ἔργοις, ἀμφοτέροις ἡμεῖς παρεχόμεθα, τοῖς μὲν ἔργοις ἀνθρώπους ἐπιδεικνύντες αὐτοῖς, οὓς, ἐὰν ἀσιτήσωσιν ἐπὶ δυοῖν ἡμέραιν, ἀνάγκη πυρέξαι· καθάπερ ἐνίους ὀργισθέντας ἢ λυπηθέντας ἢ ἀγρυπνήσαντας. ἐναργέστατα γὰρ ἐπὶ τῶν ἀναλαμβανομένων ἐκ νόσου μακρᾶς τὰ τοιαῦτα φαίνεται γιγνόμενα καὶ τῶν θερμῶν καὶ τῶν ξηρῶν τὴν κρᾶσιν. τῷ λόγῳ δ' ἡ πίστις τοῦ γινομένου λέλεκται μὲν ἤδη καὶ δι' ἄλλων, εἰρήσεται δὲ αὐτοῦ καὶ νῦν τὰ κεφάλαια. οἱ δακνώδεις ἀτμοὶ καὶ χυμοὶ διὰ τῶν αἰσθητικῶν σωμάτων φερόμενοι φρίκας καὶ ῥίγη γεννῶσιν. ἐν οἷς στεγνουμένου τοῦ δέρματος ἐπισχεθέντα τὰ διαπνεόμενα πρόσθεν, ὅταν ῇ λιγνυώδη, πυρετὸν ἐξάπτει. τοὺς τοιούτους οὖν ἀτμοὺς καὶ χυμοὺς αἵ τε κινήσεις αἱ πολλαὶ καὶ σφοδραὶ καὶ ἀγρυπνίαι καὶ οἱ θυμοὶ καὶ αἱ λῦπαι καὶ αἱ φροντίδες ἐργάζονται πλέονας. ἐφεξῆς δὲ τούτων αὐτὸ καθ' ἑαυτὸ μόνον ἱκανὸν ἐνίοτε τὸ μὴ προσενέγκασθαι τροφήν. ἐκχολοῦται γὰρ ἐπὶ τῶν πικρο-

Cap. IV. Porro hoc quoque plerisque medicorum fortaffe fit incredibile. Sed five rationi ipfi fides eft adhibenda five operibus, nos fidem ambobus facimus. Operibus quidem dum homines iis monftramus qui, fi biduo patiantur inediam, neceffe eft febricitent, ut nonnulli ubi concitati ad iram funt vel moerore vel vigiliis affecti; evidentiffime enim tum in convalefcentibus ex diuturno morbo talia fieri cernuntur, tum iis qui calido et ficco funt temperamento. Quam vero ratio ipfa fidem huic rei facit, alibi jam dicta eft, dicentur tamen et nunc ejus rei fummae. Mordens halitus et humor, ubi per fenfibilia corpora fertur, horrores et rigores facit, ex quibus cute ftipata quae prius transpirabant jam retenta quoties fuliginofa funt febres accendunt. Ergo ejusmodi halitus et humores tum multa et vehemens dimotio tum vigiliae et ira et moeror et cura augent, tum proxime ab iftis unum illud per fe interdum augere eos fufficit, utique fi cibum quis non fumpferit; efficitur enim

χόλων φύσεων ἡ ἕξις ἐπὶ ταῖς μακροτέραις ἀσιτίαις. ἐὰν οὖν ἅμα τε τοῦτο συμβῇ καὶ κίνησίν τινα κινηθεὶς ὁ κάμνων ἰσχυροτέραν τῆς δυνάμεως ἀθροωτέραν ἐργάσηται τῶν δακνωδῶν περιττωμάτων τὴν εἰς τοὐκτὸς φορὰν, [229] ἀναγκαῖόν ἐστιν, ὡς ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις ἐπεδείκνυμεν, ἤτοι ῥῖγος ἢ φρίκην ἐπιγίγνεσθαι. ῥῖγος μὲν οὖν ἔσται διά τε τὸ πλῆθος τῶν φερομένων καὶ τὴν δριμύτητα καὶ τὸ τάχος τῆς φορᾶς καὶ τὴν τῆς δυνάμεως ἀσθένειαν. τά τε γὰρ πολλὰ τῶν ὀλίγων καὶ τὰ ταῖς ποιότησιν ἠκριβωμένα τῶν μὴ τοιούτων δάκνει μᾶλλον, ὥσπέρ γε καὶ τὰ θᾶττον φερόμενα τῶν βραδυτέρων. ἥ τε δύναμις ἰσχυρὰ μὲν οὖσα καταφρονεῖ καὶ ἀνέχεται πάντων, ἀσθενὴς δὲ γινομένη καὶ πρὸς τῶν τυχόντων ἀνιᾶται. φρίκη δ᾽ ἂν γένοιτο τῆς τε ποιότητος αὐτῶν καὶ τοῦ τάχους τῆς φορᾶς ἐκλυθέντων ἅμα τῷ πλήθει, καὶ μάλισθ᾽ ὅταν ἡ δύναμις ἀνθίσταται τοῖς λυποῦσιν. ἐπὶ πλέον δὲ τῶν εἰρημένων ἐκλυθέντων οὐδὲ φρίκη γένοιτ᾽ ἂν, ἀλλ᾽ ἤτοι τις ἑλκώδης αἴσθησις ἢ ἀνωμαλία μόνη. πάντων μὲν οὖν τῶν εἰρημένων συνελθόντων τὸ σφοδρότα-

corporis habitus in picrocholis ex longa inedia biliofus. Si igitur tum id incidat, tum aeger motu quopiam valentiore quam pro viribus ufus mordentium excrementorum impetum confertim foras excitarit, neceffe eft, veluti in fymptomatum caufis oftendimus, vel rigorem vel horrorem fubfequi. Ac rigor quidem fuccedet propter eorum quae feruntur excrementorum tum multitudinem tum acrimoniam tum impetus celeritatem tum virium infirmitatem. Nam et quae multa paucis, et quae qualitate funt acerrima, iis quae ita non funt mordent magis, pari modo et quae celerius feruntur tardioribus. Jam vires ubi valentes funt omnia contemnunt ac tolerant, *ubi* infirmae funt redditae, etiam ab obvio quovis offenduntur. Horror fiet ubi et qualitas eorum et impetus velocitas eft remiffa, tum copia minor, ac potiffimum quum vires triftanti obfiftunt. Si vero jam dicta largius remittantur, ne horror quidem fiet, fed vel ulcerofus quidam fenfus vel tantum inaequalitas. Ergo

Ed. Chart. X. [229.] Ed. Baf. IV. (142.)

τόν ἐστι ῥῖγος, ἁπάντων δ᾽ ἐκλυθέντων οὐδεμία τῆς διεξόδου τῶν περιττωμάτων αἴσθησις. εἰ δὲ τὰ μὲν εἴη, τὰ δὲ οὐκ εἴη, καὶ τὰ μὲν μείζω, τὰ δὲ σμικρότερα, τὸ ἐν μέσῳ πᾶν ἀπεργασθήσεται πλάτος ἐν ταῖς τοιαύταις μίξεσι τοῦ τε μεγίστου ῥίγους καὶ τῆς παντελοῦς τῶν περιττωμάτων ἀναισθησίας. οὐδὲν οὖν ἐστι θαυμαστὸν εἰ τῷ μὲν ἀνωμαλίαν, τῷ δὲ ἑλκώδη τινὰ αἴσθησιν ἢ φρίκην ἢ ῥῖγος ἕκαστον τῶν αἰτίων αὐτό τε καθ᾽ ἑαυτὸ καὶ σὺν ἄλλοις ὁρᾶται φέρον. ὑποκείσθωσαν γὰρ ἀσθενεῖς μὲν αἱ δυνάμεις, αἰσθητικὸν δ᾽ ἱκανῶς τὸ σῶμα· καὶ γὰρ καὶ τοῦτο ἐδείχθη συντελεῖν οὐκ ὀλίγον εἰς τὴν τῶν τοιούτων συμπτωμάτων γένεσιν, ἰσχνὴ δὲ ἡ ἕξις καὶ ἡ κρᾶσις πικρόχολος, ὅ τε στόμαχος ἐκχολούμενος ὁμοίως, ἐπί τε τούτοις ἅπασιν ἔνδεια γιγνέσθω σιτίων, ἀγρυπνία τέ τις καὶ λύπη καὶ φροντις, ἀναγκαία τε πρόοδος οἴκοθεν ἐπειγούσης τινὸς χρείας. εἶτα τούτων ὑποκειμένων ὅπερ ἐθεάσω ποτὲ γιγνέσθω. προθυμηθήτω διὰ τὴν χρείαν ὁ τοιοῦτος ἄνθρωπος ὁδὸν μα-

coeuntibus omnibus jam dictis vehementiffimus oritur rigor, at remiffis omnibus nullus ex transitu excrementorum fit fenfus. Quod fi quaedam fint, quaedam non fint, et quaedam majora fint, quaedam minora, in ejusmodi mixtionibus media latitudo omnis inter maximum rigorem et omnimodam excrementorum infenfibilitatem et univerfalem vacuitatem fenfus excrementorum efficitur. Itaque nihil mirum eft, fi *dictarum* caufarum quaeque vel per fe vel cum aliis *juncta*, alii inaequalitatem, alii ulceris quempiam fenfum aut horrorem aut rigorem afferre videatur. Nam fupponantur vires imbecillae, corpus admodum fenfile, etenim id quoque oftenfum eft, non parum ad ejusmodi fymptomatum generationem conferre, habitus autem corporis gracilis et temperamentum biliofum ftomachusque fimiliter bile affectus, tum his omnibus accedant inedia cibi et vigiliae quaepiam et triftitia et folicitudo, ad haec progreffus a domo qui ex urgente quapiam caufa fit neceffarius; poftea his fuppofitis, id quod aliquando fieri vidifti, det fedulo

Ed. Chart. X. [229.] Ed. Baf. IV. (142.)

χροιέραν ἀνύσαι κατὰ τὴν πόλιν ἐπειγόμενος. ἆρ᾽ οὐχ ἑτοίμως ἐκ τῆς προσγενομένης αὐτῷ κινήσεως τῶν δακνωδῶν περιττωμάτων ἀνωμαλίαν μέν τινα πρῶτον, αὐτίκα δὲ καὶ φρίκην γενέσθαι; καὶ εἰ ἐπιμείνειε κινούμενος ἢ μὴ φθάσειε λαβεῖν σιτίων, αὐτίκα πυρέττειν αὐτόν; ἔδειξα δέ σοι πυρέξαντας οὕτω τινὰς καὶ μάλιστα τῶν ἐκ νόσου μακρᾶς ἀνακομιζομένων· ὧν ἑνὶ κατὰ τύχην ἀπαντήσας, τῆς φρίκης ἀρχομένης ἄρτι δηλώσαντι τὸ γιγνόμενον, ἄρτον ἐξ οἴνου κεκραμένου δοὺς προσενέγκασθαι, παραχρῆμα τὴν φρίκην ἔπαυσα. ἀλλὰ τοῦτον μὲν, ὡς οἶσθα, κατὰ τὴν ὁδὸν εἰς ἐργαστήριον εἰσαγαγὼν ἐκώλυσα πυρέξαι. ἑτέρους δ᾽ εἰς τὴν ἑαυτῶν καταγωγὴν ἀφικέσθαι φθάσαντας ἔθρεψα κατὰ τὴν ἀρχὴν τῆς φρίκης ἢ μικρὸν ὕστερον. ἁπλῶς δ᾽ εἰπεῖν οἷς ἔτι τὰ τῆς ἀρχῆς τῶν παροξυσμῶν ἐστι συμπτώματα, τούτοις ἅπασιν ἄρτον ἐξ οἴνου κεκραμένου θερμοῦ διὰ ταχέων προσφέρων ἔπαυσά τε παραχρῆμα τὴν φρίκην, ἐκώλυσά τε πυρέξαι. ὅσῳ δ᾽ ἂν θᾶττον αὐτοὺς θρέψοις, τοσούτῳ μᾶλλον κωλύσεις τὸν πυρετόν. εἰ δὲ βραδύνοις ποτὲ βραχὺ, πυρετὸς μὲν οὐδ᾽ οὕτω,

operam ejusmodi homo, ut plus itineris per urbem re ita postulante festinus peragat, numquid huic ex eo qui excitatus est mordentium excrementorum motu primum quidem inaequalitas quaedam, mox vero etiam horror prompte incidet? quod si motum quoque continuet vel cibum sumere antevertat, protinus etiam febris? Ita febricitantes aliquos ostendi tibi maxime ex iis, qui a longo morbo convaluerant, quorum quum uni forte fortuna occurrissem, qui mox ante horrescere coepisset, ut rem exposuisset, dato ex vino diluto pane continuo horrorem sedavi. Verum hunc, uti scis, per viam in officinam quandam perductum febricitare prohibui, alios vero qui prius se domum suam recepissent in ipso principio horroris vel paulo posterius cibavimus. Atque ut semel dicam quibus incipientis adhuc accessionis aderant symptomata, iis omnibus panem ex vino diluto ac calente mature exhibens et horrorem statim sedavi et febrem prohibui. Quanto vero hos citius cibaveris, tanto magis febrem prohibueris. Quod si paululum aliquando moreris,

θερμασία δὲ αὐτοῖς ἐπιγίγνεται πολλὴ, τρόπον ὁμοιότατον τοῖς ἐν κρύει μὲν ὁδοιπορήσασι σφοδρῷ, καταχθεῖσι δ' οἴκαδε καὶ τραφεῖσι θερμοῖς, ὡς εἴ γε βραδύνοις πλέον, ἔτι πλεῖον οὗτοι θερμανθήσονται θερμασίαν τοσαύτην τε καὶ τοιαύτην ὡς ἀμφιβάλλειν εἰ πυρετὸν ἤδη κλητέον αὐτήν. εἰ δ' ὧραι δύο μετὰ τὴν ἀρχὴν τῆς ἀνωμαλίας εἴησαν γεγενημέναι, τρέφειν μέντοι καὶ τότε μενούσης γ' ἔτι τῆς φρίκης, [230] προλέγειν δ' ὅτι πυρέξουσιν οὗτοι πυρετὸν ἄλυπον, ᾧ νοτίδες ἀκολουθήσουσι. καὶ τούτου γενομένου καὶ λούειν χρὴ καὶ τρέφειν αὖθις. εἰ δὲ ἡ μὲν φρίκη παύσοιτο, πυρέττοιεν δ' ἤδη σαφῶς, μηκέτι τρέφειν αὐτοὺς ἐν ἐκείνῳ τῷ καιρῷ, παρακμάζοντος δὲ τοῦ γενομένου παροξυσμοῦ τρέφειν αὐτίκα μὴ περιμένων ἀπυρεξίαν. ἐν ἁπάσαις γὰρ ταῖς αὐχμώδεσι διαθέσεσιν οὐ παύονται καλῶς οἱ παροξυσμοὶ πρὶν ἤτοι λουτροῖς ἢ τροφαῖς ὑγραινούσαις τεγχθῆναι. ταῦτα ἐγὼ πάντα δι' ἔργων ἐπιδειξάμενος ἐφ' οἷς, ὡς οἶσθα, παραδοξοποιὸς ὑπὸ τῶν ἐπαινούντων ἢ φθονούντων ἐκλήθην. ὁπότε δὲ λόγῳ διηρχόμην ὑπὲρ τῶν αὐτῶν ἐπιδεικνὺς ὡς χρὴ τινὰς μὲν τοῦ

febris ne tum quidem, calor vero multus iis advenit, simillime plane iis qui per vehemens frigus facto itinere reversi domum calidis sunt nutriti. Quod si plusculum moreris, majorem calorem sentient, talemque ac tantum ut dubites an hunc febrem appelles. Sin duae horae ab initio inaequalitatis interpositae sint, nutries tunc quoque, modo horror adhuc duret, praedicens tamen quod hi febricitabunt innoxia febre, et cui cutis mador succedet, quo facto tum lavare tum rursus nutrire debebis. Quod si horror sedatus fuerit ac jam plane febricitent, cibandi id temporis non sunt, sed decrescente jam accessione illico sunt nutriendi, apyrexia non expectata. In nullo namque squallido affectu commode finitur accessio prius quam illi vel ex lavacro vel humido victu humectatio accesserit. Haec ego omnia quum operibus indicarem quibus, ut scis, paradoxorum fabricator ab iis qui me vel laudabant vel aemulabantur vocabar. Quum vero ratione de iisdem differens docerem aliquos ante acces-

παροξυσμοῦ τρέφειν, ἐνίους δὲ καὶ κατ᾽ αὐτὸν ἤτοι παρακμῆς ἀρξαμένης ἢ καὶ νὴ Δία τῆς ἀκμῆς ἐνεστηκυίας, οἶσθ᾽ ὡς τηνικαῦτα παραδοξολόγον ἐκάλουν με. τί ἂν οὖν τις πάθοι πρὸς ἀνθρώπους μήτε ἔργῳ μήτε λόγῳ πεισθῆναι δυναμένους; ἀλλ᾽ ἀδύνατον, φασὶ, διαγνῶναι τὰς τοιαύτας διαθέσεις. πῶς οὖν ἡμεῖς τὰς τοιαύτας διαγινώσκομεν; ἀδύνατον εἶναί σοι δοκεῖ διαγνῶναι ξηρὰν καὶ θερμὴν κρᾶσιν, ἢ ἐξ ἀρχῆς γεγενημένην, ἢ ἐν τῷ νῦν χρόνῳ τοιαύτην ἀποτελεσθεῖσαν; ἐμοὶ μὲν γὰρ οὕτω ῥᾷστον, ὡς καὶ ταυτὶ γνωρίζειν τὰ γράμματα. τί δ᾽ ὅτι τούτῳ μὲν οὐδέπω σηπεδὼν οὐδεμία χυμῶν ἐστι, τούτῳ δ᾽ ἐστὶν ἀδύνατον εἶναι διαγνῶναι νομίζεις; ἀλλ᾽ οὐχ ἡμεῖς γε. καὶ γὰρ διὰ τῶν σφυγμῶν καὶ διὰ τῶν οὔρων καὶ δι᾽ αὐτῆς ἔστιν ὅτε τῆς κατὰ τὴν θέρμην ποιότητος ἐναργῶς διαγινώσκομεν. εἰ δ᾽ ἐκ τοῦ μηδὲν αὐτοὶ μήτε μαθεῖν ἐθελῆσαι μήτ᾽ ἀσκῆσαι τοῖς ἐπιστήμοσιν ἀπιστοῦσι, τί κωλύει καὶ τοῖς γεωμέτραις αὐτοῖς καὶ τοῖς ἀριθμητικοῖς καὶ (143) τοῖς ἄλλοις ἅπασι τεχνίταις ἀπιστεῖν;

sionem esse cibandos, aliquos in ipsa vel declinare jam incipiente, vel etiam in ipso summo vigore, tum paradoxorum narratorem me appellabant. Ergo quid facias his hominibus quibus nec opere nec ratione persuaderi potest? At, inquiunt, fieri nequit, ut ejusmodi affectus quis agnoscat. Quomodo igitur nos eos agnovimus? Videturne cuipiam fieri non posse, ut calida et sicca intemperies agnoscatur, vel quae ab ortu usque fuerit, vel quae in praesenti tempore talis sit reddita? Mihi sane tam videtur facile quam has ipsas agnovisse literas. Quid illud vero, si huic non sit adhuc in humoribus putredo ulla, illi vero sit, non posse vobis videtur hoc discerni? Mihi posse videtur. Nam et ex pulsu et urina et ex ipsa nonnunquam quae in calore est qualitate evidenter id discernimus. Quod si propterea, quod nec ipsi quicquam discere volunt nec se se exercitare, scientibus parum credunt, quid vetat quo minus tum geometris ipsis tum arithmeticis tum reliquis artificibus omnibus nihil credant?

Κεφ. ε΄. Ἐάσαντες οὖν ἤδη τοὺς τοιούτους ἀνθρώπους αὖθις ἀνέλθωμεν ἐπὶ τὸ συνεχὲς τοῦ λόγου. ταῖς θερμαῖς καὶ ξηραῖς ἕξεσιν ἐναντιώτατόν ἐστι καὶ πυρετωδέστατον αἴτιον ἀσιτία. λέγω δ᾽ ἕξεις θερμὰς καὶ ξηρὰς οὐ μόνον ὅταν ἐξ ἀρχῆς ὦσι τοιαῦται κατὰ τὴν οἰκείαν κρᾶσιν, ἀλλὰ κἂν ἐξ ὑστέρου γεννηθῶσιν ἐκ διαίτης θερμῆς καὶ ξηρᾶς καὶ κινήσεων πλειόνων, ἀγρυπνίας τε καὶ φροντίδος καὶ λύπης καὶ χωρίου θερμοῦ καὶ ξηροῦ καὶ ὥρας θερινῆς καὶ καταστάσεως θερμῆς καὶ ξηρᾶς. ἔξεστι δὲ καὶ χωρὶς τοῦ τῆς ὥρας ὀνόματος ἐν τοῖς τοιούτοις λόγοις μόνης μεμνῆσθαι τῆς καταστάσεως. ἄνωθεν γοῦν ἀναληφθέντος τοῦ λόγου μᾶλλον πεισθήσῃ τῷ λεγομένῳ. τὰς θερμὰς καὶ ξηρὰς κράσεις, εἴτ᾽ ἐκ τῆς ἀρχαίας φύσεως εἴτ᾽ ἐκ τῆς διαίτης καὶ πόνων ἀμέτρων καὶ παθῶν ψυχικῶν καὶ χωρίου καὶ καταστάσεως εἰς τοῦτο εἶεν ἠγμέναι, βλάπτουσιν ἱκανῶς αἱ ἀσιτίαι. ἐν τούτῳ τῷ λόγῳ παραλέλειπται μὲν ἡ ὥρα κατά γε τὴν λέξιν, οὐ παραλέλειπται δὲ τῇ δυνάμει· περιέχεται γὰρ ἐν τῇ καταστάσει τῆς ἄκρως θερμῆς καὶ ξηρᾶς καταστάσεως, τὴν εἰρημένην κρᾶσιν ἐργαζομέ-

Cap. V. Miſſis igitur hiſce hominibus rurſus feriem fermonis noſtri perſequamur. Calidis ac ficcis habitibus adverſiſſima res inedia eſt ac febrium paratiſſima cauſa. Voco habitus calidos et ſiccos non ſolum quum a primo ortu tales ex proprio temperamento ſint, ſed etiam quae poſterius ex calido ſiccoque victu et plurima dimotione, et vigilia et cura et triſtitia et regione calida ſiccaque et tempore aeſtivo et coeli ſtatu calido ſiccoque ſint acquiſiti. Sane licet et citra tempeſtatis anni mentionem in ejusmodi fermone ſtatum coeli ſolum nominare. Verum ſi altius repetam, id quod dico magis credes. Calida et ſicca temperamenta ſive ea ex prima origine talia ſint, ſive ex victu et immoderato labore et animi perturbationibus et regione et coeli ſtatu inedia vehementer laedit. In hac dictione ipſis ſaltem verbis omiſſum eſt anni tempus, poteſtate tamen omiſſum non eſt; nam in coeli ſtatu comprehenditur, quando calidus in ſummo ſiccusque coeli ſtatus jam dictum tem-

τῆς, ἣν οὐχ οἷόν τε γενέσθαι κατ' ἄλλην ὥραν οὐδεμίαν ὅ τι μὴ τοῦ θέρους· οὔτε γὰρ ἐν φθινοπώρῳ δυνατὸν οὔτ' ἐν ἦρι, πολὺ δὲ μᾶλλον οὐδ' ἐν χειμῶνι, θερμοτάτην ἅμα καὶ ξηροτάτην γενέσθαι κατάστασιν· ὥσπερ οὐδὲ ψυχροτάτην οὐδὲ ὑγροτάτην ἐν ἄλλῃ τινὶ πλὴν ἐν χειμῶνι. [231] διὰ ταῦτα μὲν δὴ κἀγὼ παραλιπὼν ἐνίοτε τὴν ὥραν ἀρκοῦμαι τῇ καταστάσει. ἐξέστω μὲν ἑκάστῳ χρῆσθαι τοῖς ὀνόμασιν ὡς ἂν ἐθέλοι, φυλάττοντι τῶν πραγμάτων τὴν φύσιν. ἔστι δὲ ἡ φύσις τῶν πραγμάτων οἵαν ἤδη τε πολλάκις ἔφην, οὐδὲν δὲ ἧττον ἐρῶ καὶ νῦν· ὅσα γὰρ ἀναγκαιότατα μὲν εἰς τὰς ἰάσεις ἐστὶν, ἀγνοεῖται δὲ μάλιστα, ταῦτ' οὐδ' Ἱπποκράτης ὀκνεῖ διδάσκειν πολλάκις. ἀσιτία τοίνυν τοῖς ξηροῖς καὶ θερμοῖς σώμασιν ὑγιαίνουσι μὲν βλαβερὰ, πυρέττουσι δ' ἐν θέρει θερμῷ καὶ ξηρῷ τὸν ἐπ' ἐγκαύσει πυρετὸν, ἢ πόνοις ἀμέτροις ἢ ἀγρυπνίαις ἢ τοῖς εἰρημένοις πάθεσι τῆς ψυχῆς οὐχ ἁπλῶς βλαβερὸν, ἀλλ' εἴπερ τι καὶ ἄλλο τῶν πάντων ὀλέθριον· ἤτοι γὰρ εἰς καυσώδεις ἐμπίπτουσι πυρετοὺς ἐξ αὐτῆς, ἐξ ὧν ἐὰν μὴ φθάσωσιν ἀποθανεῖν, εἰς τοὺς ἑκτικοὺς

peramentum efficit. Hic autem ſtatus alio anni tempore quam aeſtate plane incidere non poteſt, neque enim in autumno nec in vere multoque minus in hieme fieri poteſt ut calidiſſimus ſimul ſicciſſimusque coeli ſtatus fiat, ſicut nec humidiſſimus pariter frigidiſſimusque in alio quam hieme. Ob haec igitur ego quoque aliquando praetermiſſo anni tempore coeli ſtatu ſum contentus. Liceat tamen cuique nominibus quibus velit uti, modo rerum naturam ſeruet. Eſt autem rerum natura qualem jamque ſaepe diximus, et nihilominus nunc dicemus, nam quae maxime ſunt ad curationem neceſſaria, eademque maxime ignorata, nec Hippocrates ipſe identidem repetere gravatur. Igitur inedia ſiccis calidisque corporibus valentibus quidem noxia eſt, iis vero qui in calida et ſicca aeſtate febre laborant, quae ex uſtione aut labore immoderato aut vigiliis aut dictis jam animi affectibus ſit contracta non ſimpliciter noxia eſt, ſed ſi quicquam aliud omnium plane perniciofa, nam vel in febres ardentes ex ea incidunt, a quibus niſi prius mors

μεταπίπτουσιν, αὖθις δ' ἐκ τούτων εἰς μαρασμόν· ἢ ἐξ ἀρχῆς εὐθέως ὁ ἑκτικὸς αὐτοῖς συμπίπτει πυρετὸς, ὑπερβὰς τὸν καυσώδη. μάλιστα δ', ὡς εἴρηται πολλάκις, αἱ ξηραὶ καὶ θερμαὶ κράσεις ἁλίσκονται τοῖς ἑκτικοῖς πυρετοῖς εὐθὺς ἐξ ἀρχῆς, ὥσπερ καὶ ἐπὶ τῆς ἀνθρώπου, τῆς φθινοπώρου μὲν ἀρξαμένης πυρέττειν δι' ἀγρυπνίαν καὶ λύπην, ἐπὶ πλεῖστον δὲ παρατεινάσης τοῦ χειμῶνος· ἣν τεθεάμεθα μὲν, ὡς οἶσθα, τεταρταίαν, ἐγνωρίσαμεν δ' εὐθέως ἑκτικὸν εἶναι πυρετὸν ἐπιπεπλεγμένον ἑτέρῳ τινι τῶν ἐπὶ χυμοῖς. ἴασις δ' ἦν μόνη διδόναι ψυχρὸν ἐν καιρῷ μέτριον εἰθισμένῃ πίνειν αὐτὸ καὶ παρὰ τὸν ὑγείας χρόνον· ἀλλ' ἕτεροι μὲν ἐπὶ ταύτης ἐνεπιστεύοντο τὴν θεραπείαν, ὅθεν ἡμεῖς ἔγνωμεν σιωπᾷν. ἐπ' ἄλλου δὲ κατὰ τὸν αὐτὸν χρόνον, ὃς ἡμῖν ἑαυτὸν ἐπέτρεψε, καθ' ἑκάστην τροφὴν ἐδίδομεν, ἀκραιφνοῦς πηγαίου ψυχροῦ ποτὲ μὲν δύο κυάθους, ἔστι δ' ὅτε τρεῖς· ἀθρόον γὰρ οἱ τοιοῦτοι ψυχρὸν οὐ φέρουσιν ἄνευ τοῦ βλαβῆναι. διὸ κάλλιστόν ἐστιν εὐθὺς ἐν τῷ πρώτῳ παροξυσμῷ διαγνόντα τοῦ πυρετοῦ τὴν ἰδέαν ἀκινδυνότερον χρήσασθαι ψυχρῷ πλείονι

occupet in hecticas migrant, atque ab his in marasmum, vel protinus ab initio ardentibus praeteritis in hecticas. Maxime tamen, ut dictum faepius eft, ficca calidaque temperamenta ftatim a principio hecticis febribus corripiuntur. Sicuti mulieri accidit, quae autumno ex triftitia et vigiliis febricitare coepit, perfeveravit autem ad plurimum hiemis. Hanc quarto die, ut fcis, vidimus deprehendimusque ftatim hecticam effe febrem, cum alia, quam humores excitarant, conjunctam. Curatio autem una tum fuerat, ut frigida tempeftive et moderate daretur confuetae hanc per fanitatem bibere; verum aliis curatio hujus erat commiffa, quare nobis filere eft vifum. Alteri vero, qui eodem tempore aegrotarat et fe nobis commiferat, quoties nutritus eft, fontanae plane gelidae dedimus interdum binos cyathos, interdum ternos; nam frigidam fimul multam fibi dari qui ita funt affecti citra noxam non ferunt. Quocirca utiliffimum eft, ubi febris ideam perfpexeris, in prima ftatim acceffione minore cum periculo copiofiore frigida uti, corporibus ad validam ficci-

μηδέπω ξηρῶν ἱκανῶς τῶν σωμάτων γεγονότων. ὁ γοῦν ἐκ θυμοῦ πυρέξας ἐν τοῖς ὑπὸ κύνα καύμασι θερμὸς καὶ ξηρὸς νεανίσκος ἐν τῷ πρώτῳ παροξυσμῷ πιὼν ὕδατος ψυχροῦ δύο κοτύλας, αὐτίκα μὲν ἤμεσε χολὴν ξανθοτάτην, ἐξέκρινε δ᾽ ὀλίγον ὕστερον καὶ κάτω. κἄπειτ᾽ αὖθις ἐπὶ τῇ τροφῇ λαβὼν ὁμοίως ὕδατος ὅσον κοτύλην οὐκέτι ἐπύρεξεν. ἀλλ᾽ ἔνιοι τῶν ἰατρῶν ἐν ἀρχῇ μὲν οὐ γνωρίζοντες οὐδεμίαν ἰδέαν πυρετοῦ, γνόντες δ᾽ ὕστερον, ὅτε οὐδὲν ὄφελος, εἰς ἑκτικὸν ἢ καὶ νὴ Δία ἤδη μαρασμώδη πυρετὸν ἐμπίπτοντα τὸν ἄῤῥωστον, ἔδοσαν αὐτῷ ψυχρὸν πιεῖν, ἡμᾶς μιμησάμενοι. καὶ πάντες ἀπέτυχον τοῦ σκοποῦ· πολλῆς γὰρ ἀκριβείας δεῖται κατὰ τὸ μέτρον ἐπὶ τῶν οὕτως ἐχόντων ἡ δόσις τοῦ ψυχροῦ καὶ λεχθήσεται περὶ αὐτῆς ὀλίγον ὕστερον, ἐπειδὰν πρότερον ἐπιθῶ τελευτὴν τοῖς ἐνεστῶσιν. ὁ γάρ τοι προγεγραμμένος ἄῤῥωστος ἁπάντων παράδειγμά ἐστι τῶν εὐθὺς ἐξ ἀρχῆς τρέφεσθαι δεομένων διὰ ξηρότητα, κἂν ἤδη πυρέττειν ἄρχωνται. γινομένου γὰρ αὐτοῖς τοῦ πυρετοῦ διὰ τὸ δακνῶδες τῶν ἐν ταῖς ἡλιώ-

tatem nondum perductis. Qui enim in fervoribus fub canicula ex ira febricitant, juvenis autem hic erat ficcus et calidus, ubi in prima acceffione duas frigidae heminas bibiffet, ftatim quidem evomuit flaviffimam bilem, non multo autem poft etiam deorfum excrevit. Deinde quum rurfus poft cibum aquae circiter heminam fimiliter fumpfiffet, jam febricitare defiit. Sed nonnulli medici quum nullam a principio febris fpeciem agnofcerent, fed poftea quum jam praeteriiffet occafio intelligentes vel in hecticam, vel etiam in tabidam febrem aegrotantem incidiffe, frigidam bibendam nos imitantes praebuerunt. Sed nemo metam attigit, nam magna folicitudo habenda eft in iis qui ita fe habent de frigidae potionis menfura, de qua paulo poft dicemus, ubi propofitae disputationi finem impofuerimus. Nam aeger is quem ante defcripfimus exemplo omnibus eft, quibus propter ficcitatem a principio ftatim dari cibus debet, etiamfi febricitare jam incipiant. Nam cum accenditur in his febris, propter mordentem acrimoniam excalefacti attenuatique ex

σεσι καὶ ἀσιτίαις καὶ πόνοις ἐκθερμανθέντων καὶ λεπτυνθέντων χυμῶν, ἡ ὑγραίνουσα τροφὴ μέγιστον ἴαμά ἐστιν. ὥσθ᾽ ὅπου γε διὰ πλῆθος, ἢ ἔμφραξιν, ἢ φλεγμονὴν, ἢ ἁπλῶς εἰπεῖν σηπεδόνα τινῶν χυμῶν ὁ πυρετὸς γεννᾶται, μέγιστον κακόν ἐστιν ἡ τροφή. τούτους μὲν οὖν οὐδ᾽ ἐν ταῖς παρακμαῖς ἀβλαβῶς ἂν τρέφοις, μήτι γε δὴ κατὰ τὴν εἰσβολὴν τῶν παροξυσμῶν· τοὺς προειρημένους δὲ ἅπαντι μὲν καιρῷ, μάλιστα δ᾽ ἐν τῇ παρακμῇ. [232] καί με πολλάκις ἐθεάσω τοὺς ἐπὶ πλήθει καὶ φλεγμονῇ νοσοῦντας ἐν ἀσιτίαις διαφυλάξαντα μακραῖς οὕτως ὡς μηδ᾽ ὅλως θρέψαι πρὸ τῆς ἑβδόμης ἡμέρας, ἀλλ᾽ ἀρκεσθῆναι μόνῳ μελικράτῳ τῆς δυνάμεως ἐῤῥωμένης δηλονότι, τινὰς δ᾽ αὐτῶν οἷς ἡ δύναμις οὐκ ἦν εὔρωστος, ἢ χολώδης ὁ στόμαχος, ἢ ἀσθενὴς, ἢ περιττῶς αἰσθητικὸς, ἐπὶ χυλῷ πτισάνης μόνῳ διεφύλαξα μέχρι τῆς ἑβδόμης ἡμέρας μέλλοντός γε δηλονότι κατὰ ταύτην ἤτοι παρακμάζειν τοῦ νοσήματος ἢ καὶ παντάπασι λυθήσεσθαι διὰ κρίσεως. ἔστωσαν δή σοι καθ᾽ ἕκαστον ἄῤῥωστον εὐθέως ἀπὸ πρώτης ἡμέρας οἱ σκοποὶ τοῦ τρέφειν, ὡς Ἱπποκράτης

ſole et inedia et laboribus humores, maximum ejus remedium eſt humidum nutrimentum, ſicuti e diverſo ubi ob copiam vel obſtructionem vel phlegmonen vel ut ſemel dicam humoris alicujus putredinem febris eſt orta maximo malo eſt cibus. Atque hos quidem nec in declinatione febris citra noxam nutrias, nedum ipſa acceſſione invadente: illos vero dictos omni certe tempore, ſed potiſſimum in declinatione. Me quoque ſaepenumero vidiſti eos qui ex repletione et qui ex phlegmone laborarent, ſub longa inedia tenuiſſe ſic ut prorſus ante ſeptimum diem non cibarem, ſed ſola mulſa contentus eſſem viribus ſcilicet valentibus. Quosdam eorum quibus vires validae non fuerant, aut ſtomachus bilioſus aut imbecillus aut plus juſto ſenſilis, ſolo ptiſanae cremore usque ad ſeptimum traxi diem, quo morbus declinare debuerat, aut etiam omnino per criſin discuti. Sunto igitur tibi a primo ſtatim die in omni aegro ſpectandi duo cibandi ſcopi, quos Hippocrates juſſit, morbi ſummus

ἐκέλευσεν, ἥ τε τοῦ νοσήματος ἀκμὴ καὶ ἡ τοῦ κάμνοντος δύναμις. εἶτ' εἰ μὲν ἐγχωρεῖ μηδ' ὅλως τρεφόμενον ὑπερβάλλειν τὴν ἀκμὴν, ἐν ἀσιτίαις φύλαττε τὸν ἄνθρωπον· εἰ δὲ βραχείας τινὸς βοηθείας δέοιτο, τὸ μελίκρατον ἀρκείτω μόνον· εἰ δὲ ἔτι μείζονος ἢ κατὰ μελίκρατον, ὁ χυμὸς τῆς πτισάνης. εἰ δ' οὐκ ἐγχωρεῖ τὴν ἀκμὴν τοῦ νοσήματος ὑπερβάλλειν, ἤτοι λεπτῶς διαιτώμενον ἢ ἀσιτοῦντα, πειρᾶσθαι τρέφειν τοῦτον εὐθὺς ἐν τῇ τοῦ πρώτου παροξυσμοῦ παρακμῇ. τινὰς δ' αὐτῶν, ὡς εἴρηται, καὶ μέλλοντος εἰσβάλλειν καὶ ἀρχομένου. ξηροὶ δ' εἰσὶν οὗτοι καὶ θερμοὶ τὴν κρᾶσιν, ἤτοι γ' ἐξ ἀρχῆς ἢ κατ' ἐκεῖνον τὸν χρόνον, ἀσθενεῖς τε τὴν δύναμιν ἐξ ἀνάγκης· οὐ γὰρ ἐνδέχεται ξηρὸν καὶ θερμὸν ἱκανῶς σῶμα πυρέξαν ἐῤῥῶσθαι ταῖς δυνάμεσιν. εἰ μέντοι ποτὲ συνέλθοι φλεγμονὴ τοῖς τοιούτοις πυρετοῖς τε καὶ σώμασιν ἐπικαίρου μορίου, τεθνήξονται πάντως· ἐθεάσω γὰρ ἡμᾶς καὶ τοῦτο προειπόντας μὲν ἀεὶ, ψευσαμένους δ' οὐδέποτε. καὶ μᾶλλον, εἰ πνεύμονος, ἢ τοῦ τὰς πλευρὰς ὑπεζωκότος χιτῶνος, ἢ

vigor et aegrotantis vires. Poſtea ſi transiri ſummum incrementum ſine omni cibo poteſt, in cibi abſtinentia hominem ſervabis; ſin exiguum adminiculum requirat, abunde erit ſola mulſa, quod ſi majus deſiderat quam ſit ex mulſa, ptiſanae cremor ſatis erit. At ſi fas non eſt ſummum morbi incrementum aut tenui victu aut inedia transmitti, id agendum ut homo ſtatim in primae acceſſionis declinatione cibetur. Aliquos vero, ut dictum eſt, et quum invaſura adhuc eſt et quum incipit *cibabis.* Sint porro hi ſicco temperamento ac calido aut a primo ortu aut certe illo tempore oportet, tum viribus neceſſario imbecillis, neque enim fieri poteſt ut abunde ſiccum calidumque corpus quum febricitet viribus ſit valentibus. Si tamen cum ejusmodi febre ac corpore principis partis phlegmone ſit conjuncta, omnino aeger morietur, nam id quoque praedixiſſe me ſemper, nunquam vero falſum ipſe teſtis es. Magisque id certum eſt, ſi pulmonis vel membranae coſtas ſuccingentis vel ventriculi vel jecinoris *phlegmone ſit;* etenim quae has

γαστρὸς ἢ ἥπατος· ἀεὶ γὰρ ἐν τούτοις τοῖς μέρεσι φλεγμοναὶ μὴ ὅτι τοῖς οὕτως ἀσθενέσι (144) τὴν δύναμιν, ἀλλὰ καὶ τοῖς ἰσχυροτέροις αὐτῶν ὀλέθριαι. καὶ μία σωτηρία πλευριτικοῖς τε καὶ περιπνευμονικοῖς, προσκείσθω δὲ καὶ συναγχικοῖς, ἡ ῥώμη τῆς δυνάμεως· ἔτι τε τούτων οὐδὲν ἧττον οἷς ἧπαρ ἢ γαστὴρ ἐφλέγμηνεν. ὅσον μὲν γὰρ ἐπὶ ταῖς φλεγμοναῖς αὐτῶν ἥκιστα προσήκει τρέφειν, ὅσον δ᾽ ἐπὶ τῇ τῆς δυνάμεως ἀῤῥωστίᾳ πολλάκις. ὥστ᾽ ἀναγκαῖον ἢ καταλῦσαι τὴν δύναμιν ἢ τὰς φλεγμονὰς αὐξῆσαι. ταυτὶ μὲν οὖν ἐπὶ πλέον ἴσως ἢ τοῖς ἐνεστῶσιν ἁρμόττει λέλεκταί μοι διεγνωκότι γε καὶ τοῦτο τὸ γράμμα περὶ τῶν ἄνευ φλεγμονῆς διαλεχθῆναι πυρετῶν. ἀλλὰ διὰ τὴν τοῦ λόγου κοινωνίαν ἐξέβην ἐφ᾽ ὅσον ἦν ἀναγκαῖον.

Κεφ. στ᾽. Αὖθις οὖν ἐπανέλθωμεν ἐπὶ τούσδε τοῖς προειρημένοις πυρετοῖς συγγενεῖς, οὓς ὀνομάζειν εἰώθαμεν ἑκτικούς. ὁ γάρ τοι νεανίσκος, ὃν προέγραψα, τὸν ἑκτικὸν ἂν ἐπύρεξε πυρετὸν, ὑπερβάλλειν ἀναγκασθεὶς τὴν θαυμαστὴν διάτριτον, εἴπερ γε μὴ φθάσας ἀπέθανεν ὑπὸ τῶν

partes phlegmonae occuparunt, non modo iis qui tam imbecillis funt viribus, fed etiam iis qui valentiores ipfis funt mortiferae effe folent. Unaque falus tum pleuriticis tum peripneumonicis, adde etiam fynanchicis, eft ipfum virium robur, non fecus vero et quibus vel jecur vel ventriculum phlegmone obfidet. Nam quod ad phlegmonen quae in iis eft partibus fpectat, minime plane eft cibandum, quod ad virium infirmitatem, faepe. Ita neceffario aut vires refolventur aut phlegmone augebitur. Atque haec mihi latius fortaffis quam pro re propofita funt dicta, quum praefertim hoc libro ftatuerim de febribus quae absque phlegmone infeftant differere. Caeterum tractationis convenientia fecit ut quatenus neceffarium effet digrederemur.

Cap. VI. Denuo igitur redeamus ad *febres* praedictis febribus congeneres, quas nominare hecticas folemus. Nam qui fupra defcriptus a me juvenis eft, hectica febre laboraffet, fi mirificam diatriton transigere fuiffet coactus, nifi tamen prius ab iis qui absque methodo victus rationem or-

εἰθισμένων ἄνευ μεθόδου διαιτᾶν. ὑποκείσθω τοίνυν ἄλλος τις ἅπαντα μὲν ἔχων τὰ αὐτὰ τῷ προειρημένῳ, τὴν δύναμιν δὲ ἰσχυρότερος εἰς τοσοῦτον ὡς καὶ τὴν διάτριτον ὑπερβάλλων ἀντέχειν. ἀνάγκη τὸν τοιοῦτον οὕτω διαιτώμενον ὡς διαιτῶσιν οἱ τὴν διάτριτον ὑμνοῦντες, εἰς τὸν [233] ἑκτικὸν πυρετὸν ἐμπεσεῖν. ἔθρεψαν γὰρ ἂν αὐτὸν ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν, εἶτ᾽ αὖθις ἐν τῇ ἕκτῃ, κἄπειτ᾽ ὀγδόῃ τε καὶ δεκάτῃ· τοιοῦτος γοῦν τις ὁ τύπος τῆς διαίτης αὐτῶν ἐστιν, ὡς ἐθεάσω πολλάκις· ἡ μὲν πρώτη τροφὴ μετὰ τὴν πρώτην διάτριτον, αἱ δ᾽ ἄλλαι παρὰ μίαν. εὐθὺς δ᾽ ἂν, οἶμαι, καὶ δι᾽ ἀρτομέλιτος ἐξήραναν αὐτοῦ τὰ ὑποχόνδρια· καὶ γὰρ καὶ τοῦτο ἐκ τοῦ νόμου τῶν τοιούτων ἰατρῶν ἐστιν, εἴτε φλεγμαίνοι σπλάγχνον, εἴτε καὶ μή. κατ᾽ ἀρχὰς μὲν οὖν ὅπως χρὴ διαιτᾶν τοὺς οὕτω κάμνοντας εἴρηται μὲν καὶ πρόσθεν, οὐδὲν δὲ ἧττον ἐν κεφαλαίοις εἰρήσεται καὶ νῦν. ὅταν ἤτοι γε ἐκ κόπων, ἢ θυμῶν, ἢ φροντίδων πλεόνων, ἢ ἀγρυπνίας, ἢ λύπης, ἢ ἐνδείας μακρᾶς, ἢ καὶ πάντων ἅμα συνελθόντων, ὥσπερ ἐπὶ τοῦ προγεγραμμένου νεανίσκου, ξηρανθέντος τοῦ

dinare confueverunt fuiffet interemptus. Proponatur igitur alius quispiam, cui cum fupradicto caetera quidem omnia fint eadem, vires tamen tanto fint valentiores ut tridui inedia tolerata duret. Neceffe eft hunc, fi modo ita cibetur quemadmodum cibant qui diatriton extollunt, in hecticam febrem incidere. Nam ii primum in quarto die ipfum cibarent, poft in fexto, mox in octavo et in decimo; quippe talis eft, ut faepe vidifti, eorum cibandi formula. Prima quidem cibatio poft primam diatriton, reliquae alternis diebus. Protinus autem, arbitror, et panimelle ficcaffent ejus procordia, nam id quoque ex legibus ejusmodi medicorum eft, five phlegmone viscus aliquod laboret five fecus. At quemadmodum quidem cibare ita laborantes inter initia conveniat, fupra eft dictum; fed nihilo tamen fecius nunc quoque fummatim repetetur. Quoties vel ex laffitudine vel ira vel pluribus curis vel vigiliis vel triftitia vel longa inedia vel univerfis una, ficut in fupra defcripto juvene, coeun-

σώματος εἰσβάλη πυρετὸς, αὐχμηρὸν μὲν ποιῶν τὸ δέρμα, πυρώδη δ᾽ ἔχων τὴν θέρμην, ἐλπὶς μὲν δήπου τοῦτον τὸν ἄνθρωπον ἑκτικῷ ληφθήσεσθαι πυρετῷ καὶ μᾶλλον ἐν θέρει καὶ ἐν θερμῇ καὶ ξηρᾷ καταστάσει. χρὴ δὲ ὅτι τάχιστα διά τε πτισάνης χυλοῦ καὶ τῶν διὰ χόνδρου ῥοφημάτων θρέψαντα καὶ ἄρτου τι προσεπιδιδόντα θεραπεῦσαι πόσει ψυχρᾷ τὸν κάμνοντα. σβέννυται γὰρ αὐτίκα καὶ παύεται τελέως ὁ πυρετὸς ὅταν γε, ὡς εἴρηται, μήτε φλεγμονή τις αὐτῷ συνῇ μήτε σῆψις χυμῶν. εἰ δέ γε τούτων τι συνεπιφαίνοιτο, προσέχειν ἀκριβῶς χρὴ καὶ διακρίνειν ἐν τίνι καιρῷ πρώτως τὸ ψυχρὸν ὕδωρ αὐτῷ δοῦναι τολμήσομεν. ἐγὼ γὰρ ἔδωκα πολλοῖς καὶ τῶν τοιούτων, ἄμεινον εἶναι νομίσας αὐξῆσαι τὰς φλεγμονὰς τό γε παραυτίκα τοῦ περιπεσεῖν ἀνέχεσθαι τὸν ἄνθρωπον ἑκτικῷ πυρετῷ. παντελῶς τοίνυν, ὡς ἀεὶ λέγομεν, ἡ θεραπεία τῇ διαγνώσει τε καὶ προγνώσει συνέπεται. διαγνῶναι μὲν γὰρ χρὴ τὰ παρόντα, προγνῶναι δ᾽ ἐξ αὐτῶν τὰ γενησόμενα τὸν μέλλοντα χρήσεσθαι βοηθήματι δραστηρίῳ. εἰ μὲν τοίνυν μεγάλην ἔσεσθαι στοχάζοιο τὴν βλάβην ἤτοι

tibus ficcatum corpus eft, ac febris invafit, quae et aridam reddat cutem et igneum habeat calorem, utique hunc hominem timor eft febre hectica correptum iri, potiffimum aeftate ac coeli ftatu calido ficcoque. Oportet autem quam primum ptifanae cremore et forbitione ex alica nutritum paneque poft oblato aquae frigidae potione aegrotum cures; nam protinus extinguitur ac ceffat omnino febris, modo, ut dictum eft, nec phlegmone aliqua ei fit adjuncta nec putredo humorum. Nam fi horum utrumvis fit, attendere diligenter oportet ac discernere quo primum tempore aquam frigidam dare homini fit audendum. Ego enim talium quoque multis dedi, tutius effe ratus phlegmonas in praefens augere quam finere hominem hecticam febrem incurrere. Ubique igitur, ut femper dicere foleo, curatio dignotionem praenotionemque confequitur. Siquidem et dignofcat quod praefens eft, et praenofcat quod ex eo futurum eft oportet qui volet notabilis efficaciae remedio uti. Si tamen magnum fore in-

τῆς σήψεως τῶν χυμῶν ἢ τῆς φλεγμονῆς, ἐπισχεῖν μὲν τὴν δόσιν τοῦ ψυχροῦ, τοῖς δ' ἔξωθεν ἐπιτιθεμένοις ψυκτηρίοις ἰάμασι χρῆσθαι, ποτὲ μὲν ἐπὶ στόματι τῆς γαστρὸς ἢ καθ' ὅλων τῶν ὑποχονδρίων, ἔστι δ' ὅτε καὶ κατὰ τοῦ θώρακος ἐπιτιθέντα, καθ' ἅπερ ἂν ἡγησώμεθα μάλιστα τὸ πλεῖστον εἶναι τῆς θέρμης. εἴρηται δ' ὅτι καὶ βαλανεῖα τοῖς οὕτω κάμνουσιν ἐπιτήδεια, τουτέστι τοῖς ἐξηρασμένοις μὲν ἱκανῶς τὸ σῶμα, πυρέττουσι δ' ἄνευ χυμῶν σηπεδόνος ἐπί τινι τῶν προειρημένων αἰτίων. ἐπιδέδεικται δὲ ἡμῖν ἐν τοῖς περὶ τῶν πυρετῶν λογισμοῖς ὅτι καὶ ταῖς φλεγμοναῖς διὰ τὴν σηπεδόνα τῶν ἐν αὐταῖς χυμῶν ἕπονται πυρετοί. διὰ τοῦτο οὖν ὅταν εἴπω ποτὲ τοῖς ἐπὶ σήψει πυρετοῖς ἤτοι συμφέρειν ἢ μὴ συμφέρειν τόδε τι, καὶ τοὺς ἐπὶ φλεγμοναῖς ἀκούειν σε χρὴ περιλαμβανομένους ἐν τῷ κοινῷ γένει τῆς σηπεδόνος. ὅταν δ' ἑξῆς ἀλλήλοις ἀμφοτέρους ὀνομάζοντος ἀκούῃς μου, τοὺς ἐπὶ φλεγμοναῖς ἴσθι τῶν ἐπὶ μόνῃ σήψει τηνικαῦτα διοριζομένους. ὁποία γάρ τίς ἐστιν ἡ τῆς φλεγμονῆς διάθεσις εἴρηται μὲν ἔν τε τῷ περὶ τῆς ἀνωμάλου δυσκρασίας κἀν τῷ

commodum vel humorum putredini vel phlegmonae conjicies, a frigida quidem danda abftinebis, refrigerantibus autem remediis quae foris applicantur uteris, modo ea fuper os ventriculi aut tota praecordia, modo fuper pectus imponens, ubi plurimum fubeffe caloris maxime judicabis. At dictum eft ita laborantibus balnea quoque effe commoda, hoc eft iis qui ficcato plurimum corpore funt, et ex aliqua praedictarum caufarum citra humorum putredinem febricitant. Monftratum vero nobis eft in documentis de febribus, phlegmonas quoque propter putredinem humorum qui in ipfis habentur febres fubfequi. Quocirca quum dico interdum febribus ex putredine accenfis tale quippiam conducere vel non conducere, etiam eas quae a phlegmone *excitantur* in communi putredinis genere comprehenfas intelliges. Quum vero deinceps utrasque nominare audieris, fcias eas quae ex phlegmone ab iis quae ex fola putredine ortum habent tum difcerni. Quae namque fit phlegmones affectus tum in libro de inaequali intemperie tum vero in

περὶ τῶν παρὰ φύσιν ὄγκων. ἀναμνῆσαι δέ σε καὶ νῦν ἀναγκαῖόν ἐστιν ὅτι κατασκήψαντος αἵματος θερμοῦ πλείονος εἰς τὸ τοῦ ζώου μόριον ἐξαίρεται μὲν αὐτίκα τὰ μείζω τῶν ἀγγείων, μὴ στέγοντα τὸ πλῆθος, ἑξῆς δ᾽ αὐτοῖς τὰ σμικρότερα. κἄπειθ᾽ οὕτως, ἐπειδὰν μηδ᾽ ἐν τούτοις στέγηται, διιδροῦται πρὸς τοὐκτὸς εἰς τὰς μεταξὺ τῶν ἀγγείων εὐρυχωρίας, ὡς καὶ τὰς ἐν τῇ συνθέτῳ σαρκὶ χώρας ἁπάσας καταλαμβάνειν. αὕτη μὲν ἡ τῆς φλεγμονῆς διάθεσις. ἐγχωρεῖ δὲ καὶ χωρὶς αὐτῆς ἐν αὐτοῖς τοῖς ἀγγείοις σήπεσθαί τινας [234] χυμοὺς, ἤτοι καθ᾽ ἕν τι τοῦ ζώου μόριον ἐν τοῖς πέρασιν αὐτῶν σφηνωθέντας, ἢ καὶ καθ᾽ ὅλας αὐτῶν τὰς εὐρύτητας, ὁπόσαι μεταξὺ βουβώνων τέ εἰσι καὶ μασχαλῶν. ὅταν οὖν, ὡς ἐλέγομεν, ἄνευ σηπεδόνος αὐχμώδει σώματι πυρέττειν συμβῇ, τὸ κεφάλαιον τῆς ἰάσεως ἐν τοῖς ὑγραίνουσι καὶ ψύχουσι βοηθήμασι τίθεσθαι χρή.

Κεφ. ζ. Δύο δ᾽ εἰσὶν αἱ τούτων ὗλαι κατὰ γένος αἱ πρῶται· μία μὲν ἐν τοῖς προσπίπτουσιν ἔξωθεν, ἑτέρα δὲ ἐν τοῖς εἴσω τοῦ σώματος λαμβανομένοις, ἃ δὴ καὶ προσφε-

eo qui de tumoribus praeter naturam *eſt inſcriptus* docuimus. Te tamen *de hoc* admonuiſſe nunc neceſſarium eſt. Quum ſanguis calidus copioſior in aliquam animalis partem procubuit, majora ejus vaſa protinus diſtenduntur, quae plenitudinem non ferunt, ab his deinceps quae minora ſunt. Mox ubi nec in iis ſatis continetur, exſudat foras in ea ampla ſpatia, quae inter vaſa ſunt, ſic ut etiam omnia quae in compoſita carne habentur loca occupet. Atque haec quidem eſt phlegmones affectio. Poſſunt vero et ſine hac in ipſis vaſis humores aliqui putreſcere, aut in una animalis parte in ſinibus ipſorum impacti, aut etiam in totis eorum capacitatibus quae inter inguina et alas ſunt comprehenſi. Quum igitur, ceu diximus, citra putredinem ſqualenti corpori febricitare contigerit, caput totius curationis in iis remediis quae refrigerent et humectent ſtatuere oportet.

Cap. VII. At duplex genere eſt harum rerum prima materia, una eorum quae foris admoventur, altera quae intro in corpus aſſumuntur, quae ſane aſſu-

ρόμενα καλοῦσιν. ἔξωθεν μὲν οὖν προσπίπτει τό τε περιέχον ἡμᾶς αὐτὸ καὶ ὅσα δυνάμει φαρμάκων ὑγραίνειν τε καὶ ψύχειν πεφύκασι, καὶ τρίτον πρὸς τούτοις ὑδάτων γλυκέων λουτρά. τὰ δ᾽ εἴσω τοῦ σώματος λαμβανόμενα τά τε ἐσθιόμενα καὶ τὰ πινόμενα καὶ ὁ εἰσπνεόμενος ἀὴρ ἐστιν. ἐκ τούτων χρὴ πειρᾶσθαι τήν θ᾽ ὑγρότητα καὶ τὴν ψύξιν ἐκπορίζειν τοῖς ἐν τῷδε τῷ λόγῳ προκειμένοις πυρετοῖς. ἀλλ᾽ ἡ μὲν ψύξις ὡς ἂν ὑπὸ δραστηρίου ποιότητος γινομένη ὀλιγοχρόνιός τ᾽ ἐστὶ καὶ σφαλερὰ, πολυχρόνιος δὲ ἡ τῶν ἐξηρασμένων ἐπανόρθωσις ὑπάρχει δι᾽ ὑγρότητος, ἧττόν τε σφαλερὰ τῆς διὰ ψύξεως. ἐπέλθωμεν οὖν ἐφεξῆς τὰς εἰρημένας ἐξ διαφορὰς τῆς ὕλης, ἀπὸ τοῦ περιέχοντος ἀρξάμενοι.

Κεφ. η΄. Τούτῳ τοίνυν εὐκράτῳ μὲν ὄντι χρηστέον ὡς ἔχει, μηδὲν περιεργαζομένους. εἰ δ᾽ ἤτοι θερμὸν ἱκανῶς ἢ ψυχρὸν ὑπάρχοι, τῷ μὲν θερμῷ τοὐναντίον ἐπιτεχνᾶσθαι καταγείους οἴκους, ψυχροτάτους τε καὶ εὐπνουστάτους ἐξευρίσκοντας, πρὸς ἄρκτον ἐστραμμένους αὔρας τέ τινας ἡδείας

menda vocantur. Extrinfecus corpori incidunt tum aër ipfe nos ambiens tum medicamenta quaecunque humectandi refrigerandique vim obtinent, et tertium praeter haec dulcis aquae balneum. Intro in corpus fumuntur quae eduntur ac bibuntur et infpiratus aër. Ab his generibus tentandum eft propofitis hoc loco febribus tum humiditatem tum refrigerationem comparare. Verum refrigeratio quoniam per efficaciffimam qualitatem inducitur, et parvi temporis eft et periculofa, contra ficcitatis per ea quae humectent curatio, ut longi temporis eft opus, ita minus eft quam refrigeratio periculo expofita. Igitur dictas fex materiae differentias deinceps jam examinemus ab ambiente exorfi.

Cap. VIII. Hic igitur temperatus eft qualem fe exhibet, utique tali nobis eft utendus nihil amplius de eo folicitis. Sin admodum calidus eft vel admodum frigidus, pro calido inducendus arte contrarius eft, fubterraneis inventis domibus quae et frigidiffimae fint et maximae perflatae et ad feptentrionem verfae, tum auris quibusdam quae ipfis

αὐτοῖς μηχανωμένους, ἐνίοτε μὲν ἐξ εὐρίπων εἰς οὓς καταῤῥάσσουσιν ὕδατος κρουνοὶ πλείους, ἐνίοτε δ' ἐξ ἀγγείων εἰς ἀγγεῖα μεταῤῥέοντος ὕδατος ψυχροῦ. εὐθὺς δὲ τοῦτο καὶ ὑπνωτικὸν ὑπάρχει, ῥαίνοντάς τε συχνῶς τὸν οἶκον ἀκραιφνεῖ ψυχρῷ καὶ (145) ῥόδα πολλὰ κατὰ τῆς γῆς ἐκχέοντας, ἢ ἀμπέλων ἕλικας, ἢ βάτων ἀκρέμονας, ἢ σχίνων κλῶνας, ἤ τι τῶν ἄλλων φυτῶν ὅσα ψύχει· λέλεκται δὲ ὑπὲρ αὐτῶν ἤδη καὶ πρόσθεν. εἴργοντας δὲ δηλονότι καὶ πλῆθος ἀνθρώπων εἰσιέναι· καὶ γὰρ καὶ τοῦτο θερμαίνει τὸν οἶκον. οὕτω μὲν τὸν θερμότατον ἀέρα πειρᾶσθαι ψύχειν, ἐν θέρει δηλονότι θερμῷ καὶ ξηρῷ συνιστάμενον· οὐ γὰρ ἂν χειμῶνί ποτε γένοιτο θερμότατος, ὥσπερ οὐδὲ ψυχρότατος ἐν θέρει. τὸν ψυχρὸν δὲ μετρίως μὲν ὑπάρχοντα τοιοῦτον ἀγαπᾶν καὶ δέχεσθαι, μηδὲν αὐτὸν ἐπιτεχνώμενον ἢ ἐξαλλάττοντα τὴν κρᾶσιν αὐτοῦ· ψυχρότατον δ' ὄντα, καθ' ὅσον μὲν εἰσπνεῖται προσίεσθαι· ψύχει γὰρ ἱκανῶς τὴν ἐν τῇ καρδίᾳ θέρμην· οὐ μὴν καθ' ὅσον ἔξωθέν γε ἅπτεται τοῦ κάμνοντος, πυκνοῖ γὰρ καὶ συνάγει τὸ δέρμα καὶ κωλύει τὰς ἀποῤῥοὰς διαπνεῖσθαι τῶν σηπεδο-

ſint ſuaves opera noſtra paratis, alias ex euripis, in quo ſe dejiciant multi aquarum fontes, alias aqua frigida de vaſis in vaſa transfuſa. Jam hoc ſtatim etiam ſomniferum eſt. Praeterea domo aſſidue aqua quae prorſus frigida ſit aſperſa, ac roſis plurimis humi fuſis, aut vitium capreolis, aut ruborum ſummitatibus, aut lentiſci ramis, aut denique reliquarum quae refrigerent ſtirpium aliquibus, de quibus etiam prius eſt dictum. Turba quoque hominum ingredi prohibita; nam ea quoque domum calefacit. Atque ita quidem calidiſſimum aërem refrigerare qui in aeſtate calida et ſicca accidit eſt tentandum, quandoquidem hieme calidiſſimus eſſe non poteſt, ſicuti nec frigidiſſimus aeſtate. At ſi quis modice frigidus eſt, hoc eſſe contentos oportet, nihil aut machinantes aut de temperie ejus alterantes. Qui vero frigidiſſimus eſt, quatenus reſpirando attrahitur, admittendus eſt, nam calorem qui eſt in corde admodum refrigerat, non tamen quatenus extrinſecus aegrum contingit, quippe id denſat cogitque cutim ac putridorum humorum affluxum transpirare

ρωδῶν χυμῶν· διὰ μὲν γὰρ τοῦ πνεύμονος ἀραιοῦ σπλάγχνου χαλεπὸν οὐδὲν ἐπὶ τὴν καρδίαν ἀφικνεῖσθαι ῥᾳδίως οὐ μόνην τὴν ποιότητα, ἀλλὰ καὶ [235] τὴν οὐσίαν αὐτοῦ· διὰ μέντοι τοῦ δέρματος οὔτε τὴν ποιότητα δυνατὸν οὔτε τὴν οὐσίαν ἐπὶ τὴν καρδίαν ἀφικνεῖσθαι, φθάνοντος πυκνοῦσθαι. τὸ γὰρ ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ῥηθὲν ἐπὶ τῶν ἰσχυρῶς στυφόντων ἀναμνῆσαι χρὴ κἀνταῦθα καὶ γνῶναι τὸν ἄγαν ψυχρὸν ἀέρα τὰς ὁδοὺς ἀποκλείειν ἑαυτῷ, τὸ δέρμα στεγνοῦντ᾽ ἀεί. μείζονα μέντοι γνωστέον ἐσομένην ἐκ τῆς ψυχρᾶς εἰσπνοῆς τὴν ὠφέλειαν ἤπερ ἐκ τῆς τοῦ δέρματος πυκνώσεως τὴν βλάβην, καὶ μάλισθ᾽ ὅταν δι᾽ ἐπιβλημάτων οἷόν τε θάλπειν αὐτό. χρῆσθαι δ᾽ ἀέρι τοιούτῳ κατ᾽ ἐκείνους μάλιστα τῶν ἑκτικῶν πυρετῶν ἐν οἷς ἡ καρδία πάσχει πρώτως, καθάπερ γε καὶ εἰ ἡ γαστὴρ πρώτη ἐπεπόνθει, διὰ τῶν ἐσθιομένων καὶ πινομένων ἀρήγειν αὐτῇ· ταύτῃ μὲν γὰρ ἐκεῖνα τὴν δύναμιν εἰλικρινῆ φυλάττοντα προσπίπτει, τῇ καρδίᾳ δὲ ὁ εἰσπνεόμενος ἀήρ. ἥπατι δὲ ἐκ μὲν τῆς εἰσπνοῆς οὐδὲν ὄφελος, ὠφελεῖται δ᾽ ἧττον μὲν τῆς κοιλίας, οὐ

prohibet. Siquidem per pulmonem quod rarum viscus est difficile non est, ut tum qualitas ipsius tum etiam substantia ad cor facile perveniat, at per cutim fieri nequit ut ejus vel qualitas vel substantia ad cor perveniat, utpote prius densatam. Nam quod in libris de simplicium medicamentorum facultatibus de vehementer adstringentibus est dictum, id hic quoque revocari ad memoriam debebit, ac sciri qui nimirum frigidus aër sit, hunc cutim densando semper sibi ipsi viam praecludere. Scire tamen licet majus fore ex frigida inspiratione commodum, quam ex cute densanda incommodum, praesertim cum operimentis hanc calefacere licet. Porro utendum maxime ejusmodi aëre est in iis hecticis febribus quibus primum cor afficitur, ut si ventriculus primum esset affectus, ipsi per comesta et bibita esset succurrendum, huic enim illa quum integris adhuc viribus occurrunt, sicut cordi inspiratus aër. At jecinori ex inspirato *aëre* nulla certe utilitas *accedit*, a comestis vero et bibitis

μὴν ἀμυδρῶς γε, διὰ τῶν ἐσθιομένων τε καὶ πινομένων. κοινὴ δ᾽ ἁπάντων ἴασις ἡ διὰ τῶν ἔξωθεν ἐπιτιθεμένων ὑγραινόντων τε καὶ ψυχόντων. ἐπὶ τούτοις μὲν οὖν τοῖς σπλάγχνοις ὡς τὰ πολλὰ τοὺς ἑκτικοὺς καὶ μαρασμώδεις ἐθεασάμεθα πυρετούς. ἐπιγίγνονται μὴν ἐνίοτε καὶ ταῖς τοῦ πνεύμονος ξηραῖς καὶ θερμαῖς δυσκρασίαις· ἀλλ᾽ οὐκ ἐπιτήδειον εἰς τοὺς τοιούτους πυρετοὺς τὸ σπλάγχνον, ὑγρὸν καὶ χαῦνον ὑπάρχον. ἐπιγίνονται δὲ καὶ θώρακι καὶ μεσαραίῳ καὶ κύστει καὶ νήστει καὶ κώλῳ καί ποτε καὶ μήτρᾳ καὶ νεφροῖς. ἐπὶ δὲ τῷ διαφράγματι μαρασμὸν μὲν οὐκ εἶδον, ἑκτικὸν δ᾽ ἐθεασάμην πυρετὸν, ἅπαξ μὲν ἀκριβῶς ἀπεργασθέντα, πολλάκις δ᾽ ἀποκτείναντα πρὶν ἀκριβῶς συμπληρωθῆναι. δύσπνοιά τε γὰρ ἕπεται καὶ παραφροσύνη ταῖς τοιαύταις διαθέσεσιν ἐφ᾽ αἷς ἀποθνήσκουσιν ὡς τὰ πολλὰ πρὶν ἑκτικὸν ἀκριβῶς γενέσθαι τὸν πυρετόν. ῥάστη δ᾽ αὐτῶν ἡ διάγνωσις τῇ τε σκληρότητι τοῦ σφυγμοῦ καὶ τῷ τὸ ὑποχόνδριον ἐπὶ πλεῖστον ἀνασπᾶσθαι καὶ τῷ δυσπνοεῖν ἀνώμαλόν τέ τινα καὶ πολυειδῆ δύσπνοιαν. ἐπὶ πλεῖστον μὲν γὰρ

minor plane quam ventriculo, caeterum aliqua non obſcure advenit. Communis autem omnium ſanatio eſt per ea quae extrinſecus applicata refrigerant et humectant. Atque in his quidem viſceribus magna ex parte hecticas tabidasque febres accidere contemplati ſumus. Superveniunt tamen aliquando et pulmonum ſiccis calidisque intemperiebus, attamen opportunum ejusmodi febribus id viscus non eſt, humidum laxumque. Incidunt praeterea et pectori et meſaraeo et veſicae et jejuno et colo, interdum vero et utero et renibus. In ſepto vero transverſo marasmum non vidi, hecticam ſane febrem vidi et hanc ſemel quidem plane abſolutam, ſaepe vero citius interimentem quam plane eſſet completa. Ejusmodi namque affectum et ſpirandi difficultas et delirium excipere ſoleat, ex quibus magna ex parte prius moriuntur, quam hectica febris prorſus ſit perſecta. Eſt autem eorum dignotio facillima tum ex pulſus duritie, tum ex hypochondriis ut plurimum revulſis, tum ex difficultate ſpirandi quae illis eſt inaequalis et varia, ut plurimum enim inter-

Ed. Chart. X. [235.] Ed. Baf. IV. (145.)

ἐνίοτε σμικρὸν καὶ πυκνὸν ἀναπνέουσιν, αὖθις δ' ἔστιν ὅτε βραδύνουσι σαφῶς. εἶτ' ἐξαίφνης ὥσπερ στενάζοντες ἀνέπνευσαν, ἢ διπλῆν τὴν εἴσω φορὰν τοῦ πνεύματος οἷον ἐπεισπνέοντες ἢ διπλῆν τὴν ἔξω ποιοῦνται, καθάπερ ἐπεκπνέοντες. ἀναπνέουσι δὲ καὶ τῷ ἄλλῳ θώρακι παντὶ πολλάκις αἰσθητὸν καὶ μέγα, τὰς ὠμοπλάτας ἐξαίροντες· ἐνίοτε δ' ἱκανῶς ἀραιὰν καὶ μεγάλην ποιοῦνται ἀναπνοὴν, ὅταν ἐπικρατῇ τὰ τῆς παραφροσύνης. ἀλλ' οὐ πρόκειται νῦν λέγειν οὔτε τὰ γνωρίσματα τῶν πεπονθότων τόπων οὔτε τὰς αἰτίας αὐτῶν. αὖθις οὖν ἐπὶ τὴν θεραπείαν ἴωμεν, ἐπισκοπούμενοι τῶν προκειμένων ὑλῶν τὰς δυνάμεις ὁποίας τινὰς ἔχουσιν ὡς πρὸς τοὺς ἑκτικοὺς πυρετούς. εἴρηται δὲ ἤδη περὶ ἀέρος οὐκ ὀλίγα θερμοῦ καὶ ψυχροῦ καὶ μάλιστα μὲν ὠφελοῦντος, ὅταν, ὡς εἰώθασιν ὀνομάζειν, ἡ καρδία πρωτοπαθεῖ· βοηθοῦντος δ' οὐκ ὀλίγον οὐδ' ἐν τοῖς ἄλλοις πυρετοῖς, ἐπειδὴ κᾀν τούτοις ἐξ ἀνάγκης ἡ καρδία παραπλησίαν ἀναδέχεται δυσκρασίαν. ἧς χωρὶς οὐχ οἷόν τε μὴ ὅτι μαρασμὸν ἢ ἑκτικὸν πυρετὸν, ἀλλὰ μηδὲ τῶν ἄλλων μηδένα γενέσθαι. δῆλον οὖν ὅτι κᾂν

dum parvum et denfum refpirant, rurfus aliquando manifefte fpiritum tardant, dein fubito quemadmodum gementes refpirarunt, vel duplicem fpiritus intromiffionem, quafi fuperinfpirantes, vel duplicem foras miffionem faciunt, veluti fuper expirantes. Refpirant vero hi faepe et reliquo thorace toto non fenfibiliter modo, verum etiam notabiliter tum opertas fcapulas attollentes, aliquando admodum raram et magnam refpirationem edunt, quum delirii malum p[illegible]cipue dominatur. Verum praefentis inftitui non eft vel laborantium partium notas vel earum caufas referre. Quare denuo ad curationes revertamur, aeftimemusque quas vires propofitae jam materiae adverfus hecticas febres habeant. Sane diximus jam nonnulla de aëre tum calido tum frigido, qui praecipue quidem eft utilis, quum quod primum afficitur ipfum eft cor, quamvis conferat et in reliquis febribus non parum, quandoquidem in his quoque neceffe eft cor fimilem intemperiem recipiat, citra quam nec marasmus nec hectica febris nec reliquarum ulla febrium confiftere poteft. Patet

ὁ πνεύμων ποτὲ πάθῃ πρώτως, ἐμψύχοντος αὐτὸν ἀέρος δεήσεται τῶν ἄλλων ἁπάντων μᾶλλον.

Κεφ. θ'. [236] Ἐφεξῆς δ' ἂν εἴη σκέψασθαι περὶ τῶν ἔξωθεν ἐπιβαλλομένων φαρμάκων ὑγραινόντων τε καὶ ψυχόντων. ὅτι μὲν δὴ καὶ τούτων ἐκλεκτέα τὰ ψύχοντα χωρὶς τοῦ στύφειν ἰσχυρῶς πρόδηλον παντί. πρὸς γὰρ τῷ μηδ' ὑγραίνειν τὰ τοιαῦτα καὶ διικνεῖσθαι πρὸς τὸ βάθος ἡ ψύξις αὐτῶν ἀδυνατεῖ, συναγόντων τε καὶ σφιγγόντων τὸ δέρμα. κάλλιστα δ' οὐ μόνον ὅσα ψύχει χωρὶς τοῦ στύφειν, ἀλλ' εἰ καὶ τῇ συστάσει τοῦ σώματος εἴη λεπτομερῆ. τελεωτάτην μὲν οὖν εὑρεῖν οὐσίαν λεπτομερῆ καὶ ψυχρὰν ἀκριβῶς ἴσως ἀδύνατον. ἀκριβῶς δ' εἶπον, ἐπειδὴ τὸ πάντων ὧν ἴσμεν ψυχρῶν τῇ δυνάμει λεπτομερέστατον, τὸ ὄξος, ἔχει τινὰ μεμιγμένην ἑαυτῷ θερμότητα. καὶ μέντοι καὶ ξηραίνει τὰ πλησιάζοντα σώματα κἂν ὑγρὸν εἴη κατὰ τὴν φαντασίαν. ὅθεν οὐδὲ μόνῳ αὐτῷ ποτε χρώμεθα πρὸς τὰς ὑγραίνεσθαί τε ἅμα καὶ ψύχεσθαι δεομένας διαθέσεις, ἀλλ' ὕδατι ψυχρῷ

igitur etiam pulmones, ubi fcilicet ii funt, qui primum patiuntur, plus caeteris omnibus refrigerantem aërem requirere.

Cap. IV. Sequitur jam ut de iis medicamentis agam quae extrinfecus admota humectent et refrigerent. Porro horum quoque ea deligenda' effe, quae citra vehementem adftrictionem refrigerent neminem latet. Talia enim praeter quam quod non humectant, etiam demittere frigiditatem fuam alte non valent, propterea quod cutim cogunt ac coarctant. Optima vero funt quae non modo citra adftrictionem refrigerant, fed etiam corporis fubftantia funt tenui. Ac quidem abfolutiffime tenuium partium fit, fubftantiam exacte frigidam inveniffe fortaffe non eft. Dixi *exacte* propter acetum, quod cum omnium quae novimus poteftate refrigerantium plane tenuiffimarum fit partium, admixtam fibi aliquam caliditatem habet. Praeterea corpora quae contingit ficcat, quamvis ad imaginationem fit humidum. Quo fit ut ad eos affectus quos humectari et refrigerari ex-

τοσούτῳ μιγνύντες ὡς δύνασθαι πιεῖν. ἀλλ' εἰ καὶ τὸ τελέως λεπτομερὲς ἅμα καὶ ψυχρὸν σῶμα μὴ δυνατὸν εὑρεῖν, ὅμως ἐκλέγεσθαι χρὴ τὰς ἐπιτηδειοτάτας ὕλας εἰς τὴν τοῦ τοιούτου σύνθεσιν φαρμάκου. λέλεκται μὲν οὖν ἐπὶ πλέον ὑπὲρ αὐτῶν ἐν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις. εἰρήσεται δὲ καὶ νῦν ἐπὶ παραδειγμάτων ὀλίγον ἕνεκα τοῦ γυμνάσασθαί σε καὶ κατὰ τοῦτο τὸ γένος ἐν τοῖς κατὰ μέρος. ἄρξομαι δ' ἀπὸ τοῦ πάντων ἁπλουστάτου φαρμάκου τῶν ὑγραινόντων τε καὶ ψυχόντων, ᾧ καὶ κατὰ τῶν ἐρυσιπελάτων χρῶμαι καὶ κατὰ τῶν ἐν αἰδοίοις φλεγμονῶν ἐν ἀρχῇ, πρὶν ὑποφαίνεσθαί τινα νομώδη σηπεδόνα. χρὴ δ' εἰς αὐτὸ παρεσκευάσθαι κηρὸν ὡς κάλλιστον πεπλυμένον. εἴη δ' ἂν κάλλιστος ὅ τε Ποντικὸς ὁ λευκὸς, ὅ τε ἐξ Ἀττικῶν κηρίων. ἔστω δὲ καὶ ῥόδινον ἐξ ἐλαίου τοῦ καλουμένου πρὸς τινῶν μὲν ὀμφακίνου, πρὸς ἄλλων δὲ ὠμοτριβοῦς, ἐσκευασμένον χωρὶς ἁλῶν. ἄριστον δὲ εἶναι καὶ τοῦτο τὸ ἔλαιον ἀκριβῶς λεπτομερὲς, ὥσπερ τὸ Σαβῖνον. ἐπὶ δὲ τῆς χρείας ἄμφω μιχθέντα τηκέσθω δι' ἀγ-

pedit folo eo non utamur, fed tanto aquae frigidae admixto ut poffit bibi. Caeterum quamquam corpus quod abfolute tenuium partium fit et fimul frigidum invenire non eft, attamen deligi materias oportet, quae ad ejusmodi medicamenti compofitionem maxime fint idoneae. Ac dictum quidem latius de his eft in opere de medicamentis. Dicetur autem in exemplis nonnihil et nunc, quo in hoc quoque genere particulatim fis exercitatus. Incipiam autem ab eo medicamento quod omnium quae humectent ac refrigerent eft fimpliciffimum, quo etiam adverfus eryfipelata utor et phlegmonas in pudendis inter initia, priusquam depafcens aliqua fubindicetur putredo. Debebit autem ad id praeparata effe cera quam optima et elota. Sane optima fuerit vel alba pontica vel quae ex atticis fit favis. Efto autem et rofaceum quod ex oleo fit a nonnullis vocato omphacino, ab aliis crudo, quodque citra falem fit confectum. Maxime vero ad rem pertinebit, fi et ipfum oleum tenuium prorfus fit partium, cujusmodi Sabinum eft. Quum uti voles,

γείου διπλοῦ καὶ γενομένης ὑγρᾶς κηρωτῆς. ἔσται δὲ τοιαύτη τριπλάσιον ἢ τετραπλάσιον ἔχουσα τοῦ κηροῦ τὸ ῥόδινον. ἐπειδὰν δὲ αὐτὴ ψυχθῇ, μιγνύσθω ψυχθείσῃ κατὰ (146) βραχὺ τοσοῦτον ὕδατος ὅσον ἂν ἐν θυείᾳ μαλαττομένη σὺν αὐτῷ δέξασθαι δύναιτο. χρὴ δὲ καὶ τὴν κηρωτὴν αὐτὴν ἱκανῶς ἐψῦχθαι καὶ τὸ μιγνύμενον ὕδωρ αὐτῇ ψυχρότατον ὑπάρχειν. ἱκανῶς δὲ ψύξεις τὴν κηρωτὴν, ἐπειδὰν μετρίως παγῇ, καθιεὶς εἰς ὕδωρ ψυχρότατον ὅλον τὸ ἀγγεῖον ἐν ᾧ περιέχεται. μίξας δὲ εἰ βούλοιο καὶ ὄξους ὀλίγον ἱκανῶς λεπτοῦ καὶ διαυγοῦς, ἔτι δὲ καὶ μᾶλλον ὑγραῖνόν τε ἅμα καὶ ψῦχον ἐργάσῃ φάρμακον. οὐ χρὴ δ᾽ ἀναμένειν ἐπιχεῖσθαι κατὰ τοῦ σώματος αὐτὸ τοῦ κάμνοντος εἰς τοσοῦτον ὡς θερμανθῆναι σαφῶς, ἀλλ᾽ ὑπαλλάττεσθαι συνεχῶς. Ἄλλο φάρμακον. ὀξαλίδος ἢ ὀξυλαπάθου χυλὸς, ἀλφίτων λεπτῶν ὀλίγων μιχθέντων ἀναλαμβανέσθω διπτύχῳ ῥάκει τριβακῷ, ψυχρὸν δ᾽ ἱκανῶς ἐπιτιθέσθω καὶ τοῦτο. μὴ παρόντος δὲ τοιούτου ῥάκους, ὀθόνιον δίπτυχον ἀναδεύσας, ἐπιτίθει τῷ ψύχεσθαι δεομένῳ μορίῳ,

ambo mixta liquantor in vafe duplici, factoque humido cerato, cujusmodi fcilicet erit quod triplum aut quadruplum ad ceram rofaceum habet, poftquam ipfum fuerit refrigeratum, mifcetor ei paulatim in mortario tantum aquae quantum in fe dum cum ea mollitur accipere poffit. Expedit autem et ceratum ipfum prius admodum effet refrigeratum, atque etiam quae huic admifcebitur aquam effe frigidiffimam. Abunde autem ceratum refrigerabis, fi quum modice coivit, totum vas in quo continetur in aquam frigidiffimam demittas. Quod fi aceti quoque admodum tenuis ac clari paululum adjicere velis, magis adhuc tum refrigerans tum humectans medicamentum efficies. Non debebit autem medicamentum hoc eo usque fuper aegrum corpus manere, dum manifefte incaleat, fed affidue mutari. Aliud medicamentum. Oxalidis aut oxylapathi fuccus cum pauca tenui polenta mixta excipiatur duplicato panniculo detrito, affatimque frigidum et ipfum imponatur. Quod fi ejusmodi panniculi occafio non fit, tum linteum duplicatum et madefactum refrigerandae

[237.] καὶ μὲν δὴ καὶ ὁ τῆς ἀνδράχνης καὶ ὁ τοῦ ἀειζώου χυλὸς ἅμα τῷ τῆς ὄμφακος ὁμοίως ἀλφίτοις μίγνυται. πρὸς τούτοις δ᾽ ἔτι φακὸς ὁ ἀπὸ τῶν τελμάτων καὶ τριβόλου χλωροῦ καὶ πολυγόνου καὶ θριδακίνης καὶ σέρεως χυλὸς, ὅσα τ᾽ ἄλλα ψύχειν ἐλέχθη σὺν ἀλφίτοις λεπτοῖς πάντα. καὶ χωρὶς δ᾽ ἀλφίτων ὅλας τὰς πόας ἔξεστι λειοῦντα χρῆσθαι. καὶ μὲν δὴ καὶ τὸ διὰ τῶν φοινίκων ἐπίθεμα τῶν λιπαρῶν, ὀνομάζουσι δ᾽ αὐτοὺς πατητοὺς, ἀγαθὸν φάρμακον. ἕψειν δὲ χρὴ καὶ τούτων τὴν σάρκα, τὸ ὑμενῶδες ἅπαν ἐξαίροντα ποτὲ μὲν δι᾽ ὄξους μόνου διαυγοῦς, ἔστι δ᾽ ὅτε καὶ ὕδατος αὐτῷ μιγνύντα· τακερᾶς δ᾽ ἱκανῶς γενηθείσης, λειοῦντα χρῆσθαι. σκληρὸν δ᾽ εἰ φαίνοιτό σοι κατὰ τὴν σύστασιν, ἄμεινον μιγνύναι τῆς προγεγραμμένης κηρωτῆς. εἰ δὲ καὶ ῥοδίνου ποτὲ τῶν εἰρημένων ἑκάστῳ μῖξαι βουληθείης, οὐδὲν ἔσται σοι χεῖρον τὸ φάρμακον· ἔστω δὲ ὀλίγιστόν τι τὸ μιγνύμενον καὶ ἁπλοῦν καὶ ψυχρὸν ἱκανῶς, κἀξ ἐλαίου γεγονὸς ἅλας οὐκ ἔχοντος. ἁπλοῦν δ᾽ ὅταν εἴπω ῥόδινον ἢ ἄλλο τι τῶν τοιούτων, ἀκούειν σε χρὴ τὸ χωρὶς τῶν ἀρωμάτων

parti impones; quin etiam portulacae et fempervivi et uvae immaturae fuccus fimiliter polentae miscentur. Ad haec lens paluftris et viridis tribuli et polygoni et lactucae et intybi fuccus et alia quaecunque refrigerare eft dictum cum tenui polenta. Praeterea fine polenta licet integris herbis tunfis uti. Jam vero quod epithema ex pinguibus fit palmulis, quas patetas, *id eft calcatas*, vocant, falutare medicamentum eft. Porro coquere oportet harum carnem, omni membranofo exempto, alias ex folo claro aceto, alias et aqua ipfi admixta, atque hac, ubi tenera fatis reddita eft, tunfa uti. Quod fi dura craffitudine tibi appareat, praeftiterit praefcripti aliquid admiscuiffe cerati. Quod fi rofacei quidpiam dictorum fingulis aliquando miscere volueris, nihilo inutilius medicamentum habebis, efto autem quod admiscetur tum minimum tum et fimplex et perfrigidum et quod factum ex oleo fit falis experte. Sane quoties fimplex rofaceum aut quid aliud id genus dico, quod fine aromatis

ἐσκευασμένον. ἀγαθὸν φάρμακον εἰς τὰ τοιαῦτα καὶ ὁ τῶν ῥόδων χυλὸς ἅμα τοῖς ἀλφίτοις ψυχρός. ἀγαθὸν δὲ καὶ αὐτὰ λειωθέντα· καθάπερ οὖν καὶ αἱ λεῖαι βλάσται τῶν μετρίως στυφόντων φυτῶν, οὕτω δ᾽ ἔστιν ὅτε καὶ βοτάναις χρήσασθαι μετρίως στυφούσαις δυνατὸν, ὥσπερ τῷ στρύχνῳ. ἀλλ᾽ ἡ μὲν τοιούτων φαρμάκων ὕλη δι᾽ ἑτέρας πραγματείας εἴρηται πᾶσα· νῦν δ᾽ ἀρκεῖ τὰ λελεγμένα παραδείγματος ἕνεκα. χρῆσθαι δ᾽ οὐχ ὡς οἱ πολλοὶ καθ᾽ ὅλου τοῦ θώρακος ἢ συμπάσης τῆς γαστρὸς, ἀλλὰ κατ᾽ ἐκείνου μάλιστα τοῦ πρώτως πεπονθότος. οὐδὲ γὰρ ἀναγκαῖον ἢ σὺν τῷ ψύχεσθαι σφοδρῶς δεομένῳ ψυχθῆναί τι τῶν οὐχ ὁμοίως δεομένων, ἢ θᾶττον τοῦ δέοντος παύσασθαι, δεδιότα βλάψαι τι τῶν γειτνιώντων. ἐγὼ γοῦν οἶδα κατὰ τῶν ὑποχονδρίων ἐπιτεθέντος ποτὲ ψύχοντος φαρμάκου παραχρῆμα δυσπνοήσαντα τὸν ἄνθρωπον, ἄλλον δ᾽ αὐτίκα βήξαντα καὶ μικρὸν ὕστερον ἑκατέρῳ παυσάμενον τὸ σύμπτωμα, τοῦ ψύχοντος ἀρθέντος. μὴ βουλομένῳ δέ σοι γενναίως ψύχειν οὐκ ὀλίγον

ſine aromatis eſt confectum te intelligere oportet. Eſt vero ſalutare ad talia medicamentum et roſarum ſuccus frigidus una cum polenta. Salutares vero ſunt et ipſae *roſae* tunſae, praeterea ſtirpium moderate adſtringentium germina trita; ſic vero uti aliquando licet et herbis mediocriter adſtringentibus veluti ſolano. Verum ejusmodi medicamentorum materiam in alio opere reddidimus univerſam, nunc abunde pro exemplis ſunt jam dicta. Porro utendum his eſt non, ut vulgus facit, toti impoſitis thoraci aut toti ventri, imo illi maxime quod primo eſt affectum. Neque enim neceſſum eſt ut aut cum eo quod refrigerari valenter deſiderat etiam id refrigeres quod prorſus non deſiderat, aut ante juſtum tempus refrigerare deſiſtas timens vicinam aliquam partem laedi. Ego namque hominem ſcio qui impoſito hypochondriis refrigerante medicamento difficultate ſtatim ſpirandi laborarit; alterum vero qui protinus tuſſierit, atque paulo poſt utrique finitum ſymptoma, ubi quod refrigeraverat eſt ablatum. Quod ſi adeo ſtrenue refrigerare non ſtudueris,

ὑπάρχει πλῆθος ἐμπλαστῶν φαρμάκων κηρωτοειδῶν μετρίως ψυχόντων, ὧν οὐ μόνης τῆς ὕλης τὰς δυνάμεις, ἀλλὰ καὶ τῆς συνθέσεως ἔμαθες τὴν μέθοδον.

Κεφ. ι'. Ἐγὼ δ' αἰσθανόμενος ὕστερον τὸ μέτρον ἤδη τῆς προκειμένης πραγματείας ἐκπίπτων ἐπὶ τὰ συνεχῆ τοῦ λόγου μεταβήσομαι. συνεχὴς δ' ἐπὶ τοῖς εἰρημένοις ἡ περὶ βαλανείου σκέψις αὐτοῦ τε τοῦ πράγματος ἕνεκα ἔτι τε μάλιστα ἐπειδὴ Φίλιππος ἡγεῖται βλάπτειν αὐτὸ τοὺς μαραινομένους. ἐγὼ τοίνυν ἣν ἔχω γνώμην ὑπέρ γε τῆς δυνάμεως ἁπάσης τῶν βαλανείων καὶ προσέτι τὸν εἰς τοὺς ἑκτικοὺς καὶ μαρασμώδεις ἢ ἁπλῶς εἰπεῖν ἅπαντας, ἐν τῷδε τῷ λόγῳ μάλιστ' ἂν διέλθοιμι. μέμνημαι γὰρ ὅτι καὶ πρόσθεν ἐπὶ τῶν ἐφημέρων πυρετῶν ἐπῄνουν αὐτά· καὶ κατὰ τὸν ἕβδομον λόγον ἐπὶ τῶν κατὰ ξηρότητα δυσκρασιῶν τῆς γαστρὸς ἀπεπτούντων τε καὶ λεπτυνομένων ἐκέλευον χρῆσθαι πολλάκις. [238] οὐ μὴν περί γε τῆς συμπάσης δυνάμεως ἐν ἑτέρῳ τινὶ λόγῳ διῆλθον, ἀλλ' εἰς τοῦτον ἐφύλαξα καθ' ὃν

habes quae id modice efficiant emplafticorum medicamentorum ac cerati fpeciem referentium magnam copiam, quorum non materiae modo facultates, fed etiam compofitionis methodum didiciffi.

Cap. X. Verum ego quum jam fentiam menfuram praefentis inftituti me excedere, ad ea quae tractationis feries proxima exhibet convertar. Proxime vero fe a jam dictis exhibet confideratio de balneo tum ipfius rei caufa tum vel magis propter Philippum, qui *hecticis* marcefcentibus ipfum noxium putat. Ego igitur tum de cunctis balneorum facultatibus tum iis etiam quae hecticis et marasmo laborantibus vel, ut abfolute loquar, omnibus profunt, in hoc maxime libro quid fentiam explicabo. Memini namque me et fupra in diariis febribus illa laudare, et in feptimo hujus operis libro in iis qui propter ficcam ventriculi intemperiem cruditate laborabant atque extenuati erant faepe utenda jubere. Caeterum de univerfis eorum facultatibus alio libro differui, fed in hunc fervavi, ubi et de iis agitur

ἀγωνιστικωτέρα μάλιστά ἐστιν ἡ χρῆσις αὐτοῦ καὶ τὸν Φίλιππον ἔχει κωλύοντα. δέδεικται μὲν οὖν ἤδη καὶ πρόσθεν ἐπὶ τῆς τῶν ἑλκῶν ἰάσεως ἡ αἰτία τῆς ἀγνοίας τῶν καθ᾽ ἕκαστον πάθος οἰκείων σκοπῶν· εἰρήσεται δ᾽ οὐδὲν ἧττον καὶ νῦν, εἴς τε τὰ παρόντα καὶ τὰ μέλλοντα χρήσιμος ὑπάρχουσα. μιᾶς μὲν γὰρ ἐν τῷ σώματι διαθέσεως οὔσης, εἰ καὶ μὴ τῷ λόγῳ, τῇ πείρᾳ γοῦν εὑρεῖν οὐ χαλεπὸν αὐτῆς ἐστι τὴν ἴασιν· ἐπιπλεκομένων δὲ δυοῖν ἢ τριῶν, καὶ μάλισθ᾽ ὅταν ἐναντιωτάτων ἀλλήλοις δέωνται βοηθημάτων, ἀδύνατον μὲν εὑρεῖν τῇ πείρᾳ τὸ ποιητέον, οὐ ῥᾴδιον δ᾽ οὐδὲ τῷ λόγῳ. καὶ γὰρ καὶ τὴν οὐσίαν ἑκάστης τῶν διαθέσεων ἀκριβῶς χρὴ γνῶναι καὶ τὴν οἰκείαν τῆς θεραπείας ἐφ᾽ ἑκάστης αὐτῶν ἔνδειξιν λαβεῖν, ἥντινά τε χρὴ πρώτην τῶν ἄλλων ἢ μᾶλλον, ἥντινα δ᾽ ἧττον ἢ δευτέραν ἢ τρίτην ἰάσασθαι. διὰ ταύτην οὖν τὴν αἰτίαν οὔθ᾽ ὅτι πυρετῶν ᾗ πυρετοὶ συμπάντων ἐστὶν ἴδιον ἴαμα τὸ ψυχρὸν, εἴτε οὖν κατ᾽ ἐνέργειαν εἴτε κατὰ δύναμιν εἴη τοιοῦτον, ἐγνώσθη τῷ πλήθει τῶν ἰατρῶν, οὔθ᾽ ὅτι κατὰ συμβεβηκὸς ἕτερα πολλὰ πέφυκε ψύχοντα πυρετῶν γίνεσθαι

quibus efficaciſſimus eorum eſt uſus et quibus Philippus ea interdicit. Atque prius quidem ubi de ulcerum curatione egimus indicata cauſa eſt cur proprii cujusque morbi ſcopi ſint ignorati, dicetur autem nihilo ſecius et nunc, tum ad ea quae nunc paramus tum ad ea quae dicenda ſunt utilis. Quum enim unus in corpore affectus ſit, ejus curationem invenire, ſi non ratione, certe experientia haud difficile eſt; ubi vero complicati duo tresve ſunt, praeſertim quum maxime contraria inter ſe auxilia requirant, fieri nequit ut experientia quod agendum ſit inveniatur, imo nec facile ratione. Siquidem et ſubſtantiam cujusque affectus ad unguem noviſſe oportet, et propriam curationis indicationem a quoque affectu cepiſſe, praeterea quem primum omnium aut magis quem rurſum minus aut ſecundo tertiove loco curare conveniat. Haec igitur cauſa eſt cur vulgo medicorum ignotum ſit et quod ſebrium omnium qua ſebres ſunt proprium remedium refrigeratio ſit ſive ea talis actu ſit ſive poteſtate, et quod alia multa ex accidenti refrigerantia

Ed. Chart. X. [238.] Ed. Baſ. IV. (146)

βοηθήματα. περὶ ὧν εἴρηται μὲν ἤδη τι κἀν τοῖς ἔμπροσθεν εἰρήσεται δὲ κἀν τοῖς αὖθις. ἔνια γὰρ τῶν βοηθημάτων ἐπιπεπλεγμένην τέ πως ἔχει καὶ διττὴν δύναμιν, ὡς καὶ πρώτως ὀνινάναι καὶ κατὰ συμβεβηκὸς, οἷόν πέρ ἐστι καὶ τὸ λουτρόν. ἡ μὲν γὰρ πόσις τοῦ ψυχροῦ καθ' ἑαυτὴν μὲν ὀνίνησιν, ἐνεργείᾳ ψύχουσα· χυλὸς δ' ὄμφακος τῇ δυνάμει ψυκτικὸν φάρμακον. ταυτὶ μὲν οὖν ἀμφότερα ψύχει πρώτως, ὅπερ ἐστὶ καθ' ἑαυτὰ, διὰ μέσου μηδενός· αἵματος δ' ἀφαίρεσις, ὡς ἔμπροσθεν ἐδείκνυμεν, ἐπὶ τῶν συνόχων καλουμένων πυρετῶν οὐκέτι πρώτως, ἀλλὰ κατὰ συμβεβηκὸς ἰᾶταί ποτε τὰς θερμὰς δυσκρασίας. ὡσαύτως δὲ καὶ κλυστὴρ καὶ κάθαρσις ἐπιβροχή τε καὶ κατάπλασμα διαφορητικὸν ἢ πεπτικόν. ἑκατέρας δὲ τὰς δυνάμεις ἔχει συλλαβὸν ἐν ἑαυτῷ τὸ προκείμενον ἐν τῷ λόγῳ λουτρὸν, ὡς ἂν οἶμαι σύνθετον ὑπάρχον ἐκ διαφερόντων ταῖς δυνάμεσι τῶν ἑαυτοῦ μερῶν. εἰσελθόντες μὲν γὰρ ὁμιλοῦσιν ἀέρι θερμῷ, μετὰ δὲ ταῦτα εἰς ὕδωρ εἰσίασι θερμὸν, εἶτ' ἐξελθόντες εἰς ψυχρὸν, εἶτ' ἀπομάττονται τὸν

febrium ſint remedia. De quibus et dictum nonnihil in praecedentibus eſt et in ſequentibus dicetur. Quaedam namque remedia complicatam quodammodo duplicemque facultatem habent, ita ut et prima ratione proficiant et ex accidente, quod genus et balneum eſt. Nam frigidae potio per ſe quidem proficit, utpote actu refrigerans, ſuccus autem uvae immaturae poteſtate refrigerans medicamentum eſt. Atque haec quidem ambo refrigerant primum, id eſt per ſe ipſa, nec intercedente alio; at ſanguinis detractio, veluti prius indicavimus in febribus continentibus vocatis, non primum, ſed ex accidenti calidam aliquando intemperiem ſanat. Ad eundem modum et clyſter et purgatio et perfuſio et cataplasma diſcutiens aut concoquens. Utramque vero facultatem in ſe comprehenſam habet propoſitum nunc in ſermone balneum, utpote ex partibus varia facultate praeditis compoſitum. Quippe ingredientes in aëre verſantur calido, poſtea in aquam calidam deſcendunt, mox ab hac egreſſi in frigidam, poſtremo ſudorem detergunt. Poteſt autem

ἱδρῶτα. δύναται δὲ τὸ μὲν πρῶτον αὐτοῦ μέρος θερμῆναί τε δι᾽ ὅλου τοῦ σώματος καὶ χέαι τὰς ὕλας, ὁμαλῦναί τε τὰς ἀνωμαλίας, ἀραιῶσαί τε τὸ δέρμα καὶ κενῶσαι πολλὰ τῶν ἔμπροσθεν ὑπ᾽ αὐτοῦ κατεχομένων. τὸ δὲ δεύτερον, ὅταν ἐπὶ ξηρᾷ διαθέσει τοῦ σώματος αὐτῷ τις χρῆται, νοτίδα χρηστὴν ἐνθεῖναι τοῖς στερεοῖς τοῦ ζώου μορίοις. ἡ δὲ τρίτη μοῖρα (147) τῶν λουτρῶν, ἐπειδὰν τῷ ψυχρῷ τύχωμεν χρώμενοι, ψῦξαί τε σύμπαν τὸ σῶμα καὶ πυκνῶσαι τὸ δέρμα καὶ ῥῶσαι τὰς δυνάμεις. τὸ δὲ τέταρτον ἐκκενῶσαι δι᾽ ἱδρώτων τὸ σῶμα χωρὶς τῆς ἐκ τοῦ ψύχεσθαι βλάβης. ταῦτ᾽ οὖν δυναμένου περὶ τὸν ἄνθρωπον ἐργάζεσθαι πάντα τῶν ποτίμων ὑδάτων εὐκράτου λουτροῦ καὶ πρὸς τούτοις ἔτι φρίκας τε καὶ πυκνώσεις τοῦ δέρματος, ὅταν ἀκαίρως λούσωνται, πειρατέον ἐφεξῆς διορίσαι πάντα, περὶ πρώτων ἐκείνων τὸν λόγον ποιησαμένους ὅσοι φρικώδεις γίγνονται λουόμενοι. μία μὲν γὰρ αὐτοῖς ἐστιν ἡ ὡς ἂν εἴποι τις αἰτία συνεκτικὴ τοῦ γινομένου συμπτώματος, ἄλλαι δ᾽ ἐκείνης πλείους προηγοῦνται. τὴν μὲν δὴ τὸ φρίττειν ἐργαζομένην αἰτίαν

prima ejus pars tum totum corpus *aequaliter* calefacere tum materias liquare, praeterea quae inaequabilia funt aequare, et cutim rarefacere et multa quae fub hac ante detinebantur vacuare. Secunda ejus pars, ubi quis in ficco corporis affectu ea utitur, poteft madorem utilem folidis partibus immittere. Tertia balnei pars poteft, ubi quis frigida utitur, et totum corpus refrigerare et cutem denfare et vires firmare. Quarta vero corpus per fudores citra refrigerationis noxam vacuare. Ergo quum haec omnia circa hominis corpus efficere valeat dulcis aquae temperatum balneum, et praeter haec etiam, fi quis intempeftive lavetur, tum horrores tum cutis denfitatem, tentandum nobis eft omnia deinceps diftinguere, ac primum de illis fermonem facere qui quum in balneo fe lavant horrore tentantur. His enim una, ut fic dicam, continens excitati fymptomatis caufa eft, aliae quae hanc praecedunt multae. Sane horroris caufam effe dico mordentium excrementorum confer-

εἶναί φημι κίνησιν ἀθροωτέραν τῶν δακνωδῶν περιττωμάτων. ὅθεν οἷς ταῦτα μὲν πολλὰ, πυκναὶ δὲ αἱ σάρκες [239] ἢ τὸ δέρμα φρίττουσιν, ἄν τε εἰς βαλανεῖον εἰσέλθωσιν, ἄν τε ἐν ἡλίῳ στῶσιν, ἄν τε κινηθῶσιν ὁπωσοῦν σφοδρότερον ἤτοι δι᾽ αἰωρήσεων ἢ τρίψεων ἢ γυμνασίων· οἷς δ᾽ ὀλίγα ταῦτ᾽ ἐστὶ καὶ ἡ τοῦ σώματος ἕξις ἑτοίμη χαλασθῆναι καὶ ἀραιωθῆναι πρὸς τῆς ἀμφ᾽ αὐτοῦ θερμασίας, οὐ μόνον οὐ φρίττουσιν, ἀλλὰ καὶ βελτίους γίγνονται κενουμένων τῶν περιττωμάτων. εἰκότως τοίνυν οὔτ᾽ ἐν τῇ τῆς ἐπισημασίας ἀρχῇ τις ἔλουσεν ἄῤῥωστον οὔτ᾽ ἐν ἐπιδόσει· πεπύκνωται γὰρ ἐν ἐκείνῳ τῷ χρόνῳ καὶ πεπίληται τὸ δέρμα καὶ ἡ ὑποκειμένη μετ᾽ αὐτὸ σαρκώδης οὐσία. κατὰ δὲ τὰς παρακμὰς ἤτοι γε ἀρχομένας ἢ προιούσας ἢ προελθούσας ἐπιπλέον ἡμεῖς τε πολλάκις ἄλλοι τέ τινες ἰατροὶ πολλοὺς τῶν καμνόντων λούσαντες ὠφέλησαν οὐ σμικρά. πότε μὲν οὖν χρὴ τῆς παρακμῆς ἀρχομένης ἢ προελθούσης ἢ καὶ κατὰ τὴν ἀκμὴν ἐνίοτε, καὶ γὰρ καὶ τοῦτο συμβαίνει ποτὲ σπανίως, ἐπὶ τὸ βαλανεῖον ἀπάγειν ἐν τοῖς ἑξῆς διοριῶ. νυνὶ δὲ ὑπὲρ τῆς καθόλου δυνά-

tim actorum citatiorem motum. Proinde quibus horum eſt abundantia, caro vero ac cutis denſae, ſive balneum ſint ingreſſi, ſive ſteterint in ſole, ſive quoquo modo vel geſtati vel perfricti vel exercitati vehementius ſint dimoti, utique iis horror incidit. Contra quibus haec pauca ſunt, et corporis habitus ut laxetur rareſiatque a balnei calore promptus, ii non modo non horrent, ſed etiam meliores redduntur, excrementis *per id* vacuatis. Quo rationabilius nec in febrilis ſignificationis principio nec in incremento quisquam aegrotantem lavit, quippe denſata eſt hoc tempore coarctataque et cutis ipſa et quae ſub hac habetur carnea ſubſtantia. At in febris declinatione vel incipente vel procedente vel amplius progreſſa et nos ſaepe et alii medici nonnulli multos ſaepenumero aegrotos lavantes non parum his contulimus. Porro quando declinatione incipiente aut jam progreſſa aut etiam in ſummo incremento, interdum enim id quoque accidit, tametſi raro, aeger in balneum ſit ducendus in ſequentibus definiemus. Nunc quum de generali facul-

Ed. Chart. X. [239.] Ed. Baſ. IV. (147.)

μεως ἑκάστου τῶν τοῦ λουτροῦ διελθεῖν προθέμενος ἓν τὸ πρῶτον πάντων δίειμι καί φημι πολλοὺς μὲν καὶ τῶν ἀπεπτησάντων, ἔτι δὲ πλείους οἷς πλῆθός ἐστι δακνωδῶν περιττωμάτων, ἅπαντάς τε τοὺς ἐν ἐπισημασίαις ἢ ἀναβάσεσι, καὶ τοὺς ἐν ἀκμῇ δὲ πλὴν ὀλίγων δή τινων, εἰκότως φρίττειν, ἄν τ᾽ εἰς βαλανεῖον εἰσέλθωσιν, ἄν τ᾽ ἐν ἡλίῳ θερμῷ στῶσιν, ἄν τε γυμνασίοις ἢ τρίψεσιν ἢ αἰωρήσεσιν ἐπιχειρήσωσιν· ἕκαστον γὰρ τῶν εἰρημένων ἀθρόαν ὁρμὴν ἐργάζεται τῶν περιττωμάτων. ὅταν δὲ ἔτι μὲν ὑπάρχῃ πυκνὸν οὑτωσὶ τὸ δέρμα τῶν λουομένων, ὡς κατὰ τὴν πρώτην τοῦ περιέχοντος ἀέρος προσβολὴν, μὴ δύνασθαι τὴν κατὰ φύσιν ἀπολαβεῖν ἑαυτοῦ διάθεσιν, ἀλλὰ χρόνου πλέονος εἴη εἰς τοῦτο δεόμενον, ἀθρόα δὲ ὁρμήσῃ πρὸς τοὐκτὸς φέρεσθαι τὰ περιττὰ, κατέχεσθαί τε τοὐντεῦθεν ἀναγκαῖόν ἐστιν αὐτοῖς καὶ δάκνειν, ἀθροιζομένοις ὑπὸ τὸ δέρμα καὶ διὰ τῶν σαρκῶν φερομένοις. δέδεικται δ᾽ ἐν ταῖς τῶν συμπτωμάτων αἰτίαις ὡς τὰ δακνώδη περιττώματα διὰ τῶν αἰσθητικῶν σωμάτων φερόμενα ῥίγη τε καὶ φρίκας ἐργάζεται. τοῦ μὲν δὴ φρίττειν ἐν τοῖς λουτροῖς ἅπαν-

tate ſingularum balnei partium differere inſtitui, unum omnium primum exponam, dicoque multos eorum qui cruditate laborant, plures vero eorum, in quibus mordentium excrementorum abundantia ſubeſt, omnes praeterea qui vel febrili ſignificatione vel in aſcenſu, etiam omnes qui in ſummo ſunt incremento, praeter admodum paucos, ſive hi ſint in balneum ingreſſi, ſive ſteterint in calido ſole, ſive exercitationes, frictiones, geſtationesve tentaverint merito horreſcere, ſingula namque dictorum conſertim et impetu agi excrementa ſubigunt. Quum igitur tam adhuc denſa lavantis cutis ſit ut ad primum ambientis aëris occurſum nequeat naturalem ſuum habitum recipere, ſed majore ad id temporis ſpatio indigeat, excrementa vero foras verſus ruant univerſa, et retineri illic ea eſt neceſſe et qua ſub cute ſunt acervata et qua per carnes feruntur mordere. Porro in libris de cauſis ſymptomatum indicavimus mordentia excrementa, ubi per ſenſibilia corpora feruntur, tum rigores tum horrores excitare. Ergo quam ob rem horreant

ταις τοὺς εἰρημένους ἐξευρήκαμεν ἤδη τὰς αἰτίας, ὥσπερ γε καὶ τοῦ μὴ φρίττειν οἷς ἤτοι μηδ' ὅλως ἐστὶ δακνῶδες μηδὲν ἐν τῷ σώματι περιττὸν ἢ τοσοῦτον ὡς ῥᾳδίως ἐκκενοῦσθαι. περὶ τούτων οὖν αὖθις αὐτῶν ὁ λόγος ἡμῖν γιγνέσθω, δι' οὓς καὶ τῶν φριττόντων ἐμνημονεύσαμεν. εἰ γάρ τις εἰσελθὼν εἰς βαλανεῖον οὐκ ἔφριξεν, ἀλλ' ἐχαλάσθη τε καὶ ἠραιώθη τὸ δέρμα, τούτῳ πάντως ἀναγκαῖον ἕπεσθαι τὰ πρόσθεν λεχθέντα, κένωσιν τῶν περιττῶν, ὁμαλὴν θερμότητα δι' ὅλου τοῦ σώματος, ἀραίωσιν τῶν πόρων, χάλασιν τῶν συντεταμένων, χύσιν τῶν πεπιλημένων. ἡ μὲν οὖν κένωσις τῶν περιττωμάτων χρησιμωτάτη πᾶσι πυρετοῖς ἐστιν· ὡσαύτως δ' ἀραίωσίς τε καὶ χάλασις· οὔτε δὲ ἡ χύσις οὐθ' ἡ θερμότης. ἀλλ' ἡ μὲν θερμότης ἅπασιν ἐναντία· ψύχεσθαι μὲν γὰρ αὐτῶν ἡ διάθεσις, οὐ θερμαίνεσθαι δεῖται. τὸ διαχεῖσθαι δ' ὁμαλῶς τοῖς μὲν στερεοῖς τοῦ ζώου μορίοις οὐκ ἀνεπιτήδειον, τοῖς χυμοῖς δ' ἀεὶ λυσιτελὲς, ἀλλ' ὅταν ἤτοι φλεγμονή τις ἢ ὁμοία φλεγμονῇ διάθεσις ὑπάρχῃ κατὰ τὸ ζῶον, ἢ πλῆθος ὁποτερονοῦν, εἴτε τὸ πρὸς τὴν δύναμιν εἴτε τὸ

in balneis omnes ante dicti jam caufas invenimus. Pari modo et cur non horreant quibus aut nullum eft in corpore excrementum mordens aut tantillum uti facile vacuetur. Ergo de his deinceps loquamur propter quos etiam de iis qui horrent meminimus. Si quis enim balneum ingreffus non inhorruit, fed laxata eft illi rarefactaque cutis, huic plane neceffario praedicta fuccedent, excrementorum vacuatio, aequalis per totum corpus calor, exiguorum meatuum rarefactio, tenforum laxatio, denfatorum fufio. Ac vacuatio quidem excrementorum omni febri eft utiliffima, pari modo et rarefactio et laxatio, fufio tamen et calor non item. Sed calor omni febri eft inimicus, nam refrigerari, non calefieri febrium affectus poftulat. At fundi aequaliter, id folidis quidem animalis partibus non alienum, humoribus certe non perpetuo eft utile, fed quoties in animali vel phlegmone quaepiam vel affectus phlegmonae fimilis confiitit, vel utravis abundantia, five ea quae ad vires confertur, five ea

πρὸς τὴν εὐρυχωρίαν τῶν ἀγγείων, ἁπάντων ἐστὶ βλαβερώτατον. αὐξάνονται μὲν οὖν αἱ φλεγμοναὶ τῶν θερμανθέντων καὶ χυθέντων χυμῶν ἐπιῤῥεόντων αὐταῖς. διατείνονται δ᾽ οἱ χιτῶνες τῶν ἀγγείων, μὴ στέγοντες τὸ πλῆθος ἐν τῇ χύσει πνευματωθέν· ἡ δύναμις δ᾽ αὐτῷ τούτῳ κακοπαθεῖ. [240] ταῖς τοίνυν θερμαῖς καὶ ξηραῖς διαθέσεσι τοῦ σώματος, ὑπὲρ ὧν ὁ λόγος ἦν, ἀποχεῖσθαι μὲν τὰ δακνώδη χρηστὸν, ἀκίνδυνος γὰρ ἡ χύσις, οὐκ ἀβλαβὴς δ᾽ ἡ θέρμανσις. ἐκ μὲν δὴ τοῦ πρώτου μέρους τῶν λουτρῶν μεμνῆσθαι χρὴ ταῦθ᾽ ὑπάρξαντα τοῖς οὕτω κάμνουσιν, ὅταν ἐν καιρῷ λούωνται. μετίωμεν δήπου πρὸς τὸ δεύτερον αὐτῶν μέρος, ὅπερ ἦν αὐτὸ τὸ κυριώτατον προσαγορευόμενον λουτρόν. ἐν τούτῳ τοίνυν ὑγραινόμενοι μὲν ὀνίνανται, θερμαινόμενοι δ᾽ οὐδὲν ὀνίνανται. μετέλθωμεν οὖν αὖθις ἐπὶ τὸ τρίτον, ἐν ᾧ ψύχεται μὲν ἀλύπως τὰ τεθερμασμένα, ῥώννυται δ᾽ ἡ δύναμις. ὅσα δ᾽ ἠραιώθη τε καὶ περαιτέρω τοῦ προσήκοντος ἐχαλάσθη, ταῦτα εἰς τὴν κατὰ φύσιν ἐπανέρχεται συμμετρίαν, ὡς δηλοῖ καὶ τὸ τέταρτον τοῦ λουτροῦ μέρος. ἐφ᾽ ὧν γὰρ ἐπράχθη καλῶς

quae ad vaforum capacitatem, omnium profecto inimiciffimum. Ac phlegmonae quidem, quum calefacti et liquati humores ad ipfas confluunt, augentur. Tunicae vero vaforum impares abundantiae quae jam ex liquatione fpiritu eft impleta diftenduntur, ac vires hoc ipfo male afficiuntur. Ergo calidis his ficcisque corporis affectibus de quibus agebamus emiffio mordentium eft falubris, fufio enim eorum eft citra periculum, calefactio tamen noxa non caret. Atque haec quidem ex prima balnei parte iis qui ita laborant provenire, modo tempeftive balneo utantur, memoria teneamus. Tranfeamus modo ad fecundam ejus partem, quae erat id quod maxime proprie lavacrum vocant. Ergo in hac ficut ex humectatione juvantur, fic ex calore nihil illis commodi accedit. Accedamus et ad tertiam, in qua et refrigerantur innoxie quae fuerant calefacta et vires firmantur. Si qua vero et rarefacta et jufto plus funt laxata, haec in eam quae fecundum naturam eft fymmetriam redeunt, id quod quarta balnei pars indicat. Quibus

πάντα, καὶ μετὰ τὴν τοῦ ψυχροῦ χρῆσιν ἱδροῦσιν ἔτι καὶ πάντ' αὐτῶν ἐκκενοῦται τὰ περιττά. καὶ τοίνυν ἐκ πάντων ὧν εἴπομεν περὶ βαλανείων ἀθρόον κεφάλαιον συμβαίνει, κεκενῶσθαι μὲν ὅσον ἦν ἐπὶ τῷ σώματι λιγνυῶδές τε καὶ καπνῶδες· ἐν δὲ τῇ κατὰ φύσιν ὑπάρχειν συμμετρίᾳ τὰς σάρκας καὶ τὸ δέρμα, τὸν δὲ τῶν στερεῶν μορίων αὐχμὸν πεπαῦσθαι, καὶ τὴν θερμασίαν οὐ μόνον τὴν ἐκ τοῦ λουτροῦ προσγινομένην, ἀλλὰ καὶ τὴν ἔμπροσθεν οὖσαν ὑπὸ τῆς τοῦ ψυχροῦ χρήσεως ἀναιρεῖσθαι. μέγιστον δὲ τοῦ λόγου τεκμήριον ἡ συμβαίνουσα κατάστασις ἐπὶ τοῖς τοιούτοις λουτροῖς, ὅταν ὁδοιπορήσωμεν ἐν ἡλίῳ θερμῷ. παραγινόμεθα μὲν ἐπ' αὐτὰ μηδὲ φθέγξασθαι δυνάμενοι διὰ τὴν ξηρότητα τῆς γλώττης καὶ φάρυγγος, ἅπαν τε τὸ σῶμα καρφαλέον ἔχοντες. ἐξελθόντες δὲ τοῦ ψυχροῦ παραχρῆμα πάντ' ἀνακτώμεθα τὰ κατὰ φύσιν, οὔτε τῇ πυρώδει θερμασίᾳ κάμνοντες οὔτε τῇ ξηρότητι δυσφοροῦντες ἑτοίμως τε φθεγγόμενοι καὶ τῆς δίψης τὸ πλεῖστον ἰαθέντες. ἆρ' οὖν ἐναργέστερον ἔτι δύναμιν λουτρῶν γνῶναι ποθεῖς ἐπὶ ξηραῖς καὶ θερμαῖς σωμάτων διαθέσεσιν; ἐγὼ μὲν οὐκ

enim omnia rite funt adhibita, ii poft frigidae ufum adhuc fudant et omnia ipfis excrementa vacuantur. Itaque ex omnibus quae de balneis retulimus una fumma colligitur, quod vacuatur quidem quicquid in corpore vel fuliginofum vel fumidum fuit, confiftunt autem in naturali fymmetria tum caro ipfa tum cutis; folidarum partium ariditas corrigitur, et calor non modo is qui ex lavacro acceffit, verum etiam qui prius fuit, ex frigidae ufu fubmovetur. Maximo hujus rei documento eft ftatus qui ex hujusmodi balneo redditur, poftquam fole fervente iter fecerimus. Quippe accedimus ad id, ne loqui quidem prae linguae et faucium ariditate valentes, totumque corpus ftipulae ritu aridum habentes. At egreffi e frigida illico omnia fecundum naturam recipimus nec febrili calore vexati nec ficcitate jactati, prompteque loquentes ac plurima fitis parte levati. An igitur evidentius adhuc balnei vires in ficco et calido corporis affectu cognofcere defideras? Ego fane non arbitror. Licet

οἶμαι. πάρεστι δὲ τοῖς βουλομένοις πειραθῆναι μετὰ τὴν τοιαύτην ὁδοιπορίαν ἀλουτήσασι τῆς ἑπομένης βλάβης. ἢ γὰρ εὐθέως πυρέξουσιν ἢ πολλῆς ἄσης ἀνάπλεοι διατελέσουσι βαρυνόμενοι τὴν κεφαλὴν καὶ μάλιστα ἐὰν μηδέπω τῷ ψυχρῷ σβέσωσι τὸ καῦμα. πολλοὶ μέντοι (148) νεανίσκοι μετὰ τὰς τοιαύτας ὁδοιπορίας εὐθέως εἰς ὕδωρ ψυχρὸν ἑαυτοὺς ἐπιῤῥίψαντες ὠνίναντο, καὶ μάλισθ᾽ ὅσοι περ ἂν ὦσιν ἰσχυροὶ καὶ ψυχρῶν λουτρῶν ἐθάδες. οὕτω δὲ κἀν τοῖς ἀγροῖς, ἐν οἷς οὐκ ἔστι βαλανεῖα, πράττουσιν, εἰς λίμνας ἢ ποταμοὺς ἑαυτοὺς ἐμβάλλοντες οὐδενὸς ἰατροῦ συμβουλεύσαντος αὐτοῖς, ἀλλ᾽ ὑπὸ τῆς διοικούσης τὸ σῶμα φύσεως ἀγόμενοι πρὸς τὸ δέον, ἥτις καὶ τοῖς ἀλόγοις ζώοις τὰς ἐπὶ τἀναντία τῶν λυπούντων ὁρμὰς ἐντίθησι· λούεται γὰρ κἀκεῖνα ψυχρῷ τῷ θάλπει καταπονούμενα, καθάπερ γε καὶ θερμὰς εὐνὰς ἐξευρίσκει τῷ κρύει κάμνοντα. κατὰ δὲ τὴν τοιαύτην ἐναντίωσιν ἐσθίει μὲν πεινῶντα, πίνει δὲ διψῶντα, καὶ τἄλλα πάντα πράττει φύσει. καὶ εἴπερ γε διάγνωσιν ἀκριβῆ τῆς τῶν πυρεττόντων εἴχομεν φύσεως, ἐτολμῶμεν ἄν, οἶμαι, συνεχῶς ἐξ αὐτῶν

autem cui placet experiatur quod incommodum fequatur, ubi tali peracto itinere non laverit. Aut enim ftatim febricitabit aut multo plenus taedio gravato capite perfeverabit, potiffimum fi frigida calorem nondum extinxerit. Multi tamen juvenes ejusmodi confectis itineribus, ubi illico fe in aquam frigidam projecerint, juvantur, ac potiffimum qui valentibus funt viribus et frigido folio affueti. Ita vero et ruri faciunt, ubi quod balneae non fint, in ftagna vel flumina fe ipfos conjiciunt nullo medici fuafu, fed ipfa gubernante corpus natura, ad id quod conducat impulfi, quae eadem etiam ratione carentibus animalibus inftinctum inferit ad eorum quae offendunt contraria: fiquidem ea quoque, ubi aeftu vexantur, frigida fe lavant, ficuti etiam, ubi frigore urgentur, calida cubilia fibi inveniunt. Eodem contrarietatis ftudio etiam quum efuriunt comedunt, et quum fitiunt bibunt, reliquaque omnia naturae impulfu obeunt. Ac fi certam febricitantium naturae notitiam haberemus, non, arbitror, dubitaremus eorum aliquos affidue in aquis frigidis

λούειν ἐν ὕδασιν ἐνίους ψυχροῖς βαλανείου χωρίς. ὅτι μὲν γὰρ εἰσί τινες οἱ δεόμενοι τούτου δῆλον ἐκ τῶν ὠφεληθέντων, οὓς οὐκ ἂν ὤνησε τὸ ψυχρὸν λουτρὸν, εἴπερ μὴ διέκειντο κατ' ἐκεῖνον τὸν καιρὸν ἐπιτηδείως πρὸς αὐτό. τῷ δ' ἀγνοεῖν ἡμᾶς ἀκριβῶς τὰς διαθέσεις μεγίστην τε τὴν ἐκ τῆς ἀποτυχίας ὑπάρχειν βλάβην ἀφιστάμεθα τῶν τοιούτων βοηθημάτων καὶ μάλιστα ἐπὶ τῶν ἑκτικῶν πυρετῶν, ὡς ἂν ὀλιγαίμου καὶ ὀλιγοσάρκου κἀπιμέλου τοῦ σώματος αὐτοῖς γεγονότος. οὐδὲν γὰρ ἔχουσι τῶν στερεῶν μορίων πρόβλημα [241] τὴν ἐκ τοῦ ψυχροῦ προσβολὴν ἀλύπως ἐκδεχόμενον, ἀλλὰ αὐτοῖς εὐθέως προσπίπτει τοῖς ὁμοιομερέσιν ὀνομαζομένοις, ὑφ' ὧν ἅπασι τοῖς ζώοις αἱ ἐνέργειαι γίνονται. νέος δ' ἄν τις εὔσαρκος ὥρᾳ θέρους ἐν ἀκμῇ πυρετώδους νοσήματος, ἄνευ σπλάγχνου φλεγμονῆς, εἰς ψυχρὸν ἑαυτὸν ἐμβαλὼν ὕδωρ ἱδρῶτα κινήσειεν· εἰ δὲ καὶ ψυχρολουσίας συνήθης εἴη, πάνυ θαῤῥῶν χρήσοιτο τῷ βοηθήματι. ἀλλὰ περὶ μὲν τῶν τοιούτων σωμάτων αὖθις εἰρήσεται. τοῖς δὲ τὸν ἑκτικὸν πυρέττουσι πυρετὸν ἐπὶ θερμῇ καὶ ξηρᾷ κράσει καὶ μάλιστα τοῖς ἤδη μαραινομέ-

citra balneum lavare. Nam quod fint quidam qui eam defiderent, vel ex iis quos juvit conftare poteft, ut quibus frigida lavatio haudquaquam contuliffet, nifi eo tempore recte ad eam difpofiti fuiffent. Verum quoniam exacta nobis difpofitionum notitia non eft, ac maxima ex errore impendet noxa, utique ejusmodi praefidia recufamus potiffimum in febribus hecticis, quando per has et pauci fanguinis et nudum carne et expers adipis redditum corpus eft. Nullum enim hi folidarum partium munimen habent, quod frigidae occurfum fine noxa excipiat, fed protinus fimilaribus ipfis partibus vocatis occurrit, a quibus omnes animantium actiones obeuntur. Juvenis vero qui fit corpulentus aeftatis tempore atque in febrilis morbi vigore fine vifceris phlegmone, fi in frigidam fe conjecerit, fudorem movebit; quod fi frigidae lavationi fit affuetus, fecurus remedio utetur. Verum de ejusmodi corporibus rurfus agetur. Qui autem ex calido et ficco temperamento hectica febricitant, ac potiffimum qui jam marasmodes fiunt, iis, ubi tale

νοις οὐκ ἀσφαλὲς εἰς ὅλον ἀναῤῥίπτειν, ἐπὶ τοιοῦτον ἰοῦσι βοήθημα· καθάπερ οὐδ᾽ ὅσοι θέρους ὥρᾳ θερμοῦ καὶ ξηροῦ μακροτέραν ὁδὸν ἀνύσαντες ἰσχνοὶ καὶ ἀσθενεῖς ὄντες ἐμψυχθῆναι δέονται· οὐδὲ γὰρ οὐδὲ τούτοις ἀκίνδυνος ἡ τοῦ ψυχροῦ χρῆσις ἄνευ τοῦ κατὰ βαλανεῖον ὁμαλῶς προθερμανθῆναι. τοιοῦτον γάρ τοι συμβαίνειν ἔοικεν ἡμῖν εἰς τὴν ψυχρὰν δεξαμενὴν εἰσιοῦσιν ἐπὶ τοῖς βαλανείοις, οἷόν τι καὶ τῇ τοῦ σιδήρου βαφῇ· καὶ γὰρ ψυχόμεθα καὶ τονούμεθα, καθάπερ ἐκεῖνος, ἐπειδὰν διάπυρος γενόμενος ἐμβάπτηται τῷ ψυχρῷ. καὶ τούτου χάριν ἐπὶ τῶν ἀσθενεστέρων σωμάτων εὕρηται τὰ βαλανεῖα, προθερμαίνοντα καὶ προπαρασκευάζοντα τῷ ψυχρῷ λουτρῷ. τοιοῦτον δὲ δή τι καὶ οἱ χωρὶς τοῦ βαλανείου χρώμενοι τῷ ψυχρῷ πράττουσιν, ὅταν προγυμνασθέντες εἰς αὐτὸ καθάλλωνται. οἷον γάρ τι τὸ βαλανεῖον ἡμῖν ἐστι, τοιοῦτον ἐκείνοις τὸ γυμνάσιον οὐ μόνον ἐκθερμαῖνον, ἀλλὰ καὶ τὴν ἐκ τοῦ βάθους κίνησιν τῆς ἐμφύτου θερμασίας πρὸς τοὐκτὸς ἐργαζόμενον, ὥστ᾽ ἀπαντῆσαί τε τῷ προσπίπτοντι ψυχρῷ καὶ ἀπομαχέσασθαι καὶ κωλῦσαι βιαίως ἐμπεσεῖν τῷ βάθει

praefidium petunt, tutum non eft in totam conjici, aeque ut nec gracilibus et imbecillis, qui aeftate calida et ficca longa via peracta refrigeratione indigent; nam neque his tutus eft frigidi *folii* ufus, nifi prius fuerint in balneo aequaliter calefacti. Nam fimile quiddam nobis accidere videtur, quum in frigidum folium poft balneum ingredimur, ei quod ferro accidit cum tingitur, etenim tum refrigeramur tum roboramur, quemadmodum et illud ubi candens jam redditum frigida mergitur. Atque hujus rei caufa ad imbecilla corpora inventae funt balneae, quae ea praecalefaciant atque ad frigidum folium praeparent. Non diffimile quiddam faciunt et qui fine balneo frigida utuntur, quum fe ab exercitatione in eam faltu demittunt. Siquidem cujusmodi nobis eft balneum, ejusmodi illis eft exercitatio, ut quae non tantum calefaciat, fed etiam infiti caloris motum a profundo corpore extrorfum concitet fic ut et frigidae impetui occurrat, et quo minus violenter in profundum ruens

καὶ πλῆξαί τι τῶν σπλάγχνων. οὔτε γὰρ τὴν οὐσίαν αὐτὴν τοῦ ψυχροῦ μέχρι τῶν σπλάγχνων ἐξικέσθαι καλὸν οὔτε ἀκραιφνῆ τὴν ποιότητα· βέλτιον δὲ καὶ ἀσφαλέστερόν ἐστι τῷ τῆς διαδόσεως λόγῳ πρὸς τὸ βάθος ὁδοιπορῆσαι μόνην τὴν ποιότητα χωρὶς τῆς οὐσίας. καὶ τοίνυν καὶ ὅσοι τῶν πυρεττόντων ἑκτικῶς ἐπὶ τὸ βαλανεῖον ἥκουσιν, εἰ μὴ τῷ ψυχρῷ βαφεῖεν, οὐδὲν ὀνίνανται. τῶν μὲν γὰρ ἄλλως πυρεττόντων οὐδέπω τὰ στερεὰ μόρια δύσλυτον ἔχει τὴν θέρμην. ὥσθ᾽ ἱκανὴ βοήθεια τούτοις ἐστὶν ἡ ἐκ τῶν ἱδρώτων ἅμα ταῖς ἀδήλοις αἰσθήσει διαπνοαῖς. καὶ τῶν γ᾽ ἐφημέρων πυρετῶν αὐτὴν σχεδόν γε τὴν οὐσίαν ἐκκενοῦσθαι συμβαίνει δι᾽ αὐτῶν. ἐπὶ δὲ τῶν διὰ ξηρότητα καὶ θερμασίαν ἑκτικοῖς ἁλόντων πυρετοῖς ὁμοία τοῖς διαπύροις σιδήροις ἐστὶν ἡ τῶν στερεῶν μορίων διάθεσις. ὥστ᾽ οὐκ ἀρκεῖ θερμῆναι καὶ τέγξαι μόνον ἐν τοῖς βαλανείοις αὐτοὺς, τροφὴν γὰρ ἂν οὕτω γε καὶ αὔξησιν δοίημεν τῷ πυρετῷ· βέλτιον δ᾽ ἐμβάπτοντας τῷ ψυχρῷ σβέσαι τὴν θέρμην. ἀλλ᾽ ἐν τούτῳ κίνδυνος εἰς τοὐναντίον

viſcerum aliquod feriat, adverſetur atque prohibeat. Nam neque ipſam frigidae ſubſtantiam neque ejus qualitatem omnino integram usque ad viſcera pertingere eſt ſalubre; imo et ſatius et tutius eſt ſolam ejus qualitatem diſtributionis poteſtate citra ſubſtantiam ad profundum permeare. Jam qui hectica febricitantes ad balneum accedunt, niſi in frigidam ſint demiſſi, nihil juvantur. Qui enim aliter febricitant, eorum ſolidae partes nondum difficile ſeparabilem calorem obtinent. Itaque etiam ex ſudoribus una cum inſenſibili transpiratu abunde his remedii eſt, et ſane diariarum febrium ipſam propemodum ſubſtantiam vacuari per haec contingit. In iis vero qui ex ſiccitate et caliditate febribus hecticis corripiuntur, ſolidarum partium affectus candenti ferro eſt ſimilis. Quo utique minus eos in balneis calefeciſſe duntaxat humectaſſeque contenti eſſe debemus, quum ſic alimentum incrementumque febri praebuerimus; imo melius erit ut merſis in frigidam extinguamus calorem. At in hoc periculum eſt ne corpus in diverſa transferas ac

ἀγαγεῖν καὶ ψῦξαι τὸ σῶμα. τίς δ᾽ οὔ φησίν; οὐ μὴν διὰ τοῦτό γε τὸ κατορθούμενον ἐν τῷ βοηθήματι προσήκει ψέγειν, οὐδ᾽ ὅτι δύσληπτον τὸ μέτρον ἀφίστασθαι παντάπασιν. εἰ μὲν γὰρ οἷόν τ᾽ ἦν ἑτέρως ἰᾶσθαι τούς τ᾽ ἄλλους ἑκτικοὺς πυρετοὺς καὶ τοὺς μαρασμώδεις, ἄμεινον ἂν ἦν τὴν ἀσφαλεστέραν ἰέναι. ἐπεὶ δ᾽ ἐν μὲν τῷ ψῦξαι καὶ ὑγρᾶναι τὸ κῦρος τῆς θεραπείας ἐστὶν, ἅπασι δὲ τοῖς ψυκτικοῖς βοηθήμασιν ἐφεδρεύει βλάβη διὰ τὴν ἰσχνότητα τοῦ σώματος, ἀναγκαῖον οἶμαι γίγνεσθαι τὸ τοῦ Θουκυδίδου δράσαντάς τι καὶ κινδυνεῦσαι. οἷς μὲν γὰρ ἑτέρα μὲν οὐχ ὑπάρχει τῆς σωτηρίας ὁδὸς, ἡ δὲ οὖσα μόνη σφαλερὰ καθέστηκεν, ἀναγκαῖον, οἶμαι, τούτοις ἐστὶν ὁμόσε τοῖς δεινοῖς ἰέναι. [242] οὐ μὴν οὐδὲ τὸ σφάλμα θανατῶδες οὐδ᾽ ἀβοήθητον. οὓς γὰρ ἂν ἐν τῷ σβεννύναι τὸν πυρετὸν εἰς τὴν ἐναντίαν διάθεσιν ἀγάγῃ τὸ ψυχρὸν, ἔνεστιν ἰάσασθαι θερμαίνοντας ἐν τῷ μετὰ ταῦτα χρόνῳ παντί. ἀλλ᾽ οὐδ᾽ ὁ κίνδυνος ἴσος οὔθ᾽ ὁ τῆς διαθέσεως τῆς ψυχρᾶς οὔθ᾽ ὁ τῶν ἰαμάτων αὐτῆς. ἐδείχθη γὰρ ἤδη καὶ πρόσθεν ἐν τῷ τῆσδε τῆς πραγ-

frigidum reddas. Quis hoc negat? Non tamen propterea vitio dandum est quod prospere ex praesidio succedit, nec propterea quod mensura ejus deprehendi est difficilis, prorsus est deferendum. Siquidem si aliter liceret tum caeteras hecticas febres, tum marasmodes sanare, consultius esset tutiore via insistere. Nunc quoniam totum curationis momentum in refrigerando humectandoque consistit, omnibus vero refrigerantibus auxiliis propter corporis horum gracilitatem noxa imminet, necessarium arbitror Thucydidis esse consilium *agentes aliquid ac periclitari.* Quibus enim alia salutis via non est et quae unica videtur, ea dubia est, necessum, arbitror, his est adversos periculis ire. Sed nec error ipse mortiferus est nec irremediabilis. Siquidem quos in extinguenda febre aqua frigida in contrarium affectum transtulit, hos licet in toto quod sequitur tempore calefaciendo sanare. Jam nec periculum par est frigidi affectus aut etiam ipsius remediorum. Indicavimus namque

Ed. Chart. X. [242.] Ed. Baf. IV. (148.)

ματείας ἑβδόμῳ γράμματι, δέδεικται δὲ κἀν τῷ περὶ μαρασμοῦ βιβλίῳ καὶ πρὸ τούτων ἔτι κατὰ τὴν ὑγιεινὴν πραγματείαν, ὡς οὐχ οἷόν τε τὴν τῶν στερεῶν μορίων ξηρότητα τελείως ἰάσασθαι, καὶ ὡς, εἴπερ ἦν τοῦτο πρᾶξαι δυνατὸν, ἀγήρως ἄν τις ἐγένετο τοιαύτῃ διαίτῃ χρώμενος. εἴπερ οὖν ἀνίατος μέν ἐστιν ἡ ξηρότης τῶν στερεῶν σωμάτων, ὠκυτάτη δ᾽ ἐπ᾽ αὐτὴν ὁδὸς τέτμηται ἡ διὰ τῶν ἑκτικῶν πυρετῶν, ἄμεινον εἰς ψυχρὰν δυσκρασίαν μεταστήσαντα τὸν ἄνθρωπον ἔχειν ᾧ θεραπεύσομεν. ὁ μὲν γὰρ τοῦτο πράξας ἀναμαχέσαιτ᾽ ἂν ἐξ ὑστέρου τὴν βλάβην, ὁ δ᾽ ἐπιτρέψας ἰέναι τὴν ἐπὶ θάνατον, ἀνέλπιστον τῷ κάμνοντι τὴν σωτηρίαν εἰργάσατο. ὅσῳ τοίνυν ἄμεινόν ἐστι τοῦ χωρὶς ἐλπίδος ἀπολέσθαι βεβαίως τὸ σὺν ἐλπίδι χρηστῇ δράσαντάς τι καὶ κινδυνεῦσαι, τοσούτῳ τὸ μετὰ μεγάλων βοηθημάτων ἀγωνίσασθαι τοῦ μηδὲν πρᾶξαι βέλτιον, ἐμψύχωμεν οὖν ἅπαντι τρόπῳ τοὺς ἑκτικῶς πυρέσσοντας αὐτίκα, πρὶν προσελθόντας εἰς μαρασμὸν τελευτῆσαι. τὸν δ᾽ ἀκριβῶς μαρανθέντα μηδ᾽ ἐπιχειρῶμεν ἰᾶσθαι. καὶ γὰρ εἰ τὴν θέρμην αὐτοῦ σβέσαι-

tum prius in hujus operis feptimo, tum in libro de marasmo, tum ante hos in libris de tuenda fanitate, fieri non poffe ut folidarum partium ficcitas confummate fanetur. Quod fi fieri id poffet, utique fieri poffet ut non fenefceret qui ea victus ratione uteretur. Si igitur infanabilis folidarum partium ficcitas eft, tum expeditiffima in eam per hecticas febres via patet, melius eft hominem in frigidam intemperiem transferre, ac cui curationem deinde adhibeamus habere. Qui namque fecerit, is poftea noxam oppugnaverit, qui vero mortiferam infiftere viam finet, is defperatam aegrotanti falutem fecerit. Quanto itaque fatius eft aliquid nonnulla fiducia vel cum periculo facere quam fpe adempta certo perire, tanto profecto fatius eft potentibus praefidiis pugnare quam nihil agere. Ergo illico eos qui hectica febricitant omni ratione refrigeremus ante quam progreffi in marasmum pervenerint. Quem autem marasmus plane jam occupavit, hunc fanare ne tentaveris. Nam etfi calorem ejus extinxeris, attamen ficcitas

μεν, ἀλλ᾽ ἥ γε ξηρότης ὑπολειφθεῖσα γήρως τρόπῳ τὸν ἄνθρωπον ἀπολεῖ, τοσοῦτον ἐπιβιώσαντα χρόνον ὅσον ἀντισχεῖν τὰ στερεὰ μόρια πρὸς τὴν ἐσχάτην ξηρότητα. τάχα δ᾽ ἄν τις ἕλοιτο τῶν οἰκείων τοῦ νοσοῦντος, ἔτι τε μᾶλλον ὁ κάμνων αὐτὸς ἐπιβιῶναί τινα χρόνον ἐν γέροντος σχέσει μᾶλλον ἢ τεθνάναι παραχρῆμα. θεραπεύειν οὖν καὶ τούτους μετὰ προῤῥήσεως, εἰς ἕτερον (149) μεθιστάντας μαρασμὸν, ὃν ἤδη καλεῖν ἔθος ἡμῖν ἐστιν ἐκ νόσου γῆρας· ἐγχωρεῖ γὰρ αὐτοὺς οὐ μόνον ἡμέρας πλείους, ἀλλὰ καὶ μῆνας ζῆσαι. νεανίσκον γοῦν ἐγώ τινα τῶν οὕτως ἐχόντων ἰασάμενος, εἶθ᾽ ἑξῆς ἀνακομίζων καὶ οἷον γηροτροφῶν αὐτοῦ τὴν πρεσβυτικὴν ἀσθένειαν, οὐ μόνον εἰς μῆνας, ἀλλὰ καὶ εἰς ἔτη διεφύλαξα ζῶντα. χρὴ δ᾽ οὐ νῦν ἀκούειν ποθεῖν τοῦ τοιούτου μαρασμοῦ τὴν ἐπιμέλειαν· ἔν τε γὰρ τῷ τῆσδε τῆς πραγματείας ἑβδόμῳ προείρηται δυνάμει, τὰς ξηρὰς καὶ ψυχρὰς δυσκρασίας ἰωμένων ἡμῶν, ἔν τε τῷ γηροκομικῷ μέρει τῆς ὑγιεινῆς πραγματείας. ὁ δ᾽ ἐνεστὼς λόγος οὐ μαρασμῶν ἐπηγγείλατο θεραπείαν διδάξαι, ἀλλὰ πυρετῶν ἑκτικῶν, ἐξ οὗ γένους εἰσὶ καὶ οἱ

relicta fenectutis ritu hominem conficiet, tantifper nimirum victurum, quoad folidae ejus partes reniti adverfus fummam ficcitatem valebunt. Atqui maluerit fortaffe propinquorum aegrotantis aliquis atque etiamnum aegrotans ipfe aliquo fpatio in fenis habitu vivere quam illico mori. Itaque curare hos quoque cum praedictione expedit, ac in alterum transferre marasmum, quem jam nominare fenium ex morbo infuevimus, licebit enim his non tamen plures dies, verum etiam menfes vivere. Ego namque quum juvenem quendam ita laborantem fanaffem, reficiens deinde ac fenilem ejus imbecillitatem pro fenum ratione tractans non folum in menfes, fed etiam annos vivum fervavi. Nec eft quod hic ejusmodi marasmi curationem audire defideres, nam tum in hujus operis feptimo, dum ficcas et frigidas intemperies fanavimus, traditam poteftate, tum operis de fanitate tuenda ea in parte quae fenibus alendis eft delegata. Praefens autem liber non marasmorum, fed hecticarum febrium curationem docendam promifit. Ex quo genere

μαρασμώδεις· εἴρηται δή μοι περὶ τούτων ἄλλα τε πολλὰ λόγῳ καὶ πείρᾳ κεκριμένα καὶ ὡς οὐ χρὴ δεδιέναι βαλανεῖον, ὥσπερ ὁ Φίλιππος εὐλαβέστερον ἴσως αὐτῷ χρώμενος, ὃν τρόπον ἐπὶ τῶν ἄλλων εἰθίσμεθα πυρετῶν ὅσοι διὰ φλεγμονὰς καὶ σήψεις γίνονται χυμῶν. ἐπ᾽ ἐκείνων μὲν γὰρ οὐδὲν βλάψεις, εἰ καὶ μὴ βάπτοις εἰς τὸ ψυχρὸν ὕδωρ αὐτοὺς, ἀλλ᾽ ὡς εἴθισται περιχέοις χλιαρὸν μὲν πρῶτον, εἶθ᾽ οἷον ἐξ ἡλίου θερινοῦ, κἄπειτα τούτου βραχύ τι ψυχρότερον. ἐπὶ δὲ τῶν ἑκτικῶν πυρετῶν οὐ τὸ θερμὸν λουτρόν ἐστι τὸ τὴν ὠφέλειαν παρέχον, ἀλλὰ τὸ ψυχρὸν, ᾧ παρασκευάζει τὰ βαλανεῖα τὸ τοῦ κάμνοντος σῶμα, καθάπερ ἐπὶ τῶν ἄλλων ἁπάντων τῶν ἐν ὑγείᾳ λουομένων. οὐ μόνον δὲ διὰ τοῦτο δοκεῖ μοι Φίλιππος ἀγνοεῖν ἐπὶ τῶν μαραινομένων ὁποῖόν τι χρῆμά ἐστι βαλανεῖον, ὅτι τοὺς οὕτως ἰσχνοὺς οὐδεὶς [243] τολμᾷ βάπτειν εἰς τὴν ψυχρὰν δεξαμενὴν ἢ τὸ γοῦν ὕστατον ὕδωρ καταχεῖν ψυχρὸν, ἀλλὰ καὶ διότι πολλάκις ἔζευκταί τις ἄλλος αὐτοῖς πυρετὸς ἐπὶ χυμοῖς σηπομένοις ἢ σπλάγχνου φλεγμονῇ·

ſunt et quae marasmodes dicuntur, de quibus tum alia non pauca diximus quae non modo rationis, ſed etiam uſus judicio probavimus, tum illud, non oportere balneum, ut Philippus facit, formidare, qui cautius fortaſſis eo utitur ad eum modum quo in caeteris ſolemus febribus, quas vel phlegmonae vel putrescentes humores accenderunt. In his enim nihil laedes, etiam ſi in frigidam aegrum non merſeris, ſed eum, ut mos eſt, perfundas primum tepida, poſtea quae veluti ex ſole tantum aeſtivo tepet, mox etiam paulo quam illa frigidiore. In hecticis vero febribus id quod remedium affert calidae ſolium non eſt, ſed frigidae, ad quam balneae aegrotantis praeparant corpus aeque ut reliquorum omnium qui per ſanitatem lavantur. Porro non propter id modo videtur mihi Philippus ignorare quam ſalubris res balneum ſit in iis qui marasmode hectica laborant, quod tam extenuatos in frigidae ſolio mergere nemo audeat, aut ſaltem ultimam aquam ipſis frigidam infundere, ſed etiam quod ſaepe altera conjuncta febris eſt, quae vel ex humoribus putrescentibus vel viſceris phlegmone ſit ex-

καὶ μὲν δὴ καὶ ὅτι πάθος ὀλέθριον τῶν μαραινομένων αὐτὸ ὑπάρχει, καὶ διὰ τοῦτο οὐκ ὀρθῶς ἔνιοι πάντα μέμφονται τὰ προσφερόμενα, δέον οὐκ ἐκείνοις, ἀλλὰ τῇ διαθέσει τὴν αἰτίαν ἀναφέρειν. ἀναλαβόντες οὖν αὖθις ἅπερ ἐλέγομεν ἐπιθῶμεν ἤδη τῷ λόγῳ κεφαλήν. ἅπαντας τοὺς ἑκτικὸν νοσοῦντας πυρετὸν καὶ μᾶλλον ἐξ αὐτῶν ὅσοι περ ἂν ἤδη μαραίνωνται, χωρὶς τοῦ τινα ἕτερον ἐπιπεπλέχθαι πυρετὸν αὐτοῖς, ἤτοι γ' ἐπὶ σήψει μόνῃ χυμῶν ἢ μετὰ φλεγμονῆς, λοῦε θαῤῥῶν ἄνευ καμάτου παντὸς, ὡς μὴ καταλῦσαι τὴν δύναμιν· ὅπερ οὐχ ἥκιστα καὶ αὐτὸ βλάπτον ἰσχυρῶς αἴτιον γίγνεται τοῦ ψέγεσθαι τὸ λουτρόν. τὸ δ' ἄνευ καμάτου τοιόνδε τι λέγω. τὸν ἀῤῥωστοῦντα βούλομαι κομίζεσθαι μὲν ἐπὶ τοῦ σκίμποδος εἰς τὸ βαλανεῖον, ἑτοίμως δ' αὐτῷ παρεσκευασμένης σινδόνος θερμῆς, ἐπ' ἐκείνῃ ἐν τῷ πρώτῳ τῶν τριῶν οἴκων τοῦ βαλανείου μεταφέρεσθαι γυμνωθέντα. τέσσαρες δ' ἔστωσαν οἱ κρατοῦντες αὐτὸν, εἷς καθ' ἕκαστον πέρας. εἰ μὲν οὖν αὐτάρκως εἴη θερμὸς ὁ πρῶτος οἶκος, ἐν αὐτῷ γυμνωθεὶς ὁ κάμνων εἰς τὸν δεύτερον εἰσκομιζέσθω· εἰ δ' ἔτι σοι φαίνοιτο ψυχρότερον εἶναι, μὴ γυμνὸς, ἀλλ' ἐπιβεβλημένος ἤτοι γ' ἑτέραν σιν-

citata, tum vero quod tali hectica laborantium mortiferum sit vitium, ac propterea quidam non recte omnia quae his exhibentur culpant, quum non sit illis imputanda culpa, sed affectui. Ergo recensitis denuo quae diximus, huic disputationi finem imponemus. Quicunque hectica febre laborant, atque ex his praecipue qui jam marasmode hectica febricitant, modo his alia nulla febris vel ex sola putredine humorum vel cum plegmone sit adjuncta, eos omnes audacter lavabis, sed prorsus citra omnem laborem, ne vires resolvas, quod ipsum quum noceat vehementer, occasio sit balnei culpandi. Quod citra laborem dixi, ita intelligo. Volo aeger in balneum super lectulo deportetur, paratamque ad manum habeat calentem sindonem, super quam in prima trium domorum balnei nudatus transportetur. Sint autem quatuor qui hanc teneant, a quoque fine unus. Ac si quidem prima domus satis calida sit, aeger in ea nudatus in secundam portetur; sin tibi frigidior videa-

δόνα μὴ ψυχρὰν ἤ τι τοιοῦτον ἐπίβλημα. δῆλον δ' ὡς χρὴ τὴν μέλλουσαν ὀχεῖν αὐτὸν σινδόνα ἰσχυροτέραν ὑπάρχειν· εἰ δ' ἀσθενὴς εἴη, καθ' ἑαυτὴν ἐπιπτύσσοντα διπλῆν ἐργάζεσθαι βέλτιον. ἔστω δὲ ὁ μέσος οἶκος οὐ μόνον τῇ θέσει, ἀλλὰ καὶ τῇ κράσει τοσούτῳ τοῦ πρώτου θερμότερος ὅσῳ τοῦ τρίτου ψυχρότερος. ἐν τούτῳ τῷ οἴκῳ τὸ ἔλαιον ἔστω χλιαρὸν, ὡς εὐθέως περιχυθῆναι τῷ κάμνοντι κατὰ τῆς σινδόνος εἰσκομισθέντι. καὶ τοῦτο πράξαντες, εἰς τὸν τρίτον εἰσίτωσαν, εἰς τὴν δεξαμενὴν ἀποκομίζοντες αὐτὸν, ὥστε διόδῳ χρήσασθαι μόνῃ τοῖς τρισὶν οἴκοις τοῦ βαλανείου, μὴ ταχέως βαδιζόντων τῶν εἰσκομιζόντων τὸν κάμνοντα, ἀλλὰ τοσοῦτον ἐπιμεινάντων κατὰ τοὺς πρώτους οἴκους ὅσον ἐν μὲν θατέρῳ μετατεθῆναι μόνον ἀπὸ τοῦ σκίμποδος, ἐν δὲ τῷ μέσῳ περιχυθῆναι τὸ ἔλαιον. ἔστω δὲ καὶ ὁ ἀὴρ ὁ τῶν οἴκων ἁπάντων μήτε θερμὸς ἄκρως μήτε ψυχρὸς, ἀλλ' εὔκρατος ἱκανῶς καὶ μετρίως ὑγρός· ἔσται δὲ τοῦτο προεκχυθέντος ὕδατος εὐκράτου δαψιλῶς ἐκ τῆς δεξαμενῆς, ὡς διαῤῥυῆναι διὰ πάντων τῶν οἴκων. ἐν αὐτῷ δὲ τῷ τῆς κολυμβήθρας ὕδατι χρονιζέτω μετρίως,

tur, non nudus, fed coopertus vel alia findone minime frigida vel tali aliquo involucro. Conftat autem et findonem eam qua portabitur effe valentiorem oportere, aut fi imbecilla per fe fit, duplicari eam erit fatius. Efto autem media domus non tantum fitu media, fed etiam temperie tanto prima calidior quanto eft tertia frigidior. In hac domo oleum tepidum efto, quo aeger fuper findone illatus protinus perfundatur. Hoc facto tertiam ingrediantur domum, ducantque hominem ubi folium eft fic ut per tres balnei domos duntaxat transierint. Per quas nec celeri gradu transibunt ii qui aegrum portant, fed tantifper in prioribus domibus morabuntur, dum in altera transferatur tantum a lectulo, in media vero dum perfundatur oleo. Efto autem et aër cujusque domus nec fummo calore, nec etiam frigens, fed admodum temperatus et humidus; id fiet fi aqua temperata ex labro fit liberaliter projecta, fic ut perfluat per omnes domos. In ipfa vero folii aqua mediocriter moretur, idque

ὀχούμενος ἐπὶ τῆς σινδόνος, οὐδεμιᾶς ἐπαντλήσεως αὐτῷ γενομένης, οἵας ἐπ᾿ ἄλλων εἰθίσμεθα πράττειν. ἀλλ᾿ οὐδὲ κατὰ τῆς κεφαλῆς αὐτοῦ καταχεῖσθαι βουλοίμην ἄν· ἱκανὸν γὰρ καὶ ταύτῃ δῦναι δὶς ἢ καὶ τρὶς ἅμα τῷ παντὶ σώματι κατὰ τοῦ ὕδατος, ὑφιέντων μετρίως εἰς τὸ κάτω τὴν σινδόνα, καὶ αὖθις ἀνακομιζόντων αὐτὸν ὁμοίως νεανίσκων τεττάρων. ἐκκομισθεὶς δ᾿ ἐντεῦθεν εἰς ὕδωρ ψυχρὸν ἀθρόως βλαπτέσθω μηδ᾿ ἐπὶ βραχὺ χρονίζων ἐν αὐτῷ. δεδιδάχθαι δὲ χρὴ καὶ τἄλλα μὲν ἀκριβῶς ἅπαντα τοὺς βαστάζοντας αὐτόν· ἐξαίρετον δ᾿ ἔτι τοῦτ᾿ ἔστω δίδαγμά τε ἅμα καὶ παράγγελμα, τὸ τάχος τῆς βαφῆς. εὐθὺς δ᾿ ἕτερος ἑτοίμην ἔχων σινδόνα κατ᾿ αὐτοῦ βαλέτω, κἄπειθ᾿ ἑξῆς ἐπιβληθεὶς τῷ σκίμποδι διὰ σπόγγων μὲν ἀποματτέσθω τὰ πρῶτα, μαλακοῖς δ᾿ ὕστερον ὀθονίοις, μηδ᾿ αὐτῶν τῶν ἀποματτόντων αὐτὸν βιαίως ψαυόντων, ἀλλ᾿ ὡς ἔνι μάλιστα πρᾳότατα. μετὰ δὲ ταῦτα ἐπαλείψαντάς τε καὶ περιθέντας ἱμάτια κομίζειν αὖθις ἐπὶ τοῦ σκίμποδος εἰς τὸν οἶκον ἐν ᾧ διαιτᾶται, δώσοντας τροφήν. εἴρηται δὲ κἂν ταῖς πρόσθεν, ἡνίκα ἰώμεθα τὰς ξηρὰς δυσκρασίας, ἐν τῷ τῶνδε τῶν ὑπομνημάτων ἑβδόμῳ,

in findone fuftentus nulla infufione aquae, cujusmodi in aliis uti folemus, adhibita. Imo nec capiti ejus infundi quicquam velim, quum fit fatis id quoque bis terve una cum toto corpore in aqua mergi, demiffa mediocriter deorfum findone, ac rurfum per quatuor juvenes qui eum portant levata. Mox hinc eductus in frigidam femel totus mergatur, ne vel breviffimo quidem fpatio illic moratus. Porro qui eum portant tum reliqua omnia curiofe effe edoctos conveniet, tum celeritatem mergendi non documenti modo, verum etiam praecepti loco praeter caetera habere. Protinus vero alter paratam habens findonem ipfi injiciat, ac deinde aliam, tum in lectulo collocatus primum fpongiis detergatur, deinde mollibus linteis. Nec committent qui eum detergebunt ut violentius eum contrectent, fed quoad fieri poteft blandiffime. Poft haec unctum ac veftibus amictum rurfus fuper lectulo in domum ubi cibatur reducent ac nutrient. Sane dictum fupra eft in horum commentariorum

[244] τὸν οἶκον ἐξεῦχθαι χρῆναι τῷ βαλανείῳ. περὶ μὲν οὖν λουτρῶν αὐτάρκης ὁ λόγος εἰς τὰ παρόντα.

Κεφ. ιά. Συνεχῆ δ' ἐπὶ τοῖς εἰρημένοις τὰ περὶ τῆς δυνάμεως τῶν τροφῶν. ὅτι μὲν οὖν ὑγρὰς καὶ ψυχρὰς εἶναι προσήκει τὰς μελλούσας ὀνήσειν τοὺς ἑκτικοὺς πυρετοὺς εὔδηλον παντί. τοιαῦται δ' εἰσὶν ὅ τε χυλὸς ὁ τῆς πτισάνης ψυχρὸς λαμβανόμενος, ὅ τε χόνδρος ὁμοίως πτισάνης χυλῷ σκευασθεὶς, ὅπερ ἐστὶ δι' ὕδατος καὶ πράσου βραχέος ἀνήθου τε καὶ ἁλῶν ἐλαίου τε καὶ ὄξους. ἐπιτήδειος δὲ τοῖς ὧδε κάμνουσι καὶ ὁ βραχὺς ἄρτος ἐν ὕδατι ψυχρῷ. μηδενὸς δ' αὐτῶν ἡ ψύξις εἰλικρινὴς ἔστω, καθάπερ ἡ τοῦ ποτοῦ. ἐκεῖνο μὲν γὰρ καὶ θερμαίνεται ταχέως καὶ διεξέρχεται, ταῦτα δ' ἐπὶ πλέον ἐν τῇ γαστρὶ διαμένοντα τάχ' ἂν που καὶ διαψύξαιεν αὐτὴν ἀμέτρως ὄντα ψυχρά. χρονίου δ' ὑπάρχοντος ἤδη τοῦ πυρετοῦ καὶ τὸ τῆς ὄνου γάλα δοτέον, ἀκριβῶς προσέχοντα τὸν νοῦν, μὴ τυρωθῇ ποτε κατὰ τὴν γαστέρα. τοῦτο δὲ ἐνίοτε μὲν αὐτὸς ὁ κάμνων ἡμᾶς διδάξει τῆς ἑαυτοῦ φύσεως ἐμπείρως ἔχων, ἐνίοτε δὲ ἡμᾶς αὐτοὺς ἐξευρίσκειν δεήσει, κατὰ

feptimo, ubi ficcam ventriculi intemperiem fanavimus, domus balneo debere conjungi. Ac de balneis quidem fatis, quod ad rem propofitam fpectet, hactenus.

Cap. XI. At continua funt dictis de alimentorum facultatibus praecepta. Sane frigida ac humida effe patet quae hecticis febribus fint profutura. Ejusmodi vero funt tum ptifanae cremor, quum frigidus fumitur, tum alica similiter ptifanae cremori condita, id vero eft ex aqua et exiguo porri et anetho, tum fale, oleo et aceto. Commodus praeterea laborantibus eft et exiguus in aqua frigida panis. Caeterum nullius horum pura frigiditas fit ficuti potionis. Haec enim mature tum incalescit tum per corpus diftribuitur, illa quum plusculum *temporis* in ventriculo morantur, ipfum fortaffis refrigerant, fi fuerint immodice frigida. Ubi vero febris jam moram traxerit, dandum quoque afininum lac eft, fed diligenter obfervato ne in ventriculo cogatur. Id vero interdum ipfe nos aeger docebit, utpote fuae ipfius naturae peritus, interdum id nobis inveniendum eft, pau-

βραχὺ τῇ χρήσει προσερχομένους. ἕτοιμον μὲν οὖν ἤτοι μέλιτος αὐτῷ μιγνύντας ἢ καὶ βραχύ τι τῶν ἐδωδίμων ἁλῶν κωλῦσαι τὸ σύμπτωμα. φευκτέον δ' εἰς ὅσον οἷόν τε τὸ μέλι κατὰ τοὺς ἑκτικοὺς πυρετοὺς καὶ διὰ τοῦτο καὶ τὸ μελίκρατον, ἐκχολοῦται γὰρ αὐτίκα καὶ ξηροτέρους ἅμα θέρμῃ δριμείᾳ τοὺς πυρετοὺς ἀπεργάζεται. δοτέον οὖν τὴν πρώτην τὸ γάλα τῆς ὄνου κυάθου μὴ πλέον, ὡς ἐθεάσω διδόντας ἡμᾶς (150) εἰσαχθείσης μὲν εἰς τὸν κοιτῶνα τῆς ὄνου, πρὸς τὸ μηδένα χρόνον ἐν τῷ μεταξὺ γενέσθαι, καταπιόντος δ' αὐτὸ τοῦ κάμνοντος αὐτίκα, θεωρούντων δ' ἡμῶν ἀκριβῶς καὶ παραβαλλόντων τὴν κίνησιν τῶν ἀρτηριῶν, τὴν ἐπὶ τῇ προσφορᾷ γιγνομένην, τῇ πρὸ τοῦ ληφθῆναι τὸ γάλα. εἰ μὲν γὰρ διαφθείροιτο, τοὺς σφυγμοὺς σμικροὺς καὶ ἀνωμάλους εὑρήσεις οἵους περ ἐπὶ θλίψει στομάχου συμβαίνοντας οἶσθα· εἰ δὲ μὴ διαφθείροιτο, τοὺς σφυγμοὺς μείζους τε καὶ ἰσχυροτέρους γιγνομένους. ὥστ' ἐξέσται σοι μετὰ ταῦτα προσφέροντι τὸ πλῆθος αὐξῆσαι τοῦ γάλακτος ἥμισυ κυάθου, κἄπειθ' ἥμισυ προσθεῖναι πάλιν, εἶθ' οὕτω κατὰ βραχὺ μέχρι τοῦ συμμέτρου προσαυξῆσαι. τοῦ μέ-

latim ad ejus ufum accedentibus. Prompte equidem fymptoma prohibebitur, fi mel illi admisceas aut falis quo vefcimur exiguum. Verum abftinendum, quoad fieri poteft, in hecticis febribus a melle eft, atque idcirco etiam a mulfa, protinus enim vertitur in bilem et ficciores acriorisque caloris febres reddit. Dandum itaque principio eft afinini lactis non plus cyatho, veluti a me datum vidifti, fed inducta in ipfum cubiculum afina, quo nullum tempus interponatur, fed aeger id protinus bibat, contemplantibus diligenter nobis ac conferentibus arteriae motum qui a fumpto lacte agitur cum eo qui ante id fumptum fuit. Si enim corruptum fit, ejusmodi invenies pulfus parvos et inaequales, quales in ftomachi oppreffione accidere nofti, fin autem corruptum fit, pulfus et majores et valentiores redditos invenies. Itaque etiam licebit tibi poftea exhibenti menfuram lactis dimidio cyatho adaugere, ac deinde rurfus alium dimidium adjicere, ficque fenfim usque ad mediocrem men-

τρου δὲ οὐ μόνον τοῦ γάλακτος, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων σιτίων ἔμαθες τοὺς σκοποὺς, ἔνθα τὰς τῆς γαστρὸς ἰώμεθα δυσκρασίας, ἐν τῷ τῶνδε τῶν ὑπομνημάτων ἑβδόμῳ. πρώτην γὰρ ἐν ἐκείνῳ τῷ λόγῳ τὴν ξηρὰν δυσκρασίαν αὐτῆς ὑποθέμενοι κεχρονισμένην εἰς τοσοῦτον ὡς σύμπαν ἤδη τὸ σῶμα λεπτὸν ὑπάρχειν ἐπεδείξαμεν, ὅπως ἄν τις ἅμα μὲν ἄμφω καλῶς ἰῷτο, καὶ τὴν δυσκρασίαν τῆς γαστρὸς καὶ τὴν ἰσχνότητα τοῦ σώματος. καὶ τοίνυν ἴσως ἄμεινον ὑπὲρ τοῦ μὴ γράφειν πολλὰ πρὸς ἐκεῖνον ἀναπέμψαι τὸν λόγον ὑπὲρ τῶν ἄλλων ἁπάντων ἐδεσμάτων· ὅμοιαι γὰρ αἱ διαθέσεις οὖσαι παραπλησίων χρήζουσι καὶ τῶν ἰαμάτων. ὅσον δ᾽ ἐστὶν ἡ τῶν ἑκτικῶν πυρετῶν θερμοτέρα, τοσοῦτον καὶ τῶν βοηθημάτων δεῖται ψυχροτέρων, ἀκριβείας τε πλείονος, ὅπως μή τι βλάψαιμεν ἰσχυροῖς βοηθήμασι χρησάμενοι. καὶ τοὺς μὲν ἤδη μαραινομένους, ὡς εἴρηται, λουστέον, ὅσοι δ᾽ ἐν τοῖς ἑκτικοῖς εἰσι πυρετοῖς οὐδέπω μαραινόμενοι, [245] τούτους οἷόν τ᾽ ἐστὶ καὶ χωρὶς σινδόνος ὑποβεβλημένης λούειν, ὡς ἂν ἰσχυροὺς ἔτι τὴν δύναμιν ὄντας. εἰσφέρειν μέντοι καὶ τούτους

furam addere. Menfurae vero non lactis tantum, fed etiam reliquorum omnium fcopos didiciſti in feptimo hujus operis, ubi ventriculi fanavimus intemperies. Primam enim quum in eo libro ficcam ejus intemperiem hactenus inveteratam propofuerimus, ut totum jam corpus gracile reddiderit, indicavimus quo pacto quis fimul ambo probe fit fanaturus, tum ventriculi intemperiem tum corporis gracilitatem. Ideoque fortaffe fit fatius, quo minus multa fcribamus, ad illum te librum pro reliquis omnibus cibis remittam; quum enim fimiles affectus fint, fimilia nimirum remedia poſtulant. Verum quanto hecticarum febrium affectus eſt calidior, tanto et frigidiora requirit auxilia, et majorem fimul folicitudinem, ne valentibus auxiliis utentes quicquam laedamus. At qui jam marasmo urgentur, eos, ficut dictum eſt, lavabis, quos vero hectica febris premit, nondum tamen marasmo tentantur, eos licet etiam fine findone fubjecta lavare, utpote viribus adhuc valentes. Inferri tamen et hos in do-

εἰς τὸν οἶκον, ἤτοι γε ἐπὶ σκίμποδος ἢ φορείου τινὸς, εἶθ᾽ ἑαυτοῖς βαδίζοντας ἐπὶ τὸ θερμὸν ὕδωρ ἀκτέον, ὅπως ἐν ἐκείνῳ χρονίζοιεν. ὅσοι δ᾽ ἀκρατέστεροι τῶν τοιούτων εἰσὶ, σφαλερὸν ἐπιτρέπειν αὐτοῖς ἐμβαίνειν ταῖς ψυχραῖς κολυμβήθραις, ἀλλ᾽ ἔξω μᾶλλον αὐτῶν καταχεῖν ἐπὶ χλιαρῷ τῷ προτέρῳ τὸ δεύτερον ψυχρόν. ἔστω δ᾽ οὕτω ψυχρὸν τότε κατὰ τὴν δεξαμενὴν ὕδωρ αὐτοῖς παρεσκευασμένον, ὅσον ἐξ ἐκείνης ἄν τις ἀρυσάμενος, αὔταρκες ἀθρόως εἰς ἅπαξ ἐπιχέαι τοῖς λελουμένοις, ὡς μηδεμίαν ἐμφαίνειν σαφῆ ποιότητα μήτε τῶν ἀκριβῶς ψυχρῶν μήτε τῶν χλιαρῶν ὑδάτων, ἀλλ᾽ οἷον τὸ κρηναῖον καλούμενον ἐν μέσῳ ψύξεως πληκτικῆς καὶ χλιαρότητος ἐκλυτικῆς. εἰ μὲν οὖν ἀκριβῶς ἅπαντα γίγνοιτο, κατά τε τὰ λουτρὰ καὶ τὰς τροφὰς ἐλπὶς σωθήσεσθαι τοὺς μαραινομένους· εἰ δ᾽ ἁμαρτηθείη τι κἂν ἓν, ἀνατρέπει τἄλλα σύμπαντα· τὸ γάρ τοι τῆς διαθέσεως αὐτῶν ὀλέθριον οὐδὲ βραχύτατον ἁμάρτημα φέρει. καὶ εἴ τις ἐσώθη τῶν τοιούτων, τὸ σαρκῶδες αὐτοῦ γένος ὁ μαρασμὸς κατειλήφει· τῶν στερεῶν δ᾽ αὐτῶν ἐξηρασμένων

mum vel ſuper lectulo vel ſaltem aliquo vehiculo *conveniet;* mox ipſos ex ſe ipſis ingredientes ad calidam duci quo in ea morentur. At qui ex his ſunt imbecilliores, eos non tutum eſt permittere in frigida lavacra deſcendere, ſed foris potius ipſos perſundere primum tepida, ſecundo frigida. Eſto autem nunc praeparata in labro aqua frigida, quanta ex eo ſemel hauſta perſundere ſimul totum jam lavatum poſſit, ea frigiditate ut nullam evidentem qualitatem nec prorſus frigidarum nec tepidarum aquarum praeſerat, ſed qualem ea quae fontana vocatur, quae et frigoris quod ferit et teporis qui reſolvit eſt in medio. Ac ſi quidem omnia curioſe adminiſtrabuntur, tum quae ad balneum tum quae ad nutrimenta ſpectant, utique ſanandi jam ejus quem marasmus conſumit ſpes eſt, ſin error vel in uno committatur, is reliqua ſubvertit omnia; nam quum exitialis horum affectus ſit, ne leviſſimum quidem errorem tolerat. Ac ſi quis talium eſt ſervatus, huic carnoſum genus marasmus occupaverat;

ἀδύνατόν ἐστι τὸν ἄνθρωπον ὑγιασθῆναι τελέως· ἀλλ' ἀναγκαῖον ἤτοι γ' ἐξ αὐτοῦ τοῦ πυρετοῦ τὸν θάνατον ἥκειν εὐθέως ἢ μεταπεσόντος εἰς τὸ καλούμενον ἐκ νόσου γῆρας. πρῶτον μὲν γὰρ ὁ τοιοῦτος πυρετὸς ἐκβόσκεται τὴν οἰκείαν ἰκμάδα τῶν μορίων, ὑφ' ἧς τρέφεται· μεταβαίνει δ' ἐντεῦθεν ἐπὶ τὸ σαρκῶδες γένος, ὃ ταῖς ἰσὶ καὶ τοῖς ὑμενώδεσι μορίοις τῶν στερεῶν σωμάτων περιπέφυκεν· εἶθ' οὕτως ἅπτεται καὶ αὐτῶν τῶν στερεῶν μορίων. καθ' ἕκαστον γάρ τοι μόριον τῶν ἁπλῶν καὶ πρώτων ὀνομαζομένων, ἐθεάσω κατὰ τὰς ἀνατομὰς τὸ μὲν οἷον ἰνῶδές τί ἐστι τῆς οὐσίας αὐτῶν, τὸ δ' ὑμενῶδες, τὸ δὲ σαρκῶδες. οἷον εἰ τύχοι τῆς φλεβὸς ἕνα χιτῶνα κεκτημένης λεπτὸν, ἔστιν εὑρεῖν κατ' αὐτὴν ἶνας πολλὰς ἀραχνοειδέσι διατάσεσι συναπτομένας· αἷς ἀμφοτέραις ἡ οἰκεία τῆς φλεβὸς οὐσία περιπέφυκεν, ἄλλη κατ' ἄλλο μόριον ὑπάρχουσα, κοινὸν οὐδὲν ὄνομα κεκτημένη· καλεῖν γοῦν αὐτὴν οὐδὲν κωλύει διδασκαλίας ἕνεκα σαρκοειδῆ φύσιν ἢ καὶ νὴ Δία τὴν τοῦδέ τινος τοῦ μορίου σάρκα, κατὰ γαστέρα μὲν ἑτέ-

ipfis vero folidis ficcatis fieri nequit ut homo prorfus perfanetur; fed omnino vel flatim eum febris ipfa jugulaverit, vel poftquam in eum affectum eft translata quem fenium ex morbo vocamus. Nam primum ejusmodi febris propriam partium humiditatem ex qua nutriuntur depafcit, hinc vero ad carnofum genus transit, quod circa fibrofas tum membranofas partes folidorum corporum haeret; ita deinde ipfas folidas partes populatur. Siquidem in fingulis fimplicium ac primarum quas vocant partium, ut in diffectionibus es contemplatus, alia portio fubftantiae eorum eft veluti fibrofa, alia membranofa, alia carnofa. Sicut exempli caufa quum vena unam tunicam habeat et eam tenuem, licet fibras in ea invenire multas quae fint araneofis quibusdam interftitis contextae, quibus utrisque ipfa propria venae fubftantia adnascitur. Haec alia in aliis partibus habetur, nec ullum commune nomen eft nacta; caeterum docendi caufa nihil vetat eam carnofam fubftantiam voces vel certe hujus partis quandam carnem, quae in ventriculo

ραν ὑπάρχουσαν, καθ' ἧπαρ δ' ἑτέραν, ὥσπερ γε καὶ κατὰ ἀρτηρίαν καὶ μῦν. ὠνόμασται δὲ μόνη σὰρξ ἡ ἐν μυσὶ, τῶν ἄλλων οὐδεμίαν ὀνομάζουσι σάρκα, πλὴν ὀλίγοι δή τινες· ἀλλὰ τὰ μὲν ἐν τοῖς σπλάγχνοις, οἷον ἥπατι καὶ νεφροῖς καὶ σπληνὶ καὶ πνεύμονι, παρεγχύματα καλοῦσι· τὰς δ' ἐν ἐντέροις καὶ γαστρὶ καὶ στομάχῳ καὶ μήτρᾳ ἀνωνύμους ἀπολείπουσιν. ἀλλὰ σὺ τῶν μὲν ὀνομάτων μηδὲν φρόντιζε, γίγνωσκε δὲ ἑκάστου τῶν μορίων τὸν ὄγκον τῆς οὐσίας ὑπὸ τῆς τοιαύτης μάλιστα συμπληροῦσθαι φύσεως, φθορὰν καὶ γένεσιν ἐπιδεχομένης, ὡς ἔνεστι θεάσασθαι σαφῶς ἐπὶ τῶν κοίλων ἑλκῶν. οὐ μὴν οὐθ' ἡ τῶν ἰνῶν φύσις οὐθ' ἡ νευρώδης ἢ ὑμενώδης ὁρᾶται τὴν αὐτὴν ἔχουσα γένεσιν· οὐδ' ἐγχωρεῖ τὰς ἐν ἑκάστῳ μορίῳ τοιαύτας ἶνας ὑπὸ τῶν κακοηθῶν πυρετῶν ἐκτακῆναι, καθάπερ τὰς σάρκας. αἵ γε πρὶν ξηρανθῆναι τελέως διαφθείρουσι τὸ ζῶον. εἰσὶ μὲν οὖν καὶ οἱ μαρασμώδεις πυρετοὶ πάντες ἐκ τοῦ τῶν [246] συντηκόντων γένους, ἀλλὰ διαφέρουσι τῷ τὸ συντηκόμενον ἑκάστοτε τῆς σαρκὸς ἐπὶ μὲν τούτων διαφορεῖσθαι, καταῤῥεῖν δ' ἐπ'

quidem fit alia, in jecinore alia, fimiliter in arteria et musculo. Vocatur autem fola caro in musculis, reliquarum nullam carnem vocitant, praeterquam admodum pauci, fed quae in vifceribus ceu jecinore, renibus, liene et pulmone *vifuntur,* eas parenchymata, *id eft affufiones,* vocant, quae in inteftinis, ventriculo, ftomacho et utero funt fine nomine relinquunt. Tu tamen de nominibus non laborabis. Illud potius intelliges, fingularum partium fubftantiae molem ex tali maxime completam effe natura, quae utique ut in cavis ulceribus manifefte videre licet et perire et regigni poteft. At vero nec fibrofa nec nervofa membranofave natura eandem generationem habere cernitur, nec fas eft ejusmodi fingularum partium fibras a malignis febribus liquari ficuti carnes, quando animal ipfum prius quam haec prorfus fint ficcatae, interemerint. Itaque funt et marasmodes febres universfae ex earum genere quae colliquant, fed in eo differunt, quod quae portio carnis in his colliquatur, ea femper vaporis vice discutitur, in illis defluit in ventrem. Cernitur

ἐκείνων εἰς γαστέρα. φαίνεται δὲ τοῦτο κἀπὶ τῶν κρεῶν γιγνόμενον ἐναργῶς, ὀπτωμένων ἐπὶ τῆς καλουμένης ἐσχάρας· ἐνίων μὲν γὰρ ἀποῤῥεῖ πάμπολυ τὸ σύντηγμα καὶ φέρεται κατὰ τῶν ἀνθράκων ἀθρόως· ἐνίων δ᾽ ὅλως οὐδὲν αἰσθητὸν ἀποῤῥέον φαίνεται, κἂν ἴσον ᾗ τὸ πλῆθος τῶν ἀνθράκων. οἱ γοῦν ἄγριοι σύες ἢ οὐδ᾽ ὅλως ἢ ὀλίγιστον ἔχουσι τὸ ἀποῤῥέον, οἱ δ᾽ ἥμεροι πάμπολυ· καὶ ὅσον περ ἂν ᾖ πιμελωδέστερον καὶ σαρκωδέστερον τὸ ζῶον, τοσοῦτον τὸ ἀποῤῥέον αὐτῶν τῶν σαρκῶν ἐπὶ τῆς ἐσχάρας ὀπτωμένων πλέον φαίνεται. τὸν αὐτὸν οὖν τρόπον ἐπὶ τῶν θερμοτάτων πυρετῶν, εἰ μὲν οὖν εἶεν σάρκες ὑγραὶ καὶ μαλακαὶ μετὰ πλήθους πιμελῆς, τὰς συντήξεις αἰσθητὰς ἴσχουσιν· εἰ δὲ ἄνευ πιμελῆς καὶ ξηραὶ, τοῖς μαρασμώδεσιν ἁλίσκονται πυρετοῖς. ἐναργέστατον δὲ τούτου τεκμήριον οἱ τὰς συντήξεις ἐκκρίνοντες ἄῤῥωστοι διὰ γαστρὸς, ἢν μὴ φθάσωσιν ἀποθανεῖν, ἤτοι γ᾽ ὑπὸ βίας τοῦ νοσήματος ἢ διὰ τὴν τῶν ἰατρῶν ἀμαθίαν εἰς τοὺς μαρασμώδεις ἐμπίπτοντες πυρετούς. ἄχρι μὲν γὰρ ἂν ἔχωσι τὴν ὕλην δαψιλῆ, ταύτην συντήκουσιν· ὅταν δὲ ἐπιλείπωσιν αὐτοὺς αἵ τε πιμελαὶ καὶ αἱ σάρκες αἱ μαλακαὶ, ξηραίνουσι

hoc etiam in carnibus in craticulis torrentibus evidenter fieri, siquidem ab aliquibus plurima liquatio defluit, deciditque in prunas largiter, ab aliquibus nihil omnino quod sentias defluere videtur, etiam si par sit prunarum subdicta copia. Quippe feris suibus aut nihil omnino aut plane minimum est quod defluat, cicuribus vero plurimum, quantoque magis vel adipe vel carne animal abundat, tanto profecto quod ab ipsis carnibus dum in craticulis torrentur, defluit cernitur copiosius. Ad eundem itaque modum in calidissimis febribus, si carnes humidae ac molles cum adipis copia fuerint, eas sensu liquari deprehendas; sin sine adipe et siccae sint, in marasmodes febres transeunt. Clarissimo hujus rei argumento sunt infirmi, qui per alvum quod liquatur excernunt, qui nisi prius vel morbi violentia vel medicorum inscitia moriantur, in marasmodes febres incidunt. Siquidem quoad materiam uberem habent, hanc colliquant, ubi illis tum adeps tum caro mollis defecit, duras et aegre liquabiles carnes

τὰς σκληρὰς καὶ δυστήκτους σάρκας, ὧν οὐδὲν ἀποῤῥεῖ διὰ ξηρότητα, καθάπερ οὐδὲ τῶν ταριχηρῶν κρεῶν, εἰ καὶ ταῦτ᾽ ἐθελήσειας ὀπτᾷν, ἐπιβάλλων ἴσῳ τοῖς ἄλλοις πυρί· ξηρότεραι μὲν γὰρ αἱ σάρκες αὐτῶν ἔσονται καὶ σκληρυνθήσονταί γε βύρσης τρόπον· οὐ μὴν ἐκρυήσεταί γε αὐτῶν οὐδεμία τηκεδὼν αἰσθητή. ταῦτ᾽ οὖν γινώσκοντί σοι καὶ ἡ τῶν συντηκτικῶν πυρετῶν ἐπιμέλεια κατὰ (151) τὰς αὐτὰς γινέσθω μεθόδους ἐπί τε ψυχροῦ δόσιν ὅτι τάχιστα παραγιγνομένῳ καὶ διὰ τῶν ὑγραινόντων καὶ ψυχόντων τρέφοντι. μελίκρατον δ᾽ οἰομένῳ πολεμιώτατον εἶναι, ᾧ μάλισθ᾽ ὁρᾷς χρωμένους ἐπὶ τῶν τοιούτων πυρετῶν τοὺς πλείστους τῶν ἰατρῶν. ἀλλὰ περὶ μὲν τῶν συντηκόντων πυρετῶν αὖθις ἐξέσται διελθεῖν, ὥσπερ γε καὶ περὶ τῶν ἐν λοιμοῖς πυρετῶν ἑκτικῶν, οἷος ὁ νῦν ἐπιδημῶν ἐστιν, εἰρήσεται γὰρ περὶ τοῦδε κατὰ τοὺς λοιμώδεις πυρετούς. τῶν δ᾽ ἄλλων ἑκτικῶν καὶ μαρασμωδῶν αὐτάρκως εἰρῆσθαι νομίζω τὴν μέθοδον τῆς ἰάσεως.

ficcant, a quibus propter ficcitatem nihil defluit, veluti nec ab iis quae fale funt ficcae, fi quis has quoque torrere parans, pari cum aliis igni admoveat; nam et ficciores earum carnes reddentur et corii ritu durabuntur, nec defluet ex his ulla fenfibilis liquatio. Haec igitur quum fcias, etiam colliquantium febrium iisdem methodis curam ages, tum ad frigidam exhibendam quam primum properans, tum iis quae humectent et refrigerent nutriens. Mulfam vero inimiciffimam effe cenfebis, qua tamen uti plerosque medicorum in ejusmodi febribus vides. Verum de colliquantibus febribus differere in pofterum licebit, aeque ut de iis hecticis febribus *quae* in peftilentiis *contingunt*, cujusmodi ea eft quae nunc publice graffatur, dicetur namque et de hac inter peftilentes febres. Reliquarum vero tum hecticarum tum marasmodum abunde mihi fanationis methodum tradidiffe videor.

# ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ Λ.

Ed. Chart. X. [247.] Ed. Baf. IV. (151.)

*Κεφ. α'.* Τῶν δ' ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων πυρετῶν οἱ πρῶτοι μὲν εἴρηνται σκοποὶ πρόσθεν ἡνίκα ἐδείκνυον ὅπως ἐγχωρεῖ καὶ δύο καὶ τρεῖς αὐτοὺς ποιῆσαι, κἂν εἰ βουληθείημεν ἕνα. νυνὶ δ' ὥσπερ ἐπὶ τῶν ἄλλων πυρετῶν ἐκ τῆς τῶν πρώτων γενῶν τομῆς ἄχρι τῶν ἐσχάτων εἰδῶν ἀφικόμεθα τέμνοντες, οὕτω πρᾶξαι πειραθῶμεν κἀπὶ τῆς προκειμένης διαφορᾶς, ἐκεῖνο πρότερον ἀναμνήσαντες ὃ κἀν τοῖς περὶ διαφορᾶς τῶν σφυγμῶν ὑπομνήμασιν ἐδείξαμεν, ὡς εἴτε πρώτας διαφορὰς, εἴτε γένη πρῶτα καλεῖν ἐθέλοι τις,

# GALENI METHODI MEDENDI LIBER XI.

Cap. I. Quae ex putrefcentibus humoribus accenduntur febres, earum primi remediorum fcopi dicti prius funt, quum eos quemadmodum et duos et tres efficere liceat docui, etiam, fi velis, unum. Nunc vero ut in aliis febribus fecimus, ex primis generibus deductis ad ultimas usque fpecies dividendo pervenimus, ita et in propofita differentia facere tentemus, illud prius admonentes, quod etiam in libris de pulfuum differentia oftendimus, five primas differentias, five prima genera, five maxime gene-

εἴτε γενικωτάτας ἰδέας, εἴθ᾽ ὁπωσοῦν ἄλλως φυλάττων ἀκριβῆ τοῦ πράγματος τὴν ἔννοιαν, οὐ διοίσει. τῶν μὲν δὴ πυρετῶν αὐτῶν τοὺς ἐφημέρους ὅπως χρὴ θεραπεύειν ἐν τῷ τῶνδε τῶν ὑπομνημάτων ὀγδόῳ διῆλθον· ὥσπερ γε καὶ ὅπως τοὺς συνόχους ἐν τῷ μετ᾽ αὐτό· καὶ τρίτους γε τοὺς ἑκτικοὺς ἐν τῷ μετ᾽ ἐκεῖνο τῆς ὅλης πραγματείας ὄντι δεκάτῳ, μετὰ τῶν ἰδίων ἑκάστῳ πλεῖστα καὶ τῶν κοινῶν ἐπελθών. νυνὶ δ᾽ ὅπως ἄν τις ἰῷτο μεθόδῳ τοὺς ἐπὶ σήψει χυμῶν συνισταμένους πρόκειται διελθεῖν. οἱ σκοποὶ δ᾽ οἱ θεραπευτικοὶ κατὰ μὲν τὴν εἰς δύο τομὴν ἥ τε διάθεσις ἣν θεραπεύομεν ὑπάρχει καὶ ἡ τῶν τοῦ κάμνοντος μορίων κρᾶσις. ἐγχωρεῖ δ᾽, ὡς ἐλέχθη, καὶ δι᾽ ἑνὸς ἑρμηνεῦσαι κεφαλαίου, θεραπευτικὸν εἰπόντων ἡμῶν εἶναι σκοπὸν ἕνα κοινὸν ἁπάντων νοσημάτων, τὴν ἐναντίωσιν· οὗ τεμνομένου γεννᾶσθαι τοὺς δύο, τοῦ μὲν νοσήματος ἐνδεικνυμένου τὴν τῶν ἐναντίων ἑαυτῷ βοηθημάτων χρῆσιν, τῆς δὲ τοῦ θεραπευσομένου κράσεως ὁριζούσης ἅμα τῷ νοσήματι τὸ μέτρον [248] τῆς ἐναντιώσεως. ἐῤῥέθη δ᾽ ἐν ἐκείνοις ὡς καὶ τὸ περιέχον ἡμᾶς ἕνα ποιήσα-

rales ideas, five quomodocunque aliter appellare libeat, modo exactam rei notionem ferves, nihil interfuturum. Ac febrium quidem ipfarum quemadmodum eas quas diarias vocamus cures, in horum commentariorum octavo expofui, pari modo et quemadmodum continentes in libro qui illum fequitur, atque etiam quemadmodum tertias hecticas in eo qui illi fuccedit, qui totius operis eft decimus, in quibus non propria modo cujusque, fed etiam communium pleraque explicavi. Nunc quemadmodum quae ex putrescentibus humoribus excitentur methodo fint fanandae aggredi ftatui. Curativi fcopi prout in duo dividuntur, affectus quem curamus et partium aegrotantis temperies funt. Licet autem ea, ut dictum eft, et una fumma interpretemur, dicentes unum effe omnium morborum communem curationis fcopum contrarietatem ipfam, quo rurfus divifo duos exiftere, morbo ex iis quae fibi contraria fint adhibenda remedia indicante, laborantis vero temperie una cum ipfo morbo contrarietatis menfuram definiente. Porro dictum in illis eft ambientem

σθαι τὸν σκοπὸν ἐγχωρεῖ. καὶ ὡς ὁπόταν εἰς δύο μόνους τὴν πρώτην ποιησώμεθα τομὴν, ἤτοι γ' ἐν τοῖς νοσεροῖς αἰτίοις ἢ ἐν τοῖς ὑγιεινοῖς, τίθεσθαι χρὴ τὸ περιέχον. ὄντων δ' αἰτίων ὑγιεινῶν ἁπάντων τῶν ποιούντων ὑγείαν, ἓν ἐξ αὐτῶν ἐστι τὸ καλούμενον βοήθημα, κατὰ διαφόρους ἐννοίας ἔσχατον καὶ πρῶτον ὑγιεινὸν αἴτιον ὀρθῶς λεγόμενον. ἔσχατον μὲν γὰρ ἔσται τῷ χρόνῳ, διότι φύσις καὶ τέχνη καὶ τύχη τῷ χρόνῳ πρότερα τῶν βοηθημάτων ἐστὶν ὑγείας αἴτια· πρῶτον δὲ καθ' ὅσον αὐτὸ ψαύει τοῦ νοσοῦντος, ἀλλοιοῦν τὴν διάθεσιν αὐτοῦ· καὶ διὰ τὴν ἐκ τούτου γινομένην ἀλλοίωσιν τῶν νοσούντων σωμάτων εἰς ὑγείαν ἀγομένων ἡ τέχνη καὶ ὁ τεχνίτης καὶ ἡ τύχη αἴτια τῆς ὑγείας γίνεται, οὐ τῷ πρώτως αὐτὰ τὰς νόσους ἐκκόπτειν, ἀλλὰ τῷ δι' ἑτέρων ὑλῶν ἐπιτηδείων, αἵτινες ὀνομάζονται βοηθήματα. φλεβοτομία γὰρ αὐτὴ μὲν καθ' ἑαυτὴν αὐτὸ δὴ τοῦτο τὸ νῦν εἰρημένον ὄνομα κέκτηται· βλάψασα δὲ τὸν ἄνθρωπον ἐκ τῶν αἰτίων γίνεται τῶν νοσωδῶν, ὥσπερ γε καὶ ὠφελήσασα τῶν ὑγιεινῶν. καὶ διὰ τοῦτο καλεῖται βοήθημα, καθ' ὃν ἂν ὠφελῇ καιρόν· ὡς

quoque nos aërem unam efficere indicationem posse. Et quum primam sectionem in duo tantum facimus, ambientem vel morbosis causis vel salubribus annumerandum esse. At vero quum sanitatis causae sint omnia quae sanitatem efficiunt, una certe earum est quod remedium vocatur, quod pro variis notionibus et ultima et prima sanitatis causa recte dicitur. Quippe tempore ultima erit, propterea quod natura et ars et fortuna tempore priores remediorum sanitatis causae sunt; prima vero est quatenus id laborantis corpus tangit, alteratque ejus affectum, ac propter alterationem, quam id facit, quum aegra corpora ad sanitatem perducuntur, ars, artifex et fortuna sanitatis causae fiunt, non quod haec morbos primum submoveant, sed alia materia ad id commoda intercedente, quod auxilium appellatur. Siquidem phlebotomia ipsa quidem per se hoc quod jam dictum est nomen possidet, at quum hominem laedit, ex causis fit morbificis, ut quum prodest ex salubribus. Ac propterea quum proficit vocatur auxilium, sicut

καὶ πάσης ὕλης τῆς ὁπωσοῦν ἀλλοιούσης τὸ σῶμα καθ᾽ ὃν ἂν ὠφελῇ χρόνον ὀνομαζομένης βοηθήματος. οὕτως οὖν καὶ περιέχοντος ἡμᾶς ἴδιον μὲν ὄνομα κατὰ τὴν ἑαυτοῦ φύσιν ὁ ἀήρ· ἐν δὲ τῇ πρὸς ἡμᾶς σχέσει ποτὲ μὲν βοήθημα καὶ τῶν αἰτίων ἕν τι τῶν ὑγιεινῶν γίγνεται, ποτὲ δὲ τῶν ἐναντίων αὐτοῖς τῶν νοσωδῶν. ἐπεὶ δ᾽ ἔκ τε τῆς ἐνεστώσης καταστάσεως καὶ τῆς ὥρας τοῦ ἔτους καὶ τῆς τοῦ χωρίου φύσεως ὁ ἀὴρ ἴσχει τὰς καθ᾽ ὑγρότητα καὶ ξηρότητα καὶ θερμότητα καὶ ψυχρότητα μεταβολὰς, ἐξ ἐκείνων πάλιν ἑκάστου γίγνονταί τινες ἐνδείξεις μερικώτεραι. τύχη μὲν οὖν καὶ τέχνη καὶ τεχνίτης διὰ μέσων τῶν ὑλῶν ἔχουσι τὸ δρᾷν· ἡ φύσις δ᾽ αὐτὴ δι᾽ ἑαυτῆς, ἐκ τριῶν τούτων συμπληρουμένη μορίων τῆς τε τοῦ πνεύματος οὐσίας καὶ τῆς τῶν ὄντως στερεῶν, ἅπερ ἐκ σπέρματος ἐδείχθη γιγνόμενα, καὶ τρίτης ἐπ᾽ αὐτοῖς τῆς σαρκοειδοῦς οὐσίας, ἐν ἑκάστῳ τῶν μορίων ἰδίας ὑπαρχούσης. ἕκαστον δὲ τῶν εἰρημένων τριῶν ἰδίαν τινὰ ἔχει ποσότητα καὶ ποιότητα κατὰ φύσιν. ἡ μὲν οὖν ποιότης αὐτῶν ἐκ τῆς πρεπούσης κράσεως ὑγρᾶς καὶ ξηρᾶς καὶ ψυχρᾶς καὶ θερμῆς

profecto omnis materia, quae quomodolibet corpus alterat, quo tempore juvat auxilium dicitur. Sic itaque et ambientis proprium pro natura sua nomen est aër; relatus tamen ad nos alias auxilium et sanitatis causarum una efficitur; alias iis contrarium, nempe morbificarum. At quoniam aëri tum ex praesente coeli statu tum anni tempore tum regionis natura, suae in humido, sicco, calido et frigido mutationes accedunt, ex illorum rursus unoquoque aliae particulares indicationes oriuntur. Ac fortuna quidem et ars et artifex materiarum interventu agunt; natura vero per se ipsa ex tribus his partibus completur, ex spiritus et partium quae vere dicuntur solidae substantia, quas ex semine genitali conditas esse monstravimus, et tertia ab his carnosa substantia, quae cuique parti est sua. Singulae autem jam dictarum trium propriam natura sua tum qualitatem habent tum quantitatem. Ac qualitas quidem earum ex congruo temperamento humido, sicco, calido et frigido consistit. Quantitas

συνίσταται. τὸ ποσὸν δὲ τῶν μὲν στερεῶν σωμάτων ἴσον ἀεὶ διαμένει, τοῖς μὲν αὐξανομένοις ἔτι κατὰ τὸν ἀριθμὸν μόνον, τοῖς δ' ἤδη τετελειωμένοις καὶ κατὰ τὸ μέγεθος. τῆς σαρκοειδοῦς δ' οὐσίας ἐξαλλάττεται τὸ μέγεθος, εἰ καὶ μηκέτι αὔξοιτο τὸ ζῶον. οὕτως δὲ καὶ ἡ τοῦ πνεύματος οὐσία μονονοὺ καθ' ἑκάστην ῥοπὴν ἐλάττων τε καὶ πλείων γίνεται. καὶ τοίνυν καὶ ἡ δύναμις ἐφ' οἷς ἔμπροσθεν εἶπον σκοποῖς ἤτοι μόνη προστίθεται κατὰ τὴν τῶν εἰρημένων τριῶν οὐσιῶν συναρίθμησιν, ἢ τῆς κράσεως ἀφορισθείσης ἰδίᾳ καθ' ἑαυτήν. ἥτις αὖ πάλιν καὶ αὐτὴ ποτὲ μὲν, ὡς ἐδείκνυτο, διχῇ τέμνεται, εἴς τε τὴν ἐξ ἀρχῆς φύσιν καὶ τὴν ἐπίκτητον διάθεσιν· ὥστε ἀπὸ τούτων καὶ τῶν ἄλλων τῶν προειρημένων γίγνεσθαί τινα ἔνδειξιν ἰαμάτων ἰδίαν ἑκάστου. πολλάκις δὲ ἡ ἐπίκτητος κρᾶσις εἰς τὰς ποιητικὰς αἰτίας ἀναχθεῖσα τὴν ἔνδειξιν ἐκείναις ἐχαρίσατο κατὰ τοῦτον οὖν ἔφαμεν τὸν τρόπον ἐξ ἡλικίας ἐπιτηδευμάτων τε καὶ ἐθῶν ἔνδειξιν βοηθημάτων γίγνεσθαι, συμφωνεῖν δ' ἀλλήλαις ἁπάσας τὰς εἰρημένας ἐνδείξεις· ἐν γὰρ ταῖς ἰδικωτέραις ἀεὶ περιέχεσθαι τὰς

vero folidarum partium par femper manet, fed iis qui adhuc augentur numero duntaxat, qui vero abfoluti jam funt etiam magnitudine. Carnofae vero fubftantiae magnitudo variatur, etiamfi praeterea non augeatur animans. Sic et fpiritus fubftantia tantum non quolibet momento tum minor tum major fit. Ergo etiam ad eos quos prius diximus fcopos vires vel folae iis tribus fubftantiis, quas modo comprehendimus, fimul enumeratis adduntur; vel diftincto feorfum per fe temperamento. Atque hoc ipsum rurfus bifariam quoque, ut oftenfum eft, fcinditur et in originalem naturam et in acquifititium affectum, fic nimirum ut ex iftis et aliis, quae prius dicta funt, propria quaedam cuiufque remediorum fit indicatio. Saepe autem adfcititium temperamento ad efficientes caufas reductum illis indicationem concedit. Ad hunc itaque modum ex aetate, vitae inftituto et confuetudine, indicationem remediorum fuggeri diximus, confentireque inter omnes jam dictas indicationes; fiquidem in iis quae magis funt fpeciales contineri femper quae ma-

γενικωτέρας. ἄγεσθαι δ' εἰς χρῆσιν τὰς ἰδικωτέρας, εὑρισκομένας ἐκ τῆς τῶν γενικωτέρων τομῆς.

Κεφ. β'. [249] Ἡ γάρ τοι πρώτη πασῶν ἔνδειξις θεραπευτικὴ ἐξ αὐτοῦ τοῦ θεραπευομένου νοσήματος γιγνομένη τὴν ἐναντίωσιν ἐδίδαξεν. ἐπεὶ δ' ἔστι πλείονα γένη τῶν νόσων, ἕκαστον αὐτῶν ἰδίαν ἕξει τὴν ἐναντίωσιν. ἀλλὰ τὰ μὲν ἄλλα παρείσθω τό γε νῦν εἶναι. προκεχωρήσθω δὲ μόνον (152) ἡμῖν εἰς τὰ παρόντα τῆς θεραπευομένης νόσου τὸ γένος ἐν δυσκρασίᾳ κείμενον. ἰαθήσεται τοίνυν τοῦτο διὰ τῆς ἐναντίας αὐτῷ δυσκρασίας. ἀλλ' ἐπεὶ τοῦ γένους ὅλου τῶν πυρετῶν ἡ δυσκρασία θερμότης ἐστὶ, διὰ ψυχρότητος ἰαθήσεται, ὥστε ἀλλήλαις ὁμολογεῖν ἁπάσας τὰς ἐνδείξεις. ἐάν τε γὰρ εἴπωμεν ἁπλῶς οὕτως ὡς χρὴ τὸν πυρετὸν ἰᾶσθαι διὰ τῶν ἐναντίων ἐάν τε προσθέντες ὡς διὰ τῶν ἐναντίων τῇ κράσει μάχην οὐδεμίαν ἕξουσιν οἱ λόγοι· κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδ' εἰ φαίημεν ἰᾶσθαι χρῆναι διὰ τῶν ψυχόντων τὸν πυρετὸν, ὥσπερ γε οὐδ' εἰ τέμνοντες τοῦτο φαίημεν ἐνίοτε μὲν ἰᾶσθαι τὸν πυρετὸν ἡμᾶς διὰ τῶν ἐνεργείᾳ ψυχόντων, ἐνίοτε

gis ſint generales, agi vero in uſum quae magis ſint particulares, ex magis generalium ſectione inventas.

Cap. II. Prima namque omnium curationis indicationum, quae ex ipſo qui curatur morbo accipitur, contrarietatem indicavit. At quoniam morborum plura ſunt genera, cuique eorum ſua erit contrarietas. Verum caetera in praeſens omittantur. Proponatur autem nobis ad praeſentem diſputationem duntaxat morbi curandi genus in intemperie poſitum. Id igitur per contrariam ipſi intemperiem ſanabitur. At quoniam univerſi febrium generis intemperies eſt calor, per frigiditatem curabitur, ſic ut omnes indicationes inter ſe concordent. Nam ſive dixerimus ita abſolute febrem per contraria ſanandam eſſe, ſive adjecerimus per ea quae contraria ſunt temperamento, nulla pugnantia in ſermone erit; ſimiliter nec ſi per frigida ſanandam febrem eſſe dixerimus. Sed nec ſi dividentes id dicamus aliquando ſanare nos febrem per ea quae actu, aliquando et per ea quae poteſtate,

δὲ διὰ τῶν δυνάμει, καί ποτε αὖθις διὰ τῶν κατὰ συμβεβηκός, ἢ καὶ συντιθέντες ταῦτα μάχην οὐδεμίαν ἕξει τοῖς προειρημένοις ὁ λόγος, ὥσπερ γε οὐδ' εἰ φαίημεν ὅσα μὲν κατ' ἐνέργειαν ἢ δύναμιν ἢ κατὰ συμβεβηκὸς θερμαίνει χείρονας ἑαυτῶν ἀποτελεῖν τοὺς πυρετοὺς, ὅσα δ' αὖ κατ' ἐνέργειαν ἢ δύναμιν ἢ κατὰ συμβεβηκὸς ψύχει θεραπεύειν αὐτούς. ἡ γὰρ ἀπὸ τῆς διαθέσεως ἔνδειξις εἰς τοσούτους ἐτμήθη τοὺς κατὰ μέρος σκοπούς. αὐτοὶ δὲ πάλιν οὗτοι οἱ σκοποὶ τὴν ὕλην τῶν βοηθημάτων εὑρίσκουσι κατὰ τὰς ἐν τοῖς περὶ φαρμάκων εἰρημένας μεθόδους· ἀρχὴ γὰρ ἐκείνων ἐστὶν εἰς ὅπερ ἐτελεύτησεν ἡ ἐκ τῆς θεραπευομένης διαθέσεως τομή. κυριωτάτη μὲν οὖν ἐν τῷ λυθῆναι τὴν νόσον θεραπεία νοεῖται, καταχρωμένων δὲ καὶ τὸ μικτὸν γένος ἔκ τε τῆς ὄντως θεραπείας καὶ ἣν ὀνομάζουσι προφυλακήν. τῶν μὲν οὖν ἐφημέρων πυρετῶν ἡ ὄντως ἐστὶ θεραπεία, καθάπερ γε καὶ ἡ τῶν ἑκτικῶν. ὅσοι δ' ἐπὶ χυμοῖς συνίστανται σηπομένοις ἡ λεγομένη θεραπεία τὴν προφυλακὴν προσείληφεν, ἥτις ἐστὶ τὸ τὴν νόσον ἐργαζόμενον αἴτιον ἐκκόπτειν. ὀνομάζεται δὲ καὶ αὐτὸ

aliquando et per ea quae accidenti refrigerant, aut etiam ista conjungentes, nulla pugnantia cum iis quae dicta sunt in sermone erit. Pari modo nec si quis dicat quae actu vel potestate vel ex accidenti calefaciant, ea febres deteriores reddere quam prius fuerant; contra quae actu vel potestate vel ex accidente refrigerent, ea febres sanare. Nam indicatio quae ab affectu *sumitur* in tot numero particulares scopos est diducta. Hi vero rursum ipsi particulares scopi materias inveniunt juxta methodos in opere de medicamentis traditas; illorum enim principium id est in quo finita ad curandi affectus divisio. Ac maxime quidem propria in solvendo morbo intelligitur curatio, sed per abusionem etiam mixtum genus tum ex vera curatione tum ea quam praecautionem vocant. Ac diariarum quidem febrium, quemadmodum et hecticarum, vera et propria curatio est. Earum vero quae ex putrescentibus excitantur humoribus vocata curatio praecautionem quoque sibi adjunxit, cujus officium est causam morbum efficientem adimere. Sane no-

τοῦτο τὸ μέρος τῆς τέχνης θεραπευτικὸν, ἀποκεχωρισμένον τοῦ καθαρῶς τε καὶ εἰλικρινῶς προφυλακτικοῦ τῷ γενέσθαι τὴν νόσον μὲν αἰσθητῶς ὑπὸ τῆς αἰτίας ἤδη, μέλλειν δὲ ἔσεσθαι κατὰ τὰς προφυλακτικάς. τοῖς μὲν οὖν ὀνόμασιν ὡς ἂν ἐθέλοι τις χρήσθω, τοῦτο γὰρ ἀναμιμνήσκειν ἀεὶ χρὴ, φυλαττέτω δὲ τὴν ἐφ᾽ ἑκάστου τῶν πραγμάτων ἔνδειξιν τῶν ἰαμάτων, ὡς εἴ γε παραλείποι τι κἂν ἓν ἐξ αὐτῶν, ἀνάλογον ἐκείνου τῷ μεγέθει τε καὶ τῇ δυνάμει βλάψει τὴν ἴασιν.

Κεφ. γ΄. Ὅνπερ δὲ τρόπον ἀπὸ τῆς διαθέσεως ἐπὶ τὰς ὕλας τῶν βοηθημάτων ἀφικόμεθα, τὸν αὐτὸν τρόπον ἀφ᾽ ἑκάστου τῶν ἄλλων γενῶν τῶν πρώτων κατέρχεσθαι χρὴ πρὸς αὐτάς· οἷον ἀπὸ τῆς δυνάμεως· ἀντιτέτακται γὰρ αὕτη τῇ νόσῳ καθάπερ τις ἀνταγωνιστής· καὶ πρόκειταί γε τῷ ἰατρῷ βοηθεῖν ταύτῃ καὶ συναγωνίζεσθαι τρόπῳ [250] παντί. τίς οὖν πρῶτος σκοπὸς ἀπὸ τῆς δυνάμεως ἢ τίς ἔνδειξις προτέρα; καὶ γὰρ κἀνταῦθα λεκτέον ὡς ἂν ἐθέλοι τις, αὐτὴν μὲν τὴν δύναμιν ἕνα τὸν πρῶτον σκοπὸν τιθέμενος, τὸ δ᾽

minatur haec ipfa quoque artis pars curatrix, quae ab ea quae pure fincereque prophylactice dicitur in eo diftincta eft, quod fub hac jam fenfibiliter ex ipfa caufa morbus fit genitus, in prophylactice vero eft futurus. Atque nominibus quidem quifque prout volet utatur, id enim femper monere oportet, fed remediorum indicationem quae a rebus fingulis praeftetur fervet; quod fi vel unam aliquam earum praetereat, ad proportionem tum magnitudinis illius tum facultatis curatio laedetur.

Cap. III. Quo autem modo ab affectu ad materias praefidiorum pervenimus, eodem modo a fingulis reliquorum generum primorum defcendendum ad eas eft; veluti a viribus; hae namque morbo ceu adverfatrices quaedam funt oppofitae, propofitumque medico eft his fuccurrere ac omni ratione opitulari. Ergo quis primus eft a virtute fcopus aut quaenam indicatio prior? nam hic quoque loqui pro arbitrio quifpiam poffit, virtutem ipfam unum fcopum ac primum ftatuens, quod vero ab ea indicatur alterum fco-

ὑπ' αὐτῆς ἐνδεικνύμενον ἕτερον σκοπὸν δεύτερον. ἐπεὶ τοίνυν ἐδείχθη τὴν ἑαυτῆς ἐνδεικνυμένη φυλακὴν, ὥσπερ ἡ νόσος τὴν ἀναίρεσιν, ἔσται πάλιν ὁ δεύτερος ἐπὶ τῇ δυνάμει σκοπὸς ἡ φυλακὴ, καθάπερ ἐπὶ τῶν νοσημάτων ἡ ἀναίρεσις. ἀλλ' ἡ μὲν φυλακὴ τὴν τῶν ὁμοίων ἐνδείξεται προσαγωγὴν, ἡ δ' ἀναίρεσις τὴν τῶν ἐναντίων. ἐπειδὴ δὲ τῆς δυνάμεως οὐσία συνεπληροῦτο διά τε τοῦ πνεύματος καὶ τῆς σαρκώδους ἰδέας καὶ τῶν στερεῶν, ἐκ τῶν ὁμοίων ἑκάστῳ πορίζεσθαι χρὴ τὴν διαμονήν· τῷ μὲν πνεύματι διὰ τῆς ἀναπνοῆς τε καὶ διαπνοῆς καὶ τῆς ἐκ τοῦ αἵματος ἀναθυμιάσεως, ἐξέστω δὲ κἀνταῦθα τῷ βουλομένῳ καλεῖν ἀέρωσιν, ἢ λεπτοποίησιν αἵματος, ἢ εἰς ἀτμοὺς λύσιν, ἢ χύσιν, ἢ ὅπως ἂν αὐτὸς ἐθέλοι· τῷ δὲ τῶν στερεῶν γένει διὰ τῆς στερεᾶς τροφῆς, ὥσπερ γε καὶ τῷ τῶν σαρκωδῶν διὰ τῆς ἐν μέσῳ φύσεως ὑγρῶν τε καὶ στερεῶν σωμάτων. ἑκάστου δὲ τούτων εὑρήσεις τὸ μὲν ποσὸν ἐκ τῆς κατὰ τὴν φυλαττομένην οὐσίαν ποσότητος, τὸ δὲ ποιὸν ἐκ τῆς κράσεως. αὐτῆς δὲ τῆς κράσεως καθ' ἕκαστον αὐτῶν ἤτοι

pum fecundum. Itaque quum monftratum fit virtutem fui cuftodiam indicare, ficuti morbum fui ablationem, erit rurfus in virtute fecundus fcopus ipfius cuftodia, ficut in morbis ipforum fublatio. At vero cuftodia fimilium exhibitionem indicabit, fublatio contrariorum. Quoniam vero virium fubftantia tum ex fpiritu tum ex carnofa fpecie tum folidis ipfis completur, ex iis quae fimilia funt moliri cuique fuam cuftodiam conveniet. Spiritui ex refpiratione ac tranfpiratione et eo qui ex fanguine attollitur vapore; licet vero hic quoque volenti vel aërationem vel fanguinis attenuationem vel in halitum folutionem vel fufionem vel utcunque libuerit *appellare*; folidorum vero generi ex folido nutrimento. Quemadmodum et carnofo *generi* per eam naturam quae in medio humidorum ac folidorum corporum eft. At cujufque horum menfuram ex confervandae fubftantiae quantitate invenies, qualitatem vero ex ipfius temperamento. Quum vero horum cujufque vel optima temperies fit, vel

γε ἀρίστης ὑπαρχούσης ἢ μεμπτῆς κατά τι, τὴν μὲν ἀρίστην ἀεὶ φυλάττειν χρὴ, τὴν μεμπτὴν δὲ ἐπὶ μὲν τῶν ὑγιαινόντων ἤτοι φυλάττειν ἢ ἀλλοιοῦν· ἐπὶ δὲ τῶν νοσούντων φυλάττειν, ἐξ οὗ λογισμοῦ πρόσθεν ἐδείκνυτο μεγίστην ἔνδειξιν ἔχον τὸ ἔθος, ἢ γὰρ τὴν ἐξ ἀρχῆς αὐτοῦ φυλάττειν κρᾶσιν ἢ τὴν ἐπίκτητον ἐργάζεσθαι. γίγνεσθαι δ', ὡς ἐλέγετο, τὴν ἔνδειξιν τοῦ μέτρου τῶν βοηθημάτων ἐκ τῆς νῦν κράσεως, ὥσπερ γε κἀκ τῆς ἡλικίας, οὐχ ἧς ἔμπροσθεν εἶχεν ὁ κάμνων, ἀλλ' ἧς νῦν ἔχει. διαφορᾶς δ' οὐκ ὀλίγης ὑπαρχούσης ἐν τῇ κράσει τῶν τοῦ ζώου μορίων, ἴδιον ἑκάστῳ τὸ μέτρον ἔσεσθαι τῶν ὁμοίων ἑαυτῷ, τῷ μὲν γεωδεστέρῳ τῶν γεωδεστέρων, τῷ δὲ ὑγροτέρῳ τῶν ὑγροτέρων· οὕτω δὲ καὶ τῷ μὲν ἀερωδεστέρῳ τῶν ἀερωδῶν, τῷ δὲ θερμοτέρῳ τῶν πυρωδῶν. ἐντεῦθεν οὖν ἤδη τὰς ὕλας ἐξευρίσκειν ἁπάντων τῶν κατὰ μέρος, ἐν τροφαῖς καὶ πόμασι καὶ ἀέρι καὶ τοῖς ἐπιτηδευομένοις ἅπασιν. ἔνθα δ' ἀλλήλαις ἐναντιοῦνταί τινες ἐνδείξεις, τῇ πρόσθεν εἰρημένῃ

aliquatenus vitiofa, quae quidem optima eft femper fervari debebit. Quae vero vitiofa, haec in fanis quidem vel fervanda eft vel alteranda, in aegris vero fervanda eft ea ipfa ratione, qua prius oftendimus maximam effe a confuetudine indicationem; nam vel temperamentum ipfum primigenium *oportet* fervare vel adfcititium inducere. Praeftari vero, ut praedictum eft, menfurae auxiliorum indicationem ex eo temperamento quod jam praefens fit, ita nimirum, ficut ex aetate non quam aeger prius habuerit, fed quam nunc habeat. Quum vero diverfitas non parva fit in partium animalis temperamento, propriam cuique menfuram fore eorum quae ipfi fint fimilia; nempe ei quae terrea magis eft eorum quae magis fint terrea, et ei quae humidior eft eorum quae fint humidiora; ad eundem modum et ei quae magis aërea eft eorum quae plus aëris in fe habeant, *ficuti* calidiori eorum quae magis ignea funt. Hinc vero jam materias particulares omnes in cibis, potione, aëre et omnibus peragi folitis inveniendas effe. Ubi vero fecum pugnaverint indicationes aliquae, fuperius comprehenfa methodo ad ea

χρῆσθαι μεθόδῳ, πρὸς τὴν τῶν πρακτέων εὕρεσιν ἐπιβλέποντα μέγεθός τε καὶ ἀξίωμα τῶν ἐνδεικνυμένων σκοπῶν. αἱρεῖσθαι γὰρ ἐδείκνυμεν χρῆναι τὰς ἀπὸ τῶν ἀξιολογωτέρων τε καὶ μειζόνων ἐνδείξεις σκοπῶν. ἀξίωμα μὲν οὖν αὐτῶν εἰς ζωὴν ἢ ὑγίειαν ἀποβλεπόντων κρίνεσθαι, μέγεθος δ' εἶναι διττὸν, ἤτοι κατὰ τὴν οἰκείαν οὐσίαν ἢ τὴν τοῦ κατὰ φύσιν ἐκτροπήν. ἐπὶ ταύταις οὖν ἤδη ταῖς μεθόδοις γυμνασθῶμεν ἐν τῷ γένει τῶν ἐπὶ σηπεδόνι πυρετῶν.

Κεφ. δ'. Ἐπεὶ δὲ ἡ σηπεδὼν ἤτοι γε ὁμοτίμως ἐν ἅπασι συνίσταται τοῖς ἀγγείοις ἢ ἐν τοῖς μεγίστοις καὶ κυριωτάτοις, ἃ δὴ μεταξὺ βουβώνων τ' ἐστὶ καὶ μασχαλῶν, ἢ καθ' ἕν τι μόριον ἤτοι [251] φλεγμαῖνον, ἢ καὶ χωρὶς φλεγμονῆς, ἐν ἑαυτῷ περιέχον οἷόν περ ἐν ἑστίᾳ τινὶ τὴν ἀρχὴν τοῦ πυρετοῦ, καθ' ἑκάστην τῶν εἰρημένων διαφορῶν ἰδίᾳ χρὴ γυμνάσασθαι. καὶ πρώτην γε τὴν ἤτοι κατὰ τὰ μέγιστα τῶν ἀγγείων ἢ σύμπανθ' ἅμα γινομένην τῷ λόγῳ προχειρησόμεθα. τὸν γὰρ ἐπὶ τῇ τοιαύτῃ διαθέσει πυρετὸν εἶναι μὲν δήπου σύνοχον ἀναγκαῖον, ἰαθῆναι δ' ἀδύνατον ἄνευ τοῦ

quae agenda fint invenienda utendum effe, perpenfis indicantium fcoporum tum magnitudine tum dignitate. Oftendimus enim eligendas eas indicationes effe quas fcopi digniores maiorefque praefcribent, ac dignitatem eorum vel vitae vel fanitatis refpectu judicari. Magnitudinem vero duplicem effe vel propriae fubftantiae ratione, vel everfionis a naturali ftatu. Ergo ab his jam methodis agedum exercitemur in genere febrium quod ex putredine nafcitur.

Cap. IV. Quoniam putredo vel aequabiliter in omnibus fubfiftit vafis, vel in maximis maximeque principalibus, ea porro funt inter alas et inguina, vel in una quapiam parte quae vel phlegmonen in fe habet vel etiam citra phlegmonen, veluti in foco quodam, principium febris in fe continet, in fingulis his differentiis feorfum exercitari conveniet. Ac primum eam tractandam proponemus quae vel in maximis vafis vel fimul omnibus confiftit. Quae igitur ex tali affectu oritur febris, plane neceffum eft continentem

παύσασθαι τὴν σηπεδόνα. παύσασθαι δ᾽ οὐ δύναται μενούσης τῆς αἰτίας. ἐκκόπτειν οὖν χρὴ τὴν αἰτίαν αὐτῆς, εἰ μέλλει προτέρα μὲν ἡ σῆψις, ἐπ᾽ αὐτῇ δ᾽ ὁ πυρετὸς ἰαθήσεσθαι. τίς οὖν ἡ αἰτία τῆς ὁμοτίμου σηπεδόνος ἐν ἅπασι τοῖς ἀγγείοις ἀναμνησθῆναι χρὴ πρῶτον, ἢ τίς ποθ᾽ ἡμῖν ἐδείκνυτο σηπεδόνος αἰτία, κἄπειθ᾽ ἑξῆς ζητῆσαι τὴν τῆς ὁμαλῶς γινομένης ἐν ἅπαντι μέρει τοῦ ζώου. δέδεικται τοίνυν ἐν ταῖς τῶν νόσων αἰτίαις ὡς ἐκεῖνα μόνα σήπεται τῶν σωμάτων ὅσα φύσιν ἔχοντα θερμὴν καὶ ὑγρὰν ἀδιάπνευστα καὶ ἀῤῥίπιστα μένει ἐν θερμῷ καὶ ὑγρῷ χωρίῳ. εἰ δ᾽ ἐν κινήσει τε εἴη καὶ ῥιπίζοιτο καὶ διαπνέοιτο, δύναιτ᾽ ἂν ἄσηπτα φυλάττεσθαι, καὶ μάλισθ᾽ ὅσα σώματα διοικοῦσιν αἱ φύσεις, ὥσπερ (153) τὰ τῶν ζώων τε καὶ τῶν φυτῶν· αὗται γὰρ ἐξ ἀρχῆς ἑαυταῖς ἔχουσι συμφύτους κινήσεις, ὡς ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ἐδείκνυμεν, αἷς ἀποκρίνουσι τὰ περιττά. δέδεικται δὲ καὶ δι᾽ ἄλλων δυοῖν βιβλίων πηλίκη τίς ἡ χρεία τῆς τ᾽ ἀναπνοῆς ἐστι καὶ τῶν σφυγμῶν, ὑπὲρ τοῦ

esse. Nec fieri potest ut ea sanetur, nisi inhibita prius putredo sit. Porro ea inhiberi causa manente non potest. Quare submovenda ipsius causa est, si modo putredo ipsa prior, mox post ipsam febris sanari debebit. Ergo quae causa putredinis est, quae se per omnia vasa aequabiliter diffundit? Sane revocare in memoriam prius conveniet, quaenam alias putredinis indicata sit causa, ac deinde cur pari modo in omnibus animalis partibus fiat inquirere. Ergo ostensum est, ubi morborum causas reddidimus, illa tantum putrescere corpora quae cum calida humidaque natura sint, neque perflata neque ventilata in calido humidoque loco maneant. Quod si in motu sint, ventilenturque ac perflentur, posse ea non putria *integraque* servari; potissimum quaecunque corpora sua ipsorum natura reguntur, ut animalium et stirpium; ea namque, sicut in opere de naturalibus facultatibus est proditum, ab initio congenitos secum motus habent quibus superflua excernant. Ostensum non minus et in aliis duobus libris est, quantus sit tum respirationis tum

ῥιπίζεσθαι καὶ διαπνεῖσθαι τὸ σῶμα καὶ τὴν κατὰ φύσιν ἑαυτοῦ φυλάττειν θερμασίαν. εἴπερ οὖν τι μέλλει σαφῶς σήπεσθαι τῶν κατ᾽ αὐτὸ, τὰς εἰρημένας χρὴ διαπνοὰς ἐπισχεθῆναι. πῶς δ᾽ ἂν καὶ δύναιντο αἱ καθ᾽ ὅλον τὸ ζῶον εἰς τοῦτ᾽ ἐλθεῖν ἄνευ στεγνώσεως, ἤτοι γ᾽ ἐν τοῖς πέρασι τῶν ἀγγείων γινομένης ἢ κατὰ σύμπαν τὸ δέρμα; κατὰ μὲν οὖν τὰ πέρατα τῶν ἀγγείων ἡ στέγνωσις γίγνοιτ᾽ ἂν, ἢ διὰ σφοδράν τινα ἔξωθεν ψύξιν, ἢ διὰ πάχος, ἢ πλῆθος, ἢ γλισχρότητα τῶν περιεχομένων ἐν αὐτοῖς χυμῶν, ἀθροώτερον ῥευσάντων ἐπὶ τὴν ἔξω φοράν. γίγνεται δ᾽ αὐτοῖς τοῦτο καὶ διὰ γυμνάσια τὰ κατὰ παλαίστραν ἢ ἄλλως ἐπιτηδευθέντα καὶ δι᾽ ὁδοιπορίας συντόνους ἢ διὰ τὸ περιέχον ἐξαίφνης ἐκ κρύους εἰς θάλπος μεταβαλόν. ἐνίοτε δὲ καὶ διὰ θυμὸν οἱ χυμοὶ ζέσαντες ἀθρόα καὶ χρησάμενοι τῇ πρὸς τοὐκτὸς φύσει τὰς εἰρημένας στεγνώσεις εἰργάσαντο. χρὴ τοίνυν ὅστις ἰᾶσθαι μέλλει τὸν προκείμενον ἐν τῷ λόγῳ πυρετὸν, ἅμα μὲν ἐκκόπτειν αὐτοῦ τὴν αἰτίαν, ἅμα δὲ καὶ τὴν ἤδη γεγενημένην ὑπ᾽ αὐτῆς ἐν τῷ ζώῳ θερμασίαν ἐμψύχειν. ὅπως μὲν οὖν ἐκείνην χρὴ ψύχειν ἔμπροσθεν εἴρηται· τὴν δ᾽ αἰτίαν ἐκκόπτειν προσήκει,

pulfuum ufus ad ventilationem corporifque perflatum atque ejus nativum calorem tuendum. Itaque fi quid in eo manifefte putrefcere debebit, dictas tranfpirationes impeditas effe oportet. At vero qui fieri poteft ut illae per totum animal fiftantur, nifi vel in finibus vaforum ftipatio fit vel tota cute? Porro accidere in finibus vaforum ftipatio poteft vel ex vehementi externa refrigeratione vel ex humorum, qui extrorfum in ipfis confertim fuerint craffitudine, multitudine vel lentore. Accidit hoc illis et ex iis exercitationibus, quae in palaeftra, vel alias obeuntur et itinere laboriofo vel ambientis ftatu, quum ex rigore in aeftum fubito eft mutatus. Nonnullis vero ferventes ex ira humores ac foras fimul impetu ruentes dictas ftipationes effecerunt. Quifquis igitur propofitam fanaturus eft febrem, hic fimul caufam ejus adimat oportet; fimul calorem qui in animali excitatus ab ea eft refrigeret. Ac quemadmodum quidem ille fit refrigerandus prius eft dictum. Caufam vero adimi

κατὰ τὴν ἰδίαν ἑκάστης φύσιν ἐξευρίσκοντα τὴν ἐναντίωσιν· εἰ μὲν ὑπὸ ψυχρᾶς αἰτίας ἐπιλήθη τε καὶ πυκνὸν εἴργασται τὸ σῶμα, χαλῶντα καὶ ἀραιοῦντα παντοίως αὐτό· δι' ἔμφραξιν δὲ τοῦτο παθὸν ἐκφράττοντα. τὸ δὲ ἐκφράττον εὑρήσεις κἀνταῦθα, τῷ τῆς ἐναντιώσεως προσέχων σκοπῷ· τοὺς μὲν γὰρ πολλοὺς χυμοὺς κενώσεις, τοὺς παχεῖς δὲ καὶ γλίσχρους ἐργάσῃ λεπτούς τε καὶ ῥυτούς. εἰ δὲ καὶ πλείω συνέλθοι ποτὲ αἴτια, πρὸς ἅπαντα ἐνιστάμενος ἐξ ὑπεναντίου· δυνατὸν γὰρ δήπου καὶ πεπιλῆσθαι τὸ σῶμα καὶ πεπυκνῶσθαι τοὺς πόρους καὶ πολλοὺς καὶ γλίσχρους εἶναι τοὺς χυμούς. ἐν δὲ ταῖς τοιαύταις ἐπιπλοκαῖς, εἴ τι μεμνήμεθα τῶν ἐν τοῖς ἔμπροσθεν εἰρημένων, ἄρχεσθαι προσήκει ἀπὸ τῆς φλεβοτομίας, ἐκκενοῦντα τὸ πλῆθος, ἀφικνεῖσθαι δ' ἐπὶ τῷ λεπτύνειν τοὺς χυμοὺς, εἶθ' ἑξῆς ἐπὶ τὸ χαλᾷν τὰ πεπιλημένα καὶ ἀραιοῦν τὰ πεπυκνωμένα. ταυτὶ μὲν οὖν ἐκ τῆς νοσώδους διαθέσεως ἐνδεικτικῶς ληπτέον.

Κεφ. ε'. [252] Ἀπὸ δὲ τῆς δυνάμεως, ἐπειδὴ σιτία καὶ ποτὰ καὶ πνεύματα ταύτην ἐφύλαττον, ἐν μέτρῳ τέ τινι

oportebit, propria cujufque naturae inventa contrarietate; utique fi ex frigida caufa ftipatum denfumque redditum corpus eft, laxato eo omnique ratione rarefacto, fin ex obftructione ita eft affectum, hac reclufa. Quod vero recludet, hic quoque ad contrarietatis indicationem attentus invenies; ubi namque abundantia humorum eft, hos vacuabis; ubi craffi funt et glutinofi, tenues eos ac fluxiles efficies. Si plures caufae aliquando coibunt, omnibus per contraria occurres, fiquidem fieri poteft ut et coarctatum corpus fit et exigui meatus denfati et multi fimul ac lenti humores fubfint. In ejufmodi autem caufarum complexu, fi recte quae prius comprehenfa funt meminimus, coepiffe a fanguinis miffione conveniet; ac abundantia vacuata tum ad extenuandos humores venire, ab hoc ad remittenda quae funt conftricta et rarefacienda quae funt denfata. Atque haec quidem a morbi affectu indicative funt fumenda.

Cap. V. A viribus autem, quoniam has cibi, potiones et fpiritus certa menfura et apta qualitate exhibita fer-

Ed. Chart. X. [252.] Ed. Baf. IV. (153.)

καὶ ποιότητι δεούσῃ προσφερόμενα, καὶ ἣν αὐτῶν τὸ μὲν τοῦ ποσοῦ μέτρον ἀπὸ τῆς οὐσίας τῆς δυνάμεως εὑρισκόμενον, τὸ δὲ τῆς ποιότητος ἀπὸ τῆς κράσεως, ἐπισκεπτέον ὅπως ἔχουσιν αἱ διοικοῦσαι τὸ σῶμα δυνάμεις. εὐρώστων μὲν γὰρ οὐσῶν θαῤῥῶν χρῶ τοῖς κενωτικοῖς βοηθήμασιν, ἅπερ ἐκ τῆς κατὰ τὴν νόσον ἐλήφθη διαθέσεως· ἀῤῥωστοτέρων δὲ γεγενημένων εὐλαβῶς μεταχειρίζου τὰ κενωτικὰ βοηθήματα. καὶ μὲν δὴ καὶ τὸ τῶν τροφῶν ποσὸν ἐντεῦθέν σοι ληπτέον. ἐῤῥωμένων γὰρ τῶν δυνάμεων κατὰ τὸν ἑαυτῶν λόγον καὶ τῆς ἀκμῆς τοῦ νοσήματος ἐν τάχει προσδοκωμένης ἔξεστι λεπτότατα διαιτᾷν, ἀῤῥωστοτέρων δ᾽ οὐσῶν οὐκ ἔξεστιν ἄνευ ζημίας μεγάλης· ἀλλὰ χρὴ προστιθέναι τοῖς τρέφουσι τοσοῦτον ὅσον ἀφῄρηνται τῆς εὐτονίας αἱ δυνάμεις. ἐκ τούτων μὲν τῶν σκοπῶν τὸ ποσὸν τῆς τροφῆς ληπτέον, ἐκ δὲ τῆς διαθέσεως τῆς κατὰ τὴν νόσον ἅμα τῇ κατὰ φύσιν κράσει ἐν τῷ τότε χρόνῳ τῶν στερεῶν σωμάτων τὸ ποιὸν, ἀπὸ μὲν τῆς διαθέσεως, εἰ ἔμφραξις εἴη, τὰς λεπτυνούσας, ἀπὸ δὲ τῆς κατὰ φύσιν αὐτῶν κράσεως ἅμα τοῖς ἔθεσι, καθὼς καὶ περὶ

vabant; inventus autem eſt quantitatis eorum modus ex virium ſubſtantia, qualitatis vero a temperamento, *nimirum* aeſtimari debebit, quemadmodum vires quae corpus regunt in his ſe habeant. Quippe ſi valentes ſint, audacter vacuantibus praeſidiis uteris, haec autem ab affectu morbi fuere accepta; ſin infirmiores ſint redditae, vacuantia remedia cautius adminiſtrabis. Sed et alimentorum modus hinc tibi eſt deſumendus. Quum enim vires legitimum robur ſuum habent et morbi ſummus vigor brevi futurus expectatur, tenuiſſimo victu licet uti; quum ſunt infirmiores, non licet ſine gravi noxa; ſed adiicere ad nutrimenta tantum oportet quantum eſt de robore virium imminutum. Atque ex his ſcopis accipienda eſt nutrimenti quantitas. Qualitas vero ex morbi affectu una cum ſolidorum corporum, quod tunc temporis eſt, naturali temperamento; ab affectu, ſi is obſtructio ſit, quae extenuet; a naturali ipſorum temperamento una cum conſuetudine, prout etiam prius eſt definitum.

τούτων διώρισται πρόσθεν. ὁ δὲ καιρὸς τῆς τροφῆς ἐπὶ μὲν τῶν ἄλλων ἁπάντων πυρετῶν, ὅσοι σήψεσιν ἕπονται, προϊόντος εἰρήσεται τοῦ λόγου· τοῖς δ᾽ ἕνα μόνον ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἔχουσι παροξυσμὸν, ὑπὲρ τούτων γὰρ ἡμῖν ὁ ἐνεστὼς λόγος, ἥ τ᾽ εὐφορία καὶ τὸ ἔθος οἱ σκοποί· τηνικαῦτα γὰρ ἂν αὐτοῖς δοτέον ὅταν εὐφορώτατοι σφῶν αὐτῶν ὑπάρχωσι, καὶ μάλιστα κατ᾽ ἐκεῖνον τὸν καιρὸν τῆς ἡμέρας ἐν ᾧ καὶ πρόσθεν ὑγιαίνοντες ἔθος εἶχον σιτεῖσθαι· μάλιστα γὰρ ἂν εὐφόρως ἐνέγκαιεν τὰ σιτία κατὰ τούτους τοὺς σκοποὺς λαβόντες. ὅτι δὲ καὶ τὸ ψυχρὸν τοῖς οὕτω νοσοῦσι δοτέον, ὅταν ἤδη πέττωνται μὲν οἱ χυμοὶ, τὸ δὲ πάχος αὐτῶν ᾖ προλελεπτυσμένον, ἐκ τῶν ἐν τοῖς ἔμπροσθεν εἰρημένων εὔδηλον.

Κεφ. στ΄. Ἐπαμφοτερίζοντος γὰρ τοῦ τοιούτου πυρετοῦ τοῖς τ᾽ ἐπὶ σήψει χυμῶν ἐν περιόδοις τισὶ παροξυνομένοις καὶ τοῖς ἐφημέροις ὀνομαζομένοις, ἐν ἑκατέρῳ τῷ γένει προσηκόντως ἐμνημονεύσαμεν τούτων, ἕνα μὲν ἐχόντων παροξυσμὸν ὡς ἐφημέρων, ἐπὶ σήψει δὲ γιγνομένων

Tempus vero nutriendi quod quidem ad reliquas fpectat febres, quae ex putredine oriuntur, in progreffu fermonis dicetur. Quae vero unicam tantum a principio ad finem acceffionem habent, de his namque praefens eft fermo, in his facilis toleratio et confuetudo fpectari debebunt; nam cibus illis eo tempore eft offerendus, quo facilius quam in caeteris morbum tolerant; eoque potiffimum diei tempore quo prius in fanitate cibari erant affueti; etenim facillime cibum ferent, fi ex his fcopis affument. Quod autem frigida quoque ita laborantibus fit exhibenda, quum jam concoquuntur et craffitudo eorum praetenuata eft, id ex iis quae prius funt comprehenfa, manifeftum arbitror.

Cap. VI. Quum enim ejufmodi febris communia quaedam cum ambabus habeat, tum iis quae ex humorum ortae putredine circuitibus quibufdam acceffiones habent tum iis quas diarias vocamus, merito in utroque genere de ipfa mentionem facimus, quum unicam acceffionem habeat, ut diariae, caeterum ex putredine orta multos duret

καὶ ἤδη πολυημέρων πως ὄντων. ὥσθ᾽ ἓν μὲν ἕξουσι κοινὸν πρὸς τοὺς ἐφημέρους, δύο δὲ πρὸς τοὺς ἐπὶ σήψει πολυημέρους. τὸ δ᾽ ἕτερον γένος τῶν συνόχων δύο μὲν ἔχει κοινὰ πρὸς τοὺς ἐφημέρους, τό τε χωρὶς σήψεως γίγνεσθαι καὶ χωρὶς περιόδου· τὸ τρίτον δ᾽ οὐ κοινὸν, εἰς γὰρ τὴν πέμπτην ἡμέραν ἐκτείνεται πολλάκις. ἡ μὲν οὖν τῶνδε τῶν πυρετῶν θεραπεία γέγραπται πρόσθεν, ἡ δὲ τῶν ἐπὶ σήψει συνόχων ἑκατέρῳ τῷ γένει κοινωνοῦσα καὶ ἡμᾶς ἠνάγκασεν ἐν ἀμφοτέροις τοῖς λόγοις ὑπὲρ αὐτῆς διελθεῖν. ἀλλ᾽ ἡ μὲν οὐσία καὶ ἡ σύμπασα φύσις αὐτῶν ἐκ τοῦ γένους ἐστὶ τοῦ νῦν ἡμῖν προκειμένου. καθ᾽ ἓν δέ τι τῶν [253] συμβεβηκότων αὐτοῖς ἐκοινώνησαν τοῖς ἐφημέροις, ὅπερ ἦν εἷς ὁ σύμπας παροξυσμὸς ὅλης τῆς νόσου. χρὴ τοίνυν καὶ τὰ τῆς ἰάσεως αὐτοῖς καθ᾽ ἓν μὲν τοῦτο μόνον εἰς κοινωνίαν ἥκειν τοῖς ἐφημέροις, κατὰ δὲ τἄλλα σύμπαντα διχῇ τμηθῆναι, καὶ τοὺς μέν τινας σκοποὺς θεραπευτικοὺς ἐκ τοῦ γένους τῶν ἐπὶ σήψει λαβεῖν, τοὺς δέ τινας ἐκ τῆς οἰκείας αὐτῶν οὐσίας. οὕτω δὲ καὶ τὰς ἄλλας

dies. Itaque unum cum diariis commune habebit, duo cum iis quae ex putredine ortae multos durant dies. Reliquum continentium febrium genus duo habet cum diariis communia et quod fine putredine fit et quod abfque circuitu; tertium vero commune non eft, quum faepe in quintum porrigatur diem. Atque harum quidem continentium febrium prodita prius curatio eft. Continentium vero putridarum curatio, quum utrique generi communis fit, etiam nos in ambobus de ipfa differere coegit. Caeterum fubftantia earum totaque natura ex eo eft genere, quod nunc nobis proponitur. In uno autem eorum quae ipfis accidunt cum diariis conveniebant; id fuit quod una in totum totius morbi acceffio erat. Ergo et curatio earum unum hoc duntaxat commune cum diariis habeat oportet; in reliquis autem omnibus bifariam diducatur. Atque alii quidem curationis fcopi ex communi genere earum quae ex putredine fint ortae accipiantur, alii ex propria earum fubftantia. Ad eundem

διαφορὰς τῶν ἐπὶ σήψει χυμῶν ἰᾶσθαι προσήκει, καθάπερ ἤδη πολλάκις ἔμπροσθεν εἴρηται, τὴν ἔνδειξιν ἀπό τε τοῦ κοινοῦ γένους αὐτῶν λαμβάνοντας καὶ τῆς καθ᾽ ἕκαστον ἰδίας διαφορᾶς.

Κεφ. ζ. Ἀναλαβόντες οὖν αὖ εἴπωμεν ὁπόσαι μέν εἰσιν αἱ πᾶσαι διαφοραὶ τῶν ἐπὶ σηπεδόνι χυμῶν ἀναπτομένων πυρετῶν, τίς δ᾽ ἡ κοινὴ τοῦ γένους αὐτῶν ἔνδειξις τῶν ἰασομένων βοηθημάτων, εἶθ᾽ ἑξῆς ὁποία τις ἡ καθ᾽ ἕκαστον ἰδία. χρὴ γὰρ δήπου τό τε κοινὸν αὐτοῖς ἅπασι κοινὴν καὶ τὴν ἔνδειξιν ἔχειν, τό τ᾽ ἐν ἑκάστῳ διάφορον εἰς ὅσον ἀποκεχώρηκε τῶν ὁμογενῶν, εἰς τοσοῦτον καὶ τὴν ἔνδειξιν ἀφωρισμένην ἐκείνων ἔχειν. εἰσὶ δὲ τῶν ἐπὶ σήψει χυμῶν αἱ διαφοραὶ αἵδε. μία μὲν ἐκ τοῦ παρεῖναι τὰς αἰτίας αὐτοῖς τῆς σηπεδόνος, ἢ μὴ παρεῖναι, δευτέρα δὲ ἐκ τοῦ καθ᾽ ὅλον τὸ ζῶον ἢ κατὰ μέρος ὑπάρχειν τὴν σηπεδόνα, καὶ τρίτη καθ᾽ ὅσον ἤτοι μετὰ (154) φλεγμονῆς

vero modum et caeteras natarum ex putredine febrium differentias fanari conveniet; indicatione, ficut faepe prius dictum eft, tum a communi ipfarum genere tum vero a cuiufque propria differentia defumpta.

Cap. VII. Ergo denuo repetentes dicamus primum quot fint febrium quas humorum putredo accendit in univerfum differentiae; deinde quaenam fit ipfius generis earum communis fanaturorum auxiliorum indicatio; mox quae fit fingulatim cuiufque propria. Par eft enim profecto ut quod omnium earum commune eft, communem habeat indicationem; et quod in fingulis eft proprium, quantum a reliquis eiufdem generis eft diverfum, in tantum et diverfam ab illis fortiatur indicationem. Sunt igitur natarum ex humoris putredine eiufmodi differentiae. Una ex eo quod caufae ipfius putredinis adfunt, vel non adfunt. Secunda ex eo quod per totum animal aut ejus partem aliquam diffufa putredo fit. Tertia, quatenus cum phlegmone eft aut citra hanc. Igitur confiderandum nobis eft, quidnam com-

ἢ χωρὶς ταύτης εἴη. ἐπισκεπτέον οὖν ἡμῖν ἐστι τί μὲν ἔχει κοινὸν ἡ ἀπὸ τῆς αἰτίας ἔνδειξις ὑπαρχούσης ἔτι, τί δ' ἡ τῆς σηπεδόνος αὐτῆς· κἄπειθ' ἑξῆς τί μὲν ἡ καθ' ὅλον τὸ ζῶον ἢ τά γε κυριώτατα τῶν ἀγγείων αὐτοῦ· τί δὲ ἡ καθ' ἕν τι μόριον, ἔπειθ' ἑξῆς τῶν καθ' ἕν τι μορίων τὰς διαφοράς. ἄλλην μὲν γὰρ εἰκὸς ἔνδειξιν εἶναι τὴν μετὰ φλεγμονῆς, ἑτέραν δὲ τὴν χωρὶς ταύτης. ἐν αὐταῖς δὲ ταύταις πάλιν ἑτέραν μὲν ἔτι παρούσης τῆς ποιούσης αἰτίας, ἑτέραν δ' οἰχομένης αὐτῆς. εἶθ' ἑξῆς τὰς καθ' ἑκάστην αἰτίαν ἔτι παροῦσαν διαφορὰς, ἐπὶ πάντων τῶν εἰρημένων κατὰ τὴν τομὴν εἰδῶν· ἐνταῦθα γὰρ ἡμῖν ἀναγκαῖόν ἐστιν εἰς τὰς ἀπὸ τῶν θεραπευομένων διαθέσεων ἐνδείξεις τελευτῆσαι. μετὰ δὲ ταύτας δηλονότι τὰς ἀπὸ τῶν θεραπευσομένων μορίων ἐνδείξεις ληψόμεθα κατὰ τὴν προειρημένην μέθοδον· αἷς προσθέντες τὰς ἀπὸ τῆς δυνάμεως τελείαν ἕξομεν ἤδη τὴν μέθοδον τῆς ἁπάντων τῶν ἐπὶ σήψει πυρετῶν ἰάσεως.

mune habeat indicatio quae a causa sumitur adhuc manente; quidnam ea quam putredo ipsa praestat; ab his deinde, quid indicatio putredinis quae per totum diffunditur animal aut certe maxime principalia in eo vasa; quid ejus quae in una consistit parte; mox deinde earum quae in una quadam parte sunt aestimabimus differentias. Quippe aliam esse indicationem ejus quae cum phlegmone conjungitur, ratio est; aliam ejus quae sine hac consistit. Rursus in his etiam ipsis aliam esse praesente adhuc effectrice causa; aliam vero hac submota. Postremo cujusque causae adhuc manentis differentias per omnia quae in specierum divisione sunt inventa; siquidem hic jam desinant necessum est indicationes quae ex curandis sumuntur affectibus. Post has vero eas nimirum quae ab ipsis curandis suggeruntur partibus pro jam dicta methodo sumemus; quibus si eas quae a viribus praebentur adjecerimus, absoluta nobis de febrium omnium a putredine accensarum curatione methodus erit.

Κεφ. η'. Ἀρξώμεθα οὖν ἀπὸ τοῦ πρώτου σκοποῦ κατὰ τὴν διαίρεσιν, ὅπερ ἦν ἡ σηπεδὼν τῶν χυμῶν, καὶ σκεψώμεθα τίσιν ἄν τις προσέχων σκοποῖς καὶ τίσιν ἐνδείξεσι χρώμενος ἐξεύροι τὴν θεραπείαν αὐτῆς. ἀρχὴ δ' εἰς τὴν εὕρεσιν ἡ φύσις ἔσται τοῦ πράγματος ὑπὲρ οὗ σκοπούμεθα· καὶ γὰρ καὶ τοῦτο ἐμάθομεν ἐν ταῖς ἀποδεικτικαῖς μεθόδοις. [254] τίς οὖν ἡ φύσις τῆς σηπεδόνος ἐστίν; ἡ μεταβολὴ τῆς ὅλης τοῦ σώματος σηπομένης οὐσίας ἐπὶ φθορὰν, ὑπὸ τῆς ἔξωθεν θερμασίας. οὐ γὰρ δὴ ὑπό γε τῆς οἰκείας τι φθείρεται, τοὐναντίον δ' ἅπαν αὐξάνεταί τε καὶ ῥώννυται καὶ ὑγιαίνει καὶ ζῇ τῶν ὄντων ἕκαστον, ὑπὸ τῆς οἰκείας θερμασίας διοικούμενον· ὥσπερ ἀμέλει καὶ αὐτὰ τὰ τῶν ζώων σώματα καίτοι τὸ πλεῖστον τῆς ἑαυτῶν οὐσίας ὑγρὸν καὶ θερμὸν ἔχοντα, διαρκεῖ πάμπολυν ἐτῶν ἀριθμὸν ἄσηπτά τε καὶ ὑγιῆ καὶ ζῶντα φυλαττομένης αὐτῶν, ὡς ἐπιδέδεικται, τῆς οἰκείας θερμασίας, ἐν μὲν τῷ τῆς καρδίας σώματι διὰ τῆς ἀναπνοῆς, ἐν ἅπασι δὲ τοῖς ἄλλοις μέρεσι διά τε τῆς πρὸς τὴν καρδίαν κοινωνίας καὶ δι' ἑτέρου τινὸς

Cap. VIII. Ergo ordiamur a primo qui in divifione fuit fcopo, is erat humorum putredo, ac confideremus quibus maxime fcopis quibufque indicationibus ufi curationem ejus invenire poffimus. Principium vero inventionis ipfa erit rei natura, de qua agitur; etenim id quoque in demonftrandi methodis didicimus. Quaenam igitur eft putredinis natura? mutatio totius putrefcentis corporis fubftantiae ad corruptelam ab externo calore. Non enim profecto a proprio *calore* corrumpitur quicquam, imo vero contra quodcunque et augetur et roboratur et fanum eft et vivit eorum quae funt quodque proprio calore regitur. Ut fane et ipfa animantium corpora, tametfi plurimam fubftantiae fuae portionem humidam et calidam funt fortita, magnum tamen annorum numerum fine putredine ac fana vivaque exigunt, fi fervetur, ut monftratum eft, eorum proprius calor in cordis quidem corpore per refpirationem, in reliquis omnibus partibus tum per communitatem, quam habent cum corde, tum per aliam quandam refpirationis

εἴδους ἀναπνοῆς, ὃ καθ᾽ ὅλον τὸ δέρμα γιγνόμενον ὠνόμασται διαπνοή. τῇ δὲ τούτων βλάβῃ συγκακοῦται μὲν τὸ κατὰ φύσιν θερμόν· ὀθνεῖον δέ τι καὶ παρὰ φύσιν ἕτερον ἐγγινόμενον τοῖς σώμασι τοὺς μὲν χυμοὺς πρώτους δι᾽ ὑγρότητα σήπει τε καὶ διαφθείρει, τῷ χρόνῳ δὲ καὶ τῆς πιμελῆς ἅπτεται καὶ τῆς σαρκός. ὥσπερ οὖν ὅσα τῶν μὴ ζώντων σωμάτων σήπεται, πρῶτον μὲν ἀποφράττουσιν αὐτῶν ὅσον ἤδη σέσηπται, εἶθ᾽ ἑξῆς τὸ λοιπὸν αἰωρήσαντες ἐν ἀέρι ψυχρῷ διαπνοὰς εὐψυχεῖς μηχανῶνται, κατὰ τὸν αὐτὸν τρόπον ἰασόμεθα τὴν ἐν τοῖς ζώοις σηπεδόνα, τὸ μὲν ἤδη διεφθαρμένον ἐκκενοῦντες ἅπαντι τρόπῳ, τὸ δὲ ὑπόλοιπον αἰωρήσεσι μετρίαις καὶ διαπνοαῖς εὐψυχέσιν εἰς τὴν ἀκριβῆ συμμετρίαν ἐπαναγαγόντες. ἡ μὲν δὴ κένωσις αὐτῶν δι᾽ οὔρων τε καὶ διαχωρημάτων ἐμέτων τε καὶ ἱδρώτων ἔσται· μετὰ δὲ ταῦτα κινήσεις μετρίας ἅμα τῇ τοῦ περιέχοντος εὐκρασίᾳ προσάξομεν. ὅπως δ᾽ ἄν τις ἕκαστον τούτων ὀρθῶς μεταχειρίζοιτο, μικρὸν ὕστερον ἐπισκεψόμεθα. νυνὶ δ᾽ ἐπὶ τὸ δεύτερον ἐκ τῆς διαιρέσεως ἤδη μεταβῶμεν,

ſpeciem, quae per totam agitur cutem et tranſpiratio nominatur. His vero laeſis una etiam naturalis calor laeditur; alter vero quidam alienus, ac praeter naturam in corporibus excitatus, primum quidem ipſos humores propter humiditatem et putrefacit et corrumpit, ſpatio vero temporis tum adipem invadit tum etiam carnem. Ut igitur in iis corporibus quae non vivunt ac putreſcunt, primum quantum eorum jam computruit abjiciant, dein ei quod reliquum eſt in frigidum aërem ſublato, perſpirationem refrigerantem moliuntur; ita putredinem in vivis ortam ſanabimus, id quod jam corruptum eſt, omni ratione vacuantes, quod reliquum eſt moderatis geſtationibus et refrigerante perſpiratu ad exactam ſymmetriam reducentes. Ac vacuationem quidem illius per urinas, dejectiones, vomitum ac ſudores moliemur; poſt hanc motiones mediocres una cum ambientis bona temperie adhibebimus. Quemadmodum autem horum quodque recte adminiſtrandum ſit, paulo poſt aeſtimabimus. Nunc ad ſecundum in diviſione tranſeamus, quemadmodum

ὡς ἄν τις κάλλιστα τῆς ποιούσης αἰτίας τὴν σῆψιν ἔτι μενούσης ἐξεύροι τὴν ἴασιν. ἔστι δ᾽ οὐδ᾽ ἐνταῦθα χαλεπὸν οὐδὲν ἐξευρεῖν, ὅτι διὰ τῶν ἐναντίων ἀναιρουμένης αὐτῆς. ἐπεὶ τοίνυν ἡ κώλυσις τῆς διαπνοῆς εἰργάζετο τὴν σῆψιν, ἀναιρετέον αὐτήν. ἀλλ᾽ ἐπεὶ πολυειδῶς ἐγίγνετο καὶ πυκνουμένων τῶν πόρων καὶ πιλουμένων τῶν σωμάτων καὶ διὰ πλῆθος καὶ πάχος καὶ γλισχρότητα τῶν χυμῶν ἐμφραττομένων, ἑκάστην τῶν εἰρημένων διαθέσεων ἰᾶσθαι χρὴ διὰ τῶν ἐναντίων· τὴν μὲν πύκνωσιν τοῖς ἀραιοῦσι, τὴν δὲ πίλησιν τοῖς χέουσι, τὸ δὲ πλῆθος τοῖς κενοῦσι, καὶ τὸ πάχος τοῖς τέμνουσι, καὶ τὴν γλισχρότητα τοῖς ῥύπτουσιν. καὶ εἰ μὲν καθ᾽ ὅλον εἴη τὸ σῶμα τῶν εἰρημένων ἕκαστον, ὅλῳ τῷ σώματι διὰ τῶν ἐναντίων τιμωροῦντες· καθ᾽ ἓν δέ τι τῶν μορίων ὑπαρχούσης τῆς σηπεδόνος, ἐν ἐκείνῳ τὰ εἰρημένα μηχανώμεθα. οὐ τῶν αὐτῶν δὲ δηλονότι δεήσεται πάντα κενώσεως φαρμάκων, ὡς ἂν καὶ ταῖς κράσεσι καὶ ταῖς θέσεσι καὶ ταῖς διαπλάσεσι καὶ τῇ συμπάσῃ κατασκευῇ καὶ φύσει διαφέροντα ἀλλήλων.

quis caufae quae putredinem excitavit adhuc manentis remedium facillime inveniat. Eft autem neque in hoc difficultas ulla, quod per contraria ipfa tollatur. Itaque quoniam tranfpirationis prohibitio putredinis caufa fuit, hanc fubmovere oportet. At ea quum variis generibus fit orta et denfatis exiguis meatibus et conftrictis corporibus et humoribus tum abundantia tum craffitudine tum lentitia fua obftruentibus, fingulae dictarum affectionum curandae per contraria funt, denfitas per ea quae rarefaciunt, conftrictio per ea quae fundunt; abundantia per ea quae vacuant, craffitudo per ea quae incidunt, et lentor iis quae detergent. Ac fi quidem totum corpus dictorum jam fingula occuparint, etiam toti corpori per contraria eft fuccurrendum, fin unam partem quampiam putredo invaferit, illi adhibenda jam dicta funt remedia. Sane non eafdem omnes partes vacuationes medicamentave requirent, quum et temperamentis et pofituris et conformatione et omni denique conftitutione naturaque inter fe diffideant.

Κεφ. θ΄. Ὅπως οὖν χρὴ βοηθεῖν ἑκάστῳ μετὰ ταῦτα σκεψόμεθα κατὰ τὴν οἰκείαν τοῦ λόγου τάξιν· ἧς τὴν ἀρχὴν ἀπὸ τῆς ἐν ὅλῳ τῷ σώματι σηπεδόνος ποιησόμεθα, γεννώσης καὶ αὐτῆς [255] τοὺς συνόχους ὀνομαζομένους πυρετούς. ἐκκαθαίρειν οὖν χρὴ τὰ σεσηπότα τῶν οὕτω καμνόντων σωμάτων δι' οὔρων τε καὶ γαστρὸς καὶ ἱδρώτων· εἰ δ' αὐτόματόν ποτε τὴν ὁρμὴν ἐπὶ τὸ στόμα τῆς γαστρὸς ποιήσαιτο, καὶ δι' ἐμέτων· ἄλλως δὲ οὐ χρὴ παρὰ φύσιν ἐρεθίζειν αὐτά. ἔστι μὲν οὐκ ὀλίγη τις ὕλη τῶν τὰς εἰρημένας ἐκκρίσεις προτρεπόντων, ἀλλ' εἰ πλείους αὐτῶν θερμαὶ καὶ ξηραὶ ταῖς δυνάμεσιν οὖσαι τὸν πυρετὸν ἐπαύξονται. ἐκλεκτέον οὖν τῷ ἰατρῷ ὅσα χωρὶς τοῦ θερμαίνειν καὶ ξηραίνειν ἱκανῶς τὰς εἰρημένας κενώσεις ἐργάζονται, καθάπερ ὅ τε τῆς πτισάνης χυλὸς καὶ τὸ μελίκρατον ὀξύμελί τε καὶ ἀπόμελι καὶ ἡ τοῦ σελίνου ῥίζα κατὰ τὸ πινόμενον ὕδωρ ἑψομένη. αὐτὰ δὲ ταῦτα καὶ κατὰ κοιλίαν ἀγαθά· μὴ διαχωρούσης δὲ τῆς κοιλίας, κλύζειν μελικράτῳ μετ' ἐλαίου. τὸ δ' ὅλον

Cap. IX. Ergo quemadmodum ſingulis opitulandum, id poſtea pro conveniente ſermonis ordine diſquiremus; cujus initium a putredine quae totum corpus occupet, quae ipſa continentes quoque vocatas febres excitet, faciemus. Ergo qui putruerunt ita laborantium corporum humores per urinas et alvum et ſudores purgandi ſunt; quod ſi ad os ventriculi aliquando ſua ſponte impetum capiant, etiam per vomitiones; aliter autem non eſt, quod eos praeter naturam irrites. Ac eorum quidem quae jam dictas excretiones promoveant, non parva materiae copia eſt, ſed quum major eorum portio calida ſiccaque facultate ſit, febrem adauget. Itaque deligenda medico ſunt ea quae citra calefactionem ſiccationemque valentem dictas vacuationes praeſtent; cujuſmodi ſunt cremor ptiſanae et aqua mulſa et oxymeli et apomeli et apii radix in aqua quae potui datur incocta. Haec autem ipſa ventri quoque ſunt idonea; qui ſi nihil reddat, injicienda per clyſterem aqua mulſa cum oleo eſt. Sane totum corpus priuſquam id vacuaris, rarefacere non

σῶμα πρὶν μὲν κενῶσαι, μανοῦν οὐ χρή· κενώσαντα δ᾽ ἐγχωρεῖ μανοῦν φαρμάκῳ χλιαρὰν ἔχοντι τὴν θερμασίαν, ὁποῖόν ἐστι τὸ διὰ τοῦ χαμαιμήλου. ἐν τούτῳ τῷ καιρῷ καὶ οἶνος ὑδατώδης πινόμενος ἁπάσας κινεῖ τὰς ἐκκρίσεις καὶ λουτρὸν εὔκρατον ἐκ γλυκέος ὕδατος. εἰ δὲ καὶ μὴ προσκέοιτό ποτε κατὰ τὴν λέξιν τὸ γλυκὺ, προσυπακούειν χρὴ γινώσκοντας ὅτι περὶ τοῦ τοιούτου λουτροῦ διὰ παντὸς ὁ λόγος ἡμῖν ἐπὶ τῶν πυρεττόντων ἐστὶν, οὐκ ἀσφαλτώδους ἢ θειώδους, ἢ στυπτηριώδους, ἢ χαλκανθώδους, ἢ ἁλμώδους ἢ θαλάττης αὐτῆς. ἀλλ᾽ ὅταν ἀνθίσταται τὸ μέγεθος τοῦ πυρετοῦ, καθάπερ ἐπὶ τῶν σύνοχων, οὔτ᾽ οἴνῳ χρηστέον οὔτε λουτρῷ οὔτε ἀλείμμασιν ἀραιωτικοῖς· ἀλλὰ τὸ ψυχρὸν ὕδωρ ἐν τούτοις τοῖς πυρετοῖς πινόμενον, ὡς ἔμπροσθεν εἴπομεν, ἐπιτηδειότατον, εἰ μὴ καὶ τοῦτο κωλύει τι τῶν εἰρημένων. αὐτοῦ μὲν γὰρ τοῦ πυρετοῦ διαπαντὸς ἴαμα τὸ ψυχρὸν ποτὸν, οὐ μὴν τοῦ γ᾽ ἐκκενωθῆναι τὰ σηπόμενα διὰ γαστρὸς, οὔρων ἢ ἱδρώτων. διὸ χρὴ γεγυμνασμένον ἐν ταῖς νῦν διδασκομέναις μεθόδοις, ἐπὶ τῶν καμνόν-

expedit; ubi vacuatum eft, utique licebit id medicamento aliquo cui calor tepidus infit rarefacias, cujufmodi eft quod ex chamaemelo conficitur. In hoc tempore fi vinum quoque aquofum bibatur, id omnes excretiones promoverit; *idem faciat* et temperatum dulcis aquae lavacrum. Quod fi appofitum aliquando in dictione vocabulum dulcis non fit, id fubaudire debebis, certo fciens de eo nos in febricitantibus lavacro femper loqui, non bituminofo aut fulfureo aut aluminofo aut chalcanthode aut falfo aut ex marina ipfa. Caeterum ubi magnitudo febris obftat, ficut in continentibus, nec vino eft utendum nec lavacro nec iis quae habitum rarefaciant, unctionibus; fed aqua frigida, ficut prius diximus, pota in his febribus eft aptiffima, nifi tamen aliquid eorum quae praedicta funt hanc quoque prohibeat. Nam ipfius febris frigida pota perpetuo eft remedium, non tamen putrefcentium humorum per alvum, urinas vel fudores vacuandorum. Quo magis exercitatum effe in iis quas nunc tradimus methodis oportet, ac in aegrotantibus confiderare

των σκοπεῖσθαι, τίνα μέν ἐστιν αὐτοῦ τοῦ πυρετοῦ τὰ ἰάματα, τίνα δὲ τῆς σήψεως αὐτῆς καθ᾽ ἑαυτὴν ἐγκειμένης μόνης, τίνα δὲ τῆς ποιούσης αὐτὴν αἰτίας, καὶ ταύτης αὐτῆς καθ᾽ ἑαυτὴν ἐγκειμένης. οὐ γὰρ ὁμολογεῖ πάντα ἀλλήλοις διὰ παντὸς, ἀλλ᾽ ἐναντιοῦται πλειστάκις. ἔνθα χρὴ μεμνημένον ὧν ἐμάθομεν ἐπὶ τὸ μέγιστον (155) ἁπάντων ἔρχεσθαι καὶ τοῦτ᾽ ἤτοι πρῶτον ἢ μᾶλλον τῶν ἄλλων ἰᾶσθαι. χαλεπὸν μὲν οὖν εὖ ἴσθι καὶ γνώμης ὀξείας δεόμενον ἀλλήλοις παραβάλλειν τὸν πυρετὸν καὶ τὴν σηπεδόνα καὶ τὴν ποιοῦσαν αἰτίαν, ὅταν ἔτι καὶ αὐτὴ παρῇ· χαλεπώτερον δὲ εἰ καὶ τὴν δύναμιν αὐτοῖς παραβάλλοις, ὅπερ ἀναγκαῖον μὲν ἀεὶ διὰ τὸν τῆς ζωῆς σκοπὸν, ὡς ἔμπροσθεν ἐδείκνυμεν, ἐνίοτε δὲ καὶ κατὰ τὸ συμβεβηκὸς ὡς πρὸς τὴν ἴασιν τῶν νοσημάτων, ὅπερ ὑπεσχόμεθα δείξειν. εἰ μὲν γὰρ ἱμάτιον εἴη τὸ σηπόμενον, ἤ τι τῶν ἀψύχων ἄλλων σωμάτων, ἐκ τῶν εἰρημένων ἂν ὑπῆρχεν ἡμῖν μόνον ἡ ἔνδειξις· ἐπεὶ δ᾽ ἐν ζῶντι σώματι γίνεται σῆψις, ἀλλοιοῦν δυναμένῳ καὶ πέττειν, ἐπανάγειν τε πρὸς τὸ χρηστὸν ὅσα

et quae fint ipfius febris remedia, et quae ipfius ubi per fe fola fubfiftit putredinis, quae rurfus efficientis hanc caufae, atque hujus quoque, quum per fe ipfam fubfiftit. Non enim femper inter fe confentiunt haec omnia, fed plerumque adverfantur. Hic memores eorum quae didicimus, quod maximum omnium eft, id aggredi oportebit atque vel hoc primum vel magis quam caetera fanare. Sane fcire licet difficile effe acrique judicio indigens febrem, putredinem et effectricem caufam, ubi etiamnum ipfa quoque adeft, inter fe conferre; difficilius tamen eft, fi vires quoque cum illis conferre velis; quod, ficut ante demonftravimus, propter vitae fcopum femper eft neceffarium; aliquando vero et ex accidenti, ficut ad morborum fanationem; quod me oftenfurum promifi. Si namque quod putrefcit veftis effet aliudve inanime corpus, ex praedictis duntaxat indicationem caperemus. Quum vero in vivente corpore fiat putredo, quod tum alterare poteft tum concoquere tum utile reddere

τῶν σηπομένων οἷον ἡμισαπῆ τ᾽ ἐστὶ καὶ ἡμιμόχθηρα, τὴν δύναμιν αὐτοῦ ταύτην ᾗ πέττειν πέφυκεν ἐπεγείρων καὶ ῥωννύων ἰάσῃ τὰ σηπόμενα. διὸ καὶ τότε μάλιστα τολμῶμεν ἤτοι λούειν ἐν τοῖς βαλανείοις αὐτοὺς ἢ τοῖς ἀραιωτικοῖς χρῆσθαι φαρμάκοις, ἢ ὕδωρ ψυχρὸν ἢ οἶνον διδόναι πίνειν, [256] ὅταν ἴδωμεν τὰ γνωρίσματα τῶν πεττομένων χυμῶν. οὐ γὰρ δὴ τῆς γε σφυγμικῆς δυνάμεως ἐῤῥωμένης μόνης εἰς τὰ τοιαῦτα χρῄζομεν, ὥσπερ οὐδὲ τῆς καθ᾽ ὁρμὴν ἡμᾶς κινούσης, ἀλλ᾽ ὡς εἴρηται τῆς πεπτικῆς μᾶλλον. εἰ μὲν οὖν αἵ τε δυνάμεις ἰσχυραὶ πᾶσαι τυγχάνοιεν οὖσαι καὶ ὁ πυρετὸς διακαέστατος καὶ τὰ τῆς πέψεως ἐναργῆ σημεῖα, τὸ ψυχρὸν αὐτῷ διδόναι θαῤῥοῦντα· δῆλον γὰρ ὅτι μηδὲ πρεσβύτης ἐστὶν ὁ τοιοῦτος ἐξ ὧν προειρήκαμεν ἁπάσας ἰσχυρὰς ὑπάρχειν αὐτῷ τὰς δυνάμεις. εἰ δὲ καὶ εὔσαρκος εἴη καὶ ἡ κατάστασις θερμὴ καὶ ξηρὰ, κἂν εἰς κολυμβήθραν αὐτὸν ἐμβάλῃς ψυχρὰν, οὐ βλαβήσεται. κατὰ τὸν τοιοῦτον γοῦν καιρὸν οἱ ῥίψαντες σφᾶς αὐτοὺς εἰς ὕδωρ ψυχρὸν ἵδρωσάν τε

quicquid putrefcentium veluti femiputrefcens femimalumque eft, hanc facultatem ejus qua naturaliter concoquit excitans roboranfque, quae putrefcentia funt fanabis. Itaque etiam tum quae putrefcentia funt fanabis. Itaque etiam tum maxime eos cum fiducia vel in balneo lavamus, vel rarefacientibus medicamentis utimur, vel aquam frigidam vel vinum bibendum damus, quum notas humorum concoctionis cernimus. Non enim pulfificam duntaxat facultatem ad ejufmodi agenda firmam requirimus, ut neque facultatem voluntacio motu nos moventem, fed, ficut eft dictum, potius concoctricem. Ergo fi et facultates cunctae valentes fint et febris ardentiffima et concoctionis notae plane evidentes, frigidam homini dare audacter debebis; conftat namque talem *hominem* fenem non effe, ex quo omnes illi facultates valentes effe propofuimus. Quod fi etiam corpulentus fuerit, tum ftatus caeli calidus ac ficcus, etiamfi in frigidam natationem hunc dimittas, haudquaquam laedetur. Ejufmodi namque temporis opportunitate ufi, qui fefe in frigidam

πάντως αὐτίκα καὶ ἡ γαστὴρ οἴστισιν αὐτῶν κατέῤῥηξε χολώδη. μετρίου δ' ὑπάρχοντος τοῦ πυρετοῦ καὶ τῶν δυνάμεων οὐσῶν οὐκ ἰσχυρῶν ἅμα τοῖς τῆς πέψεως σημείοις ὠφελεῖ τοὺς τοιούτους τά τε βαλανεῖα καὶ ἡ τοῦ οἴνου πόσις, ὅσα τε τῶν ἀλειμμάτων ἐστὶ μανωτικὰ, καὶ πολὺ μᾶλλον ὅταν ᾖ τὸ περιέχον ψυχρόν. οὐδὲ γὰρ ἐπιθυμοῦσιν ὡς τὰ πολλὰ ψυχρῶν λουτρῶν ἢ πόσεων ἐν ταῖς τοιαύταις καταστάσεσιν, ἀναψυχόμενοι διὰ παντὸς ταῖς εἰσπνοαῖς· ὡς εἴ γε συμβαίη ποτὲ ψυχροῦ τοῦ περιέχοντος ἀέρος ὄντος ἰσχυρῶς καυσοῦσθαι τὸν κάμνοντα, βραχείας ἐπ' αὐτοῦ σωτηρίας ἐλπίδας ἔχειν. εἰ δὲ μηδὲ τὰ τῆς πέψεως εἴη σημεῖα, μηδὲ τὰς δυνάμεις ἰσχυρὰς ἔχειν φαίνοιτο, σωθῆναι τοῦτον ἀδύνατον· ὥστε οὔτε λούσεις αὐτὸν οὔτ' ἀλείψεις τοῖς μανωτικοῖς φαρμάκοις, οὔτ' οἶνον δώσεις οὔτε ψυχρόν· ἐφ' οὗ γὰρ ἀνέλπιστος ἡ σωτηρία μάταιον ἂν εἴη διαβάλλειν τοῖς ἰδιώταις τὰ πολλοὺς σώζοντα βοηθήματα. ἐγὼ γοῦν οἶδά τινας ἰατροὺς ἀμεθόδους μιμησαμένους τὰ ὑφ' ἡμῶν πραττόμενα καὶ τοῖς αὐτοῖς χρησαμένους βοηθήμασιν ἐπὶ τῶν πάντως τεθνηξομένων, ἀλλ'

coniecerunt et protinus universe sudarunt et nonnullis eorum alvus biliosa reddidit. At si mediocris sit febris et vires non validae cum notis concoctionis, iis balneum prodest et vini potio: tum vero ex unctionibus eae quae rarefaciunt; idque multo magis quum ambiens est frigidus. Neque enim plerumque aut frigida balnea aut frigidam potionem in ejusmodi coeli statu expetunt, inspiratu ipso assidue refrigerati: quod si quando in frigido ambiente vehementer uri aegrotum contingat, exigua salutis ejus habenda spes sit. Si vero nec concoctionis sunt signa, nec vires validas habere appareat, servari is plane non potest; hunc neque ipsum laveris in balneo neque medicamentis rarefacientibus unxeris neque vinum illi dederis neque frigidam, in quo enim desperata salus est, imprudentis consilii fuerit apud vulgum infamare praesidia, quae multis fuere saluti. Ego siquidem aliquos novi ex amethodis istis medicis, qui quum ea quae nos gessimus essent imitati, iisdemque praesidiis in iis qui prorsus morituri erant usi, adeo nihil profecerunt,

οὔτ᾽ ἀνύσαντάς τι καὶ τὴν εὔκαιρον αὐτῶν χρῆσιν ὕποπτόν τε καὶ φοβερὰν ἐργασαμένους. ἀλλ᾽ ἡμεῖς γε καιροὺς δηλονότι καὶ βοηθήματα γράφομεν ἐπὶ τῶν σωθῆναι δυναμένων, ὡς ὅσοι γε ἀνίατοι τῶν νοσούντων εἰσὶν, οὔτε καιρὸς ἐπιτήδειος οὔτε βοήθημα τούτοις ἐστί. καὶ χρὴ μεμνῆσθαι τοῦδε παρ᾽ ὅλον τὸν λόγον, ὑπὲρ τοῦ μὴ δόξαι ποτὲ τὸν κυριώτατον καὶ πρῶτον σκοπὸν ἁπάντων διαβάλλεσθαι. λέγοντος γοῦν Ἱπποκράτους τὰ ἐναντία τῶν ἐναντίων ἰάματα τί κωλύει πᾶσιν ἑξῆς τοῖς πυρέττουσιν ὕδωρ ψυχρὸν διδόναι; ἀλλ᾽ οὔτε δοτέον οὔτ᾽ ἀνατρέπεται κατ᾽ ἐκεῖνον τὸν χρόνον ὁ καθόλου σκοπὸς ἁπάσης τῆς θεραπείας. ἓν μὲν γάρ τι τῶν ψυχόντων ἐνεργείᾳ τὸ ψυχρὸν ὕδωρ ἐστὶ, πλείω δ᾽ ἄλλα τὰ μὲν κατὰ δύναμιν, ὡς εἴρηται, ψύχει, τὰ δὲ κατὰ συμβεβηκός· ὧν ἄλλοτ᾽ ἄλλῳ χρώμεθα διὰ τὴν ἐπιπλοκὴν τῶν ἐναντιουμένων ἀλλήλοις σκοπῶν. εἴρηται δ᾽ ἡ μέθοδος τῆς τοῦ συμφέροντος ἑκάστοτε πρὸ τῶν ἄλλων αἱρέσεως. ἐδείχθη δὲ καὶ ὡς ὅσον μὲν ἐπ᾽ αὐτῷ τῷ πυρετῷ τὸ ψυχρὸν ὕδωρ ἀεὶ βοήθημά ἐστιν, ὅσον δ᾽ ἐπὶ τοῖς ἄλλοις

ut etiam tempeftivum eorum ufum fufpectum formido lofumque reddiderint. Verum nos tempora praefidiaque iis quos fervari fpes eft fcribimus, quod aegris infanabilibus nec tempus ullum opportunum nec praefidium fit. Atque hoc mihi per omnem fermonem teneri memoria velim, quo minus praecipua illa primaque omnium curationis indicatio convelli aliquando poffe videatur. Quippe quum dicat Hippocrates *Contraria effe contrariorum remedia*, quid vetat omnibus febricitantibus frigidam uno ordine exhibere? Verum nec exhibenda eft, nec fubvertitur eo tempore generalis omnis fcopus. Unum enim ex iis quae actu refrigerant, aqua frigida eft. Sed et alia plura funt quae partim poteftate, ut dictum eft, refrigerent, partim ex accidenti, quorum aliis propter concurfum pugnantium in fe fcoporum alias utimur. Porro tradita jam methodus eft ejus quod conducit ante alia femper deligendi. Oftenfum praeterea eft ipfius febris, prout febris eft, aquam frigidam femper effe remedium, quod vero ad alia fpectat non femper; veluti quum

οὐκ ἀεί· καθάπερ οὐδ᾽ ὅταν ἔμφραξις γλίσχρων καὶ παχέων χυμῶν ἐργάσηται τὴν σηπεδόνα τῶν χυμῶν. ὑποκείσθω δὲ σὺν αὐτοῖς εἶναι καὶ πλῆθος ἐν ὅλῳ τῷ σώματι καὶ ἡ δύναμις οὐκ ἀσθενής. ἐν γὰρ ταῖς τοιαύταις ἐπιπλοκαῖς πολλῶν ἐν τῷ σώματι παρὰ φύσιν ὑπαρχόντων ἔνια μὲν αἴτια προηγούμενα γενήσεται, καθάπερ τὸ πλῆθος ἅμα τοῖς γλίσχροις καὶ παχέσι χυμοῖς· ὑπὸ τούτων γὰρ ἡ ἔμφραξις ἀπειργάσθη, νόσημα οὖσα τῶν ἐμφραττομένων σωμάτων ὀργανικόν. ἐπὶ ταύτῃ δὲ σύμπτωμα ἐγένετο τῆς διαπνοῆς ἡ ἐπίσχεσις, ἐφ᾽ ᾗ πάλιν ἡ σηπεδὼν τῶν χυμῶν αἴτιόν τι προηγούμενον τοῦ πυρετοῦ.

Κεφ. ί. [257] Τοῖς οὖν ἐπιχειροῦσιν ἰᾶσθαι τὸν πυρετὸν ἀναγκαῖόν ἐστι παύειν τὴν σῆψιν, ὥστε δύο γενέσθαι σκοποὺς, τὸν μὲν ἀπὸ τοῦ πυρετοῦ, τὸν δὲ ἀπὸ τῆς σήψεως. ἄλλοι δ᾽ αὖ πάλιν ἔσονται δύο σκοποὶ, ἵνα τὸ μὲν γεγονὸς ἤδη τοῦ πυρετοῦ θεραπεύηται, τὸ δὲ γιγνόμενον κωλύηται. ἄλλοι δ᾽ αὖ πάλιν ἔσονται ἀπὸ τῆς σήψεως δύο σκοποὶ, τὸ μὲν γεγονὸς ἤδη τῆς σήψεως ἰώμενοι, τὸ δὲ γινό-

ex obftructione glutinoforum et crafforum humorum putredo oritur. Supponatur vero et cum his plenitudinem in toto effe corpore, tum vires non imbecillas. In ejufmodi namque implexibus quum multa praeter naturam in corpore fint, quaedam eorum antecedentes caufae erunt, veluti redundantia cum glutinofis et craffis humoribus; ex his enim obftructio eft orta, quae morbus organicus eft eorum quae obftructa funt corporum. Hanc fymptoma fequutum eft ipfa transfpirationis retentio quam rurfus putredo humorum excepit, ipfa febris antecedens quaedam caufa.

Cap. X. Ergo qui febrem curare conatur neceffe eft putredinem inhibeat, ita ut duae indicationes fe exhibeant, altera a febre; altera a putredine. Atque a febre rurfus duae indicationes erunt, ut portio febris, quae jam facta eft percuretur, quae vero in generatione eft inhibeatur. Aliaeque duae rurfum a putredine erunt indicationes, ut et quod putredinis jam factum eft fanes, et quod in ge-

μενον κωλύοντες. ἦν δὲ τὸ γιγνόμενον ἐκ τῆς ἀδιαπνευστίας· οὐδὲν γὰρ χεῖρον οὕτως αὐτὴν ὀνομάσαι σαφοῦς ἕνεκα διδασκαλίας. ὥστε καὶ περὶ ταύτης ἕτεραι δύο ἐνδείξεις ἔσονται, τὸ μὲν ἐπεσχημένον ἐκκενούντων, τὸ δ᾽ ἐπέχεσθαι μέλλον κωλυόντων. κωλυθήσεται δὲ διὰ τῶν τὴν ἔμφραξιν ἰωμένων. ἧς πάλιν καὶ αὐτῆς τὸ μὲν ἤδη γεγονὸς ἰατέον ἐστὶ, τὸ δὲ ἐσόμενον κωλυτέον. ἰαθήσεται μὲν οὖν τὸ γεγονὸς ὑπὸ τῶν ἐκφραττόντων, κωλυθήσεται δὲ τὴν ἐπιῤῥοὴν τῶν ἐμφραττόντων χυμῶν ἀνειργόντων. ὅπερ οὖν ἔσχατον εὑρέθη κατὰ τὴν ἀναλυτικὴν μέθοδον, ἐν τῇ θεραπείᾳ πρῶτον ἁπάντων χρὴ πραχθῆναι. δέδεικται γὰρ ἐν τοῖς ἔμπροσθεν λόγοις ὡς, ἐὰν ἐθελήσωμεν τοῖς ἐκφρακτικοῖς βοηθήμασι χρῆσθαι, ἄνευ τοῦ προκενῶσαι τὸ πλῆθος οὐ μόνον οὐδὲν ἀνύσομεν, ἀλλὰ μείζονα τὴν διάθεσιν ἐργασόμεθα, μαχομένων ἀλλήλαις τῶν ἐνδείξεων. ἀλλ᾽ ἐὰν κενώσαντες πρότερον ἐπὶ τὸ θεραπεύειν ἴωμεν τὴν ἔμφραξιν, ἐκφραττόντων ἡμῖν δεήσει φαρμάκων. ἀλλ᾽ ἐπεὶ τού-

neratione adhuc eft fiftas. Porro quod in generatione eft id perfpiratio impedita facit; nihil enim deterius fuerit clarioris doctrinae gratia ita eam nominare. Ita ab hac quoque aliae duae indicationes nafcentur, tum ut quod retentum eft vacuetur, tum ut quod retinendum eft prohibeatur. Sane prohibebitur praefidiis obftructioni medentibus. Cujus rurfum ipfius quod jam factum eft fanandum eft, quod futurum eft inhibendum. At curabitur quidem quod obftructionis jam factum eft obftructione liberantibus; inhibebitur quod futurum eft affluxum obftruentium humorum compefcentibus. Ergo quod ultimum in ipfa refolutiva methodo eft inventum, id primum omnium in curatione eft peragendum. Oftenfum enim in prioribus libris eft, fi iis auxiliis, quae obftructionem eximant uti non vacuata prius abundantia velimus, fore ut non modo nihil proficiamus, fed etiam affectum majorem reddamus, pugnantibus fcilicet inter fe indicationibus. At fi vacuata prius *multitudine* ad curandam obftructionem accedamus, medicamentis deobftruentibus

των ἐστὶ τὰ πλεῖστα θερμὰ, κίνδυνος αὐξῆσαι καὶ τὴν σηπεδόνα καὶ τὸν πυρετόν. ὅσα τοίνυν ἄνευ τοῦ θερμαίνειν ἐκφράττειν δύναται, τούτοις χρησόμεθα· μετὰ δὲ τὸ διαῤῥύψαι καὶ τεμεῖν τὰ ἐμφράττοντα, κενοῦν αὐτοὺς πειρασόμεθα διά τε γαστρὸς καὶ οὔρων καὶ ἱδρώτων. οὐσῶν δὲ καὶ τῶν ταῦτα ἐργαζομένων ὑλῶν θερμῶν ἀναγκαῖον μὲν ἐν τούτῳ τήν τε σῆψιν αὐξάνειν καὶ τοὺς πυρετούς. ὥστε καθ' ὅσον ἐνδέχεται πειρατέον ἐκλέγεσθαι τὰς ἧττον θερμαινούσας ὕλας· ἢ εἴ τις εὑρίσκοιτο μὴ θερμαίνουσα, καθάπερ ἐν τῷ καιρῷ τῷδε τὸ βαλανεῖον, ἐπ' αὐτὴν ἔρχεσθαι. πειρᾶσθαι δ' ἐν τούτῳ τῷ χρόνῳ (156) καὶ τὴν δύναμιν ῥωννύειν, ὅπως πέττῃ τοὺς χυμοὺς, ἐκνικῶσα τὴν σῆψιν. αὐτοῦ δὲ τοῦ πυρετοῦ τὸ γεγονὸς ἤδη ψυκτέον· ἔσχατος γὰρ ἐν τῇ τῶν βοηθημάτων τάξει σκοπὸς ὁ ἀπὸ τοῦδε, καίτοι καθ' ἕτερον τρόπον ὑπάρχων πρῶτος· ἀπ' αὐτοῦ γοῦν ἤρξατο καὶ ἡ τῶν βοηθημάτων εὑρετικὴ μέθοδος.

Κεφ. ια'. Εἰ μὲν οὖν μηδὲν ἰσχυρὸν ἐν τῷ μεταξὺ σύμπτωμα προσγενόμενον ἐάσειεν οὕτω προελθεῖν ἀπὸ τῆς

erit opus. Verum quoniam horum plurima calida funt, periculum eft ne tum putredinem tum febrem augeant. Itaque iis quae citra calorem amovere obftructiones valeant, utemur; ubi autem quae obftruunt deterfa incifaque funt, per alvum urinas et fudorem ea vacuare tentandum. Quum vero materiae quae haec efficiant etiam calidae fint, neceffe eft interea tum putredinem augeri tum febrem. Quare quoad licet id agendum ut quae minus calefaciat materia deligatur, aut fi qua inveniri poteft quae non calefaciat, quemadmodum in hoc cafu balneum, utique ea eft petenda. Hoc vero tempore etiam vires roborare, quo putredinem fuperantes humores concoquant, ftudebimus. Quod vero febris ipfius jam factum eft, id refrigerabimus; in auxiliorum enim inveniendorum ordine ultima eft, quae ab hoc fumitur indicatio quamvis alia ratione fit prima; quippe quum a febre coeperit praefidiorum inventrix methodus.

Cap. XI. Itaque fi nullum quidem interim vehemens incidat fymptoma quod prohibeat, auxilia ab initio

Ed. Chart. X. [257. 258.] Ed. Baf. IV. (156.)

ἀρχῆς τοῦ νοσήματος ἄχρι τῆς τελευτῆς, τὰ βοηθήματα ταχίστη λύσις ἐπακολουθήσει τοῦ πυρετοῦ· παρεμπεσόντος δὲ τοιούτου τινὸς ὡς ἐφ᾽ ἑαυτοῦ τὴν ὅλην ἐπιστρέψαι θεραπείαν, ἀναγκαῖόν ἐστι βραδῦναι τὸ τέλος τῆς ἰάσεως. τὸ γὰρ παρεμπῖπτον τοῦτο τοὐπίπαν ἤτοι γ᾽ ἐναντίον ἐστὶ τοῖς λύουσι βοηθήμασι τὸν προειρημένον στοῖχον, τῶν τ᾽ αἰτίων καὶ διαθέσεων καὶ συμπτωμάτων, ἢ πάντως γ᾽ οὐδὲν ὀνίνησιν. [258] εἰ μὲν οὖν ἡ τοῦ παρεμπίπτοντος ἴασις ἐναντία ᾖ τῇ προειρημένῃ τάξει τῶν βοηθημάτων, ἀναγκαῖον ἐν ἐκείνῳ τῷ χρόνῳ πάντα χείρω γενέσθαι· εἰ δὲ μήτ᾽ ὠφελοῖ τι πάντῃ μήτε βλάπτοι τὴν ἐξ ἀρχῆς διάθεσιν ἡ τοῦ μεταξὺ γενομένου παθήματος ἐπανόρθωσις, εἰς τὸ τάχος τῆς ὅλης θεραπείας ἐμποδισθησόμεθα· βλαπτούσης δ᾽ ἀναγκαῖον ἤτοι γ᾽ εἰς ἔτι πλέονα χρόνον ἐκταθῆναι τὴν σύμπασαν ἴασιν ἢ κίνδυνον ἀκολουθῆσαί τινα ἢ συναμφότερον γενέσθαι. φέρε γὰρ ἐν τῷ μεταξὺ κακωθέντος στομάχου συγκοπὴν ἐμπεσεῖν, ἣν ἀναγκαζομένων ἰᾶσθαι τροφὰς ἀκαίρους δοθῆναι χρὴ σὺν οἴνῳ καὶ ψυχρῷ. τῇ γὰρ τούτων χρήσει τὰς ἐμφράξεις καὶ τὴν στέγνωσιν καὶ τὴν σῆψιν ἀναγκαῖον αὐξηθῆναι, καὶ διὰ τὴν τού-

morbi ad finem ita procedere, celerrima folutio fubfequetur febris; fin tale quippiam incidat, quod caufarum totam ad fe curationem revocet, neceffe eft ferius adveniat curationis finis. Siquidem quod ita intervenit, omnino vel contrarium eft remediis antedictum affectuum et fymptomatum ordinem folventibus; vel omnino nihil faltem confert. Enimvero fi ejus quod intervenit fanatio praedicto auxiliorum ordini fit contraria, neceffe eft interim cuncta deteriora reddi; fin ab ortu affectui intervenientis mali correctio nec officiat nec profit, totius curationis celeritati in mora erit; fi autem noceat, neceffe eft aut univerfam medicationem in longius fpatium trahi aut aliquod fubfequi periculum aut etiam fore utrumque. Finge namque vitiato interim ftomacho fyncopen incidiffe, cui fuccurrere coacti cibum intempeftive dederimus ac vinum cum frigida. Ex horum enim ufu tum obftructionem tum *corporis* coarctationem tum putredinem auctas effe neceffum eft, atque ex harum

των αὔξησιν καὶ αὐτὸν τὸν πυρετόν. ἀλλ᾽ ὅταν ἥ τε δύναμις ἐξαρκῇ καὶ μηδὲν, ὡς εἴρηται, παρεμπέσῃ καθάπερ ἄρτι μὲν ἐῤῥέθη συγκοπῇ κακωθέντος στομάχου, οὐ γένοιτο δ᾽ ἄν ποτε καὶ αἱμοῤῥαγία καὶ ἀγρυπνία καὶ ἄλγημα καί τι τῶν ἁμαρτανομένων ὑπὸ τοῦ κάμνοντος ἤ τινος τῶν ἀμφ᾽ αὐτὸν, ἡ εἰρημένη μικρὸν ἔμπροσθεν ἅπασα τῶν βοηθημάτων τάξις ἰάσεται τὸν ἄνθρωπον. οὔτ᾽ αὐτὴ καθ᾽ ἕκαστον βοήθημα τὰ παρὰ φύσιν ἐκθεραπεύουσα πάντα. τὸ γοῦν μελίκρατον, ὅσον μὲν ἐπὶ τὸ τέμνειν τοὺς παχεῖς χυμοὺς καὶ ῥύπτειν τοὺς γλίσχρους καὶ τὰς ἐκκρίσεις προτρέπειν, ἄριστον ἂν εἴη βοήθημα κατὰ τοὺς ἐπὶ στεγνώσει καὶ σήψει συνόχους· ὅσον δ᾽ ἐπὶ τὸ τὴν θέρμην αὐξάνειν τοῦ πυρετοῦ βλαβερόν· ὅθεν εἴπερ ἄμετρος ἤδε εἴη, φείδεσθαι μὲν χρὴ τοῦ μελικράτου, χρῆσθαι δὲ τῷ χυλῷ τῆς πτισάνης· εἰ δὲ τὰς ἐμφράξεις δυσλύτους εἶναι λογιζόμεθα, καὶ ὀξυμέλιτι. καὶ τοῦτο δ᾽ αὖ πάλιν αὐτῷ χρησαμένων ἀμέτρως, ἔντερόν τε ξύει καὶ βῆχα κινεῖ καὶ τὰ νευρώδη βλάπτει. ὥστ᾽ εἶναι τῶν δυσχερεστάτων εὑρεῖν τι βοήθημα

auctu ipfam etiam febrem. Verum ubi tum virtus fatis valens eft, nec quicquam, ut dictum eft, intervenit, cujusmodi quam modo diximus ex vitio ftomachi ortam fyncopen, fed nec quae aliquando accidere poffunt, fanguinis profluvium, vigilia, dolor ac error aliquis, vel ipfius aegrotantis vel ejus familiarium, ubi inquam nihil tale accidit, totus qui paulo ante dictus eft remediorum ordo hominem fanabit. Sed nec ipfe tamen quocunque remedia omnia, quae praeter naturam funt, fanat. Nam aqua mulfa, quae ad craffos fuccos incidendos et glutinofos detergendos et excretionem promovendam attinet, optimum plane medicamentum fuerit in iis fynochis, quos coarctatio et putredo excitarunt; quatenus vero calorem febris adauget, eft noxia, unde fi hic immodicus fit, parcendum aquae mulfae eft, utendumque ptifanae cremore; quod fi folutu difficiles effe obftructiones judicaveris, etiam oxymelite. At hoc ipfum rurfus, fi immodice utare, et inteftina radit et tuffim excitat et nervofa laedit. Adeo difficillimum eft ejusmodi aliquid auxilium inveniffe,

τοιοῦτον ὃ μηδὲν βλάπτον ὀνίνησι μεγάλως. καὶ τοῦθ᾽, ὡς ἐδείχθη, γίνεται διὰ τὴν ἐπιπλοκὴν τῶν παρὰ φύσιν ἐν τῷ σώματι συνισταμένων διαθέσεων ἅμα τοῖς προηγουμένοις αὐτῶν αἰτίοις καὶ τοῖς ἑπομένοις συμπτώμασιν.

Κεφ. ιβ΄. Οὐ μὴν διά γε τοῦτο ποτὲ μὲν ἀληθὲς γίνεται τὸ τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα, ποτὲ δὲ ψεῦδος· ἀλλὰ διὰ παντὸς μένει ἀληθές· οὐδὲ γὰρ οἷόν τε τὰ παρὰ φύσιν ἰαθῆναι δι᾽ ἄλλης τινὸς ἰαμάτων ἰδέας. οὐ μὴν ἀεί γε βέλτιον ἰᾶσθαι πάντα τὰ παρὰ φύσιν, ἀλλ᾽ ὅταν μόνα τύχῃ καθ᾽ ἑαυτὰ συνιστάντα· μετ᾽ ἄλλων δ᾽ εἰ γένοιτο, πολλάκις ἕτερα χρὴ πρὸ ἐκείνων ἰᾶσθαι, καθάπερ ἐπὶ τῶν κοίλων ἑλκῶν, ὅταν ἅμα φλεγμονῇ συστῇ. μένει γὰρ καὶ νῦν ἀληθὲς τὸ ὑπὸ τῶν σαρκούντων αὐτὰ θεραπεύεσθαι· χρῆσθαι δὲ οὐχ οἷόν τε τοιούτοις, πρὶν ἰάσασθαι τὴν φλεγμονήν. ἀλλ᾽ ὁπότ᾽ ἄν γε ταύτην ἰώμεθα, τὸ ἕλκος τὸ κοῖλον οὐχ ὅπως ἑαυτοῦ κρεῖττον, ἀλλὰ καὶ κοιλότερον γίγνεται. κἂν εἰ βουληθείης δὲ χρήσασθαι τοῖς σαρ-

quod citra ullam noxam magnopere profit. Id accidit, ut dictum eft, ex implexu infidentium in corpore praeter naturam affectuum, una cum antecedentibus eos caufis et fequentibus fymptomatis.

Cap. XII. Nunquam tamen propterea praeceptum illud, *contrariorum contraria effe remedia,* aliquando verum erit, aliquando falfum; imo id perpetuo verum eft, nam fieri non poteft ut eorum quae praeter naturam fint quicquam per aliam ullam remediorum fpeciem curetur. Non tamen femper melius eft omnibus quae praeter naturam fint mederi, fed quum fola per fe confiftunt; nam fi cum aliis una incidant, aliis faepe eft ante illa medendum, ficut in cavis ulceribus, ubi ea fimul cum phlegmone funt conjuncta. Nam verum in his quoque manet quod per ea quae carne implent curantur; caeterum his uti prius quam phlegmonen curaveris non licet. Ac interim dum haec fanatur ulcus cavum adeo non melius quam fuit redditur, ut etiam fiat magis cavum. Quod fi farcoticis medicamentis uti

κωτικοῖς φαρμάκοις, οὔτε σαρκώσεις αὐτὸ καὶ τὴν φλεγμονὴν αὐξήσεις. τὰ γάρ τοι σαρκωτικὰ τῶν ἀφλεγμάντων σωμάτων, οὐ τῶν ἔτι φλεγμαινόντων, ἐστὶ σαρκωτικά. τοῦτο οὖν τὸ οὕτω μικρὸν ἐν τῇ λέξει, τὸ [259] τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα, μέγιστον εὑρίσκεται τῇ δυνάμει. συγχεῖται γὰρ ἡ θεραπευτικὴ μέθοδος ἅπασα τῷ περιδόντι τοῦτον τὸν σκοπὸν, ἁπάντων τῶν παρὰ φύσιν ὑπὸ τῶν ἑαυτοῖς ἐναντίων θεραπευομένων. διττῆς δὲ οὔσης αὐτῶν τῆς πρώτης διαφορᾶς, τὰ μὲν γὰρ ὑπάρχει καθ' ἑαυτὰ, τὰ δ' ἐν τῷ γίνεσθαι τὸ εἶναι λαμβάνει ταῖς διαθέσεσιν ἑπόμενα, δίκην σκιῶν, ἡ μὲν ἴασις ἀναίρεσίς ἐστι τῶν διαθέσεων, ἀκολουθεῖ δ' αὐτῇ ἡ τῶν συμπτωμάτων ἀναίρεσις. οἷς οὐδὲν αὐτοῖς προσάγεται πρώτως, ἀλλὰ κἀπὶ τούτων γε μένει τὸ καθόλου, τὸ τὰ ἐναντία τῶν ἐναντίων ὑπάρχειν ἰάματα· τὰς γὰρ διαθέσεις αἷς ἕπεται τὰ συμπτώματα θεραπεύοντες εἰς ἐναντίαν κατάστασιν ἄγομεν. ὥσθ' ὅσα συμπτώματα διὰ πύκνωσιν ἐγένετο πόρων, ὑπὸ τῆς ἀραιώσεως ἀναιρεθήσεται.

velis, neque carne ipfum impleveris et phlegmonen auxeris. Quae namque carne implent, ea demum implere poffunt, quae phlegmone vacant, non quae phlegmone adhuc funt oppreffa. Hoc itaque quod in dictione tam eft breve, nempe *Contraria contrariorum effe remedia*, poteftate deprehenditur maximum. Nam omnium medendi methodum confundet quifquis hanc indicationem neglexerit; quum omnia quae praeter naturam funt ab iis quae ipfis fint contraria curentur. Quum autem eorum, quae praeter naturam funt duplex prima differentia fit, aliis per fe fubfiftentibus, aliis in ipfo ut fic dicam fieri effentiam fuam habentibus ac umbrae ritu affectus comitantibus, fanatio quidem affectuum ipforum eft fublatio, hanc vero fymptomatum amotio fequitur. Quibus quamquam ipfis nihil prima ratione adhibetur, attamen in iis quoque perpetuum illud praeceptum manet, *Contraria contrariorum effe remedia*; quum enim affectus quos fymptomata fequuntur fanamus, fymptomata nimirum ipfa in contrarium ftatum perducimus. Quare quaecunque fymptomata exiguorum meatuum denfitas inve-

εἰ δὲ δὴ καὶ αὐτῷ τῷ συμπτώματι τῷ διὰ τὴν πύκνωσιν τῶν πόρων γιγνομένῳ, τουτέστι ταῖς ἐλάττοσι τῶν συμμέτρων ἀποῤῥοαῖς, ὅπερ ἐκαλέσαμεν ὀλίγον ἔμπροσθεν ἀδιαπνευστίαν, ἕτερον ἐθέλοις φάναι συμπτώματος εἶδος ἀντεισάγειν ἐναντίον, οὐδ᾽ οὕτως ἄπορος ὁ λόγος· εἰσὶ γὰρ αἱ πλείους τῶν συμμέτρων ἀπόῤῥοιαι ταῖς ἐλάττοσιν ἐναντίαι. ὥστε κἂν ἐν τοῖς συμπτώμασιν αὐτοῖς ἐθέλῃ τις λέγειν τὰ ἐναντία τῶν ἐναντίων ἰάματα, φυλάττεσθαι κἀπὶ τούτων τὸν πρῶτον ἁπάντων τῶν παρὰ φύσιν σκοπὸν τῆς ἰάσεως. ἄμεινον δ᾽, ὡς ἐλέγετο, τῶν ὄντως τε καὶ πρώτως θεραπευομένων ὑπολαμβάνειν τὰ ἐναντία εἶναι βοηθήματα, τουτέστι τῶν ἐν τῷ σώματι διαθέσεων, αἵπερ ὄντως εἰσὶν ὄντα. τὰς γὰρ ἐνεργείας αὐτῶν, ὥσπερ οὖν καὶ τὰς βλάβας, γινόμενα μὲν εἶναι φατέον, ὄντα δὲ ἁπλῶς οὐ ῥητέον. οὔτε γὰρ τὸ ἐκτείνειν οὔτε τὸ κάμπτειν τὴν χεῖρα τῶν ὄντων ἁπλῶς ἐστιν εἰπεῖν, ἀλλὰ τῶν γιγνομένων, οὔτε πολὺ μᾶλλον τὴν ἀκινησίαν αὐτῆς, ὅπερ καὶ αὐτὸ σύμπτωμά ἐστι τῆς ἐν τοῖς

xit, ea rarefactione tollentur. Quod fi ipfi quoque fymptomati quod ex denfitate fpiramentorum eft natum, id eft minori quam juftum fit excrementi effluxui, quod fane paulo fuperius adiapneuftiam vocavimus, fymptomatum genus aliud contrarium opponere velis, ne fic quidem defit quod dixeris; funt namque plura jufto defluvia, jufto paucioribus contraria. Adeo ficut in fymptomatis ipfis libet *Contraria contrariorum remedia* dicere, in iis quoque ftat immotus primus omnium, quae praeter naturam funt, curationis fcopus. Verum fatius eft, ut praediximus, eorum quae vere et primum curantur, id eft affectuum in corpore, qui vere funt fubfiftentes, contraria effe remedia exiftimes. Nam actiones eorum atque etiam laefiones, ut eas in ipfo, ut fic dicam, fieri effe dixeris, ita abfolute fubfiftere minime dixeris. Nam manum extendere aut flectere, ex iis quae abfolute funt, dici non poffunt, fed ex iis quae fiunt; multoque minus ipfius immobilitas, quae ipfa quoque fymptoma eft ejus qui in mufculis nervisve fubeft affectus; fed af-

Ed. Chart. X. [259.] Ed. Baf. IV. (156. 157.)

μένοιν ἢ τοῖς νεύροις διαθέσεως, ἀλλὰ τὴν μὲν διάθεσιν, ἕν τι τῶν ὄντων ὑπάρχουσαν, ἐναντίων δεῖσθαι βοηθημάτων, ἕπεσθαι δ' αὐτῇ λυομένῃ τὴν ἐναντίαν κατάστασιν, ἥπερ ἐστὶν ἡ ὑγεία· καὶ ταύτῃ πάλιν ἐνέργειάν τινα φύσεως, ἐναντίαν τῷ παυσαμένῳ συμπτώματι, μὴ μέντοι μηδ' ὑπὸ τῶν ὀνομάτων ἐξαπατᾶσθαι, πολλάκις μὲν ἐν ἑτέρῳ σχήματι λεγομένων ἢ ὡς τοῖς ἐναντίοις προσήκει, πολλάκις δ' ὅλως οὐκ ὄντων ὀνομάτων, ἀλλ' ἐξ αὐτῆς τῶν πραγμάτων τῆς φύσεως εὑρίσκειν τὸ ἐναντίον, ἔχοντά γε δὴ καὶ τούτου σκοπὸν ὁμολογούμενον, ὡς ἔστιν ἐναντία τὰ πλεῖστον ἀλλήλων διεστῶτα καθ' ἕν τι γένος. ἐννοήσας οὖν τὸ σύμμετρον ἐν ἐκείνῳ τῷ γένει, τοῦτο δ', ὡς πολλάκις ἐδείχθη, μέσον τῶν ἄκρων ἐστὶν, εὑρήσεις ἐντεῦθεν ἄπειρόν τι πλῆθος ἐναντίων πραγμάτων, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον ἀλλήλων διαφερόντων. ἐν μὲν γὰρ ταῖς διαθέσεσιν, αἱ οὕτως ἔτυχε, (157) τὴν συμμετρίαν τῶν πόρων, ἧς ἐφ' ἑκάτερα διττὰς ἀμετρίας ἀλλήλαις ἐναντίας· ἐν δὲ ταῖς ἐνεργείαις τὴν συμμετρίαν τῶν κενουμένων, ἧς καὶ αὐτῆς ἐστιν

fectum, qui ex fubfiftentium numero eft unus, contraria poftulare remedia dixeris. Hunc vero folutum contrarium fequi ftatum, quae fanitas eft; atque hanc rurfus quandam naturae actionem, quae fymptomati jam finito fit contraria. Sed nec nominibus falli, quae faepe alia forma proferuntur quam ut contrariis conveniat, faepe vero plane non funt, fed ex ipfa rerum natura contrarium invenire debes, habens quo pro illo difcernendo fpectes confeffum illud, *contraria effe quae fub uno genere plurimum inter fe diftent.* Ergo fi intellexeris in illo genere quod commoderatum eft, id vero eft, ut faepe monftravimus, quod inter extrema eft, medium, infinitam quandam contrariarum rerum multitudinem, quae majoris minorifque ratione inter fe diffideant, ex eo invenies. Siquidem in affectibus verbi gratia tenuium fpiramentorum fymmetriam intelligens, ex utraque parte duas ametrias inter fe contrarias *invenies*, in actionibus vero fymmetriam vacuatorum confiderans, ipfi quoque

ἑκατέρωθεν ἀμετρία. ἀλλὰ κατὰ μὲν τοὺς πόρους ὀνόματα κεῖται ταῖς ἀμετρίαις, πύκνωσίς τε καὶ μάνωσις, ἐν δὲ τοῖς κενουμένοις οὐ κεῖται. διόπερ ἀναγκαζόμεθα λέγειν ἐλάττους τε καὶ πλείους ἀποῤῥοίας, ὥσπερ εἰ καὶ τῶν πόρων ἀναγκαζοίμεθα τοὺς μὲν ἐλάττους τῶν κατὰ φύσιν, τοὺς δὲ μείζους λέγειν, οὐκ ἔχοντες οὔτε τὸ τῆς πυκνώσεως, οὔτε τὸ τῆς μανώσεως ὄνομα. τοῦτο οὖν ὡς ἔφην, ἐν τοῖς μάλιστα φυλακτέον ἡμῖν ἐστιν, [260] ἅμα δὲ καὶ γυμναστέον ἀμφ' αὐτὸ πρὸς τὸ ταχέως εὑρίσκειν δύνασθαι παντὸς τοῦ λεχθέντος οὕτω τὸ ἐναντίον. οὐ γὰρ ἐν τοῖς ποιοῖς σώμασιν μόνον, ἀλλὰ κἀν τοῖς ποσοῖς ἐστιν εὑρεῖν τὴν τοιαύτην ἐναντίωσιν, ἣν οἱ περὶ τὸν Ἀριστοτέλη καλοῦσιν ἀντίθεσιν, οὐκ ἐναντίωσιν. οὔτε γὰρ τὸ μέγα τῷ μικρῷ φασιν ὑπάρχειν ἐναντίον, ἀλλ' ἀντικείμενον ἐν τῷ πρός τι, οὔτε τὸ πολὺ τῷ ὀλίγῳ· κατὰ δὲ τὸν αὐτὸν τρόπον οὐδ' ἀραιὸν τῷ πυκνῷ, οὐδὲ τῷ συντεταμένῳ τὸ κεχαλασμένον, οὐδὲ τῷ κατὰ φύσιν αὖ τὸ παρὰ φύσιν. ἀλλὰ κατά γε τὸν Ἱπποκράτη πάντα τὰ τοιαῦτα τὴν τῶν ἐναντίων ἔχει προσηγορίαν, ὥσπερ γε καὶ κατὰ Πλά-

ex utraque parte ametria refpondet. Verum in parvis fpiramentis nomina exceffibus non defunt, nempe denfitas et raritas; in vacuatis pofita non funt. Eoque fit ut cogamur pauciores plurefque effluxus dicere, ut fi denfitatis raritatifque nomina non effent, fpiramentorum alibi plura jufto effe, alibi pauciora dicere cogeremur. Ergo, ficut diximus, hoc maxime cavere debemus, fimul etiam in eo nos exercitare, quo celerius cujufque fic dicti contrarium inveniamus. Non enim in corporum modo qualitate, verum etiam in quantitate ejufmodi contrarietatem invenias, quam utique Ariftoteles oppofitionem vocat, non contrarietatem. Neque enim magnum parvo vult effe contrarium, fed in eo quod ad aliquid dicitur oppofitum, neque multum pauco, fed eodem modo nec rarum denfo, neque laxatum contracto, neque ipfi quod fecundum naturam eft id quod praeter naturam eft. Verum Hippocrati omnia id genus contrariorum habent appellationem, ficuti etiam Platoni qui genera-

τωνα τὰς γενέσεις ἐκ τῶν ἐναντίων εἶναι φάσκοντα. δέδει- κται δέ μοι καὶ δι᾽ ἑτέρων ὅτι καὶ Ἀριστοτέλης αὐτὸς οὐκ ἐφύλαξε τὴν ἑαυτοῦ νομοθεσίαν ἐν τοῖς ὀνόμασιν, ἡνίκα τὰς ἀρχὰς τῶν ὑπὸ φύσεως διοικουμένων ὕλην ἔθετο καὶ εἶδος καὶ στέρησιν. ἀλλ᾽ ὅπερ ἀεὶ λέγομεν ἑπόμενοι τῷ θείῳ Πλάτωνι, καταφρονεῖν μὲν χρὴ τῶν ὀνομάτων, μὴ καταφρονεῖν δὲ τῆς τῶν πραγμάτων ἐπιστήμης. αὕτη μὲν γὰρ εἰς σωτηρίαν ἀν- θρώπων διαφέρει καὶ τὸ σφάλμα αὐτῆς εἰς ὄλεθρον τελευτᾷ. τοῖς δ᾽ ὀνόμασιν ἄν τε κυρίως ἄν τε ἀκύρως χρησώμεθα, τοῖς κάμνουσιν οὐδὲν οὔτε πλέον οὔθ᾽ ἧττον ἐκ τοῦ τοιούτου. μάθοις δ᾽ ἂν ἐναργέστερον, εἰ μὴ τὰ ἐναντία τῶν ἐναντίων, ἀλλὰ τὰ ἀντικείμενα λέγοις, ἧπερ ἐκείνοις φίλον, ἀλλήλων ὑπάρχειν ἰάματα. τὸ μὲν γὰρ πλῆθος ἡ κένωσις ἰᾶται, τὴν δ᾽ ἔνδειαν αἱ τροφαὶ, καὶ ὅλως τὸ μὲν ὑπερβάλλον ἡ ἀφαί- ρεσις, τὸ δ᾽ ἐλλεῖπον ἡ πρόσθεσις. ὅθεν, οἶμαι, καὶ δι᾽ ἑτέρου λέλεκται γράμματος ὀρθῶς τῷ παλαιῷ· ἰατρικὴ γάρ ἐστι πρόσ- θεσις καὶ ἀφαίρεσις· πρόσθεσις μὲν τῶν ἐλλειπόντων, ἀφαί- ρεσις δὲ τῶν πλεοναζόντων. ἐλλείπει δὲ καὶ πλεονάζει τὰ μὲν κατὰ τὸ ποσὸν δηλονότι, τὰ δὲ κατὰ τὸ ποιόν· κατὰ μὲν

tiones ex contrariis esse dicit. Ostensum quoque a me in aliis est, nec Aristotelem ipsum suam ipsius legem in nominibus servare, quo loco principia eorum quae natura reguntur materiam, formam et privationem statuit. Verum quod divinum Platonem sequuti semper testatur, *contemnere nomina oportet, minime autem scientiam rerum. Ea namque ad salutem hominum pertinet, errorisque in ea finis est pernicies.* Nominibus sive proprie sive improprie utare, aegrotis nihil inde magis minusve contingit. Intelligas id clarius, si non contrariorum contraria, sed quemadmodum illis placet, opposita sibi invicem esse remedia dicas. Siquidem copiam sanat vacuatio, inediam nutrimenta, in summa quod exsuperat ablatio, quod deficiens est adjectio. Itaque etiam in alio opere recte arbitror a sene dictum: *Medicina namque appositio est et detractio, deficientium quidem appositio, redundantium detractio.* Porro deficiunt redundantque quaedam in quantitate, quaedam in qualitate; in quanti-

τὸ ποσὸν, ὅταν αἷμα πλέον ἢ τοῦ δέοντος ἢ πάλιν ἔλαττον γένηται· κατὰ δὲ τὸ ποιὸν, ὅταν ἤτοι θερμὸν ἢ ψυχρὸν ἢ παχύτερον ἢ λεπτότερον. εἴτ᾽ οὖν ἐναντίωσιν εἴτ᾽ ἀντίθεσιν ὀνομάζειν ἐθέλοις, τοῦ ἐξ ἁπάντων τῶν παρὰ φύσιν σκοποῦ τῆς ἰάσεως ἀεὶ μέμνησο καὶ πρόσεχε τὸν νοῦν αὐτῷ, μάλιστα μὲν, ὡς εἴρηται πρόσθεν, ἐν ταῖς διαθέσεσιν, ἤδη δὲ κἀν τοῖς συμπτώμασιν· ὧν οὔτε πρώτως ἐστὶν ἴασις οὔτ᾽ ἐναντίωσις κυρίως, ἀλλ᾽ ἡ μὲν ἴασις ἅμα ταῖς διαθέσεσι κατὰ συμβεβηκὸς, ἐναντίον δὲ καταχρηστικῶς ὀνομαζόντων ἕνεκα σαφοῦς τε ἅμα καὶ συντόμου διδασκαλίας.

Κεφ. ιγ΄. Ἀνέλθωμεν οὖν αὖθις ἐπὶ τοὺς θεραπευτικοὺς σκοποὺς τοῦ προκειμένου γένους τῶν πυρετῶν, ἀναμνήσωμέν τε τὰ γένη τῶν παρὰ φύσιν ἐν ἡμῖν τῶν τε αἰτίων καὶ τῶν νοσημάτων καὶ τῶν συμπτωμάτων· αἰτίων μὲν τοῦ πλήθους καὶ τοῦ πάχους καὶ τῆς γλισχρότητος τῶν χυμῶν, αἰτίου δ᾽ ἅμα καὶ συμπτώματος τῆς κατὰ τὴν διαπνοὴν ἐπισχέσεως, ὥσπερ αὖ πάλιν αἰτίου τε ἅμα καὶ διαθέσεως

tate, quum fanguis plus aequo eft auctus aut rurfus minor redditus, in qualitate, quum vel calidus vel frigidus vel craffior vel tenuior eft *effectus*. Sive igitur contrarietatem five oppofitionem nominare volueris, ejus indicationis medendi, quae ab omnibus quae praeter naturam funt praebetur, femper meminiffe debebis eique effe intentus; potiffimum quidem ut dictum prius eft in affectibus; fed tamen et in fymptomatis, quamvis horum nec primum curatio fit nec proprie contrarietas, fed curatio quidem fimul cum affectibus ex accidenti, contrarietas vero lucidioris breviorisque doctrinae caufa loquentibus abufive.

Cap. XIII. Verum ad medendi indicationes propofiti nobis febrium generis revertamur; repetamufque fingula genera, quae in nobis praeter naturam funt non caufarum modo, verum etiam morborum et fymptomatum. Et caufarum quidem *genera* funt multitudo et craffitudo et lentor humoris. Caufa fimul et fymptoma eft tranfpirationis fuppreffio. Simili modo caufa pariter et affectus eft ipfa

τῆς σήψεως, νοσήματος δὲ τῆς ἐμφράξεως καὶ τοῦ πυρετοῦ, συμπτώματος δὲ τῆς ἐπισχέσεως τῆς διαπνοῆς. ἐνδείξεται τοιγαροῦν, ὡς ἐλέχθη, τῶν μὲν προηγουμένων αἰτίων ἕκαστον ἴδιόν τι· τὸ μὲν πλῆθος ἐν τῷ πρός τι κατὰ τὴν τοῦ ποσοῦ προσηγορίαν τὴν κένωσιν, ἡ δὲ γλισχρότης καὶ τὸ πάχος [261] κατὰ τὴν τοῦ ποιοῦ διάθεσιν ὑπάρχοντα τὴν διὰ τῶν ἐναντίων ἴασιν. ἅτε δὲ οὐκ ὄντων ἐν ταῖς πλείσταις ἀντιθέσεσι συνηθῶν ὀνομάτων, ἀπατᾶσθαι συμβαίνει τοὺς ἀγυμνάστους τὴν περὶ τῶν πραγμάτων ἐπιστήμην, ὅταν ὀνομάσαι μιᾷ προσηγορίᾳ μὴ δυνηθῶσι τὸ νοούμενον, ὡς οὐδ᾽ ὅλως ὄντος ἀφισταμένους· ὅπερ ἀμέλει καὶ κατὰ τοὺς γλίσχρους καὶ παχεῖς χυμοὺς πεπόνθασιν. ὁ μὲν γὰρ παχὺς χυμὸς ἀντικείμενον ἔχει τὸν λεπτὸν, ὁ δὲ γλίσχρος, ὡς μὲν ἐγὼ πρῶτον ὠνόμασα, τὸν ῥυπτικὸν, ὡς δ᾽ ἄν τις ἴσως ἀπὸ στερεῶν σωμάτων ὁρμώμενος φαίη, τὸν κραῦρον. οὕτω γὰρ φαίνεται καὶ ὁ Ἀριστοτέλης ἀεὶ ποιούμενος τὴν ἀντίθεσιν· ἀλλ᾽ οὐκ ἐπὶ τῶν χυμῶν, ὡς ἔφην, ἀλλ᾽ ἐπ᾽ αὐτῶν τῶν στερεῶν σωμά-

putredo. Morbus vero tum obstructio tum ſebris ipſa. Symptoma vero eſt ipſa tranſpirationis ſuppreſſio. Ergo indicabit, ut dictum eſt, antecedentium cauſarum quaelibet proprium aliquid; multitudo ipſa quae ex eorum eſt numero quae ſunt ad aliquid in praedicamento quantitatis, vacuationem; lentitia vero et craſſitudo, quae ſunt in qualitatis affectu ſanationem, quae per contraria perſiciatur. Quum vero in pleriſque oppoſitionibus conſueta nomina non ſint, accidit ut qui in rerum ſcientia minus ſunt exercitati fallantur; quum enim uno nomine nequeunt quod animo concipiunt nominare, id ceu prorſus non ſit dimittunt; quemadmodum profecto in glutinoſis et craſſis humoribus faciunt. Nam craſſus humor ex adverſo oppoſitum habet tenuem; glutinoſus vero, ſicut ipſe primus nominavi, rhypticon, *id eſt deterſivum;* ſicuti vero aliquis dixerit qui a ſolidis corporibus nominandi occaſionem acciperet, friabile. Siquidem hoc pacto ſemper videtur Ariſtoteles oppoſitionem facere; verum non in humoribus, ut dixi, ſed in ſolidis ipſis

των. εἰ δὲ νοήσαις τοῦ γλίσχρου χυμοῦ τὴν φύσιν, ὡς παντὸς τοῦ ψαύσαντος ἀντέχεται δυσλύτως, εἰκότως, οἶμαι, τὸν μὴ συμπλεκόμενον ἀποῤῥύπτοντά τε τοὺς συμπλεκομένους ἐναντίον εἶναι φήσεις αὐτῷ. κατὰ γοῦν τὰ προηγούμενα τῶν αἰτιῶν αἱ ἀντιθέσεις αὐτάρκως εἴρηνται· κατὰ δὲ τὴν ὀργανικὴν νόσον, ἥπερ ἐστὶν ἔμφραξις, τὸ ἐναντίον ταύτῃ ἡ ἔκφραξις ὑπάρχει· κατὰ δὲ τὸ σύμπτωμα τὸ τῆς ἐποχῆς τῶν διαπνεομένων ἡ ἔκκρισις αὐτῶν ἐστι τὸ ἐναντίον· κατὰ δὲ τὴν σηπεδόνα τῶν χυμῶν ἥ τε ἔκκρισις καὶ ἡ ἀνάψυξις καὶ ἡ ῥίπισις καὶ ἡ τῶν ἡμισαπῶν πέψις· αὐτῶν δὲ τῶν πυρετῶν ἡ ἀντίθεσις ψύξις ἐστίν. ἐξ ὧν δ' ἄν τις μεθόδῳ εὕροι τὴν ἐργαζομένην ἕκαστον τῶν εἰρημένων ὕλην ἤδη εἴρηται. μαχομένων οὖν αὐτῶν, ὥσπερ ἐλέγομεν, ἄλλοτ' ἄλλη κρατεῖ τῶν ἐνδείξεων τε καὶ ὑλῶν. καὶ κατὰ τοῦτο τινὲς ἀγνοήσαντες ὡς ἀφ' ἑκάστου τῶν ὄντων ἔνδειξίς ἐστιν ἀεὶ μία, καὶ ὡς εἰ μὲν εἴη τῶν παρὰ φύσιν τι τὸ ἐνδεικνύμενον, ἡ ἔνδειξις αὐτοῦ τὸ ἐναντίον ἐστὶν, εἰ δὲ τῶν κατὰ φύσιν, οὐ τὸ ἐναντίον, ἀλλὰ τὸ ὅμοιον, οὐκ ἠδυνήθησαν οὔτε θε-

corporibus. Quod fi glutinofi humoris naturam fub ea ratione intelligas, quod quicquid tetigerit, huic aegre folubilis adhaeret, non immerito, arbitror, eum qui nec adhaeret et ea quae adhaerent deterget, contrarium ipfi ftatues. Et antecedentium quidem caufarum contrarietates abunde funt dictae. In organico vero morbo quod eft obftructio, contrarium ei eft deobftructio; fymptomati vero quod eft tranfpirabilium retentio, excretio ipforum contrarium eft; at vero in humorum putredine et excretio et refrigeratio et ventilatio et femiputridorum concoctio ex adverfo refpondent; ipfius vero febris refrigeratio et oppofitio eft. Porro quibus methodis materiam quae fingula modo memoratorum perficiat invenias jam diximus. Pugnantibus igitur his, ficut diximus, alias aliae tum indicationes vincent tum materiae. Indeque factum eft ut quidam, quum ignoraffent unam femper dari ex re quaque indicationem, ac fi praeter naturam fit quod indicet, contrarium id femper indicare; fin fecundum naturam fe habeat, non contrarium fed fimile; nec

ραπευτικὴν οὔτε ὑγιεινὴν συστήσασθαι μέθοδον. ὅπου γὰρ ἐν τοῖς πρώτοις ἐσφάλησαν σκοποῖς, πολὺ δήπου μᾶλλον ἔμελλον ἐν τοῖς μετ᾽ αὐτοὺς σφαλήσεσθαι. χρὴ γάρ, οἶμαι, τὰ θεμέλια τοῖς οἰκοδομήμασιν ἰσχυρὰ προκαταβεβλῆσθαι, καὶ τὴν τρόπιν τοῖς σκάφεσιν, εἰ μέλλει τι τῶν ἐπ᾽ αὐτοῖς οἰκοδομουμένων τε καὶ πηγνυμένων ἀσφαλὲς γενήσεσθαι· ὅπου δ᾽ ἂν ἐξ ἀρχῆς εὐθὺς ἡ πρώτη κρηπὶς σαθρὰ συμπαγῇ, τίς μηχανὴ τῶν ἐπ᾽ αὐτῇ τι γενήσεσθαι μὴ σαθρόν; ἐπεὶ τοίνυν τῶν κατὰ τὴν προκειμένην στέγνωσιν συνόχων, οὐ γὰρ ὀκνητέον αὖθις καὶ αὖθις ἀναλαμβάνειν τὸν λόγον, ὑπὲρ τοῦ μαθεῖν τοὺς πολλοὺς τῶν ἰατρῶν κἂν νῦν γοῦν τὴν ἀληθῆ μέθοδον, ἑπτὰ μὲν ὑπέκειτο τὰ παρὰ φύσιν, ἀφ᾽ ὧν αἱ ἐνδείξεις, πλῆθος χυμῶν καὶ πάχος καὶ γλισχρότης ἔμφραξίς τε καὶ τῶν ἀναπνεομένων ἐπίσχεσις καὶ σῆψις καὶ πυρετὸς οὐκ ἔχων διάλειμμα· καὶ ταῦτ᾽ ἐνεδείκνυτο πάντως τὸ ἐναντίον. ἔξωθεν δ᾽ αὐτῶν ἔνδειξις ἀπὸ τῶν κατὰ φύσιν ἐκ τῆς κράσεως τοῦ τε (158) νοσοῦντος

medendi hi nec sanitatis tuendae methodum constituere potuerint. Siquidem quum in primis ipsi indicationibus sunt lapsi, multo profecto magis in iis quae sequuturae erant decipi debebant. Debent enim, arbitror, aedificiis fundamenta jaci firma et scaphis poni idonea carina, siquid aedificandorum pangendorumque in iis futurum est firmum; ubi enim prima ipsa basis statim ab initio debilis fuit, qui fieri potest ut quod superstruxeris futurum infirmum non sit? Itaque quoniam in continentibus ex proposita stipatione febribus, neque enim gravari debemus iterum atque iterum sermonem repetere, quo nunc saltem medicorum vulgus veram methodum condiscat, quoniam *inquam* septem praeter naturam posita sunt a quibus indicationes sumuntur, humorum multitudo crassitudo, lentor, obstructio, transpirationis suppressio, putredo et febris carens intermissione, atque haec contraria omnino esse adhibenda docebant. Praeter haec vero ab iis quae secundum naturam se habebant positae indicationes sunt ex temperamento tum ipsius labo-

μορίου καὶ τῶν ἄλλων ἁπάντων τῶν κυρίων ἐκ τοῦ ποσοῦ τῆς οὐσίας αὐτῶν καὶ ἐκ τοῦ ποσοῦ τε καὶ ποιοῦ τῆς τοῦ πνεύματος οὐσίας· αἱ δὲ ἀπὸ τούτων ἐνδείξεις οὐ τῶν ἐναντίων ἦσαν, ἀλλὰ τῶν οἰκείων· εἰς δὲ τὴν διάγνωσιν αὐτῶν, ὡς ἐλέγομεν, ἥ θ' ἡλικία καὶ τὸ ἔθος ἅπαντά τε τὰ προκατάρξαντα τῆς νόσου συντελεῖ· προερχομένων δὲ κἀντεῦθεν ἐνδείξεων οὐκ ὀλίγων, εἰς ἁπάσας χρὴ βλέπειν ἅμα τὸν ἰατρὸν, ἵν' ἐξεύρῃ τίνι μὲν πρῶτον καὶ μᾶλλον, τίνι δ' ἧττόν τε [262] καὶ δεύτερον, τίνι αὖθίς τε καὶ τρίτον καὶ οὕτως ἐφεξῆς ἄλλῳ μετ' ἄλλο χρήσεται βοηθήματι.

Κεφ. ιδ'. Τῶν μὲν γὰρ δυνάμεων ἰσχυρῶν ὑπαρχουσῶν τοῦ τὸν ἐπὶ σηπεδόνι πυρετὸν πυρέττοντος, ὡς ὑπόκειται, φλεβοτομητέον αὐτίκα χωρὶς ἀπεψίας τῆς κατὰ γαστέρα τοῦ νοσήματος ὑπαρξαμένου. τῆς δυνάμεως δὲ ἀσθενεστέρας οὔσης, ἢ τῆς ἡλικίας κωλυούσης, οὐ χρὴ τέμνειν φλέβα. λέλεκται δ' ἔμπροσθεν ὡς οὐδὲ συνεισβάλλει τῷ τοιούτῳ πυρετῷ δύναμις ἄῤῥωστος· εὐεκτικῶν τε γάρ ἐστι σωμάτων καὶ ἡλικίας θερμῆς ὁ σύνοχος πυρετὸς οἰκεῖος. ἀλλ'

rantis partis tum reliquarum omnium principum, ex fubftantiae ipfarum quantitate et ex fpiritus ipfius fubftantiae tum quantitate tum qualitate; horum vero indicationes non contrariorum erant, fed fimilium: ad ifta vero, ficut diximus, dignofcenda tum aetas tum confuetudo tum omnes quae externae morbi caufae fuere, contulerunt; utique ortis hinc quoque indicationibus non paucis, omnes profecto infpicere fimul medicum decet, quo intelligat quonam primum ac magis, quonam minus et fecundo, quonam adhuc et tertio, atque ita deinceps quo alio poft aliud praefidio fit utendum.

Cap. XIV. Enimvero fi vires febricitantis ex putredine, ut pofitum eft, accenfa febre valentes fint, vena ftatim fecanda eft, citra cruditatem ventris ftatim morbo incipiente. Sin vires infirmae fint aut aetas prohibeat, incidenda vena non eft. Porro dictum fupra eft, ejufmodi febrem in vires imbecillas non incidere; quippe fynochos bene habiti corporis ac calentis aetatis propria eft. At fi in

ἐὰν ἐν παιδίῳ γένηται μήπω τεσσαρεσκαιδέκατον ἔτος ἄγοντι, φλεβοτομεῖν οὐ προσήκει, διότι τοῖς τηλικούτοις γε θερμοῖς καὶ ὑγροῖς οὖσι καθ' ἑκάστην ἡμέραν ἀποῤῥεῖ καὶ διαφορεῖται πάμπολυ τῆς τοῦ σώματος οὐσίας. ὥσθ' ὅπερ ἂν ἐκ τῆς φλεβοτομίας ἐμηχανησάμεθα, τοῦτ' αὐτόματον ἐκ τῆς τοῦ θεραπευομένου σώματος ὑπάρχει φύσεως. εἰ δ' ὑπὲρ τεσσαρεσκαιδέκατον ἔτος εἴη τὸ σῶμα, σκεπτέον αὐτοῦ τὴν σχέσιν ὁποία τίς ἐστιν, ἆρ' ἰσχνὴ καὶ πυκνὴ καὶ σκληρὰ καὶ πολύαιμος ἢ τἀναντία· καὶ οὕτως ἐπὶ μὲν τῇ προτέρᾳ παραλήψῃ τὴν φλεβοτομίαν, ἐπὶ δὲ τῆς δευτέρας οὐκέτι. καὶ μὲν δὴ καὶ τὸ μέτρον σοι τῆς κενώσεως ἐκ τῶν αὐτῶν σκοπῶν λαμβανέσθω. καὶ γὰρ εἰ τριακονταετὴς μὲν ὁ φλεβοτομούμενος εἴη, πλαδαρός τε καὶ μαλακὸς καὶ πιμελώδης καὶ λευκὸς καὶ μικρὰς ἔχων τὰς φλέβας, ἤτοι γ' οὐδ' ὅλως φλεβοτομήσεις αὐτὸν ἢ ὀλίγον ἀφαιρήσεις· οὐδ' ὅλως μὲν ἐν ὥρᾳ θερινῇ καὶ πνιγώδει χωρίῳ, θερμῆς καὶ ξηρᾶς οὔσης τῆς καταστάσεως, ὀλίγον δ' ἐν ταῖς ἄλλαις ὥραις καὶ χώραις καὶ καταστάσεσιν. εἰ μὲν γὰρ μήτ' ἔμφραξις ὑπέκειτο μήτε σηπεδὼν, ἀλλὰ μόνον ἦν

puerum incidat, qui quartum decimum annum hactenus non attigit, illi venae fectio non convenit propterea quod tantillis, quum calidi ac humidi fint, plurimum corporis fubftantiae quotidie defluat ac difcutiatur. Ita quod ex incifione venae moliendum nobis fuerat, id ultro nobis ex curati corporis natura praeftatur. Quod fi corpus quartumdecimum annum exceflerit, aeftimandum eft qualisnam ejus habitudo fit, num gracilis et fpiffa et dura et copiofi fanguinis, an contraria; atque ita in priori miffionem fanguinis adhibebis, in fecunda nequaquam. Quin etiam modus vacuandi fanguinis ex iifdem fcopis fumetur. Si enim cui fanguis mittitur, tringinta annos natus fit, fed laxus et mollis, pinguis et albus ac gracilibus venis, huic aut plane fanguinem non mittes, aut parum detrahes. Et omnino quidem non mittes in tempore aeftatis et regione aeftuofa et coeli ftatu calido ac ficco; parum detrahes in reliquis tum anni temporibus tum regione tum coeli ftatu. Etenim fi neque obftructio fubeffet nec putredo, fed fola humorum redun-

τὸ πλῆθος τῶν χυμῶν, εὐθὺς ἂν ἐπὶ τῇ φλεβοτομίᾳ κατὰ φύσιν ἔσχεν. ὥστε ἀφαιρεῖν ἦν προσῆκον ἐν ἁπάσῃ κράσει σώματος καὶ πάσῃ χώρᾳ καὶ ὥρᾳ καὶ καταστάσει τοσοῦτον τῶν χυμῶν ὅσον ὑπὲρ τὸ κατὰ φύσιν ηὔξητο. ἐπεὶ δ᾽ οὔτε τὴν ἔμφραξιν οὔτε τὴν σηπεδόνα δυνατόν ἐστι θεραπεῦσαι διὰ τῆς φλεβοτομίας, ἑτέρων δεομένας βοηθημάτων, ὡς ἔμπροσθεν ἐδείκνυμεν, ἀποθέσθαι χρή τι τοῦ αἵματος εἰς τὸν τῆς θεραπείας χρόνον, ὅπως μήποτ᾽ ἀνάγκη καταλάβῃ τις ἡμᾶς ἀκαίρως τρέφειν. ὅσον μὲν γὰρ ἐπὶ τοιούτῳ πυρετῷ θρεπτέον οὐδ᾽ ὅλως ἐστίν. ἐδείχθη γάρ σοι καὶ πρόσθεν ὁ ἀπὸ τῆς δυνάμεως σκοπὸς μόνος, ἐνδεικνύμενος τὴν τροφήν· ὅσον δ᾽ ἐπὶ τῷ κεκενῶσθαι τὸ σῶμα δεήσει τρέφειν. ὥστ᾽ ἀναγκαῖον ἔσται δυοῖν θάτερον, ἢ τρέφοντα τὸν πυρετὸν αὐξάνειν, ἢ μὴ τρέφοντα καταλύειν τὴν δύναμιν. ἄμεινον οὖν, ὡς εἴρηται, καταλιπεῖν τι τοῦ αἵματος, οἰκείαν τροφὴν τοῖς τοῦ ζώου μορίοις· αὐτὸν δ᾽ ἀρκεσθῆναι προσφοραῖς ὀλιγίσταις ῥοφημάτων καὶ ποτῶν,

dantia, protinus a miffione fanguinis pro naturae fuae ratione fe haberet. Itaque tantum humorum in omni tum corporis temperamento tum regione tum anni tempore tum ftatu coeli detrahi par erat, quantum fupra naturalem ftatum fuerat inauctum. Verum quoniam nec obftructio nec putredo curari per fanguinis miffionem poteft, ut quae alia remedia, ceu prius eft monftratum, defiderent, reponi fanguinis aliquid ad curationis fpatium debebit, quo minus intempeftive nutrire neceffitate ulla cogamur. Quantum namque ad ejufmodi pertinet febrem, prorfus nutriendum non eft; fiquidem oftenfum tibi prius eft folum qui a viribus fumitur fcopum nutrimentum indicare. At vero quantum ad id quod inanitum corpus eft, nutrire oportet. Ita neceffum eft duorum alterum, aut febrem, fi nutrias, augere; aut vires, fi non nutrias, dejicere. Satius itaque fuerit, ut dictum eft, aliquod fanguinis, quod proprium partibus animalis nutrimentum fit relinquas, ac ipfe pauciffimas forbitiones potionefque exhibere fis contentus; quibus utique

ὧν ὡς φαρμάκων μᾶλλον ἢ τροφῶν χρήζομεν. ἐδείχθη γάρ σοι καὶ περὶ τοῦδε πρόσθεν, ὅθεν οὐ χρὴ μηκύνειν ἔτι περὶ αὐτῶν.

Κεφ. ιε΄. Ἀλλὰ καὶ περὶ καταπλασμάτων τε καὶ περὶ τῆς τῶν ὑποχονδρίων αἰονήσεως λεκτέον. ὁ μὲν γὰρ πολὺς ὅμιλος [263] τῶν ἰατρῶν ἕν τι καὶ τοῦτο τῶν ἐκ τοῦ νόμου τῆς ἀμεθόδου θεραπείας ἔθετο. καὶ πάντας ὥσπερ τρέφουσι μετὰ τὴν διάτριτον, οὕτω καὶ προκαταντλοῦσιν ἐλαίῳ, κἄπειτα μίαν ὑπερβαλόντες αὖθις τρέφουσι προκαταπλάττοντες, εἰ δέ που γαστὴρ ἐπισχεθείη, καὶ κλύζοντες· ὥστε τό γε κατὰ τούτους ὥρᾳ μιᾷ δύνασθαι μαθεῖν τινα τέχνην διαιτητικήν. οὐ μὴν ὧδ' ἔχει τἀληθές. ἀλλ' ὅλης οὔσης μεγάλης τῆς τέχνης ἕν τι τῶν μερῶν αὐτῆς οὐ τὸ φαυλότατόν ἐστιν ἐπιστήμη διαίτης, ἥτις ἐκ τούτων μάλιστα συμπληροῦται τῶν βοηθημάτων, τροφῶν καὶ πομάτων ἐπιβροχῶν τε καὶ καταπλασμάτων καὶ κλυστήρων. ἡ γάρ τοι φλεβοτομία κατὰ τὴν ἀρχὴν καὶ αὐτὴ μόνη πρὸς τῶν αὐτῶν ἰατρῶν παραληφθεῖσα τὴν ἐφεξῆς ἅπασαν ἴασιν τοῦ νοσοῦντος ἐπιτρέπει τῇ διαίτῃ.

ceu medicamentis potius quam nutrimentis egemus. Nam id quoque fupra, quo minus multa de iisdem adhuc loquamur, eft oftenfum.

Cap. XV. Imo de cataplafmatis ac praecordiis perfundendis eft loquendum. Quippe multa medicorum turba unum quiddam, idque ex curationis a methodo abhorrentis fanctionibus ftatuit. Omnefque ut poft tertium diem nutriunt, ita etiam oleo prius perfundunt. Inde uno die interpofito rurfum nutriunt, cataplafma prius imponentes; quod fi cui alvus eft adftricta, etiam hanc clyftere ducentes. Itaque his faltem auctoribus ordinandi victus artem una hora quis didicerit. Verum non ita fe vera res habet, fed quum ars ipfa tota fit magna, non leviffima ejus pars eft fcientia ordinandi victus. Quae ex his maxime remediis conftituitur, cibo, potione, perfufione cataplafmatis et clyfteribus. Quippe iidem medici, quum fanguinis miffionem in principio etiam folam adhibuerint, reliquam omnem aegri

μιᾶς οὖν ὥρας, ὡς ἔφην, ἐστὶν ἡ μάθησις τῆς διαίτης αὐτῶν. εἰ δ᾽ ὁ μανθάνων εἴη συνετὸς οὐδὲ ταύτης ὅλης, ἀλλ᾽ ὀλιγοστοῦ μέρους αὐτῆς, ἐν ᾧ τούτων τῶν νῦν λεχθησομένων ἀκοῦσαι δυνατόν ἐστιν. ἅπαντας τοὺς πυρέττοντας ἐν ἀρχῇ μὲν φλεβοτομήσεις, ἐὰν ἰσχυροὶ τὴν δύναμιν ὦσι· καταντλήσας δ᾽ ἐλαίῳ μετὰ τὴν διάτριτον, ἤτοι μελικράτῳ μετὰ χόνδρου θρέψεις ἢ ῥοφήματι. κἄπειθ᾽ ἑξῆς τρέφε παρὰ μίαν, ἀρτομέλιτι προκαταπλάττων. εἰ δ᾽ ἐπισχεθείη ποτὲ ἡ γαστὴρ, ὑπάγειν αὐτὴν κλυστῆρι. τὴν μὲν οὖν ἐκείνων διαιτητικὴν τέχνην ἤδη σύμπασαν ἀκήκοας ἐν τοῖσδε τοῖς ῥήμασιν, οὐκ ἐν ἓξ μησὶν, ἀλλ᾽ ἐν ἓξ στίχοις. τὴν δ᾽ ὄντως διαιτητικὴν ἑξῆς ἄκουσον. θερμαίνειν ὑποχόνδρια καταπλάσμασιν ἢ αἰονήσεσιν οὐ διὰ παντὸς ἀσφαλὲς, ἀλλ᾽ ἐπ᾽ ἐκείνων μόνων τῶν ἀῤῥώστων, ἐφ᾽ ὧν οὐκέτ᾽ ἀλᾶται περιττὸν ἐν ὅλῳ τῷ σώματι. τοῖς δ᾽ ἄλλοις ἅπασι κακὸν ἔσχατον. ἐάν τε γὰρ ᾖ πλῆθος ὁποτερονοῦν, εἴτε τὸ πρὸς τὴν δύναμιν εἴτε πρὸς τὴν εὐρυχωρίαν τῶν ἀγγείων, ἐάν τε περιττώματα μοχθηρὰ κατά τι μόριον ἓν ἢ καὶ πλείω, ταῦθ᾽ ἕλκεται πάντα πρὸς

curationem victui mandant. Itaque, ut dixi, unius horae eft victus eorum difciplina; quod fi qui difcit ingenio valeat, ne hujus quidem integrae, fed minimae ejus partis in qua quae nunc dicam audiffe licuerit. Qui febricitant fi valentes viribus fint, omnibus fanguinem ab initio mittes, perfufofque oleo poft tertiae acceffionem vel mulfa cum alica nutries vel forbitione. Deinceps vero alternis cibabis diebus, fed cataplafma ex artomelite prius imponens. Sicubi vero alvus adftricta fuerit, clyftere hanc duces. Atque illorum quidem univerfam ordinandi victus artem in his verbis jam audifti, non utique in fex menfibus, fed fex verficulis. Veram autem diaeteticen nunc audies. Calefacere praecordia cataplafmatis aut perfufionibus non eft perpetuo tutum, fed in iis tantum aegris quibus in toto corpore nullam errat excrementum; caeteris omnibus extrema eft pernicies. Nam five redundantia utravis fit, vel quae ad vires vel quae ad vaforum continentiam comparatur; five etiam in una parte pluribusve vitiofa excrementa fint,

τὸ θερμαινόμενον. ἐθεάσω γοῦν οὐκ ὀλιγάκις ἀφλέγμαντα τελέως ὑποχόνδρια κατὰ τέσσαρας ἡμέρας ἀρχομένων αἰονᾷν αὐτὰ τῶν ἀγελαίων ἰατρῶν φλεγμήναντα, αὐτὸ τοῦτό σοι δείξαντος ἐμοῦ καὶ κελεύσαντος ἀκριβῶς προσέχειν τὸν νοῦν τῇ μελλούσῃ γενήσεσθαι φλεγμονῇ. ἐφ᾽ ὧν καὶ μάλιστα ἔγνως ἡλίκον ἐστὶ κακὸν ἄλογος τριβή. διὰ παντὸς γὰρ αὐτοὶ γεννῶντες τὰς φλεγμονὰς ἐξ ὧν πράττουσιν οὐ γινώσκουσιν, ἀλλ᾽ ἀεὶ τοῖς αὐτοῖς ἁμαρτήμασι περιπίπτουσιν, ὥσπερ Ἱπποκράτης ἔλεγε, τοὺς ἔνθεν τε καὶ ἔνθεν ἐπιδοῦντας τὰ μεθ᾽ ἕλκους κατάγματα. καὶ γὰρ κἀκεῖνοι φλεγμονὰς ἐργαζόμενοι κατὰ τὸ ἕλκος ὅμως οὐκ ἐπαύοντα, νομίζοντες οὐ τὴν ἐπίδεσιν αἰτίαν ὑπάρχειν, ἀλλ᾽ ἄλλην τινὰ ἀποτυχίαν. πῶς δ᾽ ἂν καὶ μετέβησαν ἐφ᾽ ἕτερον ἰάσεως τρόπον οἱ τὴν ἄλογον πρεσβεύοντες τριβὴν, ἀφ᾽ ὧν αὐτοί τε διὰ παντὸς εἰθίσθησαν οὕτω πράττειν, τούς τε διδασκάλους ἐθεάσαντο πρὸ αὐτῶν; οὐδὲν γὰρ οὐδ᾽ ἐπιχειρεῖν ἀξιοῦσιν οἱ τοιοῦτοι δι᾽ ἐνδείξεως λαμβάνειν, ἀρκούμενοι μόνῃ τῇ πείρᾳ. ἀλλ᾽ Ἱπποκράτης ἀπὸ

omnia ad partem calefactam trahuntur. Quoties enim vidisti praecordia, quum plane phlegmone carerent, intra quatuor dies quam ea gregales illi medici perfundere coepissent, phlegmonen contraxisse, quum ego etiam id ipsum tibi praedixissem, jussissemque diligenter ad phlegmonen futuram attentus esses. In quibus id maxime intellexisti, quantum malum sit usui qui alienus a ratione sit insuescere. Quippe hi quum ex iis quae ipsimet faciunt phlegmonas semper excitent, id non animadvertunt, sed iisdem semper erroribus implicantur, veluti Hippocrates iis accidere dixit qui hinc et inde ossium fracturas cum ulcere deligabant. Etenim illi, quum phlegmonas in ulcere crearent, non tamen destiterunt, rati id adeo non ex deligatura, sed alio quopiam errore incidisse. Et quomodo, quaeso, ad aliam curationis rationem se transtulissent, qui usum sine ratione profitebantur ex iis quae tum ipsi semper facere essent assueti, tum praeceptores suos ante se facere contemplati? siquidem hujus generis *homines* ne tentandum quidem censent, ut ex indicatione quicquam sumant, sed sola experientia sunt con-

*τῆς τοῦ πράγματος ὁρμηθεὶς φύσεως ἐξεῦρε τρόπον ἰάσεως ἐπιτήδειον. οὗ λοιπὸν εἰς πεῖραν ἐλθόντος ἐγνώσθη πόσον ὁ πρότερος ἐσφάλλετο. καὶ τοίνυν εἴ τις ἐθελήσειεν ἐπὶ τῶν τοιούτων διαθέσεων ἀποστὰς καταπλασμάτων τε καὶ τῆς δι᾽ ἐλαίου καταντλήσεως, ἐπὶ (159) τὴν ἐκ τοῦ λόγου διδασκομένην ἀφικέσθαι θεραπείαν, οὐ χαλεπῶς ἂν οὐδ᾽ αὐτὸς τῇ πείρᾳ κρίνειε πηλίκον ἁμαρτάνουσιν οἱ οὕτω θεραπεύοντες τά τε πληθωρικὰ καὶ τὰ μὴ καθαρὰ σώματα. συμβαίνει δ᾽ ἐν τοῖς τοιούτοις νοσή[264]μασι τοὺς πλουσίους μᾶλλον τῶν πενήτων κακῶς θεραπεύεσθαι. ἀμφότερα γὰρ ἐπ᾽ αὐτῶν ἁμαρτάνεται διὰ τὴν τρυφὴν οὐκ ὀλιγάκις, ἥ τε τῆς φλεβοτομίας ἔνδεια καὶ ἡ περιττοτέρα δῆθεν ἐπιμέλεια τῶν ἰατρῶν, ὡς καθ᾽ ἑκάστην τι πράττειν ἡμέραν ἐπὶ τῷ τοῦ κάμνοντος σώματι. κατ᾽ ἀρχὰς μὲν οὖν ὑπὸ τρυφῆς οὐκ ἀνέχονται τῆς φλεβοτομίας οἱ πλείους αὐτῶν, καίτοι μᾶλλον τῶν πενήτων ἁλισκομένοι ταῖς πληθωρικαῖς διαθέσεσιν, ὡς ἂν καὶ μᾶλλον ἐμπιπλάμενοι καὶ βιοῦντες ἀργότερον. οἱ θεραπεύοντες δ᾽ αὐτοὺς ἰατροὶ, διότι παραλέλειπται μέγιστον βοήθημα τῇ διὰ*

tenti. At Hippocrates ab ipfa rei natura idoneum curationis modum invenit. Quo poftea in ufum veniente cognitum eft quantus effet in priori error. Quin fi quis in ejufmodi affectibus, cataplafmatis et perfufione ex oleo relictis, velit ad curationem quam ratio docet accedere, ipfe quantopere aberrent qui plethorica et impura corpora fic curant, haud magno negocio experientia ipfa indicabit. At accidit ut in ejusmodi morbis divites potius quam pauperes perperam curentur. In his enim propter ipforum delicias duplex peccatum non raro committitur et quod fanguis non mittatur et quod a medicis impenfior adhibeatur diligentia, ut quotidie aliquid circa aegrotantis corpus fiat. Ac inter initia quidem fanguinis miffionem major eorum pars propter mollitiem non admittit, tametfi magis quam pauperes redundantiae fanguinis affectibus funt objecti, ut qui magis tum cibis fe impleant tum in otio vivant. Medici vero qui eos curant, ubi fummum remedium eft omiffum, aliorum ufu

Ed. Chart. X. [264.] Ed. Baſ. IV. (159.)

τῶν ἄλλων χρήσει νομίζουσιν ἀναπληρώσειν ὁπόσον ἐνδεῖ. καὶ μέντοι καὶ οἱ κάμνοντες, οἰόμενοι τὴν μὲν ἐφ᾽ ἡσυχίας δίαιταν ἀμέλειαν εἶναι, τὸ δ᾽ ὁτιοῦν πράττειν ἐπιμέλειαν, ἐπαναγκάζουσιν αὐτοὺς ἑκάστης ἡμέρας προσφέρειν τι τοῖς ὑποχονδρίοις· βουλομένοις δὲ δήπου καὶ τοῖς ἰατροῖς ἔτι τοῦτο πρὸς τὸ δοκεῖν ἐνεργεῖν τι διαπαντὸς, ἐντεῦθεν γὰρ ἐλπίζουσι καὶ τὸν μισθὸν πλείω λήψεσθαι. συμβαίνει τοιγαροῦν ἐν ἐκείνῳ τῷ χρόνῳ τὰς φλεγμονὰς ἄρχεσθαι τοῖς πλουσίοις, ἐν ᾧ πλησίον ἤδη τῆς λύσεώς ἐστιν ἐπὶ τῶν πενήτων τὸ νόσημα. φλεβοτομηθέντες γὰρ ἐν ἀρχῇ κατὰ τοὺς προκειμένους ἐν τῷ λόγῳ πυρετοὺς οὐ μόνον οἱ πένητες, ἀλλὰ καὶ οἱ δοῦλοι τῶν πλουσίων, οἱ πλεῖστοι μὲν ἐν τῇ πέμπτῃ τῶν ἡμερῶν ἐκρίθησαν, ἔνιοι δὲ ἐς τὴν ἑβδόμην ἀφίκοντο, ποῤῥωτέρω δ᾽ οὐδείς. ἀλλ᾽ οἵ γε πλούσιοι τὸ μὲν πλῆθος καὶ τὰ περιττώματα πλείω τῶν πενήτων καὶ δούλων ἔχοντες, παραλιπόντες δὲ τὸ τῆς φλεβοτομίας βοήθημα, κἄπειτα καθ᾽ ἑκάστην ἡμέραν αἰονώμενοί τε δι᾽ ἐλαίου θερμοῦ καὶ καταπλαττόμενοι τοῖς χαλαστικοῖς καταπλάσμασι φλεγμονήν τινα συνισταμένην ἴσχουσιν, ἤτοι περὶ τὸ ἧπαρ ἢ τὴν κοιλίαν ἢ τι τῶν ἄλλων τῶν τῇδε

ſarturos ſe quod deficit putant. Huc accedit quod ipſi quoque aegri victus rationem in tranquillitate negligentiam eſſe rati et quidvis agere diligentiam, cogunt eos praecordiis aliquid quotidie admovere; ſed nec invitis profecto ipſis medicis, ut qui facere ſemper aliquid videri velint, quod ſic ſe majorem mercedem accepturos ſperant. Itaque accidit ut illo ipſo tempore phlegmonae divitibus incipiant, quo jam pauperibus morbus propemodum perductus eſt ad finem. Quippe miſſo in propoſitis hoc in libro febribus inter initia ſanguine non pauperibus modo, verum etiam divitum ſervis plurimis quidem quinto, aliquibus ſeptimo, criſis contigit, nemini ſerius. At divites, qui et ſanguinis copiam et excrementorum plus quam pauperes et ſervi habent, quum ſanguinis mittendi praetermiſere remedium, ac quotidie tum calido oleo perfundantur tum laxantibus cataplaſmatis utantur, phlegmonen aliquam vel in jecinore vel ventriculo vel reliquorum iſtic viſcerum aliquo contrahunt, alii

σπλάγχνων, ἔνιοι μὲν ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν, ἔνιοι δ᾽ ἐν τῇ πέμπτῃ, πάντες δ᾽ οὖν ἐν τῇ ἕκτῃ. οἶσθα δὲ δήπου καὶ τὸν ἐν αὐτῷ τῷ καταντλεῖσθαι δυσπνοήσαντα, τοῦ περιττοῦ παντὸς ἐπὶ τὰς φρένας ἑλχθέντος ὑπὸ τῆς θερμασίας. οὗτός τε οὖν ἀπέθανε καὶ ἄλλοι μυρίοι καθ᾽ ἑκάστην ἡμέραν ἀποθνήσκουσιν, ὥσπερ σικύας τοῦ καταπλάσματος ἕλκοντος ἐπὶ τὰ σπλάγχνα τὰ καθ᾽ ὅλον τὸ σῶμα περιττά. τινὲς δ᾽ ἀμέλει καὶ αὐτῇ τῇ σικύᾳ κατ᾽ αὐτῶν ἐχρήσαντο, τοῦθ᾽ ἓν μόνον ἐννοοῦντες κἀκεῖνοι, τὸ φαίνεσθαί τι πράττοντες ἀεὶ περὶ τὸν κάμνοντα. κάλλιστον μὲν οὖν, ὡς εἴρηται, φλέβα τέμνειν οὐ μόνον ἐν τοῖς συνόχοις πυρετοῖς, ἀλλὰ καὶ τοῖς ἄλλοις ἅπασι τοῖς ἐπὶ σήψει χυμῶν, ὅταν γε ἤτοι τὰ τῆς ἡλικίας ἢ τὰ τῆς δυνάμεως μὴ κωλύῃ. κουφισθεῖσα γὰρ ἡ διοικοῦσα τὰ σώματα ἡμῶν φύσις, ἀποθεμένη τε τὸ βαρῦνον αὐτὴν οἷόν πέρ τι φορτίον, ἐπικρατήσει τοῦ λοιποῦ ῥᾳδίως. ὥστε καὶ πέψει τὸ πεφθῆναι δυνάμενον, ἐκκρινεῖ τε τὸ δυνάμενον ἐκκριθῆναι ἀναμνησθεῖσα τῶν οἰκείων ἐνεργειῶν. ἡ γὰρ τῶν μέσων τοῦ σώματος, ὡς οὗτοι καλοῦσι, πρόνοια μέγιστον μὲν κακὸν ἐπὶ τῶν

in quarto, alii in quinto, omnes plane in fexto. Nec oblitus, arbitror, es ejus, qui dum perfunderetur, difficultate fpirandi laboravit, omni fupervacuo ad feptum tranfverfum caloris vi tracto. Ergo et hic periit, alii quoque infiniti quotidie pereunt, cataplafmate ipfo cucurbitulae ritu corporis fupervacua in vifcera trahente. Non defuerunt profecto et qui cucurbitula quoque ipfa funt ufi eo tantum confilio ut circa aegrotantem aliquid femper moliri viderentur. Saluberrimum igitur, ut praediximus, eft in febribus venam incidere, non continentibus modo, verum etiam aliis omnibus quas putrefcens humor concitat, ubi praefertim nec aetas nec vires prohibent. Levata namque quae corpus noftrum regit natura exonerataque eo quo velut farcina premitur, haud aegre quod reliquum eft vincet. Itaque propriarum functionum haud oblita et coquet quod concoqui eft habile et excernet quod poteft excerni. Eorum enim quae in medio funt corpore, ut ifti vocant, providen-

μὴ φλεβοτομηθέντων ἐστὶν, οὐ μέγιστον δὲ ἐπὶ τῶν φλεβοτομηθέντων. ἀλλ' ὅμως κἀπὶ τούτων τι βλάπτειν πέφυκεν ἐν τοῖς συνόχοις πυρετοῖς· διακαιόμενα γὰρ ὑπὸ τοῦ πλήθους τῆς θέρμης τὰ σπλάγχνα προσέτι διακαίεται καὶ ἐξοπτᾶται. μόνοι τοιγαροῦν ἐκεῖνοι δεήσονται προνοίας τοιαύτης, οἷς ἡ σῆψις ἐν ἑνὶ συνέστη μορίῳ, προφλεβοτομηθέντες δηλονότι καὶ οὗτοι. ποιησόμεθα δ' αὐτῶν τὴν πρόνοιαν οὐχ ὁμοίως τοῖς ἐκ τῆς τριόδου τούτοις ἰατροῖς, εὐθέως ἐξ ἀρχῆς χαλῶντες, ἀλλὰ πᾶν τοὐναντίον ἐπὶ τῶν πλείστων ἐργαζόμενοι. τὰ μὲν γὰρ χαλαστικὰ τῶν βοηθημάτων ὥσπερ γε διαφορεῖ τὸ περιεχόμενον ἐν τοῖς μέλεσιν, οὕτως ἐπισπᾶται πλέον ἀντ' αὐτοῦ, κατ' ἀρχὰς προσαγόμενα. φερομένων γὰρ ἔτι τῶν ῥευμάτων ἐπὶ τὸ πεπονθὸς, ἀποκρούεσθαι βέλτιόν ἐστι καὶ [265] ἀναστέλλειν, οὐχ ἕλκειν ἐπ' αὐτά. τὰ δ' ἀποκρουστικὰ καλούμενα, μετέχοντα δηλονότι τῆς στυπτικῆς δυνάμεως, ἐπιτήδεια πρὸς τὰς ἀρχάς ἐστιν, ἅμα μὲν ἐντιθέντα τόνον τοῖς πάσχουσι μορίοις, ὡς μὴ ῥᾳδίως ὑποδέχοιντο τὰ ἐπιῤῥέοντα τῶν περιττωμάτων, ἅμα δὲ καὶ τῶν ἐν αὐτοῖς

tia, ubi detractus fanguis non eft, maximum plane eft malum; ubi detractus eft, non maximum. Quamquam fic quoque noxia effe in fynochis febribus poteft; quippe deufta immodico calore vifcera etiam amplius deuruntur ac torrentur. Ergo ejufmodi providentiam illi duntaxat requirent, quibus in una parte putredo confiftit, fi tamen hi quoque fanguinem prius miferint. Providebimus autem his, non ficut triviales ifti medici provident, qui ftatim inter initia laxant, fed in plurimis prorfus contra moliuntur. Relaxantia namque remedia ficuti quod in membris continetur evocant; ita fi in principio fint admota, pro eo plus attrahunt. Quum enim adhuc ad affectum locum fertur fluxio, reprimere remittereque hanc expedit, non ad ipfum attrahere. Quae vero repellentia dicuntur, quae adftringendi certe vim obtinent, in principiis idonea funt *duplici ratione,* et quod robur affectis partibus inferant, unde minus prompte affluxum excrementorum in fe recipiunt, et quod eorum, quae in iis jam contenta funt, tenuiffimum extrorfum ex-

ἤδη περιεχομένων ἀντεκθλίβοντα τὸ λεπτότατον. εἰ δ' ἥ τε φορὰ παύσαιτο διὰ τῶν τοιούτων βοηθημάτων, ἥ τ' ἐκ τῆς στύψεως ἐγγενομένη πύκνωσις τοῖς πεπονθόσι κατέχοι τὰ παχύτερα, καιρὸς ἤδη χαλᾷν ὑπὲρ τοῦ κενῶσαι τὰ περιεχόμενα. μάλιστα δ' ὅταν εἰς ἧπαρ ἢ γαστέρα κατασκήπτῃ τὰ περιττὰ τοῖς στύφουσι χρῆσθαι· κύριά τε γὰρ ἱκανῶς τὰ μόρια καὶ πάντως ἐργάζεσθαι τὸ σφέτερον ἔργον ἀναγκαῖα κᾀν ταῖς νόσοις. ἐστὶ δὲ οὐ σμικρὸν αὐτῶν τὸ ἔργον, οἷόν περ ἑκάστου τῶν ἄλλων, ἃ μόνον ἐκεῖνο κατεργάζεσθαι πέφυκεν ὑφ' οὗ θρέψεται· ἀλλ' οὕτως εἰς μέγα τῷ ζώῳ διαφέρειν, ὡς εἰ μήτε κατὰ γαστέρα πεφθείη καλῶς ἡ τροφὴ μήθ' αἱματωθείη κατὰ τὸ ἧπαρ, οἷόν περ ἐν λιμῷ πάσχομεν ἀπορίᾳ βρωμάτων ἀσιτεῖν ἀναγκαζόμενοι, τοιοῦτόν τι καὶ νῦν συμβήσεται πᾶσι τοῖς τοῦ ζώου μορίοις· οὐ γὰρ ἐκ τῶν καταποθέντων, ἀλλ' ἐκ τῶν κατεργασθέντων ἐν τοῖς εἰρημένοις σπλάγχνοις ἡ χορηγία τῆς τροφῆς ἐστιν ὅλῳ τῷ σώματι. διὰ ταῦτα μὲν δὴ περιττότερον ἢ τὰ ἄλλα μόρια γαστήρ τε καὶ ἧπαρ τῶν στυφόντων χρήζουσιν. ἀμέλει κἀπειδὰν καιρὸς

primant. Quod fi tum fluxio humorum per ea remedia compefcatur, tum denfitas quae adftringendo in affecta parte relicta eft craffiora detinet, jam tempeftiva relaxatio eft quo ea quae retenta funt vacues. Praecipue autem adftringentibus eft utendum, ubi in jecur aut ventriculum fupervacuum profluit; etenim et hae partes admodum funt principes et munus fuum obeant, vel in ipfis morbis eft neceffum. Porro eft non exiguum eorum munus qualeque reliquarum *partium*, quibus illud modo negotium eft ut id quo nutriantur conficiant, verum quod tantopere animalis interfit, ut fi neque in ventriculo probe alimentum fuerit concoctum, neque in fanguinem in jecinore mutatum, utique quod in fame nobis accidit, ut cibi penuria degere in abftinentia cogamur, idem tum omnibus animalis partibus accidat: non enim ex iis quae devorarit quis, fed ex iis quae in jam dictis vifceribus confecerit, alimentum toti corpori fuppeditatur. Atque ob haec nimirum impenfius quam caeterae partes ventriculus et jecur adftringentia defiderant. Ergo quum ea quae

Ed. Chart. X. [265.] Ed. Baſ. IV. (159.)

ἢ διαφορεῖν τὰ στηριχθέντα, καὶ τότε δεῖται στύφεσθαι τὰ μέτρια· τὸ γὰρ ἐξ ἐπιμέτρου περὶ τὰ ἄλλα μόρια κατ᾽ ἀρχὰς αὐτοῖς προστιθέμενον τῆς στύψεως ἀεὶ φυλάττεσθαι χρὴ, μενούσης γε τῆς ἐνδειξαμένης αὐτὸ χρείας· ἡ χρεία δ᾽ ἐστὶν, ὡς ὀλίγον ἔμπροσθεν εἴπομεν, ἡ κατεργασία τῆς τροφῆς. ἐὰν οὖν ἀτονήσαντα μὴ πέψῃ καλῶς, οὐ μόνον οὐδὲν ὄφελος ἔσται τῶν καταποθέντων σιτίων, ἀλλ᾽ ἐπὶ ταῖς διαφθοραῖς αὐτῶν πολλάκις ἐρεθισθείσης τῆς γαστρὸς, συναπέρχεταί τι καὶ τῶν προϋπαρχόντων. ὥστε διχόθεν ἤδη τὴν βλάβην γίνεσθαι τῷ παντὶ σώματι, μήθ᾽ ὑπὸ τῶν σιτίων τραφέντι καὶ τῆς οἰκείας παρασκευῆς τι προσαπολλύντι. καὶ χωρὶς δὲ τῶν εἰρημένων αἱ πέψεις τῶν σιτίων, ἄν τε καθ᾽ ἧπαρ ἀτυχήσωσιν, ἄν τε κατὰ γαστέρα, τοὺς πυρετοὺς αὐξάνουσι καὶ δριμυτέρους ἐργάζονται τῇ κακοχυμίᾳ. διὰ τοῦτο τοίνυν πολλὴν χρὴ πεποιῆσθαι πρόνοιαν ἐν ἅπασι πυρετοῖς πέψεως σιτίων. καὶ διὰ ταύτην τοῦ τόνου τῶν πεπτικῶν ὀργάνων οὐ σμικρὰ φροντιστέον. ἔνιοι δ᾽, ὥς φησιν Ἱπποκράτης, οὐ σμικρὰ κερδαίνουσιν ὅτι ἀγνοοῦσιν. οἴονται

jam infixa ſunt diſcutiendi tempus eſt, tum quoque modice adſtringi poſtulant; quod enim adſtrictionis in principio largius iis quam caeteris partibus adhibetur, id ſervandum aſſidue eſt manente qui id indicet uſu; uſus vero eſt, ut paulo ante teſtati ſimus, nutrimenti confectio. Si igitur per imbecillitatem parum recte concoxerint, non modo aſſumpti cibi nulla eſt utilitas, ſed etiam ventriculo non raro ex ejus corruptela laceſſito, expellitur quoque aliquid prioris. Ita ſit, ut duplex jam noxa toti corpori accedat, quum nec ex cibo ſumpto nutriatur et aliquid ex eo, quod ſibi repoſuerat amittat. Huc accedit et quod ciborum concoctio, ſive ea in jecinore ſive in ventriculo ſit improſpera febres intendit ac humorum vitio exacerbat. Quo magis in omni febre ciborum concoctioni proſpicere magnopere oportet, atque ejus rei cauſa roboris quoque inſtrumentorum quibus perjicitur non levis habenda eſt cura. Sane aliqui ſunt, ut Hippocrates ait, qui ex eo quod ignorant non parum lucri

γοῦν ἥπατος φλεγμονὴν ἰᾶσθαι χαλαστικοῖς βοηθήμασιν, ἐξ ὧν ἐν τῇ διαγνώσει σφάλλονται, δόξαν ἑαυτοῖς πορίζόμενοι· φαίνεται γὰρ (160) ἐνίοτε τοῦ καθήκοντος εἰς ὑποχόνδρια μυὸς ἐκ τῶν πλευρῶν τοῦ θώρακος ἡ περιγραφὴ παραπλησία τῷ ἥπατι. θαυμαστὸν δ᾽ οὐδὲν, οἶμαι, τοὺς μήτ᾽ ἄλλο μηδὲν ἐν τῇ τέχνῃ καλῶς ἐκμαθόντας μήτ᾽ ἀσκηθέντας ἐν διαγνώσεσι πεπονθότων μορίων τὰ τοιαῦτα κερδαίνειν.

Κεφ. ιστ΄. Ἐκείνους μὲν οὖν ἐατέον, ἡμεῖς δὲ κἂν ἐλαχίστην ποθ᾽ ὑπόνοιαν σχῶμεν ἥπατος ἢ γαστρὸς κακοπραγούντων, εὐθέως ἀψίνθιον ἐλαίῳ προσαφεψήσαντες αἰονήσο[266]μεν τὰ μόρια. διττὴν δὲ ἅπαντος ἀψινθίου ποιότητα καὶ δύναμιν ἔχοντος, ὡς κἂν τοῖς περὶ φαρμάκων εἴρηται, κατὰ μὲν τὸ Ποντικὸν ἡ στύφουσα ποιότης ἐστὶν οὐκ ὀλίγη, τοῖς δ᾽ ἄλλοις ἅπασιν ἡ μὲν πικρὰ ποιότης ὑπάρχει σφοδροτάτη· στύψεως δ᾽ ἤτοι παντάπασιν ἀμυδρῶς ἢ καὶ οὐδ᾽ ὅλως ἂν αἴσθοιο γενόμενος αὐτῶν. ταῦτά τοι τὸ Ποντικὸν ἀψίνθιον αἱρεῖσθαι βέλτιόν ἐστιν εἰς τὰς ἥπατος

faciunt. Arbitrantur enim jecinoris fe phlegmonen relaxantibus praefidiis curare, ex eo fcilicet famam fibi comparantes, quod in dignotione fallantur, fi quidem videntur nonnunquam lineamenta mufculi, qui a coftis thoracis ad *hypochondria* pervenit, perfimilia jecinori. Mirum autem minime arbitror, eos qui nec aliud quicquam arte probe didicerunt, nec in dignofcendis affectis partibus fe exercuerunt, fic laudem aliquando confequi.

Cap. XVI. Verum iftos mittamus. Nos vero, etfi minima fufpicio fit jecur ventriculumve laborare, abfinthium protinus oleo incoquemus ac eas partes perfundemus. Quum autem duplex in omni abfinthio facultas et qualitas fit, veluti in libris de medicamentis eft traditum, certe in Pontico adftringendi facultas non parva eft, in reliquis omnibus amara quidem qualitas eft vehementiffima, adftrictio vero, quam faltem guftu agnofcas, aut plane obfcura aut prorfus nulla fentitur. Proinde Ponticum abfinthium ad je-

καὶ γαστρὸς φλεγμονάς· ἔστι δ' αὐτοῦ καὶ τὸ φύλλον καὶ τὸ ἄνθος πολὺ σμικρότερον ἢ τῶν ἄλλων ἀψινθίων, καὶ ἡ ὀσμὴ τούτῳ μὲν οὐχ ὅπως ἀηδὴς, ἀλλά τι καὶ τῶν ἀρωμάτων ἐμφαίνουσα· τοῖς δ' ἄλλοις δυσώδης ἅπασι· φεύγειν μὲν οὖν ἐκεῖνα προσήκει, χρῆσθαι δ' ἀεὶ τῷ Ποντικῷ. καὶ τῶν ἄλλων δέ τι φαρμάκων ἐμβαλὼν εἰς τοὔλαιον, οἷς ἐπιμέμικται τῇ πικρᾷ ποιότητι δύναμις στυπτικὴ, κατὰ τὸν αὐτὸν τρόπον χρήσῃ. δέδεικται γὰρ ἐν τοῖς περὶ φαρμάκων ἡ πικρὰ ποιότης ποδηγοῦσα τὴν στύφουσαν. διὸ καὶ κρεῖττόν ἐστι τὸ τοιοῦτον φάρμακον ἅπαν τοῦ στύφοντος μόνον. εἰ μὲν οὖν ἰσχυροτέραν ἐθέλοις ἐργάσασθαι τὴν στύψιν, ἔστω σοι καὶ τὸ ἔλαιον στῦφον, ὁποῖόν ἐστι τό τε Ἱσπάνον ὀνομαζόμενον, ὅσα τ' ἄλλα σκευάζουσι μετὰ θαλλῶν ἐλαίας· ἢ οἷόν πέρ ἐστι τὸ καλούμενον ὀμφάκινον. εἰ δ' ἀσθενεστέρᾳ βούλοιο χρήσασθαι τῇ στύψει, τῶν ἄλλων ἐλαίων τι παρασκεύαζε καὶ μάλιστα τῶν λεπτομερῶν, οἷόν πέρ ἐστι τὸ Σαβῖνον. ἄριστον δὲ ἐν οἷς στύψεως ἰσχυροτέ-

cinoris et ventris phlegmonas eligi praestat: sed id est tum folio tum flore longe quam caetera absinthia minore, odor quoque huic non modo non insuavis, verum etiam aromatum quid praeferens, reliquis autem omnibus est foedus: quare haec fugere conveniet, uti autem semper Pontico. Etiam reliquorum medicamentorum in quibus mista cum amaritudine adstringendi facultas est, aliquid in oleum conjicere atque ad eundem modum uti licet. Ostendimus namque opere quod de medicamentis inscribitur amaram qualitatem viam adstringenti facere. Quo fit ut medicamentum id genus omnibus quae tantum adstringant sit praestantius. Itaque si vehementiorem efficere velis adstrictionem, etiam oleum ipsum adstringendi vim habeat, cujusmodi est et quod Hispanum vocant, et quaecunque cum germinibus oleae praeparare solent, vel quale est crudum, quod omphacinum vocant. Sin leviore uti adstrictione placet, aliud olei genus praeparabis, praecipue quod tenuium sit partium, quod genus Sabinum est. Optimum tamen, ubi adstringere vehemen

ρας ἐστὶ χρεία, τὸ Ἰστρικὸν ἔλαιον, ὡς ἂν ἑκατέρας ἔχον ἐν ἑαυτῷ τὰς ποιότητας, στύφουσαν καὶ πικράν. ἀποροῦντι δ᾽ ἀψινθίου μήλινον ἢ μαστίχινον ἢ σχίνινον ἀρκέσει τὴν πρώτην· εἰ δὲ μικρὸς ὁ πυρετὸς εἴη, καὶ τὸ διὰ τῆς νάρδου μύρον. ἔστω δὲ καὶ τοῦτ᾽ ἄριστον· οὐ σμικρὰ γὰρ ἡ διαφορὰ τοῦ τοιούτου πρὸς τὸ φαῦλον· ὃ γοῦν ἐν Νεαπόλει τῆς Ἰταλίας σκευάζουσιν, ὄνομα μόνον ἐστὶ μύρον ναρδίνου, παραβαλλόμενον τῷ κατὰ τὴν Ἀσίαν ἔμπροσθεν μὲν ἐν Λαοδικείᾳ μόνῃ σκευαζόμενον, νυνὶ δὲ ἐν πολλαῖς ἤδη πόλεσιν. εἰ δ᾽ ἡ παρακμὴ τοῦ πυρετοῦ, καθ᾽ ἣν δηλονότι πράττεις τὰ τοιαῦτα, μὴ πάνυ τι πραεῖα γίγνοιτο, φυλάττεσθαι μὲν τὴν νάρδον· ἄμεινον δὲ χρῆσθαι τηνικαῦτα τῷ μηλίνῳ· μὴ παρόντος δὲ τούτου, τῷ σχινίνῳ· καὶ μετ᾽ αὐτὸ τῷ μαστιχίνῳ. πάντων γὰρ τούτων τὸ νάρδινον μύρον μᾶλλον θερμαίνει· διὸ καὶ μικτέον αὐτῷ τῶν ἄλλων ἀποροῦντι ῥοδίνου. ἡ δὲ τοῦ μυρσίνου στύψις οὐκ ἐπιτήδειος· ἔστι γὰρ τοῦτο παχυμερέστερον ἢ ὥστε διὰ βάθους ἰέναι. τὰ μὲν οὖν τοιαῦτα παραδείγματος ἕνεκα

tius eſt opus, Hiſtricum oleum eſt, ut quod ambas in ſe qualitates habeat, et amaram et adſtringentem. In penuria vero abſinthii inter initia vel melinum vel maſtichinum vel lentiſcinum ſatisfecerit; quod ſi exigua febris ſit, etiam unguentum ex nardo compoſitum. Eſto autem optimum id quoque, neque enim parum intereſt inter id et quod vitioſum eſt, quum id quod Neapoli in Italia conficiunt, nomine tantum nardinum unguentum ſit, ſi cum eo quod in Aſia ſit conferatur. Id antea Laodiceae tantum componebatur, nunc etiam in multis ſit oppidis. Quod ſi declinatio febris in qua iſta moliris non admodum ſit facilis, abſtinebis a nardino, uteris autem hoc tempore rectius melino, aut ſi id non eſt, lentiſcino, ab hoc vero maſtichino. Omnibus namque his nardinum unguentum valentius calefacit: quare ſi reliquorum copia non eſt, roſaceum illi admiſcebis. Sane myrtini adſtrictio idonea non eſt, quum craſſiorum ſit partium quam ut alte deſcendere poſſit. Atque haec quidem exempli gratia

λέλεκται· πολὺ γὰρ αὐτῶν ἐκλέξῃ πλῆθος ἐκ τῶν περὶ φαρμάκων ὑπομνημάτων. ὡσαύτως δὲ καὶ τὸ κατάπλασμα σύνθετον ἐχέτω τὴν δύναμιν ἔκ τε τῆς χαλαστικῆς λεπτομεροῦς καὶ πικρᾶς καὶ στυφούσης. ἐπικρατείτω δ' ἐν αὐταῖς, εἰ μὲν ἀποκρούεσθαί τε καὶ τόνον ἐντιθέναι βουλοίμεθα, τὸ στῦφον· εἰ δὲ τέμνειν καὶ διαῤῥύπτειν τὸ πικρόν. εἰ δὲ διαφορεῖν, τὰ λεπτομερῆ τῶν χαλώντων· τὰ γὰρ παχυμερῆ τοῖς ἐκπυήσουσιν ἐδείχθη χρηστά. διωρισμένων δ' ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασι τῶν τε μόνην ἐχόντων ἤτοι τὴν στύφουσαν ἢ τὴν πικρὰν ποιότητα τῶν τε συναμφοτέρας, ἄριστον μὲν οὖν ἀεὶ αἱρεῖσθαι τὰ συναμφοτέρας ἔχοντα· μὴ παρόντων δὲ τούτων, αὐτὸν μιγνύναι τὰ πικρὰ τοῖς στύφουσιν, ὥσπερ ἐθεάσω ποθ' ἡμᾶς κατάπλασμα συντιθέντας ἥπατος φλεγμαίνοντος ἐκ τῶν παρόντων. [267] ἦν μὲν γὰρ ἰατρὸς ὁ κάμνων· ἐθεασάμεθα δ' αὐτὸν ἤδη λύχνων ἡμμένων, ὡς μηδὲν ἔτι δύνασθαι πρίασθαι παρὰ τῶν καπηλευόντων τὰ τοιαῦτα. παρακμὴν οὖν εὑρόντες ἀξιόλογον, ἐσπεύσαμεν ὅτι τάχιστα χρήσασθαι τῷ καιρῷ

protulimus, nam magnam eorum copiam deligere ex medicamentorum libris licet. Ad eundem vero modum et cataplaſma compoſitam vim habeat ex ea quae tenuium ſit partium ac laxet, tum vero ex amara et adſtringente. Superet autem in iis ubi tum repellere tum robur addere ſtudemus quod adſtringat; ubi tenuare ac detergere, amarum; ubi evocare, quae ex laxantibus tenuium maxime ſint partium: ſi quidem quae craſſae ſubſtantiae ſunt, ea pus moventibus monſtravimus eſſe accommoda. Quum autem definitum in opere de medicamentis ſit et quae vel ſolam obtineant adſtringendi qualitatem vel amaritudinem et quae ambas poſſideant qualitates, maxime deligenda ſunt quae ambas habent; ubi ea non adſunt, ipſe amara iis quae adſtringant miſcebis, ut nos aliquando in jecinoris phlegmone ex *copiis* praeſentibus componere cataplaſma vidiſti. Erat enim is qui aegrotabat medicus; quem jam lucernis accenſis inviſimus, quo tempore ab iis qui talia venditant nihil emi potuit. Ergo quum declinatam notabiliter febrem inveniſſem,

καὶ μάλισθ᾽ ὅτι τὴν ὕποπτον ὥραν προσεδοκῶμεν ἀρχὴν οἴσειν ἑτέρου παροξυσμοῦ περὶ τὰς | τῶν ἀλεκτρυόνων ᾠδάς. ἐφεψήσαντες οὖν ἐλαίῳ μὲν ἀψίνθιον, ἐν ὕδατι δὲ κυδώνιον μῆλον. ἐν ᾧ ταῦθ᾽ ἥψετο, μυροβαλάνου πίεσμα καὶ ἴρεως τὴν ῥίζαν εὑρόντες ἔνδον καὶ κόψαντες καὶ διαττήσαντες, εἶτ᾽ ἐμβαλόντες λέβητι τοῦ τ᾽ ἐλαίου καὶ τοῦ ὕδατος, ὧνπερ ἐσκευάκειμεν, ἀφεψήσαντές τε μετρίως ἐπενεβάλλομεν ἅμα κηρῷ βραχεῖ τὴν μυροβάλανον καὶ τὴν ἶριν. ἕψομεν δ᾽, ὡς οἶσθα, τὸ μῆλον οὐ δι᾽ ὕδατος μόνον, ἀλλὰ καὶ δι᾽ οἴνου πολλάκις αὐστηροῦ· καὶ μίγνυμεν ἐνίοτε καὶ αὐτῆς τι τοῦ μήλου τῆς σαρκὸς ἅπασι τοῖς τοιούτοις καταπλάσμασιν. ὅταν μὲν γὰρ τό τε ἐπιῤῥέον εἴη πλέον, ἀτονώτερον τε τὸ μόριον, αὔξομεν, ὡς οἶσθα, τὴν στύψιν· ὅταν δὲ τό θ᾽ ὅλον σῶμα κενὸν, οὐκ ἄῤῥωστόν τε τὸ μόριον, ἐπιῤῥέῃ τε μηδὲν ἔτι, βραχύτατον ἔστω τὸ στῦφον, ἀξιολογώτερον δὲ αὐτοῦ τὸ χαλαστικὸν καὶ πρὸς τούτοις τό τε πικρὸν καὶ τὸ δριμὺ κατὰ τὴν τῶν ἐπεμβαλλομένων ὕλην. εἰ δὲ καὶ μικρὸς ὁ πυρετὸς εἴη, καὶ

utendum occafione quamprimum cenfui, eo certe magis quod fufpectam horam quae gallicinio futura erat alterius acceffionis initium allaturam verebamur. Incoxi in oleo quidem abfinthium, in aqua vero malum cotoneum. Dum autem haec coquebantur, myrobalani retrimenta et ireos radicem, quae intus inveneram, contudi cribravique, dein olei et aquae quae paraveram portionem in lebetem immifi, ac ubi modice coxeram myrobalanum et irim una cum exigua cera injeci. Coquimus autem, ut nofti, cotoneum non in aqua modo, verum etiam perfaepe in auftero vino ac omnibus ejusmodi cataplafmatis de ipfa quoque cotonei carne interdum adrifcemus. Nam ubi et quod confluit copiofum eft et par ipfa infirmior, adftringentem vim, ficut fcis, inaugemus ubi vero tum corpus totum vacuum eft, nec pars imbecilla nec ultra quid confluit, ibi in iis quae mifcentur materis minimum quidem fit quod adftringat, copiofius vero non folum quod relaxet, fed etiam et quod amarum fit et quod acre. Quod fi exigua febris fit ac phlegmone non adeo

ἡ φλεγμονὴ μὴ πάνυ θερμὴ καὶ ἀσιτίαν ὁ κάμνων ἐνεγκεῖν δυνάμενος, αὐξανέσθω σοι τὸ διαφορητικὸν εἶδος τῆς θεραπείας, ἐκλυομένου τοῦ στυπτικοῦ. οὐ γὰρ δὴ τὴν φλεγμονὴν δυναιὸν ὠφελῆσαι τοῖς στύφουσιν, ἡνίκα μήτ᾽ ἐπιῤῥέῃ μηδὲν, ἐστήρικταί τε δυσλύτως ἐν τῷ πάσχοντι παχυμερὴς χυμὸς, ἀλλ᾽, ὡς εἴρηται, βραδύνειν αἱρούμεθα μᾶλλον ἐν τῇ θεραπείᾳ μιγνύντες τι τῶν στυφόντων ὑπὲρ τοῦ φυλάξαι τῶν μορίων τὸν τόνον. ὅθεν οὔτ᾽ ἐπὶ κώλου πάσχοντος ἢ τῶν ἄλλων ἐντέρων τινὸς οὔτε τῶν καθ᾽ ὑποχόνδρια μυῶν ἢ περιτοναίου μικτέον τὰ στύφοντα· καθάπερ οὐδὲ κύστεως ἢ μήτρας, ὅταν γ᾽, ὡς εἴρηται, μήτ᾽ ἐπιῤῥέῃ μηδὲν ἔτι μήτε πλῆθος ἢ περιττώματα πολλὰ καθ᾽ ὅλον ὑπάρχῃ τὸ σῶμα. νεφροὶ δὲ καὶ θώραξ ἐν μέσῳ τῶν εἰρημένων εἰσίν· ὅσον γὰρ ἀπολείπονται γαστρὸς καὶ ἥπατος, τοσοῦτοι τῶν ἄλλων πλεονεκτοῦνται· ἐπὶ μὲν γὰρ τοῦ ἥπατος ἢ τῆς γαστρὸς ἐκλυθῆναι τὸν τόνον ὀλεθριώτατον, ἐπὶ δὲ τῶν ἄλλων ἀκινδυνότατον. ἐπὶ τούτων δὲ κινδυνῶδες μὲν, οὐ μὴν ἐκεί-

calens, tum aeger ipfe inediam tolerare valeat, hoc cafu difcufforiam quidem curandi fpeciem intendes, adftringentem autem remittes. Neque enim amplius ipfi faltem phlegmonae conducere poffunt quae adftringunt, ubi nec affluit quicquam et craffus humor affecto loco tenaciter eft infixus, fed ficut dictum eft, trahendae potius curationis, ac quae adftringant mifcendi confilium probamus, quo robur partium tueamur. Unde nec colo laborante, nec reliquorum inteftinorum quovis, nec mufculis hypochondriorum aut peritonaeo mifcenda adftringentia funt, fed nec quum vefica male habet uterusve, modo, ut dictum eft, nihil ultra ad locum fluat, nec *fanguinis* redundantia nec excrementorum copia in toto fint corpore. Porro renes et pectus in media praedictorum conditione funt, quantum enim a ventriculi jecinorifque folicitudine abfunt, tantum reliquorum fupergreffa, fi quidem in ventriculo ac jecinore exfolvi robur eft perniciofiffimum, illis minime eft periculofum. In his vero eft quidem periculofum, non tamen perinde ut in illis,

νοις γ' ὁμοίως· πλὴν εἴ ποτε πῦον ἐκκαθαίρειν δέοι, περιεχόμενον ἐν θώρακι καὶ πνεύμονι. περὶ δὲ τοῦ σπληνὸς οὐχ ἁπλῶς ἀποφήνασθαι δυνατὸν, ἀλλὰ μετὰ τοῦ διορίσασθαι τήν τε φύσιν ὅλου τοῦ σώματος καὶ τὴν ἐν τῷ τῆς θεραπείας χρόνῳ διάθεσιν. εἰ μὲν γὰρ ἤτοι φύσει τῶν ἀθροιζόντων εἴη περίττωμα μελαγχολικὸν ὁ κάμνων ἢ κατ' ἐκεῖνον τὸν χρόνον ὁ τοιοῦτος ἐν αὐτῷ πλεονάζοι χυμὸς, ἀναγκαῖόν ἐστιν ἐν τῇ θεραπείᾳ τοῦ σπληνὸς ἐπιπλέκεσθαι τοῖς ἄλλοις τὰ στύφοντα, χάριν τοῦ φυλάττεσθαι τοῦ σπλάγχνου τὸν τόνον. οὕτω γὰρ ἕλξει τε πρὸς ἑαυτὸν τὰ περιττώματα, καὶ καθάρας τὸ σῶμα, πάλιν αὐτὰ ἐκκρινεῖ διὰ τῆς γαστρὸς, ὡς ἐν τοῖς φυσικοῖς περὶ τούτων (161) ἐπιδέδεικται λόγοις. εἰ δὲ μηδὲν οὐδ' ὅλως ᾖ περίττωμα μελαγχολικὸν ἢ οὐδ' ὅλως στυπτέον ἢ ὡς ἥκιστα. προσέχειν δ' ἀκριβῶς τὸν νοῦν οὐ κατὰ τὸν σπλῆνα μόνον, ἀλλὰ καὶ κατὰ σύμπαντα τἄλλα μόρια, καθ' ἃ σήπεται χυμὸς, ὁποῖον μέν τοι τῶν συμπτωμάτων ἐστὶ τὸ ἰσχυρότατον, ὁποῖον τὸ δεύτερον ἢ τὸ τρίτον, ἵν' ἐξ αὐτῶν τὴν διάθεσιν ἀκριβῶς ἐξευρὼν, οἰκείαν αὐτῇ καὶ τὴν

nifi fi pus educere ex pectore aut pulmone aliquando fit opus. De liene pronunciare abfolute non eft nec nifi prius definita, tum corporis totius natura tum vero affectu, qui curationis tempore occupavit. Nam fi vel aeger ex iis fit qui melancholicum excrementum naturaliter congerant, vel etiam eo tempore humor is in eo abundet, neceffe eft in liene curando adftringentia reliquis admifceas, ut vifceris robur cuftodias. Ita enim et excrementa ad fe trahet et quum corpus expurgarit, ipfe rurfus per ventriculum excernet; veluti in naturalibus commentariis de his eft proditum. Sin nullum omnino fit melancholicum excrementum, aut omnino adftringendum non eft, aut parciffime. Obfervandum vero diligenter eft non in liene modo, verum etiam in omnibus aliis partibus in quibus humor putrefcit, quod fymptoma fit vehementiffimum quod fecundo loco aut tertio; quo videlicet affectu ex ipfis plane invento, idoneam ei curationem adhibeas. Alias namque in parte affecta calor fu-

θεραπείαν ἁρμόσῃς. [268] ἐνίοτε μὲν γὰρ ἡ θέρμη κρατεῖ κατὰ τὸ πεπονθὸς, ἐνίοτε δ' ὄγκος, ἤτοι διὰ τὸ πλῆθος τοῦ χυμοῦ σκληρὸς ἢ διὰ τὸ πάχος. εἰ μὲν οὖν ἡ θέρμη κρατοίη, πειρᾶσθαι διαφορεῖν ἀτρέμα, διὰ τῶν χλιαρὰν ἐχόντων θερμασίαν, οἷόν ἐστι τό τε λινόσπερμον καὶ τὸ χαμαίμηλον· ἐπιμιγνύναι δ' αὐτοῖς ἄλευρον ἐκ κριθῶν ἢ κυάμων· οὐδέτερον γὰρ αὐτῶν θερμαίνει. πολλάκις δ', ὡς οἶσθα, τὸ καλούμενον ὑπὸ τῶν ἰατρῶν ἀρτόμελι παρασκευάζοντες εἰς κατάπλασμα τοιαύτης φλεγμονῆς ὕδατος ἐπιμίξαμεν. ἐπὶ δὲ σπληνὸς ἔστιν ὅτε καὶ ὄξους. εἰ δ' ἡ θέρμη τοῦ φλεγμαίνοντος μορίου μὴ πολὺ τοῦ κατὰ φύσιν ἐξεστήκοι, μέγεθος δ' ἀξιόλογον εἴη, διαφορεῖν θαῤῥούντως χωρὶς ὕδατος ἐπιμιγνύντα τοῖς εἰρημένοις καὶ τῆλιν. εἰ δ' οἷον σκιῤῥώδης τις φλεγμονὴ τύχοι, διὰ τὸ πάχος ἢ τὴν γλισχρότητα τῶν ἐν αὐτῇ χυμῶν, ὄξους τε ἅμα καὶ τῶν πικρῶν μικτέον φαρμάκων καὶ μάλιστ' ἐπὶ σπληνός. τὸ γάρ τοι σπλάγχνον τοῦτο, διὰ τὸ παχὺν ἐπισπᾶσθαι χυμὸν ἐξ ἥπατος, ὑπὸ τοῦ τοιούτου καὶ νοσεῖ τὰ πολλά. διὰ τοῦτ' οὖν αὐτὸ τά τε δι'

perat, alias tumor qui vel propter abundantiam humoris, vel propter craſſitudinem ſit durus. Si igitur calor praeponderat, id agendum ut ſenſim per ea quae tepentem calorem obtinent diſcutiatur, quod genus eſt tum lini ſemen tum chamaemelum, quibus adiici vel hordei vel ſabarum farina debet, quippe quorum neutrum calefacit. Saepe autem, uti non ignoras, quod medici artomeli vocant, pro cataplaſmate ejusmodi phlegmones praeparamus, atque aquae aliquid miſcemus; ad lienem vero etiam aceti aliquando aliquid. Si vero laborantis phlegmone partis calor non multum a natura exceſſerit, ſed magnitudo ejus notabilis fuerit, digerere haud timide ſine aqua debebis, etiam foenigraeci aliquid ſupradictis immiſcens. Si vero veluti ſcirrhoſa phlegmone ſit propter humorum quos continet vel craſſitudinem vel lentorem, tum aceti aliquid tum amara medicamenta ſimul immiſcenda curabis, ac potiſſimum in liene. Etenim viſcus hoc propterea quod a jecinore craſſum humorem trahit, ejusmodi humoris occaſione plerumque laborat. Quare ma-

ὀξυμέλιτος καὶ ἀψινθίου καὶ καππάρεως ἐπιτήδεια καταπλάσματα. ταῦτ' οὖν ἀγνοοῦντες οἱ πολλοὶ τῶν ἰατρῶν, ἅπαντας αἰονῶσιν ἐλαίῳ καὶ καταπλάττουσι τοῖς χαλαστικοῖς καταπλάσμασι, πρὶν κενῶσαι τὸ σῶμα, πάντων δ', ὡς εἴρηται, μάλιστα τοὺς πλουσίους, οἷς οὐ μόνον εἰς τὰ τοιαῦτα ὑπηρετοῦσιν, ἀλλὰ καὶ λούεσθαι συγχωροῦσιν. ἐγὼ δ' οὔτε λούσαιμ' ἂν οὐδένα τῶν ἐπὶ σηπεδόνι χυμῶν πυρεττόντων οὔτε χαλαστικοῖς χρήσομαι καταπλάσμασι, πρὶν κενῶσαι τὰ περιττά. κενώσας δὲ καὶ λούοιμ' ἂν ἤδη θαῤῥῶν καὶ καταπλάττοιμι, τὰ μὲν ἄλλα μόρια τοῖς χαλαστικοῖς, ἧπαρ δὲ καὶ γαστέρα μετὰ τοῦ τὰ μέτρια στύφειν.

Κεφ. ιζ. Ἧττον δὲ ἐπὶ θώρακος τοῖς στύφουσι χρηστέον, ἀποκρούεται γὰρ εἰς πνεύμονα καὶ καρδίαν ἐνίοτε τὰ τοιαῦτα τοὺς τὴν φλεγμονὴν ἐργαζομένους χυμούς. ἀλλὰ διὰ τῶν ἐδεσμάτων αὐτοῖς φυλακτέον τὸν τόνον· οὐ γὰρ ὥσπερ ἐπὶ γαστρὸς καὶ ἥπατος, οὕτω καὶ ἐνθάδε λεπτότατα διαιτᾷν ἀναγκαῖον. ἐν ἐκείνοις μὲν γὰρ ἡ τροφὴ πέττεται καὶ

gis cataplafmata, quae ex oxymelite et abfinthio et cappari fiunt illi funt idonea. Haec igitur cum medicorum vulgus ignoret, omnes oleo perfundunt et cataplafmatis laxantibus curant prius quam corpus vacuetur omniumque maxime, ut dixi, divites, quibus non folum in talibus obfequuntur, fed etiam eos lavari in balneo permittunt. Ego vero nec eorum qui ex putredine humorum febricitent lavem quemquam, nec laxantibus cataplafmatis prius quam excrementa purgarim utar. His vacuatis non folum audacter lavem, fed etiam cataplafmatis utar, in aliis quidem partibus laxantibus, in jecinore vero ac ventriculo additis etiam quae mediocriter adftringant.

Cap. XVII. Parcius vero ad pectus quam ad ea eft adftringentibus utendum, talia namque humores qui phlegmonen excitant in pulmones et cor nonnunquam repellunt. Ac cibis potius horum robori eft confulendum: neque enim ut in jecinore et ventriculo, ita hic quoque tenuiffimo victu eft utendum. In illis namque alimentum

κίνδυνός ἐστι φλεγμαινόντων αὐτῶν μήτε πεφθῆναι καλῶς αὐξηθῆναί τε τὰς φλεγμονάς· εἰς θώρακα δὲ τοσοῦτον ἀφικνεῖται τῶν πεφθέντων ὅσον ἱκανὸν αὐτῷ μόνῳ τῷ τρεφομένῳ μορίῳ. πολὺ δὲ δὴ μᾶλλον ἐπὶ πνεύμονος φλεγμαίνοντος ἀφεκτέον ἐστὶ τῶν στυφόντων, ὅπου γε καὶ τοῖς χαλαστικοῖς μικτέον, ἐπ᾽ αὐτῶν τῶν δριμυτέρων τι καὶ σαφῶς θερμαινόντων· ἕλκειν γὰρ ἔξω μᾶλλον ἢ ἀποκρούεσθαι προσήκει. διὸ καὶ αἱ σικύαι προκενωθέντων χρήσιμοι, πληθωρικῶν δὲ ὑπαρχόντων οὐ μᾶλλον ἐκ πνεύμονος εἰς θώρακα μεθιστᾶσί τι τῶν περιττωμάτων, ἢ ἐξ ὅλου τοῦ σώματος ἕλκουσιν εἰς ἀμφότερα.

Κεφ. ιη'. Τῷ δὲ αὐτῷ λόγῳ κἀπὶ τῶν κατὰ τὸν ἐγκέφαλον καὶ τὰς μήνιγγας φλεγμονῶν οὐ χρησόμεθα σικύαις ἐν ἀρχῇ [269] τῶν παθῶν· ἀλλ᾽ ὅταν μήτ᾽ ἐπιῤῥέῃ μηδὲν ἔτι καὶ προκενώσωμεν ὅλον τὸ σῶμα, κατὰ τὴν ἀρχὴν δὲ κἀνθάδε τοῖς ἀποκρουστικοῖς ὀνομαζομένοις χρηστέον. ἐπεὶ δὲ τῶν ὀστῶν τοῦ κρανίου μέσων κειμένων τὴν δύναμιν

concoquitur metusque eft ne ipfis phlegmone laborantibus nec nutrimentum rite concoquatur et phlegmone augeatur, in pectus vero tantum alimenti jam concocti pervenit quantum uni ipfi parti nutriendae fatisfaciat. Ac longe quidem magis in pulmonis phlegmone abftinendum ab adftringentibus eft, quandoquidem ipfis quoque laxantibus admifcendum aliquid acrium quodammodo et evidenter calefacientium eft, quippe foras trahere potius quam repellere in eo debemus. Itaque etiam cucurbitulae iis prius vacuatis utiles, at fi plethorici fint, non magis eae ex pulmone in pectus aliquid excrementi transferent quam ex toto corpore attrahent in utrumque.

Cap. XVIII. Eadem ratione nec in cerebri et ejus membranarum phlegmonis cucurbitulis in morbi initio utemur, verum ubi nec influit adhuc quicquam et totum corpus prius eft vacuatum, at repellentibus appellatis in his quoque inter initia utendum. Sed quum offibus cranii medium occupantibus in altum defcendere repellentium vim

αὐτῶν ἐξικέσθαι βουλοίμεθα πρὸς τὸ βάθος, ἐπιμίξομεν τοῖς ἀποκρουστικοῖς ὀνομαζομένοις τῶν ποδηγεῖν τι δυναμένων, τουτέστι τῶν λεπτομερῶν κατὰ τὴν οὐσίαν. ὄξος μὲν οὖν οὐ μόνον ἐστὶ λεπτομερὲς, ἀλλὰ καὶ αὐτῆς τῆς ἀποκρουστικῆς δυνάμεως οὐ μετρίως μετείληφεν. ὅθεν εἰκότως ἐν ἀρχῇ τῶν παθῶν αὐτῷ χρῶνται, τῷ ῥοδίνῳ μιγνύντες. ἐπὶ προήκοντι δὲ τῷ χρόνῳ καὶ σπονδυλίου καὶ ἑρπύλλου μιγνύουσιν, ἤδη τι καὶ θερμαῖνον ἐχόντων, οὐ μόνον λεπτομερές· ἐν ᾧ καιρῷ χρὴ μεταβαίνειν ἐπὶ τὰ διαπέττοντά τε καὶ διαφοροῦντα πλέον, ἢ κατὰ τὴν χρείαν τῶν φλεγμαινόντων αἱρούμενον ἑκάτερον, ὡς ἂν ἐκλυομένης αὐτῶν τῆς δυνάμεως ἐν τῷ μεταξὺ τεταγμένων ὀστῶν. οὕτως οὖν καὶ τῷ καστορείῳ χρώμεθα, καίτοι γ' ἐπὶ τῶν ἄλλων οὐ χρώμενοι φλεγμονῶν, οὐδ' ἢν ἐν ἐσχάτῳ τῆς παρακμῆς ὦσι· θερμότερον γάρ ἐστιν ἢ ὡς ἐν ταῖς φλεγμοναῖς ἐπιτήδειον εἶναι. τοῖς μέντοι κατὰ τὸν ἐγκέφαλον χωρίοις ἄριστον ἐν ταῖς παρακμαῖς τῶν φλεγμονῶν, ὡς ἂν οὐκ εὐθέως αὐτοῖς προσπῖπτον, ἀλλὰ διὰ μέσων τῶν ὀστῶν. ὑπάρχει δὲ τῷ τοιούτῳ φαρμάκῳ καὶ τὸ λεπτο-

cupimus, eorum quae deducere eam possunt aliquid reprimentibus admiscebimus: ea sunt quorum substantia ex tenuibus partibus constat. Sane acetum non modo tenuium partium est, sed etiam non mediocrem reprimendi vim obtinet. Quo profecto rationabilius in principiis affectuum ipso utuntur rosaceo admiscentes. Procedente vero tempore etiam spondylii et serpylli, quibus jam non modo partium tenuitas, sed etiam calor inest, aliquid admiscent, quo tempore transire ad ea quae concoquant ac digerant convenit, atque haec utraque valentiora quam postulet ipsa pars phlegmone affecta deligere ceu viribus eorum per ea quae intersunt ossa remittendis. Sane ad eum modum et castoreo utimur, quum tamen eo in aliis phlegmonis minime utamur, quamvis etiam in summa declinatione sint, est enim calidius id quam ut phlegmonis sit idoneum. At vero locis circa cerebrum phlegmonis ipsis jam declinantibus est utilissimum, quoniam non statim his, sed ossibus intervenientibus occurrit. Inest autem ejusmodi pharmaco et substantiae tenuitas, quod

μερίς τῆς οὐσίας, ὃ καὶ αὐτὸ τοῖς διὰ προβλημάτων στεγανῶν διαπέμψειν μέλλουσι τὴν ἑαυτῶν δύναμιν ἐπιτήδειόν ἐστιν.

Κεφ. ιθ'. Οἶσθα δὲ δήπου καὶ τοὺς ἑκάστου τῶν μορίων οἰκείους πόρους εἰς τὴν τῶν περιττωμάτων ἔκκρισιν εὔρους ἡμᾶς παρασκευάζοντας· ἐντέρῳ μὲν καὶ γαστρὶ καὶ μεσαραίῳ καὶ τοῖς σιμοῖς τοῦ ἥπατος τὸν δι' ἀπευθυσμένου· νεφροῖς δὲ καὶ κύστει καὶ τοῖς κυρτοῖς τοῦ ἥπατος καὶ κοίλῃ φλεβὶ καὶ ἀρτηρίᾳ τῇ μεγάλῃ καὶ πᾶσι τοῖς κατ' ὀσφὺν τὸν τοῖς οὔροις ἀνακείμενον· πνεύμονι δὲ καὶ θώρακι τὸν διὰ τραχείας ἀρτηρίας καὶ φάρυγγος· ἐγκεφάλῳ δὲ καὶ μήνιγξι τὸν δι' ὑπερώας καὶ ῥινός. ἡ δ' εὔροια τοῖς μὲν δι' ἕδρας ἐκκριθήσεσθαι μέλλουσιν ὑπό τε μελικράτου γενήσεται καὶ τῶν ἐδεσμάτων ὅσα λαπάττει τὴν γαστέρα, καὶ φαρμάκων ὅσα μετρίως ἐρεθίζειν πέφυκε· φυλάττεσθαι γὰρ χρὴ τὰ δριμύτερα, παροξύνοντα τὰς φλεγμονάς. ἐπὶ δὲ γαστρὸς καὶ ἥπατος καὶ σπληνὸς φλεγμαινόντων, οὐδὲ τὸ μελίκρατον ἀγαθόν· ἐκχολοῦται γὰρ αὐτίκα καὶ τὰς φλεγμονὰς

ipfum iis quorum per denfum obicem transmitti vim oportet eft accommodum.

Cap. XIX. Illud te profecto non fugit, proprios fingularum partium meatus ad excrementorum excretionem nos meabiles reddere, inteftino quidem ventriculo et mefaraeo et concavis jecoris inteftinum rectum, renibus vero, veficae, jecoris gibbis, venae cavae et arteriae magnae et omnibus quae in lumbis habentur, eum qui urinis eft delegatus, pulmonibus et pectori ipfam afperam arteriam et fauces, cerebro et meningibus eum qui per palatum et nares *defcendit*. At meandi fluendique facilitas fit iis quidem quae per fedem excerni habent mulfa, et cibis iis qui ventrem molliunt et pharmacis quae modice proritare poffunt, quae enim acriora funt, vitare oportet, quoniam phlegmonas exacerbant. Ad ventriculum vero, jecur et lienem fiquando phlegmone funt vexata, nec mulfa ipfa eft utilis, quod illico in bilem tranfeat, ac vifcerum phlegmonas augeat. Excre-

Ed. Chart. X. [269. 270.] Ed. Baf. IV. (161.)

αὔξάνει τῶν σπλάγχνων. τοῖς δὲ διουρητικοῖς ὀνομαζομένοις φαρμάκοις ἐπ᾽ οὖρα προτρέψεις τὴν περιουσίαν· ὥσπερ γε καὶ τοῖς βηχικοῖς τὰ κατὰ θώρακα καὶ πνεύμονα διὰ βηχῶν ἐκκενώσεις· ἔμαθες δ᾽ ἐν τοῖς περὶ φαρμάκων τὰς ὕλας ἑκάστων οὐ μόνον τῶν εἰρημένων, ἀλλὰ καὶ ὅσα διὰ ῥινῶν ἐκκενοῖ τὰ κατ᾽ ἐγκέφαλόν τε καὶ μήνιγγας περιττά.

Κεφ. κ'. Καὶ γὰρ καὶ τούτων ἁπάντων ἐν ἐκείνοις τοῖς ὑπομνήμασι τὴν ὕλην ἄφθονον ἔχεις. ὥστ᾽ ἀρκεῖ πρός γε τὰ [270] παρόντα περὶ τῆς τῶν φλεγμαινόντων μορίων διαφορᾶς ὅσα λέλεκταί μοι. μελλήσω γὰρ ἐπὶ πλέον ἐρεῖν ὑπὲρ αὐτῶν ἐν τῇ μεθόδῳ τῆς θεραπείας ἁπάντων τῶν παρὰ φύσιν ὄγκων· οὐδὲ γὰρ οὐδὲ νῦν ὡς ἔργον τι καὶ σπούδασμα μετεχειρισάμην τόνδε τὸν λόγον, ἀλλ᾽ ἐν παρέργῳ διῆλθον, ὡς ἐξ ἀκολουθίας τινὸς ἐμπεσὼν αὐτῷ. προὔκειτο γὰρ οὐχ ὡς ἄν τις ἄριστα θεραπεύσειεν ἓν ἕκαστον τῶν μορίων φλεγμαῖνον ὑποθέσθαί σοι κατὰ τὸν ἐνεστῶτα λόγον, ἀλλ᾽ ἐνδείξασθαι τὴν βλάβην τῶν καταπλαττομένων ἐν πυρετοῖς ἄνευ τοῦ κενώ-

menta vero ut cum urinis excernantur, medicamentis urinas moventibus diureticis vocatis promovebis, ut et quae in pectore et pulmone continentur bechicis per tuffes vacuabis. Porro in opere de medicamentis cujusque materiam didicifti, non eorum modo quae jam enarrata funt, fed etiam quae cerebri meningumque fuperilua per nares emittunt.

Cap. XX. Etenim horum quoque omnium uberem materiam in illis commentariis habes. Quare abunde funt ad rem praefentem quae hactenus de phlegmone laborantium partium differentia difputavimus. Dicturus enim plura de iis fum in ea methodo, quae omnium tumorum qui praeter naturam funt curationem comprehendet, neque enim in praefentia dedita opera et ftudio hunc fermonem fum ingreffus, fed praeter penfum in eum fequela quadam rerum invitante diverti. Siquidem propofitum nobis in hoc libro non fuit ut te partis cujusque phlegmone obfeffae optimam curationem docerem, imo ut noxam eorum oftenderem, quibus cataplafmata in febribus non vacuato prius toto corpore

Ed. Chart. X. [270.] Ed. Baf. IV. (161. 162.)

θῆναι τὸ σύμπαν σῶμα καὶ μάλισθ᾽ ὅταν μὴ φλεγμαίνῃ τι τῶν ἔνδον· εἰ γὰρ εἴη τὸ περιέ(162)χον θερμὸν ὡς κεχύσθαι τὰς ὕλας ἱκανῶς, μείζων ἡ βλάβη τοῖς τοιούτοις ἕπεται καταπλάσμασιν ἤπερ τοῖς λουτροῖς. καίτοι δοκοῦσί γε οἱ καθ᾽ ἑκάστην ἡμέραν αἰονῶντές τε καὶ καταπλάττοντες τὰ ὑποχόνδρια ἐκ τούτων μὲν οὐχ ὅπως βλάβην, ἀλλὰ καὶ μεγάλην ὠφέλειαν γίγνεσθαι τοῖς νοσοῦσιν, ἐκ λουτρῶν δ᾽ οὐκ ὠφέλειαν γίγνεσθαι, ἀλλὰ καὶ μεγίστην βλάβην, ἀγνοοῦντες ὥσπερ τῶν ἄλλων ἁπάντων ὧν περὶ τὸν κάμνοντα πράττουσιν, οὕτω καὶ τῶν βαλανείων τὴν φύσιν. ἐγὼ δὲ περὶ μὲν ὅλης αὐτῶν τῆς δυνάμεως ἔμπροσθεν εἴρηκα τελεώτατα, νυνὶ δ᾽ ἀρκεῖ μοι τό γε τοσοῦτον εἰπεῖν, ὡς ἐπὶ τινῶν μὲν οὔ τι βλάψει τὸ βαλανεῖον ὅλως, ἐπὶ τινῶν δὲ τοῦ καταπλάσματος ἧττον. ὃ γὰρ ἐν τοῖς ὑποχονδρίοις ἐργάζεται τὰ χαλαστικὰ πρὸς αὐτῶν ὀνομαζόμενα βοηθήματα, τοῦτ᾽ ἐν ὅλῳ τῷ σώματι τὸ βαλανεῖον. ὥσθ᾽ ὅταν ἐν τῇ παρακμῇ παραλαμβάνηται, διαπνεομένου τοῦ σώματος ἤδη μετρίως, οὐ σμικρὸν ὄφελος ἐργάζεται, κενῶσαν ἅπαντ᾽ ἐξ αὐτοῦ τὰ λιγνυώδη καὶ

imponuntur, ac potiffimum ubi pars aliqua interior non inflammatur; quippe fi ambiens ita calet ut materias valenter liquet, major noxa ejusmodi cataplafmatis fuccedit quam lotioni in balneo. Quamquam autumant qui quotidie praecordia perfundunt et cataplafmatis inducunt, non modo nullam ex iis noxam, fed etiam magnam utilitatem aegris comparari: contra ex lavando non modo nullam utilitatem, fed etiam maximum incommodum, ignorantes ficut reliquorum omnium quae circa aegrum adminiftrant, ita et balneorum naturam. Ego vero de univerfis eorum facultatibus in fuperioribus difputavi pleniffime. Nunc tantum dixiffe eft fatis quibufdam prorfus nihil nociturum balneum, quibufdam minus quam cataplafmata. Quod enim in praecordiis laxantia quae ifti vocant praefidia faciunt, id balneum in toto efficit corpore. Eoque quum in declinatione febris adhibetur, corpore jam mediocriter tranfpirante non exiguum affert commodum, omnia ex eo tum fuliginofa

καπνώδη περιττώματα. καὶ εἴ γε μηδὲν εἴη τῶν σπλάγχνων ἀσθενὲς, ὀνήσει τὸν κάμνοντα, χωρὶς τοῦ φρῖξαι τότε γενόμενον. τρεῖς γὰρ ἔχειν δεῖ τούτους σκοποὺς ἐπὶ τῶν ἐν ἅπασι πυρετοῖς λουτρῶν· ἕνα μὲν εἰ χωρὶς τοῦ φρῖξαι γένοιτο, δεύτερον δ᾽ εἰ μηδὲν τῶν κυρίων μορίων ἀσθενὲς ὑπάρχοι, καὶ τρίτον εἰ μὴ πλῆθος ὠμῶν εἴη χυμῶν κατὰ τὰς πρώτας φλέβας. ἡ μὲν γὰρ φρίκη λέλεκται πρόσθεν ὅπως οὐ μόνον αὐξάνειν τοὺς ὄντας ἤδη πυρετοὺς, ἀλλὰ καὶ γεννᾷν ἐνίοτε πέφυκε τοὺς οὐκ ὄντας· ἡ δ᾽ ἀσθένεια τῶν μορίων χυθέντας τοὺς χυμοὺς ὑποδέχεται μᾶλλον ἢ πρὶν χυθῆναι· τὸ δὲ τῶν ὠμῶν χυμῶν πλῆθος εἰς ὅλον ἀναδίδοται τὸ σῶμα. μηδενὸς δὲ τούτων ἐμποδίζοντος ἐπὶ τῶν βαλανείων δύο ἂν ταῦτα κερδαίνοιτο τῷ κάμνοντι, κενωθῆναί τι τῆς περιουσίας τῶν χυμῶν καὶ διαπνεῦσαι τὸ πολὺ τῆς τοῦ πυρετοῦ θερμότητος. εἰ δὲ πρὸς τῷ μηδὲν ἀσθενὲς εἶναι τῶν κυρίων μορίων, ἔτι καὶ τῶν ἀκύρων ἀσθενὲς ὑπάρχει τι, καθάπερ ἐπὶ μὲν τῶν ποδαγρικῶν οἱ πόδες, ἐπὶ δὲ τῶν ἀρθριτικῶν ἅπαντα τὰ τοῦ σώματος ἄρθρα, μεγίστη τις ἂν ἐκ τοῦ βαλανείου τῷ

excrementa tum fumida educens. Et fiquidem nullius visceris imbecillitas fubfit, proficiet aegrotanti, fi tamen horror inter exhibendum non incidit. Tres enim oportet habere hos fcopos in balneis omnibus febribus concedendis, unum fi citra horrorem adminiftrentur, fecundum fi nulla pars princeps fit imbecilla; tertium fi multitudo crudorum humorum in primis venis non contineatur. Horror namque qua ratione non folum intendere jam praefentem febrem poffit, fed etiam cum non fuit eam interdum excitare, prius dictum eft, partes vero imbecillae liquatos jam humores magis recipiunt quam antequam liquarentur, crudorum vero humorum copia in totum corpus diftribuitur. Horum fi nihil obftet, ex balneis duo haec aegro compendia accedant, et quod redundantiae humorum aliquid vacuabitur et quod multum febrilis caloris tranfpirabit. Quod fi praeterquam quod nulla princeps pars imbecilla fit, etiam ignobilium *partium* aliqua fit imbecilla, veluti podagricis pedes et arthriticis univerfi corporis articuli, maxima falutis pars ae-

κάμνοντι πρὸς τὴν σωτηρίαν ἀπεργασθείη μοῖρα, δεξαμένων τὰ περιττὰ τῶν ἀσθενῶν. εἴωθε μὲν γὰρ ἐνίοτε καὶ χωρὶς τῶν βαλανείων ἐπιῤῥεῖν τοῖς ἀσθενέσι τὸ περιττόν· ἐπὶ βαλανείοις δὲ μᾶλλον, ὡς ἂν καὶ τῶν ὑγρῶν χεομένων καὶ τῶν ὁδῶν αὐτοῖς παρασκευαζομένων εἰς εὔροιαν· ἄμφω γὰρ ταῦτα θερμαινομένοις μετρίως ἀναγκαῖον ἐπακολουθεῖν. λέγω δὲ τήν τε χύσιν τῶν ὑγρῶν καὶ τὴν εὐρυχωρίαν τῶν ὁδῶν. ὅθεν ὅταν ἧπαρ, ἢ γαστὴρ, ἢ πνεύμων, ἢ θώραξ, ἤ τι τῶν οὕτω κυρίων ἀσθενὲς τύχῃ, μέγιστα βλάπτονται λουσάμενοι πάντες οἷς ἂν ᾖ τι περιττὸν ἐν τῷ σώματι· τοῖς δ' αὐτοῖς τούτοις καταπλασθεῖσιν ἡ βλάβη γίγνεται διπλασία μετὰ τοῦ μηδὲν ὀνίνασθαι. [271] τὰ μὲν γὰρ βαλανεῖα καὶ κενοῖ τὸ σύμπαν σῶμα καὶ τὸ καπνῶδες ἅμα τῷ λιγνυώδει διαφορεῖ, τὰ δ' εἰρημένα καταπλάσματα τὰ χαλαστικὰ μετὰ τῶν ὁμοίων αἰονήσεων οὔτε τι τῶν ἀγαθῶν ἔχει καὶ πάνθ' ἕλκει τὰ περιττὰ πρὸς τὸ τῶν μορίων ἀσθενέστερον, ὅ τί περ ἂν ᾖ τοῦτο τῶν κατὰ τὰ μέσα τοῦ σώματος, εἴτ' οὖν ἧπαρ, εἴτε γαστὴρ, εἴτε φρένες, εἴτε μεσάραιον ἢ νῆστις ἢ κῶλον ἢ νε-

gro ex balneo comparabitur, ipfis infirmis partibus quae fupervacua funt excipientibus. Affolent enim nonnunquam et citra balneum fupervacanea in partes infirmas confluere, a balneo vero magis, utpote tum fuccis ipfis per id liquatis tum viis per quas meent patefactis; ambo enim haec ex moderato calore proveniant neceffe eft. Dico autem tum humorum liquationem tum viarum dilatationem. Proinde fit ut quum jecur, ventriculus, pulmones, pectus vel principum id genus partium aliquod imbecillum fit, maxime laedantur quicunque fe laverint, fi illis fupervacua in corpore fint, iidemque ipfi cataplafmate ufi duplex incommodum fentiant nullo commodo. Quippe balneum tum corpus totum vacuat tum quod fumidum eft ac fuliginofum difcutit, laxantia dicta cataplafmata ac fimilis facultatis perfufiones, ut nihil horum bonorum afferunt, fic fupervacuum omne ad imbecillius, quodcunque id circa medium corpus fit, attrahunt, five jecur id, five ventriculus, five feptum tranfverfum, five mefenterium, five jejunum, five colon renesve fint. Quod

Ed. Chart. X. [271.] Ed. Baf. IV. (162.)

ῥοί. εἰ δ' ἐπιμελέστεροι βουλόμεθα φαίνεσθαι καὶ τὸν θώρακα συνθερμαίνοιεν, ἤτοι γ' εἰς αὐτὸν ἐκεῖνον ἕλξουσι τὸ περιττὸν ἢ εἰς τὴν καρδίαν ἢ εἰς τὸν πνεύμονα. λέγω δὲ ἀσθενὲς μόριον ἤτοι τὸ φύσει δυσκρατότατον, ἄλλῳ γὰρ ἄλλο τοιοῦτον, ἢ τὸ κατά τινα προηγησαμένην νόσον ἐν δυσκρασίᾳ γενόμενον, ἢ κατὰ τὸν ἐνεστῶτα χρόνον εἰς αὐτὴν ἠγμένον. οὐ γὰρ ἁπάντων εὐθέως τῶν φλεγμαινόντων μορίων ἢ σηπομένους χυμοὺς περιεχόντων ἢ ἐμπεφραγμένων ἡ δύναμις ἀῤῥωστεῖ· θᾶττον μέντοι κἀπὶ τούτων εἰς τὸ πεπονθὸς φέρεται τὸ περιττὸν, ὁπόσον ἂν ᾖ διὰ τὴν ἐκ τοῦ παθήματος θέρμην· ἡ γὰρ οἷον ἑστία τοῦ πυρετοῦ τὸ τὴν ἔμφραξιν ἢ τὴν σῆψιν ἢ τὴν φλεγμονὴν ἐκδεξάμενόν ἐστι μόριον. ὅταν οὖν ἕλκοντι διὰ θέρμην αὐτῷ προσέλθοι τις ἔξωθεν ἑτέρα πρόφασις, ἔκ τινος τῶν δυνάμει θερμαινόντων ἀναγκαῖον αὐξάνεσθαι τὴν διάθεσιν. εἰ δ', ὡς εἴρηται, προκεκενωμένος ὅλον τὸ σῶμα διὰ τῶν χαλαστικῶν θεραπεύοιτο, χωρὶς τοῦ μέγιστον εἶναι τὸν πυρετὸν ὀνίναιτ' ἄν τι. τηνικαῦτα δ', ὡς ἐλέχθη, καὶ λούοιτ' ἂν ἀβλαβῶς. χρὴ δὲ φυλάττεσθαι τὴν

fi diligentiam oftentare volentes etiam pectus una calefaciant, vel in ipfum vel etiam in cor vel in pulmonem fuperflua rapient. Voco imbecillam partem vel quae natura eft intemperatior, alii namque alia fic fe habet, vel quae ex praecedente aliquo morbo intemperiem contraxit, vel quae in praefenti tempore in hanc fit perducta. Non enim partium omnium quae aut phlegmone laborant aut putrefcentes humores aut obftructiones continent, facultas ftatim infirma eft, promptius tamen in iis quoque fupervacuum, qualecunque id fit, in aegram partem propter calorem quem affectus excitat fertur, quippe pars quam obftructio aut putredo aut phlegmone obfedit, febris ipfius veluti focus eft. Ergo quum huic propter calorem fua fponte trahenti alia quaepiam occafio extrinfecus ex iis quae poteftate calefaciant acceffit, neceffe eft affectum intendi. At vero fi quis, ut dictum eft, toto corpore prius vacuato laxantibus curet ubi maxima febris non adeft, utique prodeffe aliquando poteft. Tum vero, ceu dictum etiam eft, lavare citra noxam

ψυχρὰν δεξαμενὴν τοὺς τοιούτους· εἰώθασι γὰρ οἵ τ᾽ ὠμοὶ χυμοὶ καὶ οἱ σηπόμενοι δυσδιάπνευστοι γίγνεσθαι χρονιζόντων ἐν αὐτῇ. βλάπτει δ᾽ αὐτοὺς, κἂν ἰσχυρῶς εἴη τὸ ὕδωρ ψυχρὸν, ἐπειδὴ διαπνεῖσθαι τῶν οὕτω διακειμένων καὶ ὅλον μὲν τὸ σῶμα δεῖται, μάλιστα δὲ τὸ πεπονθός. ὥστε ἤτοι περιχέειν αὐτοῖς, ὡς εἰώθαμεν, ἐπιτήδειον ὕδωρ, ἢ εἰ μετρίως εἴη τὸ κατὰ τὴν κολυμβήθραν ψυχρὸν, ἐπιτρέψαντας ἐμβῆναι διὰ ταχέων ἐξιέναι κελεύειν. ἐπὶ δὲ προήκοντι τῷ νοσήματι, καθ᾽ ὃν ἤδη καιρὸν ἐκδεδαπάνηται μὲν τὰ περιττὰ, πέπτεται δὲ τὰ ὠμὰ καὶ τὰ σηπόμενα, καὶ καταπλάσμασι χαλῶσι καὶ βαλανείοις ἀκίνδυνον χρῆσθαι.

Κεφ. κά. Καιρὸς δ᾽ ἐπιτηδειότατος ἐν τοῖς διαλείπουσι πυρετοῖς ὅταν, ὡς εἴρηται, διαπνεῖν ἄρξηται τὸ πυρετῶδες θερμόν. εὐθὺς γὰρ τῇ τροφῇ παρασκευάζει τὸ σῶμα, δυοῖν τούτοιν σκοποῖν καὶ τοῦ ταύτης καιροῦ δεομένου, τῆς τ᾽ ἀκμῆς τοῦ προγεγονότος παροξυσμοῦ καὶ τῆς ἀρχῆς τοῦ γενησομένου. πρὸς τούτους γὰρ ἀποβλέποντας χρὴ πειρᾶσθαι πορρωτάτω τρέφειν ἑκατέρου. εἰ μὲν οὖν ἱκανὸν εἴη τὸ

licet. Cavendum tamen a frigido folio his eft, nam et crudi et putrefcentes morantium in eo humores, minus apti ad exhalandum redduntur. Sane officit iis etiam fi aqua admodum fit frigida, quandoquidem fic affectorum tum corpus tum vel maxime affecta pars diffl ari evaporarique poftulat. Quo fit ut vel perfundere illos aqua idonea foleamus, vel fi moderate quae in natatione eft frigeat, ingredi permiffos celeriter exire jubere. In progreffu tamen morbi quo tempore et abfumpta jam fupervacua funt et tum cruda tum putrefcentia concocta et cataplafmatis laxantibus et balneis fine periculo utare.

Cap. XXI. Porro aptiffimum in febribus intermittentibus tempus eft, quum, ut dictum eft, exhalare jam coeperit febrilis calor. Statim enim corpus ad nutrimentum praeparat, duobus his fcopis hujus quoque opportuno tempore, fummo praecedentis acceffionis vigore et futurae principio. Ad haec namque fpectantes operam dabimus ut quam longiffime ab utroque nutriamus. Ergo fi fpatium quod inter

ἐν μέσῳ τῆς τ᾽ ἀκμῆς τοῦ προτέρου παροξυσμοῦ καὶ τῆς ἀρχῆς τοῦ δευτέρου, ῥᾷστον ἐξευρεῖν τὸν καιρόν· εἰ δ᾽ ὀλίγον, ἀναγκαῖόν ἐστι δυοῖν θάτερον, ἢ θερμὸν ἱκανῶς ἔτι τὸν κάμνοντα τρέφειν ἢ μελλούσης ὅσον οὔπω τῆς εἰσβολῆς γενέσθαι τοῦ δευτέρου παροξυσμοῦ. προγνωστικοῦ τοιγαροῦν ὁ τοιοῦτος πυρετὸς δεῖται ἰατροῦ, δυναμένου στοχάζεσθαι κατὰ τὰς πρώτας εὐθέως ἡμέρας εἰς πόσον ἐκταθήσεται χρόνον ὁ πυρετός· δῆλον γὰρ ὅτι σύνοχος ὑπάρχων ὀξεῖαν ἔχει τὴν λύσιν. εἰ μὲν οὖν μὴ πόῤῥω τῆς ἑβδόμης ἡμέρας μέλλοι προέρχεσθαι, παντάπασιν ἀσιτητέον ἐστὶ τῷ νοσοῦντι στοχασαμένων ἡμῶν εἰ ἡ δύναμις ἐξαρκέσει. εἰ δ᾽ ἤτοι μέχρι τῆς ἐννάτης ἢ ἑνδεκάτης [272] ἢ τεσσαρεσκαιδεκάτης ἐκτείνεσθαι μέλλοι, ἢ καὶ περὶ μὲν τὴν ἑβδόμην λύεσθαι, τὴν δύναμιν δ᾽ ἀσθενεστέραν ἢ ὥστ᾽ ἐξαρκέσαι μέχρι τοσούτου χρόνου δόξειεν ἔχειν ὁ κάμνων, ἀναγκαῖον μὲν ἔσται τρέφειν, αἱρεῖσθαι δ᾽, ὡς ἐν ἀπόροις προσήκει, τὰ ἧττον βλαβερὰ διοριζόμενόν τε καὶ ἧττον ἀφορίζοντα τῶν μᾶλλον βλαπτόντων αὐτὰ τῷ τε τόπῳ τῷ πεπονθότι σὺν τῇ διαθέσει δηλονότι καὶ τῷ τοῦ

fummum prioris acceffionis vigorem et fequentis principium interveniet, fatis fit amplum, facile eft idoneum tempus invenire; fin exiguum id fuerit, alterum facias neceffe eft, ut aut aegrum admodum adhuc calentem nutrias, aut fequentis acceffionis invafione jam jam affutura. Quo magis praefagi medici ejusmodi febris indiget, qui primis ftatim diebus quanto fpatio duratura febris fit conjiciat, quippe fi continens fuerit, conftat brevi finiendam. Si itaque ultra feptimum diem progreffura non videbitur, prorfus continendus a cibo aeger eft, fi vires non defecturas conjiciamus. Sin ad nonum aut undecimum aut quartumdecimum ufque progreffura videtur, aut etiam in feptimo finienda, caeterum aeger vires infirmiores habere quam ut in tantum tempus fufficiat, neceffum erit nutrire ac deligere, ficut in re ancipiti convenit, quod minus fit noxium diftinguendo id discernendoque ab eo quod magis fit nociturum, idque tum ex loco affecto una cum affectu tum acceffionis et principii et

παροξυσμοῦ καὶ τῷ τῆς ἀρχῆς καὶ τῷ τῆς ἀκμῆς ἤθει. φλεγμαίνοντος μὲν γὰρ ἥπατος ἢ γαστρὸς ὀλεθριώτατον θρέψαι πρὸ τοῦ παροξυσμοῦ· χωρὶς δὲ φλεγμονῆς ἀῤῥωστούντων τὴν δύναμιν ὠφελιμώτατον. εἰώθασι (163) γὰρ τῶν οὕτως ἐχόντων ἐπὶ μὲν τῷ ἥπατι κακοπραγοῦντι διαχωρήσεις τοῖς παροξυσμοῖς συνεισβάλλειν, ἐπὶ δὲ τῷ στόματι τῆς γαστρὸς συγκοπήν. τοῖς δ᾽ εἰρημένοις ὀργάνοις τοῦ ζώου τὸ ἀνάλογον ἐπὶ τῶν ἄλλων σκοπεῖν κατά γε τὴν θέσιν καὶ τὴν ἀξίαν τοῦ μορίου· λεχθήσεται δὲ καὶ αὖθις ὑπὲρ αὐτῶν. ἦθος δ᾽ ἀκμῆς καὶ παροξυσμοῦ ἀρχῆς ἀξιῶ σε σκοπεῖσθαι προσέχοντα τὸν νοῦν· ἐπὶ μὲν τῆς ἀκμῆς, εἰ ξηρὰ καὶ αὐχμώδης ἄνευ μεγέθους τῆς θέρμης τῆς πυρεκτικῆς ἢ διακαὴς χωρὶς αὐχμοῦ· τὴν μὲν γὰρ προτέραν ὅτι τάχιστα χρὴ τέγγειν ὑγραινούσαις τροφαῖς· ἐπὶ δὲ τῆς δευτέρας ἀναμένειν λωφῆσαι τὸ πλεῖστον τῆς θερμότητος. οὕτω δὲ καὶ τῆς ἀρχῆς τοῦ παροξυσμοῦ τὸ ἦθος ἐν τῷ καταψύχειν τὰ τοῦ σώματος ἀκρωτήρια καὶ πολλὴν εἴσω ποιεῖσθαι μετάστασιν τοῦ αἵματος ἢ χωρὶς ἁπάσης γίγνεσθαι θλίψεως ἐπισκέψῃ. τῆς μὲν γὰρ δευτέρας εἰρημένης

summi etiam vigoris consuetudine. Siquidem ubi vel jecur vel ventriculum phlegmone prehendit, perniciosissimum est ante accessionem cibare, ubi abest phlegmone, quibus infirmae sunt vires utilissimum. Assolent enim eos qui ita se habent jecinore quidem affecto alvi dejectiones una cum accessionibus invadere, ore autem ventriculi vexato syncope. In aliis vero animalis organis, quod jam dictis proportione respondeat, tum ex situs eorum *ratione*, tum partis dignitate aestimabis, ageturque de ipsis postmodum. Ad summi vigoris et accessionis principii morem sic consideres censeo. In summo vigore notabis an citra magnitudinem febrilis caloris siccus sit et squallens, an citra squallorem urens. Priorem namque humectante victu madefacere quam primum oportet, in secundo dum plurimum caloris se remittat expectare. In principii vero accessionis more sic aestimabis, an corporis extrema perfrigeret et magnam sanguinis revocationem ad interiora corporis faciat, an omnino corpus non

Ed. Chart. X. [272.] Ed. Baf. IV. (163.)

τῆς ἀθλίπτου καταφρονεῖν ὡς ἐπιεικοῦς, ἐπὶ δὲ τῆς προτέρας διορίσασθαι. χωρὶς μὲν γὰρ φλεγμονῆς σπλάγχνου ἢ περιουσίας χυμῶν, ἐπικρατούσης τῆς εἰς τὸ βάθος κινήσεως, ἐν τοῖς παροξυσμοῖς οὐδὲν βλάψεις ὀλίγῳ θᾶττον τρέφων· εἰ δ᾽ ἤτοι φλεγμονή τις ἢ πλῆθος εἴη, φυλακτέον τὴν πρὸ τοῦ παροξυσμοῦ τροφὴν ὡς βλαβερώτατον.

premat. Quippe fecundum hoc ceu facile manfuetumve contemnes, in priore diftinguas *oportet.* Nam fi abfque vifceris phlegmone aut humorum redundantia motus ad interiora in acceffionibus pollet, nihil offendes paulo ante cibans, fin vel phlegmone vel redundantia fubfit, cavenda eft ante acceffionem cibatio ceu res maxime noxia.

# ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ Μ.

Ed. Chart. X. [273.] Ed. Baf. IV. (163.)

Κεφ. α'. Οὔτε γένος οὔτε εἶδος οὔτε διαφορά τίς ἐστι πυρετῶν, ὡς ἔνιοι νομίζουσιν οἱ μετὰ συμπτωμάτων συνιστάμενοι, ἀλλ' ὥσπερ ἄλλο τι ἄλλῳ νόσημά τε νοσήματι καὶ σύμπτωμα συμπτώματι καθ' ἕνα χρόνον ἐπιπλέκεται περὶ ἓν σῶμα, κατὰ τὸν αὐτὸν τρόπον ἅμα πυρετῷ γίγνεταί τινα μείζω συμπτώματα, περιττοτέρας προνοίας δεόμενα. τῶν μὲν γὰρ μικροτέρων ἐξ ἀνάγκης ἑπομένων ταῖς γενέσεσι τῶν πυρετῶν οὐδὲ μέμνηνται τὴν ἀρχὴν, ἀλλ' ὡς οὐδ' ὅλως ὄντα παραλείπουσιν ἀνώνυμα· τὰ δ' ἤτοι

# GALENI METHODI MEDENDI LIBER XII.

Cap. I. Neque genus neque fpecies neque differentia ulla eft febrium, ut nonnulli eas cum fymptomatis conftituentes autumant, fed veluti tum alius quidam morbus alii morbo tum fymptoma fymptomati uno tempore eodem in corpore implicatur, eodem modo et cum febre incidunt quaedam graviora fymptomata, quibus profpici majore *medentis* folicitudine debet. Nam leviorum quae febrium generationi neceffario fuccedunt ortum omnino non meminerunt, fed ceu prorfus non fint innominata relinque-

κατὰ τὸ σπάνιον ἐπιγινόμενα τοῖς πυρέττουσιν ἢ τὸ σύνηθες ὑπερβάλλοντα μέγεθος ἐξαιρέτου παρὰ τἄλλα διδασκαλίας ἀξιοῦσιν. εἰσὶ μὲν οὖν αὐτῶν αἱ πρῶται διαφοραὶ τρεῖς. ἤτοι γὰρ ἐν ταῖς τῶν ἐνεργειῶν βλάβαις εἰσὶν ἢ ἐν ταῖς τῶν ἐπεχομένων ἢ κενουμένων ἀμετρίαις, ἢ διαθέσεσι σωμάτων ὑπάρχουσι. οὐ γὰρ τὸ τέταρτον γένος ἐν συμπτώμασι θετέον, εἰ καὶ ὅτι μάλιστα πάμπολλοι καὶ τοῦτο τοῖς συμπτώμασιν ἔμιξαν, οἷον ἐρυσιπέλατα καὶ ὀφθαλμίας καὶ ἕλκη καὶ παρωτίδας, ὅσα τ᾽ ἄλλα τοιαῦτα. τῶν δ᾽ εἰρημένων τριῶν αἱ μὲν τῶν ἐνεργειῶν βλάβαι λυπηραὶ γενηθεῖσαι πρὸς ἑαυτὰς ἐπιστρέφουσι τὸν ἰατρὸν, ἀφίστασθαι τῶν διαθέσεων ἀναγκάζουσαι, καθάπερ γε καὶ αἱ τῶν ἐκκρινομένων ἢ ἐπεχομένων ἀμετρίαι. τὸ δ᾽ ἐν ταῖς διαθέσεσι γένος τῶν συμπτωμάτων σημεῖον μέν ἐστιν ἑτέρας διαθέσεως, ἣν χρὴ θεραπεύειν, αὐτὸ δ᾽ οὐδεμίαν ἐξαίρετον ἴασιν ἔχει, παυόμενον ἅμα τῇ ποιούσῃ διαθέσει. καθόλου μὲν οὖν εἰπεῖν οὐδὲν τῶν συμπτωμάτων ᾗ σύμπτωμά ἐστιν οὔτ᾽ ἐνδείκνυται θεραπείαν οὔθ᾽ ὑπαλλάττει πρώτως. ἐδείχθη γὰρ ἐκ τῶν νο-

runt, at quae vel raro febricitantibus incidunt vel confuetam magnitudinem excedunt, feorfum ab aliis tradenda cenfent. Sunt itaque eorum primae differentiae tres. Aut enim in actionum laefionibus confiftunt, aut in retentorum vacuatorumve ametria, aut corporum ipforum affectibus. Quartum enim genus ftatuendum inter fymptomata non eft, etiamfi inter fymptomata quam maxime non pauci id pofuere, ficut eryfipelata, ophthalmias, ulcera, parotidas reliquaque id genus. Ex dictis vero tribus actionum quidem laefiones fi moleftae fiant, medicum ad fe convertunt affectumque deferere cogunt, quemadmodum et eorum quae retinentur vel excernuntur ametriae. At genus fymptomatum, quod in affectibus confiftit, alterius quidem quem curare oportet affectus eft fignum, ipfum tamen nullam feorfum curationem exigit, utpote cum affectu unde nafcitur una ceffans. Ut enim in fumma dicam, nullum fymptoma qua fymptoma eft nec curationem indicat nec primum immutat. Monftratum enim eft ex morbis curationis indicationem prae-

σημείων ἡ ἔνδειξις τῆς θεραπείας γινομένη, καθάπερ ἐκ τῶν αἰτίων ἡ προφυλακή. λέλεκται δὲ καὶ [274] ὅπως ἡ προφυλακὴ τῷ τῶν ἰαμάτων μίγνυται γένει. κατὰ συμβεβηκὸς δέ ποτε καὶ τὰ συμπτώματα τὴν θεραπείαν ἐξαλλάττει, λόγον αἰτίας ἔχοντα κατ᾽ ἐκεῖνον τὸν χρόνον. ἓν δ᾽ αὐτῶν ἐστιν ἁπάντων κεφάλαιον, ὅταν γ᾽ ὡς αἰτία τὴν θεραπείαν ὑπαλλάττῃ· λέγω δὲ τὸ ἓν τοῦτο τὴν βλάβην εἴτ᾽ οὖν τῆς δυνάμεως εἴτε τῆς διαθέσεως· ὡς ὅταν γε βλάπτῃ μηδὲν, οὐ διακόπτει τὴν ἴασιν. βλάπτει δὲ τὴν μὲν δύναμιν ἀγρυπνία καὶ ὀδύνη καὶ κένωσις ἄμετρος, τὴν διάθεσιν δ᾽ οὐκ ἀεὶ μὲν, ὡς τὰ πολλὰ δὲ καὶ μάλισθ᾽ ὅταν ἄμετρα γένηται. ἐπὶ τούτοις οὖν μόνοις ἀναγκαζόμεθα τὴν ἀγωγὴν τῆς θεραπείας, ἣν ἐξ ἀρχῆς ἐνεστησάμεθα, μεταβαλόντες ἐν τῷ παρόντι πρῶτον ἐκκόψαι τὸ σύμπτωμα. καταλυομένης οὖν τῆς δυνάμεως, οὐ μὴν ἤδη γε ἰσχυρῶς καταλελυμένης, ἀλλ᾽ ἀντεχούσης ἔτι, πρὸς τὸ σύμπτωμα μόνον ἀποβλέπομεν, ὅτι τάχιστα σπεύδοντες ἀναιρεῖν αὐτό· καταλελυμένης δ᾽ ἰσχυρῶς οὐ μόνον τὸ σύμπτωμα παύειν, ἀλλὰ κἀκείνην ῥωννύειν σπεύδομεν. εἰ δ᾽ ἐνὶ

ſtari, veluti ex cauſis ipſis providentiam. Dictum praeterea eſt et quomodo praecautio ipſa cum curationum genere ſit mixta. Ex accidenti tamen ſymptomata quoque .curandi rationem aliquando mutant, cauſae rationem eo tempore habentia. Eorum omnium quum veluti cauſae curationem immutant, unum caput eſt; dico id unum laeſionem, ſive ea ipſius facilitatis ſit ſive affectionis, quod quum nihil iis officiant, curationem non interpellant. Laedunt autem vires vigiliae, dolor et immoderata vacuatio. Affectui vero eadem non utique ſemper, caeterum magna ex parte nocent, ac potiſſimum quum fuerint immoderata. Ob haec igitur ſola curandi ratione quam ab initio inſtitueramus ad praeſens mutata, ſymptoma ſubmovere primum cogimur. Ergo ſi reſolvantur vires, non tamen vehementer ſint jam reſolutae, ſed adhuc reſiſtant, ad ſymptoma tantum ſumus attenti, atque id quamprimum ſubmovere maturamus; ſin jam reſolutae vehementer *vires* ſint, non modo ſymptoma ſedare, ſed etiam illas firmare properamus. Quod ſi uno

βοηθήματι καὶ τὸ σύμπτωμα παύεσθαι δύναιτο καὶ τὸ νόσημα θεραπεύεσθαι, τοῦτο οὐκ ἂν εἴη πρὸς σύμπτωμα βλέπειν ἢ συμπτώματος ἕνεκα βοήθημα παραλαμβάνειν, ἀλλ᾽ ἄντικρυς ἡ τοιαύτη πᾶσα τῶν βοηθημάτων ἰδέα νοσημάτων ἴασίς ἐστιν. οὔτε γὰρ ὅταν ἄλγημα πλευρᾶς ἐν πλευρίτιδι φλεβοτομήσαντες ἢ καθάραντες ἰασώμεθα, συμπτώματός ἐστιν ἡ τοιαύτη θεραπεία, οὐδ᾽ ὅταν ἀπόστημα διατεινόμενον καὶ σφύζον ὀδυνηρῶς διελόντες ἐκκρίνωμεν τὸ πῦον, ἀλλ᾽ ὅταν εἰ οὕτως ἔτυχεν ἐπὶ δυσεντερικαῖς ἐκκρίσεσι δακνούσαις σφοδρῶς ἤτοι τράγου χυλὸν ἐνίεμεν ἢ στέαρ αἴγειον ἢ ῥοδίνην κηρωτήν. ὑφ᾽ ὧν αὕτη μὲν ἡ τῶν ἐντέρων ἕλκωσις οὐ θεραπεύεται· καὶ μάλισθ᾽ ὅταν ἔχῃ τι σηπεδονῶδες· ἀναπαύεται δ᾽ ἡ δύναμις ἐν τῷ μεταξύ· καὶ τοῦτ᾽ ἐστὶ τὸ πρὸς τὸ σύμπτωμα στῆναι, τοῦ νοσήματος ἀμελήσαντας παρ᾽ ἐκεῖνον τὸν καιρόν. ὡς ὅταν γε θαῤῥῶμεν τῷ τόνῳ τῆς δυνάμεως, οὐδέποτε πρὸς τὸ σύμπτωμα ἐνιστάμεθα, τοὐναντίον δ᾽ ἅπαν ἐνίοτε διὰ τῶν ὀδυνηρῶν βοηθημάτων τὰ νοσήματα θεραπεύομεν, ὥσπερ ἀμέλει τὴν δυσεντερίαν αὐτὴν δηκτικωτάτοις

remedio tum fymptoma fedari tum morbus curari queat, id non fuerit fymptoma refpicere, aut fymptomatis caufa remedia fumere, fed omnis ejusmodi auxiliorum fpecies plane morbi curatio eft. Neque enim quum lateris dolorem in pleuritide, miffo fanguine vel corpore purgato fanamus, nec quum abfceffum diftentum et cum dolore pulfantem dividimus ac pus emittimus, ejusmodi curatio fymptomatis eft, fed quum exempli gratia in dyfentericorum dejectionibus, ubi vehementer rodunt vel tragi fuccum vel hircinum fevum vel rofaceum ceratum, per inferius indimus. Quibus utique praefidiis ipfa exulceratio inteftinorum non fanatur, maxime fi putredinofum aliquid habeant; fed vires interim conquiefcunt, atque id eft contra fymptoma inftare, morbo ad id tempus neglecto. Quippe ubi virium roboris fiducia eft, nunquam contra fymptoma pugnamus, ut contra prorfus per ea nonnunquam praefidia quae dolorem afferunt morbos ipfos curemus, veluti profecto dyfenteriae ipfi mor-

φαρμάκοις τότε μάλιστα θεραπεύομεν, ὅταν ᾖ σφοδροτάτη. πεντηκοντούτης γοῦν ἰατρός τις νοσῶν, ἑβδόμην ἄγων ἐκείνην τὴν νύκτα, μὴ πάνυ τι τὴν δύναμιν ἰσχυρὸς, ἀλγήματος αὐτῷ κεφαλῆς ἰσχυροῦ γενομένου κατὰ τὸν δεξιὸν μάλιστα κρόταφον, οὐκ ἀναμείνας ἀφικέσθαι τινὰ τῶν ἑταίρων ἑαυτὸν ἐφλεβοτόμησεν ἐν τῇ νυκτί. καὶ τὸ μὲν ἄλγημα διὰ ταχέων ἐπαύσατο, μέχρι μέντοι χρόνου πολλοῦ κακόχρους καὶ ἄῤῥωστος τὴν δύναμιν ἰσχνός τε καὶ ἄτροφος ἦν, ὡς μόλις ἀναλαβεῖν τὴν ἐξ ἀρχῆς ἕξιν. ἔστι δὲ κἀνταῦθα πρόφασις διττὴ τῶν πρὸς ὀδύνην ἱσταμένων ἰατρῶν, ἐνίοτε μὲν ὑπὲρ τοῦ χαρίσασθαι τῇ μαλακίᾳ τῶν καμνόντων, ἐνίοτε δὲ κατὰ τὸν τῆς τέχνης λόγον. εἰ μὲν γὰρ ἐνὸν ἀντισχόντα ταῖς ὀδύναις διὰ τῶν ἰσχυρῶν βοηθημάτων ἡμέρᾳ μιᾷ θεραπευθῆναι, πρὸς τὴν ὀδύνην ἵστατό τις τῆς ὅλης θεραπείας ἀμελῶν, οὐ κατὰ τὸν λόγον τῆς τέχνης, ἀλλὰ τῷ κάμνοντι (164) χαριζόμενος οὕτω πράττει. εἰ δὲ ὑπὸ τῆς ὀδύνης ἡ δύναμις καταλύοιτο καὶ κίνδυνος ἐφεδρεύοι διὰ τοῦτο, πραΰνειν μὲν χρὴ τὸ ἄλγημα, ῥωννύναι δὲ τὴν δύναμιν, ὅπως ἀντισχεῖν μὲν τῷ νοσή-

dentibus maxime medicamentis tum potiffimum medemur, quum eft graviffima. Itaque medicus quidam quinquagenarius quum jam feptimam noctem aegrotaret, nec viribus admodum valentibus effet, dolore illi capitis vehementi in dextro potiffimum tempore oborto, non expectans, dum amicorum quifpiam ad fe veniret, fibi ipfi nocte venam incidit. Itaque dolor illi protinus conquievit, caeterum longo tempore tum decolor tum viribus imbecillis tum macilentus tum marcefcens fuit fic ut vix priftinum habitum receperit. Eft porro hic quoque duplex medicorum contra dolorem inftantium ratio, altera qua deliciis laborantium fubfcribunt, altera ex artis ratione. Nam fi licet aegrum doloribus obnitentem valentibus remediis uno die perfanari, qui tota neglecta curatione dolori tantum eft intentus, non id ex artis ratione, fed in aegrotantis gratiam facit. At fi ex dolore vires refolvuntur atque ex eo periculum impendet, et mitigari dolor et roborari vires debebunt, quo et

ματι δυνηθῆ, πρός τε τὸν χρόνον ἐξαρκέσαι τῆς ἰάσεως. οἶδα γὰρ ἐνίους τῶν γενναίων εἶναι προσποιουμένων ἰατρῶν τε καὶ καμνόντων ἀπολλυμένους δι᾽ αὐτὸ τοῦτο τὸ καρτερῶς τε καὶ ἀνδρείως ὁμόσε χωρεῖν ἀεὶ ταῖς ὀδύναις, οὐδὲν τῶν παρηγορικῶν ἑλομένους, ἀλλ᾽ ἐν τοῖς τραχέσι καὶ [275] ὡς ἔλεγον αὐτοὶ τὴν διάθεσιν ἀνασκευάζουσι διαγιγνομένους βοηθήμασιν, οὓς ἐν χρόνῳ πλείονι θεραπεῦσαι βέλτιον ἦν ἢ τοὺς σπεύδοντας ἀνδρείως ἀποθανεῖν. ἰώμενος δέ τις, ὡς αὐτὸς ἐνόμιζε, γενναίως δυσεντερικοὺς ἰσχυροτάτῳ φαρμάκῳ πολλοὺς μὲν ἐθεράπευσεν ἐν ἡμέρᾳ μιᾷ, τινὰς δὲ ἀπέκτεινεν. ἦν δὲ ὁ τρόπος αὐτοῦ τῆς θεραπείας τοιόσδε. κρόμμυα τὰ κάρτα καλούμενα μετὰ ἄρτου ἐδίδουν ἐσθίειν καὶ πίνειν ὀλίγον ἡμέρᾳ μιᾷ· κατὰ τὴν ὑστεραίαν ἕωθεν ἔκλυζεν ἅλμῃ δριμυτάτῃ, καὶ μετ᾽ αὐτὴν ἐνίει φάρμακον ἰσχυρόν. ὅσοι μὲν οὖν ἀντισχεῖν ἠδυνήθησαν αὐτῷ τελέως ὑγιάσθησαν, ἔνιοι δὲ σπασθέντες ἢ μετὰ νοτίδος ὑπὸ τῆς ὀδύνης συγκοπέντες ἀπέθανον. ὅρος οὖν ἐπὶ καμνόντων τῷ κατὰ τὸν λόγον τῆς τέχνης ἀγωνιζομένῳ γενναίως πρὸς τὸ νόσημα τὸ τῆς ἰάσεως

morbo refiftere et curationis fpatio fufficere valeant. Equidem novi quofdam tum medicos tum aegros, qui quum generofos fe effe contenderent, ob id ipfum perierunt, quod fortiter ac viriliter contra dolorem femper fint renixi, nec quod eum leniret quicquam ceperint, fed in afperis et, ut ipfi interpretabantur, affectum deftruentibus auxiliis perfeverarunt, quos fane fpatio longiore curatos effe fatius fuiffet quam brevi viriliter mori. Quidam autem, ut fibi eft vifus, generofe dyfentericos vehementiffimo medicamento curans, multos uno fanavit die, quofdam vero jugulavit. Erat namque ejus medicandi ratio ejusmodi. Cepas quas cartas vocant uno die comedendas cum pane dabat, tum potum parcum, poftridie mane muriam acerrimam per inferiora infundebat, fecundum hanc etiam pharmacum validum. His igitur tolerandis quicunque fufficere potuerunt prorfus funt fanati, aliqui vero convulfione aut fyncope ex dolore una cum madore cutis oborto interiere. Efto igitur terminus in aegrotantibus, quem non tranfibit is qui ex arte

ἀσφαλές· ὥσπερ γε καὶ τῷ πραΰνοντι τὰς ὀδύνας ἡ τῆς δυνάμεως φυλακή. τὸ δ' ἐπέκεινα τῶνδε σκαιοῦ μὲν ἀνδρὸς ἔργον ἐστὶν, ἅμα τῷ νοσήματι καὶ τὴν ζωὴν ἀφελέσθαι τὸν ἄνθρωπον· κόλακος δὲ τὸ χαρίζεσθαι τῷ νοσοῦντι, σκοπὸν ὧν πράττει θέμενον ἡδονὴν, οὐχ ὑγείαν. ἐμπίπτουσι δ' εἰς τὰς τοιαύτας ὑπερβολὰς ἐν πολλαῖς μὲν καὶ ἄλλαις ὕλαις βοηθημάτων οἱ ἰατροὶ, μάλιστα δ' ἐν τοῖς καλουμένοις ἀνωδύνοις φαρμάκοις, ὅσα δι' ὀποῦ μήκωνος, ἢ ὑοσκυάμου σπέρματος, ἢ μανδραγόρου ῥίζης, ἢ στύρακος, ἤ τινος τοιούτου συντιθέασιν. οἵ τε γὰρ χαριζόμενοι τοῖς νοσοῦσι πλεονάζουσιν ἐν τῇ χρήσει τῶν τοιούτων φαρμάκων, οἵ τ' ἀκαίρως καὶ ἀμέτρως γενναῖοι μηδ' ὅλως χρώμενοι διαφθείρουσιν ὀδύναις τοὺς κάμνοντας. ὥσπερ οὖν ἐν ἁπάσαις ταῖς καθ' ὅλον τὸν βίον ἕξεσί τε καὶ πράξεσιν, οὕτω κἀνταῦθα τὸ μηδὲν ἄγαν αἱρετέον, ὅρον ἔχοντα τὴν ὠφέλειαν τοῦ κάμνοντος. εἰ μὲν γὰρ οἷόν τε εἴη τοῖς ἰωμένοις τὸ νόσημα βοηθήμασι χρώμενον ἀνύσαι τὸ δέον, ἀφίστασθαι χρὴ τῶν

generofe contra morbum pugnat, ut tuto fanetur, et vero qui dolorem mitigat, ut vires cuftodiat. Ubi ultra pergitur, crudelis hominis officium facit qui una cum morbo vitam quoque homini aufert, qui vero aegrotantis deliciis fubfcribit, ejusque voluptatem, non fanitatem pro fcopo gerendorum habet, adulatoris. Incidunt medici in ejusmodi exceffus cum in aliis quoque remediorum generibus non paucis tum vel maxime in iis vocatis anodynis medicamentis, quae ex papaveris fucco vel alterci femine vel mandragorae radice vel ftyrace vel tali quopiam fiunt. Nam et qui aegris gratificantur, in eorum medicamentorum ufu modum excedunt et qui intempeftive immodiceque funt generofi, dum prorfus horum ufum refugiunt, doloribus aegros jugulant. Quemadmodum igitur in omni totius vitae tum habitudine tum actione, ita hic quoque illud *ne quid nimis* complectendum, habenti pro fine cubantis utilitatem. Nam fi fas eft iis remediis quae morbum fanent utendo quod optamus efficere, abftinendum ab fopientibus medicamentis eft, quae

ναρωτικῶν φαρμάκων, ἃ καλοῦσιν ἀνώδυνα. εἰ δὲ ὑπό τε τῶν ἀγρυπνιῶν καὶ τοῦ καταλύεσθαι τὴν δύναμιν εἰς κίνδυνον ὁ κάμνων ἥκει θανάτου, τότ᾽ ἂν ἐν καιρῷ χρήσαιο καὶ τοῖς τοιούτοις φαρμάκοις, ἐπιστάμενος μὲν ὅτι βλάψεις τι τὴν ἕξιν τοῦ σώματος, αἱρετώτερον δὲ εἶναι νομίζων τοῦ θανάτου τὴν βλάβην. εἰ μὲν γὰρ μὴ πάνυ τις αὕτη μεγάλη γένοιτο, κᾂν ἐκκόψαιμεν αὖθις αὐτὴν ἐπὶ μακροτέρας σχολῆς· εἰ δ᾽ οὕτως ἄμετρος ὡς μηδ᾽ ἐν χρόνῳ πολλῷ τελέως ἰαθῆναι, τοῦτο γοῦν αὐτὸ βέλτιον εἶναι νομίζομεν ἢ ἀπολέσθαι τὸν ἄνθρωπον· κατὰ τοῦτον τὸν λογισμὸν καὶ ἡμεῖς αὐτοὶ, καίτοι μάλιστα πάντων ἐξιστάμενοι χρῆσθαι καρωτικοῖς φαρμάκοις, ἔσθ᾽ ὅτε καὶ κωλικοῖς ἐδώκαμεν αὐτὰ καὶ ὀφθαλμοὺς ὀδυνωμένοις σφοδρότατα καὶ οὖς, ἕτερά τε μόρια κατὰ τὸν αὐτὸν τρόπον. ἔσθ᾽ ὅτε καὶ διὰ κατάῤῥουν λεπτὸν ἀγρυπνοῦντός τε καὶ βήττοντος ἰσχυρῶς τοῦ κάμνοντος ἐδώκαμεν ὀλίγον τι τοῦ τοιούτου φαρμάκου, ῥᾷστον εἶναι νομίζοντες ἐπανορθώσασθαι τὴν βλάβην τῷ χρόνῳ, εἴ τις ἅπαξ χρήσαιτο καρωτικῷ φαρμάκῳ. διαφέρει δὲ δήπου καὶ αὐτὰ τὰ φάρ-

vocant anodyna. Sin ex vigiliis et viribus reſolvendis ad mortis diſcrimen aeger tendat, tum profecto tempeſtive ejusmodi medicamentis utare, non ignarus, corporis habitum nonnihil ex his laedendum, laeſionem tamen quam mortem potius eligendam. Nam ſi haec admodum magna non ſit, ſaltem poſtea ſpatio longiore eam ſarcire licebit; ſin ita eſt immodica ut nec prolixo ſpatio perſanari queat, ac certe hanc ipſam eligendam potius remur quam ut homo pereat; hac nimirum perſuaſione ego quoque tametſi omnium maxime ab uſu graviter ſopientium medicamentorum abhorrens, aliquando tamen ea et colicis exhibeo et iis qui vel oculorum vel aurium vel aliarum partium vehementiſſimo dolore cruciantur. Interdum vero et quum aeger ex tenui deſtillatione, vigiliis et vehementi tuſſi urgetur, pauxillulum ejusmodi medicamenti offero, facile noxam ejus, ſi quis ſemel ſoporifero medicamento eſt uſus, ſpatio emendatum iri ratus. Porro diſſident inter ſe ipſa medicamenta.

μακα σφῶν αὐτῶν. τὰ μὲν γὰρ πλεῖστον ἔχοντα τῶν καρούντων εὐδοκιμεῖ μὲν ἐν τῷ παραυτίκα μᾶλλον, ἰσχυρὰν δὲ καὶ δυσλυτον ἐναποτίθεται τὴν ψύξιν τῷ τοῦ κάμνοντος σώματι· τὰ δ᾽ ἔλαττον μὲν τούτων ἔχοντα, τῶν μιγνυμένων δὲ αὐτοῖς θερμαντικῶν πλεῖστον, ὅσον ἀπρακτότερα πρὸς τὸ παρὸν ὑπάρχει, τοσοῦτον ἀβλαβέστερα πρὸς τὸ μέλλον. ἅπαντα δ᾽ ἀμείνω τὰ τοιαῦτα μετ᾽ ἐνιαυτὸν τῆς συνθέσεως λαμβανόμενα, καθάπερ καὶ τὸ τοῦ Φίλωνος [276] οὐδενὸς ἧττον ἔνδοξον ὀδύνας πραῦναι ναρκῶσαν τὴν αἴσθησιν. ἔστι δὲ καὶ ἄλλα πολλὰ φάρμακα διὰ τῶν σπερμάτων ὀνομαζόμενα καὶ τρίγωνα, μετριώτερα μὲν εἰς τὴν ἐν τῷ παραχρῆμα νάρκην, ἀκινδυνότερα δὲ εἰς τὸ μέλλον· ἅπαντα δ᾽ ἀμείνω καὶ ταῦτα μετ᾽ ἐνιαυτὸν τοῦ συντίθεσθαι λαμβανόμενα. τό γε μὴν τοῦ Φίλωνος εἰ καὶ δυοῖν ἢ καὶ τριῶν ἢ καὶ τεττάρων ἐτῶν εἴη, πολὺ δήπου βέλτιον· οὐκ ἄχρηστον δ᾽ οὐδ᾽ ἐν τοῖς ἐφεξῆς ἔτεσιν ἄχρι που ἐτῶν δέκα. τὸ γὰρ ἐπὶ πλέον κεχρονισμένον ἀβλαβέστερον μὲν εἰς τοσοῦτον εἰς ὅσον χρονιώτερον·

Nam quae plurimum fopientium in fe habent, ea ad praefens quidem magis funt efficacia, caeterum valentem et remediis rebellem aegrotantis corpori frigiditatem relinquunt; quae horum in fe habent minus, calefacientium vero fibi admixtorum plurimum, ea quanto funt ad praefens minus efficacia, tanto in futurum minus funt noxia. Omnia tamen id genus magis funt falubria, fi poft annum a compofitione fumantur, veluti quod ad Philonem referunt auctorem, quod ad dolores fedandos fenfum ftupefaciendo nullo minus eft celebre. Sunt fane et alia multa medicamenta ex feminibus confecta, *diafpermaton* et *trigona* nominata, quae ficut ad torporem in praefens inducendum mitiora, ita in futurum funt tutiora: atque haec quoque omnia utilius annotina fumuntur. Philonis vero medicamentum, etiamfi duorum triumve aut quatuor annorum fit, multo fane eft melius, fed nec inutile tamen fequentibus annis ad decimum usque. Quod enim ultra inveteravit, tanto quidem eft minus noxium, quanto eft vetuftius, caeterum jam languidis eft viri-

ἤδη δ᾽ ἐξίτηλόν ἐστι τὴν δύναμιν, ὥστε ἀσθενῶς ἀνύειν οὗ χάριν ἐσκευάσθη. ὥσπερ οὖν χρὴ φυλάττεσθαι καθ᾽ ὅσον οἷόν τε τὴν τῶν τοιούτων φαρμάκων χρῆσιν, οὕτως ἀναγκασθέντας χρήσασθαι, μήτε νέα ἱκανῶς προσφέρειν ἰσχυρὰν ἔτι δύναμιν ἐχόντων τῶν ἐν αὐτοῖς ψυκτικῶν, μήθ᾽ οὕτως παλαιὰ ὡς ἁμαρτεῖν τοῦ σκοποῦ· ἀλλ᾽ ὡς εἴρηται, τοσοῦτον ἀναμένειν χρόνον ἐν ὅσῳ κολασθήσεται τὸ βίαιον τῶν ψυκτικῶν ὑπὸ τῆς τῶν θερμαινόντων δυνάμεως. ἡ μὲν δὴ τῶν τοιούτων φαρμάκων χρῆσις ὡς πρὸς σύμπτωμά ἐστιν ἱσταμένων καὶ μάλισθ᾽ ὅταν ὑπὸ ψυχρᾶς αἰτίας ἡ ὀδύνη συνίστηται· βλάπτει γὰρ ἰσχυρῶς τὴν διάθεσιν ὅλην ταῦτα καὶ δύσλυτον ἀπεργάζεται.

Κεφ. β΄. Φλεβοτομία δέ γε ἡ μὴ καταλύουσα τὴν δύναμιν οὐ πρὸς τὸ σύμπτωμα βλεπόντων ἐστὶ, ἀλλὰ τὴν διάθεσιν ὅλην ἐκκοπτόντων. οὕτω δὲ καὶ λουτρὸν καὶ κάθαρσις καὶ πυρία καὶ οἴνου πόσις. ὧν ἁπάντων Ἱπποκράτης ἐπὶ ὀφθαλμῶν ὀδυνωμένων ἐμνημόνευσεν, ἐν ἀφορισμοῖς λέγων ὧδε· Ὀδύνας ὀφθαλμῶν ἀκρατοποσίη ἢ λουτρὸν ἢ

bus, eoque parum naviter cujus gratia paratum eft perficit. Ergo ficut cavendus eft, quoad fieri poteft, ejusmodi medicamentorum ufus, ita, fi neceffitas urgeat, nec admodum nova funt offerenda, quod frigida quae in his funt praevalentes vires adhuc habeant, nec ita antiqua ut fpem noftram fruftrentur, fed, uti dictum eft, tamdiu dimittenda funt, quoad violentia refrigerantium ab eorum quae calefaciunt vi mitigetur. Et talium quidem medicamentorum ufus, ut adverfus fymptoma pugnantium eft, potiffimum ubi ex frigida caufa dolor eft excitatus; obfunt enim talia plurimum toti affectui, quem curationi contumacem reddunt.

Cap. II. At fectio venae quae vires non diffolvit non ad fymptoma fpectantium eft, fed totum affectum excindentium. Sic et balneum et purgatio et fomenta et vini potio. Quorum omnium Hippocrates in aphorismis, ubi de oculis dolentibus loquitur, his verbis meminit: *Oculorum dolores meri potio aut lavatio aut fomentum aut venae*

πυρίη ἢ φλεβοτομίη ἢ φαρμακίη λύει. ἅπαντα γὰρ ταῦτα τὰς διαθέσεις ἰώμενα συνεξιᾶται τὰς ὀδύνας αὐτῶν. οὕτω δὲ καὶ τροφὴ, καθάπερ καὶ ἐν τοῖς ἔμπροσθεν εἶπον, ξηρῷ καὶ αὐχμώδει σώματι κάμνοντος στομάχου διδομένη τὴν διάθεσιν ἰωμένη κωλύει συγκόπτεσθαι. οὐ μὴν ἥ γε διὰ πλῆθος ψυχρῶν ἤτοι γ' ἔκλυσις ἢ στομαχικὴ συγκοπὴ τῆς τροφῆς ὡς ἰάματος δεῖται· καίτοι πολλάκις ἐν ταῖς τοιαύταις διαθέσεσιν οὐ τροφὴν μόνον, ἀλλὰ καὶ οἴνου τι δοῦναι τοῖς κάμνουσιν ἀναγκαζόμεθα, τὸν ἐν τῷ παραχρῆμα κίνδυνον ἀποτρέποντες, οὐ τὴν διάθεσιν ἰώμενοι. κένωσις γὰρ μᾶλλον ἢ πρόσθεσις ἡ τῶν τοιούτων ἐστὶν ἴασις· καὶ πλείστους ἰδεῖν ἐστι τῶν οὕτως ἐχόντων ὁσημέραι διαφθειρομένους ἀμαθίᾳ τῶν ἰατρῶν. ὑπὲρ ὧν μοι δοκεῖ καιρὸς εἶναι τὸν λόγον ἐπιστήσαντα διελθεῖν.

Κεφ. γ'. Ἄρχονται τοίνυν πυρέττειν ἔνιοι, πάμπολυ πλῆθος ὠμῶν χυμῶν ἠθροικότες, ἅμα τῷ κεκακῶσθαι τὸ στόμα τῆς γαστρός· ὃ δὴ καὶ στόμαχον ὀνομάζουσιν, ἤτοι

*fectio vel purgatio folvit.* Haec namque omnia dum affectus fanant, una etiam cum ipfis dolores fedant. Eodem modo nutrimentum, ut in fuperioribus eft dictum, ubi in ficco et fqualleute corpore, ftomacho laborante exhibetur, dum affectum ipfum fanat, etiam fyncope prehendi prohibet. At non ea quae ex redundantia frigidorum *humorum* incidit five exolutio five ftomachi fyncope eft, alimentum ceu medicamen defiderat, quamquam multoties in ejusmodi affectibus non folum nutrimentum, fed etiam vini aliquid non raro aegrotanti dare cogimur, non quo affectum curemus, fed quo periculum in praefens depellamus. Nam vacuatio potius quam adjectio talium eft curatio, licetque quotidie videre fic fe habentium plurimos, medicorum ignorantia perditos. De quibus agere nunc mihi tempeftivum videtur.

Cap. III. Ergo febricitare incipiunt nonnulli, ubi maximam crudorum humorum copiam una cum oris ventriculi, quod fane ftomachum vocant, vitio vel ex crudita-

γ' ἐξ ἀπεψιῶν ἢ καὶ ἄλλως πως ἐμπεφύσηται τούτοις τὸ ὑποχόνδριον, ἐν ὄγκῳ τε μείζονι τοῦ κατὰ φύσιν ὅλον τὸ σῶμά ἐστι· [277] καὶ ἡ χροιὰ τοῖς μὲν ἐπὶ τὸ λευκότερόν τε καὶ ὑδαλεώτερον ἐκτέτραπται (165) τοῦ κατὰ φύσιν, ἔστι δὲ οἷς ἐπὶ τὸ μελάντερον ἢ πελιδνότερον, οὓς ἔνιοι τῶν ἰατρῶν ὀνομάζουσι μολιβδοχρῶτας. οἱ σφυγμοὶ δὲ ἁπάντων μικρότεροί τέ εἰσιν ἢ κατὰ λόγον τῆς θέρμης, ἀμυδροὶ δὲ καὶ πάντως ἀνώμαλοι, πολλάκις μὲν κατὰ τὴν συστηματικὴν ὀνομαζομένην ἀνωμαλίαν, ἀεὶ δὲ τὴν κατὰ μίαν πληγήν· ἐπ' οὐδενὸς τῶν τοιούτων αἵματος ἀφαίρεσις ἄνευ μεγίστης εἴωθε γίγνεσθαι βλάβης, καίτοι δέονταί γε κενώσεως· ἀλλ' οὔτε φλεβοτομίαν οὔτε κάθαρσιν φέρουσιν, εἴ γε καὶ χωρὶς τούτων ἐξαίφνης συγκόπτονται. πῶς οὖν χρὴ τοὺς τοιούτους ἰᾶσθαι, δεομένους μὲν κενώσεως, μὴ φέροντας δὲ τὰ κενωτικὰ βοηθήματα, οὐδεμίαν ἄλλην εὗρον ἐπ' αὐτῶν κένωσιν πλὴν τὴν τῆς διατρίψεως. ἄρχεσθαι δ' εὐθέως ἐν ἀρχῇ τῆς νόσου προσήκει, τὸ μὲν πρῶτον ἀπὸ τῶν σκελῶν ἄνωθεν κάτω διὰ σινδόνων μὴ πάνυ μαλακῶν, ἀλλά τι μέτριον ἐχουσῶν τραχύ· χρὴ γὰρ

tibus vel alia quapiam occafione congefferunt. His et hypochondria inflata et totum corpus ampliore mole quam pro naturae modo cernitur, tum color aliis quidem ad albidius quam pro naturali habitu et aquofius eft mutatus: nonnullis etiam ad nigrius aut lividius, quos quidam medici plumbei coloris appellant. Omnibus pulfus minores funt quam pro caloris ratione, praeterea obfcuri omninoque inaequales, faepe inaequalitate fyftematice vocata, femper vero ea quae in uno eft ictu. Nulli talium fanguis mitti fine maxima laefione folet, quum tamen vacuationem defiderent: verum nec fanguinis miffionem nec purgationem ferunt, ut quos fine his fyncope fubito adoritur. Quomodo igitur tales curandi funt, qui quum vacuari poftulent vacuantia praefidia non ferunt? Sane nullam aliam his idoneam vacuationem inveni praeter eam quae ex frictione paratur. Incipere vero in principio ftatim morbi oportet, ac primum a cruribus fuperne deorfum linteis non admodum mollibus, fed afpre-

ἀμύττεσθαι πρὸς αὐτῶν τὸ δέρμα, θερμαίνεσθαί τε ὁμοῦ αὐτὸ καὶ διαφορεῖσθαι δεομένου τοῦ κάμνοντος. ἐφεξῆς δὲ καὶ ὅλας τὰς χεῖρας ἀπὸ τῶν ὤμων ἄνωθεν κάτω κατὰ τὸν αὐτὸν τρόπον τρίβειν. ἐπειδὰν δὲ ἱκανῶς ἅπαντα τὰ κῶλα φαίνηται θερμὰ καὶ φόβος ᾖ κοπώδη τινὰ αἴσθησιν αὐτοῖς γενέσθαι, τεθλασμένης τῆς σαρκὸς ἐπὶ τῷ πλήθει τῆς τρίψεως ἐλαίῳ χαλαστικῷ χρηστέον, οἷόν ἐστι τὸ Σαβῖνον. ἀπέχεσθαι δὲ τῶν στυφόντων Ἱσπανοῦ καὶ Ἱστρικοῦ καὶ τοῦ μετὰ θαλλῶν ἢ ἐξ ὠμῆς ἔτι τῆς ἐλαίας ἐσκευασμένου. χειμῶνος δ᾽ ὄντος οὐδὲν ἂν εἴη χεῖρον ἐπί τι τῶν διαφορητικῶν ἰέναι, οἷόν πέρ ἐστι τὸ σικυώνιον ἔλαιον ἢ τὸ διὰ τοῦ χαμαιμήλου ἢ τὸ παρὰ τοῖς Αἰγυπτίοις εὐδοκιμοῦν. εἰ δὲ μὴ παρείη ταῦτα, τῶν ἐλαίων τι τῶν χαλαστικῶν, οἷς οὐδεμία σύνεστί τις στύψις καὶ μάλιστα εἰ παλαιότερον εἴη λαβόντας ἐμβαλεῖν αὐτῷ σύμμετρον ἀνήθου. κἄπειτα, ὡς εἰώθαμεν, ἐπ᾽ ἀγγείου διπλοῦ θερμήναντάς τε, ὥστε δέξασθαι μετρίως αὐτὸ τὴν ποιότητα τῆς βοτάνης, ἀλείφειν τε τούτῳ, τρίβοντας καὶ νῦν

dinis mediocre quid habentibus: debet enim radi ab his cutis, quum fimul et calefieri per eam et discuti aegrotus poftulet. Dehinc totae manus ab humeris ufque fuperne deorfum fimili modo funt fricandae. Ubi vero artus omnes abunde calere videbuntur, et metus fuerit ne quis ex multitudine frictionis contufa jam carne laffitudinis fenfus ipfis fuperveniat, oleo laxante uteris, quod genus eft Sabinum. Ab adftringente vero abftinebis, *cujusmodi* Hispanum eft Hiftricumque et quod una cum germinibus, vel ex oliva adhuc immatura conficitur. Hiems vero fi fuerit, nihilo deterius fit, fi ad discutientium aliquod tranfieris, cujusmodi ficyonium eft oleum, chamaemelinum aut quod apud Aegyptios eft in pretio. Quod fi horum copia non fit, oportebit accepto laxantium oleorum aliquo et in quo nulla fit adftrictio, potiffimumque quod eft antiquius immittere ipfi anethi, quod videbitur fatis. Mox, ut ipfi folemus, ubi in vafe duplici tantifper calefeceris, dum mediocriter qualitatem herbae imbiberit, ungere hoc artus et fricare tunc quo-

ἐπὶ πλεῖστον τὰ κῶλα· μετὰ δὲ ταῦτα τὸ μὲν ἔλαιον ἀπομάττειν, ἀσηρὸν γὰρ, ἰέναι δὲ ἐπὶ τὴν ῥάχιν ὅλην καὶ ταύτην ἀνατρίβειν ὁμοίως, τὰ μὲν πρῶτα ξηρᾷ τρίψει, τῷ λίπει δ' ὕστερον. εἶτ' αὖθις ἐπὶ τὰ σκέλη μετιέναι, κἀκ τούτων αὖθις ἐπὶ τὰς χεῖρας, εἶτ' αὖθις ἐπὶ τὴν ῥάχιν, ὅλης τῆς ἡμέρας οὕτω πράττοντας ἐν οἴκῳ φῶς ἔχοντι καθαρὸν καὶ ἄνικμον· ἔστω δὲ δηλονότι καὶ τῇ θερμότητι σύμμετρος ὁ οἶκος. ἐπιτηδειότατον δὲ τούτοις ἔστω τὸ μελίκρατον, ἐναφεψηθέντος ὑσσώπου. καὶ χρὴ μήτε σιτίον αὐτοῖς μήτε ῥόφημα μήθ' ὕδωρ διδόναι μήτ' ἐπιτρέπειν ὅλως πίνειν δαψιλῶς, ἀλλὰ τῷ μελικράτῳ μόνῳ χρῆσθαι κατὰ τὰς τρεῖς τὰς πρώτας ἡμέρας, ἐκ διαδοχῆς τρίβοντα καὶ μόνον ἐκεῖνον ἀνιέντα τὸν καιρὸν, ἐν ᾧπερ ἂν ὕπνος αὐτοὺς καταλάβῃ· συνεργεῖ δ' εἰς τοῦτο μάλιστα καὶ ἡ πλείων τρίψις· ὥστε καὶ κατὰ τοῦτ' ἂν εἴη βοήθημα χρηστὸν οὐ μόνον τὸ κενοῦν, ἀλλὰ καὶ τὸν ὕπνον ἐμποιοῦν. οὐ μὴν οὐδ' ὁ πλείων ὕπνος ἀγαθὸς τοῖς τοιούτοις· οὔτε γὰρ ἐπιτρέπει διαφορῆσαι τοὺς ὠμοὺς χυμοὺς καὶ βαρύνει τὰ σπλάγχνα· ἀλλ' εἴπερ τις ἄλλη διάθεσις ἑκατέρων

que quam plurimum debebis; poſtea oleum quod taedium afferat detergere atque ad ſpinam dorſi tranſire hancque totam pariter fricare, primum ſicca frictione, poſt oleo. Ab hac rurſus ad crura te conferes et ab his ad manus, exin denuo ad ſpinam, ita totum agens diem in domo purae lucis nec madente, eſto ejus domus in caloris ſymmetria. Sed mulſa in qua coctum hyſſopum fuit, his eſt aptiſſima. Ipſisque neque cibum neque ſorbitionem neque aquam exhibere oportet neque omnino liberaliter potum concedere, ſed mulſa tribus primis diebus duntaxat uti, ipſe quas dixi partes ordine fricans, eoque ſolum tempore intermittens, quo ſomnus hominem occupaverit; ad quem etiam alliciendum et frictio uberior facit: itaque vel hoc nomine utile praeſidium fuerit, non ſolum quod vacuet, ſed et quod ſomnum conciliet. Non tamen uberior ſomnus his eſt ſalutaris; neque enim crudos humores digeri ſinit et viſcera graviora reddit; ſed ſi quis alius affectus eſt qui ſomnum et

δεῖται μετρίων, ὕπνου τε καὶ ἐγρηγόρσεως, οὕτω καὶ ἥδε. πέπτει μὲν γὰρ ὁ ὕπνος, διαφορεῖ δὲ ἡ ἐγρήγορσις· ἀμφοτέρων δ' ἐστὶ χρεία τοῖς ἐκ πλήθους ὠμῶν χυμῶν νοσοῦσιν· ἐν μέρει τοίνυν μετρίως γινόμενα τιμωρεῖν ἀλλήλοις δυνήσονται χρηστῶς. εἰ μὲν γὰρ ὁ σφυγμὸς αὐτοῖς μικρὸς ἱκανῶς εἴη καὶ ἄῤῥωστος, ἢ καὶ πρὸς τούτοις ἀνώμαλος ἰσχυρῶς, ἔσχατος ὁ κίνδυνος, καὶ χρὴ πράττειν τὰ λελεγμένα [278] μηδὲν ἄλλο περιεργαζόμενον. εἰ δὲ καὶ τόνου μετρίως ἔχοι καὶ μεγέθους, ἄθλιπτός τε εἴη καὶ ὁμαλὸς, ἐπισκέπτου τὰ κατὰ γαστέρα καὶ κλύζε θαῤῥῶν, εἰ μὴ καλῶς αὐτομάτως διεξέρχοιτο. συμβαίνει γὰρ ἐπὶ τῷ μελικράτῳ κενοῦσθαι ταύτῃ χρηστῶς ἅπασαν τὴν περιουσίαν τὴν ἐν ταῖς πρώταις τῶν φλεβῶν εἰωθυῖαν ἀθροίζεσθαι ταῖς καθ' ἧπάρ τε καὶ μεσεντέριον. εἰ δὲ πλείων τοῦ δέοντος ἡ ὁρμὴ τῶν περιττῶν ἐπὶ τὴν γαστέρα γένοιτο, τὴν μὲν πρώτην ἐπὶ πλέον ἕψειν τὸ μελίκρατον· ἧττον γὰρ ὑπάγον τὸ τοιοῦτον τρέφει μᾶλλον· ὥσπερ γε τὸ ὠμὸν ἧττον μὲν τρέφει, μᾶλλον δὲ ὑπάγει. μετὰ δὲ ταῦτα φερομένης ἐπὶ πλέον κάτω

vigilias modicas defideret, hic profecto in iis eft. Quippe fomnus concoquit, vigiliae difcutiunt, utroque eft opus iis qui ex multitudine crudorum humorum aegrotant. Ergo parti mediocriter contingentia juvare mutuo utiliter poterunt. Atque fi pulfus his parvus admodum infirmusque fit, aut etiam fupra haec vehementer inaequalis, extremum periculum eft; facienda tamen quae retuli, nec aliud quicquam moliendum. Sin *pulfus* robore mediocri fit ac magnitudine praeterea minime intercifus et aequalis, confidera quae ad alvum fpectant, ac fi fua fponte commode non dejiciat, audacter per inferius aliquid infundes. Accidit namque poft aquam mulfam, ut quae in primis venis, quae circa jecur et mefenterium funt, colligi fupervacua folent hac commode dejiciantur. Quod fi major quam par fit fuperfluorum impetus ad alvum citetur, principio quidem percoquere mulfam amplius oportebit, ea namque minus alvum fubducens magis nutrit; ut et cruda minus nutrit, fic magis fubducit.

τῆς περιουσίας μηδ᾽ οὕτως μὲν ἵστασθαι, διδόναι δ᾽ ἀντὶ τοῦ μελικράτου πτισάνης χυλόν. εἰ δ᾽ ἐπιμένει φερόμενα, τῷ ἐκ τοῦ χόνδρου ῥοφήματι τρέφειν, παρακολουθοῦντα δηλονότι τοῖς σφυγμοῖς· ἔσθ᾽ ὅτε γὰρ ἐξαίφνης μεταβάλλουσιν εἰς ἀῤῥωστίαν ἢ ἀνωμαλίαν ἢ μικρότητα. καθ᾽ ὃν καιρὸν ἄρτον ἐξ οἴνου κεκραμένου διδόναι προσήκει μήτε γαστρὸς δηλονότι μήθ᾽ ἥπατος φλεγμαινόντων· ὡς εἴ γε φλεγμαίνοιεν, ὠμῶν χυμῶν πεπληρωμένου τοῦ σώματος ἀνέλπιστος ὁ κάμνων ἐστὶ, τῶν σφυγμῶν οὕτω τραπέντων. ἐπὶ μὲν δὴ τῶν τοιούτων ἀῤῥώστων προλέγων τὸν θάνατον, ἀνέγκλητον φυλάξαις σεαυτὸν, μηδενὶ βοηθήματι γενναίῳ χρώμενος. ἐφ᾽ ὧν δ᾽ ἐλπὶς σωτηρίας, ἐπὶ πάντων δ᾽ ἐστὶ τῶν χωρὶς φλεγμονῆς οὕτω νοσούντων, ὅταν ἐξ ἀρχῆς παραλαμβάνωμεν αὐτοὺς, αἴσχρότατον εἶναί μοι δοκεῖ συγκοπῆναι τὸν κάμνοντα· καίτοι γ᾽ ὁσημέραι γίγνεται τοῦτο, διὰ τὴν ἀμαθίαν τῶν ἰατρῶν. ἀλλ᾽ οὐ πρὸς τούτους χρὴ βλέπειν, οὐδὲ τούτοις παραβάλλειν ἑαυτὸν, ἀλλ᾽ ὅστις ἂν ὄντως ᾖ τέχνης ἰατρικῆς ἐπιστήμων, αἰσχρὸν εἶναι νομίσει

Poſt haec ſi ſupervacua largius deſcendant, ne ſic quidem ſiſtenda, ſed exhibendus pro aqua mulſa ptiſanae cremor eſt. Si vero fluere pergant, alicae ſorbitione nutries pulſuum interim ratione obſervata; aliquando enim ſubito ad imbecillitatem vel inaequalitatem vel parvitatem mutantur. Quo tempore panem ex vino diluto exhibere conveniet, utique ſi nec ventriculus nec jecur phlegmone laboret: quoniam ſi hac infeſtentur, jam corpore crudis ſuccis referto plane deſperata ſalus aegro eſt, pulſibus ſic mutatis. Ergo in ejusmodi aegri infirmitate te ipſum a culpa immunem praeſtabis, ſi mortem praedixeris, nullo generoſiore medicamento uſus. Quibus vero ſpes eſt ſalutis, eſt autem omnibus qui ita citra phlegmonen aegrotant, maximum medico, qui utique ipſos in principio ſusceperit, videtur mihi dedecus eſſe, ſi in ſyncopen aegri inciderint; quamquam per inſcitiam medicorum quotidie id fieri cernitur. Verum non eſt quod hos ſpectemus aut cum his noſmet conferamus, ſed cum eo, qui cum revera peritus in arte medica ſit, foe-

ἐξαίφνης ἄῤῥωστον συγκοπῆναι μήτε προειπόντος αὐτοῦ τὸ σύμπτωμα μήτε παρεσκευασμένου πρὸς αὐτὸ μήτε κωλύσαντος. εἴρηται δέ μοι καὶ πρόσθεν ὡς ἐν ταῖς τοιαύταις διαθέσεσιν αὐτοὶ κατασκευάζουσι τὰς φλεγμονὰς οἱ διαπαντὸς τοῖς ὑποχονδρίοις λωβούμενοι διὰ καταπλασμάτων τε καὶ καταντλήσεων. οὔκουν χρηστέον αὐτοῖς πρὶν ἢ τὸ πολὺ τοῦ πλήθους τὸ μὲν ἐκκενῶσαι, τὸ δὲ πέψαι· τηνικαῦτα δὲ ἤδη χρηστέον αὐτοῖς οὐχ ἁπλῶς χαλῶντας, ἀλλ' αἰονῶντας δι' ἀψινθίου μετρίως, ἢν ὁ πυρετὸς ὑπάρχῃ μὴ πάνυ μέγας. εἰ δ', ὡς εἴρηται, θεραπεύοντί σοι τὰς τρεῖς τὰς πρώτας ἡμέρας μηδὲν ἀπαντήσειε χεῖρον, ἐπὶ τῶν αὐτῶν ἄγειν ἄχρι τῆς ἑβδόμης, μελικράτῳ μόνῳ χρωμένους ὕσσωπον ἔχοντι· μακροτάτην γὰρ οἱ οὕτω διακείμενοι φέρουσιν ἀσιτίαν, ἐξ αὐτῶν ὧν ἔχουσιν ὠμῶν χυμῶν πεττομένων τρεφομένου τοῦ σώματος. εἰ δὲ μὴ μόνον ὠμοὶ τύχοιεν ὄντες, ἀλλὰ καὶ διαφθορᾶς εἰς τοσοῦτον ἥκοντες ὡς μὴ δύνασθαι πεφθῆναι τελέως, ἀδύνατον σωθῆναι τοὺς οὕτω νοσοῦντας. ἀλλὰ τούς γε σωθῆναι δυναμένους, εἰ μηδὲν

dum putet, aegrum fyncope extemplo corripi, ipfo nec fymptoma praedicente, nec ad id praeparato aut idem prohibente. Sane dictum a me etiam in fuperioribus eft, qui cataplafmatis et perfufionibus affidue praecordia vexant, ipfos in ejusmodi affectibus phlegmonas accerfere. Minime igitur eft his utendum prius quam fupervacua magna ex parte partim vacuata fint, partim concocta, tum vero etiam his utaris licet, non tamen duntaxat laxans, fed ex abfinthio mediocriter perfundens, fi febris non plane fit magna. Si vero medicanti tibi tres primos dies, ut dictum eft, nihil deterius occurrat, iisdem ipfis uteris usque ad feptimum aqua duntaxat mulfa, in qua incoctum hyffopum fit contentus, fiquidem longiffimam qui ita funt affecti cibi abftinentiam ferunt, corpore fcilicet ex crudis ipfis quos continet fuccis concoquendis alto. Quod fi non modo crudi humores fint, fed etiam eo corruptionis pervenerint, ut concoqui perfecte nequeant, qui fic aegrotant eorum defperata eft falus. Sed

ἁμαρτάνοιτο, μέχρι τῆς ἑβδόμης ἐπὶ μελικράτῳ μόνῳ διαιτᾷν· ἢ εἴ ποτ᾽ ἄρα δεήσειεν ἤτοι τῆς γαστρὸς ἐκκρινούσης ἢ ἀποστραφέντων αὐτῶν τὸ μελίκρατον, ἐπὶ τὸν τῆς πτισάνης ἰέναι χυλόν. εἰ δὲ καὶ τοῦτον ἀποστρέφοιντο, χόνδρον ὁμοίως ἀρτύειν πτισάνῃ· καὶ γὰρ οὐδὲ βλάπτει τοὺς οὕτω διακειμένους ὄξος· ἀλλ᾽ ἢν αἴσθοιό ποτε παχεῖς ἱκανῶς εἶναι τοὺς ὠμοὺς χυμοὺς ὀξύμελι διδόναι διὰ παντὸς, ἀντὶ τοῦ μελικράτου. εἰ δ᾽ ἄχθοιντο τῷ (166) συνεχεῖ τῆς δόσεως, ἐξαλλάττειν μὲν ἐπὶ μελίκρατον καὶ πτισάνην· ἐπανέρχεσθαι δ᾽ αὖθις ἐπ᾽ αὐτό· μάλιστα δὲ ἐπὶ τῶν μικρὸν ἐχόντων καὶ ἀραιὸν [279] καὶ βραδὺν τὸν σφυγμὸν ἡγεῖσθαι ψυχροὺς εἶναι τοὺς χυμούς. εὐθὺς δὲ τούτοις σύνεστι καὶ ἡ τοῦ παντὸς σώματος ἄχροια σαφῶς, οἵα περ πρόσθεν εἴρηται. δόξει δέ τισιν ἴσως ἀδύνατον εἶναι τὸ λεγόμενον οὐδενὶ τῶν πυρεσσόντων οὔτε βραδυτέρων οὔτε ἀραιοτέρων γινομένων τῶν σφυγμῶν. ἀλλὰ κατὰ διττόν γε τρόπον ἀληθὲς ὑπάρχει τὸ εἰρημένον· ἕνα μὲν ἐπειδὴ σαφῶς ἐν τοῖς παροξυσμοῖς καὶ βραδύτεροι καὶ ἀραιό-

qui, fi nullus praefertim committatur error, fervari poffunt, ii aqua fola mulfa ad feptimum usque funt nutriendi, aut ficubi id res exigat vel alvo fluente vel aegro mulfam faftidiente ad ptifanae cremorem eft tranfeundum. Sin hunc quoque averfetur, alica ad eundem quo ptifana modum ei praeparabitur: neque enim iis, qui ita funt affecti acetum incommodum eft, imo ficubi crudos affatim humores effe animadverteris, oxymel pro mulfa exhibere affidue debebis. Quod fi hujus affiduus ufus taedio effe coeperit, tranfire invicem ad mulfam et ptifanam conveniet, dein rurfus ad ipfum *oxymeli* reverti, maxime vere, quibus tum parvus tum rarus ac tardus pulfus eft, iis frigidos fubeffe humores putandum. Iisdem protinus et decoloratio totius corporis manifefte cernitur, qualis prius tradita eft. Sed id effe fortaffe quod dictum eft non poffe quibusdam videatur, quum nulli febricitantium aut tardior aut rarior pulfus fiat. Caeterum duplici ratione verum effe quod dictum eft *comperietur*, una, quod evidenter in acceffionibus et tardiores et

τεροι γίνονται τοῦ κατὰ φύσιν· ἕτερον δὲ, διότι καὶ κατὰ τοὺς ἄλλους καιροὺς τοῦ παροξυσμοῦ πάντων τῶν ὁπωσοῦν πυρεττόντων ἀραιότερόν τε καὶ βραδύτερον αἱ τούτων ἀρτηρίαι σφύζουσιν. εἰ μὲν γὰρ δὴ θέρος εἴη καὶ ψυχροπότης ὁ νοσῶν, ψυχρὸν τούτῳ διδόναι τὸ ὀξύμελι, χειμῶνος δ' ὄντος ἅπασι θερμὸν, ὡσαύτως ψυχροπόταις τε καὶ θερμοπόταις· ὥσπερ εἰ καὶ ἄμετρον καῦμα θέρους ὥρᾳ ψυχρὸν καὶ τοῖς θερμοπόταις, εἰ μηδὲν εὐπαθὲς ἔχοιεν σπλάγχνον. ἐναντιώτατα δέ τούτοις ἐστὶ βαλανεῖα καὶ ὁ περιέχων ἀὴρ, εἰ θερμὸς ἱκανῶς ἢ ψυχρός. ὅθεν οὔτε λούειν προσήκει καὶ κατακλίνειν ἐν οἴκῳ ὥρᾳ μὲν θέρους ψυχεινῷ, χειμῶνος δ' ἀλεεινῷ. βλάπτονται γὰρ ἱκανῶς ὑφ' ἑκατέρας τῆς ἀμετρίας ἐν μὲν τοῖς βαλανείοις, ὡς κἂν τῷ θέρει καὶ πάσῃ τῇ κατὰ τὸ θερμὸν αὐξήσει χεομένων τῶν ὠμῶν χυμῶν καὶ πάντῃ τοῦ σώματος ῥεόντων, ὡς κίνδυνον εἶναι καὶ πρὸς τὸν πνεύμονα καὶ τὴν καρδίαν ἀφικέσθαι καί ποτε καὶ εἰς τὸν ἐγκέφαλον ἀναδραμεῖν, ἄμεινον ὑπάρχον μακρῷ περί τε τὸ ἧπαρ αὐτοῖς ἔτι

rariores quam pro naturali *ipforum habitu* pulfus fiant; altera, quod reliquis praeter acceffionem temporibus horum arteriae tum rarius tum tardius quam aliorum quorumvis qualitercunque febricitantium pulfant. Ergo fi aeftas fit et aeger frigidae potioni affuetus, frigidum huic oxymeli dabis; fin hiems fit, omnibus calidum, tum iis qui calidae tum iis qui frigidae infueverunt, offeres, aeque ut fi immodicus aeftatis tempore aeftus fit etiam iis, qui calidae affueti funt, frigidum, fi nullum fit iis viscus ad injuriam opportunum. At his *propofitis* adverfiffima funt tum balneum tum aër ambiens, fi vel nimium calidus fit vel frigidus. Itaque ut lavandi non funt, fic et reclinandi in domo funt aeftate quidem quae frigeat, hieme quae caleat. Laeduntur namque admodum ab utraque ametria, videlicet in balneo, ut et aeftate et omni caloris incremento, crudis humoribus liquatis ac per omnes corporis partes fluentibus ita ut metuendum fit ne ad pulmones et cor ferantur: aliquando etiam ne ad cerebrum fubeant, quum longe praeftet ut circa jecur

μένειν καὶ τὰς πρώτας φλέβας. ἐν δὲ τοῖς ἀμέτρως ψυχροῖς οἴκοις καὶ χειμῶνι καὶ ὅλως ψυχρῷ τῷ περιέχοντι δύσπεπτοί τε μένουσιν οἱ ὠμοὶ χυμοὶ καὶ τὰς κατὰ τὸ ἧπαρ ἐμφράξεις, εἰ μὲν εἶεν μακραὶ, παραύξουσιν· εἰ δ᾽ οὐκ εἶεν, γεννῶσι διὰ πάχος ἰσχόμενοι καὶ σφηνούμενοι. ταῦτα μὲν οὖν οὕτω πρακτέον, ὅταν ἀπὸ πρώτης ἡμέρας αὐτὸς ἄρχῃ τῆς θεραπείας αὐτῶν. εἰ δὲ συγκοπτομένων ἤδη κληθείης, ἀφλεγμάντων ὄντων ὧν εἶπον χωρίων, διδόναι μὲν αὐτοῖς ἄρτον μὴ πολὺ, δι᾽ οἴνου δὲ τῶν ἀνάδοσιν ἐργαζομένων ταχεῖαν· εὐθέως δ᾽ ἐπὶ τὴν τρίψιν ἰέναι καὶ χρῆσθαι κατὰ τὸν εἰρημένον ὀλίγον ἔμπροσθεν τρόπον. εἰ μὲν οὖν εἴη θέρος καὶ τὸ χωρίον φύσει θερμὸν καὶ πνιγῶδες ἢ ἡ κατάστασις ἱκανῶς θερμὴ, μεθ᾽ ὕδατος ψυχροῦ δοτέον τὸν οἶνον· εἰ δὲ μηδὲν τῶν τοιούτων εἴη, μετὰ θερμοῦ. τὸ μέντοι δεύτερον καὶ τρίτον ἐκ παντὸς τρόπου πειρᾶσθαι θερμὸν διδόναι ποτόν. εἰ γὰρ τὴν ὅλην θεραπείαν, ἧς ἕνεκα καὶ τὰς τρίψεις παραλαμβάνομεν, ἄμεινον τὸ θερμὸν ταῖς πέψεσι τῶν ὠμῶν χυμῶν συνεργοῦν.

et primas venas adhuc ipfis fubfiftant. In domo vero immodice frigida et hieme et denique ambiente frigido humores crudi et inepti ad concoquendum manent, et jecinoris obftructionis, fi leves fint, augent, fi nullae fint, eas craffitudine fua haerentes impactique creant. Atque haec quidem fic agenda funt, ubi a primo die ipfe curationem fufceperis. Si autem ad eos, quos fyncope jam premit, fis accitus, fi ea quae retuli loca phlegmones vacent, panis exhibebis non multum huncque ex vino aliquo quod celerem in corpus diftributionem adjuvet; ftatimque ad frictiones venies, quas etiam pro tradito jam ante modo adminiftrabis. Si itaque aeftas fit et regio natura calens et aeftuans aut ftatus coeli vehementer calidus, cum aqua frigida vinum dabis, fi nihil ejusmodi fit, cum calida. Quae tamen fecundo et tertio dabitur potio, omnino calidam exhibendam curabis. Nam ad univerfam eam curationem, cujus gratia frictiones adhibuimus, calidum praeftat crudorum fuccorum concoctionem adjuvans.

Κεφ. δ'. Ἐφ' ὧν δὲ διὰ χολὴν ξανθὴν ἀδικήσασαν τὸ στόμα τῆς γαστρὸς ἡ συγκοπὴ γένοιτο, ψυχρὸν τούτοις χρὴ προσφέρειν τὸ ποτόν. οἶνον μέντοι τῇ φύσει θερμὸν εἰς ἀνάδοσιν ὁρμῶντα τοῖς συγκοπτομένοις ἅπασι δοτέον· ἀναδοθῆναι γὰρ βουλόμεθα τὴν ληφθεῖσαν τροφὴν, οὐκ ἐν τῇ γαστρὶ μεῖναι. δῆλον δὲ ὅτι τοὺς οἴνους κιῤῥοὺς μὲν τῇ χροιᾷ, λεπτοὺς δὲ τῇ συστάσει, παλαιοὺς δὲ τὴν ἡλικίαν ἐκλεκτέον, εὐθὺς δ' ἂν εἶεν εὐώδεις οἱ τοιοίδε. καὶ μέντοι καὶ αὐτῷ σοι πάρεστι καταπιόντι βραχὺ κραθέντων αὐτῶν αἰσθάνεσθαι θερμασίας [280] εἰς ὅλον ἰούσης τὸ σῶμα. μὴ μέντοι πικροί γε ἔστωσαν ὑπὸ παλαιότητος οἱ οἶνοι καὶ μάλιστα ἐφ' ὧν ὁ τοῦ κάμνοντος στόμαχος ὑπὸ τῆς ξανθῆς ἀδικεῖται χολῆς. οὔτε γὰρ ἔτι τὸ τῶν οἴνων εὔχυμον καὶ τρόφιμον ἔχουσιν οἱ τοιοῦτοι καὶ ἀηδεῖς ὄντες αὐτῷ τούτῳ τὸν στόμαχον ἀνιῶσιν. ἄριστοι τοίνυν εἰσὶν ὅσοι τῶν οἴνων αὐστηροὶ τὴν φύσιν ὄντες αἰσθητὴν μὲν οὐκέτι τὴν στύψιν ἔχουσι διὰ τὴν παλαιότητα, σαφῆ δ' ἱκανῶς τὴν θερμασίαν. ἅπαντα γὰρ ὧν δεόμεθα ποιήσουσιν, ἐφ' ὧν ὁ στόμαχός ἐστι

Cap. IV. At quibus ex flava bile os ventriculi infeſtante ſyncope incidit, iis frigida exhibenda potio eſt. Vinum tamen quod et calidum natura ſit et diſtributionem in corpus promoveat, omnibus ſyncope affectis offerre conveniet; diſtribui namque per corpus ſumptum nutrimentum, non in ventre manere volumus. Conſtat autem vina deligenda eſſe, quae et colore flava ſint et conſiſtentia tenuia et aetate vetera et ſi talia boni odoris continuo fuerint. Quin etiam ipſe, ſi paululum ubi mixta ſint guſtes, ſenties calorem per totum corpus tranſmitti. Caeterum amara prae vetuſtate vina ne ſunto, praeſertim quae iis exhibebis quorum ſtomachus flava bile urgetur. Talia namque ſimul laudabilem ac nutrientem vini ſuccum jam amiſerunt, ſimul injucunda quum ſint, hoc ipſo ſtomachum offendunt. Commodiſſima igitur his vina ſunt, quae quum naturaliter auſtera ſint, ſenſilem jam adſtrictionem propter vetuſtatem non amplius exhibent, calorem tamen admodum evidentem habent. Omnia enim quae requirimus in iis quorum ſtomachus amara bile vexa-

πικρόχολος, ἡδέως τε λαμβανόμενοι καὶ πέψει καὶ ἀναδόσει συνεργοῦντες καὶ τὴν κακίαν τοῦ χυμοῦ πραΰνοντες καὶ θερμὴν τὴν ἕξιν ἐργαζόμενοι καὶ ῥωννύντες τὸν στόμαχον. ἄριστοι δ' εἰσὶ τῶν τοιούτων οἴνων Σουῤῥεντῖνος, Σιγνῖνος, Σαβῖνος, Τιβουρτῖνος, Μάρσος, Ἰταλιῶται πάντες οὗτοι, στύφοντες μὲν, ἀλλ' οὐχ ὁμοίως ἅπαντες. ὁ μὲν γὰρ Σουῤῥεντῖνος μετρίως τε στύφει καὶ θερμότερος τῶν ἄλλων καὶ ἡδίων ἐστίν. ἐφεξῆς δ' ὁ Τιβουρτῖνος ὁ εὐγενής· ἔστι γάρ τις καὶ ἄλλος Τιβουρτῖνος ἄτονος ὁμοίως Σαβίνῳ, βραχείας μετέχων στύψεως. ὁ δὲ Σιγνῖνος αὐστηρότερος· καὶ τούτου πολὺ μᾶλλον ὁ Μάρσος. πάντες οὗτοι χρηστοὶ πικροχόλῳ στομάχῳ. καὶ διὰ τοῦτ' αὐτοῖς χρηστέον, ὅταν γ' ἤτοι ὑπὸ καυσωδῶν πυρετῶν ἀδικηθεὶς ἐπιφέρῃ συγκοπὴν, ἢ καὶ ἄλλως πολλῆς εἰς αὐτὸν ἤτοι ῥυείσης ἢ ἀναποθείσης χολῆς. οἷς μέντοι δι' ὠμοὺς χυμοὺς ὁ κίνδυνος τῆς συγκοπῆς, ὁ Φαλερῖνος ἀμείνων τῶν εἰρημένων εἰς τοσοῦτον εἰς ὅσον εὐχυμότερός τέ ἐστι καὶ θερμότερος· ἀναδοθήσεται γὰρ αὐτῶν θᾶττον καὶ τῇ πέψει

tur efficient, quum et jucunde fumantur et tum ad concoctionem tum ad diftributionem in corpus etiam faciant, et fucci vitium mitigent, et corporis habitum calefaciant, et ftomachum ipfum firment. Hujufce generis vinorum optima funt Surrentinum, Signinum, Sabinum, Tiburtinum, Marfum, omnia haec Italica et adftringentia, non tamen pari modo omnia. Nam Surrentinum et mediocriter adftringit et calidius caeteris et jucundius eft. Ab hoc nobile Tiburtinum; eft enim et aliud quoddam imbecillum Tiburtinum, quod etiam ficut Sabinum levis aftrictionis particeps. Signinum vero aufterius eft, ficut etiam Signino multo magis Marfum. Haec omnia vina ftomacho qui amara vexatur bile falubria funt. Ideoque illis utendum, quoties is vel ex ardenti febre offenfus fyncopen attulerit vel alias multa in eum bilis fluxerit vel multam imbiberit. Quibus tamen ex crudis humoribus fyncopes periculum imminet, fane Falernum tanto jam memoratis praeftat, quanto tum melioris eft fucci, tum etiam calidius; nam et velocius illis per corpus

Ed. Chart. X. [280.] Ed. Baf. IV. (166.)

τῶν ὠμῶν χυμῶν συνεργήσει. τῶν δ᾽ εἰρημένων ἕκαστος ὁ μὲν μᾶλλον, ὁ δ᾽ ἧττον, ἅπαντες δ᾽ οὖν Φαλερῖνοι τονοῦσι μᾶλλον τὸν στόμαχον. ἐπεὶ δὲ καὶ αὐτῶν τῶν Φαλερίνων ὁ μέν τις ἱκανός ἐστι γλυκὺς, ὃν ὀνομάζουσι Φαυστῖνον, ὁ δ᾽, ὡς μὲν πρὸς ἐκεῖνον αὐστηρὸς, ὡς δὲ πρὸς τὸν Σιγνῖνόν τε καὶ Μάρσον γλυκὺς, ἐκλεκτέον εἰς τὰ τοιαῦτα τὸν δεύτερον. εἰ δ᾽ ὁ κάμνων εἴθιστο χρῆσθαι περὶ τὸν τῆς ὑγείας χρόνον οἴνοις γλυκέσιν, οὐδὲν κωλύει τούτῳ δοῦναι τὸν γλυκύτερον Φαλερῖνον. ἐπὶ μέντοι τῆς Ἀσίας καὶ τῆς Ἑλλάδος, ὅσα τε τούτοις ἔθνη γειτνιᾷ, μὴ παρόντων τῶν εἰρημένων οἴνων, ἔσθ᾽ ὅτε κάλλιστος πρὸς ἀνάδοσιν τῶν ἐν ἐκείνοις τοῖς χωρίοις εὐπορουμένων οἴνων ὁ Ἀρουίσιός τε καὶ ὁ Λέσβιος· ὁ μὲν οὖν Λέσβιος εὔδηλός ἐστι κἀκ τῆς προσηγορίας ἐν Λέσβῳ γινόμενος, ὁ δ᾽ Ἀρουίσιος ἐν χωρίοις τισὶ τῆς Χίου γεωργεῖται. τριῶν δὲ οὐσῶν ἐν Λέσβῳ πόλεων, ἧττον μὲν εὐώδης καὶ γλυκὺς ἐν Μιτυλήνῃ γεννᾶται, μᾶλλον δ᾽ εὐώδης καὶ γλυκὺς ἐν Ἐρεσσῷ, κἄπειτα ἐν Μηθύμνῃ. λαμβάνειν δ᾽ ἀπαραχύτους, οὕτω δ᾽ ὀνομάζουσιν οἷς οὐ μέ-

diftribuetur et crudis humoribus concoquendis auxilio erit. Quae quum dictorum fingula aliud magis, aliud minus faciant, omnia tamen Falerna magis ftomachum roborant. At quoniam ipforum Falernorum aliud dulce admodum eft, quod Fauftinum vocant, aliud fi cum hoc conferas aufterum, fi cum Signino et Marfo dulce, deligendum ad talia fecundum eft. Si vero cubans per fanitatem dulcibus vinis infuevit, huic nihil prohibet dulcius Falernum exhibere. Verum in Afia et Graecia et nationibus quae his funt vicinae, ubi copia jam dictorum vinorum aliquando non eft, ex iis quae illae regiones fuppeditant aptiffima ad diftributionem in corpus funt Aruifium et Lesbium, hoc quidem veluti ex ipfo nomine patet in Lesbo natum, Aruifium locis quibusdam in Chio provenit Quum vero tria fint in Lesbo oppida, minus certe tum odorum tum dulce in Mitylene gignitur, magis et odoratum et dulce in Ereffo, dein in Methymna. At fumenda ex his quae aparachyta funt, ita enim nominant ea

Ed. Chart. X. [280. 281.] Ed. Baf. IV. (166. 167.)

μικται θάλασσα, μεγίστην βλάβην ἡγουμένους ἐφʼ ὧν μέμικται γενήσεσθαι. οὐ μὴν οὐδὲ εἰώθασι τοῖς εὐγενέσιν οἴνοις, ὑπὲρ ὧν ὁ λόγος ἐστὶ, μιγνύναι τῆς θαλάσσης ἐν Λέσβῳ, καθάπερ οὐδʼ ἐν Χίῳ τῷ Ἀρουισίῳ. γεννᾶται δὲ καὶ κατὰ τὴν Ἑλλησποντιακὴν Μυσίαν οἶνος ὅμοιος τῷ Σουῤῥεντίνῳ, Μύσιος ὀνομαζόμενος κατʼ ἐξοχήν. οὗτοι πάντες οἱ οἶνοι κιῤῥοὶ καὶ θερμοὶ καὶ εὐώδεις εἰσὶ καὶ τῇ συστάσει μέσοι τῶν θʼ ὑδατωδῶν καὶ τῶν παχέων. ὑδατώδεις μὲν οὖν εἰσι τὴν σύστασιν ὅ τε Ἀδριανὸς καὶ Σαβῖνος καὶ Ἀλβανὸς καὶ Γαυριανὸς καὶ Θοῦσκος, ὅ τε Νεαπολίτης ὁ Ἀμιναῖος, ἐν τοῖς περὶ Νεάπολιν χωρίοις γενόμενος· ὥστε καὶ ὀνομάζουσιν οὕτως αὐτόν. ἐπὶ δὲ τῆς Ἀσίας ὅ τε Τιβηκῖνος καὶ ὁ Τιτακαζηνὸς καὶ τρίτος μετʼ αὐτοὺς ὁ Ἀρσυϊνός. ἔμπαλιν δὲ παχεῖς οἶνοι, καθάπερ τὸ σίραιον, ὃ παρʼ ἡμῖν ὀνομάζουσιν ἕψημα, ὁ Σκυβελλίτης καὶ ὁ Θηραῖος καὶ [281] Ἀλβάτης· ἐπὶ δὲ τῆς (167) Ἀσίας Αἰγεάτης τε καὶ Περπερῖνος. ἐφʼ ὧν οὖν διὰ πλῆθος ὠμῶν χυμῶν ἡ συγκοπὴ γίγνεται, τοὺς μὲν παχεῖς φευκτέον ὡς βλάπτοντας, τοὺς δὲ ὑδατώδεις ὡς

quibus marina aqua admixta non eſt, rati maximum futurum incommodum ex iis quibus eſt admixta. Alioqui nec aſſolent in Lesbo nobilibus vinis, de quibus nunc agitur, marinam aquam immiſcere: veluti nec Aruiſio in Chio. Generatur et in Helleſponti Myſia vinum Surrentino non abſimile, Myſinum per eminentiam vocant. Haec omnia vina flava et calida et odora ſunt et conſiſtentia, quae inter aquoſa craſſaque ſit media. Aquoſae vero conſiſtentiae ſunt Adrianum et Sabinum et Albanum et Gaurianum et Thuſcum et Neapolitanum Aminaeum, quod in locis Neapoli vicinis gignitur, unde etiam ita id nominant. In Aſia vero et Tibecinum et Titacazenum et tertium ab iis Arſyinum. Contra vero craſſa ſunt, ut Siraeon, *id eſt ſapa,* quod apud nos hepſema nominant, et Scybellites et Theraeum et Albates, in Aſia vero Aegeates et Perperinum. Ergo quibus ex abundantia crudorum humorum ſyncope incidit, iis craſſa vina ceu noxia, aquoſa ceu parum efficacia ſunt fugienda, deligenda vero

ἀπράκτους· αἱρετέον δὲ τοὺς μέσους αὐτῶν κιῤῥοὺς, ὡς εἴρηται, καὶ θερμοὺς ὄντας. οὐδὲ γὰρ ἂν εὕροις οὐδένα τῶν λευκῶν οἴνων θερμὸν, ὅπου γε καὶ οἱ αὐστηροὶ καὶ μετρίως λευκοὶ παλαιούμενοι κιῤῥότεροί πως γίνονται. εἰ δ᾽ ἄλλως ἐθέλεις ὀνομάζειν τὸ κιῤῥὸν χρῶμα, δύναιο ἂν λέγειν πυῤῥὸν ἢ ὠχρόν. ὅσοι δ᾽ ἐν αὐτοῖς εἰσι θερμότατοι, ξανθοὶ πάντες εἰσίν· ὁποῖος καὶ ὁ Καίκουβος ἐπὶ τῆς Ἰταλίας. ὃς οὐχ ἕν τι γένος ἐστὶν οἴνου τοιούτου ἐξ ἀρχῆς, ὡς ἔνιοι νομίζουσιν, ἀλλ᾽ ὑπὸ παλαιότητος εἰς τοῦθ᾽ ἥκων, ὡς πυῤῥὰν ἔχειν χρόαν, ὅθεν περ καὶ τοὔνομα αὐτῷ· ἥκουσι δ᾽ οὐ πάντες εἰς τοῦτο φθάνοντες παχύνεσθαι, πρὶν ἐν τῷ διαυγεῖ τὸ ξανθὸν λαβεῖν χρῶμα. τῶν δ᾽ ἄλλων οἴνων τῶν αὐστηρῶν ὅσοι μετρίως λευκοὶ καὶ παχεῖς, οὐδεὶς ἐπιτήδειος εἰς ἀνάδοσιν· εἰ μέντοι παλαιωθεῖεν ἱκανῶς, χρήσαιτ᾽ ἄν τις αὐτοῖς ἑτέρων μὴ παρόντων· εὐστόμαχοι δ᾽ εἰσὶν οἱ τοιοῦτοι πάντες παλαιούμενοι. ὅπως δὲ καὶ τούτων ἔχοις τι παράδειγμα, τοῦ τ᾽ ἀπὸ τῆς Νικομηδίας ἀναμιμνήσκω σε πᾶσιν ἀνθρώποις γνω-

ſunt eorum media, quaeque, ut dictum eſt, flava ſint et calida. Neque enim invenias ex albis vinis calidum ullum, quum etiam auſtera et mediocriter alba tum inveterata fulviora quodammodo reddantur. Quod ſi aliter nominare fulvum colorem velis, licet voces fulvum vel pallens. Quotquot autem in ipſis calidiſſima ſunt, omnia certe flava ſunt, cujusmodi in Italia eſt Caecubum. Quod etiam unum quoddam genus ejusmodi vinorum ab initio, ut aliqui putant, non eſt, verum ex vetuſtate eo pervenit ut colorem obtineat, unde ipſi quoque nomen eſt; non tamen eo omnia perveniunt, quum prius craſſentur, quam in pellucido flavum colorem accipiant. Reliquorum vinorum auſterorum, quae mediocriter alba craſſaque ſunt, nullum ad diſtributionem in corpus eſt idoneum, ſi tamen abunde inveteraverint nec aliorum copia ſit, uti illis licebit; ſunt vero ejusmodi omnia quum inveteraverint ſtomacho utilia. Quo vero habeas horum quoque exemplum, tum ejus quod ex Nicomedia affertur memineris velim, quod omnibus hominibus eſt notum,

ρίμου καὶ τοῦ Σικελοῦ τοῦ Ἀμιναίου τοῦ ἐν τοῖς μεγάλοις κεραμείοις· ὁ γὰρ ἐν τοῖς μικροῖς λαγυνίοις ἐναντιώτατος τῷδε, κακοστόμαχος ἅμα καὶ κεφαλαλγὴς ὑπάρχων. πειρᾶσθαι μὲν οὖν ἀεὶ τὸν ἄριστον αἱρεῖσθαι· μὴ παρόντος δὲ τὸν ὁμοιότατον ἐκείνῳ κατὰ τὰ λελεγμένα γνωρίσματα. κάλλιστοι γοῦν εἰς ἀνάδοσιν ὅ τ᾽ Ἀρουίσιός ἐστι καὶ ὁ Λέσβιος· ἀλλ᾽ εἰ μὴ παρεῖεν, ἐν Ἀσίᾳ δὲ εἴημεν, ἤτοι τὸν Ἀφροδισιαῖον ληπτέον ἢ τὸν αὐστηρὸν Τμωλίτην ἤ τινα τῶν ὁμοίων αὐτοῖς, κιῤῥὸν τῇ χρόᾳ καὶ θερμαίνοντα σαφῶς, εἰ ποθείη παραχρῆμα. ἐπισκέπτεσθαι δὲ χρὴ πρὸ πάντων ὁποία τις ἡ τοῦ κάμνοντός ἐστι φύσις. εἰ μὲν γὰρ ἀσθενὴς τὴν κεφαλὴν εἴη καὶ ῥᾳδίως ὑπὸ τῶν θερμῶν οἴνων πληρούμενος, ἐπὶ τοὺς ἧττον θερμοὺς ἔρχεσθαι μᾶλλον χρή· εἰ δ᾽ ἰσχυρὸς τὴν κεφαλὴν ᾖ καὶ χαίρων οἴνοις τοῖς τοιούτοις ἢ εἰθισμένος ἀλύπως φέρειν, χρηστέον αὐτοῖς θαῤῥούντως. κεφαλαλγεῖς δέ εἰσιν ὅσον ἐφ᾽ ἑαυτοῖς οἶνοι πάντες οἱ εὐώδεις καὶ κιῤῥοί· διὰ τοῦτο καὶ ὁ Φαλερῖνος καὶ ὁ Τμωλίτης καὶ ὁ Λέσβιος ἀσθενεῖ κεφαλῇ βλαβεροί. ὁποία δὲ ἐν τοῖς Φαλερίνοις οἴνοις

tum Siculi Aminaei, quod in magnis reponitur fictilibus: quod enim in parvis fervatur lagunculis, maxime huic eft contrarium, quum et malum ftomacho fit et capitis dolorem excitet. Ac femper quidem eft id agendum ut optimum eligas; fi id non fit, quod illi pro jam comprehenfis notis eft quam fimillimum. Aptiffima namque ad diftributionem in corpus funt Aruifium et Lesbium, fed fi ea defint fimusque in Afia, aut Aphrodifienfe potemus aut aufterum Tmolites aut aliquod his fimilium, quod et colore fit fulvum et illico quum bibitur manifefte calefaciat. Confiderandum vero ante omnia eft, qualisnam aegrotantis natura fit; nam fi imbecillum illi caput fit et quod facile calidis vinis impleatur, minus calida potius funt offerenda; fin firmo admodum capite fit et talibus vinis delectetur aut etiam citra noxam ea ferre fit folitus, haud timide his utetur. At vina et odora et fulva, quantum ex ipforum eft natura, omnia capitis dolorem excitant, eoque tum Falernum tum Tmolites tum Lesbium infirmo capiti noxia funt. Qualis autem in Falernis tradita

εἴρηται διαφορά, τοιαύτη κἀν τοῖς Τμωλίταις· ὁ μὲν γὰρ ἕτερος ἱκανῶς γλυκὺς, ὁ δὲ ἕτερος αὐστηρὸς, ὡς ἐκείνῳ παραβάλλειν· θερμοὶ δ᾽ ἱκανῶς ἀμφότεροι καὶ διὰ τοῦτο κεφαλαλγεῖς. οἱ δὲ αὐστηροὶ τήν τε γαστέρα ῥωννύουσι καὶ ἄλυποι τῇ κεφαλῇ πάντων οἴνων μάλιστ᾽ εἰσίν· εἰς ἀνάδοσιν δὲ οὐχ ὁρμῶσιν· ὥστε σοι φευκτέον αὐτοὺς ἐπὶ τῶν συγκοπτομένων οὐδὲν ἧττον ὕδατος. ἐπιτήδειος δὲ εἰς ἀνάδοσιν καὶ ὁ Ἱπποδαμάντειος παλαιωθεὶς ἐκ τῆς ἰδέας ἂν τοῦ τε Φαλερίνου γλυκέος καὶ τοῦ Τμωλίτου· πρόσεστι δὲ αὐτῷ στύψις σαφὴς, ἥπερ ἐκείνων οὐδετέρῳ, καὶ διὰ τοῦτό ἐστιν εὐστομαχώτερος. ἀποροῦντι δέ σοι τῶν οἰκείων οἴνων ἐν ἑκατέρᾳ τῇ συγκοπῇ, λέγω δὲ τῇ τε διὰ πλῆθος ὠμῶν καὶ τῇ διὰ χολὴν, ἀναγκαζομένῳ τε πάντως οἴνῳ χρήσασθαι, φευκτέοι μὲν, ὡς εἴρηται, πάντες οἱ αὐστηροὶ καὶ νέοι· φευκτέοι δὲ καὶ οἱ παχεῖς· αἱρετέοι δὲ οἱ ὑδατώδεις καὶ μᾶλλον εἰ παλαιοὶ τύχοιεν ὄντες· οὐ θερμαίνουσι μὲν γὰρ ἱκανῶς οἱ τοιοῦτοι, [282] ῥᾳδίως δὲ ἀναδίδονται. ὥστε τοῦ τάχους τῆς ἀναδόσεως, κοινοῦ τοῖς

nobis differentia est, talis et in Tmolitis habetur; alterum enim admodum est dulce, alterum austerum, si cum illo conferatur; calida tamen admodum ambo sunt eoque capiti dolorem inferentia. Austera vina ventriculum roborant, caputque inter omnia vina minime tentant, caeterum distributionem non promovent, quo magis fugienda tibi in syncope prehensis sunt non minus quam aqua. Habile vero ad distributionem et Hippodamantium, quum inveteravit, est ipsum quoque ex ea specie cujus tum dulce Falernum est tum vero Tmolites; inest huic et adstrictio manifesta, quae tamen in neutro illorum est, itaque etiam salubrius stomacho est. In penuria vero vini, quod accommodum utrique syncopae sit, ei inquam quae ex multitudine crudorum *humorum* oritur et ei quae ex bile incidit, coactus prorsus vino uti, fugienda sunt, ut diximus, omnia tum austera tum nova, fugienda quoque crassa: deligenda vero aquosa, magisque si sint antiqua; talia namque tametsi non valenter calefaciunt, tamen facile distribuuntur. Proinde quum celeritas distribu-

τοιούτοις οἴνοις πρὸς τοὺς κιῤῥοὺς ὄντος, ἡ διαφορὰ γένηται ἂν ἐν τοῖσδε· πέψει μὲν τῇ κατὰ τὴν γαστέρα καὶ φλέβας οἱ κιῤῥοὶ συναίρονται μᾶλλον, ὅτι καὶ μᾶλλον θερμαίνουσιν, ἐπικεραστικοὶ δ᾽ εἰσὶ καὶ θρεπτικοί· καὶ διὰ τοῦτο καὶ ταῖς εὐχυμίαις συντελοῦσιν. ὧν οὐδὲν ὑπάρχει τοῖς ὑδατώδεσιν, ἥκιστα γὰρ ἐκ τῆς τούτων οὐσίας ὁμοιοῦταί τι τῷ αἵματι. πληττόντων δὲ τῶν κιῤῥῶν τὴν κεφαλὴν, ἀλυπότατοι πεφύκασιν οἱ ὑδατώδεις· οὐρητικοὶ δέ εἰσιν ἁπάντων οἴνων μάλιστα. δεύτεροι δ᾽ ἐπ᾽ αὐτοῖς, ὅσοι λεπτότατοι τῶν κιῤῥῶν· οὓς μάλιστ᾽ ἄν τις εἰς συγκοπὰς αἱροῖτο. βραδυπορώτεροι δὲ τούτων οἱ κιῤῥοὶ καὶ παχεῖς· ἀλλ᾽ ὅμως τῶν αὐστηρῶν ἁπάντων ποριμώτεροι. τρέφουσι δὲ μᾶλλον τῶν λεπτῶν, κακοχυμίαν τε τάχιστα πάντων τῶν οἴνων ἐπανορθοῦνται, χρηστὸν αἷμα γεννῶντες. ἐπ᾽ ἀρχὴν οὖν αὖθις ἐπαναγάγωμεν τὸν λόγον.

Κεφ. ε'. Ὅτι μὲν οὖν ἡ συγκοπὴ κατάπτωσίς ἐστιν ὀξεῖα δυνάμεως εἴρηται τοῖς πρὸ ἡμῶν. ἐπεὶ δὲ ἡ οὐσία τῶν

tionis fit his cum fulvis communis, differentia rurfus in his erit, quod concoctioni quae in ventriculo et venis agitur fulva magis conducant, propterea quod magis calefaciunt; praeterea contemperantia funt et nutrientia, eoque ad humorum bonitatem conferunt. Quorum omnium nihil in aquofis vinis eft, minimum enim ex horum fubftantia fanguini affimilatur. Sed quum fulva caput feriant, aquofa minime molefta fint, urinas autem maxime praeter caetera vina movent. A quibus fecundum locum obtinent quaecunque fulvorum maxime funt tenuia, quae etiam ad fyncopas potiffimum funt deligenda. Tardius his meatus permeant quae fulva et craffa, quamquam ea quoque aufteris omnibus magis funt penetrabilia. At vero nutriunt haec magis quam tenuia, ac vitiofos humores omnium vinorum celerrime bono fanguine generando corrigunt. Ergo inftitutum fermonem denuo repetamus.

Cap. V. Quod fyncope praeceps virium lapfus fit, id ab aliis ante me dictum eft. Sed quum effentia virium

διοικουσῶν ἡμᾶς δυνάμεων ἔν τε τῷ πνεύματι καὶ τῇ τῶν στερεῶν σωμάτων ἐστὶ κράσει, ταῦθ᾽ ἡμῖν φυλακτέον ἐστὶ παρόντα καὶ ἀνασωστέον διαφθειρόμενα. πῶς μὲν οὖν χρὴ φυλάττειν αὐτὰ κατὰ τὸν τῆς ὑγείας χρόνον, ἐν τοῖς ὑγιεινοῖς δεδήλωται· πῶς δὲ ἐν ταῖς νόσοις, εἴρηται μὲν ἤδη καὶ διὰ τῶν ἔμπροσθεν ὑπομνημάτων, εἰρήσεται δὲ καὶ νῦν. οὐ μὴν ἤδη γέ πω τὸ σύμπαν εἰς πρέπουσαν ἥκει σύνοψιν, οὐδὲ τοιαύτην ἔχει μέθοδον οἵαν τἄλλα τὰ πρότερα. ὅπερ οὖν ἐνδεῖ, προσθεῖναι καιρός. τὴν τοῦ πνεύματος οὐσίαν ἅμα τοῖς στερεοῖς σώμασι φυλακτέον ἡμῖν ἐστιν ἐν ταῖς νόσοις, ὥστε καὶ τῇ ποιότητι καὶ τῇ ποσότητι καθ᾽ ὅσον ἐνδέχεται κατὰ φύσιν ἔχειν αὐτά. εἰ μὲν οὖν ἐνεχώρει τοῦ τε μὴ κενοῦσθαί τι τῆς οὐσίας αὐτῶν καὶ τοῦ μηδ᾽ ὅλως ἀλλοιοῦσθαι προνοήσασθαι, τοῦτο ἂν ἦν ἄριστον. ἐπεὶ δ᾽ ἐν τοῖς ὑγιεινοῖς ὑπομνήμασιν ἀδύνατον ἐδείχθη τὸ τοιοῦτον ὑπάρξαι ποτὲ τῷ γεννητῷ σώματι, πειρᾶσθαι χρὴ τὸ μὲν ἐκρέον τῆς οὐσίας ἐπανορθοῦσθαι προσθέσει, τὸ δὲ ἀλλοιούμενον εἰς εὐκρα-

nos gubernantium tum in fpiritu tum in folidorum corporum temperamento confiftat, haec nobis et integra fervari et ubi corrumpuntur ad integrum revocari debent. Itaque quemadmodum tueri ea per fanitatem conveniat in opere de tuenda fanitate eft praeceptum. Quemadmodum vero et in morbis, traditum jam aliquatenus et in praecedentibus commentariis eft, nunc vero adhuc dicetur. Non tamen adhuc res tota ad decentem venit contemplationem, neque talem methodum habuit, qualem alia priora. Quod igitur deeft, id adjiciendi tempus. Spiritus fubftantia una cum folidis corporibus fic nobis cuftodienda in morbis funt, ut tum qualitate tum quantitate, quoad fieri licet, fecundum naturam fe habeant. Ac fi quidem fic profpici his poffet, ut nec fubftantiae eorum quicquam aut vacuaretur aut prorfus immutaretur, id effet optimum. Sed quoniam in commentariis de fanitate tuenda oftendimus, fieri non poffe ut id generabili corpori unquam contingat, id agendum eft ut quae fubftantiae portio defluit, hanc apponendo farciamus;

σίαν ἐπανάγειν δι᾽ ἐναντίας ἀλλοιώσεως. εἰ μὲν οὖν ἥ τε κένωσις ἥ τε ἀλλοίωσις γίγνοιτο κατὰ βραχὺ, καὶ ἡ ἐπανόρθωσις ἀμφοῖν ἔσται κατὰ βραχύ· καὶ τοῦτ᾽ ἐστὶν ἔργον, ὡς ἐδείχθη, τῆς ὑγιεινῆς τέχνης. εἰ δὲ καὶ ἀθρόως καὶ κατὰ μεγάλα μὴ μόνον αἱ κενώσεις, ἀλλὰ καὶ αἱ προσθέσεις ποτὲ γένοιντο, νόσος ἂν οὕτω γε συσταίη, θεραπευτικῆς δὲ ἂν εἰς τὴν ἴασιν αὐτῶν δεοίμεθα μεθόδου. ὥσπερ οὖν τῆς ὑγιεινῆς ἦν ἔργον τὸ κατὰ μικρὰ τὴν εἰς τὸ παρὰ φύσιν ἐκτροπὴν ἐπανορθοῦσθαι, οὕτω τῆς θεραπευτικῆς ἐστι τὸ κατὰ μεγάλα. τοῦ μὲν δὴ ψυχικοῦ πνεύματος ἐναργῶς ἐδείξαμεν οἷον πηγήν τινα οὖσαν τὸν ἐγκέφαλον, ἀρδομένου καὶ τρεφομένου διά τε τῆς εἰσπνοῆς καὶ τῆς ἐκ τοῦ δικτυοειδοῦς πλέγματος χορηγίας. τοῦ δὲ ζωτικοῦ πνεύματος οὐχ ὁμοίως μὲν ἐναργῶς ἡ ἀπόδειξις ἦν, οὐ μὴν ἀπίθανόν γε κατά τε τὴν καρδίαν αὐτὸ καὶ τὰς ἀρτηρίας δοκεῖν περιέχεσθαι, τρεφόμενον καὶ τοῦτο μάλιστα μὲν ἐκ τῆς ἀναπνοῆς, ἤδη δὲ καὶ τοῦ αἵματος. εἰ δέ ἐστί τι καὶ φυσικὸν πνεῦμα, [283] περιέχοιτ᾽

quod alterafcit, in debitam temperiem per contrariam alterationem vindicemus. Si igitur tum vacuatio tum alteratio fenfim paulatimque fiant, etiam correctio utriusque fenfim adminiftrabitur, quod munus ad artem fanitatis tuendae fpectare aft monftratum. Sin confertim et fimul magna aliquando vacuatio vel etiam adjectio incidat et morbus ita efficiatur, tunc medendi methodum ad eorum fanationem requiremus. Ut igitur mutationem in ftatum contra naturam, quae fenfim paulatimque irrepit, corrigere fanitatis tuendae artis funt partes, ita eam quae multa fimul irruit farcire ad medendi peritiam fpectat. Ergo animalis fpiritus cerebrum veluti fontem effe clare oftendimus, qui partim ex infpirando, partim ex eo quod reticularis plexus fuppeditat atque alitur. Vitalis fpiritus non aeque evidens demonftratio erat, fed tamen in corde eum et arteriis contineri exiftimare alienum a ratione non eft, eundemque nutritum maxime quidem ex refpiratione, fed tamen et ex fanguine. Quod fi naturalis quoque aliquis fpiritus eft, utique

ἂν καὶ τοῦτο κατά τε τὸ ἧπαρ καὶ τὰς φλέβας. εἴρηται δὲ ἐπὶ πλεῖστον ὑπὲρ οὐσίας δυνάμεων ἐν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων. ἡ δὲ τῶν στερεῶν σωμάτων οὐσία δεῖται μὲν δήπου ποσή τις (168) ὑπάρχειν· καὶ διὰ τοῦτο αἱ τροφαὶ διασώζουσι τὸ θνητὸν γένος. οὐ μὴν ἧττον εὐκρασίας χρήζει τῶν συνθετικῶν αὐτῶν στοιχείων· καὶ λέλεκται πολλάκις ἤδη δι' ὧν χρὴ φυλάττειν αὐτὴν εὔκρατον. ἀλλ' ἥ γε κατάπτωσις τῆς δυνάμεως, ὑπὲρ ἧς νῦν πρόκειται λέγειν, ἐπὶ μὲν τῇ στερεῶν οὐσίᾳ διαφορουμένῃ κατά γε τὰ χρονιώτατα νοσήματα γίγνεται πολλάκις, ἀτροφίᾳ λεπτυνθέντος τοῦ ζώου καὶ τῶν ὀξέων ἐν τοῖς συντηκτικοῖς πυρετοῖς. ἐπὶ δὲ τῇ κράσει μεταβαλλούσῃ θερμανθέντων αὐτῶν ἀμέτρως ἢ ψυχθέντων ἢ ὑγρανθέντων ἢ ξηρανθέντων ἢ κατὰ συζυγίαν τι τούτων παθόντων. ἡ δὲ τοῦ πνεύματος ἀλλοίωσις διά τε μοχθηροὺς γίγνεται χυμοὺς καὶ τὴν τοῦ περιέχοντος ἀέρος κακίαν ἄλλοτε ἐξ ἄλλης αἰτίας εἰς τοῦτ' ἀχθέντος· ἔτι τε τὰς δηλητηρίους δυνάμεις ἢ τοὺς τῶν ἰοβόλων ζώων ἰούς. ἀλλ'

is quoque in jecinore et venis continebitur. Sane dictum fusissime de virium essentia est in libris quos de Hippocratis et Platonis placitis scripsimus. Solidorum vero corporum substantia certa esse quantitate procul dubio desiderat, ideoque nutrimenta mortale genus tuentur. Sed nihilo secius et elementa ex quibus componitur *mediocri* esse temperie requirit, dictumque jam saepe est quemadmodum temperies ea sit tuenda. Caeterum virium lapsus, de quo nunc agere institui, solidorum corporum substantiae exhaustae succedens in longissimis morbis saepe incidit, animante ex frequenti atrophia extenuato, praeterea in iis febribus acutis syntecticis, *id est colliquantibus.* Qui vero ex substantiae temperie mutata provenit, quum vel immodice ipsa fuerint calefacta vel refrigerata vel madefacta vel siccata aut horum aliquibus copulatis affecta. Alteratio vero spiritus tum ex vitiosis provenit humoribus tum ex ambientis aeris malitia, qui alias alia de causa in hanc est mutatus; praeterea venenatis facultatibus, aut animalium quae virus ejectant vene-

ἐξηρήσθω γε ταῦτα τῆς ἐνεστώσης ὑποθέσεως. ἡ δὲ τῆς οὐσίας τοῦ πνεύματος φθορὰ γενήσεσθαί τε κινδυνεύουσα καὶ ἡ ἤδη γινομένη διά τε πάθος ψυχικὸν καὶ ὀδύνην ἰσχυρὰν καὶ κινήσεις πλείους· ἐξ οὗ γένους ἐστὶ καὶ ἀγρυπνία καὶ προσέτι δι᾽ ὑπερβάλλουσαν αὐτοῦ λεπτότητα καὶ τῶν περιεχόντων αὐτὸ σωμάτων ἀραίωσιν· καὶ δὴ καὶ πρὸ τούτων ἁπάντων δι᾽ ἐπίσχεσιν τῆς ἀναπνοῆς καὶ τροφῆς ἀπορίαν ἐπανορθώσεως ἀκριβεστέρας δεῖται. τὰ μὲν οὖν πάθη τὰ ψυχικὰ φόβοι τέ εἰσιν ἐξαιφνίδιοι καὶ σφοδροὶ, οὓς ἐκπλήξεις καλοῦσιν· αἵ τ᾽ ἐναντίαι τοῖς φόβοις ἡδοναὶ μέγισται, καλοῦσι δὲ καὶ ταύτας περιχαρείας. ἴσμεν γὰρ ἐξ ἀμφοῖν ἀποθανόντας τινάς. ἤδη δὲ καὶ οἱ ἄλλοι φόβοι πάντες οἱ μεγάλοι σὺν ταῖς μεγίσταις ἡδοναῖς εἰ καὶ μὴ ἀπέκτειναν, ἀλλ᾽ ἔκλυτον ἐργάζονται καὶ ἄτονον τὸ πνεῦμα. καὶ λῦπαι δὲ καὶ ἀγωνίαι καὶ θυμοὶ καὶ φροντίδες, ἐν οἵῳ τρόπῳ καὶ αἱ πλείους ἀγρυπνίαι, βλάπτουσι καταλύουσαι τὴν δύναμιν. ἐν μὲν δὴ τούτοις ἅπασιν αὐτὴ καθ᾽ ἑαυτὴν ἡ ψυχὴ κινεῖται, κατὰ δὲ τὰς πρακτικὰς ἐνεργείας τὸ σῶμα κινεῖ· καταλύει δὲ αὐτῆς τὸν

nis. Verum haec a praefenti inftituto feponantur. Ipfius vero effentiae fpiritus corruptio et quae futura timetur et quae jam adeft, quae tum ex affectu animi incidit tum ingenti dolore tum pluribus motibus; cujus generis et vigiliae funt, tum ex immodica ejus tenuitate et continentium eum corporum raritudine, tum vero ante haec omnia ex ipfo refpiratu prohibito et nutrimenti defectu diligentius corrigi profecto poftulat. Sunt igitur affectus animi timor fubitus et vehemens, quem ecplexin vocant, praeterea quae contraria huic timori eft, voluptas maxima, pericharian vocant. Scimus enim amborum occafione periiffe quosdam. Jam reliqui quoque magni timores omnes et cum his maximae voluptates, etfi non perimant ac certe facile refolubilem infirmumque fpiritum reddunt. Triftitia vero et anxietates et ira et cura eo genere funt noxiae, quo frequentes vigiliae, quod vires refolvant. Ac in iis quidem omnibus ipfa per fe ipfam movetur anima, in practicis autem actionibus ipfa

τόνον ἑκάτερα τὰ γένη τῶν οἰκείων κινήσεων εἰς ἀμετρίαν ἐκταθέντα. περὶ δὲ πόνων τί δεῖ λέγειν; ὅπως ἀνεῖλον μέν τινας αὐξηθέντες ἐπὶ τὸ σφοδρότερον, ἔβλαψαν δὲ πάντας, εἰ καὶ μὴ τύχοιεν ἀποκτείναντες. ἐν τοῖς τοιούτοις ἅπασιν ἐναργῶς φαίνονται λειποθυμοῦντές τε καὶ καταλυόμενοι τὴν δύναμιν οἱ κάμνοντες· ἔνιοι δ', ὡς εἴρηται, καὶ ἀποθνήσκοντες, ἔσθ' ὅτε μὲν ἀπολλυμένου τοῦ πνεύματος, ἔσθ' ὅτε δὲ ἀλλοιουμένου, ποτὲ δὲ ἐκ μέρους διαφορουμένου, πολλάκις δ' ἀμφότερα ταῦτα πάσχοντος. διήρηται γὰρ ἐπὶ πλέον ὑπὲρ αὐτῶν ἔν ἄλλοις τέ τισι κἀν τοῖς περὶ τῶν Ἱπποκράτους καὶ Πλάτωνος δογμάτων. εἰς δέ γε τὰ παρόντα τὸν μὲν τρόπον ᾧ βλάπτειν ἕκαστον πέφυκεν οὐκ ἀναγκαῖον ζητεῖν· τὸ δὲ ὅτι βλάπτει, λαβόντα παρὰ τῆς ἐναργείας χρῆσθαι συμφερόντως εἰς φυλακὴν δυνάμεως ἐν νόσοις. οὕτω δ' εἰ καὶ λεπτυνθείη ποτὲ περαιτέρω τοῦ δέοντος ἡ τῶν διοικούντων ἡμᾶς πνευμάτων οὐσία, γίγνοιτ' ἂν ἀσθενὴς κατ' ἀμφότερα, καὶ ὡς ἠλλοιωμένη τὴν κρᾶσιν καὶ ὡς εὐσκέδαστος ἢ εὐδιαφόρητος ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλῃ γεγενημένη.

corpus movet, refolvitur autem ejus robur utroque motuum fuorum genere, fi modum excedant. De laboribus vero quid attinet dicere, quo pacto et vehementius aucti quosdam jugularint et omnes certe laeferint, tametfi non fuftulerunt? In omnibus ejusmodi cafibus manifefte videntur aegrotantes tum animo linqui tum viribus refolvi; nonnulli vero, ut dictum eft, etiam mori, fcilicet alias fpiritu ipfo deperdito, alias alterato, aliquando ex parte difcuffo, non raro haec utraque perpeffo. Tractatum autem fufius de his eft cum in aliis libris tum vero in iis quos de Hippocratis et Platonis dogmatis prodidimus. Ad rem vero propofitam modum, quo fingula laedere funt nata, disquirere neceffe non eft, imo quod laedant ab ipfa evidentia accipere, ac eo ad vires tuendas in morbis falubriter uti. Pari modo et fi fpirituum nos gubernantium fubftantia aliquando plus jufto extenuata fuerit, utroque profecto modo imbecilla fuerit et tamquam temperie alterata et tamquam diffipabilis vel exhalabilis vel quocunque modo libet appellaffe reddita. Ea-

κατὰ δὲ τὸν αὐτὸν τρόπον εἰ καὶ τὸ σῶμα σύμπαν εἰς ἄμετρον ἐκτραπείη μανότητα, διαφοροῖτ᾽ ἂν ἡ τῶν πνευμάτων οὐσία ῥᾳδίως, αὐτή τε λεπτομερὴς ὑπάρχουσα καὶ τῶν σωμάτων μὴ στεγόντων αὐτήν. οὔκουν οὐδ᾽ ἀραιοῦν [284] ἀμέτρως χρὴ τοῦ νοσοῦντος τὸ σῶμα, συνέχειν ἐν ἑαυτῷ τὸ πνεῦμα προαιρούμενον, οὔτε λεπτύνειν ἰσχυρῶς τὰ κατ᾽ αὐτὸ διὰ τῶν ἐσθιομένων τε καὶ πινομένων. ὅτι δὲ καὶ αὐτῶν τῶν τροφῶν ἅμα τοῖς ποτοῖς οὐ σμικρόν ἐστι φροντιστέον εἰς ῥώμην δυνάμεως, ὅπως τῇ τε ποσότητι σύμμετροι καὶ ταῖς ποιότησιν ἠκριβωμένοι εἶεν, πρόδηλον εἶναι νομίζω. πρόδηλον δὲ οὐδὲν ἧττον, ὡς καὶ τῆς εἰσπνεομένης οὐσίας φροντιστέον, ὅπως εὐκρατοτάτη τ᾽ εἴη καὶ παντὸς τοῦ μιαίνοντος αὐτὴν καθαρωτάτη, μήτ᾽ ἐκ μετάλλων ἢ καμίνων ἢ βαράθρων ἐπιμιξίαν τινὰ λαμβάνουσα, μήτε ἐκ σηπεδόνος ὀσπρίων ἢ λαχάνων ἢ ζώων ἢ ὁτουδήποτε, μήτ᾽ ἀτμοὺς ἐκ λιμνῶν ἢ ἑλῶν ἢ ποταμῶν δεχομένη. ταῦτ᾽ οὖν ἅπαντα προνοεῖσθαι χρὴ, διασώζειν βουλόμενον τὴν δύναμιν ἀβλαβῆ, ἔτι τε πρὸς

dem nimirum ratione et fi totum corpus transmutatum in immoderatam raritudinem fit, facile fpirituum fubftantia discutitur, quod et ipfa tenuium partium fit et corpus eam non contineat. Ergo nec rarefaciendum immoderate aegrotantis corpus eft, fi fpiritum retineri in ipfo ftudeas, fed nec quae in eo funt per ea quae comeduntur et bibuntur valenter extenuanda. Quod vero ipforum quoque ciborum ac potionum non levis habenda fit cura ad robur virium tuendum, ut tum quantitate modici tum qualitate exacti exquifitique fint, id neminem latere arbitror. Nihil vero minus perfpicuum quod etiam fubftantiae quam infpiramus habenda fit cura, ut tum optima temperie fit tum ab omni inquinamento puriffima, nec aliquid ex metallis aut caminis aut barathris fibi admifceat, aut aliquid ex putredine leguminum vel olerum vel animalium vel cujuscunque rei contrahat, aut halitus ex ftagnis, paludibus vel fluvio recipiat. His itaque omnibus profpiciat oportet qui vires illaefas tueri volet. Ad haec etiam ipforum corporum folidorum, in

τούτοις αὐτῶν τῶν στερεῶν σωμάτων, ἐν οἷς δὴ καὶ μάλιστα ἔοικεν ἡ οὐσία τῶν δυνάμεων ὑπάρχειν, οὐ σμικρῶς προνοητέον, ὅπως ὑγιεινὰ ταῖς κράσεσιν εἴη· τοῦτο μὲν οὖν ἁπάντων μορίων κοινὸν ἀγαθόν. ἐξαίρετον δὲ εἰς ῥώμην δυνάμεως καὶ προφυλακὴν τοῦ μή ποτ' ἐξαιφνίδιον ἐπιπεσεῖν παροξυσμὸν συγκοπτικὸν ἡ φυλακὴ τῆς εὐκρασίας ἐστὶ, πρῶτον μὲν τῶν τριῶν ἀρχῶν, ἔπειτα δὲ καὶ τῶν ἄλλων μορίων ὅσα τὰς ἀρχὰς εἰς συμπάθειαν ἐπισπᾶται ῥᾳδίως, οἷόν πέρ ἐστι καὶ τὸ τῆς γαστρὸς στόμα τῷ περιττῷ τῆς αἰσθήσεως, ἄλλα τε πολλὰ συμπτώματα καὶ συγκοπὰς ἐπιφέρον. ἡ μὲν οὖν προειρημένη διάθεσις τῶν ὠμῶν χυμῶν, εἰ μὲν καὶ τῷ πλήθει βαρύνοιεν οὗτοι τὴν δύναμιν, ἐμφράττοιέν τε διὰ πλῆθος καὶ πάχος τοῦ ζώου τοὺς πόρους κατὰ πολλὰς προφάσεις, ὀλέθριός τέ ἐστι καὶ συγκοπτική, καὶ τῷ μὴ τρέφεσθαι τὸ ζῶον καὶ τῷ καταπνίγεσθαι καὶ ἀλλοιοῦσθαι καὶ διαφθείρεσθαι τῆς κράσεως τὴν συμμετρίαν. οἱ μὲν γὰρ ὠμοὶ τρέφειν οὐ δύνανται πρὶν πεφθῆναι, οἱ δὲ πολλοὶ

quibus utique vel maxime consistere virium substantia videtur, non parva habenda providentia est, ut sano temperamento sint: atque hoc quidem omnium partium commune commodum est. Ad robur autem facultatis conservandum et ad syncopalem accessionem, quo minus derepente incidat, cavendam singulare praesidium est temperamenti custodia, ante omnia quidem trium principiorum, mox vero reliquarum partium, quaecunque in consortium affectus principia secum ex facili trahunt; ejusmodi est ventriculi os, quod propter exquisitum sensum tum alia symptomata multa tum vero syncopas accersit. Porro memoratus jam crudorum humorum affectus, si et copia sua hi vires premant et propter tum multitudinem tum crassitudinem exiguos animalis meatus obstruant, jam multis de causis exitialis est, ac syncopae opportunos reddit, nempe et quod animal sub eo non nutriatur et suffocetur et quod symmetria temperamenti ejus et alteretur et corrumpatur. Quippe crudi *succi* nutrire prius quam sint concocti nequeunt,

βαρύνουσιν· εἰ δ᾽ ἐμφράττουσι τὰς διαπνοὰς, σβεννύουσι τὸ θερμόν· εἰ δὲ μήτ᾽ ἐμφράττοιεν μήτε βαρύνοιεν, οὐ συγκοπὰς οὗτοί γε φέρουσιν, ἀλλὰ τὰς καλουμένας λειποψυχίας· ἐκλύονται γὰρ, εἰ μὴ τρέφοιντο συνεχέστερον, οἱ τοιοῦτοι. διδόναι δὲ οὐ χρὴ πλῆθος εἰς ἅπαξ αὐτοῖς, οὐ μὴν οὐδὲ παχείας ἢ ψυχρὰς τὴν δύναμιν τροφὰς, ἀλλ᾽ ὡς εἴρηται πρόσθεν, ἐκ τοῦ γένους τῶν λεπτυνουσῶν τε καὶ θερμαινουσῶν. οὕτω δὲ αὐτοῖς καὶ τὰ φάρμακα δοτέον, ὅσα γε λαβεῖν δύναται πυρέττων ἄνθρωπος, φάρμακα λεπτύνοντα καὶ θερμαίνοντα. τούτοις ὁ ὑδατώδης οἶνος εὐθέως ἐξ ἀρχῆς ἐπιτήδειος, εἰ μὴ σφοδρῶς πυρέττοιεν, ὅπερ οὐ πάνυ τι συμβαίνει κατὰ τὴν εἰρημένην διάθεσιν· ἔτι δὲ μᾶλλον εἰ πρεσβῦται τύχοιεν ὄντες, οἶνον αὐτοῖς δοτέον ἐφ᾽ ἑκάστῃ τροφῇ καὶ μᾶλλον εἰ τὰ διαλείμματα εἴη μέτρια. παροξύνονται δὲ ἐπὶ τοῖς τοιούτοις χυμοῖς καθ᾽ ἑκάστην ἡμέραν καὶ μᾶλλον εἰς ἑσπέραν τε καὶ νύκτωρ, οὐχ ἕωθεν δὲ οὐδ᾽ ἄχρι μεσημβρίας. περὶ μὲν δὴ τούτων καὶ ταῦθ᾽ ἱκανά ἐστι.

iidemque cum multi funt gravant: fi vero fpiramenta quibus perfpiratio agitur obftruant, calorem extinguunt: quod fi nec obftruant nec onerent, fyncopen ii certe non inferunt, fed vocata animi deliquia, fiquidem refolvuntur ejusmodi aegrotantes, nifi frequentius nutriantur. Porro exhiberi his oportebit non copiofe femel, nec quae craffa frigidave poteftate nutrimenta fint, fed, ut dictum prius eft, quae ex genere extenuantium calefacientiumque fint. Ad eundem modum et medicamenta, quaecunque faltem medicamenta fumere febricitans homo poteft, extenuantia calefacientiaque funt offerenda. His et aquofum vinum idoneum ab initio ftatim eft, fi tamen vehementer non febricitent, quod haud fane frequenter in hoc affectu fieri affolet, magis etiam fi qui laborant fenes fint, praebendum iis poft quamque cibationem vinum eft, magisque etiam fi interpofita quietis fpatia mediocria fint. Qui ex ejusmodi humoribus laborant, hos quotidie acceffiones exercent, praecipueque ad vefperam et noctu, non mane nec usque ad meridiem. Atque de his quidem hactenus abunde.

*Κεφ. στ΄. Μεταβῶμεν δὲ ἐπὶ τοὺς ἐναντίαν μὲν ἔχοντας αὐτοῖς τὴν διάθεσιν, ὁμοίως δὲ τούτοις συγκοπτομένους, ἂν μὴ προσχῇ τις ἀκριβῶς αὐτοῖς. εἰσὶ δ' οὗτοι λε[285]πτοὺς ἱκανῶς ἔχοντες τοὺς χυμοὺς, ὡς διαφορεῖσθαι τάχιστα. καὶ δὴ καὶ θεραπευτέον αὐτοὺς ἐναντίως τοῖς προειρημένοις. ἐκείνους μὲν γὰρ ἐκκενοῦμεν κατὰ βραχὺ συνεχῶς διὰ τὸ μὴ φέρειν ἀθρόαν τὴν κένωσιν· τοὺς δ' οὕτως ἔχοντας θρέψομεν κατὰ βραχὺ συνεχῶς. εἰ δ' ἐξ ἀρχῆς παραλάβωμεν ἔτι τῆς δυνάμεως ἐῤῥωμένης, οὐδὲ κατὰ βραχύ· δύνανται γὰρ (169) οἱ τοιοῦτοι καὶ πλείονος εἰς ἅπαξ δοθείσης περιγίγνεσθαι τροφῆς. ὥσπερ δὲ τοὺς ἐκ πλήθους ὠμῶν χυμῶν κινδυνεύοντας συγκοπῆναι παντάπασιν ἐλέγομεν ὀλεθρίως ἔχειν, ὅταν τὸ ἧπαρ αὐτῶν ἢ ἡ κοιλία φλεγμαίνῃ, κατὰ τὸν αὐτὸν τρόπον καὶ τοὺς νῦν ὑποκειμένους ἐν τῷ λόγῳ νομιστέον ἀνιάτως ἔχειν, ἢν φλεγμήνῃ τι τούτων σπλάγχνον, καμνούσης ἤδη τῆς δυνάμεως· οὔτε γὰρ οἷόν τε τρέφειν αὐτοὺς συνεχῶς, ἀλλ' ἐν ταῖς παρακμαῖς μόνον, οὔτε μὴ τρέφοντας οἷόν τε διασώζειν αὐτούς ἐστιν. ἐπὶ μὲν τῶν τοιούτων δια-*

Cap. VI. Tranfeamus autem ad eos qui contrario quidem huic laborant affectu, fed tamen fyncope fimiliter opprimuntur, nifi quis fedulo fit attentus. Hi funt qui praetenues fuccos habent fic ut ocillime exhalent. Itaque etiam diverfa a jam dictis ratione funt curandi. Illos namque paulatim et affidue vacuavimus, propterea quod multam fimul vacuationem ferre non poterant: at qui fic fe habent, hos paulatim et affidue nutriemus. Quod fi a principio hos viribus adhuc valentibus *curandos* fusceperimus, nec paulatim *eos cibabimus;* poffunt namque ii vel quod liberius femel datum eft, nutrimentum fuperare. Tanquam autem eos, qui ex crudi humoris multitudine fyncope periclitantur perniciofe affici diximus, quum jecur his vel ventriculum phlegmone obfedit, itidem de quibus nunc agere inftituimus infanabiles funt exiftimandi, fi viribus jam languentibus aliquod eorum vifcus phlegmone infeftetur: neque enim affidue hos nutrire fas eft, fed tantum in remiffionibus, nec fervare eos, fi non nutriantur, licet. In ejusmodi

θέσεων ἡ νεκρώδης ἐν τῷ προσώπῳ κατάστασις ἐν τάχει γίνεται· ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι καὶ τἄλλα ὅσα τούτοις ἐφεξῆς λέλεκται. ἐάν τε γὰρ ἐκκρίνωσι πλέον, ἐάν τε ἀγρυπνήσωσιν ἢ λυπηθῶσιν, ἢ μὴ θᾶττον τραφῶσιν, αὐτίκα τοιοῦτον ἴσχουσι τὸ πρόσωπον. εἰ μὲν οὖν σύν τινι τούτων ἤ τισιν ὀφθεῖεν οἱ τοιοῦτοι, μικρότερον εἶναι νόμιζε τὸ κακὸν ἢ εἰ χωρὶς τούτων ἐλεπτύνθησαν· εἰ δ' ἄνευ τούτων, ὀλέθριον· ἔτι δὲ μᾶλλον, εἰ κατ' ἀρχὰς τοῦ νοσήματος οὕτως ἔχοιεν· οὐδὲ γὰρ ἐξαρκέσουσιν εἰς τὴν πέψιν αὐτοῦ. ταῦτ' ἄρα καὶ ὁ Ἱπποκράτης ἔφη· καὶ ἢν μέν τι τουτέων ὁμολογῇ, ἧττον νομίζειν δεινὸν εἶναι. κατ' ἀρχὴν μὲν γὰρ τοῦ νοσήματος, ὡς προεῖπον, εἰ καὶ μετά τινος τῶν προειρημένων οὕτως ἔχοιεν, οὐκ ἀγαθόν· ἧττον μὲν τοῦτο δεινὸν ἢ εἰ καὶ μηδὲ μετὰ τούτων τινός· ἀλλὰ τῷ διαφορεῖσθαι ῥᾳδίως χαλεπόν. οὐ μόνον δὲ ἀπολεπτυνθέντος οὕτω τοῦ τε πνεύματος αὐτοῖς καὶ τοῦ αἵματος ἡ διαφόρησις εἴωθε γίνεσθαι πολλάκις, ἀλλὰ καὶ τῆς ἀποκριτικῆς δυνάμεως τῆς καθ' ὅλον τὸν ὄγκον ἀμετρότερον

affectibus mortifera illa conſtitutio in facie celeriter apparet, *naſus acutus, oculi cavi* et reliqua, quae deinceps ſunt adſcripta. Nam ſive multum excernant ſive vigilent ſive triſtentur ſive non cito nutriantur, protinus ejusmodi faciem habent. Porro ſi alicujus horum, aut etiam plurium occaſione tales eſſe videbuntur, minus eſſe malum putabis quam ſi absque his eſſent emaciati; ſin absque his tales appareant, pernicioſum judicabis, atque hoc amplius, ſi a principio morbi eam habeant ſpeciem, neque enim dum concoquatur ſufficient. Atque ob id Hippocrates dixit, ſi quid ejusmodi conſenſerit, minus ſubeſſe periculi putandum. In morbi namque principio, ut praedixi, etiam ſi cum aliquo praedictorum in eo ſint ſtatu, haudquaquam id bonum eſt: caeterum minus id periculi minatur quam ſi cum horum nullo, imo ex *ſpiritu ipſo* prompte diſcuſſo periculoſum. Non ſolum autem extenuato ita ſpiritu et ſanguine his discuſſio ſaepe incidere aſſuevit, ſed etiam excretrice facultate per univerſam *corporis* molem immoderatius concitata.

κινηθείσης. ὅπερ εἴωθε μάλιστα γίνεσθαι διὰ τὴν ἀμετρίαν τῆς καθεκτικῆς. τὸ μὲν δὴ τρέφειν ἀναγκαῖον, ὅ τι περ ἂν ᾖ τούτων· ἀναγκαῖον δὲ καὶ τὸ πυκνοῦν τὴν ἐπιφάνειαν, ὥσπερ τῶν προτέρων ἀραιοῦν· ἐκ διαμέτρου γὰρ ἀλλήλαις αἱ διαθέσεις ὑπάρχουσαι καὶ τῆς τῶν βοηθημάτων ἰδέας ἐναντιωτάτης δεήσονται. ψυχρὸν οὖν ἐπὶ τούτων τὸν ἀέρα καὶ στύφοντα ποιητέον· εἴρηται δὲ ἔμπροσθεν ὅπως χρὴ ταῦτα πράττειν. ἀλειπτέον δὲ αὐτοὺς ὁμοίως τοῖς στύφουσιν ἀλείμμασι. καὶ τροφὰς δοτέον οὐ πάνυ τι διαῤῥεούσας ἑτοίμως, οὔτε μελίκρατον οὔτε χυλὸν πτισάνης, ἀλλ' ἄρτους καὶ τὰ διὰ τοῦ χόνδρου ῥοφήματα καὶ ὀπώρας αὐστηρὰς καὶ δυσφθάρτους, αὐτάς τε καθ' ἑαυτὰς καὶ μετ' ἄρτου καὶ χόνδρου δι' ὕδατος ἑψημένου. δοτέον δὲ τούτοις ἔστιν ὅτε καὶ ὠὰ καὶ μᾶλλον τὰς λεκίθους αὐτῶν, δύσπεπτον γὰρ τὸ λευκόν. ἀλεκτρυόνων τε τῶν γάλακτι τεθραμμένων τοὺς ὄρχεις· δοτέον δὲ καὶ τοὺς ἐγκεφάλους τοὺς ὑείους, ἤτοι γ' ὀπτηθέντας ἀκριβῶς· ἔναιμοι γὰρ δοθέντες ἐσχάτως βλάπτουσιν· ἢ διὰ τοῦ λευκοῦ ζωμοῦ καλῶς ἑψημένους, ἐμβεβλημένου πράσου καὶ ἀνήθου.

Id quod incidere maxime ex ametria retentricis folet. Sane nutrire quicquid horum inciderit eft neceffe, oportet etiam corporis fumma denfare, non fecus quam priorum rarefacere. Quum enim e diametro ii affectus inter fe diffideant, etiam praefidiorum fpeciem diverfiffimam requirunt. Ergo frigidum iis aërem adftringentemque comparabimus, qui quemadmodum fiat prius eft dictum. Ungendi fimiliter funt adftrictoriis unguentis. Tum cibi iis dandi, qui non admodum prompte diffluant, non aqua mulfa, non ptifanae cremor, fed panis et forbitio ex alica et fructus aufteri et qui non facile corrumpantur, tum ipfi per fe, tum vero et cum pane et alica, quae in aqua fit cocta. Dabis vero aliquando iis et ova, praecipueque eorum vitellos, album enim eorum aegre concoquitur, praeterea gallinaceorum qui lacte fint alti tefticulos, dabisque fuillum cerebrum, fed vel diligenter affum, quando fi cruentum detur fummopere laedit, vel in albo jure legitime elixum, porro et anetho injectis. Denique

καὶ ὅλως ἅπαντα πρακτέον ὑπὲρ τοῦ παχυτέραν μὲν ἐργάσασθαι τὴν ὕλην τῶν χυμῶν, πυκνῶσαι δὲ τὸ δέρμα καὶ διακωλῦσαι τὰς διαπνοάς. ἀναγκαῖος δὲ τούτοις ὁ ὑδατώδης οἶνός ἐστιν, εὐθὺς ἐπὶ τοῖς σιτίοις ἐξ ἀρχῆς λαμβανόμενος. εἰ δ᾽ ὡς ἐλπίζομεν ἅπαντα γίγνοιτο, καὶ κρεώδους τροφῆς ἐπιδώσομεν αὐτοῖς τι καὶ μάλιστα μετὰ τὴν τετάρτην ἡμέραν, ἤδη τῶν τοὺς πυρετοὺς γεννώντων χυμῶν εἰς πέψιν ἡκόντων. [286] ἐν τοιαύτῃ διαθέσει γενομένου νεανίσκου κατὰ τὸν δέκατον ἐμνήσθην λόγον, ὃν ἐτρέφομεν, ὡς εἶπον, ἑκάστης ἡμέρας καὶ μάλιστά γε πρὸ τοῦ παροξυσμοῦ. καὶ ὡς ἐξεπίτηδες ἅπαξ μου μὴ διδόντος αὐτῷ τροφὴν ἡ εἰσβολὴ τοῦ παροξυσμοῦ μετὰ συγκοπῆς ἐγένετο. κατὰ τὰς τοιαύτας οὖν θεραπείας ἁπάσας ἤδη μὲν συγκοπτομένου τοῦ κάμνοντος ὁ πρὸς τὸ σύμπτωμα κρατεῖ σκοπός· οὐδέπω δὲ εἰς τοῦθ᾽ ἥκοντος ἀμφοτέρων στοχαζόμεθα, τοῦ τε μὴ γενέσθαι τὸ σύμπτωμα καὶ τοῦ κατὰ βραχὺ λύειν τὸ νόσημα. θᾶττον δ᾽ ἂν ἐλύσαμεν αὐτὸ, μὴ δεδιότες τὸ σύμπτωμα. τὸν μὲν γὰρ ὑπὸ τοῦ πλήθους τῶν ὠμῶν χυμῶν βαρυνόμενον, ἅπαξ ἂν οἶμαι

omni ratione agendum ut et humorum materiam craffiorem reddas et cutim denfes et perflatus exhalationem inhibeas. Vinum vero iis aquofum neceffarium inter initia eft, fumptum ftatim poft cibum. Quod fi ex fententia nobis omnia refponderint, etiam carnei iis aliquid nutrimenti poft alia dabimus, potiffimum poft quartum diem, humoribus qui febrem excitaverunt jam ad concoctionem venientibus. Tali affectu laborantis juvenis in decimo libro meminimus, quem, uti dixi, quotidie nutrivi, idque ante acceffionem potiffimum, tum quemadmodum femel dedita opera non exhibito illi cibo acceffio cum fyncope invaferit memoravimus. Ergo in omnibus ejusmodi curationibus fi jam deprehenfus fyncope cubans fit, ad fymptoma fcopus dirigitur; fin nondum in id veniat, utriusque curam habebit et ut fymptoma non oboriatur et ut morbus paulatim folvatur. Celerius autem hunc difcuteremus, fi nullus fymptomatis fubeffet metus. Quippe qui multitudine crudi humoris gravatur, hunc fi modo ju-

κενώσαντες ἀπηλλάξαμεν τῆς διαθέσεως, εἴπερ οἷός τε ἦν ἐνεγκεῖν ἀθρόαν κένωσιν καὶ μηδεὶς φόβος ἐφέδρευε συγκοπῆς· τὸν δ' εὐδιαφόρητον οὐκ ἂν πρὸ τοῦ παροξυσμοῦ τρέφειν ἀναγκαζόμενοι μακρότερον εἰργαζόμεθα τὸ νόσημα. περὶ μὲν δὴ τούτων ἀρκείτω τὰ λελεγμένα.

Κεφ. ζ. Τῶν δ' ἄλλων προφάσεων ἐφ' αἷς συγκόπτονται μνημονεύσομεν ἐφεξῆς. εἰσὶ δὲ τέσσαρες, ἄλγημά τε σφοδρὸν καὶ ἀγρυπνία καὶ κένωσις ἄμετρος γαστρός· ἐπὶ δὲ τῶν παραπαιόντων καὶ ἡ κίνησις ἔστιν ὅτε. καὶ εἰ βούλει καὶ πέμπτην προστίθει τὴν δυσκρασίαν τῶν ἀρχῶν, ὑπὲρ ἧς ἐπὶ τελευτῇ τοῦ λόγου διαλεξόμεθα, καὶ μάλισθ', ὅτι διττῶς γίγνεται, ἤτοι κατὰ ψιλὰς τὰς ποιότητας ἀλλοιουμένων τῶν μορίων ἢ κακοχυμίας τινὸς ἐν αὐτοῖς παραλαμβανομένης. ἑξῆς οὖν ὑπὲρ ἁπάντων ῥητέον τῶν διῃρημένων, ἀρξαμένους ἀπὸ τῶν ἀλγημάτων. εἰ μὲν οὖν δυναίμεθα τὴν αἰτίαν αὐτὴν ἐκκόψαι δι' ἣν ἀλγοῦσιν, οὕτως ἂν οὐ πρὸς σύμπτωμα εἴημεν ἐνεργοῦντες, ἀλλ' ἰώμενοι τὸν κάμνοντα· κωλυόμενοι δὲ διά τινα πρόφασιν ἐπὶ τὴν διάθεσιν ἰέναι πραΰνομεν τὸ τῶν

ſtam ſemel vacuationem ferre poſſet, nec metus aliquis ſyncopes impenderet, ſemel, arbitror, vacuatum a morbo explicaremus, eum vero qui facile exhauritur, ſi ante acceſſionem cibare cogeremur, longiorem illi morbum certe non redderemus. Ac de iis quidem haec mihi dixiſſe ſit ſatis.

Cap. VII. Nunc reliquas cauſas quibus ſyncopae ſuccedunt deinceps referemus. Hae ſunt numero quatuor, dolor vehemens, vigiliae, immoderata ventris vacuatio ac in iis qui aliena loquuntur aliquando motus. Sed et quintam, ſi non displicet, addas, nempe principiorum intemperiem, de qua in calce libri agemus idcirco maxime, quod dupliciter provenit, vel quia in nudis qualitatibus partium alterantur, vel quia vitioſus aliquis ſuccus in has recipitur. Deinceps igitur de omnibus quae memoravimus eſt agendum, initio a doloribus ſumpto. Ergo ſi cauſam ipſam unde dolor excitatur adimere poſſis, ita contra ſymptoma non pugnaveris, ſed aegrum curaveris; ſed ſi qua occaſione prohibitum affectui ſubmovendo intentum eſſe non licet, vehementiam

ἀλγημάτων σφοδρόν. ἐπεὶ δ᾽ οὔτε ἀναιρεῖν οἷόν τέ ἐστι τὰς τῶν ἀλγημάτων αἰτίας οὔτ᾽ ἀμβλύνειν τὰς σφοδρότητας ἄνευ τοῦ γνῶναι τουτὶ τὸ ἄλγημα τὸ περὶ τὸν κάμνοντα συνεστηκὸς ὑπὸ τίνος αἰτίας γίγνεται, προεσκέφθαι χρὴ δηλονότι τὰς αἰτίας καὶ τὰ σημεῖα δι᾽ ὧν ἄν τις αὐτὰς γνωρίσειεν· ὡς τὰ πολλὰ γὰρ ἄδηλοι ταῖς αἰσθήσεσιν ὑπάρχουσαι, γεγυμνασμένου δέονται περὶ τὴν τοιαύτην θεωρίαν ἀνδρός. εἴρηται μὲν οὖν ἡμῖν οὐκ ὀλίγα δι᾽ ἑτέρων πραγματειῶν ὑπὲρ ἀλγημάτων γενέσεως, ἁπάντων δὲ αὐτῶν τοῦ καιροῦ νῦν ἥκοντος, ἀναγκαῖον εἶναι νομίζω διελθεῖν ἐπὶ κεφαλαίων ὅλον τὸν λόγον. ἐπεὶ τοίνυν ἐν τῷ τοῦ ζώου σώματι κατὰ πάσας τὰς αἱρέσεις οὐ πάντα ἐστὶν αἰσθητικὰ τὰ μόρια, δῆλον ὡς οὐκ ὀδυνήσεται τὰ τελέως ἀναίσθητα. μόνοις οὖν τοῖς αἰσθητοῖς τῆς ὀδύνης ὑπαρχούσης, ἐφεξῆς σκεπτέον ἆρά γε διὰ παντὸς ὀδυνηθήσεται τὰ τοιαῦτα τῶν σωμάτων ἢ καθ᾽ ἕνα τινὰ χρόνον ἐγγινομένης αὐτοῖς διαθέσεως ὀδυνηρᾶς. ἀλλ᾽ εἴπερ αὐτὸ τὸ φαινόμενον ἐναργῶς ἡμᾶς διδάσκει πολὺν εἶναι χρόνον ἐν ᾧ μηδ᾽ ὅλως ὀδυνώμεθα,

doloris mitigabis. Verum quando nec dolorum cauſas ſubmovere nec vehementiam eorum remittere fas eſt, niſi intellexeris, cujus vitio is dolor in cubantis corpore excitetur, perpendendae prius tum cauſae dolorum ſunt tum vero ſigna quibus hae dignoſci queant; nam quum ſenſui plerumque parum pateant, hominem qui in tali ſpeculatione ſit exercitatus nimirum poſtulant. Itaque quum nobis in aliis operibus non pauca de dolorum generatione ſint praecepta, ipſorumque omnium opportunum tempus jam venerit, neceſſum arbitror totam eorum rationem ſummatim percurrere. Quoniam igitur in animalis corpore omnibus conſentientibus ſectis non omnes partes ſenſiles ſunt, manifeſtum eſt, quae prorſus ſunt inſenſiles, eas non dolituras. Igitur quum ſenſilibus duntaxat dolor accidat, ſequens eſt ut aeſtimemus ejusmodine corpora perpetuo an dolitura, an uno aliquo tempore, quum ortus in his crucians affectus ſit. At ſi ipſa evidentia nos docet multum eſſe temporis quo nihil

Ed. Chart. X. [286. 287.] Ed. Baf. IV. (169. 170.)

δῆλον ὡς κατά τινα χρόνον ἐγγινομένης ἑκάστῳ τῶν ὀδυνωμένων ὀδυνηρᾶς διαθέσεως ἀναγκαῖον ἀλγεῖν ἐστιν. ἐὰν οὖν εὕρωμεν ἥτις ποτ᾽ ἐστὶν ἡ τοῖς αἰσθητοῖς σώμασιν ἐγγινομένη διάθεσις, καθ᾽ ἣν ἀνιᾶται τὸ ζῶον, ἑαλωκὸς ἂν εἴη ἡμῖν τὸ ζητούμενον. ἐνταῦθ᾽ οὖν ἀπὸ τῶν κατὰ φύσιν ἐννοιῶν, αἳ δὴ καὶ κοιναὶ πᾶσιν ἡμῖν [287] εἰσιν, ἰέναι χρὴ μεθόδῳ πρὸς τὸ σκέμμα. διδάσκει δὲ ἡ κατὰ φύσιν ἔννοια τὸ πάθος χρῆναι τοῦ σώματος, ᾧ μέλλει πονήσειν, ἤτοι συνεχείας λύσιν ἢ ἀλλοίωσιν εἶναί τινα. διὸ καὶ καλῶς ἐλέγετο τοῖς ἐξ ἀτόμων ἢ ἀναισθήτων ἢ ἀνάρμων στοιχείων, συντιθεῖσι τὸ σῶμα παντάπασιν ἄπορον εἶναι διάθεσιν εὑρεῖν, ὑφ᾽ ἧς ὀδύνη γίγνεται. φαίνεται γὰρ οὐδὲν τῶν ἁπλῶς ψαυόντων ὀδυνηρόν· ἁπλῶς δ᾽ ἀλλήλων ψαύει τὰ τοιαῦτα σώματα. κἂν εἰ μὴ ψαύοι (170) δὲ μόνον, ἀλλὰ καὶ θραύοι κατὰ τὴν πρόσπτωσιν ἄλληλα, πλέον οὐδὲν εἰς ἀλγήματος γένεσιν, ἀναισθήτων ὑποκειμένων τῶν θραυομένων· εἰ μή τι καὶ τοὺς λίθους ὀδυνᾶσθαι φήσομεν διαιρουμένους. ἀλλὰ περὶ

omnino doleamus, non obfcurum eft certo aliquo tempore, quo fcilicet excitatur in fingulis quae dolent crucians affectus, neceffe effe ea dolere. Ergo fi inventum nobis fuerit quaenam affectio ea fit quae in fenfilibus corporibus orta facit ut animal doleat, utique et quod quaerimus jam fuerit inventum. Hic igitur ab iis naturalibus notionibus quae omnibus nobis funt communes procedere methodo ad id quod confiderandum proponitur conveniet. Porro naturalis notio nos docet vitium id corporis ex quo fit doliturum aut continuitatis folutionem oportere effe aut alterationem aliquam. Proinde etiam recte dictum iis eft qui ex infectilibus vel infenfilibus vel incompactibilibus elementis corpus componunt, affectum unde dolor nafcatur prorfus inveniri non poffe. Quippe quae tantummodo tangunt, eorum nihil videtur dolorificum, aut talia corpora tantum fe invicem tangunt. Quod fi non contingant modo, fed etiam fe invicem in concurfu frangant, ad dolorem creandum nihilo plus conferunt, fi quae franguntur infenfilia ftatuantur, nifi etiam

μὲν τούτων ἐπὶ πλέον ἐν ἄλλοις τέ τισι κἀν τῷ πέμπτῳ περὶ τῶν Ἀσκληπιάδου δογμάτων ἐσκεψάμεθα. νυνὶ δὲ ἀρχὴν ὁμολογουμένην λαμβάνοντες, ὡς ἀναγκαῖον ἤτοι διαίρεσιν εἶναι τὴν διάθεσιν τῆς ὀδύνης ἢ ἀλλοίωσιν, ἀναμνησθῶμεν αὖθις ὡς οὐδ' ἡ ἀλλοίωσις ἡ κατὰ βραχὺ γινομένη δύναιτ' ἄν ποτε ὀδυνῆσαι τὸ ζῶον, ἀλλ' ἀναγκαῖον ἀθρόαν τε ἅμα καὶ βιαίαν γίνεσθαι τὴν μεταβολὴν, εἰ μέλλει τις ὀδύνη γενήσεσθαι. φαίνεται γὰρ οὐ μόνον εἰς τὸ παρὰ φύσιν ἀθρόως ἀγόμενα τὰ σώματα λυπηρὰν ἴσχειν τὴν μεταβολὴν, ἀλλὰ καὶ τὴν εἰς τὸ κατὰ φύσιν ἐπάνοδον αὐτὴν, εἰ μὴ κατὰ βραχὺ λαμβάνοι, κἀν τούτῳ πονοῦντα. τοὺς γοῦν ὁδοιπορήσαντας ἐν σφοδρῷ κρύει θερμαινομένους ἀθρόως ἴσμεν ἀλγοῦντας οὕτως ἰσχυρῶς τὰ περὶ τὰς ῥίζας τῶν ὀνύχων, ὡς μὴ δύνασθαι φέρειν. εἰ μὲν οὖν καὶ αὐτὸ τὸ σφοδρῶς θερμαίνεσθαι ἢ ψύχεσθαι διαίρεσίν τινα τῆς συνεχείας ἐργάζεται, πλείονος ἴσως δεῖται λόγου, καὶ δέδεικται καὶ τοῦτο ἐν τοῖς περὶ τῆς

lapides quum dividuntur dolore affici dicamus. Verum de his latius tum alibi tum in quinto de Afclepiadis placitis differuimus. Nunc autem conceffum hoc principium fumentes, neceffe effe ut affectus qui dolorem excitet, vel divifio fit vel alteratio, illud etiam memoria repetamus, ne alterationem ipfam fenfim irrepentem dolorem afferre animali poffe, fed quae dolore animal afficiet, eam mutationem tum confertim factam tum vero violentam effe debere. Videntur enim corpora non folum, quum in habitum contra naturam confertim aguntur, triftem mutationem fentire, fed etiam in ipfo ad naturalem ftatum fuum reditu, nifi eum paulatim accipiant, cruciari. Scimus enim qui in vehementi frigore iter fecerunt, eos quum fefe non fenfim, fed femel calefacere properent, dolore circa unguium radices adeo vehementi affectos ut ferre non poffint. Illud vero inquirere, an ipfum quod vehementer calefacit aut refrigerat divifionem aliquam continui efficiat, longiore fortaffis disputatione eget, et hoc oftenfum a nobis eft in commentariis de fim-

τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπομνήμασιν. ἀλλ' εἴς γε τὰ παρόντα τί ποιοῦν τὸ θερμαῖνον ἰσχυρῶς ἢ ψῦχον σφοδρῶς ὀδύνην ἐργάζεται, ζητεῖν οὐκ ἀναγκαῖον· εἴτε γὰρ ὡς τέμνον τὸ συνεχὲς τῆς οὐσίας τῶν αἰσθητῶν, εἴθ' ὡς ἀλλοιοῦν αὐτὴν ἀθρόως, οὐδὲν διαφέρει πρὸς τὴν εὕρεσιν τῶν ἰασομένων τὰς ὀδύνας, ἐάν γε μόνον εἰδῶμεν ὡς το θερμαῖνον ἢ ψῦχον βιαίως ὀδυνηρὸν γίνεται τοῖς αἰσθανομένοις σώμασιν. εἴπερ γοῦν ἄρχεσθαι μὲν ἀπὸ τῶν ἐναργῶν δεῖ, φαίνεται δὲ ἐναργῶς ταῦτα μόνα τῶν πλησιαζόντων ἡμῖν ὀδυνηρὰ, τά τ' ἰσχυρῶς θερμαίνοντά τε καὶ ψύχοντα καὶ τὰ διαιροῦντα τὸ συνεχὲς τῆς οὐσίας, ἅπερ ἐν τοῖς θλῶσί τε καὶ τέμνουσι καὶ τείνουσι περιέχεται, ζητήσωμεν εὑρεῖν τὴν ἴασιν αὐτῶν ὁδῷ τινι προϊόντες ἀπὸ τῆς τῶν ζητουμένων φύσεως, ὅπερ ὀνομάζεται μέθοδος. ἄνωθεν οὖν αὖθις ἀρξάμενοι λέγωμεν. ἐπειδὴ ζητοῦμεν ὅπως ἐν νόσοις ὀδυνώμεθα μηδενὸς ἡμῖν ἔξωθεν ὀδυνηροῦ πλησιάζοντος, ἀναγκαῖον ἐν τῷ σώματι ζητῆσαι τί τῶν τοιού-

plicium medicamentorum facultatibus. Verum quid agendo quae vehementer vel calefaciunt vel refrigerant dolorem inferant, quaerere ad rem propofitam minime eft neceffe; five enim ut fubftantiae fenfibilium continuitatem dividentia five ut eam femel et confertim alterantia, id ad eorum inventionem quae dolorem levabunt nihil refert, modo fciamus, quod violenter vel calefacit vel refrigerat, id fentientia corpora dolore afficere. Ergo fi coepiffe ab evidentibus conveniet, evidenter autem videntur eorum quae corporibus noftris propinquant haec fola effe dolorifica et quae vehementer vel calefaciant vel refrigerent et quae fubftantiae continuitatem dividant, haec autem funt quae vel contundunt vel incidunt vel diftendunt; curationis eorum inventionem quaeremus via aliqua infiftentes, quae a quaerendorum natura fit accepta, quae methodus appellatur. Rurfus igitur fupra repetentes dicemus. Quoniam id quaerimus, quemadmodum in morbis dolore affligamur, ubi nihil nobis extrinfecus trifte appropinquat, neceffum eft aliquam talem

των αἴτιον, ὃ θερμαῖνον σφοδρῶς ἢ ψῦχον ἢ διαιροῦν τὴν οὐσίαν ἑνός γέ τινος αἰσθητοῦ σώματος ἀνιαρὸν ἡμῖν γίνεται, καὶ πρῶτόν γε θεασώμεθα τίνος εἶναι χρὴ φύσεως ὃ διαιρήσει τὴν συνέχειαν. ἀναγκαῖον οὖν ἤτοι ῥῆξιν ἢ θλάσιν ἢ διάβρωσιν εἶναι τὴν διάθεσιν, ἐν τῷ διαιρεῖσθαι τὸ συνεχές. ἀλλ' ἡ μὲν ῥῆξις ἐκ τάσεώς τινος, ἡ δὲ θλάσις ἐκ βάρους, ἡ δὲ διάβρωσις ἐκ δακνώδους γίνεται ποιότητος. ὅταν οὖν ἔξωθεν μὲν μηδὲν ᾖ τὸ τεῖνον ἢ βαρῦνον [288] ἢ δάκνον, ἐξ ἑαυτοῦ δέ τι πάσχῃ τούτων τὸ σῶμα, παντί που δῆλον ὡς ἡ μὲν τάσις ὑπό τινος ἔνδον οὐσίας πολλῆς διατεινούσης τὸ περιέχον αὐτὴν σῶμα γίνοιτ' ἂν ἢ ἀμέτρου ξηρότητος, ἡ δὲ θλάσις ἔξωθεν ἐπιπεπτωκυίας οὐσίας σκληρᾶς ἢ μεγάλης ἢ βαρείας ἢ συναμφοτέρων, ἡ δὲ δῆξις ὑπὸ χυμοῦ δακνώδη φύσιν ἔχοντος· ἐπισκεπτέον οὖν ἡμῖν ἐν ταῖς σφοδραῖς ὀδύναις ἤτοι χυμὸν πολὺν ἢ πνεῦμα διέξοδον οὐκ ἔχον, ἢ βαρὺν ὄγκον, ἢ δακνῶδες ὑγρὸν ἢ διάθεσιν ξηράν· ἔτι δὲ πρὸς τούτοις, ὡς

caufam in corpore quaeramus quae vehementer calefaciens vel refrigerans vel dividens fubftantiam fenfilis alicujus corporis nos excruciet. Ac primum illud fpeculabimus, cujus effe naturae debeat quod continuitatem dividet. Neceffe igitur eft vel ruptionem vel contufionem vel erofionem effe affectum eum qui divifionem continui faciat. At vero ruptio ex diftentione quadam, contufio ex gravante, erofio ex mordente provenit qualitate. Ergo quum nihil extrinfecus fit quod vel diftendat vel gravet vel erodat, fed ex fe ipfo horum aliquid corpus fentiat, neminem latere poteft, distentionem ab aliqua intrinfecus fubftantia, quae multitudine fua corpus fe continens diftendat, aut immodica ficcitate provenire: contufionem a procidente externa fubftantia dura vel magna vel gravi vel fimul ambobus, erofionem vero ex humore aliquo, cui mordens natura fit. Igitur ubi vehemens dolor urget, fcrutandum nobis eft an humor plurimus, an fpiritus cui non fit exitus, an gravis moles, an mordens humor, an ficcus affectus fubfit, ad haec veluti inter

ἐν ἀρχῇ διῄρηται, τὸ θερμαῖνον ἰσχυρῶς ἢ ψῦχον. ὧν πάλιν αὐτῶν τὰς αἰτίας ἢ ἐν τῷ πνεύματι θετέον ἢ ἐν τοῖς ὑγροῖς ἢ ἐν τοῖς στερεοῖς· ὅ τι γὰρ ἂν αὐτῶν ἰσχυρῶς ψυχθὲν ἢ ὑποθερμανθὲν ψαύῃ τῶν πλησιαζόντων, ὀδυνηρὸν αὐτοῖς γίγνεται. πῶς μὲν οὖν χρὴ διαγινώσκειν ἕκαστον τῶν εἰρημένων καὶ ὡς οὐχ ἁπάντων ἔχομεν ἐναργῆ σημεῖα καὶ ὡς εἴπερ τι ἄλλο καὶ ἡ διάγνωσις τῶν ἀδήλων πρὸς αἴσθησιν αἰτιῶν τε καὶ διαθέσεων ἐκ πολλῆς μὲν γυμνασίας, ἐπιμελοῦς δ' ἁπάντων περισκέψεως ἡμῖν περιγίνεται, δι' ἑτέρων δεδήλωται. νυνὶ δὲ οὐ τοῦτο πρόκειται σκοπεῖν, ἀλλ' αὐτὴν μόνην διέρχεσθαι τὴν θεραπευτικὴν μέθοδον. ἐξ ἧς ἐπιστημονικῶς διαγνωσθείσης ἡλίκη βοήθεια καὶ ὠφέλεια γίνεταί τοῖς ἰατροῖς οὐ μόνον εἰς βοηθημάτων τε καὶ ἰαμάτων εὐπορίαν, ἀλλ' ἔστιν ὅτε καὶ εἰς τὴν τῆς διαθέσεως γνῶσιν, ἐναργῶς ὑμῖν ἔδειξα πολλάκις ἐπ' αὐτῶν τῶν καμνόντων, ὧν ἤδη μνημονεύσω δυοῖν ἢ τριῶν οὐ πρὸ πολλοῦ θεραπευθέντων. ὁ μέν γε τεσσαρακονταύτης ἦν, ὡς οἶσθα,

initia eſt definitum, an aliquid quod valenter calefaciat vel refrigeret. Quorum ipſorum quoque rurſum cauſae vel in ſpiritu vel in humoribus vel in ſolidis ipſis ſunt ſtatuendae: quicquid enim eorum vehementer calefactum refrigeratumve ſit, quando quod vicinum eſt tangit, dolorificum illi redditur. Igitur quemadmodum ſingula quae comprehendimus dignoſci poſſint, tum vero quod non omnium habeamus manifeſtas notas, quodque ſi aliud quicquam etiam cauſarum et affectuum quae ſenſum fugiunt dignotio ex multa exercitatione et curioſa omnium perpenſione nobis tandem pariatur, alibi monſtratum eſt. Nunc vero id conſiderare propoſitum nobis non eſt, imo ſolam ipſam medendi methodum perſequi. Ex qua ſcienter perſpecta quantum auxilium compendiumque medicis non ad praeſidiorum modo curationumque facultatem, ſed etiam ad affectus aliquando dignotionem comparetur, ſaepe vobis in ipſis aegrotantibus manifeſte oſtendi, quorum jam duos tresve qui haud pridem ſunt ſanati referam. Unus enim, ut ſcis, quadragenarius erat, qui

κωλικὸς εἶναι νομιζόμενος, οὐ μόνον οὐδὲν ὀνινάμενος ὑπὸ καταντλήσεων καὶ πυρίας καὶ καταπλασμάτων καὶ κλυσμάτων, οἷς συνήθως εἰώθασιν ἐπὶ τῶν τοιούτων χρῆσθαι διαθέσεων, ἀλλὰ καὶ παροξυνόμενος ὑπὸ τῶν πλείστων. ἐπὶ γοῦν ἐλαίῳ πηγανίνῳ διὰ τῆς ἕδρας ἐνεθέντι χείρων ἐγένετο καὶ αὖθις ἐπὶ καστορίῳ· καὶ μέντοι καὶ μέλι ποτὲ προσενεγκάμενος ἑφθὸν ἔχον πέπερι ἐσχάτως ὠδυνήθη· καὶ τὸν χυλὸν δὲ τῆς ἑφθῆς τήλεως ἅμα μέλιτι λαβὼν ἱκανῶς παρωξύνθη. στοχασάμενος οὖν ἐγὼ χυμοὺς δακνώδεις ἐν αὐτοῖς τοῖς χιτῶσι τῶν ἐντέρων ἀναπεπῶσθαι, συνδιαφθείροντας ἑαυτοῖς τά τε κάτωθεν ἐνιέμενα καὶ τὰ διὰ τοῦ στόματος λαμβανόμενα, δύσφθαρτον αὐτῷ τροφὴν δούς. εἶτ᾽ ἰδὼν ὀδυνώμενον ἔγνων χρῆναι τὴν κακοχυμίαν ἐκκαθαίρειν. ὄντος δ᾽ ἀρίστου πρὸς τὰς τοιαύτας κακοχυμίας φαρμάκου τοῦ διὰ τῆς ἀλόης, ὃ καλοῦσιν ἤδη συνήθως πικρὰν, ἀθρόως μὲν οὐκ ἐτόλμησα καθαίρειν αὐτὸν τὸν ἄνθρωπον, ὑπό τε τῆς ὀδύνης καὶ τῆς ἐνδείας καθῃρημένον ἤδη που δυοῖν μηνῶν. ἐκ διαστημάτων δὲ τινων σύμμετρον

cum colo laborare putaretur, non modo nihil eft a fomentis tum humidis tum ficcis levatus, fed nec cataplafmatis nec clyfteribus, quibus publice uti in ejusmodi affectibus folent, verum etiam a plurimis eorum exacerbatus. Nam a rutaceo oleo per fedem infufo deterius habuit, itemque a caftoreo, quin etiam ubi mel coctum cum pipere affumpfit, extremis doloribus eft afflictus; jam quum cremorem cocti foenigraeci una cum melle accepiffet, vehementer eft irritatus. Ipfe igitur ubi mordentes humores in tunicis inteftinorum immerfos conieci, qui fecum una corrumperent, tum ea quae per inferiora effent infufa tum ea quae per os fumebat exhibui homini nutrimentum, quod non facile corrumperetur. Deinde quum minus eum cruciatum intellexi, vitiofos humores purgandos judicavi. Quum vero aptiffimum ad ejusmodi vitiofos humores effet medicamentum quod ex aloe componitur, quodque jam vulgo picran appellant, utique femel hominem jufte purgare non fum aufus, quod doloribus et inedia duobus menfibus confectus effet. Verum ex quibus-

τοῦτ' ἐργαζόμενος ἡμέρας· ὡς οἶσθά που πεντεκαίδεκα τελέως ἰασάμην αὐτὸν οὐδὲν οὐκέτι αὐτῷ προσαγαγὼν ἄλλο βοήθημα. οὗτος μὲν οὖν ἐν ἐκείνῳ τῷ χρόνῳ πρῶτον οὕτως ἠνωχλεῖτο, μηδέπω πρότερον ἀλγήσας ἔντερα. νεανίσκος δέ τις ἐγγὺς ἐκείνῳ τὴν ἡλικίαν, οὐκ ὀλιγάκις ἔμπροσθεν ἠνωχλημένος ὑπὸ κωλικῶν ἀλγημάτων, ἐκαθάρθη λαβὼν σκαμμωνίας ὀπόν. ἀξιολόγου δὲ τῆς καθάρσεως γενομένης, ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν λουσάμενος εἰς ἑσπέραν καὶ λαβὼν πτισάνης χυλὸν πρῶτον, εἶτ' ἐπιφαγὼν ἰχθύας ἤμεσε τὰ ληφθέντα διὰ νυκτός. ἐν δὲ τῇ δευτέρᾳ λουσάμενος ἔφαγε· πρῶτον μὲν θριδακίνης, εἶτα κρεῶν ὀρνιθείων ἑψομένων ἐν λευκῷ ζωμῷ· [289] κἄπειτα προσηνέγκατο χόνδρον, ἐξ ὕδατος ἐπιβαλὼν οἶνον αὐστηρόν. μετρίως δὲ διάγειν δόξας ἐπ' αὐτοῖς, διῃτήθη μὲν καὶ τῇ τρίτῃ τῶν ἡμερῶν παραπλησίως, ἐξέδωκε δὲ ἡ γαστὴρ αὐτοῦ μετὰ τοῦ δηχθῆναι πλείω τῆς τῶν ἐδεσμάτων ἀναλογίας. εἶτα κατὰ τὴν τετάρτην ἡμέραν ἔτι καὶ μᾶλλον ὠδυνήθη τὰ κατὰ τὴν γαστέρα· καὶ δόξας ἐν τῷ βαλανείῳ που λεληθότως ἐψῦχθαι, πηγάνινον ἔλαιον ἐνεθεὶς,

dam intervallis moderate id faciens quindecim circiter diebus hominem, ut fcis, prorfus fanavi, idque nullo praeterea adhibito praefidio. Atque hic quidem illo primum tempore fic eft vexatus, nunquam prius inteftini dolorem expertus. At alius juvenis huic quidem aetate prope par, fed qui faepe ante colicis cruciatibus fuerat affectus, accepto fcammoniae fucco fuit purgatus. Quum autem bene largiter fuiffet vacuatus, primo quidem die vefperi in balneo lotus, mox ptifanae cremorem fumens, poft pifcem quoque comedens, nocte ea quae ceperat evomuit. Secundo die itidem lavatus comedit primum lactucam, mox avium carnis aliquid in albo jure elixae, ab hac alicam ex aqua fumpfit vino auftero injecto. Ubi vero ab iis mediocriter fe habere eft vifus, etiam tertio die nutritus fimiliter eft. Reddidit tamen per alvum plura quam pro ciborum portione, eaque cum morfu. Deinde quarto die etiam magis dolere fibi ventrem fenfit, et quum fe in balneo alicubi frigus accepiffe imprudentem putaffet, rutaceum fibi oleum per fedem infundens non folum

ὠδυνήθη τε σφοδρότερον καὶ μετὰ ταῦτα ἐξέκρινεν ὑγρὸν διαχώρημα πάμπολυ, σαφῶς ἐνδεικνύμενον ὡς κἀκ τοῦ σώματος ὅλου τι φέρεται πρὸς τὰ κατὰ τὴν γαστέρα χωρία. κἄπειθ᾽ ἑξῆς ἐκ περιόδων ὁμοίως ἠνωχλεῖτο. πειθόμενοι δ᾽ ἡμεῖς αὐτῷ τὰ συμπτώματα, τὴν βλάβην ἐκ τῆς σκαμμωνίας ἔγνωμεν ἐν ἐκείνοις μάλιστα γεγονέναι τοῖς ἐντέροις, ἃ καὶ (171) πρότερον ἦν ἀσθενῆ, ὥσθ᾽ οἷον ῥευματικήν τινα συνίστασθαι διάθεσιν. οἶσθ᾽ οὖν ὅπως ἰασάμην καὶ τοῦτον ἀποῤῥῖψαι μὲν κελεύσας τὰ κωλικὰ βοηθήματα, τραφῆναι δὲ χόνδρῳ θερμῷ, δι᾽ ὕδατος ἡψημένῳ, κόκκους ῥοιᾶς ἐμβαλὼν αὐτῷ. κοιμηθεὶς δ᾽ ὅλῃ τῇ νυκτὶ χωρὶς ὀδύνης ἐθαύμασε δήπου τὸ παράδοξον τῆς βοηθείας, ἠρώτα δ᾽ ὅ τι χρὴ πιεῖν. ἐδώκαμεν οὖν αὐτῷ πιεῖν ὑδαρῆ ῥοῦ χυλὸν, ὅπως εἴτε τις ἐπιπολῆς εἴη γεγενημένη περὶ τὸ ἔντερον ἑλκώδης διάθεσις ἀποστύψειεν, εἴτε καὶ ῥέῃ τι κατὰ τὸ σύνηθες ἐκ τῶν ἄνω χωρίων εἰς τὸ πεπονθὸς ἀναστείλειεν· ἀρίστῳ τε αὐτῷ χρήσασθαι προσετάξαμεν οὕτως· εἶτ᾽ εἰς ἑσπέραν δειπνεῖν οἴνων τινὰ τῶν αὐστηρῶν μὲν φύσει, παλαιῶν δὲ, διαβραχέντος

vehementiffime eft vexatus, fed etiam liquidam dejectionem copiofiffimam excrevit, quod facile declaravit aliquid a toto corpore ad loca ventris deferri. Poft deinde per circuitus fimilis redibat cruciatus. Audientes autem nos ejus fymptomata, intelleximus noxam ex fcammonio in illis maxime inteftinis procubuiffe, quae prius etiam fuerant imbecilla, fic ut quafi fluxionis quidam exortus effet affectus. Ergo quemadmodum hunc quoque fanaverim fcis. Abjicere enim juffi praefidia colica, alicaque calente quae cocta in aqua effet nutriri, immiffis ei mali punici granis. Quum autem tota nocte citra dolorem dormiviffet, miratus profecto eft remedii novitatem rogavitque quid effet bibendum. Dedimus itaque bibendum dilutum rhois cremorem, quo, five aliqua effet in fummo inteftino facta ulcerofa affectio, eam adftringeret, five etiam ex confuetudine aliquid ex fuperioribus locis in partem affectam conflueret, id reprimeret, prandioque eodem uti juffimus: deinde ad vefperam coenare pane puro madefacto in vino aliquo naturaliter quidem auftere,

ἄρτου καθαροῦ. συνεχωρήσαμεν δὲ καὶ τῶν αὐστηρῶν ὀπωρῶν λαβεῖν ἧς ἂν αὐτὸς ἐθέλῃ μήλων ἢ ἀπίων ἢ ῥοιᾶς. ὁμοίως δὲ καὶ τῇ τρίτῃ τῶν ἡμερῶν διαιτηθεὶς ἐν τῇ τετάρτῃ πιὼν τῆς θηριακῆς, ὑγιὴς τελέως ἐγένετο, καὶ τοῦ λοιποῦ τοῖς συνήθεσι χρώμενος οὐδὲν ἐβλάπτετο. παραπλησίως δὲ ἕτερόν τινα διακείμενον ὥρᾳ θέρους, ἐπειδὴ διψώδης ἱκανῶς ὑπῆρχε πρὸς τοῖς ἄλλοις τοῖς εἰρημένοις καὶ ψυχρῷ ποτῷ συνεχώρησα χρῆσθαι. μὴ τοίνυν ζήτει σημεῖα τοιαῦτα καθ' ἑκάστην διάθεσιν, οἷα πλευρίτιδός ἐστιν ἢ δυσεντερίας. ἐπιστημονικὴ μὲν γὰρ ἡ τῶν τοιούτων νοσημάτων διάγνωσις, ὡρισμένοις σημείοις γνωριζομένη, στοχαστικὴ δὲ ἡ τῶν ἀρτίως εἰρημένων καὶ μόνοις τοῖς ἀκριβῶς ἐπισταμένοις ἑκάστου νοσήματος τὴν οἰκείαν θεραπείαν εὑρίσκεσθαι δυναμένη. ὥστ' ἐπεὶ περὶ ταύτης πρόκειται νῦν λέγειν, αὐτὴ καθ' ἑαυτὴν περαινέσθω, μὴ προσαπτομένων ἡμῶν τῆς διαγνώσεως τῶν διαθέσεων· καὶ μάλισθ' ὅταν ἐκ στοχαστικῶν ἀρχομένη σημείων συνάπτηται τῇ τῶν ὠφελούντων ἢ βλαπτόντων διαγνώσει. τὴν γὰρ ἐν τούτοις μέθοδόν τε καὶ γυμνασίαν ἐν ταῖς

fed veteri. Conceffimus praeterea ut aufterum quemcunque vellet fructum fumeret, five malum five pyrum five punicum. Simili ratione etiam tertio die cibatus in quarto theriacen bibit fanufque omnino eft redditus, ac de caetero ad confueta reverfus nullum fenfit incommodum. Simili genere et alteri cuidam in aeftate affecto, quum fitibundus admodum effet, fupra alia quae memoravi etiam frigida potione uti permifi. Ergo ne requiras in omni affectu ejusmodi notas quales in pleuritide vel dyfenteria apparent. Scientifica namque talium eft morborum dignotio, certis videlicet definitifque notis comparata, quum eorum qui proxime funt dicti conjecturalis dignotio fit ac folis iis inveniri potis qui exacte cujusque morbi propriam curationem norint. Quare quoniam de hac propofita nunc disputatio eft, ipfam per fe abfolvamus, nec affectuum dignotiones attingamus, maxime quae ex conjecturalibus notis incipientes cum eorum quae profunt obfuntque dignotione funt conjunctae. Methodum enim in iis atque etiam exercitationem in morborum di-

τῶν νοσημάτων διαγνώσεσιν ἰδίᾳ ποιούμεθα καθ' ἑαυτὴν, ἵνα τεχνωθείς τις εὑρίσκῃ καθ' ἕκαστον ἄῤῥωστον, ὥσπερ καὶ ἡμεῖς τά τε πεπονθότα μόρια καὶ τὰς διαθέσεις αὐτῶν.

Κεφ. η'. Ἐπανέλθωμεν οὖν αὖθις ἐπὶ τὰς τὴν ὀδύνην ἐργαζομένας διαθέσεις. εἰ μὲν γὰρ αἵματος πλῆθος εἴη τὸ διατεῖνον, ὥσπερ ἀμέλει καὶ ἐν τοῖς φλεγμαίνουσι γίγνεται, φλεβοτομητέον αὐτίκα τῆς δυνάμεως ἰσχυρᾶς οὔσης· εἰ δ' ἤτοι φοβοῖτο τὴν φλεβοτομίαν ὁ ἄνθρωπος ἢ ἀῤῥωστότερος εἴη τὴν δύναμιν, ἀντισπαστέον τε καὶ παροχευτέον· εἴρηται δὲ ἔμπροσθεν ὅπως χρὴ ταῦτα ποιεῖν. εἰ δὲ καὶ τούτων γενομένων ἔτι μένοι τὸ ἄλγημα, δῆλον μὲν δήπου κατὰ τὸ πεπονθὸς μόριον ἐσφηνῶσθαι τὸ λυποῦν. [290] εὔδηλος δὲ ἡ θεραπεία τοῖς διαφορητικοῖς γινομένη φαρμάκοις. ὡσαύτως δὲ καὶ τὰς διὰ φυσῶδες πνεῦμα γινομένας ὀδύνας ἰασόμεθα, προσβοηθοῦντες ἐπ' αὐτῶν μᾶλλον τοῖς λεπτύνουσι ἐδέσμασί τε καὶ πόμασιν ἐνέμασί τε καὶ καταπλάσμασιν αἰονήσεσί τε καὶ πυριάμασιν. εἰ δ' ὄγκος βαρύνων ἢ θλῶν ὀδύνην ἐργάζοιτο, τὸν ὄγκον ἰατέον. εἰ δὲ δακνῶδες ὑγρὸν,

gnotionibus feorfum per fe fecimus, quo fcilicet arte quis inftructus in omni aegro tum partes affectas tum ipfius affectum ficuti nos inveniat.

Cap. VIII. Ergo revertamur ad affectus qui dolores excitant. Si namque fanguinis abundantia fit, quae diftendat, ut profecto in phlegmone fieri folet, protinus ubi vires aegri valentes funt, fanguis mittendus eft. Sed fi is homo vel fanguinis miffionem timeat vel imbecillis viribus fit, tum revellendus fanguis eft tum derivandus, dictumque nobis prius eft quemadmodum haec fieri conveniat. Quod fi his peractis dolor etiam perftat, patet profecto in aegrotante parte impactum effe quod contriftat. Patet vero et quod curatio ipfa per difcutientia medicamenta fit molienda. Pari ratione et qui ex flatuofo fpiritu dolores fiunt curabimus, fed fimul in iis potius tum extenuantibus cibis tum potione tum per fedem injectionibus tum cataplafmatis tum humidis ficcifque fomentis auxiliantes. Sin moles aliqua gravando contunden-

ἐναντιώτατα τούτοις ἐστὶ τὰ λεπτύνοντα καὶ θερμαίνοντα. χρήζει γὰρ ἡ τοιαύτη διάθεσις, εἰ μὲν ἰαθήσεσθαι μέλλει, τῆς κενώσεως τῶν λυπούντων· εἰ δ' εἴη τοῦτο ποιεῖν ἀδύνατον, τῆς ἐπικράσεως· εἰ δὲ καὶ τοῦτο ἀδύνατον, διὰ τῆς τῶν ναρκωτικῶν φαρμάκων προσφορᾶς· ἥτις ἐστὶ μὲν κοινὴ, βλάπτει δὲ ἥκιστα τῶν ἄλλων τὰς τοιαύτας διαθέσεις. λεπτὰ γὰρ ὑπάρχει ταῖς συστάσεσι καὶ θερμὰ ταῖς δυνάμεσι τὰ πλεῖστα τῶν τοιούτων ὑγρῶν· ὅσα δὲ δι' ὀπίου καὶ ὑοσκυάμου καὶ τῶν οὕτως ψυχόντων σκευάζεται φάρμακα, ψύχει τε ἅμα καὶ ξηραίνει πάντως· κατὰ τοῦτο γοῦν οὐ μόνον ὡς αἰσθήσεως ναρκωτικὰ χρήσιμα καθέστηκεν, ἀλλὰ καὶ ὡς συνιστάντα καὶ παχύνοντα τὴν τῶν ὑγρῶν λεπτότητα καὶ προσέτι καὶ τὴν θερμότητα σφοδρὰν ὑπάρχουσαν ἐμψύχοντα. παχέων δὲ ὑγρῶν ἢ γλίσχρων ἐπικρατούντων ἐναντιώτατα ὑπάρχει τὰ ναρκωτικὰ φάρμακα καὶ πάνυ χρὴ φυλάττεσθαι τὴν χρῆσιν αὐτῶν ἐπὶ ταῖς τοιαύταις διαθέσεσιν. οὐ μὴν οὐδ' ὀδύνη τις ἕπεται σφοδρὰ τοῖς τοιούτοις χυμοῖς μόνοις οὖσιν. εἰ δέ

dove dolorem excitet, moli ipfi eft medendum. Sin mordens humor eft, adverfiffima huic funt quae extenuant et calefaciunt. Poftulat namque hujus generis affectus, fi modo curandus eft, eorum quae labores excitant vacuationem, fi id omnino fieri nequeat, epicrafin, fin id quoque fieri non poffit, ftupefacientium medicamentorum exhibitionem, quae quamquam fit communis, minus tamen hos affectus quam alios laedit. Quippe tenuis confiftentiae et calidarum facultatum plurimi talium humorum funt, quae autem ex papaveris fucco et alterco et eo modo frigidis parantur medicamenta fimul omnino et refrigerant et ficcant, qua ratione non folum ut fenfui torporem inducentia falutaria funt, fed etiam ut humorum tenuitatem cogentia atque craffantia, praeterea vehementem calorem refrigerantia. Ubi vero craffi glutinofique humores exfuperant, alieniffima funt quae torporem inducunt, cavendufque magnopere in ejusmodi affectibus eorum ufus eft. Sed nec alioqui comitatur ejusmodi humores, modo foli fint, dolor vehemens. Si vero ex

ποτε συμπλακείη κατά τι συμβεβηκὸς, ἀτμῶδες πνεῦμα τῶν περιεχόντων ἑαυτὸ σωμάτων ἀδυνατοῦν διεξιέναι, σφοδρότατα πάντως οἱ οὕτως ἔχοντες ὀδυνῶνται. ἕπεται δ' αὐτοῖς τοῦτο κατὰ διττὴν αἰτίαν, ἤτοι γ' ἔμφραξιν ἢ θερμασίαν· ἥ τε γὰρ ἔμφραξις ἴσχει τὸ πνεῦμα καὶ κωλύει διεξιέναι· θερμαινόμενά τε τὰ παχέα καὶ γλίσχρα φυσῶδες πνεῦμα γεννᾷν πέφυκε. τοιαῦται μάλιστα γίνονται διαθέσεις τοῖς ἐμπεπλησμένοις ἐδεσμάτων, ψυχρῶν μὲν ταῖς κράσεσι, παχέων δὲ καὶ γλίσχρων ταῖς συστάσεσιν, ὅταν ἐν αὐτοῖς περιέχηται τοῖς χιτῶσι τῶν ἐντέρων τὸ φυσῶδες πνεῦμα. δυοῖν γὰρ ὄντοιν αὐτῶν, ἐπειδὰν ἐν τῇ μεταξὺ χώρᾳ τοιοῦτός τις ἀθροισθῇ χυμὸς, εἰς φυσῶδες μεταβάλλει πνεῦμα. παχὺ δὲ δή που τοῦτ' ἔστι καὶ ψυχρὸν καὶ βραδύπορον. ὅταν οὖν ἴσχηταί τε καὶ διατείνῃ τοὺς χιτῶνας, ὅ τε χυμὸς ἐξ οὗ τὴν γένεσιν ἔχει, ψύχει σφοδρῶς τὰ ψαύοντα μόρια τῶν ἐντέρων, κατὰ δύο προφάσεις οἱ οὕτω κάμνοντες ὀδυνῶνται. τὸ μὲν οὖν παραυτίκα τελέως ἀνώδυνοι γίνονται, πιόντες τι τῶν ναρκωτικῶν φαρμάκων, αὐξάνεται δὲ ἡ διάθεσις αὐτοῖς παν-

accidenti aliquo conjunctus his halituofus fpiritus eft, qui ex iis quibus continetur corporibus erumpere prorfus non poteft, graviffimis omnino doloribus qui ita fe habent cruciantur. Porro accidit id illis duplici ex caufa, vel obftructione vel calore, nam et obftructio fpiritum cohibet nec exire permittit, et craffa glutinofaque quum calefiunt flatuofum fpiritum gignere folent. Ejusmodi fane affectus iis qui fe cibis natura frigidis et confiftentia craffis ac glutinofis referferunt, quando in ipfis inteftinorum tunicis flatuofus fpiritus continetur, potiffimum incidit. Nam quum hae duplices fint, ubi medio earum fpatio ejusmodi collectus humor eft, in flatulentum mutatur fpiritum. Sane is et craffus et frigidus et tardi motus eft. Ubi igitur tum retinetur tum tunicas diftendit, tum humor unde oritur inteftini partes, quas contingit, vehementer refrigerat, duplici occafione ita laborantes dolent. Ac ad tempus quidem, ubi torporem faciens medicamentum biberunt, prorfus indolentes redduntur; caeterum affectus his omnino fit major; nam et inte-

*τοίως· οἵ τε γὰρ χιτῶνες τῶν ἐντέρων πυκνότεροι καὶ δυσδιαπνευστότεροι γίγνονται τῇ ψυχρότητι τῶν φαρμάκων, ὅ τε χυμὸς παχύτερος καὶ δυσκινητότερος. ὥστε καὶ χρόνου πλέονος ἀναγκαῖον ἔσται δεηθῆναι τὸν κάμνοντα καὶ τοῦ θεραπεύοντος εἰς ἄκρον γεγυμνασμένου κατὰ τὴν τέχνην. εἰ γὰρ ὡς ἔτυχεν αὖθις ἐγχειρήσειε τῇ θεραπείᾳ, κίνδυνος ἐκ δευτέρου πνευματωθέντας τοὺς χυμοὺς τὴν αὐτὴν ὀδύνην ἐργάσεσθαι· εἶτ᾽ ἐκ δευτέρου δηλονότι δοθῆναί τι τῶν ναρκωτικῶν φαρμάκων δεῖ, τῆς αὐτῆς ἀνάγκης καταλαβούσης· ὡσαύτως δὲ κἀκ τρίτου καὶ τετάρτου καὶ πολλάκις ἐφεξῆς, ἄχρις ἂν ὁ ἄνθρωπος ἀνίατος γενόμενος εἰς καχεξίαν τε τοῦ παντὸς σώματος ἀφίκηται καὶ πολλῷ χρόνῳ κακοπαθήσας ἀποθάνῃ. πῶς οὖν χρὴ τὰς διὰ τοὺς ψυχροὺς χυμοὺς ἐν τῷ μεταξὺ τῶν ἐντέρων ἠθροισμένας ὀδύνας ἰᾶσθαι; [291] οὐ θερμαίνοντες σφοδρῶς αἰονήσεσιν ἢ καταπλάσμασιν· ὑπὸ γὰρ τῶν θερμαινόντων, εἰ μὴ καὶ διαφορηθεῖεν ἱκανῶς, χέονται καὶ πνευματοῦνται πάντες οἱ γλίσχροι καὶ παχεῖς καὶ ψυχροὶ χυμοί. προσήκει τοίνυν αὐτοὺς τέμνειν τε*

ſtinorum tunicae medicamentorum frigiditate denſiores minusque flatui transmittendo habiles redduntur et humor ipſe tum craſſior tum ad motum ineptior evadit. Itaque et ſpatio longiore ad aegri curationem et medico, qui egregie in arte ſit exercitatus, eſt opus. Niſi enim certa ratione poſtmodum curationem aggrediuntur, verendum erit ne humores ſecundo in flatuoſum ſpiritum verſi eundem dolorem renovent, unde rurſus ſtupefacientium aliquid medicamentorum exhiberi ſit opus, eadem neceſſitate urgente, ac pari modo tertio et quarto et ſaepe deinceps, quoad homo inſanabilis effectus in malum totius corporis habitum perveniat et poſt longa tandem taedia pereat. Quo pacto igitur dolores eos quos frigidus humor in medio inteſtinorum interclufus excitavit ſanare conveniet? Sane non perfuſionibus aut cataplaſmatis valenter calefacientibus, quippe lenti omnes craſſique et frigidi humores ab iis quae calefaciunt, niſi etiam valenter diſcutiant, liquantur ac in flatum mutantur. Convenit igitur eos incidere ſimul et concoquere, quas res

Ed. Chart. X. [291.] Ed. Baf. IV. (171. 172.)

ἅμα καὶ πέττειν, ὅπερ ἐκ τῶν λεπτυνόντων γίνεται φαρμάκων· καὶ μάλισθ᾽ ὅταν μὴ θερμαίνωσι σφοδρῶς. ὅτι δὲ καὶ τούτων αὐτῶν ὅσα ταῖς δυνάμεσίν ἐστιν ἀφυσότερα καὶ ξηραντικώτερα, ταῦθ᾽ αἱρεῖσθαι χρὴ μᾶλλον εὔδηλον παντί. καὶ πολλῶν ἰδιωτῶν ἐστιν ἀκοῦσαι πολλάκις ἧττον ἀλγεῖν φασκόντων τὸ κῶλον, ὅταν μήτε καταπλάττωνταί τινι μήτε καταντλῶνται δι᾽ ἐλαίου μήτε κλύζωνται. καὶ ὅσοι γενναῖοί εἰσι καὶ ἰσχυροὶ, μετρίως διαιτηθέντες ἐν χρόνῳ πλέονι συντομώτερον καὶ ἀκινδυνότερον ἐκθεραπεύονται (172) τῶν βιαιοτέρως ὡς εἴρηται θερμαινόντων. οὐδὲν γὰρ οὕτω χρὴ δεδιέναι κατὰ τοὺς τοιούτους χυμοὺς ὡς θερμότητα χέουσαν μὲν καὶ πνευματοῦσαν αὐτοὺς, διαφορεῖν δ᾽ ἀδυνατοῦσαν. ἐθεασάμην γοῦν τινα τῶν κατ᾽ ἀγρὸν ἐργατῶν, ὃς ἐπειδὴ ᾔσθετο κωλικῆς ὀδύνης, ἐζώννυτο μὲν αὐτίκα, πρότερον οὐ ζωννύμενος, ἤσθιε δὲ μετ᾽ ἄρτου σκόροδα, μηδεμίαν ἐκλείπων συνήθη πρᾶξιν, ἔπινε δὲ δι᾽ ὅλης μὲν ἡμέρας οὐδὲν, εἰς ἑσπέραν δὲ ἀκρατέστερον· εἶτα κοιμώμενος δι᾽ ὅλης νυκτὸς ἕωθεν ἀνίστατο παντάπασιν ἀνώδυνος. ἔστι γὰρ ἀμέλει καὶ

tenuantia medicamenta praeftabunt, potiffimum tamen fi calida vehementer non fint. Quod autem horum quoque ipforum ea maxime deligenda fint quae magis flatum difcutiant magifque ficcent, nemini poteft dubium effe. Saepeque ex plebe non paucos audias minus fibi dolore colon affirmantes, quum nec ipfis cataplafma imponitur nec oleo aliquo perfunduntur nec per clyfterem aliquid infunditur. Et fane qui generofi animi fortesque funt, fi mediocri utantur victu, tutius breviori tempore percurantur quam qui violenter, ut dictum eft, calefacientibus utuntur. A nullo enim in ejusmodi humoribus tam eft metuendum quam a calore, qui eos liquet atque in flatum vertat, fed difcutere non valeat. Vidimus namque ex agreftibus operis quempiam, qui ubi coli dolorem fenfit, protinus fe cinxit, cum cingi ante non foleret, comedit autem cum pane allium, nullum dimittens confuetum opus: nec toto die quicquam bibit, fed vesperi meracius, ab his et tota nocte dormivit et mane ab omni dolore plane liber furrexit. Eft enim pro-

τὰ σκόροδα τῶν ἀφύσων καὶ ἀδίψων βρωμάτων. ἔνιοι δὲ ἀπείρως ἔχοντες αὐτῶν ὑπολαμβάνουσι κρομμύων εἶναι διψωδέστερα τοῦ παντὸς ἁμαρτάνοντες· οὐ μόνον γὰρ οὐκ ἔστι διψωδέστερα κρομμύων, ἀλλ᾽ οὐδὲ διψώδη τὴν ἀρχὴν, ὑφυσότατά τε πάντων βρωμάτων. ὥστ᾽ ἔγωγε τῶν ἀγροίκων θηριακὴν ὀνομάζω τὸ βρῶμα. καὶ εἴ τις ἢ Θρᾷκας ἢ Κελτοὺς ἢ ὅλως τοὺς ψυχρὰν γοῦν οἰκοῦντας εἴρξειεν ἐσθίειν σκορόδων, οὐ σμικρὰ βλάψει τοὺς ἀνθρώπους. ὅσοι μὲν οὖν ἄνευ πυρετῶν ἀλγοῦσι σφοδρῶς ἔντερα, διὰ τὴν εἰρημένην αἰτίαν καὶ σκορόδων ἐγχωρεῖ τούτους ἐσθίειν καὶ τῆς διὰ τῶν ἐσχιδνῶν πίνειν, ὠφελούσης ἄκρως τὰς τοιαύτας διαθέσεις. ἐν πυρετοῖς δὲ εἴ ποτε γένοιτο, πειρατέον μὲν πρῶτον εἰ προσίενται τὴν διὰ τῶν κέγχρων πυρίαν ξηράν· εἰ δὲ ἐπὶ τῆσδε μὴ παύσαιντο, τῶν ἀφύσων τι σπερμάτων ἑψήσαντας ἐν ἐλαίῳ λεπτομερεῖ, κἄπειτα δι᾽ ὀθόνην διηθήσαντας ὡς καθαρὸν γενέσθαι τοὔλαιον, εἶτ᾽ ἐν αὐτῷ τήξαντας στέαρ χηνὸς ἐνιέναι. μὴ παρόντος δὲ τοῦ χηνείου στέατος ὀρνιθείῳ

fecto allium in eorum ciborum genere, qui et flatum discutiant et minime sitim inferant. Sunt qui parum id experti existiment majorem quam caepas sitim excitare, sed plane errant, quum non modo non majorem quam caepae, sed nec omnino sitim initio faciat, idem omnium plane eduliorum maxime flatum discutit. itaque ego agrestium theriacen id edulium appello. Ac si quis vel Thracas vel Gallos vel denique qui frigidam regionem incolunt vesci alliis vetuerit, non leviter iis hominibus nocuerit. Ac quos ex supra dicta causa vehemens intestinorum dolor citra febrem exercet, iis et allium esse licet et theriacen bibere, quippe quae ejusmodi affectibus magnopere subvenit. At si cum febre una talis dolor aliquando incidat, principio quidem, si id ferunt, fomentum siccum ex milio est adhibendum. Si ab hoc non quiescant, semen aliquod quod flatum dissipet in oleo quod tenuium sit partium coquere, mox per linteum, quo purum sit, oleum colare, deinde anseris sevum in oleum liquare et per sedem infundere oportebit. Si anseris sevum non sit,

Ed. Chart. X. [291. 292.] Ed. Baf. IV. (172.)

χρῆσθαι· πρὸ παντὸς δὲ ἔστω τὸ καλούμενον ἄναλον· ἔστω δὲ μὴ πάνυ παλαιόν· ἐγχωρεῖ δὲ καὶ προσφάτῳ χρῆσθαι καὶ μάλιστα τῷ χηνείῳ. εἰ δὲ μηδ᾽ ἐπὶ τούτῳ καθίστανται, δεύτερον αὖθις ἐνιέναι ταὐτὸ, βραχὺ προσεπεμβάλλοντας καστορίου καὶ ὀπίου, μέγεθος δὲ ἑκατέρου μὴ μεῖζον κυάμου· τὸ δὲ τοῦ ἐλαίου πλῆθος ἔστω κοτύλη. ἀναλαμβάνεται δὲ ἐκ τούτου τοῦ φαρμάκου καὶ κροκιδίου τι· χρὴ δὲ ἐξάψαντας αὐτὴν ἰσχυροῦ νήματος ἐπὶ πλεῖστον εἴσω κατὰ τὸ ἀπευθυσμένον ἔντερον ἐντιθέναι, πρὸς τῷ καὶ ῥᾳδίως ὅτε βούλει κομίζεσθαι καὶ τὴν ὠφέλειαν ἐναργὴ παρέχεσθαι. κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὰ τῶν ὀφθαλμῶν καὶ τὰ τῶν ὤτων ἀλγήματα διὰ τοιοῦτον χυμὸν ἢ πνεῦμα φυσῶδες ἐν πυρετοῖς γινόμενα πραΰνειν προσήκει, τῇ τε διὰ τῶν κέγχρων πυρίᾳ χρώμενον, ἐπειδὴ καὶ κουφότατόν ἐστιν ἁπάντων τοῦτο καὶ ξηραντικώτατον, ἀλύπους τε τὰς ἀποῤῥοίας ἔχει καὶ ἀδήκτους, ἐγχέοντά τε τοῖς ὠσὶ τὸ διὰ καστορίου καὶ ὀπίου φάρμακον, ᾧ συνήθως χρώμεθα πρὸς τὰ τοιαῦτα. [292] τὸ δὲ ὑγρὸν ᾧ ἀναδεύσεται ταῦτα, τὸ παρ᾽ ἡμῖν καλούμενον

gallinaceo eft utendum, inprimifque curandum ut fit expers falis, efto autem nec admodum vetus, licet vero et recenti uti, praefertim anferino. At fi neque ex hoc remittuntur *dolores*, fecundo rurfus injiciendum idem eft, adjecta etiamnum caftorei et papaveris fucci, utriufque fabae non amplius magnitudine, olei vero hemina modus efto. Excipitur et lanula ex hoc medicamento aliquid: debebitque appenfa forti filo quam penitiffime in rectum inteftinum dimitti, quo et quum libet id facile recipiatur et evidentem conferat utilitatem. Ad eundem modum et oculorum et aurium dolores, qui ex hujusmodi humore aut fpiritu flatulento in febre excitantur fedare conveniet, tum fomento ex milio uti, quoniam id omnium et leviffimum eft et maxime ficcans, quodque ab eo defluit innoxium expersque morfus eft, tum auribus medicamentum id quod ex caftoreo et papaveris fucco conficitur infundentibus, quo ad talia uti folemus. Liquor quo haec liquantur fapa efto, quod apud nos

ἕψημά ἐστιν· οἱ πλεῖστοι δὲ τῶν ἰατρῶν ὀνομάζουσιν αὐτὸ σίραιον. εἰ δὲ καὶ καταπλάττειν ποτὲ δεήσειε, κωδίας ἐν ὕδατι καθέψοντας, δι᾽ ὀλίγου τήλεως ἢ κριθῶν ἢ λινοσπέρμου ἐμβαλλομένου τῷ ὕδατι, τὸ κατάπλασμα συνθετέον. εἰδέναι δὲ χρὴ τὸ διὰ καστορίου φάρμακον οὐ μόνον ὤτων ἄλγημα πραΰνειν, ἀλλὰ καὶ ὀφθαλμῶν καὶ ὀδόντων ἐνσταζόμενον τοῖς ὠσίν. ἴσασι δὲ δήπου πάντες ἤδη καὶ τὰ δι᾽ ὀπίου κολλύρια σφοδροτάτας ὀδύνας ὀφθαλμῶν πραΰνοντα. χρηστέον δ᾽ αὐτοῖς, ὡς εἴρηται, μεγίστης ἀνάγκης καταλαβούσης, εἰδότα μὲν ὅτι βλαβήσεταί τι τὰ μόρια καὶ ἀσθενέστερα πρὸς τὸ λοιπὸν τοῦ βίου γενήσεται ψυχθέντα, τὸ δὲ σωθῆναι τὸν ἄνθρωπον ἐν τῷ παραχρῆμα τῆς εἰς ὕστερον ἀκολουθούσης βλάβης προαιρούμενον. ἐπεί τοί γ᾽ ὅτι πολλοὶ τῶν χρησαμένων αὐτοῖς ἐγγὺς ἧκον, οἱ μὲν τοῦ μηδ᾽ ὅλως ὁρᾷν, οἱ δὲ τοῦ κωφωθῆναι, γινώσκεται πᾶσιν. ὅθεν ἡμεῖς εἴ ποτε ἀναγκασθείημεν αὐτοῖς χρήσασθαι, μετὰ ταῦτα κατὰ τὴν τῆς ὑγείας καιρὸν ἐκθερμαίνομεν τὰ μόρια, τοῖς μὲν ὠσὶν ἐγχέοντες τὸ διὰ μόνου τοῦ καστορίου, τοῖς δ᾽ ὀφθαλμοῖς

vocant hepfema, plerique medicorum firaeon appellant. Quod fi imponi cataplafma aliquando oportebit, papaverum capitibus in aqua coctis ac foenigraeci vel hordei vel lini feminis farina aquae immiffa cataplafma conficies. Scire autem licet medicamentum, quod caftoreum recipit, non folum aurium fedare dolorem, fed etiam oculorum et dentium, fi auribus inftilletur. Jam vero collyria, quae ex opio fiunt, vehementiffimos oculorum dolores remittere omnes norunt. Utendumque, ut diximus, his eft, quum maxima neceffitas urget, illud minime ignorantibus, partes ipfas nonnihil laedendas, imbecillioresque in reliquam vitam ex refrigeratione futuras, caeterum faluti hominis in praefens ipfam futuram poftea noxam pofthabentibus. Siquidem non paucos eorum, qui his funt ufi, eo infirmitatis veniffe ut alii fere nihil omnino viderent, alii propemodum furdi forent, id omnibus jam notum eft. Itaque nos fi quando cogimur his uti, poftmodum in fanitatis tempore partes ipfas excalefacimus, nempe auribus oleum id quod folum caftoreum habet in-

τὰ θερμαίνοντα κολλύρια μόνα· μάλιστα δὲ ἐπαινοῦμεν εἰς ταῦτα τὸ | διὰ κινναμώμου. περὶ μὲν οὖν ὀδύνης τῆς ἐπὶ παχέσιν ἢ γλίσχροις ἢ ψυχροῖς χυμοῖς ἢ φυσώδει πνεύματι καὶ ταῦθ᾽ ἱκανά. παραπλησία γὰρ ἁπάντων αὐτῶν ἐστὶν ἡ θεραπεία διὰ τῶν εἰρημένων ὑλῶν περαινομένη, πλὴν ἥ γε διὰ πνεῦμα φυσῶδες ἐξαίρετον ἴαμα κέκτηται τὴν σικύαν πολλάκις προστιθεμένην ἅμα δαψιλεῖ φλογί. καὶ δόξει σοι τὸ βοήθημα τοῦτο μαγείᾳ τινὶ παραπλήσιον ἐργάζεσθαι κατὰ τὰς τοιαύτας διαθέσεις, εἴτε κατά τι τῶν ἐντέρων, εἴτε κατ᾽ ἄλλο τι τοῦ σώματος γένοιτο μόριον. αὐτίκα γὰρ ἀνώδυνοί τε ἅμα καὶ εἰς τέλος ὑγιεῖς οἱ διὰ πνεῦμα φυσῶδες ὀδυνώμενοι γίγνονται, προσβληθείσης σικύας. εἰ δὲ μὴ μόνον εἴη πνεῦμα φυσῶδες, ἀλλὰ καὶ χυμὸς ἐξ οὗ τοῦτο γεννᾶται, παραχρῆμα μὲν ἀνώδυνοι γίνονται, πάλιν δ᾽ αὐτοῖς ἤτοι διὰ τῆς ἐπιούσης νυκτὸς ἢ κατὰ τὴν ὑστεραίαν ἡμέραν, ἢ καὶ διὰ τρίτης, ὅμοιαι συμβαίνουσιν ὀδύναι, καὶ μάλισθ᾽ ὅταν ἐξαμαρτάνωσί τι περὶ τὴν δίαιταν ἢ φιλοτι-

fundentes, oculis vero collyria, quae tantum calefaciant, ad quod scilicet munus maxime id probamus, quod ex cinnamomo conficitur. Ac de doloribus quidem qui ex crassis glutinosisve aut frigidis humoribus vel etiam flatuoso spiritu excitantur, hactenus abunde. Similis namque est eorum omnium curatio, ut quae per enarratas jam materias perficiatur, nisi quod is qui spiritum flatuosum comitatur, propriam quandam curationem est sortitus ex cucurbita cum flamma copiosa subinde admota. Videbiturque tibi praesidium hoc in hujusmodi affectibus incantamenti cujusquam simile quid efficere, sive hi in intestinis sive in quavis corporis parte sunt excitati. Illico enim cucurbita admota qui spiritu flatuoso cruciantur tum a dolore liberi tum omnino sani redduntur. Quos vero non spiritus modo flatuosus, sed etiam humor unde is oritur male habet, iis illico ad tempus dolor sedatur, redit tamen vel in sequente nocte vel postridie vel etiam tertio die similis dolor, ac potissimum ubi in victu aliquid deliquerint, aut importunius partes excale-

μότερον ἐκθερμαίνωσι τὰ μόρια. σοὶ δὲ καὶ τοῦτο μὲν αὐτὸ μέγιστον ἔστω γνώρισμα τῆς διαθέσεως. ἑπέσθω δὲ καὶ ἡ θεραπεία προσήκουσα μὴ θερμαίνοντι μὲν ἐπιφανῶς τὸ μόριον, ἀγωγῇ δὲ ἐπιμελείας χρωμένῳ λεπτυνούσῃ. εἰ δὲ καὶ κατὰ γαστέρα τῶν τοιούτων τι συμβαίνει, θαυμαστῶς ὑπὸ κλυσμάτων ὀνίνανται δριμέων. χρὴ δὲ πρῶτον μὲν αὐτῶν ἰᾶσθαι τὸν παροξυσμὸν τῆς ὀδύνης, προσβάλλοντα σικύαν ὑπὲρ τοῦ διαπνεῦσαι τὸ φυσῶδες πνεῦμα· μετὰ ταῦτα δὲ ἐκκενοῦν τὸν χυμὸν, ἐνιέντα τῶν τοιούτων τι φαρμάκων. ἐγὼ δὲ εἴωθα χρῆσθαι τῶν λεπτομερῶν ἐλαίων τινὶ, πήγανον ἐναφεψῶν. ἔνιοι δὲ ὑπὸ τὴν τοιαύτην θεραπείαν ἀχθέντων, ὅταν παραδέξωνται τοὔλαιον, ὀδυνῶνται σφοδρότατα· κἄπειτ' ὀλίγον ὕστερον ἐκκρίνουσιν ὑαλώδη χυμόν· ἐφ' ᾧ παραχρῆμα τήν τ' ὀδύνην ἅμα καὶ τὴν διάθεσιν ἐκθεραπεύονται· κενωθέντος γὰρ τοῦ τὸ φυσῶδες πνεῦμα γεννῶντος αἰτίου πάντα παύεται. τοιούτοις χυμοῖς ἐναντιωτάτην μὲν ἔχουσι φύσιν οἱ λεπτοὶ καὶ δριμεῖς, ὁμοίαν δὲ τὴν ὀδύνην· ἐνίοτε δὲ καὶ σπασμοὺς συντόνους ἐπιφέρουσιν ἐν τῷ

fecerint. Tibi vero hoc quoque maximum indicium affectus erit, ac curationem pro ratione profequeris nec impenfe partem excalefaciens et tenuatoria curationis ratione utens. Quod fi in ventre quoque talium quippiam incidat, mirifice hi ex acribus clyfteribus levantur. Sed percuranda in his primum doloris acceffio eft, admota fcilicet cucurbita, quo ventofus digeratur fpiritus, poft id vacuandus humor eft, infufo per fedem ejusmodi medicamentorum aliquo. Ego vero oleo quopiam tenuis fubftantiae uti affuevi rutam incoquens. Porro aliqui in tali curandi ratione ubi oleum acceperunt maximo dolore cruciantur, poftea exiguo interpofito fpatio excernunt humorem vitreum, atque ex hoc protinus fimul et a dolore et ab affectu liberantur, nam fublata caufa, quae fpiritum flatuofum gignit, omnia conquiefcunt. His humoribus contrariam maxime naturam habent, qui tenues funt atque acres, fed fimilem dolorem inferunt, nonnunquam autem et convulfiones vehementes accerfunt,

*στόματι τῆς γαστρὸς ἀθροισθέντες· ὥσπερ καὶ πρώην τῷ μικρὸν ὕστερον ἐμέσαντι τὸν ἰώδη χυμόν. [293] ἄμεινον δὲ οὐκ ἰώδη λέγειν αὐτὸν, ἀλλ᾽ ἀκριβέστατον ἴον· ἦν γὰρ δὴ τοιοῦτος οἷος ὁ κάλλιστος ἴος. ἀλλὰ τούτῳ γε τῷ νεανίσκῳ μετὰ τοῦ σπᾶσθαι καὶ συγκόπτεσθαι καί τινες ἐγίνοντο νοτίδες ψυχραὶ καὶ ὁ σφυγμὸς ἐσχάτως μικρὸς ἦν. ἐξ ὧνπερ καὶ τεκμηράμενος ἐν τῷ στόματι τῆς γαστρὸς, ὃ συνήθως ὀνομάζομεν στόμαχον, εἶναί τινα δακνώδη χυμὸν, ἔδωκα πιεῖν αὐτῷ ὕδατος χλιαροῦ· μεθ᾽ ὃ παραχρῆμα τοιοῦτον ἤμεσεν οἷόν περ εἰ καὶ σὺ βουληθείης ἐργάσασθαι, μίξας ὕδατι τὸν εὐανθέστατον ἴον. ὅταν μὲν οὖν ἐν τῇ γαστρὶ συνίσταται τοιοῦτος χυμὸς, ἐμέτοις ἐκκαθαίρειν αὐτόν· ὅταν δὲ ἐν τοῖς ἐντέροις, ἐνιέναι διὰ τῆς ἕδρας ἐπιτήδειόν τι τῶν τοιούτους χυμοὺς κατακλύζειν δυναμένων. εἶναι δὲ χρὴ τοῦτο ῥυπτικὸν (173) μὲν πάντως. ἀλλ᾽ ἐπειδὴ τὰ πλεῖστα τῶν τοιούτων δάκνει, κάλλιστα ἂν εἴη τῶν ἀδήκτων τι ῥυπτικὸν ἐκλέγεσθαι· τοιοῦτον δέ ἐστιν ἐν τοῖς μάλιστα πτισάνης χυλός. ἐδέσματα δὲ αὐτοῖς εὔχυμά τε καὶ δύσφθαρτα δοτέον, ὧν*

quum in ore ventriculi ſunt collecti: veluti dudum illi contigit qui paulo poſt aeruginoſum humorem evomuit. Satius vero ſit non aeruginoſum ipſum dicere, ſed exactam plane aeruginem, talis namque erat qualis pulcherrima eſt aerugo. Verum huic adoleſcenti cum convulſione et ſyncope etiam madores quidam frigidi et pulſus in ſummo gradu parvi erant. Ex quibus quum conjicerem in ore ventriculi, quem vulgo ſtomachum vocant, mordentem aliquem contineri humorem, dedi illi aquam tepidam bibendam, poſt quam protinus tale quid evomuit, quale ſi ipſe facere velles floridiſſimam aeruginem aquae miſceres. Quum igitur talis humor in ventriculo conſiſtit, vomitu eſt expellendus, quum in inteſtinis injicere per ſedem conveniet, quod eluere ejusmodi humorem ſit aptum. At id deterſivum ſit omnino oportebit. Quum autem talium plurima mordeant, commodiſſime ex iis aliquod detergens deligitur, cui morſus abſit, ejus generis maxime eſt ptiſanae cremor. Cibi vero exhibendi his ſunt et qui boni ſint ſucci nec facile corrumpantur, quorum

εἴρηται καὶ παραδείγματα κατὰ τὸν ἔμπροσθεν λόγον. ἐπεὶ δὲ καὶ τῶν διὰ ξηρότητα σφοδρὰν τεινομένων τε ἅμα καὶ ὀδυνωμένων ἐμνημόνευσα, προσθεῖναί τι καὶ περὶ τούτων ἄμεινον. εἰδέναι γὰρ χρὴ τὴν τοιαύτην διάθεσιν ἐνδεικνυμένην μὲν εἰ μέλλει θεραπεύειν τις αὐτὴν, ὑγρότητα, χαλεπὴν δ' οὖσαν ἢ καὶ παντάπασιν ἀδύνατον ἐκθεραπεύεσθαι, λόγῳ πυρετοῦ γενομένην. ἕπεται δὲ μάλιστα ταῖς ὀλεθρίαις φρενίτισι καὶ σωθέντα τινὰ τῶν οὕτω σπασθέντων οὔτ' αὐτὸς εἶδον οὔτ' ἄλλου λέγοντος ἤκουσα. τὰ πολλὰ γὰρ οἱ σπασμοὶ γίγνονται διά τε πλήρωσιν τῶν νευρωδῶν μορίων, ᾧ λόγῳ καὶ τοῖς φλεγμαίνουσιν ἰσχυρῶς ἕπονται· καὶ προσέτι καὶ διὰ δακνώδη χυμὸν λεπτὸν, ἀναβιβρώσκοντα τὰ νευρώδη μόρια· καὶ ψύξιν ἰσχυρὰν, ὅμοιόν τι πήξει δρῶσαν. οὗτοι μὲν οἱ εἰρημένοι τρεῖς σπασμοὶ θεραπεύονται πολλάκις· ἀνίατος δὲ ὁ διὰ ξηρότητα τῶν νευρωδῶν μορίων γιγνόμενος. ἐδείχθη γάρ μοι κἀν τῷ περὶ μαρασμοῦ λόγῳ παντάπασιν ἀθεράπευτος ἡ τῶν στερεῶν σωμάτων ξηρότης. ὥστ' οὐδὲν ἔτι χρὴ περί γε τῶν τοιούτων λέγειν συμπτωμάτων· οὐ μὴν

etiam exempla in priore libro jam tradita habes. Quoniam vero etiam eorum qui ex ficcitate vehementi tenduntur cruciantur que mentionem feci, fatius fuerit de his etiam aliquid apponere. Scire namque licet ejusmodi affectum, fi modo curabitur, humectationem pofcere, caeterum curatu perdifficilem effe vel potius qui curari omnino non poffit, fi febris occafione fit contractus. Succedit maxime exitiali phrenitidi, nec fanatum quempiam ita convulforum aut ipfe vidi aut alium narrantem audivi. Nam faepe convulfio vel ex repletione nervofarum partium incidit, qua ratione eos quos magna phlegmone premit adoritur, vel ex mordente et tenui humore, qui nervofa corpora rodat, vel ex ingenti frigore, quod tale quippiam quale gelu efficit. Atque hae tres convulfiones faepe percurantur, fed quae ex nervofarum partium ficcitate provenit, infanabilis eft. Quippe etiam in libro de marafmo docuimus folidorum corporum ficcitatem omnino effe infanabilem. Quo minus adjiciendum quicquam de ejusmodi fymptomatis practerea puto, fed nec de

οὐδὲ περὶ τῶν διὰ κένωσιν ἀμέτρων ἤτοι διὰ γαστρὸς ἢ δἰ ἐμέτου ἢ δἰ αἱμοῤῥαγίας· εἴρηται γὰρ ὑπὲρ αὐτῶν ἤδη μετρίως ἐν τοῖς ἔμπροσθεν αὖθίς τε διελθεῖν ἀναγκαῖον ἔσται καὶ μάλισθ᾽ ὅταν ὁ λόγος μοι γίγνηται περὶ τῶν παρὰ φύσιν ὄγκων. καταπαύσω τοιγαροῦν ἤδη τὸν ἐνεστῶτα λόγον, ἐπειδὴ περὶ τῶν ἀναγκαιοτάτων συμπτωμάτων καὶ μάλιστα τῶν συνεζευγμένων αὐταῖς ταῖς διαθέσεσι τῶν πυρετῶν αὐτάρκως διῆλθον.

iis quae vitio immodicae vacuationis vel per alvum vel per vomitum vel ſanguinis profuſionem incidunt, quod et antea de his mediocriter ſit dictum et poſthac dicere ſit neceſſum, potiſſimum quum mihi de tumoribus qui praeter naturam incidunt erit agendum. Itaque librum jam claudam, quandoquidem de ſymptomatis iis quae maxime erant neceſſaria et praecipue quae cum ſebrium affectibus ipſis ſunt connexa abunde diſſerui.

# ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ Ν.

Ed. Chart. X. [294.] Ed. Baf. IV. (173.)

Κεφ. α΄. Δύο μὲν ἤδη γένη νοσημάτων ὅπως ἄν τις ἰῷτο μεθόδῳ δεδήλωται· τὸ μὲν ἕτερον, ἡ δυσκρασία, παλαιὰν ἔχουσα προσηγορίαν, τὸ δ᾽ ἕτερον ὑφ᾽ ἡμῶν ὠνομασμένον, ἡ τῆς συνεχείας λύσις. ὑπὲρ ἧς πρώτης γράψαντες ἐν τῷ τρίτῳ καὶ τετάρτῳ καὶ πέμπτῳ καὶ ἕκτῳ τῶνδε τῶν ὑπομνημάτων, ἐφεξῆς αὐτῇ τὰ κατὰ δυσκρασίαν γιγνόμενα μέχρι τοῦ δωδεκάτου διήλθομεν. ἐν δὲ τῷδε τῷ τρισκαιδεκάτῳ τῆς ὅλης πραγματείας ὄντι περὶ τῶν παρὰ φύσιν ὄγκων ἀρξόμεθα λέγειν, ἐν οἷς δηλονότι κατὰ μέγεθος ἐξίσταται τὰ

# GALENI METHODI MEDENDI LIBER XIII.

Cap. I. Duo jam genera morborum quemadmodum quis methodo fanet docuimus, alterum in intemperie pofitum, cui antiqua eft appellatio, alterum cui nos nomen indidimus, continuitatis folutionem. De qua prima in tertio, quarto, quinto ac fexto horum commentariorum praecepimus. Poft eam de iis quae in intemperie confiftunt, ufque ad duodecimum egimus. In hoc vero totius operis tertio decimo de tumoribus qui praeter naturam incidunt differere incipiemus, in quibus fcilicet partes a naturali ftatu in

μέλη τοῦ κατὰ φύσιν. ὑγείαν δὲ καλεῖν ἢ κατὰ φύσιν οὐ διοίσει πρός γε τὰ παρόντα. πολλῶν δὲ κατ᾽ εἶδος ὄντων ἐν αὐτοῖς παθῶν, περὶ πρώτης ἐροῦμεν τῆς φλεγμονῆς. ἄμεινον γὰρ ἀπὸ ταύτης ἄρξασθαι διά τε τὸ συνεχέστατα γίγνεσθαι καὶ πυρετούς τε καὶ ἄλλα συμπτώματα ἐργάζεσθαι σφαλερώτατα. λεγόντων δὲ πολλάκις τῶν παλαιῶν φλεγμονὴν τὴν φλόγωσιν, ἰστέον νῦν ἡμᾶς οὐ περὶ ταύτης διέρχεσθαι τῆς φλεγμονῆς, ἀλλ᾽ ἥτις ἅμα τῇ φλογώσει καὶ τάσιν ἔχει περὶ τὸ μόριον, ἡμῖν θ᾽ ἁπτομένοις φαινομένην αὐτῷ τε τῷ κάμνοντι διὰ τῆς ἰδίως ὀνομαζομένης συναισθήσεως. οὐδὲν δ᾽ ἧττον τῆς τάσεως ἀντίτυπόν ἐστι τὸ φλεγμαῖνον μόριον ἐν ὄγκῳ τε μείζονι τοῦ κατὰ φύσιν· ὀδύνη δ᾽ αὐτῷ σύνεστιν ἤτοι γ᾽ ἐλάττων ἢ μείζων· ἐνίοτε δὲ καὶ μετὰ σφυγμοῦ συναισθήσεως, ὅταν ἐπιπλέον αὐξηθῇ τὸ νόσημα, καὶ μάλισθ᾽ ἡνίκα ἐκπυΐσκεται. οὕτω δὲ καὶ τὸ καλούμενον ἔρευθος ἤτοι γ᾽ ἧττον ἢ μᾶλλον. ἀεὶ δὲ πάντως ἐστὶν ἐν τοῖς φλεγμαίνουσι μορίοις· ὥστε κἂν ἐν τῷ τοῦ ποδὸς

quantitate recesserunt. Sane sanitatem an secundum naturam affectum dixeris ad ea quae nunc paramus, nihil intersit. At quum plures specie affectiones in his sint, primum agemus de phlegmone. Expedit enim ab hac coepisse, et quod frequentissime incidat et quod febres aliaque symptomata periculosissima excitet. Quum autem veteres phlogosin saepe phlegmonen appellent, sciri volumus non hoc loco nos de hac phlegmone disserere, sed de ea quae supra inflammationem tensionem quoque in parte facit, quam non modo ipsi tactu deprehendamus, sed etiam ipse aeger proprio sensu appellato advertat. Nihilominus etiam pro tensionis modo *tangenti* quoque renititur pars phlegmone obsessa auctiorque est quam pro naturali habitu, nec dolor illi deest major minorve, cum quo nonnunquam et pulsationis est sensus quum morbus amplius increvit, ac potissimum quum suppurat. Sic rubor quoque vocatus major minorve *visitur*. Semper tamen rubor omnino partibus inflammatis inest, adeo ut sive in ipso pedis vestigio sive in parte interna ma-

ἴχνει, [295] κἂν κατὰ τὸ τῆς χειρὸς ἔνδον γένηται μεγάλη φλεγμονὴ, καὶ ταῦτα φαίνεσθαί πως ἑαυτῶν ἐνίοτε ἐρυθρότερα.

Κεφ. β'. Δέδεικται γάρ τοι πᾶσα φλεγμονὴ δι' ἐπιῤῥοὴν αἵματος γιγνομένη τισὶ μὲν εὐθέως θερμοῦ πλέον ἢ κατὰ φύσιν ἦν θερμὸν, ἅπασι δ' οὖν ἐν τῷ φλεγμαίνοντι μορίῳ θερμοτέρου γιγνομένου. καὶ τοῦτο κοινὸν ἁπάσαις ταῖς αἱρέσεσίν ἐστιν, εἴτε σφήνωσιν μόνην αἰτιῶνται κατὰ τὰ πέρατα τῶν ἀγγείων, εἴτε παρέμπτωσιν τοῦ αἵματος ἐν μόναις ταῖς ἀρτηρίαις, εἴτ' ἔμφραξίν τινα, εἴτε ἔνστασιν ἐν λόγῳ θεωρητοῖς ἀραιώμασιν. ὥστε καὶ ὁ τῆς ἰάσεως σκοπὸς ἁπάσαις κοινὸς ἡ κένωσις τοῦ πλεονάζοντος αἵματος ἐν τῷ φλεγμαίνοντι μορίῳ. γιγνομένης δ' ἔτι τῆς φλεγμονῆς διττὸς ὁ σκοπὸς ὥσπερ καὶ τῶν ἄλλων ἁπάντων ἐδείχθη νοσημάτων, ὅσα τὴν γένεσιν ἐνεστῶσαν ἔτι καὶ μήπω συμπεπληρωμένην ἔχοι. τὸ μὲν γὰρ γεγονὸς αὐτῶν ἤδη τῷ θεραπευτικῷ μέρει τῆς ἰατρικῆς ὑποπέπτωκε, τὸ δ' ἔτι γιγνόμενον τῷ προφυλακτικῷ. καὶ διὰ

nus magna phlegmone incubuit, haec quoque magis interdum rubra videntur quam ante.

Cap. II. Etenim oftenfum eft phlegmonen omnem e fanguinis confluxu confiftere, qui aliis ftatim calidior eft quam pro natura fuit; omnibus certe in ipfa parte quae phlegmone vexatur calidior efficitur. Atque hoc omnium fectarum commune eft, five impactum tantum fanguinem in finibus vaforum phlegmones caufam velint, five intercidentiam fanguinis in folis arteriis, five obftructionem aliquam, five in raritatibus ratione contemplabilibus refiftentiam. Quo fit ut etiam curationis fcopus omnibus fit communis, nempe vacuatio redundantis in parte phlegmone obfeffa fanguinis. Phlegmones vero quae in generatione adhuc eft duplex fcopus, ut in reliquis morbis omnibus, quicunque in gignendo adhuc funt, nec dum abfolutionem funt nacti, oftendimus. Nam quod eorum generatum jam eft, id medicinae artis parti therapeuticae fubjicitur, quod in generatione adhuc eft, parti quae *futurum morbum* praecavet. Atque idcirco

τοῦτο ἔφαμεν οὐχ ἁπλῆν, ἀλλὰ σύνθετον εἶναι τὴν ὅλην ἐπιμέλειαν τῶν ἔτι γιγνομένων παθῶν ἐκ προφυλακτικῆς τε καὶ θεραπευτικῆς. ὥσπερ γε καὶ εἰ μηδ᾽ ὅλως ἄρχοιτο φλεγμαίνειν μηδέπω, φαίνοιτο δὲ τὸ τῶν γεννῆσαι δυναμένων αἰτίων εἶδος ἤδη κατὰ τὸ σῶμα, σκοπὸς κἀπὶ τούτων ἁπάντων ἡ προφυλακὴ μόνη. μηδέπω δ᾽ αἰτίας μηδὲ μιᾶς ὑποτρεφομένης ἐν τῷ σώματι, τὸ καλούμενον ὑγιεινὸν μέρος τῆς τέχνης προνοεῖται καὶ οὕτως ἐχόντων. ὅσα τοίνυν αἴτια τὴν φλεγμονὴν ὁρᾶται γεννῶντα, ταῦτα ὅταν μὲν ἤδη πως ᾖ κατὰ τὸ σῶμα, μικρὰ δ᾽ ἔτι καὶ ἀρχόμενα, κωλύειν αὐτὰ δεῖ μείζω γενέσθαι, καὶ τοῦτ᾽ ἐστὶν ἡ προφυλακὴ τῆς φλεγμονῆς. εἰ δὲ τηλικοῦτον ἔχει τὸ μέγεθος ὡς ἤδη ποιεῖν φλεγμονὴν, ἐκκόπτειν μὲν χρὴ ταῦτα, τὸ δὲ ἤδη γεγονὸς αὐτῆς ἰᾶσθαι.

Κεφ. γ΄. Γένεσις μὲν οὖν κοινὴ πάσαις ταῖς φλεγμοναῖς ἐξ αἵματος ἐπιῤῥοῆς ἐστι πλείονος ἢ ὅσου δεῖται τὸ μέρος, ὡς ἔν τε τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων ἐδεί-

diximus non fimplicem, fed compofitam effe totam de iis morbis qui in generatione adhuc funt medentis folicitudinem ex prophylactice, *quae providet*, et therapeutice, *quae curat*. Ut etiam, fi omnino phlegmone laborare adhuc non coeperit, fed tamen appareat jam fubeffe in corpore genus aliquod caufarum, quae phlegmonen excitare poffint, in talibus quoque omnibus fola praecautio indicatur. At fi nulla adhuc in corpore caufa fubalitur, iis qui ita fe habent ea pars quae fanitatis eft tutrix providet. Ergo quae caufae phlegmonen accerfere videntur, has quum jam in corpore fint conceptae, fed tamen exiguae adhuc et incipientes, ne majores fiant, inhibere conveniet, atque hoc praecaventis phlegmonen eft officium. Quum vero ea magnitudine fint ut jam phlegmonen creent, eas fubmovere oportet, ac quantum jam phlegmones genitum eft fanare.

Cap. III. Ac communis omnium phlegmonarum generatio ex fanguinis affluxu eft copiofioris quam pars poftulet, ut tum in libro de tumoribus praeter naturam often-

χθη καὶ τῷ τῆς ἀνωμάλου δυσκρασίας. ἐπιῤῥεῖ δὲ πλέον, ἐνίοτε μὲν ἑτέρου τινὸς ἢ ἑτέρων τινῶν μορίων εἰς αὐτὸ πεμπόντων, ὑποδεχομένου δὲ τοῦ φλεγμαίνειν ἀρχομένου, ποτὲ δὲ ἕλκοντος ἐφ' ἑαυτὸ τοῦ πάσχοντος. τὰ μὲν οὖν πέμποντα ποτὲ μὲν, ὡς τῷ πλήθει περιττὸν ἢ ἀνιαρὸν τῇ ποιότητι, διωθεῖται τὸν χυμὸν, ἐνίοτε δὲ καὶ δι' ἄμφω· τὰ δὲ ἕλκοντα διὰ θερμότητα νοσώδη. κατὰ δὲ τὰς ὀδύνας ἄρχεται μὲν ἐκ τοῦ τὴν ὀδύνην ἔχοντος ἡ αἰτία, τὰ δ' ὑπερκείμενα τὸ σύμπαν ἐργάζεται τῆς φλεγμονῆς. τὸ μὲν οὖν ἐπὶ τὸ θερμαινόμενον ἤτοι γ' ἕλκεσθαι τοὺς πλησιάζοντας χυμοὺς, ὡς ἡμεῖς φαμεν, ἢ ὡς [296] Ἀσκληπιάδης ἐνόμιζε, ῥεῖν, ἐναργῶς φαίνεται καὶ φυλαττέσθω (174) τῷ λόγῳ κἀνταῦθα τὸ ἀληθὲς, ἐξ αὐτοῦ τοῦ βλέπεσθαι. τά γε μὴν ὀδυνώμενα φαίνεται μὲν καὶ ταῦτα φλεγμαίνοντα διὰ τὴν ὀδύνην, ἡ δ' αἰτία τισὶ μὲν οὐδ' ὅλως εἴρηται, τισὶ δ' οὐδαμῶς πιθανή. καθ' ἡμᾶς δ' ἐστὶ τοιάδε. δέδεικται δὲ κατὰ τὴν πραγματείαν ἣν περὶ τῶν φυσικῶν δυνάμεων ἐποιησάμεθα μία καὶ ἥδε τῆς φύσεως δύναμις, ἣν ἀποκρι-

dimus, tum in eo qui de inaequali intemperie eft infcriptus. Sane copiofior *fanguis* affluit interdum ab alia quapiam aliisve quibusdam partibus eum mittentibus, ac ea quae phlegmone laborare incipit recipiente, aliquando parte affecta hunc ad fe trahente. Partes quae mittunt alias ut copia fupervacuum vel ut qualitate moleftum, alias utroque nomine humorem propellunt, quae attrahunt, ea morbofo calore *trahunt.* Porro in doloribus incipit quidem caufa ab eo quod afficitur, fed quicquid eft phlegmones, id fuperpofitae partes efficiunt. Ergo quod ad partem calefactam, vel trahuntur vicini humores, ut nos cenfemus, vel confluunt, ut Afclepiades putabat, evidenter cernitur, et conftat hoc loco ex ipfo quod cernitur fermoni fides. At vero quae dolent, cernuntur ea quoque phlegmonen ex dolore pati, fed caufam ejus quidam omnino non affignant, quidam nullo modo probabilem. Noftra vero fententia talis eft. Docuimus in eo opere quod de naturalibus facultatibus edidimus, unam effe naturae facultatem, quam excretricem dicimus,

τικὴν ὀνομάζομεν. ἐνεργεῖ δ' αὕτη κατ' ἐκείνους τοὺς καιροὺς ἐν οἷς ἂν αἴσθηται λυποῦντός τινος. ἓν δέ τι τῶν λυπούντων αὐτήν ἐστι καὶ τὸ τὴν ὀδύνην ἐργαζόμενον αἴτιον, ὅ τί ποτ' ἂν ᾖ. τοῦτ' οὖν ἀποτρῖψαι σπεύδουσα φλεγμονὴν ἔστιν ὅτε κατὰ τὸ μέρος ἐργάζεται. ὅταν γὰρ ταῖς πρώταις ἑαυτῆς κινήσεσι μηδὲν ἀνύσῃ, τηνικαῦτ' ἤδη σφοδρότερον ἐπιχειροῦσα τὸ λυποῦν ἀποτρίψασθαι συνεκθλίβει τι πρὸς τὸ μέρος ἐκ τῶν ὑπερκειμένων αἷμα καὶ πνεῦμα. κἀντεῦθεν ἐπὶ ταῖς ὀδύναις εἰς ὄγκον αἴρεται τὸ μέρος ἀνάλογον τῷ πρὸς αὐτὸ ῥυέντι χυμῷ.

Κεφ. δ'. Καὶ μέντοι καὶ πάντων τῶν παρὰ φύσιν ὄγκων ἡ ποικιλία τῆς διαφορᾶς ἕπεται τῇ τῶν ἐπιῤῥεόντων φύσει. πνευματωδέστεροι μὲν γὰρ, ὅταν ἡ πνευματώδης οὐσία πλείων ἀφίκηται, γίνονται· φλεγμονωδέστεροι δὲ, ὅταν ἡ τοῦ αἵματος· ἐρυσιπελατώδεις δὲ ὅταν ὁ τῆς ξανθῆς χολῆς χυμός· οἰδηματώδεις δὲ, ὅταν ὁ τοῦ φλέγματος, ὥσπερ γε καὶ σκιῤῥώδεις, ὅταν ἤτοι παχὺς ἢ καὶ γλίσχρος ἱκανῶς ὁ κατασκήψας εἰς τὸ μόριον ᾖ χυμός. ὁ μὲν οὖν παχὺς ἤδη πώς ἐστι μελαγχολικὸς καὶ ἤτοι γε ἧττον ἢ μᾶλλον. ὁ δὲ γλίσχρος ἐκ

Ea ſuo munere tum fungitur quum moleſtum aliquid ſentit. Unum vero quiddam eſt ex iis, quae eam contriſtant, ipſa quae dolorem excitat cauſa, quaecunque ea ſit. Hanc igitur ejicere dum properat, phlegmonen interdum in parte concitat. Quum enim primis ſuis conatibus nihil profecit, vehementius aggreſſa quod infeſtat expellere, ſanguinis aliquid te ſpiritus ex ſuperpoſitis in affectam ſimul exprimit. Atque hinc fit ut ex dolore pars proportione confluentis in eam humoris in tumorem attollatur.

Cap. IV. Quin etiam omnium tumorum qui praeter naturam ſunt varietas ex ejus quod influit natura naſcitur. Ubi enim flatulenta materia copioſior acceſſit, flatuoſi magis tumores fiunt, phlegmonodes vero magis, ubi ſanguis, eriſypelatodes, ubi flava bilis, et oedematodes, ubi pituita, ut et ſcirrhoſi, ubi vel craſſus vel vehementer lentus humor eſt, qui parti eſt infixus. Sane craſſus humor quodammodo jam melancholicus magis minusve eſt. Lentus autem ex glu-

τε γλίσχρων ἐδεσμάτων γίγνεται, καί ποτε καὶ αὐτῶν τῶν νευρωδῶν μορίων περίττωμα πολὺ γεννησάντων. ἀλλὰ περὶ μὲν τῶν ἄλλων ὄγκων ἐφεξῆς εἰρήσεται· περὶ δὲ τῆς φλεγμονῆς τὰ κοινὰ πάντων λαβόντες εἰς τὸν λόγον οὕτως αὐτοῖς προσθῶμεν, ὅσα μόνης αὐτῆς ἐστιν ἴδια. ὅταν οὖν ἄρχηταί τι φλεγμαίνειν μόριον, ἐπισκεπτέον εἴτε διὰ θερμασίαν τινὰ παρὰ φύσιν ἐν αὐτῷ γενομένην εἴτε δι᾽ ὀδύνην ἤτοι γ᾽ οἰκείαν ἤ τινα τῶν πλησιαζόντων εἰς τοῦθ᾽ ἧκεν· ἵνα σοι παύοντι τὴν αἰτίαν ἡ φλεγμονὴ μηκέτ᾽ αὐξάνηται. μετὰ δὲ τήνδε τὴν ἐπίσκεψιν ἐφεξῆς θέασαι μή τι τῶν πλησιαζόντων μορίων ἐπιπέμπει πλέον αἷμα τῷ φλεγμαίνοντι· καὶ μετὰ τοῦτο μὴ καὶ σύμπαν τὸ σῶμα πληθωρικῶς διάκειται.

Κεφ. έ. Μεμνῆσθαι δ᾽ οἶμαί σε καὶ τούτου τοῦ δεδειγμένου πολλάκις, ὡς ἐκ τῶν ἰσχυροτέρων μορίων ὠθούμενα τὰ περιττὰ κατὰ πλῆθος ἢ ποιότητα τοῖς ἀσθενεστέροις ἐγκατασκήπτει· καὶ διὰ τοῦτό γε καὶ οἱ ἀδένες ἑτοίμως δέχονται τὸ ῥεῦμα καὶ μάλισθ᾽ ὅσοι μανώτεροι φύσει.

tinofis provenit cibis, fed et ex ipfis aliquando nervofis partibus, quum multum excrementi genuerint. Verum de caeteris tumoribus poft dicetur; nunc de phlegmone agemus, ac prius quae omnium funt communia ad difputationem propofitis fic deinde quae folius ejus vitii funt propria adjiciemus. Quum igitur pars aliqua phlegmone urgeri coeperit, videndum eft an propter calorem aliquem qui in illa praeter naturam fit ortus, an propter dolorem vel ipfius vel propinquae alicujus partis hanc contraxerit, quo adempta caufa phlegmone non amplius increfcat. Poft hanc confiderationem proxime illa contemplabere, numquid vicina aliqua pars fanguinem largius ad partem phlegmone obfeffam tranfmittat, deinde num totum corpus plethorice afficiatur.

Cap. V. Meminiffe vero te arbitror, utpote faepe a nobis monftratum, fupervacanea, quae a valentioribus partibus ob redundantiam vel qualitatem expelluntur, ea in imbecilliores procumbere, atque hinc accidere ut glandulae facile fluxiones recipiant et maxime quae rariores natura

σφοδρότερος μὲν γὰρ ὁ τῶν ἀρτηριῶν καὶ φλεβῶν καὶ νεύρων καὶ μυῶν ἐστι τόνος· ἀσθενέστερος δὲ καὶ ἴσως οὐδ᾽ ὅλως ὁ τῶν ἀδενωδῶν σωμάτων. [297] οὕτως οὖν καὶ δι᾽ ἕλκος ἐν δακτύλῳ γενόμενον ἤτοι ποδὸς ἢ χειρὸς οἱ κατὰ τὸν βουβῶνα καὶ τὴν μασχάλην ἀδένες ἐξαίρονταί τε καὶ φλεγμαίνουσι, τοῦ καταῤῥέοντος ἐπ᾽ ἄκρον τὸ κῶλον αἵματος ἀπολαβόντες πρῶτοι. καὶ κατὰ τράχηλον δὲ καὶ παρ᾽ ὦτα πολλάκις ἐξήρθησαν ἀδένες, ἑλκῶν γενομένων ἤτοι κατὰ τὴν κεφαλὴν ἢ τὸν τράχηλον ἤ τι τῶν πλησίων μορίων· ὀνομάζουσι δὲ τοὺς οὕτως ἐξαρθέντας ἀδένας βουβῶνας. εἰ δὲ σκιῤῥωδεστέρα ποτ᾽ αὐτῶν ἡ φλεγμονὴ γένοιτο, δυσίατός τέ ἐστι καὶ καλεῖται χοιράς. ἥτις μὲν οὖν ἐστιν ἡ τῶν χοιράδων ἴασις ἰδία, κατὰ τὸν ἑξῆς λόγον εἰρήσεται. νυνὶ δὲ περὶ τῶν φλεγμονῶν ἐπειδὴ περὶ τούτων πρόκειται διελθεῖν, ἀναλαβόντες περὶ τούτων αὖθις λέγωμεν· ὡς τὸ κωλύειν αὐτὰς ἀρχομένας ἐκκοπτόντων τὴν γεννῶσαν αἰτίαν γίγνεται. καὶ πρῶτόν γε περὶ τῶν ἐφ᾽ ἕλκεσι φλεγμονῶν εἴπωμεν· ἐπειδὰν γὰρ ἐγγὺς ἀρτηρίας μεγάλης ἢ φλεβὸς ἕλκος γένηται, τάχιστα

funt. Nam valentius eft arteriarum et venarum et nervorum et mufculorum robur, imbecillus autem ac forte prorfus nullum corporum glanduloforum. Sic igitur fit ut et propter ulcus quod in manus aut pedis digito fit ejusmodi glandulae in inguinibus et alis tum intumefcant tum phlegmone occupentur, quum defluentem ad ultimos artus fanguinem priores exceperint. Quin etiam in collo et fecus aures faepenumero glandulae iis quibus in collo, capite vel aliqua vicina parte ulcus eft natum intumefcunt, nominant autem ipfas glandulas quum fic intumuerunt bubones. Quod fi fcirrhofior earum partium phlegmone aliquando fuerit, haec et aegre fanabilis eft et ftruma dicitur. Quaenam vero fit ftrumarum curatio, in proximo dicetur libro. Nunc de phlegmonis, quoniam de iis differere propofuimus, denuo repetentes dicamus, quod inhibitio earum incipientium ex generante illas caufa tollenda praeftatur. Primumque de iis quae ulcera fequuntur agamus, poftea enim quam prope magnam arteriam aut venam ulcus ortum eft, celerrime

μὲν οἱ βουβῶνες ἀνίστανται. φαίνεται δ' ἐνίοτε καὶ ἡ φλὲψ αὐτὴ καθ' ὅλον τὸ κῶλον ἐρυθρά τε καὶ θερμὴ καὶ τεταμένη, καὶ εἰ θίγῃς αὐτῆς ὀδυνωμένη. πληθωρικοῦ μὲν οὖν ὄντος ἢ κακοχύμου τοῦ παντὸς σώματος ἡ θεραπεία δύσκολος γίνεται, ὑγιεινοῦ δ' ἀκριβῶς ῥᾳδία. θερμαίνειν τε γὰρ καὶ ὑγραίνειν χρὴ μετρίως ὅλον τὸ κῶλον, ὅπως ἀνώδυνον γένοιτο, γινώσκεις δὲ δήπου τὴν τῶν τοιούτων ὕλην, αὐτῷ μὲν οὖν τῷ ἕλκει τῆς τετραφαρμάκου δυνάμεως ἐπιτιθεμένης ἐν μοτῷ· λύεται δὲ ῥοδίνῳ μὲν μάλιστα, μὴ παρόντος δὲ αὐτοῦ, τῶν χαλαστικῶν ἐλαίῳ τινί· τῷ δὲ ὅλῳ κώλῳ περιελιττομένου πιλήματος ἐλαίῳ θερμῷ βεβρεγμένου. καὶ μέντοι καὶ αὐτῷ τῷ ἕλκει τὸ φάρμακον ἐπιτιθέναι χρὴ θερμὸν, ἔξωθέν τε καταπλάττειν αὐτῷ θερμῷ καταπλάσματι τὸ μὲν ἄλευρον ἤτοι κρίθινον ἢ πύρινον ἢ μικτὸν ἐξ ἀμφοῖν ἔχοντι, τὸ δὲ ὑγρὸν ὕδωρ μετ' ἐλαίου βραχέος. οὕτω δὲ καὶ αὐτῷ τῷ ἀδένι τῷ φλεγμαίνειν ἠργμένῳ παρηγορικῶς χρὴ προσφέρεσθαι τήν γε πρώτην ἡμέραν ἐξ ἐλαίου θερμοῦ διάβροχον ἔριον ἐπιτιθέντας, οὐχ ὥς τινες εὐθέως μεθ' ἁλῶν·

bubones excitantur. Cernitur autem aliquando ipſa quoque vena per totum membrum rubra et calens et diſtenta, ac ſi quis eam tangit dolens. Ergo ſi vel totum corpus ſit plethoricum vel malo humore redundet, difficilis curatio redditur, ſin ſanum plane ſit, facilis. Nam calefacere et humectare modice totum membrum, quo dolor mitigetur, oportet, noſti autem ejusmodi praeſidiorum materiam, ipſi utique ulceri tetrapharmaco in linamento impoſito, liquatur id oleo potiſſimum roſaceo, vel ſi id non adſit, laxanti aliquo, toto vero membro hapſo lanae ex calente oleo imbuto circumdato. Quin etiam ipſi ulceri calidum imponi medicamentum oportet, ac ſuper ipſum calidum extrinſecus cataplaſma ponere, quod ex farina vel hordeacea vel triticea vel ambabus mixtis conſtet: humorem autem habeat aquam cum pauco oleo. Non ſecus vero etiam ipſi adeni, quae phlegmone urgeri coepit, ut mitigetur, imponi debebit primo die lana ex oleo calente madens, non autem ſicut nonnulli ſa-

ὕστερον γὰρ ἐκείνοις χρησόμεθα, τοῦ τε καθ' ὅλον τὸ κῶλον ὄγκου παρηγορηθέντος, ἀνωδύνου τε τοῦ ἕλκους γενομένου. καὶ μέντοι γε καὶ τὸ μακεδονικὸν καλούμενον φάρμακον, ὡσαύτως τῇ τετραφαρμάκῳ δυνάμει κατὰ τῶν ἑλκῶν ἐπιφέρειν προσήκει· καὶ γὰρ καὶ παραπλήσιά πως ἀλλήλοις ἐστὶ, μόνῳ τῷ λιβανωτῷ πλεονεκτοῦντος τοῦ μακεδονικοῦ. πληθωρικοῦ δ' ὄντος ἢ κακοχύμου τοῦ σώματος ἡ διὰ τῶν οὕτω θερμαινόντων ἀγωγὴ ῥευματίζει τὸ κῶλον. οὐ μὴν οὐδ' ἄλλῃ τινὶ χρῆσθαι δυνατόν. ἀναγκαζόμεθα τοιγαροῦν ἐνίοτε κενοῦν αἵματος ἤτοι φλέβα τέμνοντες ἢ ἀποσχάζοντες τὰ μὴ πεπονθότα κῶλα. χειρὸς μὲν γὰρ κακῶς ἐχούσης τὰ σκέλη, τοῦ δ' ἑτέρου τῶν σκελῶν πεπονθότος τὸ λοιπόν. ταύτας γὰρ τὰς κενώσεις ἐνδείκνυται τὸ πλῆθος, ὥσπερ γε καὶ ἡ κακοχυμία τὴν τοῦ πλεονάζοντος χυμοῦ κάθαρσιν. ὡς τὰ πολλὰ μὲν οὖν ἐπὶ τοῖς εἰρημένοις βοηθήμασι παύεται τῶν ἀδένων ἡ φλεγμονή. πολλάκις δ' ἤτοι τοῦ θεραπεύοντος βραδύνοντος περὶ τὴν τοῦ παντὸς σώματος κένωσιν ἢ αὐτοῦ τοῦ κάμνοντος ὑπὸ μαλακίας αὐτὴν οὐ προσιεμένου, μείζων ἡ φλεγμονὴ

ciunt ftatim addito fale, poft enim fale utemur, quum et tumor per totum membrum fuerit remiffus et dolor ulceris fedatus. Quin etiam macedonicum quod vocant medicamentum fimiliter, ficut tetrapharmacum, ipfi ulceri imponere licebit; etenim fimilia inter fe funt folo thure tetrapharmacum macedonico fuperante. At fi vel plethoricum corpus fit vel cacochymum, curatio per ea quae fic calent fluxionem ad membrum citat. Atqui nec alia ulla uti datur. Cogimur ergo alias fanguinem mittere idque aut vena incifa aut membris iis quae laefa non funt fcarificatis. Manu enim laborante *fcarificabis* crura, altero crurum male habente reliquum. Has namque vacuationes indicat ipfa copia, ficut etiam humorum vitium redundantis humoris purgationem. Ac plerumque poft haec praefidia glandularum phlegmone definit. Saepe tamen vel ipfo qui curat ad corporis totius vacuationem fegniore, vel ipfo qui laborat prae mollitie eam non admittente, earum phlegmone major efficitur fic ut ad

γίνεται τῶν ἀδένων, ὡς εἰς ἐκπύησιν ἔρχεσθαι. καὶ μέντοι καὶ τὰ καλούμενα φύματα κατ' αὐτοὺς τοὺς ἀδένας συμβαίνει, διὰ ῥεῦμα κατασκῆψαν ἄνευ τῆς ἕλκους προφάσεως. ὅταν οὖν ποτε διατείνωνται σφοδρῶς ἀδένες ἢ ἁπλῶς ὁτιοῦν μόριον ἄλλο φλεγμαῖνον, ἀναγκαζόμεθα προκενώσαντες τὸ ὅλον ἀποσχάζειν αὐτό. κενοῦμεν δὲ τὸ ὅλον, [298] ὡς κἂν τῷ περὶ πλήθους ἐδείξαμεν, οὐ μόνον ἐν πληθωρικῇ διαθέσει γιγνόμενον, ἀλλὰ καὶ διὰ μέγεθος τοῦ πάθους, ἐν συμμετρίᾳ χυμῶν καθεστηκότος τοῦ παντὸς σώματος. ἡ γὰρ ὀδύνη καὶ ἡ θερμασία τοῦ φλεγμαίνοντος μέλους αἰτίαι ῥεύματος γίνονται, κἂν ἀπέριττον ᾖ τὸ σύμπαν σῶμα. χρὴ τοίνυν ἐνδεέστερον αὐτὸ ποιεῖν τηνικαῦτα κενοῦντα κένωσιν, ἥτις ἂν ἁρμόττειν φαίνηται μάλιστα τῇ θ' ἡλικίᾳ καὶ τῇ φύσει τοῦ κάμνοντος, ἐπισκοποῦντα καὶ τὴν ὥραν καὶ τὴν χώραν καὶ τὰ ἔθη τοῦ νοσοῦντος· ὑπὲρ ὧν ἤδη πολλάκις ἐν πολλοῖς εἴπομεν, ὥστε κἂν μὴ προσκέηταί ποτε τῷ λόγῳ, (175) συνυπακούειν αὐτὰ χρή. ὅταν τὸ οἷον ζέον τῆς φλεγμονῆς παύσηται, τῶν παρηγορικῶν ἀποχωροῦντα καταπλασμάτων ἐπὶ

suppurationem perveniat. Sed et quae phymata quoque appellant memoratis glandulis, sicubi fluxio in eas procubuit, citra ulceris occasionem accidunt. Ubi ergo distentae vehementer glandulae sunt, aut alia denique pars quaevis, quam phlegmone premit, cogimur toto corpore prius vacuato ipsam scarificare. Sane vacuamus totum *corpus*, sicut in libro de plenitudine monstravimus, non modo in plethorico affectu, sed etiam ob morbi magnitudinem quum in symmetria humorum totum corpus constituatur. Siquidem dolor et calor partis inflammatae etiamsi purum ab excrementis totum corpus sit, fluxionis causae fiunt. Expedit igitur partius id hoc casu facere, ac vacuare prout maxime tum aetati laborantis tum naturae congruere videbitur, aestimatis praeterea tum anni tempore tum regione tum aegrotantis ipsius consuetudine, de quibus saepe jam in multis diximus sic ut etiamsi adhibita in sermone non sint subaudire ea conveniat. Ubi vero phlegmones veluti fervor jam subsedit, mitigatoriis cataplasmatis dimissis ad ea quae discutiunt

τὰ διαφορητικὰ χρὴ μεταβαίνειν κατὰ βραχὺ, πρῶτον μὲν τοῖς παρηγορικοῖς μιγνύντα μέλιτος ὀλίγον, εἶτ᾽ ἀφαιροῦντα μὲν ὅλον τὸ πύρινον ἄλευρον, ἀρκούμενον δὲ τῷ κριθίνῳ μετὰ τοῦ καὶ τὸ μέλι προσαύξειν, εἶθ᾽ ἑξῆς ἐπί τι τῶν διαφορούντων ἰέναι φαρμάκων ὅσα ταῖς συστάσεσιν ἤτοι γ᾽ ὑγρὰ τοῖς ἐμμότοις ὁμοίως ἐστὶν ἢ κηρωτοειδῆ. ἀφίστασθαι δὲ τῶν σκληρῶν, οἷα πολλὰ τῶν ἐμπλαστῶν ἐστι· συντείνει τε γὰρ τὰ λείψανα τῶν φλεγμονῶν, αὖθίς τε φλεγμαίνειν ἀναγκάζει τὰ πεπονθότα μόρια. κἂν εἰ πῦον δέ τι κατὰ τὸ διαπυῆσαν ἀξιόλογον εἴη περιεχόμενον, οὐ χρὴ τέμνειν αὐτίκα, καθάπερ ἔνιοι πράττουσιν, ἀλλὰ διαφορεῖν ἐπιχειρεῖν τοῖς τοῦτο δρᾷν πεφυκόσι φαρμάκοις, ὧν ἡ χρῆσις ἐστοχάσθω τῆς διαθέσεως· ὅταν μὲν γὰρ ἔτι φλεγμονῶδές τι κατὰ τὸ μόριον ᾖ, τὰ δριμέα τῶν φαρμάκων ἐρεθίζει μᾶλλον ἢ διαφορεῖ. ὅταν δὲ φαίνηταί σοι τὸ τῆς φλεγμονῆς λείψανον σκιῤῥῶδες γινόμενον, θαῤῥεῖν ἤδη τοῖς ἰσχυροῖς φαρμάκοις, ἐπιβλέποντα δὶς τῆς ἡμέρας ὁποῖόν τι δρᾷ κατὰ μὲν τὴν ἕω τὸ πρότερον, εἰς τὴν ἑσπέραν δὲ τὸ δεύτερον. εἰ δὲ καὶ βαλανείῳ χρῷτο, καὶ κατὰ

paulatim eſt tranſeundum. Ac primum cum mitigatoriis paulum mellis miſcendum. Mox triticea farina in totum auferenda, contentis hordeacea cum melle uberiore. Deinde ad aliquod ejusmodi discutientium medicamentorum eſt veniendum, quae vel humida conſiſtentia ſint ſimiliter iis quae in linamentis vel linteolis excipiuntur vel cerati ſpecie. A duris autem abſtinendum eſt, qualia pleraque emplaſtra ſunt, nam et phlegmonarum reliquias contrahunt et rurſus phlegmonen in aegra parte excitant. Quin ſi pus aliquod notabile in ſuppurante *parte* ſit contentum, non expedit, quod nonnulli faciunt, protinus incidere, imo diſcuſſionem moliri medicamentis ad id valentibus, quorum uſus ex affectu ſit conjectatus; quum enim phlegmones quicquam in parte reſtat, acria medicamenta magis irritant quam diſcutiunt. Quum vero quod ex phlegmone relinquitur ſcirrhoſum eſſectum videtur, ſidenter jam valentibus medicamentis uteris, ſed obſervato bis in die quem praeſtent effectum, primum mane, ſecundo veſperi. Quod ſi balneo quoque utatur, etiam

τὸν ἐκείνου καιρόν. ὅταν οὖν ἴδῃς ποτὲ διὰ τὴν τοῦ φαρμάκου δριμύτητα τὸ πεπονθὸς μέρος ἠρεθισμένον ὡς ὀγκωδέστερον ἢ ἐρυθρότερον ἢ ὀδυνωδέστερον γεγονέναι, παρηγόρει μεταξὺ τῇ διὰ τῶν σπόγγων πυρίᾳ. καὶ αὕτη δέ σοι ποτὲ μὲν ἐξ ὕδατος ἔστω ποτίμου, ποτὲ δ' ἁλῶν ἔχοντός τι κατὰ τὰς σκιῤῥωδεστέρας δηλονότι φλεγμονάς. εἰ δὲ καὶ νικηθείη ποτὲ τὰ φάρμακα πρὸς τοῦ πλήθους τοῦ πύου καὶ φαίνοιτο μὴ δυνάμενα διαφορῆσαι πᾶν αὐτὸ, τέμνειν χρὴ τὸ οὕτως ἀφιστάμενον, ἔνθα μάλιστά ἐστιν ὑψηλότατον ἑαυτοῦ· καὶ γὰρ λεπτότατον εὑρήσεις ἐνταῦθα τὸ δέρμα. μέμνησο δὲ καὶ θατέρου σκοποῦ τοῦ τῆς ὑποῤῥύσεως ἐν τῇ τομῇ· καὶ πρὸς ἀμφότερα ἀποβλέπων οὕτως σχάζε τὸ διαπυῆσαν· ἐπιτίθει τε φάρμακον ἐφεξῆς τῶν ξηραινόντων ἀδήκτως. εἰ δὲ καὶ σεσηπέναι φαίνοιτό τινα τοῦ διαπυήσαντος, ἐκκόπτειν ἀναγκαῖον αὐτά. τινὲς δ' ἐπὶ τῶν κατὰ μασχάλην καὶ βουβῶνα διαπυϊσκόντων ἀεὶ κελεύουσι μυρσινοειδῶς ἐκτέμνειν τοῦ δέρματος, ἐπειδὴ φύσει χαλαρὸν ἐν αὐτοῖς ἐστι καὶ διὰ τοῦτο δεχόμενον ἑτοίμως πᾶν τὸ παραγινόμενον ἐπ' αὐτό· καὶ

in eo tempore fiat. Si quando ergo aegram partem medicamenti acrimonia irritatam videris, ut tumentior aut rubicundior fit aut magis doleat, mitigabis eam interea fomento, *quod* per fpongiam *adminiftrabis*. Id autem aliquando ex aqua dulci efto, aliquando etiam fal habente, ubi fcilicet fcirrhofiores phlegmonae funt. Sin aliquando puris copia medicamenta fuperet, nec ea videantur tibi totum difcutere poffe, fecare quod fic abfceffit eo potiffimum loco oportet quo eft editiffimum, quippe tenuiffimam etiam illic invenies cutim. Memineris praeterea in fectione et alterius fcopi qui ad affluxum pertinet, atque ad ambo refpiciens ita quod fuppuravit incide, ac deinceps medicamentum aliquod eorum quae fine morfu ficcent impone. Quod fi computruiffe portio aliqua fuppurantis partis videbitur, excidi eam eft neceffe. Sane quidam in iis quae in axillis et inguinibus fuppurant in myrtei folii formam femper excidi cutim jubent, quoniam in iis laxa ea naturaliter fit ideoque omne quod ipfi advenit prompte recipiens, praeterea ipfa ex levi

φλεγμαίνουσι ῥαδίως ἐπὶ σμικραῖς προφάσεσι. καὶ μεγίστας γ᾽ ἔνιοι τὰς περιτομὰς εἰώθασι ποιεῖσθαι, δι᾽ ἃς αἴσχιστόν τε τὸ μέρος εἰς οὐλὴν ἀχθὲν γίνεται καὶ προσέτι καὶ ἀσθενέστερον ἐμποδίζει τε πολλάκις εἰς τὰς κινήσεις. ταῦτ᾽ οὖν ἡμεῖς φυλαττόμενοι τὰ μὲν πλεῖστα μόνῃ τῇ τομῇ μετὰ φαρμάκων ξηραινόντων ἱκανῶς ἰασάμεθα τὰς τοιαύτας διαθέσεις· εἰ δέ ποτε καὶ περιτέμνειν ἐδέησε, διὰ τὸ πλῆθος οὐ τοῦ πύου μόνον, ἀλλὰ καὶ τῶν ἐφθαρμένων σωμάτων, [299] ἤρκεσεν ἡμῖν οὐ πάνυ μεγάλη μυρσινοειδὴς περιαίρεσις. ἐχούσης δὲ τῆς τοιαύτης τὸ μῆκος μεῖζον τοῦ πλάτους, ἐγκάρσιον ἔστω τὸ μῆκος ἐπὶ τοῦ βουβῶνος, οὐ κατ᾽ εὐθὺ τοῦ κώλου. καὶ γὰρ κατὰ φύσιν οὕτως ἐπιπτύσσεται τὸ δέρμα ἑαυτῷ, καμπτόντων τὸ κῶλον. ἐπὶ δὲ τῇ περιαιρέσει πληροῦν χρὴ τὸ πεπονθὸς μόριον τῇ καλουμένῃ μάννῃ· ἔστι δὲ ὑπόσεισμα λιβανωτοῦ τὸ φάρμακον τοῦτο, στύψεώς τε μετέχον ὀλίγης καὶ κατὰ τοῦτο καὶ αὐτοῦ τοῦ λιβανωτοῦ πρὸς ἔνια βέλτιον. ἐκεῖνος γὰρ ἐκ τῆς πυητικῆς δυνάμεώς ἐστι μόνης, ὡς ἂν μὴ μετέχων στύψεως, καὶ μᾶλλον ὁ λιπα-

occaſione phlegmonen facile contrahant. At maximas aliqui ſectiones facere ſolent, quarum occaſione pars ubi ad cicatricem eſt perducta, non ſolum turpiſſima redditur, ſed etiam ſit imbecillior et quae ſaepe homini ad motus ſit in mora. Haec igitur nos vitantes ſaepiſſime certe ſola inciſione et medicamentis valenter ſiccantibus hujusmodi affectus ſanavimus. Quod ſi aliquando excidere aliquid propter multitudinem non puris modo, ſed etiam corruptarum partium fuit opus, contenti eramus ſectione, quae myrti folium imitatur, plane non magna. Cum autem in ea exciſione longitudo major quam latitudo ſit, eſto in inguine longitudo per transverſum ducta, non autem per membri rectitudinem, etenim quum membrum inflectimus, ſic naturaliter cutis ſibi applicatur. Poſt exciſam cutem medicamento manna vocato affectam partem implebimus; eſt autem id purgamentum thuris levi adſtrictione praeditum, atque hoc nomine etiam thure ipſo ad nonnulla utilior. Thus enim illud puris tantum movendi facultatem obtinet, utpote nullius adſtrictionis

Ed. Chart. X. [299.] Ed. Baſ. IV. (175.)

ρώτερος ἐν αὐτῷ καὶ τῇ χροιᾷ λευκότερος, ὥσπερ γε ὁ τοῦδε ξανθότερος ξηραντικώτερός ἐστι. τῇ δὲ μάννῃ καὶ φλοιοῦ τι λιβανωτοῦ μέμικται σμικρὸν, ἀφ' οὗ τὸ στῦφον ἔχει. τοῦτο δ' αὐτὸ τὸ φάρμακον ὁ φλοιὸς τοῦ λιβανωτοῦ καὶ στύφει καὶ ξηραίνει γενναίως. διὸ καὶ πρὸς τὰς μετριωτέρας αἱμοῤῥαγίας αὐτῷ χρώμεθα μόνῳ, καθάπερ γε καὶ πρὸς τὰς σφοδροτέρας καυθέντι μόνῳ καὶ τῷ γε διηθημένῳ δηλονότι καὶ χνοώδει γεγονότι. καὶ μὲν δὴ καὶ παρηγορῆσαι χρὴ πρότερον τὸ τμηθὲν, ὡς εἴρηται, μέρος εἰς ὅσον ἂν φαίνηται δυνατὸν, ἐμβροχῇ μὲν πρῶτον, εἶτα καταπλάσματος, εἶτα τῶν ὑγραινόντων τινὸς φαρμάκων ἢ μὴ ξηραινόντων, ἔξωθεν ἐπιτιθεμένων δηλονότι τούτων. κατ' αὐτοῦ γὰρ τοῦ ἡλκωμένου τήν τε μάννην, ὡς εἴρηται, καὶ τῶν ἐμμότων φαρμάκων τὰ διαπυΐσκοντα μὲν πρῶτον, εἶτ' ἀνακαθαίροντα θετέον ἐστίν· ἐφ' οἷς εἰ μὲν εἴη κοιλότης ἔτι, τὰ σαρκοῦντα προσφέρειν, εἰ δ' οὐκ εἴη, τὰ συνουλωτικά τε καὶ ἐπουλωτικὰ καλούμενα, καθάπερ καὶ τὸ διὰ τῆς καδμίας. ἐπεὶ δὲ καὶ

particeps, magisque id facit quod pinguius ex eo fit et magis albicans, ut etiam quod flavum ex eo magis eſt validius ſiccat. Mannae vero etiam corticis thuris paululum eſt admixtum, unde adſtringendi vim habet. Id autem ipſum medicamentum cortex thuris tum adſtringit tum ſiccat inſigniter. Itaque etiam ad moderatiores ſanguinis perfuſiones eo utimur ſolo, ſicut etiam ad valentiores ſolo uſto, ſed tunc et cribrato et in molliſſimum pulverem redacto. Quin etiam mitigare prius inciſam partem, ſicut dictum eſt, quantum poſſe videbitur oportet embrochis primum, dein cataplaſmate, mox humectante aliquo medicamento, aut non ſiccante, ſingulis ſcilicet extrinſecus impoſitis. Nam in ipſo ulcere tum manna, ut dictum eſt, tum medicamentis linteolis excipiendis, primum ea quae pus citant, dein ea quae expurgant ſunt imponenda, poſt quae ſi cavitas etiamnum ſit, quae carne impleant adhibenda ſunt, ſin minus, quae ſynulotica et epulotica vocant, ut quod ex cadmia conficitur. At quoniam in horum quoque uſu plurimis medicorum non par-

κατὰ τὴν τούτων χρῆσιν οὐ σμικρόν τι παρορᾶται τοῖς πλείστοις τῶν ἰατρῶν, ἄμεινον ἂν εἴη καὶ περὶ τούτων δηλῶσαι. τηνικαῦτα γὰρ εἰς οὐλὴν ἄγειν ἄρχονται τὰ ἕλκη, τοῖς ἐπουλωτικοῖς χρώμενοι φαρμάκοις, ὁπόταν ἀκριβῶς ἀναπληρωθῇ καὶ μηδὲν ἔτ᾽ ἔχῃ κοῖλον, εἶτ᾽ αὐτοῖς συμβαίνει τὰς οὐλὰς ἐργάζεσθαι τοῦ πέριξ δέρματος ὑψηλοτέρας. ὅπως οὖν ἐκείνῳ γίγνοιντο ἴσαι, τοῖς τοιούτοις φαρμάκοις χρῆσθαι προσήκει, πρὶν ἀκριβῶς ὁμαλὲς ἀποδειχθῆναι τὸ ἕλκος, ἐπὶ μὲν τὰ χείλη διὰ μήλης πυρῆνος ἐπιτιθέντας τῶν ξηρῶν τι φαρμάκων, ὧν ἐν τῇ τῶν ἑλκῶν ἐμνημονεύσαμεν θεραπείᾳ· τῷ δ᾽ ἄλλῳ μοτῷ σκέποντας, κεχρισμένῳ τῶν ἐπουλωτικῶν τινι φαρμάκων, ὑγρῶν τῇ συστάσει. προκοπτούσης δέ σοι τῆς θεραπείας καὶ τοῦτο ἀφαιρήσεις ὕστερον, μόνῳ τῷ ξηρῷ φαρμάκῳ χρώμενος ἐφ᾽ ὅλου τοῦ ἕλκους, ἐπικυλιομένου τοῦ τῆς σπαθομίλης πυρῆνος. ἔξωθεν δ᾽ ἀρκεῖ μοτὸς ἤτοι ξηρὸς ἢ ἐξ οἴνου. καὶ μᾶλλον ὁ ἐκ τῶν μαλακῶν ἐλλυχνίων, οἷά πέρ ἐστι τὰ Ταρσικά· καὶ γὰρ καὶ αὐτὰ ἔχει τι καθαιρετικὸν τῶν ὑπερσαρκούν-

vum quiddam peccatur, non abs re fuerit etiam de iis differere. Tum namque ducere ulcus ad cicatricem incipiunt ac idonea illi rei medicamenta applicant, quum jam penitus fit impletum nec quicquam illi reftet cavum; hinc illis accidit ut cicatrices efficiant circumpofita cute magis eminentes. Quo igitur illi *cuti* fint aequales, convenit id genus medicamentis uti prius quam ulcus ad aequalitatem prorfus fit impletum, impofito fuper ipfa ulceris labra ex fpecilli mucrone medicamento aliquo ficco ex iis quae in ulcerum curatione retulimus; fuper reliquum linamento dato quod aliquo medicamento ex iis quae cicatricem inducant et humida fint confiftentia fuerit opertum. Cedente autem tibi profpere curatione etiam id amovebis, ac poftea ficco tantum medicamento uteris, lato fpecilli mucrone *ex eo* fuper toto ulcere volutato. Foris autem fuffecerit linamentum vel ficcum vel ex vino madens, ac magis quod ex mollibus fit ellychniis, cujusmodi Tarfenfia funt, quoniam haec quoque

των ἑλκῶν. ταῦτα μὲν οὖν εἴρηται τῇ κοινωνίᾳ τῶν πραγμάτων ἀκολουθήσαντός μου.

Κεφ. στ΄. Πάλιν δ' ἐπὶ τὸν περὶ τῆς φλεγμονῆς λόγον ἀφικόμενοι λέγωμεν ὡς κοινὸς μὲν ἁπασῶν σκοπὸς ἡ κένωσις, ὅσαι δ' ἔτι γίγνονται, πρότερον τοῦ κενοῦν ἐστι κωλῦσαι τὸ αἷμα ῥεῖν ἐπὶ τὸ φλεγμαῖνον. ἔσται δὲ τοῦτο [300] καλῶς, εἰ τοῦ ῥεύματος αἰτίαν εὕροιμεν. ἔστι δὲ καὶ αὕτη διττή· ποτὲ μὲν ἐξ αὐτοῦ τοῦ φλεγμαίνοντος ὁρμωμένη μορίου, ποτὲ δὲ ἐξ ἄλλου τινὸς ἢ ἄλλων. ἐξ αὐτοῦ μὲν, ὅταν ἤτοι θερμότερον ἢ ὀδυνώμενον γένηται, καθότι καὶ πρόσθεν εἴρηται· οὐκ ἐξ αὐτοῦ δὲ, ὅταν ἤτοι γ' ἐξ ἑτέρου τινὸς ἢ ἑτέρων αὐτῷ πέμπηται τὸ περιττὸν, ἢ καὶ τῆς καθ' ὅλον τὸ σῶμα διαθέσεως. θερμότερον μὲν οὖν γίνεται διὰ κίνησιν ἀμετροτέραν ἤ τινα θάλψιν ἐξ ἡλίου καὶ πυρὸς, ἢ διὰ δριμὺ φάρμακον. ὀδυνᾶται δὲ διά τε δυσκρασίαν καὶ τραῦμα καὶ θλάσμα καὶ στρέμμα καὶ τάσιν, ἔτι τ' ἔμφραξίν τινα καὶ πνεῦμα φυσῶδες. ἡ δυσκρασία δὲ ποτὲ μὲν ἔξωθεν αὐτῷ γίγνεται, ποτὲ δὲ ἐκ τῶν

ad ulcera fupercrefcentia fubmittenda vim aliquam obtineant. Atque haec ducente nos rerum focietate diximus.

Cap. VI. Rurfum autem ad fermonem de phlegmone reverfi dicamus communem omnium phlegmonarum curationis fcopum effe vacuationem. Quae vero adhuc in generatione funt, in iis prior vacuatione eft confluentis ad inflammatam partem fanguinis prohibitio. Prohibebitur is commode, fi ipfam fluxionis caufam invenerimus. Sane ea duplex eft; aliquando enim ex ipfa parte quam phlegmone vexat oritur, aliquando ex alia quapiam aliisve. Ex ipfa, quoties aut calidior eft facta aut dolore, ficuti ante diximus, urgetur, non ex ipfa, quando vel ab alia quapiam vel ab aliis fuperfluum illi tranfmittitur, vel etiam ex totius corporis affectu. Fit igitur calidior vel propter immoderatum motum vel aliquem ex Sole aut igni teporem vel acre medicamentum. Dolore vero angitur et propter intemperiem et vulnus et contufionem et diftorfionem et tenfionem, praeterea obftructionem quandam et fpiritum flatuofum. Intem-

*κατὰ τὸ σῶμα χυμῶν. ἔξωθεν μὲν ἐπί τινι τῶν ἰοβόλων ὀνομαζομένων ζώων ἢ φαρμάκῳ θερμαίνοντι σφοδρῶς ἢ ψύχοντι, κἀκ τοῦ περιέχοντος ἐνίοτε, διὰ δὲ τὸ σῶμα τοῦ κάμνοντος αὐτὸ μοχθηροὺς (176) ἀθροῖσαν χυμοὺς ἀνομοίους ταῖς δυνάμεσι. ταῦτ᾿ οὖν ἅπαντα διασκεψάμενος, ὅσαι μὲν ἔτι γίγνονται φλεγμοναὶ, τὰς αἰτίας αὐτῶν ἔκκοπτε πρότερον, ὅσαι δ᾿ ἤδη γεγόνασιν, αὐτὰς μόνας θεράπευε. πῶς οὖν χρή σε τοῦ παντὸς σώματος ἐπιμελεῖσθαι μοχθηρῶς διακειμένου, λέλεκται μὲν οὖν οὐκ ὀλίγα καὶ διὰ τῶν ἔμπροσθεν, εἴρηται δὲ κἀν τῷ περὶ πλήθους γράμματι· καὶ νῦν δ᾿ εἰρήσεται τὰ κεφάλαια τῶν λόγων. ὅταν μὲν γὰρ ὁμοτίμως ἀλλήλοις αὐξηθῶσιν οἱ χυμοὶ, πλῆθος τοῦτο καὶ πληθώραν ὀνομάζουσιν. ὅταν δ᾿ ἤδη ξανθῆς χολῆς ἢ μελαίνης ἢ φλέγματος ἢ τῶν ὀῤῥωδῶν ὑγρῶν μεστὸν γένηται τὸ σῶμα, κακοχυμίαν, οὐ πληθώραν καλοῦσι τὴν τοιαύτην διάθεσιν. ἡ μὲν οὖν πληθώρα διά τε τῆς τοῦ αἵματος ἀφαιρέσεως θεραπεύεται καὶ διὰ λουτρῶν πλεόνων καὶ γυμνασίων καὶ τρίψεων, ἔτι δὲ φαρμάκων διαφο-*

peries modo extrinfecus illi provenit, modo ex humoribus corporis. Et extrinfecus vel ab aliquo venenatorum quae vocitant animalium, vel medicamento vehementer calefaciente aut refrigerante, etiam ex ambiente nonnunquam. Ex ipfo vero laborantis corpore, quum id vitiofos humores facultate diffimiles congeffit. His igitur omnibus aeftimatis, quae phlegmonae adhuc in generatione funt, earum caufas prius abfcindes, quae vero jam factae funt, has folas curabis. Ergo quidnam medenti agendum fit, fi totum corpus male fit affectum, et dictum prius tum in his non paucis eft, tum in libro de plenitudine, et nunc fummas eorum quae dicta funt recenfebimus. Ubi enim aequabiliter inter fe humores funt adaucti, id et plenitudinem et plethoram nominant. Ubi vero vel flava bile vel nigra vel pituita vel ferofis humoribus refertum corpus jam fuerit, eum affectum cacochymiam, non plethoram, nominant. Ergo plethora tum fanguinis miffione curatur tum frequenti balneo tum exercitatione tum frictione, praeterea difcutientibus medicamen-

ρούντων, καὶ πρὸς τούτοις ἅπασιν ἀσιτίαις, ὑπὲρ ὧν ἐν τοῖς ὑγιεινοῖς ὑπομνήμασιν εἴρηται τελέως. ἡ κακοχυμία δὲ διὰ τῆς οἰκείας ἑκάστου τῶν πλεοναζόντων χυμῶν καθάρσεως. εἴρηται δὲ καὶ περὶ ταύτης ἐν τῷ προφυλακτικῷ μέρει τῆς ὑγιεινῆς πραγματείας. ἐκεῖθεν οὖν αὐτὰ μεταφέρειν ἐνταῦθα σκοπούμενον ὅτῳ βέλτιον ἐξ ἑαυτῶν χρῆσθαι. πυρέττοντος γὰρ ἤδη τοῦ κάμνοντος οὔτε γυμνασίοις ἔτι δυνατὸν ἐκκενῶσαι τὸ πλῆθος οὔτε θερμαίνουσι χρίσμασιν οὔτε τρίψει πολλῇ, καθάπερ οὔτε τοῖς λουτροῖς· ἀφαιρέσει δ᾽ αἵματος ἅμα ταῖς ἀσιτίαις ἢ καθάρσει τινί. μηδέπω δὲ πυρέττοντος ἅπασι τοῖς εἰρημένοις χρῆσθαι, τὸ βέλτιον εἰς τὰ παρόντα προαιρούμενον. εὔδηλον γὰρ δήπου, κἂν ἐγὼ μὴ λέγω, περὶ μὲν τῆς ἐν σκέλει φλεγμονῆς ὡς οὐ προσήκει διὰ περιπάτων ἢ δρόμων γυμνάζειν· ἀλλ᾽ οὐδ᾽ ἑστάναι τούτῳ κάλλιον· ἄμεινον δὲ καθήμενον ἐπὶ πολὺ τρίψασθαι, κἄπειτα διὰ τῆς τῶν χειρῶν κινήσεως γυμνάσασθαι. τῷ δ᾽ ἐν τοῖς ἄνω μέρεσιν ἔχοντι τὸ φλεγμαίνειν ἀρχόμενον ἡ διὰ περιπάτων ἢ δρόμων κίνησις ὠφέλιμος.

tis, et praeter haec omnia inedia, de quibus in iis quae de fanitate tuenda funt prodita dictum abunde eft. Cacochymia purgatione quae cuique fuperanti fucco fit accommodata corrigitur. Dictum porro et de hac eft in ea parte operis de fanitate tuenda quae de praecavendis morbis eft inftituta. Illinc igitur huc ea transferas *oportebit* ac confideres quonam ex ipfis uti maxime expediat. Siquidem fi jam febricitet aeger, nec exercitatione vacuare exfuperantiam licet nec unctione quae calefaciat, fed nec multa frictione, ut nec balneo, imo fanguinis miffione una cum inedia vel purgatione aliqua. At fi nondum febricitat, omnibus jam dictis utare, optimum quodque ad id quod inftat deligens. Illud enim patere vel me tacente arbitror, eum cui crura phlegmone laborant, non effe vel ambulatione vel curfu exercitandum, fed nec ftare illi effe jubendum, imo fedenti plurimum fricari, mox manuum motu exercitari illi eft fatius. At fi cui in fupernis partibus coeperit pars aliqua phlegmone tentari, huic motus ex inambulatione aut curfu eft

Ed. Chart. X. [300. 301.] Ed. Baf. IV. (176.)

οὕτω δὲ καὶ ἡ τρίψις τούτοις μὲν ἡ τῶν σκελῶν μᾶλλον, οἷς δ᾽ ἐν σκέλεσι τὸ φλεγμαῖνον ἡ τῶν ἄνω· τὸ γὰρ τῆς ἀντισπάσεως παράγγελμα κοινὸν ἐπὶ τοῖς τοιούτοις ἅπασιν· οὔκουν οὐδ᾽ ὅταν ἤτοι κατὰ τὴν ἕδραν ἤ τι τῶν πλησίων μορίων ἀρχὴ φλεγμονῆς γίγνηται, γαστέρα λαπάξεις, ὥσπερ οὐδ᾽ εἰ κατὰ κύστιν ἢ αἰδοῖον ἢ νεφροὺς οὐρητικὰ φάρμακα καταπίνειν κελεύσεις· οὐδ᾽ εἰ γυναικὶ κατὰ μήτραν ἢ αἰδοῖον ἔμμηνα κινήσεις, [301] ἀλλ᾽ ἐπὶ τὰ ποῤῥώτατα τὴν ἀντίσπασιν ἀεὶ ποιήσεις, προσέχων δηλονότι καὶ τῷ τῆς φλεγμονῆς μεγέθει καὶ τῇ τοῦ παντὸς σώματος διαθέσει. παμπόλλου μὲν γὰρ ὄντος τοῦ πλήθους οὔτε γυμνασίοις οὔτε λουτροῖς ἀκίνδυνον χρῆσθαι, βραχέος δ᾽ ὑπάρχοντος ἐγχωρεῖ καὶ διὰ τούτων κενοῦν. ἀλλ᾽ ὅπερ ἔφην, ἔν τε τῷ προφυλακτικῷ μέρει τῆς ὑγιεινῆς πραγματείας γέγραπται ταῦτα κἀν τῷ περὶ πλήθους γράμματι, κἀν τοῖς περὶ φλεβοτομίας, ἔτι κἀν τῷ περὶ τῆς τῶν καθαιρόντων δυνάμεως. ὅσον δ᾽ ἀναμνῆσαι μόνον αὐτῶν, αὐτάρκως εἴρηται καὶ νῦν. ἐπὶ

falutaris. Sic et frictio his quidem magis conducit quae cruribus adhibetur, quae vero in fupernis partibus adminiftratur iis quibus crura inflammantur: quippe praeceptum in contrarium revulfionis in omnibus talibus commune eft. Neque igitur quum vel circa fedem vel aliquam huic vicinam partem initium phlegmones incidit, alvum dejicies, ut neque, quum in vefica vel cole vel renibus eft coepta, medicamenta quae urinas provocent bibenda dabis, nec fi mulieri in utero vel pudendo *infedit*, menfes huic provocabis, fed ad partes quae maxime longinquae fint femper revulfionem facies, aeftimata fcilicet tum phlegmones magnitudine tum corporis totius ftatu. Nam fi plurima humorum abundantia fit nec exercitatione nec balneo fine periculo utare, fin exigua fit, licet et per haec vacues. Caeterum quod dixi, haec tum in ea parte operis de fanitate tuenda quae morbos praecavet funt fcripta, tum in libro qui de plenitudine infcribitur, tum in iis quae de phlebotomia, tum quae de purgantium medicamentorum facultatibus edidimus. Sed quod ad commonefaciendum tantum de iis fit

τοὺς ἰδίους οὖν μόνης τῆς φλεγμονῆς ἀφικώμεθα λόγους. ὧν εἰσιν εἰκότως πρῶτοι γιγνομένης αὐτῆς διὰ τὴν ἐν αὐτῷ τῷ φλεγμαίνοντι μορίῳ διάθεσιν· εὔδηλον γὰρ ὡς ἐκείνην μέν σοι πρότερον θεραπευτέον, ἐφεξῆς δὲ αὐτὸ τὸ γεγενημένον ἤδη τῆς φλεγμονῆς. ἐνίοτε δὲ διὰ τῶν αὐτῶν ἀμφοτέρων καθισταμένων· οἷον ὅταν ἐπὶ φυσώδει πνεύματι καὶ πυκνώσει τοῦ μορίου γένηταί τις ὀδύνη. τηνικαῦτα γὰρ ἡ τῶν θερμαινόντων μετρίως, ἃ δὴ καὶ χαλαστικὰ προσαγορεύομεν, ἁρμόττει χρῆσις, ἅμα μὲν ἀραιοῦσα τὰ μεμυκότα τοῦ σώματος, ἅμα δὲ λεπτύνουσα τὸ φυσῶδες πνεῦμα καὶ διαφοροῦσα τὸ γεγενημένον ἤδη τῆς φλεγμονῆς. οὕτω δὲ κἂν τοῦ ψυχροῦ κρατοῦντος ἡ δυσκρασία γίγνηται· θερμαίνων γὰρ καὶ τότε τὴν δυσκρασίαν ἅμα καὶ τὴν φλεγμονὴν ἐκθεραπεύσεις, ὥσπερ γε καὶ εἰ διὰ θερμασίαν πλείονα τοῖς ψύχουσιν ἰάμασιν ἄμφω καταστήσει· ἡ μὲν γὰρ δυσκρασία τῶν ἐναντίων ἀεὶ δεῖται. κενοῦται δὲ τὸ πεπληρωμένον οὐ μόνον τοῖς διαφορητικοῖς φαρμάκοις, ἀλλὰ καὶ τοῖς στύφουσι

fatis, nunc etiam abunde eft dictum. Itaque ad propriam de phlegmone difputationem nunc eft veniendum. In qua primum merito verba faciemus de phlegmone, prout ab affectu partis cui infidet oritur. Nam conftat affectum illum principio tibi effe fanandum, mox quicquid jam phlegmones eft factum. Porro interdum iifdem praefidiis ambo tolluntur, veluti quum ex flatulento fpiritu et denfitate partis dolor quifpiam eft ortus. Hoc enim cafu eorum quae modice calefaciunt, quae etiam chalaftica, *id eft laxantia*, vocamus, ufus eft commodus, ut qui pariter et conniventia corporis rarefaciat et flatuofum fpiritum tenuet et quod phlegmones jam conflatum eft discutiat. Ad eundem modum et fi ex frigido dominante intemperies fit oborta, nam tunc quoque calefaciendo non folum intemperiei, fed etiam phlegmonae una medeberis. Itidem fi calor vehementior intemperiem fecit, refrigerantibus praefidiis ambo fiftes, fiquidem intemperies contraria femper requirit. Vacuatur autem quod impletum eft non modo medicamentis discutientibus, fed

καὶ τοῖς ψύχουσι. καὶ μᾶλλόν γ' ἐπὶ τῶν ἀρχομένων φλεγμονῶν τοῖς ψύχουσι καὶ στύφουσι χρηστέον ἤπερ τοῖς διαφοροῦσιν· ἔτι δὲ μᾶλλον ὅταν μὴ παχὺ τὸ ἐπιῤῥέον ᾖ. σφοδρᾶς δὲ τῆς τῷ φλεγμαίνοντι μορίῳ σφηνώσεως γεγονυίας οὐκ ἔθ' οἷόν τε τοῖς ἀποκρουομένοις χρῆσθαι, ἀλλ' ἐπὶ τὸ διαφορεῖν ἰέναι καιρός. ὅταν δὲ ἐπὶ θηρίῳ νύξαντί πως ἢ δάκνοντι τὴν ὀδύνην γίνεσθαι συμβαίνῃ, διττὸς τῆς ἀνωδυνίας ὁ σκοπὸς, ἢ κενῶσαι τὸν ἰὸν ἢ ἀλλοιῶσαι τὸ τὴν ὀδύνην ἐργαζόμενον. κενοῦται μὲν οὖν διὰ τῶν σφοδρῶς ἑλκόντων φαρμάκων, ἀλλοιοῦται δὲ διὰ τῶν ἐναντίων, ἤτοι κατὰ τὰς ποιότητας ἢ καθ' ὅλην τὴν οὐσίαν. ἐδείχθη γὰρ ἐν τοῖς περὶ φαρμάκων ἔνια μὲν ὅλαις ταῖς οὐσίαις ἀλλήλοις ἐναντία, τινὰ δὲ ταῖς ποιότησι μόναις. ἐδείχθη δὲ καὶ ὡς ἐπὶ μὲν τῶν ἐναντίων κατὰ ποιότητα μέθοδός τίς ἐστιν, ἐπὶ δὲ τῶν κατὰ τὴν οὐσίαν οὐκ ἔστιν, ἀλλ' ἐκ πείρας εὕρηται πάντα· καὶ σὺ τοίνυν ὅσα μὲν ἐκ μεθόδου θεραπευτικῆς ἐντεῦθεν μάνθανε, τὰ δ' ἐκ μόνης τῆς

etiam adftringentibus et refrigerantibus. Magisque profecto ad incipientes phlegmonas frigidis adftringentibusque quam difcutientibus eft utendum, atque etiamnum magis ubi craffum quod confluit non eft. Sed fi fanguis in parte quam phlegmone prehendit vehementer eft impactus, non eft amplius repercutientibus utendum, fed tum difcutere eft tempeftivum. Ubi autem ex animalis punctu morfuve dolor incidit, duplex fedandi doloris fcopus eft, vel virus ipfum vacuandi, vel quod dolorem excitat alterandi. Sane vacues id eorum medicamentorum ope quae vehementer attrahunt, alteres iis quae funt contraria, idque vel qualitatibus vel tota fubftantia. Monftratum namque eft in libris de medicamentis quaedam effe totis fubftantiis inter fe contraria, quaedam folis qualitatibus. Sed et illud indicatum aeque eft, quod eorum quae contraria qualitate funt methodus quaepiam fit, eorum quae tota fubftantia funt adverfa methodus non fit, fed omnia fint per experientiam inventa. Tu igitur quaecunque methodo curandi explorentur hinc difces,

πείρας ἐγνωσμένα κατὰ τὰς περὶ τῶν φαρμάκων πραγματείας ἔχεις ἠθροισμένα, μίαν μὲν τὴν περὶ τῆς δυνάμεως αὐτῶν, ἑτέραν δὲ τὴν περὶ τῆς συνθέσεως, καὶ τρίτην τὴν περὶ τῶν εὐπορίστων ὀνομαζομένων, ἐν αἷς ἐπιδέδεικταί μοι τίνα μὲν ἐκ μόνης τῆς πείρας εὕρηται φάρμακα, τίνα δὲ ἐκ μόνου τοῦ λόγου, τίνα δ' ἐξ ἀμφοτέρων. ἡ τοίνυν μέθοδος, ὑπὲρ ἧς ἐν τῇδε τῇ πραγματείᾳ πρόκειται λέγειν, ἐπὶ ταῖς ὀδύναις ἁπάσαις, ὅσαι διὰ θηρίων ἢ φαρμάκων γίνονται, διττὸν ἔχει τὸν σκοπὸν, κένωσίν τε καὶ ἀλλοίωσιν τοῦ τὴν ὀδύνην ἐργαζομένου. [302] κενοῖ μὲν οὖν τὰ θερμαίνοντα πάντα καὶ τὰ χωρὶς τοῦ θερμαίνειν ἕλκοντα σφοδρῶς, ὥσπερ αἵ τε σικύαι καί τινα τῶν κοίλων κεράτων, οἷς ὡς σικύαις ἔνιοι χρῶνται. τινὲς δὲ καὶ δι' αὐτοῦ τοῦ στόματος ἕλκουσι τὸν ἰὸν, αὐτοὶ προσπίπτοντες τῷ πεπονθότι μορίῳ καὶ περιλαμβάνοντες αὐτὸ τοῖς χείλεσιν. ἔχεται γε μὴν καὶ τοῦ προειρημένου σκοποῦ τὸ καυτήριον, ὅσα τε φάρμακα παραπλησίως τοῖς καυτηρίοις ἐσχάραν ἐργάζεται. ταῦτα μὲν οὖν ἐκκενοῖ πάντα τὴν

quae experientia tantum deprehendit, ea in iis operibus quibus de medicamentis agitur funt collecta, uno quod de facultate eorum infcribitur, altero quod de compofitione, et tertio quod de facile parabilibus infcribitur. In quibus operibus oftendimus quaenam ex fola experientia, quaenam ex fola ratione et quaenam ex ambabus inventa fint medicamenta. Ergo methodus, quam hoc opere tradere inftitui, in doloribus univerfis, qui vel ex animalium medicamentorumve noxa excitantur, duplicem indicationem habet, nempe ejus quod dolorem creat vacuationem atque alterationem. Vacuant id tum calefacientia omnia tum quae citra calefactionem vehementer trahunt, veluti et curcurbitulae et cava cornua quaedam, quibus nonnulli cucurbitularum vice utuntur. Sunt autem et qui ore fuo virus extrahunt, aegrae videlicet parti admoti ipfamque labris complexi. Huc fane pertinet et cauterium et medicamenta quae cauteriis fimiliter efcharam efficiunt. Atque haec omnia totam ejus quod

οὐσίαν ὅλην τοῦ λυποῦντος. ἕτερον δὲ γένος ἐστὶ βοηθημάτων ἀλλοιούντων τὴν ποιότητα διὰ τῶν ἐναντίων, εἰ μὲν θερμασίας ὁ κάμνων αἰσθάνοιτο σφοδρᾶς ἤτοι κατ' αὐτὸ τὸ δεδηγμένον ἢ καθ' ὅλον τὸ σῶμα, τὰ ψύχοντα φάρμακα προσφερόντων ἡμῶν· εἰ δὲ ψύξεως, τὰ θερμαίνοντα. μεμάθηκας δὲ ἐν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις ἑκάτερα. τοιαῦται μὲν οὖν αἱ κοιναὶ πάσης φλεγμονῆς ἰάσεις· ὑπαλλάττονται δὲ κατὰ τὰ πεπονθότα μόρια. δέδεικται γὰρ ἤδη κἀν τῇ τῶν ἑλκῶν θεραπείᾳ τοῦτο· καὶ πολλῶν οὐ δεῖ λόγων τῷ μεμνημένῳ τῶν ἐν ἐκείνοις εἰρημένων, ἀλλ' ἀρκέσει διὰ (177) βραχέων ἐπελθεῖν αὐτά.

Κεφ. ζ. Μία μὲν οὖν ἔνδειξις ἐκ τῶν ὁμοιομερῶν καλουμένων γίνεται μερῶν τοῦ σώματος· ἑτέρα δὲ ἐκ τῶν ὀργανικῶν. ἡ μὲν οὖν ἐκ τῶν ὁμοιομερῶν τὸ ποσὸν τοῦ θερμαίνειν, ἢ ψύχειν, ἢ ξηραίνειν, ἢ ὑγραίνειν διορίζει, ἡ δ' ἐκ τῶν ὀργανικῶν τὸν τόπον δι' οὗ χρὴ κενῶσαι καὶ προσέτι τὸν τρόπον τῆς κενώσεως· ἔτι τε πρὸς τούτοις τὸ μᾶλλόν τε καὶ ἧττον ἐν τῇ τῶν ὁμοειδῶν φαρμάκων χρήσει.

infeftat fubftantiam exinaniunt. Alterum auxiliorum genus eft eorum, quae qualitatem per contraria alterant, exhibentibus nobis, fi vehementem calorem aeger vel in ipfo demorfo loco vel in toto corpore fentiat, auxilia refrigerantia: fin frigus fentiat, calefacientia. Docuimus autem utraque in iis operibus quae de medicamentis funt fcripta. At tales quidem omnis phlegmones communes medicationes funt, variantur autem pro laborantium partium ratione. Etenim id jam quoque oftenfum eft, ubi de ulcerum curatione egimus, nec longo fermone eft opus ei qui meminerit eorum quae ibi funt dicta, fed fat erit paucis tranfcurriffe.

Cap. VII. Una itaque indicatio ex dictis fimilaribus accipitur corporis partibus, altera ex organicis. Et ea quae ex fimilaribus fumitur, modum calefaciendi, refrigerandi, ficcandi ac humectandi determinat. Quae vero ex organicis, tum locum ipfum per quem vacuare oportet, tum vacuationis rationem, tum vero in fimilis fpeciei medica-

Ed. Chart. X. [302.] Ed. Baf. IV. (177.)

περὶ μὲν οὖν τῆς ἀπὸ τῶν ὁμοιομερῶν ἐνδείξεως λέλεκται πρόσθεν ἐν τῇ τῶν ἑλκῶν ἰάσει, περὶ δὲ τῆς τῶν ὀργανικῶν ἐν τῷδε λεχθήσεται.

Κεφ. η'. Τῆς γάρ τοι φλεγμονῆς κατὰ διττὸν τρόπον ἐξιστώσης τοῦ κατὰ φύσιν, ὅτι τε πεπλήρωται τὸ μόριον αἵματος πολλοῦ καὶ ὅτι θερμότερόν ἐστιν, ὁ τῆς κενώσεως σκοπὸς ἐπικρατεῖ μᾶλλον τοῦ τῆς ἐμψύξεως, οὐχ ὡς ἐν τοῖς ἐρυσιπέλασιν· ἐπ' ἐκείνων γὰρ ὁ τῆς ἐμψύξεως ἐπείγει πρὸ τοῦ τῆς κενώσεως. καίτοι τό γε κεφάλαιον τῆς θεραπείας ἀμφοτέρων τῶν παθῶν κοινόν ἐστιν ἡ κένωσις τοῦ λυποῦντος χυμοῦ. καὶ διὰ τοῦτο μετὰ τὴν ἔμψυξιν τῶν ἐρυσιπελάτων ἐπὶ τὰ διαφορητικὰ παραγινόμεθα φάρμακα. ἐπὶ τοίνυν τῆς φλεγμονῆς ζεούσης εἰς τοσοῦτον ψυκτέον ἐστὶν, εἰς ὅσον ἐκκόψαι τε καὶ κωλῦσαι τὴν αὔξησιν αὐτῆς συμφέρει. καὶ γὰρ ὀδυνώσης τῆς πλέονος θερμασίας καί τι καὶ πρὸς τὸ πεπονθὸς ἑλκούσης, ἐξ ἀμφοῖν αὐξάνεσθαι συμβαίνει τὴν φλεγμονήν. ὅσον μὲν οὖν ὡς θερμῷ νοσήματι τῇ φλεγμονῇ τῆς ψύξεως ἁρμόττει, τοῦτο κωλυτικόν ἐστι τῆς αὐξήσεως.

mentorum ufu plus et minus. Ac de fimilarium quidem partium indicatione fupra, ubi de ulcerum curatione eft tractatum, diximus, de organicarum vero indicatione hic agemus.

Cap. VIII. Quum enim phlegmone duplici ratione a naturali affectu receffit et quod pars ipfa multo fanguine fit repleta, et quod fit calidior, vacuationis fcopus refrigerationis indicationem praecellit, non ut in eryfipelate; in illo namque refrigerationis indicatio magis urget quam vacuationis. Quamquam utriusque affectus curandi commune caput eft infeftantis humoris vacuatio. Ideoque poftquam refrigeratum eryfipelas eft, ad ea quae difcutiunt medicamenta convertimur. In phlegmone igitur fervente tantifper eft refrigerandum, quatenus et ad incrementum ejus fiftendum inhibendumque eft commodum. Etenim quum immoderatus calor dolorem excitet, atque etiam aliquid ad aegram partem attrahat, utroque nomine augefcere phlegmonen accidit. Ergo quantum refrigerationis phlegmonae ceu calido morbo congruit, tantum certe et incrementum ejus inhibere

ὡσαύτως δὲ καὶ καθ᾽ ὅσον ἀναστέλλει τὸ ἐπιῤῥέον. ὅσον δὲ τοῦ περιεχομένου κατὰ τὸ φλεγμαῖνον ἀποκρουστικὸν εἰς τὰ πλησιάζοντα μόρια, θεραπευτικὸν τοῦτ᾽ ἔστι τῆς οὔσης ἤδη φλεγμονῆς. ὡσαύτως δὲ καὶ τὰ θερμαίνοντα μετρίως [303] ἐνίοτε κατ᾽ ἀμφοτέρους τοὺς τρόπους ὀνίνησι, ὅταν τὴν ὀδύνην παύῃ καὶ διαφορῇ τὸ περιεχόμενον ἐν τοῖς πεπονθόσι μορίοις· ἐν μὲν τῷ παύειν τὴν ὀδύνην κωλύει τὴν αὔξησιν, ἐν δὲ τῷ διαφορεῖν ἰᾶται τὸ γεγονὸς ἤδη τῆς φλεγμονῆς.

Κεφ. θ΄. Ἐπεὶ τοίνυν τὸ κῦρος ἅπαν ἐστὶ τῆς τῶν φλεγμαινόντων θεραπείας ἐν τῷ κενῶσαι τὸ περιττὸν αἷμα τοῦ φλεγμαίνοντος μορίου, κένωσις δὲ ἐπινοεῖται διττὴ τῶν οὕτως ἐχόντων, ἢ μεθισταμένου πρὸς ἕτερα χωρία τοῦ περιεχομένου κατὰ τὸ φλεγμαῖνον αἵματος, ἢ ἔξωθεν τοῦ σώματος ἐκκρινομένου, βέλτιόν ἐστιν ἀμφοτέροις χρῆσθαι προσέχοντα τὸν νοῦν, μὴ κατὰ συμβεβηκὸς ἕπηταί τις βλάβη. διττῆς τοίνυν ἑκατέρας τῶν εἰρημένων κενώσεως οὔσης, εἰς τέσσαρας τὰς πάσας ἡ τομὴ γίνεται τῶν κενωτικῶν ἁπάντων

eſt aptum. Idem parem gratiam praeſtat et quum repercutit id quod affluit. Quod vero ex eo, quod in laborante membro continetur, quidpiam in proximas partes repellit, hoc phlegmones jam genitae medela eſt. Simili modo et quae modice caleſaciunt utraque interdum ratione proſunt, quum et dolorem ſedent et quod contentum in laborante parte eſt, diſcutiant, quippe dolorem mitigando augeri phlegmonas vetant, diſcutiendo quod earum jam conceptum eſt ſanant.

Cap. IX. Quoniam igitur praecipuus omnis ſcopus curationis laborantis phlegmone partis in exſuperantis ſanguinis vacuatione conſiſtit, vacuatio autem ita affectorum excogitata eſt duplex, aut translato ad alias partes qui in aegra continebatur ſanguine, aut foris a corpore expulſo; ſatius eſt utraque uti obſervantibus diligenter ne qua ex accidenti laeſio ſequatur. Ergo quum gemina ſit dictarum vacuationum utraque, quadruplex in univerſum naſcitur vacuantium auxiliorum genus. Translationis enim ſanguinis ad

βοηθημάτων, τῆς μὲν εἰς τὰ ἄλλα μόρια μεταῤῥύσεως τοῦ αἵματος ἡ μὲν ἑτέρα διωθουμένων αὐτὸ τῶν φλεγμαινόντων μορίων, ἡ δ᾽ ἑτέρα τῶν ἀπαθῶν ἑλκόντων γίνεται· τῆς δὲ ἔξω τοῦ σώματος κενώσεως ἡ μία μὲν αἰσθηταῖς ἐκροαῖς, ἡ δὲ ἑτέρα λόγῳ θεωρηταῖς ἐπιτελεῖται. καὶ τῆς αἰσθηταῖς ἐκροαῖς γινομένης ἡ μὲν ἑτέρα δι᾽ αὐτοῦ τοῦ φλεγμαίνοντος, ἡ δ᾽ ἑτέρα διὰ τῶν συναναστομουμένων αὐτῷ. διὸ καὶ χρεία τῆς ἀνατομῆς ἐστιν εἰς διάγνωσιν τῆς τοιαύτης κοινωνίας. αὗται μὲν οὖν ἀπὸ τῆς φύσεως τῶν μορίων ἐνδείξεις προέρχονται, τὴν θεραπείαν ὑπαλλάττουσαι τῶν φλεγμαινόντων· ἔτι τε πρὸς ταύταις ἡ ἐκ τῆς θέσεώς τε καὶ διαπλάσεως, ἃς ὡς ὀργανικὸν ἐνδείκνυται τὸ πεπονθὸς, οὐχ ὡς ὁμοιομερές.

Κεφ. ι΄. Ἔτι δ᾽ ἄλλαι κοιναὶ τῶν ὀργανικῶν εἰσι καὶ τῶν ὁμοιομερῶν, ὅταν ἐπισκεπτώμεθα τήν τ᾽ ἐνέργειαν αὐτῶν, καὶ εἰ ἀραιὸν ἢ πυκνὸν, ἢ ἀναίσθητον, ἢ δυσαίσθητόν ἐστιν, ἢ εὐαίσθητον. εἰς ἃς ἁπάσας ἀποβλέπειν χρὴ τὸν ἐπιχειροῦντα θεραπεύειν ὀρθῶς.

alias partes alterum genus eſt, ubi ipſa pars quae phlegmone laborat ſanguinem abigit, alterum quum eae quae integrae ſunt ad ſe trahunt. Ejus autem quae extra corpus educit alterum ſenſibilibus effluxibus, alterum ratione tantum contemplabilibus perficitur. Atque id quod ſenſibilibus effluxibus peragitur alias per ipſam fit partem phlegmone laborantem, alias per ea quae una cum hac aperiuntur. Proinde etiam diſſectionum uſu ad ejusmodi conſortium intelligendum eſt opus. Ergo tum hae indicationes phlegmonarum curationem immutantes a partium natura praeſtantur, tum ſupra has quae tum ex ſitu tum conformatione ſumuntur, quas nimirum laborans locus, qua inſtrumentalis, non qua ſimilaris eſt, indicat.

Cap. X. Sunt etiam aliae quae tum organicarum tum ſimilarium communes ſunt, quum actionem earum inſpicimus, praeterea an rara pars ſit an denſa, an acuti ſenſus, an hebetis, an ſenſu careat. Ad quae omnia intentum eſſe oportet, qui recte curare ſtudet.

Κεφ. ια΄. Ἐπεὶ δὲ, ὡς ἀεὶ λέγομεν, οὐχ ἱκανόν ἐστιν αὐτὰ μόνον γινώσκειν τὰ καθόλου χωρὶς τοῦ γεγυμνάσθαι περὶ τὰ κατὰ μέρος, οὕτω καὶ νῦν πράξομεν οὐ διὰ πάντων τῶν κατὰ μέρος ἰόντες, ἀλλ᾽ ὅσα περ ἂν ἡμῖν ἱκανὰ δόξη τοῖς ἀναγνωσομένοις αὐτὰ γενήσεσθαι. ὑποκείσθω τοίνυν ἧπαρ ἀρχόμενον φλεγμαίνειν καὶ ζητείσθω τίς ἀρίστη θεραπεία γενήσεται τοῦ πάθους. ἐπισκέπτου δὴ πρῶτον μὲν ἁπάντων, ἀφ᾽ ὧν εἶπον ὁρμώμενος, εἰ δεῖται κενώσεως τὸ πᾶν σῶμα. κἂν εὕροις δεόμενον, ἐφεξῆς σκέπτου τὴν ῥώμην τοῦ κάμνοντος, εἰ δύναται κένωσιν ἀθρόαν ἐνεγκεῖν. ἔστω δὴ πρότερον ἐῤῥῶσθαι τὴν δύναμιν· ἐφεξῆς σκέπτου τὴν ἡλικίαν. εἰ γὰρ παιδίον εἴη, τὴν διὰ φλεβοτομίας οὐκ οἴσει κένωσιν, ὡς ἔμπροσθεν ἐδείχθη· κατὰ μὲν τὸν τῆς ἥβης καιρὸν οἱ παῖδες ἤδη φέρουσι τὴν διὰ τῆς φλεβοτομίας κένωσιν. [304] ἀντισπαστέον οὖν ἅμα καὶ κενωτέον τὸ φερόμενον ἐπὶ τὸ ἧπαρ αἷμα τῇ φλεβοτομίᾳ, κατὰ τὸν δεξιὸν ἀγκῶνα τὴν ἔνδον φλέβα τέμνοντες, ἐπεὶ κατ᾽ εὐθὺ καὶ δι᾽ εὐρείας ὁδοῦ τῇ κοίλῃ καλουμένῃ κοινωνεῖ· μὴ φαινομένης δὲ ταύτης

Cap. XI. Quoniam vero, ut femper teftati fumus, non fatis eft ipfa tantum univerfalia noviffe, nifi quis etiam in particularibus fe exerceat, ita et nos nunc faciamus, non tamen omnia particularia percurrentes, fed ea tantum quae nobis fatis effe lectori videbuntur. Proponatur itaque jecur jam phlegmonen contrahere incipere, tum quaenam affectionis ejus commodiffima fit curatio quaeratur. Omnium ergo primum ab iis quae retuli incipiens, an totum corpus vacuatione indigeat confiderabis. Quod fi indigere inveneris, mox aegri robur aeftimabis, poffitne uberem ac citam vacuationem tolerare. Primum ergo virium robur efto, deinde aeftimabis aetatem. Nam fi puer fit, quae per diffectam venam fit, ut fupra eft monftratum, vacuationem non feret, verum quum pubertatem attigerint, jam pueri miffionem fanguinis tolerant. Ergo pariter tum revellendus tum educendus qui ad jecur fluit fanguis eft, interna in dextro cubito fecta vena, propterea quod haec et e directa regione et ampla via, cum vena quae cava dicitur focietatem habet,

τὴν μέσην τέμνειν· εἰ δὲ μήτ' αὐτὴ φαίνοιτο, τὴν λοιπὴν καὶ τρίτην. τὸ δὲ ποσὸν τῆς κενώσεως ἔκ τε τῆς κατὰ τὸ πλῆθος εὑρήσεις ποσότητος, ὅσα τ' ἄλλα κατὰ τὸν ἔμπροσθεν εἴρηται λόγον, ἡλικία τε καὶ φύσις ὥρα τε καὶ χώρα καὶ ἔθος, ἔτι τε πρὸ τούτων καὶ ἡ δύναμις τοῦ κάμνοντος. ἐφ' ἁπάντων γὰρ ταῦτα κοινά. τὸ δ' ἤτοι τὴν ἔνδον ἢ τὴν μέσην ἢ τὴν ὠμιαίαν φλέβα τέμνειν, ἢ τὴν παρὰ τὸ σφυρὸν, ἢ τὴν ἐν ἰγνύϊ, παρὰ τοῦ πεπονθότος μορίου τὴν ἔνδειξιν ἔχει. καὶ διώρισται μὲν ἤδη κἀν τοῖς περὶ φλεβοτομίας ὑπὲρ τῶν τοιούτων ἁπασῶν κενώσεων· εἰρήσεται δὲ καὶ νῦν ὅσον εἰς τὰ παρόντα χρήσιμον, αὐτό τε τοῦτο πρῶτον, ὡς οὐκ ἀγκεῖ μόνον ὅτι κενωτέον ἐστὶν ἐξευρεῖν, ὡς ἂν φαῖεν οἱ τὴν ἀμέθοδον αἵρεσιν μετιόντες, οὐδὲν φροντίζοντες τῆς διαφορᾶς τῶν πεπονθότων μορίων. οὐ γὰρ ὁ λόγος μόνον, ἀλλὰ καὶ ἡ πεῖρα δείκνυσιν ἄλλην ἄλλῳ μορίῳ κένωσιν ἁρμόττουσαν. ἐθεάσω γοῦν ἐνίους τῶν ἀρξαμένων φλεγμαίνειν ὀφθαλμοὺς αὐτῷ μόνῳ τῷ καθαρθῆναι διὰ τῆς κάτω γαστρὸς ἡμέρᾳ μιᾷ θεραπευ-

hac non apparente media secanda est; quod si nec ea se ostenderit, reliqua ac tertia est incidenda. Quantitatem vero vacuationis tum ex plenitudinis quantitate tum ex reliquis quae in superioribus diximus invenies, aetate, natura, tempore anni, regione et consuetudine, tum ante haec ipsis laborantis viribus. Haec enim in omnibus sunt communia. Illud vero, internane an media, an humeralis vena secanda sit, an ea quae juxta malleolum est, an quae in poplite, id vero ex laborante parte indicatur. Ac definitum jam est in iis quae de incidenda vena scripsimus de vacuationibus ejusmodi omnibus, diceturque nunc quantum sit ad rem propositam opportunum, primumque hoc ipsum, non esse solum illud satis quod vacuandum sit invenisse, veluti sentiunt qui amethodon sectam colunt, quibus nulla de laborantium partium differentia habetur ratio. Non etiam ratio solum, verum etiam experientia indicat aliam alii parti vacuationem congruere. Siquidem ex iis quibus oculi tentari phlegmone coeperant nonnullos sola purgatione per alvum

θέντας. ὅπερ ἐὰν ἐφ' ἥπατος ἀρχομένου φλεγμαίνειν ἐπιχειρήσῃ τις πρᾶξαι, μεγίστην ἐργάσεται τὴν φλεγμονὴν, ὥσπερ γε καὶ εἰ τῶν νεφρῶν ἢ τῆς κύστεως φλεγμαίνειν ἀρξαμένων οὐρητικὰ ποτίζοι φάρμακα καταμήνιά τε κινοῖ μήτρας φλεγμαινούσης· ἀντισπᾷν γὰρ χρὴ τῶν ἀρχομένων ῥευματίζεσθαι πορρωτάτω τὸ περιττὸν, οὐχ ἕλκειν ἐπ' αὐτά. κατὰ τοῦτον οὖν τὸν λόγον οὐδὲ γαστρὸς οὐδ' ἐντέρων ἀρξαμένων φλεγμαίνειν ὑπηλάτῳ χρῆσθαι προσήκει. τὴν δ' αὐτὴν ἔνδειξιν ἔχει τούτοις μὲν μήτρα, τοῖς δ' οὐρητικοῖς ὀργάνοις αἰδοῖα. τό γε μὴν ἐμέτοις χρῆσθαι τῶν αἰδοίων πεπονθότων ἀντισπαστικόν ἐστι βοήθημα. κατὰ δὲ τὸν αὐτὸν λόγον ἐπὶ μὲν τοῖς κατὰ τὴν κεφαλὴν ἅπασιν ὑπήλατον φάρμακον, ὅσα δὲ κατὰ τὸν φάρυγγα καὶ οὐρανίσκον, ἢ τὴν ὑπερώαν, ἢ τὴν γλῶτταν, ἢ ὅλως κατὰ τὸ στόμα φλεγμαίνειν ἄρχεται, φυλακτέον ἐπὶ τούτων ἁπάντων τοὺς καλουμένους ἀποφλεγματισμούς. ὅμοιον γὰρ τοῦτο τῷ καθαίρειν κάτω τῶν ἐντέρων πεπονθότων καὶ τῷ

uno die fanatos vidifti. Quam rem fi quis facere in jecore, quum phlegmone laborare incipit, tentet, maximam excitabit phlegmonen, aeque ac fi quum renes aut vefica phlegmone corripi coeperint, quae urinas cient medicamenta exhibeat: aut fi, quum uterus phlegmone laborat, menfes devocet: fiquidem longiffime a parte, quae fluxione teneri incipiat, quod redundat revellere, nequaquam ad eam trahere oportet. Hac itaque ratione nec fi ventriculum aut inteftina phlegmone occupare jam coeperit, medicamento alvum dejiciente uti conveniat. Eandem cum his indicationem et uterus fortitur, ficuti cum urinae organis, pudenda. At vomitu uti pudibundis laborantibus revellens auxilium eft. Eadem ratione in omnibus quae circa caput accidunt medicamentum alvum dejiciens revellit. Si qua vero circa fauces et palatum aut linguam aut denique in ore phlegmone laborare incipiant, in his omnibus cavenda funt quae pituitam per os evocant. Nam id fimile eft ac fi per inferiora purgare inteftinis aegrotantibus velis, aut urinas movere reni-

οὖρα κινεῖν τῶν κατὰ τοὺς νεφροὺς (178) ἢ κύστιν ἐχόντων κακῶς, ἢ ἐμέτους τῶν κατὰ τὸν στόμαχον. ἄμεινον οὖν ἐπὶ τὴν ῥῖνα παροχετεύειν, ἀρχομένων τῶν κατὰ τὸ στόμα μορίων φλεγμαίνειν. οὕτω δὲ καὶ φλέβα τέμνειν, εἰ μὲν ταῦτα πεπόνθοι, τὴν ὠμιαίαν ἐν χειρὶ, καὶ ταύτης μὴ φαινομένης τὴν μέσην· εἰ δ' ἧπαρ ἢ θώραξ ἢ πνεύμων ἢ καρδία, τὴν ἔνδον. ἐπὶ δὲ συνάγχης πρώτας μὲν τὰς ἐν χερσὶ, δευτέρας δὲ τὰς ὑπὸ τὴν γλῶτταν. τῶν δὲ κατ' ἰνίον πασχόντων καὶ τὴν ἐν ἀγκῶνι μὲν, οὐχ ἥκιστα δὲ καὶ τὴν ἐν τῷ μετώπῳ. ἐπὶ δὲ νεφρῶν καὶ κύστεως αἰδοίου τε καὶ μήτρας τὰς ἐν τοῖς σκέλεσι, μάλιστα μὲν τὰς κατὰ τὴν ἰγνύαν, εἰ δὲ μὴ, τὰς παρὰ σφυρόν. ἀεὶ δ' ἐπὶ πάντων τὰς κατ' εὐθύ. τοῦ μὲν ἥπατος ἀρχομένου φλεγμαίνειν, τὰς ἐν τῇ δεξιᾷ χειρὶ, τοῦ δὲ σπληνὸς, ἔμπαλιν. ὥστ' εὐθὺς ἡ διαφορὰ τῶν κενώσεων πρῶτον κατὰ τὴν τῶν μορίων διαφορὰν ὑπαλλάττεται· καὶ δῆλον ὅτι τὸ κοινὸν τῆς ἐνδείξεως οὐ μᾶλλον ὠφελείας ἢ βλάβης αἴτιον. [305] ὅτι μὲν γὰρ κενωτέον, ἔνδειξις

bus aut vefica male affectis, aut vomitum laceffere partibus ftomachi *laborantibus.* Satius igitur fit, ubi partes quae in ore funt phlegmonen accerfere incipiunt, derivare ad nares. Sic venam quoque fi hae partes laborant incidere humeralem in manu, fi ea non cernitur, mediam. Ubi jecur vel pectus vel pulmo aut cor fic afficiuntur, internam. In angina primas, in manibus fecundas quae fub lingua habentur. At partibus occipitis affectis, etiam eam quae in cubito eft nec non eam quae habetur in fronte. Renibus vero et vefica et pudendo et utero male habentibus eas quae in cruribus funt fitae ac potiffimum quae circa poplitem funt; fin minus, eas quae juxta malleolos. Ac perpetuo quidem in omnibus eam quae e directo eft, ubi jecur phlegmone invadit, quae in dextra funt manu, ubi lienem, contra. Itaque ftatim prima vacuationis diverfitas pro partium diverfitate variatur, conftatque communem indicationem non magis effe utilitatis quam noxae caufam. Siquidem quod vacuandum fit id communis indicatio eft, unde autem aut quo-

κοινή· τὸ δ' ὅθεν ἢ ὅπως, οἱ πεπονθότες τόποι διδάσκουσιν. οὕτω γοῦν καὶ οἱ τῶν κώλων ἐπενοήθησαν δεσμοὶ θώρακος ἢ γαστρὸς, ἢ τῶν κατὰ τὸν τράχηλον, ἢ τὴν κεφαλὴν μορίων φλεγμαινόντων. οὐ γὰρ δὴ τὸ φλεγμαῖνόν γε αὐτὸ δήσεις κῶλον, ἀλλ' ἐπὶ μὲν σκελῶν τὰς χεῖρας, ἐπὶ χειρῶν δὲ τὰ σκέλη.

Κεφ. ιβ'. Καὶ μὴν καὶ τὸ ψύχειν καὶ στύφειν ἐν ἀρχῇ τὰ φλεγμαίνοντα χωρὶς τῆς περὶ τῶν πεπονθότων ἐνδείξεως οὐ μᾶλλον ὠφελείας ἢ βλάβης αἴτιον. ἐπὶ μὲν γὰρ τῶν κατὰ τὸ κῶλον μορίων ἀρκεῖ καὶ σπόγγον ἐπιθεῖναι, βρέξαντας ἤτοι γε ὕδατι ψυχρῷ μικρὸν ὄξους μιγνύντας ἢ ὕδατι μόνῳ· καθάπερ γε καὶ οἴνῳ τινὶ τῶν αὐστηρῶν. ἥπατος δ' ἀρξαμένου φλεγμαίνειν οὐδεὶς ἂν χρήσαιτο τούτων οὐδενὶ νοῦν ἔχων ἄνθρωπος· ἀλλ' οὐδ' εἰ μήλινον ἐπιβρέξαις ἢ μύρσινον, ἢ μαστίχινον, ἢ νάρδινον, ἢ σχίνινον, ἤ τι τῶν στυφόντων ἐλαίων ἢ καὶ τῶν ἄλλων ἐναφεψήσας ἀψίνθιον, οὐδὲ τούτων οὐδὲν ἁρμόττει ψυχρὸν, ὥσπερ οὐδὲ κατάπλασμα ψυχρὸν οὐδέν. ἀλλὰ μῆλα μὲν ἐναφεψῶν οἴνῳ, καὶ μάλιστα

modo vacuatio fit facienda, id aeger ipfe docet locus. Ita namque ubi pectus aut ventriculus aut partes circa collum caputve phlegmone laborant, excogitatum eft artus vincire. Non enim ipfum quod phlegmone infeftatur vinciendum eft, fed fi in manibus phlegmone eft orta, crura, fin in cruribus, manus.

Cap. XII. Equidem refrigerare inter initia et adftringere, citra laborantis partis indicationem non utilitatis magis quam noxae caufa eft. Nam in partibus quae circa artus funt fat fuerit etiam fpongiam vel ex frigida aqua, cui paululum aceti fit immixtum, vel ex aqua fola madentem imponere, ficut etiam ex vino aliquo auftero. In jecore vero, fi phlegmone laborare coepit, nemo compos rationis his utatur, imo nec fi melino perfundas aut myrteo aut maftichino aut nardino aut lentifcino aut aliquo oleo quod adftringat, aut etiam alio quopiam, cui abfinthium fit incoctum, ne horum quidem ullum conveniet frigidum, ficut nec ullum cataplafma frigidum. Sed fi mala praecipue cotonea

κυδώνια, κατάπλασμα σκευάσοις δι' αὐτοῦ, φλεγμονῆς ἥπατος ἔτι ἀρχομένης, ψυχρὸν δ' οὐδὲ τοῦτο προσοίσεις· ὥσπερ οὐδὲ τὸ ἔλαιον ἐσκευασμένον, ὡς εἴρηται, τοῖς ὀφθαλμοῖς ἢ τοῖς ἐν τῷ στόματι μορίοις ἀρχομένοις φλεγμαίνειν. ὠτὶ δὲ κἂν ὄξος ἐγχέῃς μετὰ ῥοδίνου, βλάψεις οὐδέν. ἀλλ' οὐκ ὀφθαλμοῖς γε φλεγμαίνουσιν ἀγαθὸν τοῦτο, καθάπερ οὐδὲ τὸ διὰ μόρων φάρμακον ἤ τι τῶν στοματικῶν ὀνομαζομένων ἄλλο· πάντα γὰρ ἀνιαρὰ τὰ τοιαῦτα τοῖς ὀφθαλμοῖς, καίτοι κατὰ τὸ γένος ὄντα τῆς ἐνδείξεως. ἀδένων δὲ φλεγμαίνειν ἀρχομένων ἤρκεσε πολλάκις ἔλαιον μόνον θερμόν.

Κεφ. ιγ'. Ἀλλὰ καὶ ἡ ἄλλη δίαιτα τοῖς μὲν ἀδένας ἤ τι τῶν κατὰ τὰ κῶλα μορίων ἔχουσι φλεγμαῖνον, ἕνα μόνον λαμβάνει σκοπὸν, ὡς τοσαῦτα καὶ τοιαῦτα προσφέρεσθαι δεῖν, ὅσα δὴ καὶ οἷα πεφθήσεται ῥᾷστα. διαφέρει δ' οὐδὲν ἢ χόνδρον, ἢ πτισάνην, ἢ μελίκρατον, ἢ ῥόαν, ἢ μῆλον, ἤ τι τοιοῦτον προσενέγκασθαι. φλεγμαίνοντος δ' ἥπατος ἀκριβεστάτης διαίτης ἐστὶ χρεία, καθάπερ γε καὶ γαστρός. τὸ

pino incoquens cataplafma ex eo praeparaveris, fi jecur phlegmone laborare adhuc incipiat, ne id quidem admovebis frigidum, ut nec oleum, ut dictum eft, praeparatum vel oculis vel oris partibus, ficubi haec tentari phlegmone incipiant. Auri vero etiam fi acetum cum rofaceo infundas, nihil offendes. At non eft hoc oculis phlegmone laborantibus utile, ut nec medicamentum quod ex moris conficitur aut aliud quippiam eorum quae ftomatica dicuntur; funt enim ejusmodi omnia oculis molefta, quamquam genere funt ex iis quae indicentur. Glandulis vero phlegmone tentari incipientibus faepe folum oleum calens fat fuit.

Cap. XIII. Sed et reliquus victus *ordinandus* is, quibus glandulae aut etiam pars aliqua circa artus phlegmone corripitur, unum tantum fcopum habet tot ac talia exhibendi, quot et qualia facillime concoquentur. Nec quicquam refert alicam an ptifanam an mulfam an punicum an malum an tale quippiam exhibeas. At fi jecur phlegmone infeftetur, exquifitiffimo victu eft opus, aeque ac fi ventriculus

*γὰρ ἔργον αὐτῶν ἅπαντι τῷ ζώῳ κοινόν ἐστι, καὶ μὴ πεφθείσης καλῶς τῆς τροφῆς ἢ μὴ προσηκόντως αἱματωθείσης, ἅπασι τοῖς τοῦ ζώου μέλεσι μεγίστη βλάβη προσγίνεται. τὰ δὲ τῶν κώλων μόρια τοσοῦτον λαμβάνει τῆς τροφῆς, ὅσον τρέφεσθαι πέφυκε. διὸ κἂν ἐκ μήλου καλῶς ἐν τῇ γαστρὶ πεφθέντος ἀφίκηται πρὸς αὐτὰ τροφὴ, κἂν ἐκ χόνδρου, κἂν ἐκ πτισάνης, οὐ μέγα διαφέρει. κατὰ δὲ τὸ ἧπαρ ὁπόσον ἡ διαφορὰ τῶν τροφῶν δύναται καὶ ὡς μέγιστον ἐφ᾽ ἑκάτερα, πάρεστί σοι μανθάνειν.*

Κεφ. ιδ΄. [306] *Ἐκκενοῦσθαι μὲν δήπου χρὴ τοῦ ἥπατος ὅσον ἀθροίζεται κατ᾽ αὐτὸ τοῦ τε πικροχόλου χυμοῦ καὶ τῶν ἐκ τῆς φλεγμονῆς ἰχώρων. τοῦτο δ᾽ οὐκ ἂν γένοιτο χωρὶς τοῦ διαῤῥύπτεσθαι μὲν τὰ κατὰ τὸ σπλάγχνον ἀγγεῖα, τὸν δ᾽ εἰς τὴν νῆστιν καθήκοντα πόρον ἀναστομοῦσθαι. χόνδρος οὖν ἐμπλάττων μὲν τοῦτον, ἐμπλάττων δὲ τὰ κατὰ τὸ ἧπαρ ἀγγεῖα καὶ μάλιστα τὰ πέρατ᾽ αὐτῶν, κωλύει τήν τε χολὴν εἰς τὸ ἔντερον ὑπιέναι καὶ τὴν τροφὴν εἰς ὅλον ἀναδίδοσθαι τὸ σῶμα. χρεία τοίνυν ἐστὶ τῶν ἐκφραττόντων*

*inflammetur.* Quippe munus eorum toti animali eſt commune, acciditque omnibus animalis partibus maximum incommodum, ſive non probe concoctum alimentum ſit, ſive non rite in ſanguinem converſum. Artuum vero partes tantum alimenti capiunt quanto ſunt nutriendae. Quo fit ut ſive ex malo quod probe in ventriculo ſit concoctum alimentum ad eas perveniat, ſive ex alica ſive ex ptiſana, non multum interſit. In jecore vero quantum referat nutrimentorum differentia, tum quod maximam in utramque partem vim habeat hinc diſcas licet.

Cap. XIV. Nam expelli e jecore oportet quicquid in eo tum amarae bilis tum ſaniei quae ex phlegmone provenit eſt collectum. Id vero fieri nequit, niſi et vaſa quae ſunt in viſcere detergeantur et meatus qui ad jejunum pertinet ſit apertus. Ergo alica, quum et huic inhaereat et vaſa hepatis obſtruat, praecipueque eorum ora et bilem in inteſtinum deſcendere et alimentum in totum corpus diſtribui prohibet. Poſcit ergo tum jecur ipſum tum os meatus qui

ἐδεσμάτων τε καὶ φαρμάκων αὐτῷ τε τῷ ἥπατι καὶ τῷ τοῦ χοληδόχου πόρου στόματι. τὰ δὲ τοιαῦτα πάντα γλίσχρα μὲν ἥκιστ' ἐστὶ, λεπτὰ δὲ ταῖς συστάσεσι καὶ δακνώδη ταῖς ποιότησιν. ἀλλὰ πάλιν ὑπὸ τούτων δακνόμενα τὰ φλεγμαίνοντα παροξύνεται καὶ διὰ τοῦτο δεόμεθα τῶν ἄνευ τοῦ δάκνειν αὐτὰ ῥυπτόντων, οἷόν πέρ ἐστι καὶ τὸ μελίκρατον. ἀλλ' ἴσμεν ὅτι τὰ γλυκέα πάντα καὶ σπλῆνα καὶ ἧπαρ ἐπὶ πλεῖστον ἐξαίρει. λοιπὴ τοίνυν ἄμεμπτος ὡς ἐν ἐδέσματι μὲν ἡ πτισάνη· χωρὶς γὰρ τοῦ δάκνειν ῥύπτει· ὡς ἐν φαρμάκοις δ' ὀξύμελι μεθ' ὕδατος κεραννύμενον. καὶ γὰρ καὶ ἡ ῥόα καὶ τὸ μῆλον ὅσα τ' ἄλλα στύφει, συνάγοντα τοῦ χοληδόχου πόρου τὸ στόμα, κωλύει τὴν χολὴν ἐκκρίνεσθαι· καὶ διὰ τοῦτο βλάπτει φλεγμονὰς ἥπατος, καὶ μάλισθ' ὅταν ἐν τοῖς σιμοῖς ὦσι μέρεσι τοῦ σπλάγχνου· πρὸς γὰρ τῇ διὰ φλεγμονὴν στενοχωρίᾳ καὶ ἡ ἐκ τῶν στυφόντων τε καὶ γλίσχρων ἐδεσμάτων προσέρχεται. καὶ τὰ δάκνοντα δὲ μᾶλλον βλάπτει τὰς ἐν τοῖς σιμοῖς φλεγμονάς· ὅσαι γὰρ ἐν τοῖς κυρτοῖς αὐτοῦ μέρεσι γίγνονται, φθάνει μεταβεβλημένα πρὸς αὐτὰς ἀφικνεῖσθαι τὰ ληφθέντα

bilem tranfmittit, cibos et medicamenta quae obftructa recludant. Talia vero omnia funt lenta quidem minime, fed tenui confiftentia et qualitate mordente. At vero ab his mordentibus phlegmonae irritantur, quare quae citra morfum ea detergeant indigemus, cujusmodi mulfa eft. At novimus dulcibus omnibus tum jecur tum lienem maxime intumefcere. Superfunt igitur quae culpa vacant ut in cibis ptifana, quippe quae fine morfu deterget, ut in medicamentis oxymel aqua mixtum. Nam et punicum et malum et caetera quae adftringunt, dum bilis meatus os arctant, bilem ipfam excerni prohibent, atque inde jecoris phlegmonis funt incommoda, praefertim quum in cavo vifceris confiftunt, quibus ad anguftias quas facit ipfa phlegmone etiam ea quae ex adftringentibus et lentis fit cibis accedit. Ac quae mordent ea phlegmonas ipfas quae in cavo funt vifceris magis irritant, quippe iis quae in gibbis ejus confiftunt mutata jam veniunt ea quae affumpta funt, ita ut nec quae adftri-

καὶ μήτε τὸ στῦφον ἔτι στύφειν ὁμοίως μήτε τὸ δάκνον δάκνειν μήτε τὸ διὰ γλισχρότητα τοῖς στενοῖς ἀγγείοις ἐμπλαττόμενον ἔτι μένειν ὁμοίως γλίσχρον. ἡ μεταβολὴ δ᾽ αὐτοῖς διττὴ, τῷ τε προπεπέφθαι καὶ διότι τῷ προϋπάρχοντι κατὰ τὸ σπλάγχνον αἵματι μίγνυται. τοῦ δέ γε σιμοῦ μέρους ἐν ἥπατι φλεγμαίνοντος εὐθὺς μὲν ἀναγκαῖόν ἐστι καὶ τὰς ἐν τῷ μεσεντερίῳ συμφλεγμαίνειν φλέβας· ἀπὸ γὰρ τῆς ἐπὶ πύλας ἅπασαι πεφύκασιν· εὐθὺς δὲ καὶ τὰ προσπίπτοντα τοῖς στόμασιν αὐτῶν ἐπιδείκνυται τὴν ἑαυτῶν δύναμιν.

Κεφ. ιέ. Ἆρά σοι δοκεῖ σμικρὰ διαφορὰ προσέρχεσθαι τῇ κοινῇ τῶν φλεγμονῶν θεραπείᾳ παρὰ τῶν μορίων; ἐμοὶ μὲν γὰρ μεγίστη φαίνεται, κἂν εἰ τὴν Θεσσάλειον ἀναισθησίαν ζηλοῦντες οἴονται τὴν κοινὴν ἔνδειξιν ἀρκεῖν μόνην. ἀναμνῆσαι δέ σε βούλομαι καὶ τῆς καλῆς αὐτῶν θεραπείας, ἣν ἐπὶ Θεαγένους ἐποιήσαντο τοῦ Κυνικοῦ φιλοσόφου· ταύτην γὰρ ἔγνωσαν οὐκ ὀλίγοι διὰ δόξαν τἀνθρώπου, δημοσίᾳ διαλεγομένου κατὰ τὸ τοῦ Τραϊανοῦ γυμνάσιον ἑκάστης ἡμέ-

ctoria funt fimiliter adhuc adftringant, nec quod mordens eft fimiliter mordeat, nec quod propter lentorem in anguftis vafis haerebat fimiliter etiamnum maneat lentum. Eft autem his occafio mutationis duplex et quod prius fint concocta et quod fanguini qui in jecore prius erat funt admixta. Cavo autem jecoris phlegmone obfeffo, protinus etiam venas quae in mefenterio funt una phlegmone laborare eft neceffe, nam a vena porta omnes funt ortae; protinus etiam quaecunque ofculis earum incidunt vim fuam oftendunt.

Cap. XV. An tibi ad communem phlegmones curationem parva ex partibus ipfis accedere differentia videtur? Mihi fane maxima videtur, quamvis ii qui Theffali ftupiditatem aemulantur communem indicationem folam fatisfacere putent. Placet autem nunc ad memoriam revocare tibi egregiam eorum curationem, quam Theageni philofopho Cynico adhibuerunt, fiquidem hanc norunt plurimi propter viri famam, ut qui publice difputare in Trajani circo quo-

ρας. ὁ μὲν οὖν θεραπεύων αὐτὸν ἦν εἷς τῶν Σωρανοῦ μαθητῶν, Ἄτταλος τοὔνομα. κατέπλαττε δὲ ἑκάστης ἡμέρας τὸ ἧπαρ ἀρτομέλιτι, [307] μὴ γινώσκων ὅτι στύφεσθαι μετρίως δεῖται τὸ σπλάγχνον τοῦτο, διότι τῆς θρεπτικῆς δυνάμεως ἀρχὴ τοῖς ζώοις ἐστὶ καὶ τὸ φλεβῶδες γένος ἀπ᾽ αὐτοῦ πέφυκεν. οὕτως οὖν ἐθεράπευσε τὸ σπλάγχνον, ὡς τοὺς βουβῶνας ἀμίκτῳ καὶ μόνῃ τῇ διὰ τῶν χαλώντων ἀγωγῇ, καταπλάττων μὲν ἀρτομέλιτι, προκαταιονῶν δὲ ἐλαίῳ θερμῷ καὶ τρέφων ἐκ χόνδρου (179) ῥοφήματι. ταῦτα γὰρ ἀρκεῖ τὰ τρία σχεδὸν ἅπασι τοῖς νῦν ἀμεθόδοις Θεσσαλείοις εἰς τὴν τῶν ὀξέων ἴασιν. ἔδοξε δέ μοι κατὰ μόνας εἰπεῖν τῷ Ἀττάλῳ, προσμιγνύναι τι τῶν στυφόντων καὶ μὴ ψιλῇ χρῆσθαι τῇ διὰ τῶν χαλαστικῶν ἀγωγῇ. περὶ μὲν οὖν τῆς τοῦ σπλάγχνου φύσεως οὐκ ἔμελλον ἐρεῖν αὐτῷ· τοῦτο γὰρ ἦν ὄντως ὄνῳ μῦθον λέγειν· ὃ δ᾽ ᾤμην εἰπὼν πείσειν αὐτὸν, ᾧ καὶ πάντας ἀνθρώπους ὁρῶ τάχιστα πειθομένους, τοῦτο διῆλθον μόνον· ὡς ἡ μακρὰ πεῖρα ἐδίδαξε τοὺς ἰατροὺς θεραπεύειν ἧπαρ ὕλῃ φαρμάκων μικτῇ· γεγραμμένην δ᾽ αὐτὴν εὑρήσεις ἐν τοῖς θε-

tidie fit folitus. Erat qui hominem curabat unus ex Sorani difcipulis, nomine Attalus. Is impofuit quotidie jecori cataplafma ex pane et melle, haud intelligens vifcus hoc mediocriter adftringi debere, propterea quod animalibus altricis facultatis principium fit et venofum ab hoc oriatur genus. Ita igitur vifcus curavit, ficut bubonas, meris et folis laxantibus utens, cataplafma ex pane et melle imponens, ac prius oleo calente perfundens, tum forbitione ex alica cibans. Haec namque tria ferme omnibus nunc amethodis iftis Theffaliis ad acutorum curationem fufficiunt. Vifum autem eft mihi feorfum Attalum monere, ut adftringens aliquid admifceret, nec nudis uteretur laxantibus. Ac de vifceris quidem natura nihil eram homini dicturus, id enim fuiffet plane afino fabulam narrare, fed quod me perfuafurum homini arbitrabar et cui omnes homines facillime affentire video, id tantum expofui, nempe longam experientiam medicos docuiffe, ut jecur mixta medicamentorum materia curarent, eam autem fcriptam inventurum in iis medi-

ραπευτικοῖς γράμμασι τῶν ἰατρῶν. ἐὰν οὖν σοι δοκῇ, μῖξον, ἔφην, ἀψινθίου τι τῆς κόμης μὲν ἀκριβῶς κεκομμένης τῷ καταπλάσματι, τῆς πόας δ᾽ ὅλης τῷ ἐλαίῳ, καθάπερ ὁρᾷς ἄλλους ἐναφέψοντας αὐτῷ μετρίως. τῷ καταπλάσματι δὲ μυροβαλάνου πίεσμα καὶ ἶριν καὶ σχίνου τὸ ἄνθος ἢ τῆς ναρδίτιδος βοτάνης τὴν ῥίζαν ἢ κυπέρου μῖξον· οὐ χεῖρον δὲ καὶ δι᾽ οἴνου ποτ᾽ αὐτὰ κατασκευάσαι καὶ μῖξαι ποτὲ τῆς ἰλύος αὐτοῦ, καί τι τῶν στυφόντων ἐναφεψῆσαι μήλων, ὁποῖα τὰ κυδώνιά τε καὶ στρούθια καλούμενα καὶ ταῦτα δὴ τὰ πλεονάζοντα κατὰ τὴν Ῥωμαίων πόλιν, ἃ προσαγορεύουσι κεστιανά. τὸ δ᾽ ἔλαιον, ὁρῶ γάρ σε καὶ τοῦτο μιγνύντα, μὴ τὸ τυχὸν ἔστω, ἀλλ᾽ ἤτοι τὸ ἀπὸ τῆς Ἱσπανίας ἢ τὸ Ἰστρικὸν, ἢ τὸ ὀμφάκινον, ἢ σχίνινον, ἢ μύρτινον, ἢ μήλινον, ἢ νάρδινον μύρον. πολλὴν δὲ καὶ ἄλλην ἔφην ὕλην ἄφθονον εἶναι τῶν ἐναφεψεῖσθαι δυναμένων. καὶ γὰρ σχίνου τοὺς ἁπαλοὺς κλῶνας καὶ μυρσίνης καὶ βάτου καὶ ἀμπέλου καὶ μᾶλλον τῆς ἀγρίας, ἀφ᾽ ἧς καὶ τὴν οἰνάνθην καλουμένην λαμβάνομεν. οὐ χεῖρον δ᾽ ἂν εἴη καὶ τὸ Ἀττικὸν ὕσσωπον

corum libris, qui fint de medendi ratione confcripti. Si ergo, inquam, tibi videtur, mifce aliquid de abfinthii coma diligenter tunfa cataplafmati, oleo vero totius herbae aliquid, modice id quemadmodum alios cernis in illo incoquentes. Cataplafmati vero myrobalani expreffum et irim et junci florem aut narditidos herbae radicem aut cyperi mifcebis, non inutile fit et ex vino ea aliquando praeparare, ac mifcere interdum etiam de faece ipfa, quin etiam aliquid adftringentium incoquere malorum, cujusmodi cotonea funt et quae vocantur ftruthia, praeterea quae Romae abundant vocata ceftiana. Oleum vero, nam id quoque video mifcere te, non quodlibet efto, fed vel Hifpanum vel Hiftricum vel crudum vel lentifcinum vel myrteum vel melinum vel nardinum unguentum. Porro aliam materiam plurimam effe dixi eorum quae incoquere liceret: nam et lentifci tenera germina et myrti et rubi et vitis praefertim fylveftris, a qua oenanthen vocatam decerpimus. Non alienum etiam fit et Atticum hyf-

τῷ τε καταπλάσματι καὶ ταῖς κηρωταῖς μιγνύναι· καὶ γὰρ καὶ κηρωτάς τινας ἐξ ὕλης τοιαύτης αὐτῷ συνεβούλευον ἐπιτιθέναι μετὰ τὸ κατάπλασμα. καὶ συνάπτειν γ' ἐπειρώμην ἐφεξῆς αὐτῷ τὴν ὅλην ἀγωγὴν, ἵνα καὶ τὰ καλούμενα πρὸς τῶν ἰατρῶν ἐπιθέματα διὰ μικτῆς ὕλης σκευάζη. βέλτιον γὰρ, ἔφην, ἐστὶν ἀρθέντος τοῦ καταπλάσματος ἐπικεῖσθαί τι τῷ σπλάγχνῳ. καὶ ὁ Ἄτταλος ὑποτεμνόμενός μου τὸν λόγον, εἰ μὴ σφόδρα σ' ἐτίμων, ἔφη, τούτων οὐδενὸς ἂν ἠνεσχόμην· ἐν οἷς γὰρ ἐναυάγησαν οἱ πρόσθεν ἰατροὶ, πρὶν τὴν ὄντως ἰατρικὴν ὑπὸ τῶν ἡμετέρων εὑρεθῆναι, ταῦτά μοι συμβουλεύεις ὥσπερ οὐκ εἰδότι. τρεῖς οὖν ἡμέρας ἢ τέσσαρας, ἔφη, συγχώρησόν μοι προνοήσασθαι τοῦ Θεαγένους ὡς ἐγὼ βούλομαι, καὶ θεάσῃ τελείως αὐτὸν ὑγιαίνοντα. τί οὖν, ἔφην, ἐὰν ἐξαίφνης ἱδρώτων ὀλίγων καὶ τούτων γλίσχρων ἐπιφανέντων ἀποθάνῃ, μνημονεύσεις ὧν ὑπέσχου καὶ μεταθῇ τοῦ λοιποῦ; καταγελῶν ἐπὶ τούτοις ὁ Ἄτταλος ἐχωρίσθη, μηκέτ' ἀποκρινόμενος μηδὲν, ὥστ' οὐδὲ περὶ τοῦ χόνδρου τι συμβουλεῦσαί μοι συνεχώρησεν, οὐδ' ὅτι δεήσει τῶν οὐρητικων φαρμάκων

ſopum tum cataplaſmati tum etiam ceratis miſcere; nam et cerata quaepiam illi ex ejusmodi materia imponere poſt cataplaſma ſuaſi. Et apponere illi tentabam univerſam deinceps curationem, quo etiam quae a medicis epithemata vocantur, ex mixta materia componeret. Nam melius, inquam, eſt ſublato cataplaſmate aliquid ſuper viſcus eſſe. Attalus vero ſermonem meum interpellans, niſi multum, inquit, tibi tribuerem, nihil horum toleraſſem, nam in quibus ſuperiores medici paſſi naufragia ſunt prius quam vera medicina inventa a noſtris eſſet, ea mihi veluti ignaro ſuades. Caeterum tres, inquit, aut quatuor dies ſine me Theageni ex mea ſententia proſpicere et ſanum eum penitus conſpicies. Sed quid, inquam, ſi quum ſubito pauci et hi lenti apparuerint ſudores moriatur, recordaberisne quae promiſeris ac de caetero ſententiam mutabis? Atque Attalus poſt haec abiit irridens, nec quicquam praeterea reſpondens, ſic ut neque de alica quicquam me conſulere permitteret, ſed nec quod

μιγνύναι τῷ ὕδατι μικρὸν ὕστερον, ἐπειδὴ τὰ κυρτὰ τοῦ ἥπατος ἐπεπόνθει. καθάπερ γὰρ τὰ σιμὰ διὰ τῆς γαστρὸς ἐκκενωτέον ἐστὶν, ὡς ὀλίγον ἔμπροσθεν εἶπον, οὕτω τὰ κυρτὰ διὰ τῶν μετρίως οὐρητικῶν φαρμάκων, οἷόν ἐστι τὸ σέλινον. ἐν δὲ τῷ χρόνῳ προϊόντι πεττομένης ἤδη τῆς φλεγμονῆς καὶ τοῖς ἰσχυροτέροις ἐγχωρεῖ χρήσασθαι, τῷ ἀσάρῳ [308] καὶ τῇ Κελτικῇ νάρδῳ καὶ τῷ καλουμένῳ φοῦ καὶ πετροσελίνῳ καὶ σμυρνίῳ καὶ μήῳ· καθάπερ γε καὶ διὰ τῆς γαστρὸς κενοῦν, εἰ τὰ σιμὰ πεπόνθασι, κνίκον μιγνύντα τοῖς ἐδέσμασι καὶ ἀκαλήφην καὶ λινοζῶστιν, ἐπίθυμόν τε καὶ πολυπόδιον καὶ πάνθ᾽ ὅσα μετρίως ὑπάγει. ἔτι δὲ μᾶλλον ἐν ταῖς παρακμαῖς αὐτοῖς τε τούτοις χρῆσθαι θαρσαλεώτερον ἢ πρόσθεν, ὅσα τε τούτων ἐστὶ σφοδρότερα, τὰ μὲν ἐναφέψοντας τῇ πτισάνῃ, τὰ δὲ κόψαντας, ὡς χνοώδη γενέσθαι· διδόναι δὲ καὶ ταῦτα διὰ πτισάνης ἢ μεθ᾽ ὕδατος. ἐγὼ γοῦν καὶ πολυποδίου τι ποτὲ συνέψησα τῇ πτισάνῃ καὶ μέλανος ἐλλεβόρου φλοιόν. καὶ διὰ τῶν κλυσμάτων δὲ κενοῦν αὐτοὺς προσῆκεν, ἐν ἀρχῇ μὲν ἀρκουμένους ἁλσὶν ἢ νίτρῳ ἢ ἀφρονίτρῳ μεμιγ-

ex iis quae urinas cient miſcere aquae paulo poſt oporteret, quod jecoris gibba eſſent affecta. Nam ſicut jecoris cavum per alvum purgatur, ceu paulo ſupra diximus, ſic gibba ejus per ea quae modice urinas movent, cujus generis eſt apium. Procedente autem tempore, ubi phlegmone jam concoquitur, etiam valentioribus uti licet, aſaro et celtica nardo et phu, quod vocant, et petroſelino et ſmyrnio et meo, ſicut etiam per ventrem vacuare, ſi cavum afficiatur, cnico cibis admixto et urtica et mercuriali et epithymo et polypodio et omnibus quae modice alvum dejiciunt. Magisque in remiſſionibus tum his ipſis audacius quam ante utendum, tum vero quae his ſunt valentiora, partim in ptiſana incoctis, partim tunſis ac in molliſſimum pulverem redactis: exhibenda vero et haec ſunt vel ex ptiſana vel ex aqua. Ego namque etiam polypodii aliquid in ptiſana aliquando incoxi et nigri veratri corticem. Etiam clyſtere vacuare eos conveniet inter initia vel ſale vel nitro vel aphronitro aquae mulſae admix-

μένοις τῷ μελικράτῳ· κατὰ δὲ τὰς παρακμὰς καὶ μάλιστα ἐὰν σκιῤῥῶδές τι καταλείπηται τῆς φλεγμονῆς, ἰσχυρότερα μιγνύντας φάρμακα· τὸ γοῦν ὕσσωπον ἐναφεψόμενον τῷ ὕδατι τηνικαῦτα καὶ τὴν ὀρίγανον καὶ τὴν κολοκυνθίδα καὶ τὸ λεπτὸν κενταύριον. ἐπιτηδειότατα γάρ ἐστι σκιῤῥωθῆναι τὰ δύο σπλάγχνα, τό θ' ἧπαρ καὶ ὁ σπλὴν, ἐὰν ἀμελήσῃ τις αὐτῶν ἢ τοῖς γλίσχροις ἐδέσμασι χρήσηται, καθάπερ καὶ ὁ Ἄτταλος ἐπὶ τοῦ Θεαγένους ἑκάστης ἡμέρας χόνδρον προσφέρων καὶ μηδὲν διδοὺς τῶν ἐκφραττόντων τε καὶ ῥυπτόντων. ἀλλὰ τό γε συμβὰν τῷ Θεαγένει, μᾶλλον δὲ τῷ Ἀττάλῳ, καιρὸς εἰπεῖν. ὡς γὰρ ὑπέσχετό μοι, μετὰ τρεῖς ἡμέρας ἐπιδείξειν τὸν ἄνδρα τῆς φλεγμονῆς τοῦ ἥπατος ἀπηλλαγμένον, ὁ μὲν ἔτι δὴ καὶ μᾶλλον ἐπὶ πλεῖστόν τε κατήντλει τὸ σπλάγχνον ἐλαίῳ θερμῷ· κατέπλαττέ τε συνεχέστερον ἐκ τῆς ἐπιμελείας ἐλπίζων αὐτῷ προχωρήσειν τὰ τῆς θεραπείας ἄμεινον, ἀπεκρίνατό τε πυνθανομένοις γαυριῶν ὑπὲρ τοῦ Θεαγένους τὰ βελτίω. ἀλλὰ συνέβη γε καθ' ὃν ἐγὼ τρόπον εἶπον, ἐξαίφνης ἀποθανεῖν αὐτόν. καὶ τὸ πάντων γελοιότατον, ὁ μὲν

to contentis, in remiffione vero, potiffimumque fi quid fcirrhofum relictum e phlegmone eft, etiam valentiora medicamenta mifcentibus, quippe hyffopum eo cafu aquae incoquimus et origanum et colocynthida et minus centaurium. Opportuniffima namque ad fcirrhum funt jecur et lien, fi quis ipfa neglexerit vel glutinofo cibo ufus fuerit, ficut Attalus, qui Theageni quotidie alicam exhibebat ac nihil offerebat, quod tum obftructiones eximat tum detergeat. Verum quod contigit Theageni vel potius Attalo, dici eft tempus. Ut enim promiferat mihi poft tres dies daturum fe hominem a jecoris phlegmone liberatum, tum magis quam prius calente oleo vifcus plurimum perfudit, tum cataplafmate frequentius eft ufus, hac diligentia felicius fibi curationem cefsuram fperans, refponditque percunctantibus de Theagene gloriabundus meliora. Caeterum contigit, prout ipfe praedixeram, fubito hominem mori. Et quod omnium maxime dignum rifu fuit, ducebat Attalus fecum ex iis, qui de homi-

Ἄτταλος ἦγέ τινας τῶν ἠρωτηκότων φίλων ὅπως διάγοι, δεῖξαι βουλόμενος αὐτὸν οὕτως ἔχοντα καλῶς ὡς λούεσθαι μέλλειν, ἀγαλλόμενός τε μετὰ πολλῶν εἰσῆλθεν εἰς τὸν οἶκον ἐν ᾧ κατέκειτο· τὸν Θεαγένη δὲ τεθνεῶτα λούειν ἐνεχείρουν ἔνιοι τῶν φίλων, ταῦτα δὴ τὰ νενομισμένα, Κυνικοί τέ τινες ὄντες καὶ ἄλλως φιλόσοφοι. διὸ καὶ μέχρι τοῦ νεκροῦ παραγενέσθαι συνέβη τῷ Ἀττάλῳ μετὰ τοῦ χοροῦ τῶν θεατῶν, ἅτε μηδενὸς ἔνδον οἰμώζοντος. οὔτε γὰρ οἰκέτης οὔτε παιδίον οὔτε γυνὴ τῷ Θεαγένει ἦν, ἀλλ᾽ οἱ φιλοσοφοῦντες μόνοι παρῆσαν αὐτῷ φίλοι, τὰ μὲν ἐπὶ τοῖς τεθνεῶσι νομιζόμενα πράττοντες, οὐ μὴν οἰμώζειν γε μέλλοντες. οὕτω μὲν ὁ Θεσσάλειος ὄνος εὐδοκίμησεν, ἐπὶ πολλῶν θεατῶν ἐπιδείξας ἀπηλλαγμένον τῆς φλεγμονῆς ἐντὸς τῶν τεττάρων ἡμερῶν, ὡς ὑπέσχετο, τὸν ἄνθρωπον. οἱ δ᾽ ἄλλοι μεθοδικοὶ μυρίους ἀποκτείνοντες ὁσημέραι τὴν ἀγωγὴν τῆς θεραπείας οὐδέπω καὶ νῦν ὑπαλλάξαι τολμῶσιν, οὐδὲ πειραθῆναί ποτε κἂν ἅπαξ τῆς τοῖς ἄλλοις ἰατροῖς, οἷς ὄντως ἐσπουδάσθη τὰ τῆς τέχνης ἔργα, γεγραμμένης· οὕτω δευσοποιόν τι πρᾶγμά ἐστιν ἀμαθία

nis ftatu rogaffent quosdam, quibus oftenderet adeo recte eum fe habere, ut jam effet lavandus, laetusque cum multis ingreffus eft domum in qua jacebat, quum Theagenem mortuum quidam ex amicis, qui et Cynici quidam erant et alioqui philofophi, lavare ex more pararent. Itaque etiam usque ad mortuum accedere, idque una cum fpectatorum coetu Attalo contigit, utpote quum nemo intus lugeret. Nam Theageni nec fervus erat nec puer nec mulier, fed cum eo foli amici philofophantes verfabantur, qui jufta quidem mortuorum, citra tamen omnem luctum, obibant. Atque hanc laudem Theffalius afinus inter multos fpectatores eft confequutus, oftendens explicatum a phlegmone hominem intra quatuor, ut pollicitus eft dies. Reliqui vero methodici quum innumeros quotidie jugulent, adeo rationem curandi mutare adhuc nolunt, ut quae a medicis funt fcripta, qui artis operibus vere infudarunt, ne vel femel experiri velint, adeo indelebile vitium vehemens ignorantia eft, praefertim fi

σφοδρὰ, καὶ μᾶλλον ὅταν ἀλαζονίᾳ μιχθῇ. τοιοῦτοι μὲν οὖν ἐν ἅπασιν οἱ Θεσσάλειοι.

Κεφ. ιστ'. Χρὴ δ' ἡμᾶς φεύγοντας τὰ τοιαῦτα ἁμαρτήματα κἂν εἰ μηδὲν ἄλλο, ἀλλ' οὖν τῇ ἐμπειρίᾳ πιστεύειν. ὅπερ ἀεὶ παραινῶ τοῖς ἀγυμνάστοις περὶ τὸν λόγον. ἄμεινον γὰρ αὐτοῖς ἐστι μηδ' ὅλως ἐξ ἀναλογισμῶν τι [309] λαμβάνειν, ὅταν ἀμαθεῖς τε ἅμα καὶ ἀγύμναστοι τῶν λογικῶν ὦσιν μεθόδων, ἃς νῦν ἡμεῖς γράφομεν. ἡ γάρ τοι τοῦ ἥπατος οὐσία ῥᾷστα σκίῤῥοις ἁλίσκεσθαι πέφυκεν, ἔχουσά τι καὶ φύσει (180) πηλῶδες, ὡς παίζων τις ἔλεγεν ἰατρὸς τῶν καθ' ἡμᾶς. ἡ δὲ τοῦ σπληνὸς ἀραιοτέρα μέν ἐστι τοῦ ἥπατος, ἁλίσκεται δὲ συνεχέστερον ἐκείνου τῷ σκιῤῥώδει παθήματι διὰ τὴν τῆς τροφῆς ἰδέαν ᾗ χρῆται. δέδεικται γὰρ ὑπὸ τοῦ παχέος αἵματος τρεφόμενος, ὃ καθάπερ τις ἰλὺς ἐστι τοῦ καθαρωτέρου καὶ ῥᾷστα γίγνεται μέλαινα χολή· διὸ καὶ μελαγχολικὸν αὐτὸ ἢ μέλαν καλοῦμεν περίττωμα. ταῦτα μὲν οὖν τὰ δύο σπλάγχνα καὶ ἡ ἐμπειρία δείκνυσιν ἐναργῶς ἁλι-

cum fuperbia fit conjuncta. Ejusmodi igitur in omnibus funt Theffali fectatores.

Cap. XVI. Nobis autem vitandi ejusmodi errores funt, ac fi nihil aliud fuppetat, faltem ipfi experientiae credendum. Id quod ipfe perpetuo fuadere non defino iis qui circa rationem parum funt exercitati. Nam melius profecto iis eft, quando et rudes funt et fimul in rationali methodo, quam nos nunc prodimus, minime exercitati, ut nihil penitus ex ratiocinando accipiant. Nam jecoris fubftantia fcirrhis maxime opportuna eft, ut quae naturaliter lutofum quippiam continet, uti medicus quidam noftri temporis per jocum dixit. Lienis vero rarior fubftantia quam jecoris eft, caeterum crebrius fcirrhofis vitiis affligitur propter nutrimenti quo utitur fpeciem. Monftratum namque eft, quod craffo nutritur fanguine qui veluti limus purioris eft, facillimeque atra bilis efficitur, ideoque etiam ipfum melancholicum five atrum appellamus excrementum. Atque haec duo vifcera fcirrhofis tumoribus tentari vel experientia

σκόμενα τοῖς σκιῤῥώδεσιν ὄγκοις. οἱ νεφροὶ δὲ τῷ κατακεκρύφθαι λανθάνουσι τὴν ἁφήν· ὅ γε μὴν λόγος ἡμᾶς διδάσκει καὶ τούτους ἑτοίμως ἁλίσκεσθαι σκίῤῥοις· καὶ διὰ τοῦτο τὰς μὲν ἀλύτους τὸ πάμπαν εἶναι νεφρίτιδας, τὰς δὲ δυσλύτους· ἄμφω γὰρ ἔχουσιν οἱ νεφροὶ τὰ λελεγμένα τῶν προειρημένων σπλάγχνων ὑπάρχειν ἑκατέρῳ, τήν τε τῆς οὐσίας ποιότητα καὶ τὴν τῶν διερχομένων ἐν αὐτοῖς περιττωμάτων φαυλότητα. διὸ καὶ οἱ τὰ παχύχυμα τῶν ἐδεσμάτων ἐσθίοντες ἁλίσκονται τῷ τῆς λιθιάσεως πάθει. προορᾶσθαι τοιγαροῦν χρὴ τοσοῦτον μᾶλλον, ὅσον δυσιατότεραι τῶν τριῶν τούτων εἰσὶ σπλάγχνων αἱ σκιῤῥώδεις διαθέσεις, ὅπως μή τις αὐταῖς περιπέσῃ. μάλιστα δ᾽, ὡς εἴρηται, περιπίπτουσιν οἱ φλεγμηνάντων αὐτῶν ἐδέσμασι χρώμενοι παχεῖς ἢ γλίσχρους χυμοὺς γεννῶσι. καὶ μέντοι καὶ τὰ ἰάματα τῶν τοιούτων παθῶν ὡμολόγηται πᾶσιν εἶναι τὰ τέμνοντα καὶ διαλύοντα καὶ θρύπτοντα, τοῦ γένους μὲν ὄντα δηλονότι τοῦ τῶν ἐκφραττόντων καὶ ῥυπτόντων, ἰσχυρότερά γε μὴν ταῖς δυνάμεσι. μεμάθηκας δ᾽ ἐν τῇ περὶ τῶν ἁπλῶν φαρμάκων πραγματείᾳ τήν τε δύναμιν αὐτῶν καὶ τὴν ὕλην. διὸ καὶ νῦν ὁ

ipſa clare indicat. Renes vero quod occulti ſint tactum effugiunt, caeterum hos quoque facile ſcirrhis deprehendi ratio docet, atque idcirco nephritidas alias omnino inſolubiles, alias aegre ſolubiles eſſe, quum renes ambo habeant quae in viſcerum utroque praedicta ſunt ineſſe, tum ſubſtantiae qualitatem tum excrementorum quae per eos dilabuntur vitium. Quo ſit ut qui craſſi ſucci cibis veſcuntur, calculi vitio corripiantur. Ergo quanto trium horum viſcerum ſcirrhoſi affectus difficilius curantur, tanto magis eſſe ſolicitos oportet, ne quis in hos incidat. Maxime autem, ut dictum eſt, incidunt qui ipſi phlegmone vexati iis cibis utuntur, qui craſſos lentosque humores efficiant. Quin etiam ejusmodi affectuum medicamenta inter omnes convenit ea eſſe, quae incidant et diſſolvant et frangant, quae utique ex eorum ſunt genere quae obſtructiones eruunt et detergent, caeterum viribus valentiora. Horum non ſolum materiam, ſed etiam facultatem in opere de ſimplicibus medicamentis expoſuimus. Itaque

λόγος μοι γενήσεται σύντομος ἀρκουμένῳ ταῖς καθόλου δυνάμεσι καὶ μόνῃ τῇ μεθόδῳ μετὰ παραδειγμάτων ὀλίγων. ὅπου γὰρ ἥ θ' ὕλη τῶν δυνάμεων ἤδη προπαρεσκεύασταί σοι καὶ τὰ συνενδεικνύμενα τὴν θεραπείαν ἔμπροσθεν εἴρηται, καταλείπεται νῦν οὐδὲν ἄλλο, πλὴν τῶν οἰκείων ἑκάστου νοσήματος ἐνδείξεων ἐπιμνησθῆναι. τὰ συνενδεικνύμενα δὴ λέγω δηλονότι δύναμιν καὶ φύσιν καὶ ἡλικίαν καὶ ὥραν καὶ χώραν καὶ ἔθος, ὅσα τ' ἄλλα τοιαῦτα. καὶ τοίνυν περὶ τῆς ἀπὸ τῶν μορίων ἐνδείξεως ἐφεξῆς ἐρῶ, τὴν ἀρχὴν ἀπὸ τῶν κατὰ τὸ ἧπαρ ποιησάμενος. ἐνδείκνυται γὰρ τοῦτο τὰ μὲν ἔξωθεν ἐπιτιθέμενα κατὰ τὰς φλεγμονὰς αὐτοῦ μικτῆς εἶναι χρῆναι δυνάμεως οὐ μόνον ἐν γενέσει τῆς φλεγμονῆς οὔσης, τοῦτο μὲν γὰρ κοινὸν ἁπασῶν φλεγμονῶν, ὁπότε γε καὶ μόνοις τοῖς ἀποκρουστικοῖς βοηθήμασι κατὰ τὸν χρόνον ἐκεῖνον οὐκ ἂν τις ἁμάρτοι χρώμενος, ἀλλὰ κἀπειδὰν μήτ' ἐπιῤῥέῃ μηδὲν ἔτι, μήτε ἀπώσασθαι δυνατὸν ᾖ τὸ ἐν τῷ φλεγμαίνοντι μορίῳ περιεχόμενον. γίγνεται γὰρ καὶ τοῦτο διὰ πλείους αἰτίας. ἐν ἀρχῇ μὲν οὖν ὀλίγον τε τὸ ἐπιῤῥέον ἐστὶ καὶ λεπτότερον ὡς

etiam brevior nunc ero, contentus generali facultate et sola methodo cum paucis exemplis. Nam quum et facultatum materiam jam habeas praeparatam et quae curationem una coindicent sint praedicta, nihil nunc aliud superest, nisi ut proprias cujusque morbi indicationes commemorem. Coindicantia igitur voco vires, naturam, aetatem, anni tempus, regionem et consuetudinem et si qua sunt id genus alia. Proinde de ea quae a partibus sumitur indicatione deinceps dicam, initio ab ea quae ab jecore sumitur sumpto. Nam id indicant quae extrinsecus applicantur, quum ipsum obsident phlegmonae, ea mixtae esse facultatis oportere, non in generatione phlegmones modo, est enim id omnium phlegmonarum commune, quando etiam si quis repellentibus auxiliis tantum illo tempore utatur, non peccet, sed etiam quum nec allluat amplius quicquam, nec repelli quod in laborante parte continetur possit. Accidit enim hoc quoque multis de causis. Sane in principio tum parum est quod affluit tum

τὸ πολύ· ἐνίοτε δὲ καὶ ἡ κατ᾽ αὐτὸ τὸ δεχόμενον μόριον ἰσχυροτέρα δύναμις, ὡς ἂν μηδέπω κεκμηκυῖα καὶ τὸ περιεχόμενον αὐτὸ κατὰ τὸ φλεγμαῖνον οὐδέπω βιαίως ἐσφηνωμένον. ἀκμαζούσης δὲ τῆς φλεγμονῆς τό τε περιεχόμενον αἷμα πολὺ καὶ πολλάκις παχύτερον, ἐσφηνωμένον τε σφοδρῶς, ἥ τε τοῦ μορίου δύναμις ἀσθενεστέρα· δεόμεθα δὲ καὶ ταύτης ἰσχυούσης, ὡς ὠθεῖν δύνασθαι τὸ περιττὸν ἀφ᾽ ἑαυτῆς· ἐπειδὴ τῶν στυφόντων φαρμάκων ἡ δύναμις οὐχ ἱκανὴ τηνικαῦτα τὸ πᾶν ἐργάσασθαι μόνη. συνάγουσα μὲν γὰρ καὶ σφίγγουσα καὶ οἱονεὶ πιλοῦσα καὶ θλίβουσα τὰ σώματα [310] δύναται τὰ λεπτότερα ταῖς συστάσεσιν ὑγρὰ πρὸς τοὺς περικειμένους ἀποπέμπειν τόπους, οὐ μὴν ἄνευ γε τοῦ συνεπισχεῖν τι καὶ τὴν ἐν τῷ πάσχοντι μορίῳ δύναμιν, ἀξιόλογον αὐτοῖς γίνεται τὸ ἔργον. τηνικαῦτα γοῦν ἡ μὲν ἀπὸ τῆς φλεγμονῆς ἔνδειξις τῶν ποιητέων ἐστὶ μία· καλοῦσι δ᾽ αὐτὴν διαφόρησιν, ἐκκενοῦσαν λόγῳ θεωρητοῖς πόροις τὸν ἐν τῷ φλεγμαίνοντι μορίῳ χυμόν. ἡ δ᾽ ἀπ᾽ αὐτοῦ τοῦ μορίου πρὸς τοὐναιτίον ἀντισπᾷ, κελεύουσα φυλάττειν αὐτοῦ τὸν τόνον.

magna ex parte tenuius, tum partis ipsius quae recipit vires nonnunquam valentiores, utpote nondum lassatae, tum quod in inslammata continetur parte nondum violenter impactum. At quum phlegmone in vigore suo jam consistit, tum multus in ea sanguis continetur, isque crassior saepe ac vehementer impactus, tum vires partis jam sunt debiliores, quas alioqui valentes requirimus, quo a se supervacua amoliantur, quandoquidem haud satis potens est adstringentium praesidiorum vis, quae sola totum efficiat. Quippe potest haec cogendis ac constringendis et veluti densandis et exprimendis corporibus, quae tenuiora consistentia sunt, ad circumpositas partes expellere, caeterum nisi etiam laborantis partis virtus aliquid auxilietur, nihil adeo magnum efficiat. Tunc igitur quae a phlegmone sumatur una duntaxat agendorum est indicatio; hanc diaphoresin vocant, *i. e. discussionem,* haec humorem, qui in phlegmone obsessa parte continetur, per meatus ratione aspectabiles educit. Quae vero ab ipsa sumitur parte, ea in diversam nos partem tra-

ἐπιπλεκομένων οὖν ἀλλήλαις ἐναντίων ἐνδείξεων ἐπιπλέκεσθαι χρὴ καὶ τὸ φάρμακον. μηροῦ δὲ φλεγμαίνοντος, ἢ κνήμης, ἢ πήχεος, ἢ βραχίονος, ἢ καὶ ἐν αὐτοῖς ἀδένων, οὐ δεόμεθα φυλάττειν τὸν τόνον. οὗτος ὁ σκοπὸς ἔστω σοι κοινὸς ἐπὶ πάντων τῶν μορίων, ὧν ἔργον τι τοιοῦτόν ἐστιν, ὡς ὅλῳ τῷ σώματι χρήσιμον ὑπάρχειν.

Κεφ. ιζ. Οὐκοῦν οὐδὲ τὸν σπλῆνα παντάπασι χαλᾷν χρὴ, καὶ γὰρ καὶ οὗτος ἐκκαθαίρει τοῦ ἥπατος ὅσον ἰλυῶδές τέ ἐστι καὶ μελαγχολικὸν, ἐπεὶ δ' ὑπὸ τοιούτου τρέφεται. καὶ διὰ τοῦθ', ὅταν ἔμφραξίς τις ἢ φλεγμονὴ κατ' αὐτὸν γένηται, καὶ μάλιστα ὅταν ᾖ ἐσκιῤῥωμένος, τῶν ἐκφραττόντων καὶ τεμνόντων ἰσχυροτέρων δεῖται. οἷον γάρ ἐστι φάρμακον ἥπατι τὸ ἀψίνθιον, τοιοῦτον τῷ σπληνὶ καππάρεως φλοιός· ὁποῖον δ' ἥπατι τὸ καλούμενον εὐπατόριον, τοιοῦτον τῷ σπληνὶ τὸ σκολοπένδριον. ὁμοίων μὲν γὰρ δεῖται φαρμάκων κατὰ τὸ γένος ἀμφότερα τὰ σπλάγχνα· τοσούτῳ δ' ἰσχυροτέρων ὁ σπλὴν, ὅσῳ παχυτέρᾳ χρῆ-

hit, robur ejus fervari jubens. Coeuntibus igitur una contrariis indicationibus compofitum quoque effe medicamentum oportet. At femur fi phlegmone laboret aut tibia aut cubitus aut brachium aut qui in his funt adenes, caufa non eft, cur horum robori confulas. Hic tibi communis fcopus fit in omnibus iis partibus, quarum munus ejusmodi eft ut toti corpori fit ex ufu.

Cap. XVII. Ergo nec lienem omnino laxantibus curare oportet, quum hic quoque ex jecore quicquid limofum et melancholicum eft expurget, propterea quod ex eo *humore* nutritur. Idcirco quoties obftructio quaedam in eum incidit aut phlegmone potiffimum cum fcirrhofa fit, tum ea quae obftructiones eximant tum quae incidant vehementiora exigit. Nam quale medicamentum jecori eft abfinthium, tale eft lieni capparis cortex, quale rurfus jecori quod vocant eupatorium, tale eft lieni fcolopendrium. Siquidem fimilia genere medicamenta ambo vifcera poftulant, caeterum tanto valentiora lien, quanto craffiore utitur alimento.

Ed. Chart. X. [310.] Ed. Baf. IV. (180.)

ται τροφῇ. σκιῤῥουμένοις οὖν αὐτοῖς αἱ προσήκουσαι τροφαὶ κοιναὶ μὲν τῷ γένει, διαφέρουσαι δὲ τὸ μᾶλλόν τε καὶ ἧττόν εἰσιν. ὅθεν εἰ καὶ δι᾽ ὀξυμέλιτος ἡ κάππαρις ἐσθίοιτο, χρησίμη μὲν ἀμφοτέροις ἐστὶ τοῖς σπλάγχνοις, ἀλλ᾽ οὔτ᾽ ἴση τὸ πλῆθος οὔθ᾽ ὁμοίως κεκραμένον ἔχουσα τὸ ὀξύμελι· πλείων τε γὰρ αὕτη καὶ δι᾽ ἀκρατεστέρου τοῦ ὀξυμέλιτος ἐπὶ τοῦ σπληνὸς ὠφελιμωτέρα γίγνοιτ᾽ ἄν. αὕτη μὲν οὖν ἡ διαφορὰ κατὰ τὸ μᾶλλόν τε καὶ ἧττον. τῶν δὲ ὁμοίων κατὰ γένος ἢ εἶδος ἢ ὥς ἄν τις ἐθέλοι ὀνομάζειν βοηθημάτων, ἔκ τε τῆς ἐνεργείας αὐτῶν εἴληπται καὶ διαπλάσεως. ἀπὸ δὲ τῆς εἰς τὰ παρακείμενα κοινωνίας, ὅπερ ἐστὶ ταὐτὸν τῇ θέσει, τὸ τὰ μὲν κυρτὰ τοῦ ἥπατος ἐκκαθαίρεσθαι διὰ νεφρῶν, τὰ δὲ σιμὰ διὰ τῆς κάτω γαστρός. ἐπὶ δὲ σπληνὸς τὴν ἑτέραν μόνην εἶναι κένωσιν τῶν περιττῶν, ἡ γὰρ ἐπὶ τοὺς νεφροὺς οὐκ ἔστι τούτῳ τῷ σπλάγχνῳ. διὰ τοῦτ᾽ οὖν ὅταν φλεγμαίνῃ, τοῖς κατωτερικοῖς ὀνομαζομένοις φαρμάκοις ἐρεθίζομέν τε καὶ διαῤῥύπτομεν αὐτὸν, ὅπως μεθιῇ καὶ χαλάσῃ τὰ περιττά.

Scirrho igitur laborantibus ipfis convenientia nutrimenta funt genere quidem communia, fed majoris minorisque ratione differentia. Itaque et capparis ex oxymelite edatur, utilis fane eft utrique vifceri, caeterum nec ipfa pari modo, nec fimiliter mixtum habens oxymel, nam et ipfa copiofior et ex minus diluto oxymelite lieni erit utilior. Atque haec differentia eft quae ex majoris minorisque ratione accepta eft. At fimilium genere vel fpecie, aut quomodocunque dixiffe libet praefidiorum ex actione et conformatione indicatio fumpta eft. A focietate vero cum vicinis partibus, quod idem cum fitu eft, illa capiuntur, quod gibba jecoris per renes expurgari oporteat, cava vero per inferiorem ventrem. In liene vero alteram duntaxat effe fuperflui vacuationem, quum quae per renes agatur nulla huic vifceri vacuando via pateat. Proinde ubi phlegmone premitur, id dejectoriis nominatis medicamentis tum laceffimus tum detergemus, quo dimittat laxetque fupervacua. Sane duplex

διττὸς δ' ὁ τρόπος ἐστὶ τῆς τῶν τοιούτων φαρμάκων χρήσεως. ἐπὶ μὲν τῶν ἀνωτέρω κειμένων διὰ τῶν μὲν ἐσθιομένων καὶ πινομένων, ἐπὶ δὲ τῶν κατωτέρω διὰ κλυστῆρος ἐνιεμένου, ἐπειδὴ τῶν μὲν ἐσθιομένων καὶ πινομένων ἡ δύναμις ἐκλύεται πρὶν ἐπὶ τὰ κάτω μέρη προχωρῆσαι, τὰ δ' ἐνιέμενα τὴν ἀρχὴν οὐδ' ἐπαναβῆναι δύνανται πρὸς τὴν νῆστιν· ἀλλ' εἰ καὶ πάνυ σφόδρα βιάζοιο, τάχ' ἂν ἅψαιο τῶν λεπτῶν ἐντέρων μόνων. καὶ τοῦτ' οὖν αὐτὸ παρὰ τῆς τῶν μορίων θέσεως ἐδιδάχθημεν, ἐνιέναι μέν [311] τι τοῖς κατωτέρω κειμένοις ἐντέροις, ἄνωθεν δὲ διδόναι τοῖς τ' ἀνωτέρω καὶ αὐτῇ τῇ γαστρὶ καὶ σπληνὶ καὶ στομάχῳ. λέγω δὲ νῦν στόμαχον, ὅνπερ δὴ καὶ κυρίως ὀνομάζουσιν· ἐνίοτε γὰρ οὕτω καλοῦσι καὶ τὸ στόμα τῆς γαστρός· (181) ὥσπερ ὅταν εἴπωσι συγκόπτεσθαί τινας στομαχικῶς. ἀλλ' ἐπί γε τοῦ κυρίως ὀνομαζομένου στομάχου καὶ τὰ καταπλάσματα κατὰ τῆς ῥάχεως ἐπιτίθεμεν, οὐκ ἔμπροσθεν, ὥσπερ ὅταν τὸ στόμα τῆς γαστρὸς φλεγμαίνῃ· κατὰ γάρ τοι τῆς ῥάχεως ὁ στόμαχος ἐπίκειται διά

ratio eſt ejusmodi medicamentorum uſus. Quum partes ſuperius poſitae laborant, per ea quae eduntur ac bibuntur, quum inferiores, per id quod ſit per clyſterem infuſum. Quandoquidem quae eduntur ac bibuntur, eorum vis ante quam ad inferiores partes perveniat reſolvitur, quae infuſa ſunt, ea omnino ad jeiunum usque aſcendere non poſſunt, imo etiamſi admodum nitāris, fortaſſe tenue tantum inteſtinum contingant. Ergo illud quoque ex partium poſitura didicimus, inferioribus inteſtinorum aliquid eſſe per clyſterem infundendum, ſuperioribus vero atque etiam ipſi ventriculo, lieni et ſtomacho, ſuperne aliquid exhibendum. Voco nunc ſtomachum *ſive gulam* quam proprie appellant, nonnunquam enim ita etiam vocant os ventriculi, ut quum ſtomachice ſyncope corripi aliquos dicunt. Verum gulae quae proprie vocatur ſtomachus, cataplaſmata ſuper ſpinam dorſi imponimus, non autem ad pectus idem facimus, quum os ventriculi phlegmone urgetur, ſiquidem ſpinae gula ſuperja-

τε τοῦ τραχήλου καὶ τοῦ θώρακος φερόμενος κάτω μέχρι τῆς γαστρός.

Κεφ. ιη΄. Οὔτ᾽ οὖν ταῦτα γινώσκουσιν οἱ Θεσσάλειοι, καὶ διὰ τοῦτο πάντας ὁμοίως θεραπεύουσιν, οὔθ᾽ ὅτι πᾶν τὸ φλεγμαῖνον μέλος, ἐὰν μὴ στεγνὸν ἔχῃ τὸ περικείμενον ἑαυτῷ δέρμα, χαλᾷ τι καὶ μεθίησιν ἔξω τῶν λεπτομερῶν ἰχώρων. καὶ διὰ τοῦτ᾽ ἔκ τε τῶν κατὰ τὸ στόμα καὶ τὴν ῥῖνα καὶ τὴν φάρυγγα καὶ στόμαχον, ἔντερά τε καὶ γαστέρα καὶ τὰ σπλάγχνα πάντα, ῥεῖ τι πρὸς τοὐκτός. οὕτω δὲ καὶ κατὰ τὴν ἔνδον ἐπιφάνειαν τοῦ θώρακος ἐκκρίνεταί τις ἰχὼρ, ὅταν φλεγμαίνῃ. καθάπερ οὖν ὁ μὲν σπλὴν καὶ τὰ σιμὰ τοῦ ἥπατος ἐκκαθαίρεται διὰ τῶν ἐντέρων, οἱ νεφροὶ δὲ καὶ κυρτὰ τοῦ ἥπατος διὰ τῶν οὔρων, οὕτως ὁ θώραξ, ὅταν γε τὰ ἔνδον αὐτοῦ φλεγμαίνῃ, κατὰ τὸν ὑπεζωκότα μεθίησί τι πρὸς τὴν μεταξὺ χώραν ἑαυτοῦ καὶ τοῦ πνεύμονος· ἐκκαθαρθῆναι δὲ τοῦτο δεήσεται διὰ τῶν αὐτῶν ὁδῶν τῷ πνεύμονι. δώσομεν οὖν τοῖς οὕτω κάμνουσι φάρμακα τῆς λεπτυνούσης δυνάμεως, ὅπως ἀναστομῶνται μὲν αἱ ὁδοὶ, τέμνωνται δὲ τὰ

cet, per collum et pectus deorfum usque ad ventriculum porrecta.

Cap. XVIII. Neque igitur haec novere Theffalii, ideoque omnes una ratione curant, neque illud quod omne membrum phlegmone laborans, nifi cutim fibi circumdatam habeat fpiffam, tenuis fanici foras aliquid dimittit ac laxat. Eo fit ut ex iis quae in ore et nafo et faucibus et ftomacho et inteftinis et ventriculo et vifceribus omnibus funt, aliquid foras effluat. Ad eundem modum etiam ex interna facie pectoris cum phlegmone premitur, excernitur aliqua fanies. Quemadmodum igitur lien et jecoris cava per inteftina, renes vero et jecoris gibba per urinas purgantur, ita pectus, ubi interna ejus phlegmone tentantur, per membranam qua tegitur aliquid in medium fui pulmonumque fpatium tranfmittit, id autem expurgari per eandem qua pulmo viam debebit. Dabimus igitur fic laborantibus medicamenta, quibus tenuatoria fit facultas, quibus et viae aperiantur et

δι' αὐτῶν ὁδοιπορήσειν μέλλοντα, καὶ μάλισθ' ὅταν ἢ παχέα ταῖς συστάσεσιν ἢ γλίσχρα, καθάπερ ἐπὶ τῶν ἐμπύων ἐστίν. ἐκλεξώμεθα δὲ καὶ τούτων ὅσα μὲν μέτρια, φλεγμαινόντων ἔτι τῶν πεπονθότων μελῶν, ὅσα δὲ ἰσχυρότερα, κατὰ τὰς ἀκριβεῖς παρακμὰς τῶν φλεγμονῶν ἢ καὶ τελέως μὲν αὐτῶν πεπαυμένων, ἐκκριθῆναι δὲ τῶν περιττῶν δεομένων. μέτριον μὲν οὖν ἐν τοῖς τοιούτοις ἐστὶν ὅ τε τῆς πτισάνης χυλὸς καὶ τὸ μελίκρατον, ἰσχυρότερον δὲ τὸ τῆς ἀκαλήφης σπέρμα, καὶ ὅταν ἐμβληθῇ βραχύ τι τῷ μελικράτῳ τῶν δριμέων βοτανῶν, οἷον ὀριγάνου καὶ ὑσσώπου καὶ καλαμίνθης καὶ γλήχωνος, ἴρεώς τε τῆς Ἰλλυρίδος ἡ ῥίζα. πλέον δ' εἰ μίξαις τούτων ἢ καὶ τὴν ἶριν οὕτω κόψαις καὶ σήσαις ὡς χνοώδη ποιῆσαι, κἄπειτα ἐπιβάλλοις τῷ μελικράτῳ, τμητικώτατον ἕξεις φάρμακον. οὕτω δὲ καὶ τὸ διὰ πρασίου σκευαζόμενον ὀξύμελί τε καὶ ἄλλα τοιαῦτα, τέμνειν ἱκανῶς πέφυκε τὰ παχύτερα τῶν ἐν θώρακι καὶ πνεύμονι περιττῶν. καὶ πάντων αὐτῶν τὴν εὐπορίαν ἔχεις ἐν ταῖς περὶ τῶν φαρμάκων πραγματείαις.

quae deferenda per eas funt incidantur *ac diffipentur,* praefertim quum vel craffae confiftentiae funt vel glutinofae, qualia in iis funt quos empyos vocant. Deligenda tamen ex iis funt, quamdiu adhuc phlegmone invalefcit, quae mediocria funt, quum vero plane jam phlegmone decrevit aut penitus ceffavit, et educi excrementa poftulant quae valentiora funt. Ergo mediocre in hoc genere eft tum ptifanae cremor tum mulfa, valentius autem et urticae femen et mulfa, in quam conjectum fuit paululum aliquid acrium herbarum, quales funt origanum et hyffopum et calaminthe et pulegium et Illyricae ireos radix. Quod fi vel plus horum admifceas vel irin in molliffimum pulverem tunfam cribratamque in mulfam immittas, maxime incidens medicamentum habebis. Sic autem et quod ex marrubio conficitur, oxymeli aliaque ejusmodi valenter craffiora excrementa, quae in pectore et pulmone continentur, incidere poffunt. Omnium eorum copiam habes in operibus iis *quae* de medicamentis edidimus.

Κεφ. ιθ΄. Οὐ μόνον δὲ τὴν εἰρημένην τῶν βοηθημάτων διαφορὰν ἐκ τῶν πεπονθότων ἐμάθομεν τόπων, ἀλλὰ καὶ τὸ τὰ μὲν ἐπιπολῆς φλεγμαίνοντα τοῖς τῆς φλεγμονῆς ἰδίοις βοηθήμασιν ἰάσασθαι, τὰ δ᾽ ἐν τῷ βάθει [312] μετὰ τοῦ μιγνύναι τι καὶ τῶν δριμυτέρων· ἐκλύεται γὰρ ἡ δύναμις εἰς τὸ βάθος αὐτῶν διαδιδομένων. οὕτω δὲ καὶ ἡ σικύα βοήθημα γενναῖον εὕρηται τῆς τ᾽ ἔξω φορᾶς τῶν ἐν τῷ βάθει καὶ τῆς οἱονεὶ μοχλείας τῶν ἤδη σκιῤῥουμένων. ἀλλ᾽ οὐ χρηστέον ἐστὶ σικύᾳ κατ᾽ ἀρχὰς ἐπὶ μορίου φλεγμαίνοντος, ἀλλ᾽ ἐπειδὰν ὅλον τὸ σῶμα κενώσῃς καὶ χρεία σοι γένηται κενῶσαί τι καὶ ἐκμοχλεῦσαι τῶν κατὰ τὸ φλεγμαῖνον ἢ πρὸς τοὐκτὸς ἀποσπάσασθαι. γινομένων δ᾽ ἔτι τῶν παθῶν οὐκ αὐτοῖς τοῖς ἀρχομένοις κάμνειν μέλεσιν, ἀλλὰ τοῖς συνεχέσιν αὐτῶν ἐπιβάλλειν τὴν σικύαν ἀντισπάσεως ἕνεκεν. οὕτω γοῦν καὶ μήτρας αἱμοῤῥαγούσης πρὸς τοὺς τιτθοὺς ἐπιβάλλομεν σικύαν, ἐπ᾽ αὐτῶν ἐρείδοντες μάλιστα τῶν κοινῶν ἀγγείων, θώρακός τε καὶ

Cap. XIX. Non solum autem jam dictam remediorum differentiam ex laborante loco didicimus, sed etiam illud, quod quae in summo corporis phlegmone laborant, ea propriis phlegmones remediis curentur, quae in alto sunt *corpore*, si cum his aliquid acriorum *medicamentorum* sit immixtum, resolvuntur enim eorum vires dum alte descendunt. Hac ratione et cucurbitula, strenuum plane auxilium, est inventa, tum ut foras evocentur quae sunt in alto, tum ut eximantur atque eruantur quae jam in scirrhum abeunt. Verum utendum cucurbita in ipsa parte quae phlegmone urgetur inter initia non est, imo postea quam totum corpus vacuaveris ac necessarium sit eorum quae in inflammata parte continentur aliquid educas atque eruas, aut etiam foras versus attrahas. Quum autem adhuc generantur affectiones, minime ipsis partibus quae laborare incipiunt, sed iis quae continuata his sunt, cucurbita imponi debebit revellendi causa. Sic namque ad mamillas cucurbitam imponimus, quum sanguis ex utero profluit, defixo maxime in ipsis

μήτρας, τὸ τῆς σικύας στόμα. κατὰ δὲ τὸν αὐτὸν τρόπον αἱμοῤῥαγίας διὰ ῥινῶν γιγνομένης ἐπιβάλλομεν τοῖς ὑποχονδρίοις μεγίστας σικύας. οὕτω δὲ καὶ πᾶσαν ἄλλην αἱμοῤῥαγίαν ἀντισπῶμεν ἐπὶ τἀναντία διὰ τῶν κοινῶν φλεβῶν, ὥσπερ αὖ πάλιν ἕλκομεν, εἰ τούτου δεοίμεθα· κατὰ γοῦν ἐφηβαίου τε καὶ βουβῶνος ἐπιτίθεμεν σικύαν, ἔμμηνα κινῆσαι βουλόμενοι. καὶ κατ' ἰνίου δὲ σικύα τιθεμένη γενναῖόν ἐστι βοήθημα ῥεύματος ὀφθαλμῶν. χρὴ δὲ προκεκενῶσθαι τὸ σύμπαν σῶμα· πληθωρικοῦ γὰρ ὄντος αὐτοῦ, καθ' ὅ τι περ ἂν ἐρείσεις μέρος τῆς κεφαλῆς τὴν σικύαν, ὅλην αὐτὴν πληρώσεις.

Κεφ. κ'. Οὗτος οὖν ὁ κοινὸς σκοπὸς ἁπάσης φλεγμονῆς οὐχ ὡσαύτως ἐφ' ἑκάστου τῶν μορίων ἐπιτελεῖται. προσέρχεται δ' ἅπασι τοῖς εἰρημένοις οὐ σμικρὰ μοῖρα καὶ ἡ τοῦ προσενεχθησομένου φαρμάκου φύσις. οὐ γὰρ ἁπλῶς εἰ στῦψαι δεοίμεθα τὴν ἀρχομένην φλεγμονὴν, ἅπαν τὸ στῦφον προσοίσομεν ἐπὶ τῶν καταπίνεσθαι μελλόντων, ἀλλ' ὅσοις ἂν αὐτῶν οὐδεμία μέμικται δύναμις φθαρτική. χάλκανθος

communibus pectoris et uteri vafis, ore cucurbitae. Eodem vero modo, fi ex naribus fanguis profunditur, praecordiis maximas cucurbitas affigimus. Sic et omne aliud fanguinis profluvium ad contrarium per communes venas avertimus. Quemadmodum rurfum et fanguinem, fi ita eft opus, attrahimus, fiquidem quum menfes evocare in animo eft, in pube et inguine cucurbitam figimus. Praeterea cucurbita in occipite defixa efficax eft remedium ad oculorum fluxiones. Vacuari tamen prius totum corpus expedit, nam fi plethoricum corpus fit, in quacunque parte capitis cucurbitam defixeris, totum ipfum implebis.

Cap. XX. Hic itaque omnis phlegmones communis fcopus haudquaquam fimiliter in qualibet parte editur. Accedit ad omnia quae praedicta funt non pro levi portione ipfius exhibendi medicamenti natura. Neque enim abfolute, fi adftringere incipientem phlegmonen eft opus, quidlibet adftringens in iis quae devoranda funt, adhibebimus, fed ea quibus nulla corruptrix admixta vis eft. Nam calchantus

γοῦν ἐν τοῖς μάλιστα στύφει, καθάπερ γε καὶ τὸ μῖσυ καὶ σῶρυ καὶ χαλκίτης καὶ διφρυγὲς, ὅ τε κεκαυμένος χαλκὸς ἥ τε λεπὶς αὐτοῦ καὶ τὸ ἄνθος· ἀλλ᾽ ἔστι βλαβερὰ τὰ φάρμακα ταῦτα καταπινόμενα· διόπερ οὐδὲ τοῖς στοματικοῖς ἀσφαλῶς μίγνυνται· παραῤῥεῖ γὰρ ἐνίοτε αὐτῶν τι μέχρι τῆς γαστρός. οὐ μὴν οὐδ᾽ ἀλόη καλῶς ἂν μιχθείη τοῖς καταπίνεσθαι μέλλουσι φαρμάκοις, ἕνεκα φλεγμονῆς τῶν ἔνδον· ἐπειδὴ καὶ ταύτῃ μέμικταί τις δύναμις καθαρτική. παρηκμακυίας μέντοι τελέως τῆς φλεγμονῆς, εἴ τις μικρὸν ἀλόης μίξειεν ἕνεκα τοῦ τὴν γαστέρα κινῆσαι μὴ διακεχωρηκυῖαν τελέως, οὐδὲν βλάψει. βέλτιον δὲ διὰ λινοζώστιδος ἢ ἀκαλήφης ἢ κνίκου ἤ τινος τῶν τοιούτων ὑπάγειν τὴν γαστέρα τῶν οὕτω καμνόντων. ὅλως δὲ, ἄν τις ἀφέλῃ τὴν ἀπὸ τῶν μορίων ἔνδειξιν, οὐδὲν κωλύει τὴν ἰατρικὴν οὐχ ἓξ μησὶν, ἀλλ᾽ ἓξ ἡμέραις ὅλην ἐκμαθεῖν. οὐ μὴν οὐδὲ προσθέντες τὴν ἀπὸ τῶν μορίων ἔνδειξιν ἔχοιμεν ἂν ἤδη τὸ πᾶν εἰς τὴν θεραπείαν ἄνευ τοῦ τὰς περὶ τῶν φαρμάκων ἐκμαθεῖν μεθόδους. ἐπ᾽ ἐκείνας οὖν ἰτέον ἐστὶ τῷ μέλλοντι τελέως ἰάσασθαι τὰ νοσή-

inter praecipua adſtringit, ſicut etiam miſy et ſory et chalcitis et diphryges et aes uſtum et ſquama ejus et flos: verum haec medicamenta devorata noxia ſunt, quocirca ſtomaticis ea miſcere tutum non eſt, defluit namque interdum ex his aliquid ad ventriculum. Sed nec aloen probe miſcueris iis medicamentis, quae phlegmonae alicujus cauſa quae intus conſiiterit devoranda ſunt, quando huic quoque admixta purgandi vis quaedam eſt. Caeterum ubi phlegmone prorſus inclinaverit, ſi quis paululum aloes admiſceat cauſa dejiciendi ventris qui prorſus non dejecerit, nihil laedet. Verum ſatius eſt mercuriali aut urtica aut cnico aut talium aliquo alvum ſic laborantium ſubducere. In ſumma vero ſi quis eam quae a partibus ipſis praeſtatur indicationem adimat, nihil obſtat quominus medicinam non ſex menſibus, ſed ſex diebus totam perdiſcas. At vero nec ſi quae a partibus ſumitur indicationem adjicias, jam totum quod exigitur ad curationem habeas, niſi etiam methodos de medicamentis didiceris. Itaque eas aggrediatur oportet quisquis conſummate

ματα. νυνὶ γὰρ, ὡς πολλάκις εἶπον, εἰ καί τινος ἐμνημόνευσα φαρμάκου, παραδείγματος ἕνεκα τοῦτ᾽ ἔπραξα.

Κεφ. κα΄. [313] Προσθῶμεν οὖν ἔτι τῆς ἀπὸ τῶν μορίων ἐνδείξεως ὅσα μήπω λέλεκται, καταβάλλοντες προφανέστατα τὴν τῶν Θεσσαλείων αἵρεσιν· οἳ μήτε ἀνατομῆς ἁπτόμενοι μήτ᾽ ἐνεργείας ἢ χρείας εἰδότες, ὅταν ἴδωσί τινα κροκιδίζοντα καὶ καρφολογοῦντα, τολμῶσιν ὀξυροδίνῳ καταβρέχειν τὴν κεφαλὴν ἡμῖν ἑπόμενοι. διὰ τί γὰρ οὐ τὸν θώρακα μᾶλλον; εἴπερ ἐνδεικτικῶς μὲν εὑρίσκουσι τὰ βοηθήματα, δυνατὸν δ᾽ ἐστὶ καὶ τῆς καρδίας πασχούσης φρενιτικὸν γίνεσθαι τὸν ἄνθρωπον. ὁ μὲν γὰρ ἐμπειρικὸς ἐκ τῆς πείρας φησὶ τὴν τῶν τοιούτων βοηθημάτων εὕρεσιν ἐσχηκέναι, τῷ δὲ καὶ ταύτην ἀτιμάσαντι καὶ τὴν τῶν ἐνεργειῶν ζήτησιν φυγόντι πόθεν ἐπῆλθεν ἀντὶ τοῦ θώρακος ἑλέσθαι τὴν κεφαλὴν ἐπὶ τῶν φρενιτικῶν ἐπιβρέχειν· ἀλλὰ τοῦτό γε τὸ ὀξυρρόδινον ὃ τῇ κεφαλῇ προσφέρομεν ἐπὶ τῶν φρενιτικῶν, ὥσπερ τις ἔλεγε τῶν ἑταίρων, οὐ μόνον τοὺς ἀμεθόδους Θεσσαλείους, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας ἐξελέγχει φανερῶς,

ſanaturus eſt morbos. Nunc enim ſi alicujus medicamenti meminimus, id, ut ſaepe teſtati ſumus, exempli cauſa fecimus.

Cap. XXI. Sed adjiciamus adhuc ea, quae de indicatione quae a partibus ſumitur nondum evulgata Theſſaliorum illorum ſectam evidentiſſime praecipitantes, qui quum nec diſſectionis rationem attigerint, nec partium actiones uſusve norint, tamen quum floccos carpentem quemquam cernunt et feſtucas legentem, audent oxyrodino caput madefacere noſtro exemplo. Nam cur quaeſo non thoracem potius? ſiquidem indicatorie remedia inveniunt. Sane ſieri poteſt ut etiam corde affecto phreniticus quis efficiatur. Empiricus namque ab experientia ſe ait ejusmodi medicamentorum nactum inventionem. Qui autem et hanc vituperat et inquiſitionem de actionibus refugit, huic unde quaeſo ſuccurrit, ut pro thorace caput in phreniticis madefacere eligat? Caeterum hoc ipſum oxyrrhodinum, quod capiti phreniticorum applicamus, ceu quidam ex amicis dicere ſolebat, non ſolum amethodos illos Theſſali ſectatores, ſed etiam reliquos

ὅσοι κατὰ τὴν καρδίαν ἡγοῦνται τὸ ψυχῆς ἡγεμονικὸν ὑπάρχειν. ἰδὼν γοῦν ποτὲ τῶν ἀπ᾽ Ἀθηναίου (182) τινὰ τὴν κεφαλὴν αἰονῶντα ῥοδίνῳ καὶ ὄξει μεμιγμένοις ἐκώλυον ἀξιῶν ἐπιφέρειν τῷ θώρακι τὸ βοήθημα· βεβλάφθαι μὲν γὰρ τῷ παραφρονοῦντι τὸ ἡγεμονικὸν, εἶναι δ᾽ ἐν καρδίᾳ τοῦτο κατὰ τὸν Ἀθήναιον, οὔκουν ὀρθῶς αὐτὸν ποιεῖν ἀποστάντα τοῦ θώρακος ἐνοχλεῖν τῇ κεφαλῇ καὶ πράγματα παρέχειν ἀπαθεῖ μορίῳ, νυνὶ μὲν ὀξυῤῥοδίνῳ καταντλοῦντα, νυνὶ δὲ ἀποκείροντα καὶ σπονδύλιον ἢ ἕρπυλλον ἤ τι τοιοῦτον προσφέροντα· καὶ εἰ χρονίζοι τὸ πάθημα καὶ τὸ καστόριον ἢ καὶ νὴ Δία σικύαν· ὅμοιον γὰρ εἶναι τοῦτο τῷ φλεγμαίνοντος μηροῦ τῇ περόνῃ προσάγειν τὸ βοήθημα. καὶ μὲν δὴ κἀπὶ τῶν ληθαργικῶν οὐδείς ἐστιν ὃς οὐ προσφέρει τῇ κεφαλῇ τὰ βοηθήματα· καὶ τοῦτο γὰρ τὸ πάθος ἐναντίον μέν πώς ἐστι κατὰ τὴν ἰδέαν τῇ φρενίτιδι. γίνεται δ᾽ ἐγκεφάλου πάσχοντος, ἐν ᾧ τῆς ψυχῆς ἐστι τὸ ἡγεμονικόν. ὅταν μὲν οὖν ὁ πλεονάζων ἐν ἐγκεφάλῳ ψυχρὸς ᾖ χυμὸς, ἀναισθησία τε καὶ ἀκινησία καταλαμβάνει τὸν ἄνθρωπον· ὅταν δὲ θερμὸς,

manifeste redarguit universos, quicunque principem animi partem in corde statuunt. Nam quum aliquando vidissem quendam ex Athenaei discipulis caput aceto et *oleo* rosaceo mixtis persundentem, prohibui, jussique pectori admovere id remedium, quippe laesam in delirio esse partem principem, eam autem esse auctore Athenaeo in corde, itaque non recte relicto pectore caput eum, integrum praesertim membrum, vexare eique negotium facessere nunc oxyrrhodinum infundendo, nunc radendo, tum spondylium aut serpyllum aut id genus aliquid admovendo, imo vero si malum traheret, etiam castoreum aut certe etiam cucurbitam, nam id esse persimile ac si cui in femore phlegmone sit, calcaneo remedium applicet. Quin etiam in lethargicis nemo est, qui capiti non applicet auxilia, nam et is affectus contrarius quodammodo secundum speciem phrenitidi est. Gignitur autem cerebro patiente, in quo princeps animi pars residet. Ergo quum humor qui in cerebro redundat frigidus est, insensibilitas immobilitasque hominem opprimunt, quum vero calidus est,

εὐκινησία μᾶλλον, ὡς ἂν εἴποι, τις ἅμα τῇ τοῦ λογισμοῦ βλάβῃ. συμβαίνει γὰρ, ὡς ἐν τοῖς περὶ τούτων δέδεικται λόγοις, διὰ μὲν τὴν ψύξιν ἡ ἀργία, διὰ δὲ τὴν θερμασίαν ἡ ἄμετρος κίνησις, ἐκ δὲ τῆς χυμῶν μοχθηρίας ἡ ἄνοια. φλεβοτομητέον οὖν ἐστιν ἐπὶ τῶν τοιούτων παθῶν κατ' ἀρχὰς εὐθὺς ἰσχυρᾶς μὲν οὔσης εἰς τοσοῦτον τῆς δυνάμεως ὡς ἐνεγκεῖν ἀλύπως τὴν φλεβοτομίαν, ἑτέρου δὲ μηδενὸς κωλύοντος ὧν ἐν τοῖς περὶ φλεβοτομίας εἴπομεν· οἷον ἤτοι πλήθους ὠμῶν χυμῶν ἢ παιδικῆς ἡλικίας ἢ ὥρας ἢ χώρας ἐσχάτως θερμῆς ἢ ψυχρᾶς. τοῦτο μὲν οὖν κοινὸν ἀμφοτέροις τοῖς νοσήμασιν, ὅσα τε μετὰ καταφορᾶς καὶ ὅσα μετ' ἀγρυπνίας γίνεται. κοινὸν δὲ καὶ τὸ κατὰ τὴν ἀρχὴν ὀξυρόδινον προσφέρειν· ἀπώσασθαι γὰρ χρὴ τῆς κεφαλῆς τὸν χυμὸν, ὁποῖος ἂν εἴη. τὰ δ' ἐφεξῆς ἐναντία, πραΰνειν μὲν γὰρ προσήκει τὰ μετὰ τῶν ἀγρυπνιῶν, ἐπεγείρειν δὲ τὰ μετὰ τῆς ἀκινησίας. εἰκότως οὖν ἀκμαζόντων αὐτῶν τοῖς μὲν ἀγρυπνιτικοῖς καὶ περικοπτικοῖς νοσήμασι τὰς διὰ μήκωνος κωδειῶν ἐπιβροχὰς προσοίσομεν, [314] ὀσφρανοῦμέν τε καὶ διαχρίζομεν, ἤτοι

perpetuus potius motus, ut dixerit aliquis, una cum rationis noxa. Accidit enim, veluti monftratum in libris de his eft, ex frigore fegnities, ex calore immodicus motus, ex humoris vero vitio dementia. Itaque incidenda in talibus affectibus vena eft ftatim ab initio, fi modo tam validae fint vires, ut fine noxa miffionem fanguinis tolerent, ac nihil prohibeat eorum quae de fecanda vena retulimus, ficuti vel crudi humoris copia vel puerilis aetas vel anni tempus vel regio in qua fit extremus calor aut frigus. Atque hoc quidem commune utrique morbo, et ei qui cum fopore et ei qui cum vigiliis incidit. Commune praeterea utriusque eft ut oxyrodinum in principio admoveas, nam repellendus a capite humor eft, quisquis is fuerit. Quae fequuntur contraria funt, nam quae cum vigiliis conjuncta funt, ea lenire expedit, quae cum immobilitate, excitare. Jure ergo quum in fummo incremento funt, iis morbis qui pervigilio et delirio infeftant, perfufiones ex papaverum capitibus applicabimus, odorem quoque

τὰ πτερύγια τῆς ῥινὸς ἐκ τῶν ἔνδοθεν μερῶν ἢ τὸ μέτωπον ὁμοίοις φαρμάκοις. καρῶσαι γὰρ χρὴ καὶ ναρκῶσαι ποιῆσαι τὸ ἡγεμονικὸν, ἐμψύχοντα δηλονότι τὸν ὑπερτεθερμασμένον ἐγκέφαλον. ἐπὶ δὲ τῶν ἐναντίων παθῶν ἐπεγεῖραι καὶ τεμνεῖν καὶ θερμῆναι προσήκει τὸ πάχος τοῦ λυποῦντος χυμοῦ, ὅστις ἄνευ μὲν τοῦ σήπεσθαι καταφορὰς βαθείας ἐργάζεται, χωρὶς πυρετῶν, ἃς ὀνομάζουσιν ἀποπληξίας καὶ κάρους καὶ κατοχάς. εἰ δὲ καὶ σήποιτό ποτε, μετὰ πυρετοῦ γίνεται τὰ τοιαῦτα καὶ καλεῖται τὸ τοιοῦτο νόσημα λήθαργος. ἐναφεψοῦντες οὖν ὄξει θύμον καὶ γλήχωνα καὶ ὀρίγανον, ὅσα τ᾽ ἄλλα τοιαῦτα, τῇ ῥινὶ τῶν οὕτω διακειμένων προσοίσομεν, ὅπως ὁ ἀτμὸς ἐπὶ τὸν ἐγκέφαλον ἀναφερόμενος τέμνῃ τὸ πάχος τοῦ χυμοῦ. μετὰ δὲ ταῦτα καὶ τὸν οὐρανίσκον ἰσχυροῖς καὶ δριμέσι φαρμάκοις χρίσομεν. ἑξῆς δὲ τούτων καὶ πταρμικοῖς χρησόμεθα. καὶ κατὰ τῆς κεφαλῆς ἐπιθήσομεν ὁμοίας δυνάμεις φαρμάκων, ἄχρι καὶ τοῦ νάπυος, ἐπιτείνοντες ἀεὶ τὸ σφοδρὸν αὐτῶν, εἰ χρονίζει τὸ πάθος. ἀλλὰ καὶ ταῖς σικύαις ἐπ᾽ ἀμφοτέρων χρονιζόντων χρησόμεθα καὶ τῷ καστο-

naribus objiciemus, ac narium alas intus vel frontem ex fimilibus medicamentis illinemus. Nam fopire ac ftupefacere principem partem oportet, cerebrum fcilicet, quod fupra modum incaluit refrigerando. In contrariis autem vitiis excitare ac noxii humoris, qui citra putredinem et citra febrem altos fopores invehit, craffitudinem incidere atque calefacere, hos *altos fopores* apoplexias et caros et catochas vocant. Quod fi aliquando *humor* putrefcat, cum febre incidunt ea genera, vocaturque is morbus lethargus. Incoquentes igitur in aceto thymum et pulegium et origanum, aliaque id genus naribus fic affectorum admovebimus, quo vapor ad cerebrum fublatus craffitudinem humoris incidat. Mox etiam palatum valentibus et acribus medicamentis ungemus. Ab his vero etiam fternutatoriis utemur. Tum capiti fimiles praefidiorum facultates imponemus, adaucta femper eorum etiam ad ipfum usque finapi vehementia, fi affectus diu trahat. Quin etiam cucurbitis ad utrumque vitium, fi diutinum fit, utemur, item-

ρίῳ. πέττει γὰρ αὐτὸ καλῶς ἐπὶ προήκοντι τῷ χρόνῳ παραληφθέν. ὥστε κἀνταῦθα πάλιν εἰς κοινὴν θεραπείαν ἄγεσθαι λήθαργόν τε καὶ φρενίτιδα ἐπὶ τῆς παρακμῆς. ἐν μὲν δὴ τοῖς τοιούτοις πάθεσιν ἐξελέγχονται προφανῶς οἵ τε ἀπὸ τοῦ Θεσσάλου πάντες οἵ τ' ἐν τῇ καρδίᾳ τὸ ἡγεμονικὸν τῆς ψυχῆς μέρος εἰπόντες ἰατροί. μὴ γὰρ ὅτι τῶν εἰρημένων τινὸς εὐπορῆσαι βοηθημάτων αὐτοῖς ἐστι δυνατὸν, ἀλλὰ μηδὲ ὅτῳ μορίῳ προσφέρειν δεῖ τὰ βοηθήματα. οὐ γὰρ δὴ ὥσπερ ἐπ' ὀφθαλμίας ἢ πλευρίτιδος ἢ συνάγχης αὐτός τε ὁ κάμνων αἰσθάνεται τοῦ πεπονθότος μορίου, ἡμῖν τε διὰ τῆς ἁφῆς καὶ τῆς ὄψεως εἰς γνῶσιν ἥκει, κατὰ τὸν αὐτὸν τρόπον ἐπί τε ληθάργου καὶ φρενίτιδος ἐπιληψίας τε καὶ παραπληξίας καὶ σπασμῶν καὶ τετάνων, ἔτι τε τῆς καλουμένης ἰδίως κατοχῆς. ἐφ' ὧν ἁπάντων ἡ μὲν ἰδέα τῶν βοηθημάτων ἐκ τῆς τοῦ πάθους φύσεως εὑρίσκεται, τὸ δὲ χωρίον ᾧ μάλιστα χρὴ προσφέρειν αὐτὰ διὰ τοῦ προεγνῶσθαι τὰς ἐνεργείας τε καὶ χρείας τῶν μορίων.

Κεφ. κβ'. Ὅτι δ'. ἀεὶ μεμνῆσθαι χρὴ τῶν συνενδει-

que caſtoreo, nam ipſum probe concoquit debito tempore adhibitum. Quare hic ad communem rurſus curationem redeunt lethargus et phrenitis in declinatione. Ergo in ejusmodi affectibus manifeſte redarguuntur et qui Theſſalum ſequuntur omnes et quisquis medicus principem animi facultatem ſtatuit in corde. Non ſolum enim jam dictorum praeſidiorum deſtituentur copia, ſed etiam cui ea parti accommodabunt praeſidia *non intelligent*. Neque enim tanquam in ophthalmia vel pleuritide vel angina tum ab ipſo aegro affecta pars ſentitur, tum nobis partim tactu partim viſu innoteſcit, ſic in lethargo et phrenitide et epilepſia et paraplexia et convulſionibus et tetanis, praeterea eo quod proprie vocatur catoche, ſe habet. In quibus omnibus praeſidiorum formula ex affectus invenitur natura, locus vero cui maxime ſint applicanda ex praenoſcendis tum affectionibus tum uſibus partium.

Cap. XXII. Quod autem ſemper meminiſſe oporteat

κνυμένων ἁπάντων, κἂν παραλειφθῇ ποτε ἐπὶ τῷ λόγῳ, πολλάκις εἴρηται πρόσθεν. ἀλλὰ νῦν γε τὴν ἀπὸ τῶν μορίων ἔνδειξιν μόνην πρόκειται διελθεῖν, οἷον εὐθὺς ἐπὶ τῶν κατὰ τὴν κεφαλὴν, εἰ καὶ μηδὲν ἄλλο, τοῦτο γοῦν ἔνεστιν ἅπαντι νοῆσαι προχείρως, ὅτι πρόκειται τοῦ ἐγκεφάλου πρῶτον μὲν ἡ παχεῖα μῆνιγξ, ἐοικυῖα ταῖς ἐκτὸς ταύταις βύρσαις· ἐπ᾽ αὐτῇ δ᾽ ἐστὶ τὸ κρανίον. ἀναγκαῖον οὖν ἐκλύεσθαι τῶν ἐπιτιθεμένων φαρμάκων τὴν δύναμιν, ἐν τοῖς προβλήμασι πυκνοῖς καὶ σκληροῖς οὖσι· καὶ εἰ μὴ ῥαφαὶ κατὰ τὸ τῆς κεφαλῆς ὀστοῦν ὑπὸ τῆς φύσεως ἐγεγόνεισαν, οὐδὲν ἂν μέγα τῶν φαρμάκων οὐδὲν ἤνυσεν ἔξωθεν ἐπιτιθέμενον. ἐπεὶ δὲ καὶ αἱ ῥαφαὶ, καὶ μάλιστα ἡ στεφανιαία, παρίησιν ἔσω ῥαδίως οὐ τὰς ποιότητας μόνας τῶν ἐπιτιθεμένων φαρμάκων, ἀλλὰ καὶ τὰς οὐσίας, ὅταν γε ᾖ λεπτομερὴς, εἰκότως πολλὰ τῶν κατὰ τὸν ἐγκέφαλον ὠφελεῖται παθῶν ὑπὸ τῆς τῶν ἔξωθεν ἐπιτιθεμένων φαρμάκων δυνάμεως. [315] ἐγὼ γοῦν ἀπ᾽ ἐμαυτοῦ πειραθεὶς οἶδα, καταντληθέντος ῥοδίνῳ ψυχρῷ, ταχίστης τε καὶ σαφεστάτης εἴσω διαδόσεως αἰσθανόμενος ἐν τῷ

eorum quae coindicent omnium; quamvis in fermone aliquando omittatur, faepenumero prius dictum eft. Caeterum in praefenti folam quae a partibus fumpta eft indicationem propofitum eft perfequi, veluti ftatim in iis quae ad caput pertinent, etfi non aliud, faltem illud noffe cuivis eft promptum, objectam nobis ante cerebrum effe craffam membranam, quae coriis iftis externis fit affimilis, poft hanc etiam cranium. Itaque refolvi in denfis obicibus et duris praefidiorum quae imponuntur vim eft neceffe, ac nifi futuras in capitis offe natura ipfa fuiffet molita, nihil aeftimandum effiiceret pharmacum ullum extrinfecus impofitum. Sed quoniam etiam futurae, et in his praecipue coronaria, non folum impofiti medicamenti qualitates, fed etiam fubftantiam, fi tenuis eft, facile intro tranfmittit, merito multa circa cerebrum vitia ab extrinfecus applicatorum remediorum facultate juvantur. Ipfe enim in me ipfo expertus memini, quum infunderetur rofaceum frigidum, citiffime clariffimeque fen-

κατὰ τὸ βρέγμα τόπῳ. καὶ μέντοι καὶ διαφορὰ παμπόλλη τοῖς ἀνθρώποις ὁρᾶται πρὸς ἀλλήλους ἐναργῶς ἐπὶ τῆς ῥαφῆς τῆσδε καὶ πρὸ τῆς ἀνατομῆς. ἐθεασάμεθα γοῦν τινων ἐξυρημένων ἔτι ἐν τῷ μασσᾶσθαι σαφεστάτην κίνησιν τῆς συναρθρώσεως τῶν κατὰ τὴν στεφανιαίαν ῥαφὴν ὀστῶν, ὡς εἶναι πρόδηλον ὅτι χαλαρὰ τοῖς ἀνθρώποις ἐκείνοις ἡ σύνθεσις ἦν τῶν ὀστῶν τῆς κεφαλῆς. εἰκότως οὖν κατὰ τοῦτο μάλιστα τὸ χωρίον ἐπιφέρουσιν ἅπαντες ἰατροὶ τὰς ἐπιβροχὰς τῇ κεφαλῇ, κατὰ διαδοχὴν μὲν ἀπὸ τῶν πρώτως εὑρόντων ἐπὶ τοὔργον ἐρχόμενοι, θεώμενοι δὲ καὶ αὐτοὶ, ὅσοι γε προσέχουσι τὸν νοῦν οὐκ ἀργῶς τοῖς γινομένοις, ὅπως μὲν ἡ ῥαφὴ φαίνηται κινουμένη σαφῶς, ὅπως δ᾽ αἰσθάνωνται κατὰ τοῦτο τὸ μέρος οἱ ἄνθρωποι, τάχιστα θερμαινόμενοί τε καὶ ψυχόμενοι διὰ τῶν ἔξωθεν αὐτοῖς ὁμιλούντων· πρὸς γὰρ αὖ τοῖς ἄλλοις καὶ λεπτότατόν ἐστιν ἐν τούτῳ τῷ μέρει τὸ κρανίον καὶ ἀραιότατον. ὅταν οὖν τινος εἴσω διικνεῖσθαι φαρμάκου τὴν δύναμιν ἰσχυρῶς ἐθελήσῃς, κατὰ τοῦτο μάλιστα τὸ χωρίον ἐπιτίθει. κάλλιον δὲ καὶ μετὰ ἀνατρίψεως αὐτὸ πράτ-

ſiſſe me in ſincipitis loco ejus intro penetrationem. Quin etiam plurima diverſitas ſuturae hujus in hominibus, ſi inter ſe conferantur, etiam ante diſſectionem maniſeſte apparet. Vidimus enim in iis, quibus raſum caput fuerat inter mandendum, commiſſionis oſſium in coronali ſutura maniſeſtum motum ſic ut facile appareret hominibus illis eſſe ejusmodi oſſium capitis compoſitionem. Merito igitur ad hanc maxime partem applicant omnes medici capiti perfuſiones, videlicet accepta quaſi per manus a primis inventoribus ratione ad id opus venientes, ſed et ipſi quicunque non negligenter iis quae fieri aſſolent attendunt, cernentes et quemadmodum ſutura ea liquido moveri appareat et quemadmodum celerrime homines hac parte, ſive ab externo admoto quopiam refrigeretur ſive calefiat, id ſentiant, nam praeter reliqua etiam tenuiſſimum eſt hoc loco cranium et rariſſimum. Ergo quoties medicamenti cujusquam vim vehementer deſcendere voles, hoc maxime loco impones. Commodius etiam fuerit, ſi

τειν, ἀποκείραντα τῶν τριχῶν ἢ ξυρῶντα τελέως· εἰ δ' ὑγρὸν εἴη τὸ προσφερόμενον, ἐξ ὑψηλοτέρου βάλλοντα καὶ οἷον κατακρουνίζοντα· διικνεῖται γὰρ εἴσω μᾶλλον ὑπὸ τῆς βολῆς ὠθούμενον. ὥσπερ δ' ἐνταῦθα τὸ σφοδρότερον τῆς βολῆς συμφέρον ἐστὶν, οὕτως ἐπ' ὀφθαλμῶν ἀλυσιτελές· ἐν κεφαλῇ (183) μὲν γὰρ ὀστοῦν ἐστὶ τὸ πληττόμενον, ἐπὶ ὀφθαλμοῦ δὲ ὑμενώδη τινὰ καὶ ἀσθενῆ σώματα. καὶ κατὰ μὲν τὴν κεφαλὴν ἕτερον μέν ἐστι τὸ πληττόμενον, ἄλλο δὲ τὸ θεραπευόμενον, ὃ τῆς μὲν πληγῆς οὐκ αἰσθάνεται, τῆς δὲ διὰ τὴν βολὴν ἀφικνουμένης εἰς αὐτὸ δυνάμεως ἀπολαύσει· κατὰ δὲ τὸν ὀφθαλμὸν οὐκ ἄλλο μέν τι τὸ πληττόμενον, ἄλλο δὲ τὸ θεραπευόμενόν ἐστιν· ἀλλ' ὅπερ χρὴ θεραπευθῆναι, τοῦτο καὶ πλήττεται σφοδρῶς. ἔτι τε πρὸς τούτοις τὸ μὲν ὀστοῦν τῆς κεφαλῆς ἀναίσθητόν ἐστιν, αἰσθητικώτερον δὲ μόριον ὁ ὀφθαλμός. ἐγχεῖν οὖν αὐτῷ τὰ φάρμακα, πρῶτον μὲν ἐπαίροντας τὸ ἄνω βλέφαρον, ὡς ὅτι μαλακώτατα, δεύτερον δὲ μὴ καταράσσοντας, καθάπερ ἐπὶ τῆς κεφαλῆς. ἐξευρίσκειν δὲ καὶ αὐτὰ τὰ ἐγχεόμενα μετὰ τῶν φαρμάκων ὑγρὰ, φύσεως ἀδηκτο-

et cum infrictione id facias aut tonfis capillis aut etiam plane abrafis, quod fi humidum fit quod applicandum eft, fi id ex alto effundas ac veluti fontis ritu illidas, quippe penitus intro ab ictu magis compellitur. Sicut autem hic vehementior *humoris* jactus conducit, ita in oculis eft contrarius, in capite namque os eft quod feritur, in oculis membranofa quaedam imbecillaque corpora. Et in capite quidem aliud eft quod ictum excepit, aliud quod curatur, quodque ut ictum non fentit, ita facultate, quae ex incuffu ad ipfum pervenit, fruitur; at in oculo non eft quod feritur diverfum ab eo quod curatur, fed idem ipfum quod eft curandum valenter icitur. Ad haec os capitis fenfu caret, oculus acerrimi eft fenfus. Ergo infundere huic medicamenta *oportet*, primum fuperiorem palpebram blandiffime attollentes, mox minime, quemadmodum in capite, incutientes. Inveniendi praeterea humores *mitiffimae* minimeque mordentis naturae, qui cum medicamentis fint infundendi. At mihi quidem magna

τάτης. καί μοι δοκοῦσιν οἱ παλαιοὶ μετὰ πολλῆς περισκέψεως ἐπὶ τὸ τῶν ᾠῶν ὑγρὸν ἀφικέσθαι, τό τε ἀδηκτότατον αὐτοῦ καὶ τὸ γλίσχρον ἑλόμενοι. διὰ μὲν γὰρ τοῦ μηδ᾽ ὅλως δάκνειν ὁ προειρημένος αὐτοῖς ἐπληροῦτο σκοπός· διὰ δὲ τοῦ γλίσχρου συντέλειά τις εἰς ἀνωδυνίαν ἐγίγνετο· λεαίνειν γὰρ πέφυκε τὰ τοιαῦτα τῶν ὑγρῶν ἁπάσας τὰς τραχύτητας, ὅσαι διὰ ῥεῦμα γίγνονται δριμύ. καὶ προσέτι μονιμώτερα τῶν ὑδατωδῶν τε καὶ λεπτῶν ὑγρῶν ἐστι τὰ παχέα μετρίως καὶ γλίσχρα. ὅτι μὲν οὖν τὸ χωρὶς τοῦ δάκνειν γλίσχρον, ὅταν καὶ μετρίως ᾖ θερμὸν, ἀνωδυνώτατόν ἐστιν, ἔμαθες δή που κἀπὶ τῶν κατὰ τὴν γαστέρα δακνωδῶν διαχωρημάτων, ἐφ᾽ ὧν ἐνιέμενον στέαρ εὐθέως πραΰνει τὴν ὀδύνην. ὅτι δὲ καὶ διαμένειν ἄμεινόν ἐστι τὸ τοιοῦτον ὑγρὸν ἐν τῷ πεπονθότι μορίῳ πρόδηλον. ἐπὶ μὲν γὰρ τῶν κατὰ τὴν γαστέρα τὸ κλύζειν συνεχῶς ἀνιαρόν· ἐπὶ δὲ τῶν κατὰ τὸν ὀφθαλμὸν ἀνατείνειν τὸ βλέφαρον. ἥ γε μὴν εὐαισθησία τοῦ μορίου καὶ τὸ λεῖον αἱρεῖσθαι πάντως τὸ μέλλον ἐνίεσθαι καὶ μηδὲν ἐν αὐτῷ ἔχειν τραχὺ καὶ ψαμμῶδες ἐνδείκνυται. διὰ τοῦτ᾽ οὖν

cum conſideratione videntur veteres ad ovi deveniſſe humorem, electo ex eo quod et mordens minime eſſet et glutinoſum. Nam ex eo quod minime mordet modo dictum ſcopum iis complevit, ex lentore autem ad indolentiam nonnihil confertur, quippe lenire ejusmodi humores poſſunt asperitates omnes, quascumque acris fluxio excitat. Accedit quod craſſus mediocriter ac lentus humor conſtantius quam tenuis et aquoſus in loco permanet. Sane quod lentum absque morſu, quum modice incaleat dolorem maxime leniat, id profecto ex mordentibus in alvo dejectionibus didiciſti, in quibus injectum ſevum illico dolorem mitigat. Quod autem permanere quoque in laborante parte ejusmodi humidum expediat manifeſtum eſt. Siquidem in iis quae in ventre accidunt, per clyſterem aſſidue infundere moleſtum eſt, in iis quae in oculis, palpebram attollere. At vero exquiſitus partis ſenſus leve eſſe quod injiciendum nihilque debere in ſe aſperum ſabuloſumve habere omnino indicat. Hinc igitur excogitatum commode eſt, tum humido ovi utendum,

ἐπενοήθη καλῶς ἡ τ' ἐκ τῶν ᾠῶν ὑγρότης καὶ τὸ λελειῶσθαι χρῆναι σφόδρα ἀκριβῶς, ὅσα γε τῶν γεωδῶν σωμάτων ἀναμίγνυται τοῖς ὀφθαλμικοῖς φαρμάκοις. [316] ὅταν γε μὴν ὀδύναι γίγνωνται σφοδραὶ κατ' αὐτοὺς, ἀναμνησθεὶς ὅσα περὶ γενέσεως ἁπασῶν ὀδυνῶν ἔμαθες, ἐπισκέπτου κατὰ τίνα διάθεσιν ἐξ αὐτῶν ὀδυνᾶσθαι συμβαίνει τὸν ὀφθαλμὸν ἐν ταῖς φλεγμοναῖς, ὑπὲρ ὧν νῦν ὁ λόγος ἐστίν. ἤτοι γὰρ ἐπὶ τὸ δάκνεσθαι σφοδρῶς ἐκ τῆς τῶν ἐπιῤῥεόντων δριμύτητος, ἢ διὰ τὸ τείνεσθαι πεπληρωμένους τοὺς χιτῶνας αὐτῶν, ἢ δι' ἔντασίν τινα παχέων ὑγρῶν ἢ πνευμάτων φυσωδῶν, ὀδύναι γίνονται σφοδραὶ κατ' αὐτούς. τὰς μὲν οὖν δήξεις διά τε τῶν καθαιρόντων φαρμάκων ἀντισπῶντας κάτω καὶ κενοῦντας θεραπεύειν προσήκει καὶ αὐτῷ τῷ μορίῳ τοῦ ᾠοῦ τὸ ὑγρὸν ἐγχέοντας, ὅπως ἀλύπως ἐκκλύζηται σὺν αὐτῷ τὸ δριμὺ ῥεῦμα. προπεπεμμένης δὲ τῆς φλεγμονῆς ἤδη καὶ κενοῦ τοῦ σώματος ὄντος, ἐπιτηδειότατα τούτοις ἐστὶ λουτρά· καὶ γὰρ ἀνώδυνοι παραχρῆμα γίνονται καὶ παύεται τὸ ἐπιῤῥέον ὑγρὸν τοῖς ὀφθαλμοῖς, ἐκκριθέντος μὲν τοῦ πλείστου δι' ὅλου τοῦ σώματος ἐν τοῖς λουτροῖς, ἐπικερασθέντος δὲ τοῦ λοι-

tum quae terrea corpora oculariis medicamentis miſcenda ſunt, ea eſſe cum ſumma diligentia ad unguem leviganda. Quoties tamen dolores his accidunt vehementes, repetitis iis quae de omnium dolorum generatione accepiſti disquires quonam ex his affectu dolore oculos in phlegmone, de qua nunc ſermo proponitur, contingat. Nam aut ex vehementi acris confluentis humoris morſu, aut quod eorum tunicae plenitudine diſtendantur, aut propter craſſorum humorum flatuoſive ſpiritus extenſionem vehementes in his excitantur dolores. At morſum quidem tum purgantibus medicamentis et deorſum revellendo et vacuando curare convenit, tum ipſi parti ovi humore infuſo, quo per eum acris fluxio ſine offenſa eluatur. Ubi autem prius concocta jam phlegmone ipſa fuerit et ſimul corpus vacuum, tum lavationes in balneo his ſunt aptiſſimae, nam et dolorem ſtatim ſedant et fluxionem, quae ad oculos fertur, ſiſtunt, maxima quidem ejus parte inter lavandum per totum corpus excreta, reliquo

ποῦ. τὰς δ' ἐπὶ τῇ πληρώσει τάσεις διά τε κενώσεως αἵματος καὶ γαστρὸς ὑπαγωγῆς καὶ τρίψεως τῶν κάτω μορίων ἰᾶσθαι προσήκει· εἰ δ' ἀναγκαζοίμεθά ποτε, καὶ δεσμοῖς τῶν κώλων· ἔπειτα πυριάσεσιν αὐτοῦ τοῦ φλεγμαίνοντος μορίου, δι' ὕδατος ποτίμου θερμοῦ συμμέτρως· τὰς δ' ἐντάσεις προκενώσαντα κἀπὶ τούτων τὸ πᾶν σῶμα καὶ μέντοι καὶ ἀντισπάσαντα κάτω τὴν ῥοπὴν τῶν χυμῶν. ἑξῆς αὐτοῖς τοῖς τοπικοῖς ὀνομαζομένοις βοηθήμασι θεραπεύειν, οὐ τοῖς ἀποκρουομένοις καὶ ἀναστέλλουσι φαρμάκοις χρώμενον, ἀλλὰ τοῖς διαφοροῦσι. πυριατέον οὖν αὐτοὺς, ὡς ἀρτίως εἴρηται, καὶ τὸ τῆς τήλεως ἐγχυτέον ἀφέψημα, προπλύναντας ἐπιμελῶς τὴν τῆλιν, ὅπως μηδὲν αὐτῇ προσιζηκὸς ἤτοι κόνεως ἢ ψάμμου λάθῃ. διαφορητικὸν γὰρ ἀλύπως ἐστὶ τὸ φάρμακον τοῦτο, πάντων μάλιστα τῶν ὀφθαλμοῖς προσφερομένων. μεμνῆσθαι δὲ χρὴ τῶν κοινῶν παραγγελμάτων ἐπὶ πάντων τῶν κατὰ μέρος. ὧν ἓν καὶ τόδ' ἐστὶν, ὡς τὰ διαφορητικὰ φάρμακα πλήθους ὄντος ἐν ὅλῳ σώματι μορίοις τισὶ προσ-

vero diluto. At vero diſtenſionem quae ex repletione provenit partis, miſſione ſanguinis et alvi dejectione et inferarum partium frictione curare conveniet: quod ſi neceſſitas aliquando urgeat, ligandis artubus, mox fomentis ipſi inflammatae parti ex aqua dulci modice calida adhibitis. Atque humiorum vel flatuoſi ſpiritus extenſiones curabimus vacuato prius in his quoque toto corpore, ſed et humorum momento deorſum averſo. Mox localibus nominatis remediis utendum, non tamen medicamentis iis quae repercutiant ac reprimant, imo iis quae diſcutiunt. Fovendi igitur ſunt, ut modo diximus, ac foeni graeci decoctum iis infundendum, ſed lavato prius curioſe foeno graeco, ne quid illi vel pulveris vel ſabuli adhaerens clam lateat. Eſt namque medicamentum hoc maxime omnium quae oculis applicantur ſine offenſa diſcutiens. Meminiſſe vero in omnibus, quae membratim docentur, communium praeceptorum oportet. Quorum unum id eſt, diſcutientia medicamenta, ubi plenitudo in toto corpore ſubeſt, ſi particulis quibusdam applicentur,

φερόμενα πληροῖ μᾶλλον ἢ κενοῖ. ταῦτά τε οὖν καὶ τὰ ἄλλα θεραπεύων νοσήματα καὶ τὰς φλεγμονὰς, ὑπὲρ ὧν νῦν ὁ λόγος ἐστὶ, μηδενὶ θαῤῥήσεις τῶν διαφορητικῶν ὀνομαζομένων βοηθημάτων, πρὶν τῇ τοῦ σώματος ὅλου χρήσασθαι κενώσει. πρόσεχε δὲ κἀκείνῳ τὸν νοῦν ἐπὶ πάντων παθῶν, οὐ μόνον φλεγμονῶν, ὡς ἐνίοτε τὸ μὲν ὅλον σῶμα μετρίως διάκειται κατά τε ποιότητα καὶ συμμετρίαν χυμῶν· ἓν δέ τι τῶν ὑπερκειμένων ἢ δύο τῷ κάμνοντι μορίῳ τὴν ἑαυτοῦ περιουσίαν ἐκπέμπει· καθάπερ ἀμέλει κἀπὶ τῶν ὀφθαλμῶν οὐ σπανιάκις, ἀλλὰ καὶ πάνυ πολλάκις ἰδεῖν ἐστι γιγνόμενον, ἐπιπεμπούσης αὐτοῖς τῆς κεφαλῆς τὸ ῥεῦμα. πρόδηλον οὖν, οἶμαι, κἀπὶ τούτων ἐστὶν ὡς χρὴ τὴν κεφαλὴν ἰάσασθαι προτέραν, εὑρόντα τὴν διάθεσιν αὐτῆς, ᾗ τῶν περιττωμάτων ἡ γένεσις ἕπεται. καὶ τά γε χρονίζοντα τῶν ὀφθαλμῶν ῥεύματα θεραπεύομεν ἀφιστάμενοι μὲν αὐτῶν τῶν ὀφθαλμῶν, ἐπὶ δὲ τὴν τῆς κεφαλῆς ἀφικνούμενοι πρόνοιαν· ἐκ μὲν τοῦ γένους τῶν δυσκρασιῶν οὖσαν, ἐνδεικνυμένην δὲ θεραπείαν ἐναντίαν ἑαυτῇ, καθὸ δέδεικται πρόσθεν. ὡς τὰ πολλὰ μὲν οὖν ἤτοι ψυχρὰ δυσκρασία γίγνεται βλαβερὰ κατὰ τὴν κε-

implere potius quam vacuare. Ergo tum reliquos morbos tum vero phlegmonas, de quibus agimus, ficubi curas, nullo discutiente auxilio prius fidenter uteris quam totum corpus vacuaveris. Illud quoque attendas in omni affectu, nedum phlegmone oportet, aliquando totum corpus mediocri habitu esse in humorum tum qualitate tum symmetria, unam autem aliquam aut duas earum quae suprapositae sunt partium redundantiam suam ad aegram transmittere, veluti non raro, sed plane saepenumero accidere in oculis videre licet, capite his fluxionem mittente. Manifestum igitur, arbitror, in iis quoque esse ipsum prius caput sanandum esse explorato ejus affectu, quem superfluorum generatio comitatur. Et diuturnas quidem oculorum fluxiones curamus oculis ipsis dimissis, atque ad capitis procurationem conversi, cujus vitium si ex genere intemperiei sit, curationem ex sibi contrariis, sicut prius monstratum est, adhibendam indicat. Plurimum igitur vel frigida intemperies caput vitiat vel hu-

φαλὴν ἢ ὑγρά· καὶ δῆλον ὅτι καὶ ἀμφότεραι συνέρχονται. σπανιώτεραι δέ εἰσιν αἱ διὰ θερμότητα δριμὺ ῥεῦμα τοῖς ὀφθαλμοῖς ἐπιπέμπουσαι, καθ' ἃς οὐ προσήκει τοῖς διὰ θαψίας καὶ τοῦ νάπυος χρῆσθαι φαρμάκοις, ἀλλὰ τοὐναντίον ἅπαν, [317] ἐλαίῳ μὲν ὀμφακίνῳ τε καὶ Ἱσπανῷ καὶ ῥοδίνῳ, λουτροῖς δὲ ποτίμων ὑδάτων πλείοσιν. ἐνίοτε μὲν οὖν ὁ ἐγκέφαλος ἐπιπέμπει τὸ ῥεῦμα· καὶ χρὴ τούτου μὲν τὴν κρᾶσιν ἐπανορθοῦσθαι τοῖς ὅλης τῆς κεφαλῆς ἐπιθέμασιν. ἐνίοτε δὲ τῶν ἀγγείων ἐστὶ τὸ πάθος ἤτοι τῶν φλεβῶν ἢ τῶν ἀρτηριῶν ἀτονωτέρων ὑπαρχουσῶν, ὡς δέχεσθαι τὴν τῶν ἄλλων ἀγγείων περιουσίαν. ἡνίκα ἐκτέμνοντές τι μέρος αὐτῶν ἢ καὶ διατέμνοντες ὅλα μέχρι πολλοῦ βάθους, διαλαμβάνομεν οὐλῇ σκληρᾷ τὰ μεταξὺ διορίζοντες μόρια τοῦ τμηθέντος, ὡς μηκέτ' εἶναι συνεχῆ, μηδ' ἐπιῤῥεῖν ἐκ τοῦ ἑτέρου πρὸς τὸ ἕτερον. ἀλλ' ὅταν γε τῶν ἐν τῷ βάθει κειμένων ἀγγείων τῶν ἄνωθεν ἡκόντων ἅμα τοῖς νεύροις ἐπὶ τοὺς ὀφθαλμοὺς ᾖ τὸ πάθημα, τούτων οὐδὲν οἷόν τ' ἐστὶ πρᾶξαι· διὸ καὶ δυσίατα πάντα τὰ τοιαῦτα ῥεύματα γίγνεται. τὰ δ' ἔξωθεν ἀγγεῖα

mida, nec dubium est, quin etiam ambae congrediantur. Rariores sunt, quae propter calorem acrem oculis fluxionem immittunt, in quibus haud expedit iis quae ex thapsia et sinapi fiunt medicamentis uti, imo contrariis omnino, oleo crudo et Hispano et rosaceo, tum frequenti ex aqua dulci in balneo lavatione. Atque aliquando cerebrum ipsum fluxionem transmittit, debetque hujus intemperies totius capitis epithematis corrigi. Aliquando vasorum ipsorum vitium est, quum venae vel arteriae imbecilliores sunt sic, ut aliorum vasorum supervacua recipiant. Quo casu aliqua earum parte excisa aut etiam totis bene alte praecisis, dura cicatrice quod interest intercipimus, quo disjunctae incisae vasis partes continuae praeterea non sint, nec ex altera in alteram confluere aliquid possit. Caeterum quum eorum vasorum quae in profundo sunt recondita ac e superiore ad oculos una cum nervis perveniunt vitium est, nihil horum agi licet, proinde aegre curabiles omnes ejusmodi fluxiones sunt. Quae vero extrinsecus posita vasa sunt, ea vel sine

καὶ χωρὶς χειρουργίας ἔνεστι ῥῶσαι, φαρμάκοις καταχρίοντα τονωτικοῖς. ἐνίοτε δὲ καὶ θερμὸν αἷμα καὶ ἀτμῶν μεστὸν ἐπὶ τὴν κεφαλὴν ἀναφέρεται καὶ πληθύει μάλιστα κατὰ τὰς ἀρτηρίας. ἐφ᾽ οὗ χρησιμώτατον (184) εὕρηται βοήθημα τοῖς ἰατροῖς ἡ ἀρτηριοτομία. χρὴ δὲ ξυροῦντα τὴν κεφαλὴν ἐπιμελῶς ἅπτεσθαι τῶν τ᾽ ὀπίσω καὶ καθ᾽ ἑκάτερον οὖς ἀρτηριῶν καὶ τῶν ἐν τῷ μετώπῳ τε καὶ τοὺς κροτάφους. ὅσοι δ᾽ αὐτῶν θερμότεραί σοι φαίνονται τῶν ἄλλων εἶναι καὶ μᾶλλον σφύζειν, ἐκείνας τέμνειν· ὅσαι δὲ μικραί τέ εἰσι καὶ ὑπὸ τῷ δέρματι, κἂν μέρος αὐτῶν ἐκτέμνῃς, ὥσπερ ἐν τοῖς σκέλεσιν ἐπὶ τῶν κιρσῶν εἰώθαμεν πράττειν, ἄμεινον ἐργάσῃ. καὶ τῶν καθ᾽ ἡμᾶς γέ τις ὀφθαλμικῶν οὐχ ὁ φαυλότατος ἐξέκοπτε τῶν ἐποχουμένων τοῖς κροταφίταις μυσὶν ἀρτηριῶν οὐκ ὀλιγίστην μοῖραν. ὡς τὰ πολλὰ μὲν οὖν ἀνασπᾶται τῆς ἐκτμηθείσης ἀρτηρίας τὰ καταλειπόμενα μόρια πρὸς τὸ συνεχὲς ἀμφοτέρων, καὶ μᾶλλον γίνεται τοῦτο ἐπί τε τῶν μικρῶν ἀγγείων καὶ ἧττον σφυζόντων. εἰ δ᾽ ἐν τῷ γυμνοῦν φαίνοιτό

chirurgia roborare licet, illitis medicamentis, quae robur inferant. Eft et quando calidus fanguis ac vaporum plenus ad caput afcendit, ac maxime in arteriis redundat. Cui vitio excogitatum faluberrimum remedium medicis eft, arteriae fectio. Oportet autem derafo capite curiofe tangere tum quae retro tum quae fecundum utramque aurem funt arterias, praeterea quae in fronte et quae in temporibus funt. Quarum quae calidiores aliis tibi apparebunt ac majorem exhibentes pulfum, hae funt incidendae, quaecumque vero et parvae et prope cutem refident, harum vel fi partem aliquam excideris, uti facere in crurum varicibus folemus, aptius erit. Noftroque tempore quidam ex oculariis *medicis* non minimus ex arteriis, quae in temporum fummis musculis refident, non exiguam excidit partem. Ac fere quidem, quum excifa eft arteria, reliquae ejus partes ad fibi continuas retrahuntur, evenitque id magis in iis arteriis, quae tum minores funt tum minorem exhibent pulfum. Quod fi inter nudandum appareat tibi vas magnum, aut

σοι μέγα τὸ ἀγγεῖον ἢ μεγάλως σφύζοι, ἀσφαλέστερον αὐτῷ βρόχον περιβάλλοντα πρότερον, οὕτως ἐκκόπτειν τὸ μεταξύ. γιγνέσθωσαν δ᾽ οἱ τοιοῦτοι τῶν βρόχων ἐξ ὕλης δυσσήπτου· τοιαύτη δ᾽ ἐστὶν ἐν Ῥώμῃ μὲν ἡ τῶν Γαϊεταρῶν ὀνομαζομένων, ἐκ μὲν τῆς τῶν Κελτῶν χώρας κομιζομένων, πιπρασκομένων δὲ μάλιστα κατὰ τὴν ἱερὰν ὁδὸν, ἥτις ἐκ τοῦ τῆς Ῥώμης ἱεροῦ κατάγει πρὸς τὰς ἀγοράς. τούτων μὲν οὖν ἐν Ῥώμῃ ῥᾷστον εὐπορῆσαι· καὶ γὰρ εὐωνότατα πιπράσκεται. κατ᾽ ἄλλην δὲ πόλιν ἰατρεύοντί σοι παρασκευάσθω τῶν νημάτων τι τῶν σηρικῶν ὀνομαζομένων. ἔχουσι γὰρ αἱ πλούσιαι γυναῖκες αὐτὰ πολλαχόθι τῆς ὑπὸ Ῥωμαίων ἀρχῆς, καὶ μάλιστα ἐν μεγάλαις πολέσιν, ἐν αἷς εἰσι πολλαὶ τῶν τοιούτων γυναικῶν. εἰ δὲ μὴ παρείη τοῦτο, τῶν κατ᾽ ἐκείνην τὴν χώραν ἐν ἧπερ ἂν ὢν τυγχάνῃς ἐκλέγου τὴν ἀσηπτοτέραν ὕλην, οἵα πέρ ἐστιν ἡ τῶν ἰσχνῶν χορδῶν· αἱ μὲν γὰρ εὔσηπτοι ταχέως ἀποπίπτουσι τῶν ἀγγείων. ἡμεῖς δὲ βουλόμεθα περισαρκωθέντων αὐτῶν ἀποπίπτειν τὸν βρόχον. ἡ γὰρ ἐπιτρεφομένη τοῖς ἀποτετμημένοις μέρεσι τῶν ἀγγείων σὰρξ

magnum exhibere pulſum tutius fuerit vinculo id prius excipere, mox quod in medio eſt praecidere. Sunto autem ejusmodi vincula ex materia aliqua aegre putreſcibili, talis autem Romae eſt ea quae vocatorum Gajetanorum eſt, ipſa ex Gallis advecta, vendita vero maxime in ſacra via, quae a templo Romae ad plateas deducit. Ac horum quidem Romae facilis eſt copia, viliſſime enim venduntur. At ſi in alia urbe artem exerceas, comparetur filum aliquod ex iis quae ſerica nuncupantur. Habent enim ea divites mulieres in multis ſub ditione Romanorum locis, potiſſimum in magnis urbibus, in quibus multae ſunt mulieres id genus. Sin hujus facultas non ſit, ex iis quae inveniuntur in regione quam incolis deligito materiam minus putreſcibilem, cujusmodi eſt gracilium chordarum, nam quae facile putreſcunt, eae cito a vaſis decidunt. Nos vero, poſtquam undique ſunt carne impleta, decidere vincula volumus. Quae namque caro in abſciſis vaſorum partibus coaleſcit, ea pro operculo eſt ac

ἐπίθεμα γίγνεται καὶ μύει τὸ στόμιον αὐτῶν. ἐπειδὰν δὲ φθάσῃ γενέσθαι, καιρὸς ἤδη τοῖς βρόχοις ἀκινδύνως ἀποῤῥυῆναι. τὰς μέντοι φλέβας, ὅτ' ἄν ποτε ἐκτέμνῃς τι μόριον αὐτῶν, οὐκ ἀναγκαῖον οὕτως ἀσήπτοις ὕλαις διαδεῖν, ἀλλ' ἀρκεῖ καὶ τῶν ἄλλων τις. ἐπὶ μὲν γὰρ τῶν ἀρτηριῶν ἡ διηνεκὴς κίνησις ἀνοίγνυσι τὰ στόματα τῶν τετμημένων ἀγγείων· ἐπὶ δὲ τῶν φλεβῶν, ὅταν ἅπαξ μύσῃ καθ' ὁντιναοῦν τρόπον ἤτοι πιληθέντα δι' ἐπιδέσεως [318] ἢ στυφθέντα διὰ φαρμάκων, ἐπιτρέπει τῇ πέριξ σαρκὶ περιφύεσθαι, καὶ μάλισθ' ὅταν ἀκίνητον ἔχῃ τὸ μέρος ὁ χειρουργηθεὶς ἄνθρωπος, ἔτι δὲ μᾶλλον, ἐὰν καὶ ἀνάῤῥοπον ἔχῃ ἐπὶ κενῷ τῷ σύμπαντι σώματι. καὶ γάρ τοι καὶ τοὺς κιρσοὺς οὕτω θεραπεύομεν. ὀνομάζεται δὲ κιρσὸς ἡ ἀνευρυσμένη φλέψ. ἀνευρύνεται δ' ἐν ὄρχεσί τε καὶ σκέλεσι τοὐπίπαν. ἐπεὶ δὲ γραφομένων ἔτι τῶνδε τῶν ὑπομνημάτων ἠξίωσαν οὐκ ὀλίγοι τῶν ἑταίρων ἐπὶ τῇ τελευτῇ τῆς ὅλης πραγματείας ἁπάντων ἐφεξῆς με τῶν κατὰ χειρουργίαν μνημονεῦσαι, διὰ τοῦτο καὶ νῦν ὁ περὶ τῶν κιρσῶν ἀναβεβλήσθω λόγος. ὄντων δ' οὐκ ὀλίγων κατὰ

osculum eorum claudit. Postea vero quam id factum cernitur, decidere jam vincula secure possunt. At vero quum venarum partem aliquam excideris, non est opus eas tam imputrescibili materia deliges, sed suffecerit alia quaepiam. Siquidem in arteriis perpetuus motus insecti vasis ora resolvit, in venis autem postea quam semel sunt utcunque clausae, sive per deligaturam constrictae sive per medicamentum adstrictae, permittunt circumpositam carnem circa coalescere, potissimum si qui curatur homo immotam partem servet, magisque etiam si toto corpore vacuato ipsam attollat. Quippe etiam varices ita curamus. Vocatur autem varix vena dilatata. Porro dilatatur in testiculis et cruribus omnino. Sed quoniam, cum hos adhuc scriberem commentarios, non pauci amicorum rogarunt, ut in fine totius operis omnia, quae ad chirurgiam pertinent deinceps memorem, idcirco tractatio de varicibus nunc differatur. Quum vero non pauci specialim sint oculorum morbi qui magis specia-

Ed. Chart. X. [318.] Ed. Baf. IV. (184.)

μέρος ἐν ὀφθαλμοῖς παθῶν εἰδικωτέρας θεραπείας δεομένων, οὐδ᾽ ὑπὲρ ἐκείνων ἔτι λέγειν ἐνταυθοῖ προσήκει. τῷ μὲν γὰρ ἐπιμελῶς ἀνεγνωκότι τὰ πρόσθεν εἰρημένα καὶ φύσει συνετῷ ῥᾴδιόν ἐστι κατὰ τὴν ἀκολουθίαν ἐξευρίσκειν ἅπαντα· τοῖς δὲ μὴ τοιούτοις ἄμεινον ἰδίᾳ γράψαι θεραπευτικὴν πραγματείαν ἁπάντων τῶν ἐν ὀφθαλμοῖς παθῶν, ἐπεὶ καὶ πολλοὶ τῶν ἑταίρων οὕτως ἀξιοῦσιν.

lem curationem defiderent, ne de his quidem hoc loco pluribus eft agendum. Nam qui curiofe praedicta legerit et naturali prudentia fuerit, huic omnia invenire eorum ratione fequenti nullo negotio licebit. Qui autem tales non funt, iis fatius fuerit omnium vitiorum, quae oculis incidunt, curandi rationem privatim fcribere, maxime quum amicorum non pauci ita poftulent.

# ΓΑΛΗΝΟΥ ΘΕΡΑΠΕΥΤΙΚΗΣ ΜΕΘΟΔΟΥ ΒΙΒΛΙΟΝ Ξ.

Ed. Chart. X. [318.] Ed. Baf. IV. (184.)

Κεφ. α'. Περὶ μὲν τῶν παρὰ φύσιν ὄγκων ὁπόσοι μέν εἰσι καὶ ὁποῖοι γέγραπται πρόσθεν ἰδίᾳ καθ' ἓν βιβλίον. ὡς δ' ἄν τις αὐτοὺς θεραπεύοι μεθόδῳ, τῆς προκειμένης πραγματείας ἴδιον ὄν, ἐν τῷ τρισκαιδεκάτῳ τῶνδε τῶν ὑπομνημάτων ἠρξάμεθα λέγειν. ἐπεὶ δ' ἐν τοῖς ἔμπροσθεν ὑπὲρ ἁπάντων πυρετῶν ὁ λόγος ἐγεγόνει, βέλτιον ἔδοξέ μοι περὶ πρώτης φλεγμονῆς διελθεῖν ὡς ἂν συνεχέστατά τε γινομένης καὶ πυρετοὺς ἐπιφερούσης πολλάκις. εἴρηται μὲν οὖν τι κἀν τῇ τῶν πυρετῶν θεραπείᾳ περὶ τῆς φλεγμονῆς ἅμα ταῖς

# GALENI METHODI MEDENDI LIBER XIV.

Cap. I. De tumoribus praeter naturam quot numero, qualesque fint, fcriptum uno volumine feorfum prius eft. Ut autem quisquam ipfos methodo curet, quod propofiti operis proprium eft, in horum commentariorum tertiodecimo praecipere coepimus. Et quoniam in fuperioribus de omni febrium ratione fermo erat habitus, aptius mihi vifum eft de phlegmone primum differere, ut quae et frequentisfime incideret et febres faepe accenderet. Ac dictum quidem nonnihil fuerat in febrium curatione inter caeteras earum

ἄλλαις αὐτῶν αἰτίαις· ἀλλ᾽ ὁ τέλειός τε καὶ ἴδιος αὐτῆς λόγος ἐν τῷ πρὸ τούτου βιβλίῳ γέγραπται, τὴν μέθοδον τῆς θεραπείας ὁποία τίς ἐστι διερχομένων ἡμῶν, [319] οὐ τὴν τῶν βοηθημάτων ὕλην, ὅ τι μὴ παραδείγματος ἕνεκεν, ὡς κἀπὶ τῶν ἔμπροσθεν ἐποιήσαμεν. οὐ πόῤῥω δὲ τῆς φλεγμονῆς ἕτερον νόσημά ἐστιν ἐρυσίπελας ὀνομαζόμενον, ἐπὶ χολώδει χυμῷ συνιστάμενον, ὡς ἐδείχθη. βέλτιον δ᾽ ἴσως αὐτὸ μακροτέρῳ λόγῳ διορίσαι τῆς φλεγμονῆς. κοινὰ μὲν οὖν ἀμφοῖν ὅ τε παρὰ φύσιν ὄγκος ἐστὶ καὶ ἡ θερμασία, διαφέρει δὲ πρῶτα μὲν καὶ μάλιστα τῇ χροιᾷ. ἐρυθρᾶς μὲν γὰρ οὔσης αὐτῆς φλεγμονὴν τὸ πάθος ὀνομάζουσιν, ὠχρᾶς δ᾽ ἢ ξανθῆς ἢ ὥσπερ ἐξ ὠχροῦ καὶ ξανθοῦ χρώματος μικτῆς, ἐρυσίπελας. ἀτὰρ οὖν καὶ ὁ σφυγμὸς ἴδιον σύμπτωμά ἐστι τῆς μεγάλης φλεγμονῆς· καὶ γὰρ καὶ διὰ βάθους γίνεται μᾶλλον, ὥσπερ γε ἐρυσίπελας ἐν τῷ δέρματι μᾶλλον ἢ ἐν τῷ βάθει. λεπτὸς γὰρ κατὰ τὴν σύστασιν ὁ τῆς ὠχρᾶς χολῆς χυμὸς, ὥστε διαῤῥεῖ ῥᾳδίως ἐπὶ τὸ δέρμα, τὰ σαρκώδη καὶ ἀραιὰ μόρια διερχόμε-

caufas etiam de phlegmone, verum abfolutus fermo et qui proprie illi debebatur, in libro qui hunc praecedit eft traditus, in quo methodum curandae ejus qualisnam effe conveniat tradidimus: nequaquam tamen auxiliorum materiam, nisi tantum exempli gratia, ficut in fuperioribus fecimus. Haud longe vero a phlegmone abeft et alius morbus, quem eryfipelas vocant. Id, uti monftratum eft, ex biliofo humore nafcitur. Sed praeftiterit fortaffis ipfum pluribus verbis a phlegmone diftinguere. Ergo communia amborum funt tum tumor, qui praeter naturam fit, tum vero calor. Diffident primum et maxime colore. Quum enim is ruber fit, phlegmonen affectum appellant, quum pallidus flavusve vel ut ex pallido flavoque colore mixtus, eryfipelas. Praeterea pulfatio magnae phlegmones proprium eft fymptoma, quippe quae alte magis *in corpus* demittitur, eryfipelas vero in cute potius confiftit quam alte *defcendat*. Tenuis namque fubftantiae eft calidae bilis humor: itaque facile ad ipfam cutim transfluit, carnofis rarisque corporibus transmiffis. Cu-

νος. ἡ δὲ τοῦ δέρματος πυκνότης οὐκέθ' ὁμοίως εὔπορος τῇδε τῇ χολῇ, πλὴν εἰ πάνυ λεπτὴ καὶ ὑδατώδης εἴη, τοιαύτη γὰρ μάλιστα καὶ ἡ καθ' ἑκάστην ἡμέραν ἐστὶ συναπερχομένη τοῖς ἱδρῶσι. καὶ πολλῶν ὄψει κατὰ τὰ βαλανεῖα ταῖς στλεγγίσιν ἀποξεόντων τὸν ἱδρῶτα τοιοῦτον τὴν χρόαν, οἷόν περ καὶ τὸ οὖρόν ἐστι τοῖς ἐπὶ πλέον ἀσιτήσασιν. οἶσθα γὰρ ὡς χρονιζόντων ἡμῶν ἐν ταῖς ἀσιτίαις ὠχρότερον ἐξ ὑδατώδους γίγνεται τὸ οὖρον· ὕστερον δέ ποτε καὶ ξανθὸν, εἰ μὴ φθάσειέ τις ἐπιτέγξαι τὸν αὐχμὸν τοῦ σώματος, ὑγραινούσῃ τε τροφῇ καὶ ποτῷ. κατὰ φύσιν μὲν οὖν διοικουμένου τοῦ σώματος ὁ πικρόχολος χυμὸς ἀδήλως διαπνεῖται· παρὰ φύσιν δὲ κατ' ἄλλα τε πάθη πλεονάζων φαίνεται, περὶ ὧν αὖθις εἰρήσεται, καὶ μέντοι κατὰ τουτὶ τὸ νῦν ἡμῖν προκείμενον, ὃ καλοῦσιν ἐρυσίπελας. ὅταν γὰρ ἤτοι πολὺ πλέον τοῦ κατὰ φύσιν ἢ παχύτερος γενόμενος ἀθρόως ἐνεχθῇ πρὸς τὸ δέρμα, διακαίει τε τοῦτο καὶ εἰς ὄγκον αἴρει.

Κεφ. β'. Κρεῖττον δ' ἐστὶν, ὥσπερ ἀεὶ λέγομέν τε καὶ πράττομεν, οὕτω καὶ νῦν ἡμᾶς ἀπὸ τῶν πραγμάτων,

tis vero denfitas non aeque eft huic bili pervia, nifi admodum tenuis aquofaque fit, talis namque maxime eft etiam quae quotidie cum fudore exit. Licetque multorum, qui in balneis fudorem fibi ftrigilibus detergunt, hunc ejus videre coloris, cujus lotium eft iis qui diutius cibo abftinuerunt. Neque enim ignoras eorum qui inediam diu tolerant pallidius ex aquofo lotium reddi, mox vero etiam flavum, nifi quos prius humectante nutrimento potioneque fquallorem corporis irroret. Ac corpore quidem pro naturae modo gubernato amarae bilis humor abdite exhalat, praeter naturam vero fe habente, tum aliis, de quibus poft agetur, affectibus redundat, tum vero eo de quo nunc agitur, quod eryfipelas vocant. Quum enim vel longe copiofior vel craffior quam pro naturae modo redditus, univerfus ad cutem compulfus fuerit, eam tum perurit tum in tumorem attollit.

Cap. II. Sed fatius eft, ut femper et dicimus et facimus, ita nunc quoque nos a rebus, non a nominibus initium

(185) οὐ τῶν ὀνομάτων ἄρξασθαι, δευτέραν ἀμείνω τῆς πρόσθεν ἀρχῆς τῷ λόγῳ τήνδε θεμένους. ὅταν αἵματος πολλοῦ κατασκήψαντος εἴς τι μόριον, ὡς μὴ στέγεσθαι πρὸς τῶν ἀγγείων τῶν κατ᾽ αὐτὸ, διεκπίπτῃ τι δροσοειδῶς ἐκ τῶν ἀγγείων εἰς τὰς τῶν μυῶν χώρας, ἃς ἔχουσι μεταξὺ τῶν συντιθέντων αὐτοὺς ὁμοιομερῶν σωμάτων, ὄγκος μὲν γίγνεται διὰ τὸ πλῆθος· ἕπεται δὲ αὐτῷ τάσις μὲν τοῦ δέρματος, ὀδύνη δ᾽ ἐν τῷ βάθει καὶ πόνος μετὰ σφυγμοῦ καὶ ἁπτομένοις ἀντιτυπία τις, ἔρευθός τε καὶ θερμότης, ὡς ἂν καὶ τοῦ δέρματος ἀπολαύοντος ὧν πάσχουσιν αἱ ὑπ᾽ αὐτὸ σάρκες. ἀνάλογόν τε τοῖς νῦν εἰρημένοις καὶ περὶ τὰ σπλάγχνα γίνεται διάθεσις. ἔστι γὰρ δὴ κᾀν τούτοις ἰδία σὰρξ, ἣν ἔνιοι παρέγχυμα προσαγορεύουσιν, εἰς ἣν ἀτμοειδῶς ἐκ τῶν πεπληρωμένων ἀγγείων ἐκκρινόμενον τὸ αἷμα τὰ προειρημένα συμπτώματα ἐργάσεται. μία μὲν οὖν ἥδε διάθεσις αἱματώδους ἔκγονος ῥεύματος ἐν σαρκοειδέσι σώμασι μάλιστα γινομένη. δευτέρα δ᾽ ἑτέρα χολώδους περὶ τὸ δέρμα συνισταμένη μάλιστα τό τ᾽ ἐκτὸς τοῦτο, τὸ κοινὸν ἁπάντων σκέπασμα τῶν μορίων,

faciamus, alterumque principium priore fcilicet commodius ejusmodi fermoni demus. Quum fanguis copiofus in aliquam partem procubuit fic ut ab ejus partis vafis nequeat contineri, exilitque aliquid inftar roris ex ipfis vafis in ea mufculorum fpatia, quae fimilaribus corporibus ex quibus componuntur interveniunt, utique tumor ex plenitudine oritur, cui fuccedit cutis tenfio et in alto dolor et cum pulfatione labor et tangenti renixus quidam et rubor et calor, ipfa nimirum cute ea, quae fubjecta fibi caro patitur, fentiente. Similis jam dicto et in vifceribus affectibus oritur. Eft enim his quoque fua quaedam caro, quam aliqui parenchyma vocant, in quam fanguis ex repletis vafis halitus fpecie exudans jam praedicta fymptomata efficit. Atque hic unus affectus eft fanguineae fluxionis foboles in carnofa corpora maxime incidens. Secundus alter biliofae fluxionis germen eft ac circa cutim maxime confiftens tum hanc externam, quae omnium partium commune eft tegumentum, tum mem-

καὶ τὸ καθ' ἕκαστον τῶν ἐντὸς περιτεταμένων ὑμενῶδές τε καὶ λεπτόν. ὥσπερ οὖν ἡ προτέρα συνεπιλαμβάνει τι καὶ τοῦ δέρματος, οὕτω καὶ ἥδε τῆς ὑποκειμένης αὐτῷ σαρκός. [320] εἰ δὲ καὶ παχύτερος ὁ χυμὸς εἴη καὶ δριμύτερος, ἀποδέρει τὴν ἐπιδερμίδα καί ποτ' ἐν τῷ χρόνῳ πρὸς τὸ βάθος ἐξικνεῖται τοῦ δέρματος ἡ ἕλκωσις. αὕτη μὲν οὖν ἡ διάθεσις ἐρυσίπελας ὀνομαζέσθω, διττὴν δὲ ἔχον, ὡς εἴρηται, διαφορὰν, ἤτοι χωρὶς ἑλκώσεως, ἢ σὺν ταύτῃ γιγνόμενον. ἡ προτέρα δὲ μονοειδής ἐστι καὶ καλείσθω φλεγμονή. ὅταν οὖν μήτε ἀκριβῶς ᾖ χολῶδες τὸ ῥεῦμα μήθ' αἱματῶδες, ἀλλ' ἐξ ἀμφοῖν μικτὸν, ἀπὸ μὲν τοῦ κρατοῦντος ἐν τῇ μίξει τοὔνομα αὐτῷ τιθέσθω, κατηγορείσθω δὲ τοῦτο τὸ κρατούμενον, ὡς ἤτοι φλεγμονὴν ἐρυσιπελατώδη καλεῖν ἡμᾶς ἢ ἐρυσίπελας φλεγμονῶδες. εἰ δὲ μηδέτερον ἐπικρατοίη, μέσον ἐρυσιπέλατός τε καὶ φλεγμονῆς ὀνομαζέσθω τὸ πάθος.

Κεφ. γ'. Ἡ δὲ τῆς θεραπείας μέθοδος ὡς ἐπὶ τῶν ἄλλων συνθέτων, οὕτω καὶ νῦν γιγνέσθω τὴν ἀρχὴν ἀπὸ

branofam et tenuem, quae fingulis internarum eft circumdata. Ergo ficuti prior affectus etiam cutis aliquid apprehendit, ita hic quoque aliquid fubjectae fibi carnis occupat. Quod fi craffior humor acriorque fit, fummam cuticulam excoriat, fpatioque temporis ad profundum aliquando cutis exulceratio pervenit. Atque hic quidem affectus eryfipelas nuncupetur, duplicem, ut jam dictum eft, habens differentiam, quod vel absque exulceratione vel una cum hac incidat. Prior autem affectus unius rationis eft, voceturque phlegmone. Quum ergo nec plane biliofa nec fanguinea fluxio eft, fed ex ambabus mixta, utique ab eo quod in mixtura exfuperat nomen ipfi indatur, ac dicatur de eo id quod exfuperat, fic ut vel phlegmonen eryfipelatofam id vocemus vel eryfipelas phlegmonofum. Ubi autem neutrum vincit, ibi vitium phlegmones eryfipelatosque medium nominetur.

Cap. III. Curationis vero methodus ut in aliis compofitis, ita et nunc tradatur, initio a fimplicibus fumpto. Er-

Ed. Chart. X. [320.] Ed. Baf. IV. (185.)

τῶν ἁπλῶν ποιησαμένοις. κοινὸς μὲν οὖν σκοπὸς ἅπασι τοῖς οὕτω παρὰ φύσιν ὄγκοις ἡ κένωσις. οὕτω δ᾽ εἶπον ἀναμιμνήσκων τοῦ πλήθους τῶν ἐργαζομένων αὐτοὺς χυμῶν. εἰ γάρ τις τούτους κενώσειε, τὴν κατὰ φύσιν ἕξιν ἀναλήψεται τὸ μόριον. ἀλλὰ καὶ ἡ κένωσις ὁμοίως ἅπασι διττὴ, μία μὲν οὖν ἀπωθουμένων ἡμῶν αὐτοὺς εἰς ἕτερα μόρια, δευτέρα δὲ διαφορούντων ἔξω κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοήν. ἐπεὶ δ᾽ οὐ τῷ ποσῷ μόνον ἀνιᾷ τὸ ἐρυσίπελας, ἀλλὰ καὶ τῷ ποιῷ, σφοδρὰν ἔχον τὴν φλόγωσιν, ἐμψύξεως δεήσεται περιττοτέρας ἢ κατὰ τὴν φλεγμονήν. οὐ μὴν ἀκίνδυνός γε ἡ τοιαύτη θεραπεία τῷ παντὶ σώματι, διὰ τὸ φέρεσθαι τὴν χολὴν ἐνίοτε πρός τι τῶν ἐπικαίρων μορίων, ὅπου γε οὐδ᾽ ὅταν αἷμα ψύχηται πλεονάζον, ἀκίνδυνον ἐκ τῶν ἀκύρων μερῶν ἀπωθεῖσθαι τὸ ῥεῦμα. καθάπερ οὖν ἐπ᾽ ἐκείνου μετὰ τῆς τοῦ παντὸς σώματος κενώσεως τοῖς ἀποκρουστικοῖς ὀνομαζομένοις ἐχρώμεθα βοηθήμασιν, οὕτω καὶ νῦν πράξομεν· ἀντὶ μὲν φλεβοτομίας χολαγωγῷ φαρμάκῳ καθαίροντες, αὐτὸ δὲ τὸ πεπονθὸς μέρος ἐμψύχοντες. ὅρος δ᾽ ἔστω τοῦ ψύχειν ἡ

go omnibus qui fic praeter naturam confiftunt tumoribus communis fcopus vacuatio eft. Adjeci vero illud fic, admonens te multitudinis humorum qui eos excitent. Nam fi quis eos vacuet, naturalem habitum pars recipiet. At et vacuatio pari modo in omnibus duplex eft, una repellentium ad alias partes, altera foras difcutientium per eum qui fenfum fugiat halitum. At quoniam eryfipelas non quantitate modo affligit, fed etiam qualitate ipfa ex vehementi inflammatione cruciat, ampliorem refrigerationem quam phlegmone requirit. Nec tamen non periculofa toti corpori eft ejusmodi curatio, propterea quod bilis interdum ad aliquam principem partem fertur, quippe quum fi vel fanguis ipfe abundet, haud tutum fit ex ignobilibus partibus fluxionem ejus repellere. Tanquam igitur in illa poft totius corporis vacuationem repellentibus vocatis auxiliis ufi fumus, ita nunc quoque faciemus, fed pro fanguinis miffione medicamento quod bilem ducat purgantes, ipfam vero affectam partem refrigerantes. Efto autem refrigerationis terminus ipfa coloris

τῆς χρόας μεταβολή. καὶ γάρ τό γε ἀκριβὲς ἐρυσίπελας εὐθὺς ἅμα ταύτῃ παύεται, τὸ δ' οὐκ ἀκριβὲς, ἀλλ' ἤδη πως φλεγμονῶδες πελιδνὸν ἀποφαίνει τὸ δέρμα, ψυχόντων ἐπὶ πλέον. εἰ δὲ μηδ' οὕτως τις παύοιτο, μελαίνεται, καὶ μάλιστα ἐπὶ τῶν πρεσβυτικῶν σωμάτων· ὥστ' ἔνια τῶν οὕτω ψυχθέντων οὐδὲ τοῖς διαφορητικοῖς φαρμάκοις ἐκθεραπεύεται τελέως, ἀλλ' ὑπολείπει τινὰ περὶ τὸ μόριον ὄγκον σκιῤῥώδη. μεταβαίνειν οὖν ἄμεινον ἀπὸ τῶν ψυχόντων τε καὶ στυφόντων ἐπὶ τἀναντία καθ' ὃν ἂν καιρὸν ἴδῃς ἠλλοιωμένον τὸ χρῶμα τοῦ πάσχοντος μορίου, πρὶν ἤτοι πελιδνὸν ἢ καὶ παντάπασι μέλαν γενέσθαι. λέλεκται δ' ἐν ταῖς περὶ φαρμάκων πραγματείαις ἡ τῶν ψυχόντων ὕλη, τὸ στρύχνον καὶ τὸ ἀείζωον, ἥ τ' ἀνδράχνη καὶ ἡ κοτυληδὼν καὶ τὸ ψύλλιον, ὅ θ' ὑοσκύαμος καὶ ἡ θριδακίνη καὶ ἡ σέρις, ὅ τε ἀπὸ τῶν τελμάτων φακὸς, αἵ τε δι' ὕδατος πάνυ ψυχροῦ κηρωταὶ καὶ τἄλλα ὅσα τοιαῦτα. μεταπεσούσης δὲ τῆς φλογώσεως τοῦ πεπονθότος μορίου, καταπλάττειν αὐτὸ, πρὶν πελιδνὸν γενέσθαι δι' ὠμῆς λύσεως, ὀνομάζω δ' οὕτω τὸ κρίθινον ἄλευρον. εἰ δὲ καὶ πελιδνὸν

mutatio. Etenim quod purum eryfipelas eft ftatim cum hoc quiefcit, quod non purum eft, fed jam quodammodo phlegmonodes, fi plufculum refrigeres, lividam cutim praefert. Sin ne fic quidem quis defiftat, nigricat, potiffimum in fenili corpore, ut quaedam ita refrigeratorum ne difcutientibus quidem medicamentis ad perfectionem fanentur, fed fcirrhofus quidam tumor in parte relinquatur. Ergo fatius eft, ubi laborantis partis alteratum colorem videris, a refrigerantibus adftringentibusque ad contraria tranfire prius quam vel livida vel nigra prorfus fiat. Porro refrigerantium materia in opere de medicamentis eft tradita, folanum et fempervivum et portulaca et umbilicus veneris et pfyllium et altercum et lactuca et intybum et lenticula paluftris et cerata ex aqua admodum frigida et alia id genus. Ubi vero inflammatio aegrotantis partis jam defiit, cataplafma illi prius quam liveat ex cruda farina, fic autem voco hordeaceam farinam, eft imponendum. Quod fi jam livor occuparit,

γενέσθαι φθάσειεν, ἀποσχάζοντα καταπλάττειν αἰονᾷν τε τὰ μὲν πλεῖστα δι' ὕδατος θερμοῦ· καὶ θάλασσα δὲ καὶ ἅλμη ποτὲ συνοίσει. [321] καὶ αὐτῷ δὲ τῷ καταπλάσματι μίγνυται τοιοῦτον ὕδωρ, ἢ ὄξος ἢ ὀξάλμη. ἐν τούτῳ δὲ τῷ καιρῷ καὶ κοριανοῦ μετ' ἀλφίτων ἔνιοι πειραθέντες ἔγραψαν ὡς ἀγαθὸν εἴη φάρμακον ἐρυσιπελάτων. εἶτ' αὖθις ἕτεροι κατ' ἀρχὰς χρησάμενοι μεγάλης βλάβης τῷ κάμνοντι κατέστησαν αἴτιοι. καὶ ἡ διὰ τοῦ ῥοδίνου δὲ κηρωτὴ λαμβάνουσα τῆς τιτάνου κατὰ τὸν αὐτὸν τρόπον ἐνίοις γέγραπται βοηθεῖν ἐρυσιπέλασι καὶ ἄλλα τινὰ τοιαῦτα τῶν θερμαινόντων ἱκανῶς, ὧν οὐδέν ἐστιν ἐρυσιπέλατος ἴαμα πρὶν μεταπεσὸν αὐτὸ παύσασθαι μὲν ὅπερ ἦν ἐξ ἀρχῆς, ἕτερον δ' ἐναντίον ἐκείνῳ γενέσθαι. πῶς γὰρ οὐκ ἐναντίον ἔσται τὸ θερμῷ πάθει τὸ ψυχρὸν, ἢ τῷ ξανθῷ τὴν χρόαν ἢ ὠχρῷ τὸ πελιδνὸν ἢ μέλαν; ὥσπερ δὲ πολλάκις ἐπιμίγνυται φλεγμονῇ τὸ ἐρυσίπελας, οὕτως ἐνίοτε τῷ οἰδήματι· καὶ καλείσθω τηνικαῦτα τὸ μικτὸν ἐξ ἀμφοῖν ἐρυσίπελας οἰδηματῶδες, ὥσπερ γε κἀπειδὰν ψυχομε-

incifa cute cataplafma fuperponendum, perfundendusque locus plurimum quidem ex aqua calida: fed et marina aqua et muria interdum conducet. Quin etiam ipfi cataplafmati ejusmodi aqua vel acetum vel oxalme mifceatur. Hoc tempore etiam coriandrum cum polenta quidam experti effe falubre eryfipelatum medicamentum fcripferunt. Alii rurfus eodem inter initia ufi magnae noxae occafio laborantibus fuere. Sed et rofaceum ceratum, cui immixtum fit calcis aliquid, eodem modo funt, qui prodiderunt eryfipelati prodeffe, aliaque fimilis generis nonnulla ex iis quae valenter calefaciant, quorum nullum eft eryfipelatis medela antequam mutatum definat effe id quod ab initio fuerat atque alterum jam illique contrarium evaferit. Quomodo enim non fit contrarius calido affectui frigidus, aut ei qui flavo aut pallido colore eft is qui lividus aut niger eft? Quemadmodum autem faepe phlegmonae admifcetur eryfipelas, ita etiam aliquando oedemati, ac vocetur quod ex ambobus tum eft conflatum, eryfipelas oedematofum, ut et ubi ex refri-

νον σκληρόν τε καὶ δύσλυτον γένηται, κληθήσεται σκιῤῥῶδες ἐρυσίπελας. καὶ τοίνυν καὶ ἡ θεραπεία καθάπερ ἐν ἅπασι τοῖς συνθέτοις, οὕτω κἀπὶ τούτων σοι γιγνέσθω· καὶ μάλιστα μὲν ἀνθισταμένῳ πρὸς τὸ κρατοῦν, οὐκ ἐπιλελησμένῳ δ᾽ οὐδὲ τῆς ἀπὸ τοῦ μιχθέντος ἐνδείξεως.

Κεφ. δ΄. Ὥσπερ γὰρ ἐπὶ χολώδει ῥεύματι τὸ ἐρυσίπελας, οὕτως ἐπὶ φλέγματι τὸ οἴδημα γίγνεται χαῦνός τις ὄγκος ἀνώδυνος. ἴσμεν δὲ δήπου καὶ ἄλλως οἰδήματα γινόμενα περὶ τοὺς πόδας ἐν ὑδερικαῖς διαθέσεσι καὶ φθόαις καὶ καχεξίαις ἑτέραις ἰσχυραῖς. ἐπ᾽ ἐκείνων μὲν οὖν σύμπτωμά ἐστι τὸ οἴδημα τοῦ κατέχοντος πλήθους τὸν ἄνθρωπον, οὐδὲ μιᾶς ἰδίας ἐξαιρέτου θεραπείας δεόμενον. ἀρκεῖ γὰρ, εἴπερ ἄρα, τηνικαῦτα ἀνατρίβειν τὰ σκέλη ποτὲ μὲν δι᾽ ὀξυροδίνου, ποτὲ δὲ δι᾽ ἐλαίου καὶ ἁλῶν, ἢ καὶ αὐτῷ τῷ ὀξυροδίνῳ τῶν ἁλῶν ἐπεμβάλλοντα. διὰ δὲ τὸν φλεγματώδη χυμὸν ἐπιῤῥυέντα μορίῳ συνιστάντος οἰδήματος, ἱκανὸς ἐνίοτε καὶ σπόγγος μόνος ὕδατι βεβρεγμένος ὀλίγον ὄξους ἔχοντι. γενέσθω δ᾽ ἡ κρᾶσις ἤτοι γ᾽ ὡς ἂν καὶ πίοι τις ἢ οὐ πολλῷ γε τούτου

gerando durum aegreque folubile redditur, vocabitur eryfipelas fcirrhofum. Jam curatio quoque veluti in omnibus compofitis, ita in his adminiftrabitur, ac potiffimum quidem contra exfuperans pugnabitur, non praetermiffa tamen nec ea quae ex admixto praeftatur faciendorum indicatione.

Cap. IV. Quemadmodum autem ex biliofa fluxione eryfipelas, ita ex pituitofa conftat oedema ipfum, rarus quidam atque indolens tumor. Equidem fcio aliter quoque oedemata provenire, circa pedes in hydericis affectionibus et phthois aliisque pravis qui vehementes fint habitibus. Atque in illis quidem oedema plenitudinis hominem prementis eft fymptoma nullam feorfum propriam curationem requirens. Nam fatis erit, fi modo *curatione egebit,* ipfa tum crura perfricare alias oxyrodino, alias oleo cum fale aut etiam *oxyrodino* fal habente. At fi ex pituitofo humore in partem influente oedema conftitit, abunde aliquando fatisfacit fpongia fola, quae ex aqua in qua fit aceti aliquid maduerit. Porro haec ita attemperabitur ut vel bibi poffit vel

πλέον ἔχουσα τὸ ὄξος. ἐπιδεῖν δὲ χρὴ τὸν σπόγγον ἐκ τῶν κάτω μερῶν ἀρχόμενον καὶ ἄνω τελευτῶντα. καινὸς δ' ἔστω (186) πάντως, εἰ μέλλοι τι χρηστὸν ἐργάσασθαι· μὴ παρόντος δέ σοι καινοῦ, διαῤῥίπτειν χρὴ καὶ καθαίρειν τὸν ἐπιτυχόντα νίτρῳ τε καὶ ἀφρονίτρῳ καὶ τῇ καλουμένῃ κονίᾳ στακτῇ. μὴ καταστάντος δὲ ἐπὶ τοῖσδε τοῦ οἰδήματος, ἐπειδὰν αὖθις ἐπιδέῃς, ἐπεμβάλλειν καὶ βραχὺ τῆς στυπτηρίας καὶ σπόγγον καινὸν προσοιστέον· εἰ δ' οὐκ ἔχοις καινὸν, ἄμεινον χρῆσθαι τούτῳ δὴ τῷ καλουμένῳ πρὸς τῶν πολλῶν ἐλλυχνίῳ. μαλακὸν δ' ἔστω πρὸ πάντων, ὁποῖον τὸ Ταρσικόν· εἰ δ' ἐκείνου τις εὐποροίη, θαῤῥῶν χρήσθω· βέλτιον γὰρ ἐνεργήσει τοῦ σπόγγου. δευέσθω δὲ δηλονότι τῷ τὴν στυπτηρίαν ἔχοντι ὀξυκράτῳ καὶ ἐπιδείσθω, καθότι προείρηται, κάτωθεν ἄνω. σφίγγειν δ' οὕτω συμμέτρως, ὡς ἐν κατάγματι, καὶ μᾶλλον μὲν τὰ κάτω πρῶτα· κατὰ βραχὺ δ' ἐκλύειν τὴν σφίγξιν· οὐ μὴν εἰς τοσοῦτόν γε, ὡς χαλαρὸν γενέσθαι τι μέρος τῆς ἐπιδέσεως. ἀγαθὸν δὲ φάρμακον εἰς ταῦτα καὶ τὸ γλαύκιον αὐτό τε καθ' ἑαυτὸ δι' ὀξυκράτου λυθὲν, ἔτι τε μᾶλλον τὸ δι'

ut non multum fupra hoc aceti habeat. Deligare vero fpongiam debebis ab inferiore parte incipiens ac fupra finiens. Efto autem *fpongia,* fi quid profuturum fit opus, omnino nova; fi recens tibi non eft, hanc vilem detergebis expurgabisque nitro et aphronitro et dicto colato lixivio. Quod fi fub his oedema non fubfidat, ubi rurfus deligabis, pufillum aliquid aluminis conjicies, ac novam fpongiam admovebis, fi nova tibi non fit, melius eft eo quod vulgus vocat ellychnium uti. Id vero ante omnia molle efto, quod genus Tarficum eft, cujus fi facultas eft, audacter utitor, utilius enim experiere quam fpongiam. Madeat vero ex pufca, quae aliquid habeat aluminis, tum ut praefcriptum eft deligetur ab inferiore furfum. Sit autem arctatio mediocris, veluti in offis fractura, ac primae quidem *fafciae injectiones,* quae inferne *incipiunt,* magis *arctandae,* quae deinceps funt, fenfim remittendae, caeterum non adeo ut laxa fit aliqua deligationis pars. Porro idoneum medicamentum ad haec et glaucium eft, tum ipfum per fe liquatum ex pofca, tum

αὐτοῦ συντιθέμενον ἡμέτερον φάρμακον, [322] οὗ τὴν σύνθεσιν ἔχεις ἐν τῇ περὶ τῶν φαρμάκων πραγματείᾳ λεγομένῃ. ἦσαν δέ μοι μέχρι δεῦρο τρεῖς, ἥ τε περὶ τῶν ἁπλῶν, καὶ μετὰ ταύτην ἡ περὶ τῆς συνθέσεως αὐτῶν, εἶθ' ἡ περὶ τῶν εὐπορίστων. ἔοικα δὲ καὶ τετάρτην ἄλλην ποιήσειν, ἐπειδὴ καὶ πολλοὶ τῶν ἑταίρων οὕτως ἀξιοῦσιν· ἐν ᾗ περὶ τῶν κοινῶν καὶ ἰδίων ἑκάστου μορίου καὶ πάθους φαρμάκων ὁ λόγος ἐστί μοι. ἀλλὰ τοῦτό γε τὸ διὰ τοῦ γλαυκίου φάρμακον οὐκ οἰδήματα μόνον, ἀλλὰ καὶ πολὺ δὴ μᾶλλον αὐτῶν ἐρυσιπέλατά τε τὰς φλεγμονὰς ἀρχομένας ἰᾶται, καὶ μάλιστα τὰς θερμάς. εὔδηλον δὲ ὅτι καὶ τὰς ἐρυσιπελατώδεις φλεγμονὰς ἐρυσιπέλατά τε τὰ φλεγμονώδη θεραπεύσεις ταὐτῷ τούτῳ τῷ φαρμάκῳ. οὐ μὴν τάς τε σκιῤῥουμένας ἤδη τῶν φλεγμονῶν ἢ τὰ ψυχθέντα τῶν ἐρυσιπελάτων, οὔθ' ὅλως οὐδεμίαν διάθεσιν σκιῤῥώδη· περὶ ὧν εἴρηται μέν τι κᾀν τῷ πέμπτῳ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, εἰρήσεται δὲ καὶ νῦν. ὁ μὲν γὰρ χυμὸς ὁ τὸ τοιοῦτον πάθος ἐργαζόμενος

vel magis medicamentum noſtrum, quod ex eo compoſitum eſt, cujus compoſitionem habes in eo opere, quod de medicamentis eſt inſcriptum. Sane hactenus a me ſcripta fuerant opera tria, unum de ſimplicibus, alterum poſt hoc de compoſitione medicamentorum, et tertium de facile parabilibus. Quartum autem adſcribere conſtitui, quandoquidem multi amicorum ita ſuadent. In eo de communibus et propriis cujusque partis et affectionis medicamentis agetur. Verum medicamentum illud, quod glaucium habet, non oedemata modo, verum multo etiam magis tum eryſipelata tum phlegmonas incipientes ſanat ac potiſſimum calidas. Manifeſtum autem quod eryſipelatoſas phlegmonas et eryſipelata phlegmonoſa idem medicamentum ſanet. At non eas phlegmonas quae in ſcirrhum jam tranſierunt aut eryſipelata quae jam refrixerunt, aut denique ullum ſcirrhoſum affectum ſanaverit, de quibus in quinto de ſimplicium medicamentorum facultatibus aliquid eſt proditum, dicetur vero et nunc. Siquidem humor, unde ejusmodi vitium naſcitur,

ἤτοι γλίσχρος ἐστὶν ἢ παχὺς, ἢ ἀμφότερα. τῆς θεραπείας δὲ αὐτοῦ κοινὸς ὁ σκοπὸς ἐκκενῶσαι τὸ περιεχόμενον ἐν τῷ μορίῳ παρὰ φύσιν ἅπαν. ἴδιος δ' ὁ τρόπος τῆς κενώσεως· ἀποῤῥύψαι γὰρ αὐτὸν χρὴ δυσλύτως ἐμπεπλασμένον. ἐὰν οὖν ἀθρόως ἕλκουσί τε καὶ διαφοροῦσι φαρμάκοις ἐγχειρῇ τις κενοῦν, ἄνευ τοῦ μαλάττειν τε καὶ χεῖν τοῖς ὑγραίνουσι καὶ θερμαίνουσιν, ἐν ὀλίγαις μὲν ἡμέραις ταῖς πρώταις ἀξιόλογον ἐπίδοσιν δόξει λαμβάνειν ἡ θεραπεία, τό γε μὴν ὑπόλοιπον τῆς διαθέσεως ἀνίατον ἔσται· διαφορηθέντος γὰρ ἅπαντος τοῦ λεπτομεροῦς κατ' αὐτὴν, ὅμοιόν τι πήξει λιθώδει τὸ λοιπὸν λήψεται. καὶ γὰρ οὖν καὶ τῶν ἐν ταῖς ἀρθρίτισι πώρων ἡ γένεσις ἐξ ὑγροῦ παχέος ἐστὶ καὶ γλίσχρου μὴ κατὰ βραχὺ διαφορηθέντος, ἀλλ' ἀθρόως ξηρανθέντος ὑπὸ βιαίων φαρμάκων. οὕτω δὲ κἀν τοῖς νεφροῖς οἱ λίθοι γεννῶνται, κατοπτηθέντος ἐν αὐτοῖς χυμοῦ παχέος καὶ γλίσχρου. διὰ τοῦτ' οὖν ἐπὶ τῶν σκιῤῥωδῶν διαθέσεων οὐδὲν τῶν ἰσχυρῶς θερμαινόντων ἢ ξηραινόντων φαρμάκων ἁρμόττει, μόνα δὲ ὅσα μετὰ τοῦ μαλάττειν ἱκανὰ

aut glutinofus eft aut craffus, aut utriusque *rationis particeps*. Curandi vero ejus communis fcopus eft, ut quod praeter naturam in parte eft, totum vacuetur. Modus tamen vacuationis ejus proprius eft, nam detergere id ubi contumaciter inhaeret oportebit. Quod fi quis iis quae vehementer trahunt difcutiuntque medicamentis vacuare tentet, nec iis quae humectent et calefaciant molliat ac liquet, huic paucis primis diebus egregie proceffiffe curatio videbitur, caeterum quod de affectu reftabit, id infanabile erit, fiquidem toto quod in eo tenuium partium erat difcuffo, quod reliquum eft veluti lapidofa concretio linquetur. Etenim et qui in articulari morbo vifuntur pori, ex humore craffo glutinofoque proveniunt, quando is non paulatim eft difcuffus, fed violentis medicamentis totus fimul ficcatus. Sic et calculi generantur in renibus, affo fcilicet in his craffo glutinofoque humore. Hac igitur de caufa ad fcirrhofos affectus nullum vehementer calefaciens ficcansve medicamentum eft aptum, fed ea tantum quae cum molliendo difcutere pof-

διαφορεῖν ἐστιν, οἷον ὁ ἐλάφειος μυελὸς καὶ μόσχειος καὶ στέαρ αἴγειόν τε καὶ ταύρειον καὶ λεόντειον, ἔτι τε πρὸς τούτοις ἀμμωνιακὸν θυμίαμα καὶ βδέλλιον ἑκάτερον, καὶ μᾶλλον τὸ Σκυθικὸν ὅσῳ περ ὑγρότερόν ἐστιν. ὡσαύτως δὲ καὶ ὁ στύραξ ὁ ὑγρότερος ἀμείνων τοῦ ξηροῦ. τούτοις οὖν προσέχων τοῖς σκοποῖς καὶ τὰς ἐπιπεπλεγμένας διαθέσεις ἰᾶσθαι δυνήσῃ, κατὰ τὴν εἰρημένην ἤδη πολλάκις ἐπὶ πάντων τῶν συνθέτων παθῶν μέθοδον.

Κεφ. ε΄. Ἐμοὶ δὲ καιρὸς ἂν εἴη περὶ τῆς τῶν πασχόντων μορίων ἀναμνῆσαι διαφορᾶς, ἧς ἀεὶ μνημονεύειν ἠξίουν ἐπὶ πάντων τῶν νοσημάτων τε καὶ συμπτωμάτων. εἴρηται δ᾽ οὐκ ὀλίγα καὶ κατὰ τὸ πρὸ τούτου γράμμα περὶ τῆς ἀπ᾽ αὐτῶν ἐνδείξεως. ὁ μὲν γὰρ πρῶτος σκοπὸς τῆς ἰάσεως ἁπάντων τῶν παρὰ φύσιν ὄγκων ἐν οἷς οὐδέπω γεγόνασι πῶροι κένωσίς ἐστιν. ἡ δὲ τῶν σκιῤῥουμένων μορίων κένωσις ὑπὸ τῶν προειρημένων γίγνεται φαρμάκων, ἃ καλεῖν ἔθος ἐστὶ τοῖς ἰατροῖς μαλακτικά. [323] τῷ δ᾽ εἶναι τῶν μορίων τὰ μὲν ἀραιότερα φύσει,

ſunt, cujusmodi ſunt tum cervina medulla tum vitulina tum ſevum hircinum et taurinum et leoninum, ad haec ammoniacum thymiama et bdellium utrumque, magisque Scythicum, quanto eſt humentius. Pari modo et ſtyrax, qui humentior eſt, ſicco utilior eſt. His igitur ſcopis attentus, etiam complicatos affectus ſanare poteris, ſaepe jam dicta in omnibus compoſitis affectibus methodo.

Cap. V. Mihi vero jam tempeſtivum fuerit de affectarum partium differentia mentionem facere, quam ſemper in omnibus tum morbis tum ſymptomatis in memoriam habendam cenſui. Diximus autem non pauca de indicatione, quae ab iis ſumitur in libro qui hunc praecedit. Siquidem omnium qui praeter naturam ſunt tumorum, in quibus utique adhuc non ſunt geniti pori, primus curationis ſcopus vacuatio eſt. Earum vero partium quae jam ſcirrhum contraxerunt, vacuatio per jam dicta medicamenta perficitur, vocareque ea malactica, i. e. *mollientia,* medici ſolent. Quoniam autem partium aliae rariores naturaliter ſunt, aliae

τὰ δὲ πυκνότερα, καὶ τὴν κένωσιν ἑτέρων δεῖσθαι κατ' εἶδος βοηθημάτων ἀναγκαῖόν ἐστι. διὰ τοῦτ' οὖν ἐπὶ τενόντων τε καὶ συνδέσμων ἔδοξέ μοι βέλτιον εἶναι παραμιγνύναι τι τῇ διὰ τῶν μαλαττόντων φαρμάκων ἀγωγῇ τῆς τμητικῆς ὀνομαζομένης, ὧν τοῖς μάλιστα ὄξος ἐστὶ τοιοῦτον. ἐνίοτε μὲν οὖν αὐτῷ χρώμεθα κἀπὶ τῶν ἄλλων μορίων σκιῤῥωθέντων, ὡς ἐρῶ μικρὸν ὕστερον. ἐπὶ δὲ τενόντων τε καὶ συνδέσμων ὧδέ πως. ὄξει δριμυτάτῳ σβέννυμι λίθον διάπυρον, εἰ μὲν οὖν οἷόν τε, τὸν πυρίτην λίθον καλούμενον, ὃς οὐδ' αὐτός ἐστι σπάνιος ἐν ταῖς μεγάλαις πόλεσι, μὴ παρόντος δὲ τούτου, τὸν μυλίτην· ὀνομάζουσι δὲ οὕτως ἐξ οὗ τὰς μύλας ἐφ' ὧν ἀλοῦσι κατασκευάζουσιν. εἶτα ἀναφερομένου τινὸς ἀτμοῦ θερμοῦ μετὰ τὸ καταχυθῆναι τοῦ λίθου τὸ ὄξος, ἐν ἐκείνῳ τὸν ἐσκιῤῥωμένον σύνδεσμον ἢ τένοντα διακινεῖν ἀναγκάζω· καὶ μετὰ τοῦτο πάλιν ἐπιτίθημι τὸ μαλακτικὸν φάρμακον. ἐλαίῳ γε μὴν ἀπ' ἀρχῆς τῆς θεραπείας οὐχ ὕδατι καταντλῶ τὸ πεπονθὸς μόριον, ἄχρι παντὸς ἑκάστης ἡμέρας. ἐχέτω δὲ τοῦτο μηδεμίαν στύψιν, ἀλλ' ἀκριβῶς ἔστω λεπτομερὲς, οἷον

densiores, etiam vacuationem eorum diversa specie remedia postulare est necessum. Hac igitur de causa tum in tendonibus tum in ligamentis, *quum scirrhosa fuerint*, visum mihi satius est ei curationi, quam per mollientia medicamenta molimur, aliquid incidentium admiscere, ex quorum numero in primis acetum est. Interdum vero et in aliis partibus, quas scirrhus affecit, eo utimur, ut paulo post dicam. Verum in tendonibus et ligamentis in hunc modum. In aceto acerrimo candentem igni lapidem extinguo, ac si quidem haberi potest, qui certe in magnis urbibus rarus non est, pyriten, sin ejus copia non datur, molarem, quem myliten vocant, ex quo molas quibus molimus faciunt. Deinde ascendente post infusum lapidi acetum vapore calido, in hoc dimoveri scirrhosum ligamentum vel tendonem cogo, atque exinde rursus medicamentum quod molliat impono. Oleo tamen principio curationis nec aqua quotidie laborantem omnino partem perfundo. Esto autem id oleum haud quaquam adstringens, sed plane tenuium partium, cujusmodi Sa-

πέρ ἐστι τὸ Σαβῖνον. ἐναφεψῶ δ' ἐνίοτε τῷ ἐλαίῳ καὶ τῆς ἀλθαίας τὴν ῥίζαν, ἀγρίου τε σικύου καὶ εἴ τις ἄλλη τοιαύτη. καὶ τούτῳ χρῶμαι καθ' ἑκάστην ἡμέραν, ὡς εἶπον. ἡ δὲ δι' ὄξους θεραπεία χρήσιμός ἐστιν ἐπὶ προσήκοντι τῷ πάθει, προπαρεσκευασμένου τοῦ μέρους ὑπὸ τῶν μαλακτικῶν. ἐπενόησα δέ τινα καὶ σύνθετα φάρμακα δι' ὄξους, ἃ μεταξὺ τῶν μαλακτικῶν ἐπιτίθημι πρὸς μίαν ἡμέραν. ἡ γάρ τοι τοῦ ὄξους δύναμις, ἐάν τις αὐτῇ μετρίως τε καὶ κατὰ τὸν προσήκοντα καιρὸν χρήσηται, ὠφελεῖ τὰς τοιαύτας διαθέσεις τέμνουσα καὶ διαλύουσα τοὺς παχεῖς χυμούς· εἰ δὲ ἀμετρότερον ἢ οὐκ ἐν καιρῷ τῷ προσήκοντι, τὸ λεπτότερον ἐξαρπάζουσα τὸ καταλεῖπον ἐᾷ λιθοῦσθαι. καὶ μέντοι καὶ μέχρι πλείονος, εἴ τις αὐτῷ χρῷτο, τῆς οὐσίας ἅπτεται τῶν νεύρων. διὰ τοῦτ' οὖν οὔτε πολλάκις οὔτε κατ' ἀρχὰς οὔτ' ἐν χρόνῳ πολλῷ χρηστέον ἐστὶ τοῖς δι' ὄξους φαρμάκοις ἐπὶ συνδέσμων τε καὶ τενόντων. ἐπὶ μέντοι σπληνὸς ἢ τῶν σαρκωδῶν μερῶν τοῦ μυὸς ἐσκιῤῥωμένων ἀκίνδυνος ἡ χρῆσις· ἀραιά τε γὰρ ταῦτα φύσει καὶ φόβος οὐδείς ἐστι πληγῆναί τι νεῦρον ὑπὸ τῆς

binum eſt. Incoquimus autem oleo interdum althaeae radicem ac ſilveſtris cucumeris et ſi qua eſt ejus generis alia. Atque hoc utor, ut dixi, quotidie. Caeterum curatio quae praeter acetum adminiſtratur utilis eſt vitio jam adulto et quum praeparata jam ſubmollientibus pars fuerit. Excogitavi autem et compoſita quaedam ex aceto medicamenta, quae inter mollientium uſum ad unum diem impono. Siquidem aceti vis, modo ea quis modice et debito tempore utatur, ſalutaris ejusmodi affectibus eſt, ceu craſſos viſcidosque humores incidens ac diſſolvens; ſin vel immoderatius vel in tempore non idoneo, tenuiores partes violenter abſumens id quod reliquum eſt lapideſcere ſinit. Sed ſi quis eo diutius utatur, ſubſtantiam ipſam nervorum delibaverit. Ob id igitur nec ſaepe nec inter initia nec longo tempore medicamentis, quae ex aceto componuntur, ad ligamenta et tendones eſt utendum. At in liene et carnoſis musculi partibus ſcirrho affectis tutus *ejus* eſt uſus, quippe rarae ſunt naturaliter hae partes, nec eſt quod metuas, ne quis nervus ejus

δυνάμεως αὐτοῦ. τῷ μὲν οὖν ἀμμωνιακῷ θυμιάματι μετ᾽ ὄξους πολλοὶ καὶ ἄλλοι χρῶνται κατὰ τοῦ σπληνὸς ἐπιτιθέντες πηλῶδες τῷ πάχει, τὸ μικτὸν ἐξ ἀμφοῖν ἐργαζόμενοι· καὶ πολλάκις γε τοῦτο μόνον ἤρκεσεν εἰς τὴν θεραπείαν αὐτοῦ. ἐπὶ δὲ τῶν μυῶν ἄλλον μὲν οὐκ εἶδον, ἐγὼ δ᾽ ἐχρησάμην (187) πολλάκις ἐν τῷ μεταξὺ τῶν μαλακτικῶν. ἐπ᾽ ἐκείνοις μὲν οὖν οὐδεμία σαφὴς ὠφέλεια γίγνεται· προμαλαχθέντος δ᾽ ὑπ᾽ αὐτῶν τοῦ σκιῤῥώδους ὄγκου μεγίστην ὠφέλειαν ἐργάζεται τὸ δι᾽ ὄξους λυθὲν ἀμμωνιακόν. ἀπόχρη δὲ καὶ τούτῳ κατὰ μίαν ἢ καὶ δευτέραν ἡμέραν χρησαμένους ἐπανελθεῖν αὖθις ἐπὶ τὰ μαλακτικά· πάλιν δ᾽ ἐκείνοις χρησαμένους ἡμέραις πλείοσιν ἀφικνεῖσθαι πάλιν ἐπὶ τὸ δι᾽ ὄξους φάρμακον, εἴτ᾽ οὖν ἀμμωνιακὸν εἴτε καὶ τῶν ἄλλων τι τῶν μαλακτικῶν ὅσα μικρὸν ἔμπροσθεν εἶπον. οὐ γὰρ δὴ ἄλλο γέ τι δεῖ προσφέρειν, οἷα τὰ πολλὰ τῶν ξηρῶν ὀνομαζομένων ἐστὶ φαρμάκων· εὐδοκιμήσει μὲν γὰρ ἐν ἀρχῇ τὸ φάρμακον, ἀνίατον δ᾽ ἐργάζεται τὸ λείψανον τῆς διαθέσεως. διὰ τοῦτο γοῦν ἐγὼ πολλάκις ἐν τῷ μεταξὺ καὶ καταπλάσματι τῷ δι᾽ ἀλθαίας

vi laedatur. Ammoniaco quidem thymiamate cum aceto etiam alii non pauci lieni imponentes utuntur, ad luti craffitudinem, quod ex utrisque mixtum eft redacto, idque folum ei curando faepe fatis fuit. Ad mufculos vero alium fane non vidi, ego vero etiam faepe fum ufus mollientium ufui interponens. Atque fub illis nulla cernitur evidens utilitas, fed pofteaquam mollitus per ea fcirrhofus tumor eft, maximum certe ufum ammoniacum aceto liquatum confert. Sufficit autem eo uno alterove die ufos rurfus ad mollientia reverti, ac rurfus his pluribus diebus ufos denuo ad medicamentum quod ex aceto fit, redire, five id ammoniacum five aliquod aliorum mollientium, quae paulo fupra funt comprehenfa. Neque enim aliud quicquam eft admovendum, cujusmodi pleraque funt eorum medicamentorum, quae ficca vocant, nam inter initia medicamentum probabitur, fed id infanabiles affectionis reliquias efficiet. Ego namque ejus rei caufa in medio tempore cataplafmate ex althaea fum ufus,

ἐχρησάμην· ὀνομάζουσι δὲ αὐτὴν ἀναδενδρομαλάχην οἱ πολλοί· ταύτης οὖν ἡ ῥίζα λυομένη μετὰ στέατος ἀγαθὸν εἰς τὰ τοιαῦτα φάρμακα. [324] ἔστω δὲ τὸ στέαρ, εἰ μὲν οἷόν τ᾽ εἴη, χήνειον· εἰ δὲ μὴ παρείη τοῦτο, ὀρνίθειον· εἰ δὲ μηδὲ τοῦτο, τῷ τῶν ὑῶν χρηστέον. ἀλλὰ καὶ τῆς ἀγρίας μαλάχης, ἥτις πανταχόθι φύεται, τὰ φύλλα λειωθέντα μετά τινος τῶν εἰρημένων ὀνήσει. ἀμείνω δὲ τῶν ὠμῶν ἐστι τὰ προαφηψημένα μετρίως. τὰ μὲν δὴ τοιαῦτα βοηθήματα καὶ τὸ ποικίλλειν, ὡς εἴρηται, τὴν θεραπείαν ἁπάντων μορίων ἐστὶ κοινὰ, ὅσα περ ἂν ἁλῷ πάθει σκιῤῥώδει, καθάπερ γε καὶ ἡ τῶν οἰδημάτων ἴασις, ἣν ὀλίγον ἔμπροσθεν εἶπον, ἐξαλλάττεται κατὰ τὰ μόρια ταῖς εἰρημέναις διαφοραῖς. αὐτίκα γέ τοι τοῖς καθ᾽ ὑποχόνδριον οἰδήμασιν οὐκ ἄν τις ψυχρὸν ἐπιθείη σπόγγον ἐξ ὀξυκράτου· καθάπερ οὐδὲ τοῖς ἄλλοις ὄγκοις τοῖς κατ᾽ αὐτό. τίς δ᾽ ἀψίνθιον ἐναποζέσας ἐλαίῳ κατήντλησέ ποτε τὸ γόνυ; τίς δὲ ὀφθαλμὸν ἤ τι τῶν ἔνδον τοῦ στόματος ὁπωσοῦν πάσχον; ἀλλ᾽ ἥπατί τε κακοπραγοῦντι καὶ σπληνὶ προσφέρεται πολλάκις ὠφελιμώτατα. μαρτυρεῖ δ᾽ αὐτοῖς καὶ

vocat autem hanc vulgus anadendromalachen. Hujus igitur radix fevo foluta falutare ad talia medicamentum eft. Efto autem fevum, fi fieri poteft, anferinum; fin id non fit, gallinaceum; fin nec hujus facultas fit, fuillo utendum. Sed et filveftris malvae, quae paffim nafcitur, folia cum fupradictorum aliquo tunfa proficient, meliora tamen crudis funt, quae modice ante funt decocta. Ac ejusmodi quidem auxilia et curationis variatio, qualis jam comprehenfa eft omnium partium, quae fcirrhofis affectibus funt affectae, communia funt. Ad eundem modum oedematum curatio, quam paulo ante memoravimus, comprehenfis jam differentiis per partes variatur. Iis enim quae in praecordiis funt oedematis nemo frigidam ex pofca fpongiam applicuerit, veluti nec aliis qui in his funt tumoribus. Jam quis abfinthium oleo incoquens genu unquam profudit? quis oculum aut aliquid eorum quae intra os funt qualitercunque affectum? at jecori aegrotanti et lieni faepe cum maxima utilitate adhibetur. Te-

ἡ πεῖρα δεικνῦσα τὴν δύναμιν ἐναργῶς οὐδὲν ἧττον τοῦ λόγου. νυνὶ δ' ἡμεῖς μόνην ἐν τῇδε τῇ πραγματείᾳ τὴν κατὰ μέθοδον εὕρεσιν τῶν ἰαμάτων ὁποία τίς ἐστι διερχόμεθα. κατὰ μέντοι τὰς περὶ φαρμάκων ἀμφοτέρας ἐμίξαμεν, ἅπαντα γινώσκειν ἀξιοῦντες τὸν ἰατρὸν, ὅσα τ' ἐκ πείρας εὕρηται μόνης, ὅσα τ' ἐκ λόγου μόνου· καὶ τρίτα γε πρὸς αὐτοῖς ὅσα συντελούντων ἀμφοτέρων εἰς τὴν εὕρεσιν. ἅπασι δ' οὖν αὐτοῖς ὀρθῶς χρήσεται μόνος ὁ γεγυμνασμένος ἐν τῇδε τῇ μεθόδῳ.

Κεφ. στ'. Περὶ μὲν οὖν φλεγμονῆς καὶ σκίῤῥου καὶ οἰδήματος ἀρκείτω τὰ εἰρημένα μεμνημένων ἡμῶν ὡς σκίῤῥον ὀνομάζομεν ὄγκον σκληρὸν ἀνώδυνον, οὐ μὴν ἀναίσθητόν γε πάντως· ὁ γὰρ τοιοῦτος ἀνίατος· οἱ δ' ἄλλοι πάντες ὥσπερ ἀναισθητότερόν τε καὶ δυσαισθητότερον ἀποφαίνουσι τὸ πάσχον μόριον, οὕτως οὐ παντελῶς ἀναίσθητον, ὅταν γ' αἰσθητικὸν ᾖ φύσει· τοὺς γὰρ συνδέσμους ἴσμεν ἀναισθήτους ὄντας. εἰ δέ τις ἐκείνους μόνους τῶν παρὰ φύσιν ὄγκων ὀνομάζειν ἀξιοῖ σκίῤῥους, ὅσοι παντάπασίν εἰσιν

ftatur id ipfum et experientia quae vim eorum evidenter indicat non fecus quam ratio. Nos tamen nunc hoc opere folam eam remediorum inventionem, quae methodo paritur, qualisnam fit differemus. In operibus de medicamentis ambas mifcuimus, omnia medico cognofcenda effe rati, tum quae fola inventa funt experientia tum quae fola ratione, ad haec tertio loco, quae conferentibus ad inventionem utrisque. Omnibus autem his ille folus commode utetur, qui in hac methodo eft exercitatus.

Cap. VI. Ac de phlegmone quidem, fcirrho et oedemate fatis funto quae hactenus dicta funt, illo non omiffo, quod fcirrhum nominamus tumorem durum, qui fine dolore eft, non tamen omnino fine fenfu, talis enim fanabilis non eft, reliqui omnnes ficut aegrius fenfilem ipfam partem affectam reddunt, ita omnino infenfibilem non faciunt, utique fi fenfilis natura fit, ligamenta namque fcimus infenfilia effe. Quod fi quis folos tumores praeter naturam qui omnino fint infenfiles fcirrhos appellandos cenfeat, reliquos non

ἀναίσθητοι, τοὺς δὲ ἄλλους οὐ σκίῤῥους, ἀλλ᾽ ὄγκους σκιῤῥώδεις, ὑπὲρ ὀνόματος ἴστω ζυγομαχῶν καὶ καλέσομεν οὕτω καὶ ἡμεῖς τὸ πάθος, ὅταν ἐκείνῳ διαλεγώμεθα· καὶ γὰρ καὶ ἔθος ἡμῖν ἐστιν οἷς ἄν τις ὀνόμασι χαίρῃ, τούτοις αὐτῷ διαλέγεσθαι.

Κεφ. ζ΄. Καιρὸς οὖν ἤδη περὶ τῶν ἐμφυσημάτων διελθεῖν, οὐ τὴν αὐτὴν ἐχόντων θεραπείαν τοῖς οἰδήμασιν. ἐκεῖνα μὲν γὰρ, ὡς ἔφην, ὑπὸ φλεγματώδους γίνεται χυμοῦ· καὶ διὰ τοῦτο θλιβόντων εἴκει μέχρι βάθους ἱκανοῦ τῶν δακτύλων ἐγκαταβαινόντων εἰς αὐτά. τὰ δ᾽ ἐμφυσήματα φυσώδους πνεύματος ἀθροιζομένου γίγνεται ποτὲ μὲν ὑπὸ τῷ δέρματι, ποτὲ δὲ ὑπὸ τοῖς περιοστέοις ὑμέσιν, ἢ τοῖς τοὺς μῦς περιέχουσιν ἤ τι τῶν σπλάγχνων. ἀθροίζεται δ᾽ οὐκ ὀλίγον ἐνίοτε καὶ κατὰ τὴν γαστέρα καὶ τὰ ἔντερα κἀν τῷ μεταξὺ τούτων τε καὶ τοῦ περιτοναίου. καὶ διαφέρει γε τῶν οἰδημάτων τῷ μὴ βοθροῦσθαι πιεζόμενα καὶ ψοφεῖν [325] ὥσπερ τύμπανον· ἔτι τε καὶ τῷ περιέχεσθαι πολλάκις ἐν αἰσθητῇ κοιλότητι καὶ ταύτῃ γ᾽ ἔστιν ὅτε μεγίστῃ. σκοπὸς

fcirrhos, fed tumores fcirrhofos, et fe de nominibus litigare fciat, et nos quoties cum eo disputabimus, ita quoque affectum nominabimus, fiquidem is mos nofter eft, quibus quisque omnibus delectatur, iisdem in disputatione cum illo uti.

Cap. VII. Nunc tempeftivum eft ut de inflationibus differamus, quibus diverfa ab oedematis curatio eft. Illa namque, ceu diximus, ex pituitofo humore ortum habent: proinde prementibus cedunt digitis admodum alte in ipfa defcendentibus. Inflationes vero ex flatuofo fpiritu collecto nafcuntur, alias fub cute, alias fub membranis offa tegentibus aut mufculos vifcerumve aliquod inveftientibus. Porro colligitur aliquando non parum etiam in ventriculo et inteftinis, itemque in medio fpatio horum et peritonaei. Differunt quoque hae ab oedematis, quod et preffae digitis non retineant veftigium et fonitum, veluti tympanum reddant, itemque quod in cavitate fenfibili faepe continentur, atque hac nonnunquam maxima. Scopus autem *curationis* fit tibi

δ' ἔστω σοὶ κἀπὶ τούτων ὁ μὲν ἁπάντων αὐτῶν κοινὸς, ἐκκενῶσαι τὸ παρὰ φύσιν, ἐν ὅτῳ περ ἂν εἴη περιεχόμενον· ὁ δ' ἴδιος ἐπὶ τῷ κοινῷ, τὸ διὰ τῶν λεπτομερεστάτων τε καὶ θερμοτέρων ταῖς δυνάμεσι φαρμάκων διαφορῆσαι. ἐπὶ μὲν οὖν τῶν κατὰ τὴν γαστέρα τε καὶ σπλάγχνα λεπτομερὲς ἔλαιον ἐργάσεται τοῦτο, πήγανον ἐναπεζεσμένον ἔχον ἤ τι τῶν θερμαινόντων σπερμάτων, οἷόν πέρ ἐστι τό τε τοῦ κυμίνου καὶ τὸ τοῦ σελίνου τε καὶ πετροσελίνου. καί ποτε καὶ σικύα μεγάλη χωρὶς ἀμυχῶν δὶς ἢ τρὶς ἐπιβαλλομένη κατὰ μέσην τὴν γαστέρα. περιλήψεται δὲ δηλονότι τὸν ὀμφαλὸν ἡ τηλικαύτη τε καὶ οὕτω τιθεμένη. κατὰ δὲ τὰ κῶλα καὶ τοὺς ὑπὸ τῷ δέρματι μῦς ἤ τινας τῶν περιοστέων ὑμένων ἐμφυσήματος γινομένου, χωρὶς μὲν ὀδυνῶν ὑγρόν τι τῶν λεπτομερεστάτων ἱκανὸν, οἷόν πέρ ἐστι τὸ τῆς στακτῆς ὀνομαζομένης κονίας, ἀναλαμβανομένης σπόγγῳ καινῷ· συνούσης δὲ ὀδύνης ὑπαλείφειν τὸ μόριον ἐλαίῳ χαλαστικῷ. γίνονται δὲ ἐκ πληγῶν αἱ τοιαῦται διαθέσεις· ἐν αἷς ἤτοι μῦς τις ἢ περιόστεος ὑμὴν θλᾶται. κατὰ μὲν οὖν τοῦ περιοστέου τὸν εἰρημένον ἐπιτιθέναι

in his omnium communis, ut quod praeter naturam eſt vacuetur in quocunque id contineatur, proprius vero poſt communem ſit, ut tenuiſſimorum et calidiorum medicamentorum facultatibus diſcutiatur. Atque in ventriculo quidem et viſceribus oleum tenuium partium, quod rutam habeat incoctam aut aliquod calidorum ſeminum, cujusmodi ſunt cumini et apii et petroſelini, id praeſtabit. Aliquando vero et cucurbita magna bis terve ſine inciſione medio ventri affixa. Tanta vero ac taliter applicata etiam totum umbilicum comprehendet. At in artubus et muſculis, qui ſub cute aut etiam membranis oſſa veſtientibus, inflatio orta ſi citra dolorem ſit, liquor aliquis tenuiſſimarum partium, cujusmodi eſt lixivium, nova ſpongia exceptum ſatisfecerit, ſi dolor quoque urgeat, ungenda pars eſt oleo, quod laxandi remittendique vim habeat. Incidunt porro ex percuſſionibus ejusmodi affectus, ubi vel muſculus aliquis vel membrana os tegens eſt contuſa. Ac ſupra membranam quidem quae os am-

σπόγγον· ἐπὶ δὲ τῶν μυῶν, ὀδυνῶνται γὰρ ἐνίοτε, παρηγορικωτέρου χρεία φαρμάκου. διόπερ οὐ μόνῃ τῇ κονίᾳ χρώμεθα κατὰ τούτους, ἀλλὰ μιγνύντες αὐτῇ τὸ καλούμενον ἕψημα μετ᾽ ἐλαίου βραχέος. ἄμεινον δὲ μηδ᾽ ὅλως κατ᾽ ἀρχὰς τότε μιγνύναι τὴν κονίαν, ἀλλὰ τῷ ἑψήματι χρῆσθαι μετὰ οἴνου καὶ ὄξους βραχέος, ἔλαιον ἐπιχέοντα συμμέτρως· ἐπειδὰν δὲ μίξῃς αὐτὰ θερμήνας συμμέτρως, ἐπιτίθει βρέχων ἔριον ἄπλυτον, ὃ καλοῦσιν οἰσυπηρόν. εἰ δὲ μὴ τοῦτο ἔχεις, ἀλλὰ τὴν οἴσυπον ἐκείνου ἐπεμβάλλειν τῷ μιχθέντι, διὰ τῶν εἰρημένων· ὅτι δ᾽ ἀμείνων ὁ Ἀττικὸς οἴσυπος ἅπαντος ἄλλου, κἂν ἐγὼ μὴ λέγω, γινώσκεις. καὶ τοίνυν καὶ ἡ δι᾽ αὐτοῦ κηρωτὴ τῶν ἅπασι γινωσκομένων ἐστὶ φαρμάκων· καὶ χρῶνταί γε πάμπολλοι κατὰ τῶν ἐν ὑποχονδρίῳ φλεγμονῶν ταύτῃ. καὶ ταύτης οὖν ἐμβάλλων, ὅταν οἴσυπος μὴ παρῇ, τὸ δέον ἐργάσῃ. χρὴ γὰρ τοὺς τεθλασμένους μῦς παρηγορῆσαι, διὰ φαρμάκου μικτὴν ἔχοντος δύναμιν, ὡς καὶ πέττειν ἅμα καὶ διαφορεῖν καὶ στύφειν μετρίως· ὡς ὅταν γε μηδὲν ἔχῃ στύψεως, αὐξάνει

bit antedicta ponenda eſt ſpongia. Ad muſculos vero, namque hi aliquando dolent, medicamentum quod magis mitiget eſt adhibendum. Quo ſit ut ad hos ſolo lixivio non utamur, ſed immixta ei tum ſapa pauculo oleo. Satius autem fuerit in principio nequaquam addidiſſe lixivium, ſed ſapa cum vino et exiguo aceto uti, ac quod mediocre ſit, olei adjicere, ubi mixta ſunt modice, calefacere ac lanam non lotam, quam oeſyperon, *i. e. ſuccidam*, vocant ipſi imbutam imponere. Quod ſi ejusmodi lana tibi non ſit, ipſius oeſypus injiciendus miſcellae ſupradictae eſt; quod autem Atticus oeſypus caeteris omnibus praeſtet, tametſi a me non dicatur, ipſe ſcis. Quin etiam ceratum quod ex oeſypo componitur medicamentum eſt omnibus notum, utuntur plurimi eo ad phlegmonas quae in hypochondriis ſunt. Ergo hujus quoque aliud, ubi oeſypus praeſto non eſt, recte injeceris. Debent enim contuſi muſculi leniri medicamento, cui mixta facultas ſit, quae ſimul concoquat diſcutiat et modice adſtringat; quod quum nihil habeat adſtrictionis, augeat aliquando phleg-

τὰς φλεγμονὰς ἐνίοτε καὶ μάλιστα ἐπὶ τῶν πληθωρικῶν σωμάτων. μεμνημένος οὖν τῶν εἰρημένων τριῶν σκοπῶν ἐπὶ τῶν ἐμπεφυσημένων διὰ πληγήν τινα μυῶν, εἰ μὲν ὀδύνη μείζων εἴη, τῷ παρηγορικωτέρῳ χρῶ τρόπῳ· μὴ παρούσης δὲ ταύτης, ἀγωνιστικωτέρῳ. καλεῖν δὲ οὕτως εἴωθα τοὺς διὰ συντόμων ὁδῶν ἐπὶ τὸ τέλος ἰόντας. αἱ σύντομοι δ' ὁδοὶ διὰ τῶν ἰσχυρὰν δύναμιν ἐχόντων γίνονται φαρμάκων· ἰσχυρὰ δὲ δύναμίς ἐστι μάλιστα μὲν ἐν τῇ κονίᾳ τε καὶ τῷ ὄξει, δεύτερον δ' ἐν οἴνῳ. τούτων οὖν πλέον (188) μίξεις, ὅταν τοῦ παρηγορεῖσθαι καταφρονήσῃς. αὐτῶν δὲ τούτων πάλιν ἀποκρούσασθαι μὲν βουλόμενος οἶνον ἐμβαλεῖς πλείονα. κάλλιστος δ' εἰς ταῦτα μέλας αὐστηρός. διαφορῆσαι δὲ προαιρούμενος, τὴν κονίαν. ὄξος δ' αὐτῇ μιγνύμενον εἰς ἄμφω συνεργεῖ· διότι καὶ μικτὴν δύναμιν ἔχειν ἐδείχθη. ἀνωδύνου δὲ γινομένου τοῦ μυὸς ἔξεστί σοι μὴ παρούσης τῆς κονίας ἀντ' αὐτῆς ἐμβάλλειν ἀφρόνιτρον· ἔστω δὲ τοῦτο μὴ λιθῶδες, ἀλλ' ἀφρῶδες μᾶλλον. ἔστι δὲ τὸ μὲν λιθῶδες σκληρὸν καὶ πυκνὸν καὶ δυσκόλως διαχεόμενον ἐν τῷ μίγνυσθαι

monas ac maxime in corporibus plethoricis. Ergo trium jam enarratorum fcoporum in inflatis ex plaga quadam mufculis memor, ubi dolor major urget, mitigativa magis ratione uteris, ubi abeft, majori vi inftabis. Majorem vim intelligo, quum brevi via properatur ad finem. Porro brevis via fit per ea medicamenta, quae valentes habent vires, hae maxime in lixivio et aceto habentur, poft haec in vino. Quoties igitur de mitigando non laboras, horum plus mifces. Rurfus ubi repellere ftudes, vini plus quam horum immittes. Porro id optimum in hunc ufum fuerit, fi nigrum aufterumque fit. At fi difcutere malis, lixivii *plus indes.* Acetum vero fi his mifcebis, ad ambo erit utile, propterea quod mixtas, ut monftratum eft, habet facultates. Ubi vero mufculus fine dolore eft, licet fane in lixivii penuria pro eo aphronitrum immittere, efto autem id minime lapidofum, fed magis fpumofum. Eft vero quod lapidofum eft durum et denfum ac aegre liquabile, cum dictis liquoribus mifcetur,

τοῖς εἰρημένοις ὑγροῖς· τὸ δὲ ἀφρῶδες μαλακὸν καὶ χαῦνον, ἔτι τε λευκότερον τοῦ λιθώδους. τοῦτ᾽ οὖν καὶ λύεται [326] τάχιστα πρὸς τῆς ὑγρότητος, ὀνίνησί τε μάλιστα λεπτομερὲς ὑπάρχον. ὅσα δὲ τῶν τοιούτων ἐμφυσημάτων ἀμεληθέντα χρονίζει, πρῶτον μὲν ἐπ᾽ αὐτῶν τῷ διὰ τῆς κονίας, ὡς εἴρηται, χρήσαιο· δεύτερον δὲ τῶν ἐμπλαστωδῶν τινι. παράδειγμα δ᾽ ἐρῶ καὶ τῶνδε. γλοιὸν ἀναζέσας διήθησον πρῶτον, ὡς γενέσθαι καθαρόν· εἶτ᾽ αὖθις ἐμβαλὼν τῇ κακκάβῃ τίτανον ἄσβεστον λείαν ὡς ἄλευρον ἔμπλαττε μέχρι πηλώδους συστάσεως. ἀγαθὸν δ᾽ ἐπὶ τούτοις ἐστὶ καὶ τὸ διὰ τοῦ συκομόρου φάρμακον, ὅσα τ᾽ ἄλλα τοιαῦτα. νυνὶ γὰρ, ὡς εἴρηται, πολλάκις ἤδη παραδείγματα μόνα γράφω τῶν φαρμάκων, ὧν ἡ καθόλου δύναμις ὑπὸ τῆς θεραπευτικῆς εὑρίσκεται μεθόδου. ὥσπερ δὲ τῶν φαρμάκων τῆς χρήσεως ἐνταυθοῖ παραδείγματα γράφεται χάριν τοῦ νοῆσαί τε σαφέστερον ὅλην τὴν μέθοδον, εὐπορώτερόν τε γίνεσθαι περὶ τὴν εὕρεσιν τῆς ὕλης, οὕτω καὶ τῶν πεπονθότων μορίων τοῦ σώματος. αὐτίκα γέ τοι πάθος ἐστὶ τὸ καλούμενον ὑπὸ τῶν

ſpumoſum vero molle eſt et laxum itemque candidius quam lapidoſum, hoc itaque tum celerrime ab humore ſolvitur tum juvat maxime, utpote tenuium partium. Quae vero hujus generis inflationes neglectae inveterarunt, primo quidem loco his ea quae ex lixivio componuntur, ut praedictum eſt, adhibeas, ſecundo loco emplaſticum aliquod. Dicam autem et horum exemplum. Strigmenta gymnaſiorum fervefacta percola primum ſic ut pura ſint, deinde rurſum in cacabum immiſſis, calcem vivam in farinae ſpeciem tunſam ſubige ad luti usque craſſitudinem. Salutare his eſt et medicamentum quod ex ſycomoro componitur aliaque id genus. Nunc enim, ut ſaepe jam dictum eſt, exempla tantum eorum medicamentorum ſcribo, quorum generalis facultas per medendi methodum invenitur. Ut vero medicamentorum hoc loco ſcribuntur exempla, tum ut tota haec methodus clarius intelligatur, tum ut magis nobis ad inveniendam materiam facultas ſuppetat, ſic etiam et affectarum corporis partium proponuntur. Statim enim affectus quidam eſt

νεωτέρων πριαπισμὸς, ἐπειδὴ τὸ αἰδοῖον ἀκουσίως ἐξαίρεται τῶν οὕτω διακειμένων· ὃ θεασάμενός τις τῶν ἐν τοῖσδε τοῖς ὑπομνήμασι προγεγυμνασμένων ἑτοίμως γνωριεῖ τοῦ τῶν ἐμφυσημάτων ὑπάρχον γένους. ἀναμνησθεὶς τά τε κατὰ τὴν ἀνατομὴν φαινόμενα τοῦ μορίου καὶ τὰ κατὰ τοὺς φυσικοὺς ὑπὲρ τῆς ἐνεργείας αὐτοῦ καὶ τῆς χρείας λόγους, οὐ χαλεπῶς ἐννοήσει ὅτι τὸ πληρούμενον ἀτμώδους πνεύματος, τὸ σηραγγῶδες νεῦρον, ὃ τὴν ἰδίαν οὐσίαν συνίστησι τοῦ αἰδοίου, τὸ πάθος ἐργάζεται τοῦτο. πνεῦμα δ' ἀτμῶδες ἐν τοῖς τῶν ζώων σώμασιν ἐμάθομεν ἐκ χυμῶν θερμαινομένων ἠρέμα γίγνεσθαι. ἔνθα μὲν γὰρ ἰσχυρόν τ' ἐστὶ τὸ ἔμφυτον θερμὸν, ἥ θ' ὑγρότης τοῦ μορίου κατειργασμένη τελέως, εἰς ἀτμοὺς λεπτομερεῖς λυομένη, κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοὴν εἰς τὸ περιέχον ἀποῤῥεῖ. ἔνθα δ' ἤτοι τὸ σύμφυτον θερμὸν ἀσθενέστερόν ἐστιν ἢ τὸ κατὰ φύσιν ὑγρὸν ἡμίπεπτόν τε καὶ παχὺ καὶ γλίσχρον, ἐνταῦθα παχύτερος ὁ ἀτμὸς ἢ ὡς διαπνεῖσθαι γεννᾶται, καὶ μάλισθ' ὅταν καὶ τὸ μόριον αὐτὸ πυκνωθῇ ποτε. πολλάκις δὲ τὸ μὲν ἐν τῷ μορίῳ περι-

quem juniores priapismum nuncuparunt, propterea quod iis qui fic funt affecti etiam invitis pudendum arrigitur, quod ubi viderit quispiam, qui in his commentariis eft exercitatus, protinus intelliget ex inflationum effe genere. Qui enim memoria tenuerit tum omnia quae in diffectione ejus partis apparent, tum quae de functione ejus et ufu in naturalibus libris funt prodita, is nullo negotio intelliget quod cavernofus nervus, qui propriam colis fubftantiam conftituit, halituofo fpiritu impletus affectum hunc excitat. Porro halituofum fpiritum in animalis corpore ex humoribus qui lente fenfimve calefiant nafci didicimus. Nam ubi tum infitus calor validus eft tum partis humiditas ad fummum concocta, in tenuem halitum foluta infenfibili tranfpiratu in ambientem effluit. Contra ubi vel ingenitus calor imbecillior eft vel naturalis humor tum femicoctus tum craffus tum glutinofus, ibi craffior excitatur halitus quam ut tranfpirare poffit, ac potiffimum quum pars ipfa denfior eft reddita. Nonnunquam vero humor, qui in parte continetur, fubfri-

εχόμενον ὑγρὸν ὑπόψυχρόν τ' ἐστὶ καὶ παχὺ καὶ γλίσχρον· αὐξηθεῖσα δὲ ἡ θερμότης εἰς ἀτμοὺς αὐτὸ διαλύει παχεῖς. ὅπερ καὶ μάλιστά σοι σκεπτέον ἐστὶ καὶ διοριστέον, ὡς πρὸς τὴν θεραπείαν. ἡ μὲν γὰρ ἀρχὴ κοινὴ τῶν διαθέσεων ἀμφοτέρων προκενῶσαι τὸν ὅλον ὄγκον, ἣν ἂν οἷόν τ' εἴη δέξασθαι κένωσιν. εἴρηται δὲ πολλάκις ὑπὲρ τῆς ἐν τοῖς κενωτικοῖς βοηθήμασι δυνάμεως, ἅπερ ἐστὶ φλεβοτομία καὶ κάθαρσις, ἥ τε διὰ τῶν ὑπηλάτων φαρμάκων καὶ ἡ διὰ τῶν ἀνωτερικῶν ἢ ἐμετικῶν ὀνομαζομένων· ἔτι τε τρίψις πολλὴ καὶ κίνησις πᾶσα καὶ λουτρὰ καὶ μάλισθ' ὅσα διαφορητικῶν ὑδάτων ἐστί. οὕτω δὲ καὶ τὰ δριμέα φάρμακα χριόμενα διαφορεῖ καὶ πάνθ' ἁπλῶς ὅσα θερμαίνουσί τε καὶ ξηραίνουσι. κατὰ συμβεβηκὸς δέ τι καὶ ἡ ἀσιτία δέδεικται κενοῦν καὶ μάλισθ' ὅταν ᾖ τὸ περιέχον θερμόν. ὅπερ ἂν οὖν ἐκ ταύτων τῶν βοηθημάτων ὁ κάμνων ἐπιτηδειότατος ᾖ προσίεσθαι, τούτῳ κενωτέον αὐτὸν ἐπιτιθέντα τῷ μορίῳ φάρμακον, εἰ μὲν θερμότερον εἴη γεγονὸς, τῶν ψυχόντων, ἀνάλογον τῇ πλεονεξίᾳ τῆς θερμασίας· εἰ δὲ μὴ,

gidus eſt, praeterea craſſus et glutinoſus, auctior vero calor in halitus eum craſſos reſolvit. Quae res magnopere tibi ad curationem aeſtimanda diſcernendaque eſt. Siquidem principium ambobus affectibus commune eſt, nempe totum prius corpus vacuare ea nimirum evacuatione, quam ipſum ferre poſſit. Dictum vero a nobis ſaepe eſt de vacuantium auxiliorum facultate; ea ſunt miſſio ſanguinis et purgatio tum per ea medicamenta quae alvum ſubducunt, tum per ea, quae ſupra purgant, ſive ea vomitoria dicere mavis, praeterea multa frictio et omnis motio, itemque balneum potiſſimum quod ex aquis ſit diſcutientibus. Sed et acria medicamenta illita per halitum diſcutiunt, omniaque uno verbo quae calefaciunt et ſiccant. Ex accidenti etiam vacuare indicavimus et cibi abſtinentiam, potiſſimum ubi ambiens calet. Ergo quicquid horum auxiliorum ſuſtinere cubans aptiſſime poteſt, eo eſt vacuandus, imponendumque ipſi laboranti parti medicamentum, ſi ea calidior ſit effecta, quod ad proportionem caloris abundantis refrigeret. Sin aliter, inter initia qui-

κατ᾽ ἀρχὰς μὲν πάντως μετρίως ψῦχον, ὕστερον δ᾽ οὐκ ἀναγκαῖον. οὕτω δὲ καὶ τὰ κατὰ τὴν ὀσφῦν ἅπαντα μόρια παραληπτέον ἐστὶ φαρμάκῳ τὴν αὐτὴν δύναμιν ἔχοντι. καὶ τὴν ἄλλην δίαιταν ἄφυσόν τε καὶ ξηραντικὴν παραληπτέον. [527] γίνεται δὲ οὐ πολλοῖς μὲν τὸ πάθος τοῦτο, νεανίαις γε μὴν μᾶλλον ἢ κατ᾽ ἄλλην ἡλικίαν· ὥστε καὶ ἡ φλεβοτομία μάλιστα αὐτοὺς ὀνίνησιν, ὡς ἂν καὶ τῆς ἡλικίας οὐκ ἀρνουμένης αὐτῶν. οἶδα γοῦν ἐγώ τινα τῶν ὑπ᾽ ἐμοῦ θεραπευθέντων ἐν τρισὶν ἡμέραις εἰς τὸ κατὰ φύσιν ἐπανελθόντα διά τε φλεβοτομίας καὶ φαρμάκου τοιοῦδε· κηρωτὴν διὰ ῥοδίνου τοῦ ἁπλοῦ ποιήσας ὑγρὰν οὕτως, ὡς ἐπὶ τῶν καταγμάτων χρώμεθα μεθ᾽ ὕδατος ψυχροῦ, καὶ γὰρ θέρους ἦν ἀρχὴ, δεύσας τε καὶ ἀναφυράσας ἐπέθηκα τῷ αἰδοίῳ καὶ ταῖς ψόαις ὀνομαζομέναις. οὗτος μὲν οὕτως ἐθεραπεύθη. τούτου δ᾽ οὐχ ἧττον ἄλλος ἐπὶ τῇ φλεβοτομίᾳ τῷ διὰ τοῦ χαμαιμήλου χρησάμενος ὑγρῷ φαρμάκῳ. δίδωμι δ᾽ αὐτοῖς καὶ τῆς νυμφαίας πίνειν τό γε κατ᾽ ἀρχὰς, ἐφεξῆς δὲ τῆς ἄγνου τὸ σπέρμα· καὶ εἰ ἐπιχρονίζοι, πηγάνου δαψιλὲς ἐσθίειν. ἔστι γὰρ καὶ τοῦτο

dem omnino, quod modice refrigeret, poſtea vero id neceſſum non eſt. Pari modo et quae circa lumbos ſunt partes omnes ejusdem facultatis medicamento comprehendendae. Etiam reliquus victus exhibendus, qui et flatui adverſetur et ſiccet. Incidit vero affectio haec non ſane multis, ſed juvenibus magis quam aliis aetatibus, quo magis his ſanguinis miſſio praecipue eſt ſalutaris, ceu nec aetate eorum eam recuſante. Scio enim ipſe quendam a me curatum tribus diebus naturalem affectum recepiſſe ſanguine primum miſſo, dein medicamento hoc adhibito, ceratum ex ſimplici roſaceo factum ita liquidum, ſicut ad fracturas uti ſolemus, aqua frigida imbuens ac ſimul cum ea ſubigens, nam aeſtatis initium erat, pudendo ac lumbis vocatis impoſui atque ita quidem hunc percuravi. Simili modo et alium, qui poſt miſſum ſanguinem humido medicamento, quod ex chamaemelo conficitur, eſt uſus. Porro iſtis etiam nymphaeae aliquid potandum exhibeo ſaltem in principio, mox viticis ſemen, ac ſi traxerit adhuc *vitium*, rutae ſemen copioſe comedendum.

τὸ παράγγελμα κοινὸν ἐπὶ πάντων σχεδὸν τῶν διὰ μοχθηροὺς χυμοὺς συστάντων νοσημάτων, ὡς ἐπὶ τῇ τελευτῇ τοῖς θερμαίνουσι καὶ ξηραίνουσι χρῆσθαι· τελέως γὰρ ἐκκόπτει ταῦτα τὸ καταλειπόμενον τοῦ χυμοῦ.

Κεφ. η'. Γλῶττάν γε μὴν οὕτως ἐξαρθεῖσαν εἴδομεν, ὡς μὴ χωρεῖσθαι πρὸς τοῦ στόματος τοῦ ἀνθρώπου, μήτε πεφλεβοτομημένου ποτὲ καὶ τὴν ἡλικίαν ἑξηκοντούτου· δεκάτη δέ που σχεδὸν ὥρα τῆς ἡμέρας ἦν, ἡνίκα τὸ πρῶτον εἶδον αὐτόν. καί μοι καθαρτέος ἔδοξεν εἶναι τοῖς συνήθεσι καταποτίοις, ἃ διὰ τῆς ἀλόης καὶ σκαμμωνίας καὶ κολοκυνθίδος συντίθεμεν, εἰς ἑσπέραν δοθέντος τοῦ φαρμάκου· ἐπ' αὐτὸ μέντοι τὸ πεπονθὸς μέρος ἐπιθεῖναί τι συνεβούλευσα τῶν ψυχόντων τήν γε πρώτην· ὕστερον γὰρ, ἔφην, ἁρμοσόμεθα πρὸς τὸ ἀποβαῖνον. ἀλλ' ἑνί γέ τινι τῶν ἰατρῶν οὐκ ἐδόκει· καὶ διὰ τοῦτο τῶν μὲν καταποτίων ἔλαβεν· ἀνεβλήθη δ' ἡ περὶ τοῦ τοπικοῦ φαρμάκου σκέψις εἰς τὴν ὑστεραίαν, ἡνίκα καὶ μᾶλλον ἀνύσειν τι τὸ δοκιμασθὲν ἠλπίζετο, προκεκενωμένου δὲ τοῦ παντὸς σώματος, ἀντισπάσεώς τε πρὸς τὰ κάτω γεγε-

Est enim illud commune praeceptum omnium fere quos vitiosus humor creat morborum, quod in fine calefacientibus et siccantibus sit utendum, quippe haec quod reliquum humoris est prorsus absumunt.

Cap. VIII. Sane linguam ita tumefactam cuidam vidimus, ut ore hominis contineri non posset. Huic nec vena unquam incisa fuerat et sexagenarius jam erat, horaque diei fere decima erat, quum ad eum primum *accessi* et vidi. Ac visus mihi est usitatis mihi pilulis, quae ex aloe, scammonea et colocynthide constant vespere datis purgandus, ipsi tamen parti affectae suasi refrigerantium aliquid imponere saltem initio, post enim, inquam, applicabimus prout suadebit eventus. Verum id uni medicorum non placebat, ac propterea pilulas quidem sumpsit, de locali tamen remedio deliberatio in diem posterum est dilata, quo tempore etiam efficacius aliquid praestiturum quicquid probatum fuisset sperabatur, et purgato scilicet jam toto corpore et humoribus ad inferna

γημένης. ἀλλὰ διά γε τῆς νυκτὸς ἐναργέστατον ὄναρ αὐτῷ γενόμενον ἐπήνισέ τε τὴν ἐμὴν συμβουλὴν, ὥρισέ τε τοῦ φαρμάκου τὴν ὕλην, θριδακίνης χυλῷ διακλύζεσθαι κελεῦσαν· ᾧ δὴ καὶ μόνῳ χρησάμενος ὁ ἄνθρωπος ὤνητο τελέως, ὡς μηκέτ' ἄλλου δεηθῆναι. τό γε μὴν ἐπὶ τοῦ πριαπισμοῦ μᾶλλον ἐμετικοῖς φαρμάκοις χρῆσθαι τῶν ὑπηλάτων, ἐπὶ δὲ τῆς γλώττης ἔμπαλιν, εὔδηλον ὡς ἐκ τῆς τοῦ μορίου θέσεως ἔχει τὴν ἔνδειξιν. ἡ γὰρ ὑφ' Ἱπποκράτους ἀντίσπασις ὀνομαζομένη τὴν εὕρεσιν οὐκ ἀπὸ τῆς οὐσίας, ἀλλ' ἀπὸ τῆς θέσεως τοῦ θεραπευομένου λαμβάνει μορίου.

Κεφ. θ'. Καιρὸς οὖν ἤδη μεταβαίνειν ἐφ' ἕτερον ὄγκου γένος, (189) ἀπὸ τοῦ πράγματος ἀρξαμένους μᾶλλον ἢ τῆς προσηγορίας· αὕτη γὰρ ἀναμφισβήτητός τ' ἐστὶ καὶ ὄντως ἐπιστημονικὴ διδασκαλία. τὸ μὲν οὖν ἐπιῤῥεῖν τινα χυμὸν ἅπασι τοῖς τοιούτοις ὄγκοις ἐν τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων ἐπιδέδεικται γράμματι. τὸ δὲ μὴ τὸν αὐτὸν ἐν ἅπασιν εἶναι διὰ τῆς αἰσθήσεως ἐναργῶς φαίνεται, διαφερόντων γε τῶν ὄγκων οὐ τῇ χρόᾳ μόνον, ἀλλὰ καὶ ταῖς κατὰ θερμό-

revulfis. Caeterum ea nocte evidentiffimmm per quietem infomnium noftrum homini confilium approbavit ac materiam ipfam medicamenti definivit, lactucae fucco collui jubens, quo ille folo ufus prorfus eft fanatus, nullius alterius egens. Quod autem priapismo vomitoriis medicamentis potius quam alvum fubducentibus fit utendum, in linguae vitio contra, id ex partium fitu indicari manifeftum eft. Nam revulfionis ab Hippocrate dictae non a fubftantia, fed a curandae partis fitu inventio praeftatur.

Cap. IX. Jam vero tempus monet ut ad aliud tumorum genus tranfeamus atque a re potius quam nomine initium faciamus, ea namque haud dubie vereque fcientifica doctrina. Quod igitur omnibus ejusmodi tumoribus humor aliquis influit, id in libro quem de tumoribus praeter naturam fcripfimus indicatum eft. Quod autem non idem in omnibus fit, ipfe fenfus evidenter docet, differentibus nimirum ipfis tumoribus non colore modo, verum etiam iis quae

τητα καὶ ψυχρότητα καὶ σκληρότητα καὶ μαλακότητα διαφοραῖς. [328] ὁ μὲν οὖν ἐρυθρὸς ὄγκος ἐναργῶς ἐνδείκνυται τὸν χυμὸν ὑπάρχειν αἷμα, καθάπερ γε καὶ ὁ ξανθὸς καὶ ὠχρὸς τὴν τοιαύτην χολήν· ὁ δ᾽ ὑπόλευκός τε καὶ χαῦνος τὸ φλέγμα. γίνονται δέ τινες ὄγκοι παρὰ τούσδε, τῇ μὲν χρόᾳ μεταξὺ τῶν ἐρυθρῶν τε καὶ μελάνων, οἷόν περ τὸ φαιόν ἐστι χρῶμα. καλοῦσι δ᾽ αὐτὸ πολλάκις ἐν τοῖς τοῦ σώματος μέρεσι γενόμενον οἱ πλεῖστοι τῶν ἰατρῶν πελιδνόν. ἡ δ᾽ ἀντιτυπία καὶ τούτοις τοῖς ὄγκοις ἱκανή· καὶ εἰ φλέβας ἀξιολόγους ἔχοι τὸ μόριον, ἐξαιρουμένας ἰδεῖν ἔστιν αὐτὰς ὑπὸ παχέος τε καὶ μελαντέρου πως αἵματος, οἷόν περ ἐνίοτε καὶ κατὰ γαστέρα πολλοῖς τῶν ἡπατικῶν ἐκκρίνεται. καί τινες τῶν ἰατρῶν οὐ κακῶς μοι δοκοῦσιν εἰκάζειν αὐτὸ τῇ τοῖς οἴνοις ὑφιζανούσῃ τρυγί. ἐπὶ πλέον δ᾽ οὖν ὁ χυμὸς οὗτος ἐκθερμανθεὶς ἤτοι διὰ σῆψιν ἢ πυρετὸν φλεγμονώδη τὴν μέλαιναν ἐργάζεται χολὴν, ἧς οὔτε ζῶόν τι γεύεται μέχρι καὶ τῶν μυῶν ἥ τε γῆ ξύεται πρὸς αὐτῆς, ἕκαστόν τε τῶν ἀποξυσθέντων μερῶν εἰς ὕψος αἴρεται· καὶ καλεῖται τὸ γιγνόμενον,

ex calore, frigore, mollitie duritieque ſpectantur differentiis. Ac ruber quidem tumor evidenter ſubeſſe ſanguinem indicat humorem, ſicuti flavus et pallidus perſimilem ipſis bilem, ſubalbidus vero et laxus pituitam. Sunt autem et praeter hos tumores quidam, qui colore ſint inter rubrum et nigrum medio, cujusmodi color fuſcus eſt. Hunc quum in corporis partibus ſaepe incidat, plurimi medicorum lividum vocant. Renixus autem his quoque tumoribus valens eſt, ac ſi venas evidentiores pars haberet, exaltatas eas a craſſo et nigriore quodammodo ſanguine, cujusmodi per alvum aliquando non paucis hepaticorum excernitur, videre licebit. Suntque medici qui mihi eum non abſurde videntur faeci vinis ſubſidenti aſſimilare. Ergo hic humor, ubi amplius incaluerit, aut propter putredinem aut febrem phlegmonodem atram efficit bilem, quam nullum animal, ne ipſi quidem mures guſtaverint, terra quoque raditur ab ea ac partes quae raduntur omnes in altum attolluntur, vocaturque is aſ-

ὥς που καὶ Πλάτων ἔφη, ζέσις τε καὶ ζύμωσις. ἔστι γὰρ ὁ τοιοῦτος χυμὸς, οἷόν περ τὸ ὄξος ἐδείξαμεν ὑπάρχειν, ὑφ᾽ οὗ καὶ αὐτοῦ κατὰ γῆς ἐκχυθέντος ταὐτὸ γίνεται σύμπτωμα. διὸ καὶ καλοῦσιν οἱ παλαιοὶ τὸν χυμὸν τὸν τοιοῦτον ὀξὺν, καθάπερ τὸν τῆς ὠχρᾶς χολῆς πικρόν. οὐχ ἥκιστα δὲ καὶ κατὰ τοὺς ἐμέτους φαίνεται τοιοῦτος. ὥσπερ δ᾽ ὀλίγον ἔμπροσθεν ἔλεγον, ἕν μέν τι πάθος ἀκριβῆ σκίῤῥον ὑπάρχειν, ᾧ πρὸς τοῖς ἄλλοις ἀναισθησία σύνεστι, τοὺς δ᾽ ἄλλους ὄγκους, ὅσοι μηδέπω παντάπασίν εἰσιν ἀναίσθητοι, διχῶς ὀνομάζεσθαι πρὸς τῶν ἰατρῶν, ἤτοι σκίῤῥους, ἐπειδὴ τοῦ γένους εἰσὶ τῶν σκίῤῥων, ἢ σκιῤῥώδεις ὄγκους· οὕτω κἀπὶ τῶν χυμῶν ἡ μὲν ἀναμφισβητήτως μέλαινα χολὴ τοιαύτη τίς ἐστιν οἵαν ἄρτι διῆλθον, ὀξεῖα καὶ ζυμοῦσα τὴν γῆν, ἀηδής τε πᾶσι τοῖς ζώοις. ἡ δ᾽ ἐπιτηδεία γενέσθαι τοιαύτη καλεῖται διχῶς, ἤτοι μελαγχολικὸς χυμὸς ἢ μέλαινα χολὴ, τῶν οὕτως ὀνομαζόντων αὐτὴν ἐρούντων ἂν ἑτέραν μὲν εἶναι μέλαιναν ἐν τῷ κατὰ φύσιν ἔχειν τῷ ζώῳ ἑκάστης ἡμέρας γινομένην, ἑτέραν δὲ τὴν ἐκ συγκαύσεως καὶ οἷον κατοπτήσεως ἀποτε-

fectus, ut Plato quodam loco inquit, tum fervor tum fermentatio. Eft namque is humor talis, quale effe acetum docuimus, ex quo ipfo quoque fi in terram effuderis, idem affectus vifitur. Quo minus alienum eft, fi veteres ejusmodi humorem acidum nominarunt aeque ut pallidae bilis amarum. Sane non raro etiam in vomitionibus talis apparet. Verum, ficuti paulo ante dixi, unum quoddam affectum effe proprium verumque fcirrhum, qui praeter alia etiam infenfilis fit, reliquos tumores, qui nondum funt omnino infenfiles, publiciter effe a medicis vocatos, vel fcirrhos, propterea quod generis fcirrhorum funt, vel fcirrhofos tumores, fic et in humoribus, quae quidem haud dubie nigra eft bilis, ea talis eft, qualem modo pinximus, certe acida et terram fermenti ritu elevans, tum omni animanti injucunda. Quae vero fieri talis eft idonea, haec bifariam nuncupatur, vel melancholicus humor, vel atra bilis, qui fic eam nominant affirmantibus aliam effe nigram, quae dum animal naturaliter fe habet quotidie gignitur, aliam quae ex uftione ac velut

λουμένην. ὅπερ δ' ἀεὶ παρακελεύομαι, καταφρονεῖν μὲν ὀνομάτων, ἐπιστήμην δ' ἀσκεῖν ἀκριβῆ τῆς τῶν πραγμάτων φύσεως, οὕτω καὶ νῦν ποιητέον, ὀνομάζοντας μὲν ὡς ἂν ἐπέλθῃ, λόγῳ δ' ἑρμηνεύοντας ὡς γίνονταί τινες ὄγκοι παρὰ φύσιν ὑπὸ τοῦ τοιούτου χυμοῦ τὴν φύσιν οἷά πέρ ἐστιν ἐν οἴνῳ μὲν ἡ τρὺξ, ἐν ἐλαίῳ δ' ἀμόργη· καὶ ὡς οὗτοι τῷ χρόνῳ προϊόντι σηπομένου τοῦ χυμοῦ διὰ τὴν ἐν τοῖς ἀγγείοις σφήνωσιν ἕλκονται. ὥσπερ οὖν τἄλλα πάθη πάντα παμπόλλην ἔχει διαφορὰν κατὰ τὸ μέρος ἐν τῷ μᾶλλόν τε καὶ ἧττον, οὕτω καὶ τοῦτο. τῆς γάρ τοι φλεγμονῆς ἡ μὲν ἐξέρυθρός ἐστιν, ἡ δ' ὀλίγῳ τινὶ τοῦ κατὰ φύσιν ἐρυθροτέρα. τὸ δ' οὖν εἶδος ἢ γένος ἢ ὅπως ἂν ἐθέλῃς ὀνομάζειν, ἀμφοτέραις ταὐτόν· ἐρυθρότεραί τε γάρ εἰσι τοῦ κατὰ φύσιν, ὀδύνη τε πάντως αὐταῖς σύνεστι, παμπόλλην ἔχουσα καὶ ἥδε διαφορὰν ἐν τῷ μᾶλλόν τε καὶ ἧττον· οὕτω δὲ καὶ ἡ ἀντιτυπία καὶ ἡ τάσις τοῦ δέρματος οὐκ ἴση πάσαις· ἀλλὰ κοινόν γε ἐπ' αὐτῶν ἀντιτυπώτερον εἶναι τὸ μέρος ἢ πρόσθεν ἦν ὅτ' εἶχε κατὰ φύσιν, ἐξῆρθαί τε εἰς ὄγκον

affatione conflatur. Quod autem femper praecipio, ut nominibus contemptis ipfam naturae rerum fcientiam exerceas, id nunc eft faciendum, ac nominandum quidem prout fuccurret, caeterum oratione fic interpretandum, quod quidam praeter naturam tumores ex ejusmodi naturae humore proveniunt, cujusmodi eft faex in vino et amurca in oleo, et quod hi fpatio temporis putrefcente humore, propterea quod in vafis fit impactus, exulcerantur. Ergo ut reliqua omnia vitia plurimam habent particularem in majoris minorisque ratione differentiam, fic etiam hoc *vitium habet.* Quippe phlegmones alia quidem admodum rubra eft, alia paulo magis quam pro naturali habitu rubra. At fpecies five genus five quomodolibet appelles ambobus eft idem: nam et rubriores quam pro naturae modo funt et dolor omnino cum ipfis eft, qui ipfe quoque magnam habet in exceffu defectuque differentiam, ad eundem modum nec renixus nec cutis tenfio omnibus eft aequalis, commune tamen eorum eft tum quod pars magis renititur quam ante, quum naturaliter

τινὰ συνεκτεινομένου τε καὶ παρατεινομένου τοῦ δέρματος, εἰς ὅσον ἂν ὁ ὄγκος αἴρηται. οὕτως οὖν καὶ τὸ νῦν ἡμῖν ἑρμηνευόμενον πάθος ἐνίοτε μὲν ἀμυδρὰ καὶ σμικρὰ τὰ συμπτώματα καὶ λαθεῖν πως δυνάμενα τοὺς πολλοὺς ἐπιφέρει, [329] πολλάκις δ᾽ οὕτως ἰσχυρὰ καὶ μεγάλα καὶ σαφῆ πᾶσιν, ὡς μηδὲ παῖδα λαθεῖν. ἀλλά τό γε κοινὸν ἐν ἅπασι τοῖς κατὰ μέρος ἐφ᾽ ἑαυτὸ καλοῦν τὴν νόησιν ἕν γε νόσημα τὸ τοιοῦτον ἐνδείκνυται καὶ προσηγορίαν μίαν ἐπ᾽ αὐτῷ ἀναγκάζει τίθεσθαι. μεγάλων μὲν οὖν ἁπάντων ὄντων οὐδεὶς ἀμφισβητεῖ τῆς προσηγορίας, ἀλλ᾽ ὀνομάζουσι συμφώνως τὸ τοιοῦτον πάθημα καρκῖνον. ἀρχόμενον δ᾽ ἔτι λανθάνειν εἰκός ἐστι τοὺς πολλοὺς, ὥσπερ ἀμέλει καὶ τὰ τῆς γῆς ἀνίσχοντα φυτά· καὶ γὰρ καὶ ταῦτα μόνοις τοῖς ἀγαθοῖς γεωργοῖς διαγινώσκεται. τίς οὖν ἥ τε κοινὴ καὶ ἰδία τῆς θεραπείας ἔνδειξις ἐπὶ καρκίνου, καιρὸς ἤδη λέγειν. ἡ μὲν κοινὴ κενῶσαι μὲν ἐν τῷ παραχρῆμα τὸν γεννῶντα τὸ πάθος χυμὸν, ὁμοίῳ γένει κενώσεως τῇ τῶν ἄλλων ὄγκων ἔμπροσθεν εἰρημένῃ·

fe haberet, tum quod in tumorem quendam attollitur, extenta fcilicet attentaque eatenus cute, quatenus tumor affurrexit. Sic igitur et affectus quem modo defcribimus alias confufa exiguaque et quae vulgum fortaffe latere poffint affert fymptomata, faepe ita vehementia et magna et cunctis evidentia, ut ne clam puero fint. Verum commune illud in omnibus particularibus, quod intelligentiam ad fe trahit, unus id morbus effe oftenditur et unam fibi appellationem imponi cogit. At ubi magna quidem omnia funt, nemo de appellatione ambigit, fed nominant uno affenfu omnes ejusmodi affectum cancrum. Quum autem adhuc incipit, nihil miri eft fi vulgus lateat, non fecus profecto quam ftirpes quae e terra jam exeunt, nam hae quoque peritis tantum agricolis agnofcuntur. Ergo quaenam in cancro tum communis tum propria curationis indicatio fit, opportune nunc dicetur. Communis igitur eft, ut humorem unde affectus eft natus illico vacues fimili vacuationis genere ei quae in aliis tumoribus fupra eft comprehenfa; mox prohibere potiffi-

κωλῦσαι δὲ τοῦ λοιποῦ μάλιστα μὲν, εἰ οἷόν τε, μηδ᾽ ἀθροίζεσθαι κατὰ τὰς φλέβας τοιοῦτον χυμόν· εἰ δὲ μὴ, ἀλλὰ κενοῦν τε πάντως αὐτὸν ἐκ διαλειμμάτων ἅμα καὶ τῷ ῥωννύειν τὸ μόριον, ἵνα μηδὲν φέρηται πρὸς αὐτὸ τῆς τῶν χυμῶν περιουσίας. ὥσπερ οὖν τὸν πικρόχολον χυμὸν ἐκκενοῦμεν, καθαίροντες φαρμάκῳ τοιοῦτον ἕλκειν ἐπιτηδείῳ χυμὸν, οὕτω καὶ τὸν μελαγχολικὸν ἐκκενώσομεν ἢ διὰ τῶν ἁπλῶν τινος, οἷόν ἐστι τὸ ἐπίθυμον, οὗ πλῆθος δραχμῶν τεττάρων ἐν ὀῤῥῷ γάλακτος ἢ μελικράτῳ δίδομεν· ἤ τινος τῶν συνθέτων, οἷόν πέρ ἐστι καὶ τὸ ἡμέτερον συγκείμενον ἐκ δυοῖν καὶ τριάκοντα ἁπλῶν φαρμάκων. ἀλλὰ τὴν μὲν τούτων ὕλην ἐν ἑτέροις ἔχεις γεγραμμένην· ἐνταῦθα δὲ τὰ τῆς μεθόδου λεγέσθω. μετὰ γάρ τοι τὴν κάθαρσιν ἐπὶ πάντων τούτων ἐῤῥέθη πρόσθεν ὡς ἤτοι γ᾽ ὀπίσω χρὴ διώσασθαι τὸν κατασκήψαντα χυμὸν εἴς τι μόριον ἢ διαφορῆσαι· καὶ ὡς κατ᾽ ἀρχὰς μὲν ἔν τε τῷ τῆς καθάρσεως καιρῷ καὶ πρὸ αὐτῆς ἀπωθῆσαι, διαφορεῖν δὲ προκαθάραντα ἀκριβῶς ὅλον τὸ σῶμα. μετρίας μέν τοί γε

mum fi fieri poteft, ne de caetero ejusmodi humor in venis colligatur; fin id fieri nequit, faltem eum omnino ex intervallis vacuare, et fimul partem roborare, ne quid humorum redundantiae ad eam confluat. Ut ergo amarae bilis humorem medicamento quod eum humorem trahere fit aptum educimus, fic et melancholicum educemus vel fimplicium aliquo, cujusmodi eft epithymum, pondo drachmarum quatuor in fero lactis mulfave exhibitum: vel compofitorum aliquo, cujusmodi noftrum eft, quod ex duobus et triginta fimplicibus medicamentis eft compofitum. Sed horum materiam in aliis fcriptam habes. Hic autem quae ad *propofitam* methodum *proprie* pertinent dicamus. Poft namque purgationem illud de omnibus ejusmodi affectibus prius eft praeceptum, quod vel retro propellere humorem qui in parte procubuit oportet, vel ipfum difcutere, praeterea quod in principio quidem tam in ipfo purgationis tempore quam ante id repellere, ubi jam totum corpus exquifite purgaveris, difcutere. Ubi tamen mediocris tantum purgatio praeceffit,

τῆς καθάρσεως γενομένης μικτὸν εἶναι χρὴ τὸ προσφερόμενον φάρμακον ἐκ διαφορούσης τε καὶ ἀποκρουομένης δυνάμεως. ἑκάτεραι δ' εἰσὶν ἄπρακτοι περὶ τὸν παχὺν χυμόν· αἱ μὲν γὰρ ἀσθενεῖς αὐτῷ τῷ μηδὲν ἐργάζεσθαι μέγα, αἱ δ' ἰσχυραὶ τῷ σφοδρῶς μὲν ἤτοι διαφορεῖν ἢ ἀπωθεῖσθαι τὸ λεπτότερον ἐν τῷ κατὰ τὰς φλέβας αἵματι· τὸ δὲ παχὺ καὶ μελαγχολικὸν, ὃ τῇ τρυγὶ προσεικάζομεν, οὔτ' ἐκκενοῦν οὔτ' ἀποκρούεσθαι. τούτοις οὖν χρωμένῳ κατ' ἀρχὰς μὲν ἧττον ὁ ὄγκος ἐπίδηλος ἔσται, τὸ λείψανον δ' αὐτοῦ δύσλυτον ἀπεργασθήσεται. διὸ τῶν συμμέτρων ταῖς δυνάμεσι φαρμάκων ἐστὶ χρεία, μήτε νικωμένων διὰ τὴν ἀσθένειαν μήτε παχυνόντων ἰσχυρῶς τὸ αἷμα διὰ τὸ σφοδρὸν τῆς ἐνεργείας, ἔτι δὲ πρὸς τούτοις ἀδήκτων παντάπασιν· ἡ γὰρ κακοήθεια τοῦ πάθους ὑπὸ τῶν δακνόντων παροξύνεται καὶ ὥσπερ εἰώθασι λέγειν ἀγριοῦται. διὰ τοῦτ' οὖν ὅσα σύμμετρα μέν ἐστι ταῖς δυνά(190)μεσιν, ἄδηκτα δὲ ταῖς ποιότησιν, ἁρμόττει τοῖς τοιούτοις πάθεσιν. εὐπορία δὲ τῆς ὕλης αὐτῶν, ὡς ἐν τοῖς περὶ φαρμάκων ὑπομνήμασι ἐδείχθη, διὰ τῶν κεκαυμένων καὶ πεπλυ-

mixtum esse quod applicabitur medicamentum ex repellente discutienteque facultate conveniet. Sane ad crassum humorem inutiles sunt tum imbecillae eo, quod nullum operae pretium efficiant, tum valentes, quod vehementer tenuiores quae in venis sunt sanguinis partes vel discutiant vel retrudant, crassas vero et melancholicas quas faeci assimilavimus nec evacuent nec repellant. Ergo si his inter initia utare, minutus aperte tumor erit, caeterum quod reliquum ejus est contumax ad solvendum reddetur. Quare mediocrium virium medicamentis est opus, quae nec propter imbecillitatem vincentur, nec propter affectus vehementiam valenter sanguinem crassabunt, ad haec item quae omnino haud mordeant, quandoquidem affectus malignitas ab iis quae mordent irritatur ac, ut dici solet, efferatur. Propter haec igitur, quae viribus quidem sunt mediocria, qualitate vero minime mordentia, ejusmodi affectibus sunt idonea. Materiae vero copia, sicuti in libris de medicamentis est tradi-

μένων μεταλλικῶν ἐστι. τὰ μὲν γὰρ διὰ τούτων συγκείμενα φάρμακα μεγάλως τοὺς ἀρχομένους καρκίνους ἅμα ταῖς καθάρσεσιν ἰᾶσθαι δύναται· τοὺς μείζονας δ᾽ ἱκανὸν αὐτοῖς ἐστι κωλύειν αὐξηθῆναι. τούς γε μὴν ἰαθέντας, ὅπως μηκέτι γεννηθῶσι προφυλάξασθαι, τῆς ὑγιεινῆς ἐστι πραγματείας ἔργον, ἧς μόριόν ἐστι καὶ ἡ περὶ τῶν ἐδεσμάτων. [330] εἴ γε μὴν ἐγχειρήσεις ποτὲ διὰ χειρουργίας ἰᾶσθαι καρκῖνον, ἄρξαι μὲν κενοῦν ἀπὸ καθάρσεως τοῦ μελαγχολικοῦ χυμοῦ. περικόψας δὲ πᾶν ἀκριβῶς τὸ πεπονθὸς, ὡς μηδεμίαν ἀπολείπεσθαι ῥίζαν, ἔασον ἐκχυθῆναι τὸ αἷμα καὶ μὴ ταχέως ἐπίσχῃς, ἀλλὰ καὶ θλῖβε τὰς πέριξ φλέβας, ἐκπιέζων αὐτῶν τὸ παχὺ τοῦ αἵματος· εἶτα θεράπευε τοῖς ἄλλοις ἕλκεσι παραπλησίως.

Κεφ. ι΄. Ἔστι γε μὴν καὶ ἄλλο πάθος ὑπὸ χυμοῦ πάχέος τε καὶ ζέοντος γινόμενον. ἄρχεται δὲ τὰ πολλὰ μὲν ἀπὸ φλυκταίνης, ἐνίοτε δὲ καὶ χωρὶς ταύτης. ἀλλὰ κνᾶταί γε πάντως ἐν ἀρχῇ τὸ μόριον· εἶτ᾽ ἀνίσταται φλύκταινά τις,

tum, ex uftis elotisque metallicis habebitur. Quippe quae medicamenta ex his componuntur, una cum purgationibus ad fanandos incipientes cancros magnam vim habent, majores vero fat fuerit fi his prohibeantur augeri. Profpicere vero, ut qui jam funt fanati amplius non regenerentur, id artis de tuenda fanitate eft opus, cujus fane portio eft ea quae de cibis praecipit. Caeterum fi quando cancrum per chirurgiam curare audebis, coepiffe quidem a vacuando per purgationem melancholico humore oportebit. Ubi vero totum quod vitiatum eft prorfus excideris fic ut nulla fuperfit radix, fines effluere fanguinem, nec propere eum retinebis, imo premendo potius quae circum funt venas exprimes ex iis craffiorem fanguinem; mox aliis ulceribus fimiliter curabis.

Cap. X. Eft tamen et alius affectus qui ex humore craffo ferventeque nafcitur. Incipit hoc plerumque a puftula, aliquando vero et fine hac. Caeterum inter initia quibus hoc inftat fcabunt, partem omnino, mox oritur pu-

ης ῥηγνυμένης ἕλκος ἐσχαρῶδες γίνεται. πολλάκις δὲ οὐ μία φλύκταινα γεννᾶται κνησαμένων, ἀλλὰ πολλαὶ μικραὶ καθάπερ τινὲς κέγχροι καταπυκνοῦσαι τὸ μέρος· ὧν ἐκρηγνυμένων ὁμοίως ἐσχαρῶδες ἕλκος γεννᾶται. κατὰ δὲ τοὺς ἐπιδημήσαντας ἄνθρακας ἐν Ἀσίᾳ καὶ χωρὶς φλυκταινῶν ἐνίοις εὐθέως ἀπεδάρη τὸ δέρμα. ἅπασιν οὖν, ὡς ἔφην, ἕλκος ἐσχαρῶδες γίνεται, ποτὲ μὲν τεφρώδους ἐσχάρας, ποτὲ δὲ μελαίνης. ἥ τε πέριξ ἅπασα αὐτοῖς σὰρξ εἰς ἐσχάτην ἀφικνεῖται φλόγωσιν· οὐ μὴν τῇ χρόᾳ γ' ἔοικεν ἐρυσιπέλατι, ἀλλ' ἔτι καὶ τῆς φλεγμονῆς ἐπ' αὐτῷ γίνεται τὸ χρῶμα μελάντερον, ὡς εἰ καὶ μίξαις ἐρυθρῷ πλέονι τοῦ μέλανος ἔλαττον. ὅτι δὲ πυρέττουσιν οἱ οὕτως ἔχοντες ἐξ ἀνάγκης οὐδὲν ἧττον, ἀλλ' ἔτι καὶ μᾶλλον ἐκείνων οἷς ἐρυσιπελατώδης ἐστὶν ἡ φλεγμονὴ, πρόδηλον παντί. καὶ μὲν δὴ καὶ ὡς ἀπὸ φλεβοτομίας ἀρκτέον ἐστὶ τῆς ἰάσεως εὔδηλον εἶναι νομίζω τοῖς μεμνημένοις ὅσα περὶ φλεβοτομίας εἴρηται κατὰ τὴν τῶν πυρετῶν θεραπείαν. οὐκ ἄδηλον δ' οὐδ' ὅτι μέχρι λειποθυμίας ἐπ' αὐτῶν ἡ κένωσις γινο-

stula quaedam, qua rupta ulcus cum crusta gignitur. Saepe vero non una oritur scabentibus pustula, sed multae exiles, veluti milii semina crebrae in parte residentes, quibus perruptis similiter crustosum ulcus provenit. In carbunculis vero, qui per Asiam populatim sunt grassati, etiam citra pustulas nonnullis excoriata statim cutis est. Omnibus igitur ut dixi crustosum ulcus fit, modo crusta ipsa cineris colorem praeferente modo nigroren. Omnibus praeterea his circumposita caro in summam pervenit inflammationem, non tamen colore aspicitur erysipelatis, imo qui adhuc phlegmones colore fit nigrior, veluti si plusculo rubro minus misceas nigri. Quod autem necessario febricitent qui ita sunt affecti, idque non minus, imo magis quam illi quibus erysipelatosa est phlegmone, id utique latere neminem potest. Sed et incipiendam ab incisa vena curationem esse, id quoque neminem latere arbitror qui meminerit quae in curatione febrium de sanguinis missione diximus. Nec illud obscurum, sanguinis vacuationem, quae ad animi defectum usque fit

μένη μειζόνως ὠφελήσειε, πλὴν εἰ μὴ τῶν ἄλλων τι παρείη τῶν κωλυόντων φλεβοτομεῖν. ἐπὶ δὲ τοῦ πεπονθότος μέρους, ὅσον μὲν ἐπὶ τῇ φλογώσει τῶν χυμῶν, τῶν ψυχόντων ἐστὶ χρεία· διὰ δὲ τὸ πάχος τοῦ χυμοῦ καὶ μέντοι καὶ τὴν κακοήθειαν οὔτ᾽ ἀποτρέψεις ποτὲ τὸ ῥεῦμα· καὶ εἰ τούτου ποτὲ τύχοις, ἕτερόν τι ἐν τῷ βάθει βλάψεις. οὐ μὴν οὐδ᾽ ἐπιῤῥεῖν αὐτῷ συγχωρητέον ἐστὶν, ἀλλ᾽ εὑρίσκειν φάρμακα μετὰ τοῦ μετρίως ἀποκρούεσθαι καὶ διαφορεῖν δυνάμενα. τοιοῦτον δ᾽ ἐστὶ τό τε δι᾽ ἀρνογλώσσου κατάπλασμα καὶ τὸ δι᾽ ἑφθῆς φακῆς, ἄρτου κλιβανίτου μιγνύντων ἡμῶν αὐτοῖς ὅσον ἁπαλόν. ἔστω δὲ μὴ πάνυ τι καθαρὸς, ὥσπερ οὐδὲ ῥυπαρός γε ἄγαν. ὁ μὲν γὰρ ἀκριβῶς καθαρὸς ἐμπλαστικωτέρας οὐσίας ἐστὶν, ὁ δὲ πιτυρίας ἁδρομερεστέρας. κατ᾽ αὐτοῦ δὲ τοῦ ἕλκους ἐπιτιθεμένου τινὸς τῶν ἰσχυρῶν φαρμάκων, οἷόν ἐστι τὸ Ἄνδρωνος ἢ Πασίωνος ἢ Πολυείδου, λύοντα μετά τινος τῶν γλυκέων οἴνων αὐτὰ, μέχρι γλοιώδους συστάσεως. κάλλι-

adhibita, magis his etiam collaturam, nifi tamen aliud quippiam obftet ex iis quae venam incidi vetent. Imponi vero fibi laborans pars, quod ad humorum inflammationem fpectat, refrigerantia defiderat. Caeterum propter humoris craffitudinem atque etiam malignitatem nec fluxionem avertere unquam poteris, et fiquando id feceris, aliud quippiam quod in alto fit corpore offendes. Atqui nec affluere is permittendus eft, quin potius inquirenda medicamenta funt quae cum modice reprimendo etiam difcutere poffint. Tale eft tum cataplafma quod ex plantagine conficitur, tum quod ex cocta lente, mifcentibus his nobis micam panis teneram, qui clibano fit coctus. Efto autem panis nec omnino a furfure purus nec nimium ejus habens. Siquidem qui omnino purus eft, ejus fubftantia in cutis meatibus haerere eft apta, furfuraceus autem craffiorum eft partium. Super ipfum vero ulcus valens aliquod imponendum eft medicamentum, cujusmodi eft Andronis vel Pafionis vel Polyidae, liquarique id cum vino aliquo dulci ad fordium craffitudinem debebit.

στοι δὲ οἴνων εἰς τοῦτο Θηραῖός τε καὶ Σκυβελίτης ἐστίν· ὧν μὴ παρόντων σιραίῳ χρηστέον, ὃ καλεῖται παῤ ἡμῖν ἕψημα. τὰ δὲ τοῖς ἄλλοις ἕλκεσι προσφερόμενα φάρμακα πέττοντά τε καὶ διαπυΐσκοντα, ταῦτα οὐ χρὴ νῦν προσφέρειν· αὐξήσεις γὰρ τὴν σηπεδόνα τοῦ μορίου. [331] καὶ μὴν καὶ ἀποσχάζειν τοὺς τοιούτους ὄγκους, ὅταν γε προφλεβοτομήσῃς, οὐκ ἀνεπιτήδειον· ἔστωσαν δὲ βαθύτεραι τῶν συμμέτρων αἱ ἀμυχαὶ διὰ τὸ πάχος τοῦ λυποῦντος χυμοῦ. παυσαμένης δὲ τῆς φλογώσεως ὁμοίως τοῖς ἄλλοις ἕλκεσιν εἰς οὐλὴν ἄξεις τὸ ἕλκος. ἀρκεῖν ἡγοῦμαι καὶ περὶ τῶν ἀνθράκων εἰρῆσθαι τοσαῦτα.

Κεφ. ια΄. Τῶν δ᾽ ἄλλων ὄγκων ἐφεξῆς μνημονεύσω καὶ πρῶτόν γε τῶν καλουμένων χοιράδων. γίνονται δ᾽ αὗται σκιῤῥουμένων ἀδένων. καὶ ἡ θεραπεία γ᾽ αὐτῶν, ὅσον μὲν ἐπὶ τῷ πάθει, κοινὴ τοῖς ἐν ἄλλῳ τινὶ μέρει γινομένοις σκίῤῥοις· ὅσον δ᾽ ἐπὶ τῇ φύσει τοῦ μορίου, κατά τινας ἀδένας ἑτέρους προσλαμβάνει σκοποὺς διττούς. ἄμεινον δ᾽ ἴσως κἀνταῦθα διαστείλασθαί τι περὶ τῶν ὀνομάτων ἕνεκα σαφοῦς

Porro commodiffima ad hunc ufum vina funt, tum Theraeum tum Scybelites, quorum inopia fapa utendum, quae apud nos hepfema dicitur. Quae autem medicamenta reliquis adhiberi ulceribus folent, nempe quae concoquant et pus moveant, ea nunc adhibenda non funt, quando ita putredinem partis auxeris. Quin etiam fcarificare ejusmodi tumores poft fanguinis miffionem alienum non fit: funto autem incifiones mediocribus altiores, propter infeftantis humoris craffitudinem. Ceffante vero jam inflammatione ulcus ad cicatricem fimiliter reliquis ulceribus perduces. Atque hactenus de carbunculis dixiffe fat arbitror.

Cap. XI. Deinceps de reliquis agam tumoribus, orfus a ftrumis, quas choeradas vocant. Exiftunt hae glandulis in fcirrhos mutatis. Eftoque curatio earum, quod ad ipfum attinet affectum, iis fcirrhis qui in aliis partibus nafcuntur communis. Caeterum quod ad ipfius partis naturam fpectat, in quibusdam glandulis alias geminas curationis indicationes adjiciunt. Praeftiterit fortaffis hoc loco de nomini-

διδασκαλίας. ὅσοι μὲν γὰρ ἀδένες ἀγγείων σχιζομένων ἀναπληροῦσι τὸ ἐν μέσῳ, στήριγμα γινόμενοι τῆς σχίσεως αὐτῶν, οὐ μεγάλη τούτων ἡ χρεία τοῖς ζώοις ἐστὶν, ἀλλ' ἐκ περιττῆς μὲν προνοίας ὥσπερ ἄλλ' ἄττα τοὺς τοιούτους ἀδένας ἡ φύσις ἐδημιούργησε. τῶν δ' ἤτοι σίελον ἢ γάλα παρασκευαζόντων ἢ σπέρμα, καὶ μέντοι καὶ ὅσοι φλεγματώδη τινὰ γεννῶσιν ὑγρότητα κατὰ μεσεντέριον ἢ φάρυγγα καὶ λάρυγγα, μείζων ἡ χρεία. καί τινες οὐδὲ ἀδένας ὀνομάζουσι τοὺς τοιούτους, ἀλλ' ἀδενώδη σώματα πολὺ τῶν ἄλλων ἀδένων ἀραιότερά τε καὶ σπογγοειδέστερα τὴν οὐσίαν ὄντα· καὶ μέντοι καὶ καθήκουσιν εἰς τοὺς τοιούτους ἀδένας ἀρτηρίαι τε καὶ φλέβες αἰσθηταί. σκιῤῥωθέντας τε θεραπευτέον αὐτοὺς ὡσαύτως τοῖς ἄλλοις ἅπασι μορίοις. ὅσοι δ' ἐν ταῖς μεταξὺ χώραις τῶν ἀγγείων εἰσὶν, ἕτερος ἐν τούτοις προσέρχεται σκοπὸς τῆς ἰάσεως· ἐν ᾧ συναιρεῖται τῷ πάθει τὸ μέρος. ἔστι δὲ καὶ αὐτὸς οὗτος διττὸς, ἤτοι γ' ἐκκοπτόντων ἡμῶν σμίλῃ τὸ πεπονθὸς ὅλον, ὡς

bus aliquid clarioris doctrinae gratia diftinxiffe. Quippe glandulae quae quod in medio vaforum in diverfas partes diductorum habetur implent, ejusque diductionis pro firmamento funt, earum haud magnus ufus animantibus eft, fed ex abundantiore providentia, ficut alia quaedam, fic has quoque glandulas natura fabricavit. Earum vero quae vel falivam vel lac vel genitale femen, ad haec quae pituitofum quendam humorem in mefenterio vel faucibus vel larynge generant, earum major eft ufus. Atque aliqui has non glandulas, fed glandulofa vocant corpora, ut quae non paulo quam reliquae glandulae et rariore fint et magis fpongiofa fubftantia, quin etiam in has tum arteriae tum venae fenfibiles perveniunt. Atque hae quidem, quum in fcirrhofo funt affectu, non aliter quam caeterae omnes partes funt fanandae. At quae in medio vaforum fpatio confiftunt, in iis alia curationis indicatio praeftatur, qua fimul cum affectu etiam pars ipfa tollitur. Eft vero duplex ea quoque vel totum, quod affectum eft, fcalpello excidentibus nobis veluti

ἐπὶ τῶν καρκίνων, ἢ σηπόντων φαρμάκοις. ἥτις δ' ἐστὶν ἡ τῶν τοιούτων φαρμάκων ὕλη κατὰ τὰς περὶ τῶν φαρμάκων πραγματείας ἔχεις.

Κεφ. ιβ'. Ἐμοὶ δ' ἤδη καιρὸς ὑπὲρ τῶν ἄλλων ὄγκων εἰπεῖν, ὧν πρῶτός ἐστι τὸ καλούμενον ἀπόστημα. διττὸν δὲ καὶ τούτου τὸ γένος, ἓν μὲν ὅταν ἐκπυησάσης φλεγμονῆς ἀθροισθῇ τὸ πῦον, οἷον ἐν κόλπῳ τινί· τὸ δ' ἕτερον ἄνευ φλεγμονῆς προηγησαμένης ὑγροῦ τινος εὐθὺς ἐξ ἀρχῆς ἄλλοτε μὲν ἄλλου κατ' εἶδος, ἀλλὰ πάντως γε μὴν δριμέος ἀθροιζομένου κατά τι μόριον. ὑποδέρει δὲ τοῦτο τὰ περικείμενα σώματα· χώραν δὲ αὐτῷ παρασκευάζων ἤτοι μεταξὺ δυοῖν χιτώνων ἢ ὑπό τισιν ὑμέσιν. ὑποδέρει δὲ πάντως μὲν τῷ πλήθει διατείνων, ἔστι δ' ὅτε ἐν τῷ χρόνῳ δριμύτητά τινα σηπεδονώδη προσλαμβάνων. εὑρίσκονται δὲ διαιρουμένων σμίλῃ τῶν τοιούτων ἀποστημάτων ἰδιότητες οὐχ ὑγρῶν μόνων, ἀλλὰ καὶ στερεῶν τινων σωμάτων οὐκ ὀλίγαι. καὶ γὰρ ὀνύχων καὶ τριχῶν καὶ ὀστῶν καὶ ὀστράκων καὶ λίθων καὶ πώρων θραύσμασιν εὑρέθη τινὰ σώματα παραπλή-

in cancro, vel putrefcere id medicamento cogentibus. Porro quae ejusmodi medicamentorum materia fit, id in opere de medicamentis eft proditum.

Cap. XII. Mihi vero tempeftivum eft de aliis tumoribus docere, quorum fe primum abfceffus vocatus offert. Hujus duplex item genus eft, unum, quum phlegmone in pus verfa pus ipfum tanquam in finu aliquo eft collectum, alterum quum nulla praecedente phlegmone humor aliquis ftatim ab initio, isque alias fpecie alius, caeterum omnino acris in parte aliqua colligitur. Porro excoriat hic circumpofita corpora, fpatium videlicet fibi moliens vel inter duas tunicas vel fub certis membranis. Excoriat autem omnino ipfa copia diftendens, interdum vero acrimoniam quandam putredinofam tempore contrahens. Sane inveniuntur in hujusmodi abfceffibus, cum fcalpello funt divifi, proprietates quaedam non paucae nec humorum modo, fed etiam folidorum quorundam corporum. Siquidem unguium, pilorum, offium, teftarum, lapidum et pori fragmentorum fimilia in-

σια. καὶ μέντοι καὶ τῶν ὑγρῶν αὐτῷ τὸ μὲν οἷον βόρβορος [332] ἢ πηλὸς, ἢ ἐλαίου τις ἰλὺς, ἢ οἴνου τρύξ· τὸ δ' οὕτω δυσῶδες ὡς δυσχεραίνειν ἅπαντας. ἀλλὰ ταῦτα μέν ἐστι σπανιώτερα. συνηθέστατα δὲ γιγνόμενα τοῦ γένους τοῦδε τῶν νοσημάτων εἴδη ἐστὶ τρία, προσηγορίας ἕκαστον αὐτῶν ἰδίας τετυχηκὸς, ἀθήρωμα καὶ μελικηρὶς καὶ στεάτωμα, ἀπὸ τῆς ὁμοιότητος τῶν περιεχομένων οὐσι(191)ῶν κατὰ τοὺς ὄγκους. ἔστι γὰρ αὐτῶν ἡ μέν τις οἷόν περ τὸ στέαρ, ἡ δὲ οἷον μέλι, καί τις ἀθήρᾳ παραπλήσιος. οἱ σκοποὶ δὲ τῆς θεραπείας κοινοὶ διαφορῆσαι τὸ περιεχόμενον ἢ σῆψαι πᾶν ἢ ἐκτεμεῖν. ἔνιοι μὲν οὖν ὄγκοι τοῖς τρισὶν ὑποπίπτουσι σκοποῖς, ὅσοι λεπτότερον ὑγρὸν ἔχουσιν, ὡς ἡ μελικηρίς· ἔνιοι δὲ τοῖς δύο μόνοις, ὥσπερ τὸ ἀθέρωμα· καὶ γὰρ ἐκτεμεῖν καὶ σῆψαι οἷόν τε τοῦτο· τὸ δὲ στεάτωμα διὰ χειρουργίας μόνης θεραπεύεται μήτε σαπῆναι μήτε διαφορηθῆναι δυνάμενον. ἐπὶ δὲ τῶν ἐν βάθει συνισταμένων ἀποστημάτων καὶ μάλιστα κατὰ τὰ σπλάγχνα τὰ διὰ τῶν ἀρωμάτων φάρμακα λυσιτε-

venta in his corpora quaedam funt. Ac humorum ipforum alius veluti lutum vel caenum vel olei quidam limus vel vini faex, alius adeo graviter olens ut omnes averfentur. Verum haec rarius incidunt. Frequentiffima vero hujus morbi funt tria genera, quorum fingula propriam appellationem funt fortita. *Ea funt* atheroma, meliceris et fteatoma a fimilitudine contentarum in tumoribus fubftantiarum dicta. Eft enim aliud eorum veluti fevum, aliud veluti mel, aliud pulticulae fimile. Curationis vero eorum fcopi funt communes id quod continetur vel difcutere vel totum putre reddere vel excidere. Aliqui igitur ejusmodi tumorum triplicem curationis fcopum admittunt, quotquot ex tenuiore humore conftant, ut meliceris, aliqui duplicem tantum, veluti atheroma; etenim quod tum excidere tum putefacere licet, fteatoma vero fola manuum opera curatur, cum nec putrefieri poffit nec difcuti. In iis vero abfceffibus qui in alto corporis confiftunt, ac potiffimum in vifceribus, medicamenta quae ex aromatis componuntur maxime funt utilia.

λέστατά εἰσιν, ὧν ἡ δύναμις εἰς ἀτμούς τε λῦσαι καὶ διαφορῆσαι τὸ συνιστάμενον ὑγρόν. ἔστι δὲ καὶ ἄλλα πολλὰ μὲν τοιαῦτα· μάλιστα δὲ αὐτῶν εὐδόκιμα τό τε διὰ τῶν ἐχιδνῶν, ὅπερ ὀνομάζουσι θηριακὴν ἀντίδοτον, ἥ τ' ἀθανασία καλουμένη καὶ ἀμβροσία· ταῦτα μὲν οὖν πολυτελῆ· τῶν δ' εὐτελῶν ἄριστόν ἐστιν τὸ ἡμέτερον, ὃ διὰ τῆς Κρητικῆς καλαμίνθης σκευάζομεν. ἅπαντα δὲ τὰ τοιαῦτα κατὰ τὴν περὶ τῶν φαρμάκων πραγματείαν ἀθροιζόμενα, ἣν, ὡς ὀλίγον ἔμπροσθεν ἔφην, ἐπὶ ταῖς τρισὶ ταῖς ἔμπροσθεν ἄμεινον εἶναι νομίζω προσθεῖναι, χάριν τοῦ λείπεσθαι μηδέν.

Κεφ. ιγ'. Ἐπεὶ δὲ τῶν κατὰ τὴν χειρουργίαν πραττομένων οἱ σκοποὶ τὸ μέν τι κοινὸν ἔχουσι, τὸ δ' ἴδιον, ἄμεινον εἶναί μοι δοκεῖ μὴ διασπᾷν αὐτοὺς, ἀλλ' ἀθρόως ἅπαντας ἐν τοῖς τελευταίοις τῆσδε τῆς πραγματείας εἰπεῖν. νυνὶ δὲ τοσοῦτον ἔτι περὶ τῶν παρὰ φύσιν ὄγκων ῥητέον ἐστὶν, ὡς ὅσοι μὲν αὐτῶν ὅλῳ τῷ γένει παρὰ φύσιν εἰσὶ, ἐνδείκνυνται τὴν ἄρσιν, ὑπαγόμενοι κοινοτέρῳ σκοπῷ τῷ κατὰ πάντων ἐκτεταμένῳ τῶν τοιούτων, ὅσα ταῖς οὐσίαις

quorum facultas collectum humorem tum in halitum resolvit tum diſcutit. Sunt profecto et alia ejus generis non pauca, quorum laudatiſſima ſunt tum antidotus, quae ex viperis componitur, theriacen vocant, tum quae athanaſia vocatur, tum ambroſia; atque haec quidem ſumptuoſa, viliorum ſane optimum eſt noſtrum, quod ex cretica calamintha eſt compoſitum. Omnia vero id genus in opere de medicamentis colligemus, quod, uti paulo ante diximus, ſatius arbitror iis tribus quae ſupra memoravi, quo nihil deſit, ſubjicere.

Cap. XIII. Quoniam vero eorum quae per chirurgiam fiunt *curationis* ſcopi aliquid commune habent, aliquid proprium, ſatius nobis viſum eſt ea non diſtrahere, ſed univerſa in calce hujus operis apponere. Nunc porro tantulum etiam de tumoribus qui praeter naturam conſiſtunt eſt adjiciendum, quod quicunque ex his toto genere praeter naturam ſunt, ii ſui ablationem indicent communiori ſcopo, qui per omnia quae totis ſubſtantiis a naturae habitu receſ-

ὅλαις ἐξέστηκε τοῦ κατὰ φύσιν, ὥσπερ ἐπὶ τῶν στεατωμάτων καὶ ἀθερωμάτων ἔχει. τούτου δὲ γένους ἐστὶ καὶ ἡ καλουμένη μυρμηκία καὶ ἡ ἀκροχορδὼν, ὅ τ' ἐν τῇ κύστει λίθος ὑπόχυμά τε καὶ ἡ τῆς μύλης κύησις, ἐπὶ γυναικῶν, ὀνομάζουσι δ' οὕτω τὴν ἀδιάπλαστον σάρκα· πάντα γὰρ τὰ τοιαῦτα τελέως ἐκκόψαι σπεύδομεν. ὧν δὲ καὶ ὁ πεπονθὼς τόπος ἕν τι τῶν κατὰ φύσιν ἐστὶ μορίων, ὁ μὲν πρῶτος σκοπὸς ἰᾶσθαι τὸ πάθος, ὁ δ' ἐπ' αὐτὸ δεύτερος, ὅταν ἀνίατον ᾖ, συνεκκόψαι τῷ πάθει τὸ μέρος, ὡς ἐπὶ καρκίνου τε καὶ τῶν ἀθεραπεύτων ἁπάντων ἑλκῶν. ἔμπαλιν δ' ὡς ἐπὶ τῶν ὑποχυμάτων ἀποπίπτοντες τοῦ πρώτου σκοποῦ πρὸς ἕτερον ἄγομεν αὐτὰ τόπον ἀκυρώτερον. ἔνιοι δὲ καὶ ταῦτα κενοῦν ἐπεχείρησαν, ὡς ἐν τοῖς χειρουργουμένοις ἐρῶ. νυνὶ δ' ἀρκέσει τοσοῦτον εἰπεῖν, ὡς τὸ κατὰ τὰς ὑδροκήλας ὑγρὸν ἀλλότριόν ἐστι τῆς τοῦ σώματος οὐσίας ὅλῃ τῇ φύσει· καὶ τὸ κατὰ τοὺς ἀσκίτας ὑδέρους ὕδωρ. ὧν ἡ κένωσις [333] ἤτοι διὰ φαρμάκων γίγνεται διαφορητικῶν ἢ διὰ

ferunt extenditur fubjecti, veluti in fteatomatis et atheromatis habet. Hujus certe generis eft et quae myrmecia vocatur et quae acrochordon, praeterea in vefica calculus et hypochyma et in mulieribus molae in utero geftatio, ita vero appellant informem carnem, omnia namque talia fummovere in totum properamus. Quorum vero etiam locus ipfe affectus una quaepiam earum quae fecundum naturam funt partium eft, prima indicatio ut affectus fanetur. Secunda ab hac, fi infanabilis is fit, ut una cum affectu pars quoque ipfa excidatur, ficut in cancro et omnibus ulceribus quae curationem refpuunt. E contrario vero in fuffufione decidentes prima indicatione ad alium eam locum, qui minoris fit momenti, transferimus. Nonnulli quoque haec vacuare funt aggreffi, ficut in iis quae chirurgia tractantur dicam. Nunc illud dixiffe fufficiet, quod humor, qui in hydrocelis vifitur, alienus a corporis fubftantia tota natura fit, ficut etiam quae in afcitis hydropibus continetur aqua. Quarum certe vacuationem vel medicamentis quae difcutiant molimur vel chi-

χειρουργίας· ἐπὶ μὲν τῆς ὑδροκήλης διὰ καθέσεως σίφωνος, ἐπὶ δὲ τῶν ὑδέρων διὰ παρακεντήσεως. συνεκτέμνεται δὲ τῷ πάθει τὸ πεπονθὸς μόριον, ὥσπερ ἐπὶ τῶν ἔμπροσθεν εἰρημένων, οὕτω κἀπὶ τῶν κηλητῶν τοῦ περιτοναίου τι μέρος. ὡσαύτως δὲ καὶ ὁ γαργαρεὼν ἐνίοτε τῷ πάθει συνεκτέμνεται κατά τε τὰ σκέλη καὶ τοὺς ὄρχεις αἱ φλέβες τοῖς κιρσοῖς, ὅ τ' ἐν τῇ ῥινὶ χιτὼν τῷ πολύπῳ καὶ ὁ τετρημένος ὀδοὺς τῷ τρήματι. ἀλλὰ τούτων μὲν οὐδὲν δυνατόν ἐστιν ἐς τὸ κατὰ φύσιν ἀγαγεῖν· ἐπὶ δὲ τοῦ γαργαρεῶνος ἐργάζεσθαι χρὴ τοῦτο παντὶ τρόπῳ καὶ μὴ σπεύδειν ἐκτεμεῖν· ὅταν δὲ ἰσχνὸς καὶ ἱμαντώδης γένηταί ποτε, τηνικαῦτα ἀφαιρεῖν. τοιοῦτον μὲν οὖν αὐτὸν ἐργάσεται χρόνος μακρότερος· οἷον δ' Ἱπποκράτης ἔγραψε κατὰ τὸ προγνωστικὸν ὀλίγων ἡμερῶν ἀριθμός· οὕτω δὲ καὶ τἄλλα τὰ κατὰ μέγεθος ἐξιστάμενα τοῦ κατὰ φύσιν, ἐν οἷς ἐστι καὶ τὰ ὑπερσαρκοῦντα πάντα καὶ ἐγκανθίδες, οἵ τε κατὰ τὴν ἕδραν ὀνομαζόμενοι θύμοι. τινὰ δὲ τῶν τοιούτων ἑλκῶν ἐπαμφοτερίζει ταῖς ἰδέαις, ὥσπερ αἵ τε πολὺ τοῦ πέριξ δέρματος ἐξέχουσαι τῶν

rurgia, in hydrocele quidem immiſſo ſiphone, in hydropibus vero adhibita punctione. Porro exciditur una cum affectu ipſo, veluti in iis quae ante comprehenſa ſunt, etiam pars affecta, ita et in herniofis aliquid peritonaei. Pari modo et columella aliquando una cum affectu ipſo exciditur. Itidemque in cruribus et teſticulis una cum varicibus ipſae venae. Ad haec tunica in naſo cum polypo et foratus dens cum foramine, verum ex his nullum eſt quod ad ſtatum naturalem poſſit reduci. In columella vero id omnino eſt conandum, nec properandum ad eam excidendam, ſed quando gracilis eſt et ad lori tenuitatem redacta, tum eſt auferenda. Porro talem eam reddet longius tempus, ac qualem Hippocrates in praeſagiis deſcripſit, paucorum dierum numerus, aeque vero et caetera quae in magnitudine naturalem habitum exceſſerunt, in quibus annumeranda ſunt omnia quibus ſupercrevit caro et encanthides et qui in ſede thymi dicuntur. Sunt ex iſtiusmodi ulceribus et quae ambigua ſint ſpecie, veluti cicatrices, quae ſupra circumpoſitam cutim

οὔλων καὶ τὰ κατὰ τοὺς ὀφθαλμοὺς πτερύγια. τῆς γε μὴν ἰάσεως ἐπ᾽ αὐτῶν ὁ σκοπὸς πρόδηλος. ἐγκόπτεσθαι γὰρ δεῖ τὰ τοιαῦτα πάντα· καὶ χρὴ σκοπούμενον ἀεὶ τοὺς τρόπους τῆς ἀναιρέσεως ἐπὶ τὸν ἄριστον ἐξ αὐτῶν ἰέναι. σκοποὶ δ᾽ εἰσὶ τῆς κρίσεως τῶν ἀρίστων τρεῖς, ἥ τε τοῦ χρόνου τῆς θεραπείας βραχύτης, τό τ᾽ ἀνωδύνως αὐτὴν ἐργάσασθαι, καὶ τρίτος ἐπὶ τούτοις ἡ ἀσφάλεια. καὶ αὐτῆς τῆς ἀσφαλείας ἴδιοι σκοποὶ τρεῖς· εἷς μὲν καὶ πρῶτος ὡς τυχεῖν τοῦ τέλους πάντως· ἕτερος δὲ τὸ κἂν ἀποτύχωμέν ποτε τοῦ τέλους, ἀλλὰ μηδέν γε βλάψαι τὸν κάμνοντα· καὶ τρίτος, ὡς μὴ ῥᾳδίως ὑποτροπιάσαι τὸ νόσημα. κατὰ ταῦτά σοι κρίνοντι τὴν ἀρίστην ὁδὸν τῆς ἰάσεως ἐπὶ πάντων τῶν νῦν ἡμῖν προκειμένων εὑρεθήσεται ποτὲ μὲν ἡ διὰ τῆς χειρουργίας αἱρετωτέρα, ποτὲ δὲ ἡ διὰ τῶν φαρμάκων. ἡ μὲν οὖν διὰ τῆς χειρουργίας ἔν γε τοῖς νῦν ἡμῖν προκειμένοις ἐπὶ τὴν ἀναίρεσιν αὐτῶν σπεύδει τελείως ἐκκόψαι τοῦ ζώου τὸ παρὰ φύσιν, ὅλῳ τῷ γένει προαιρουμένη· τούτου δ᾽ ἀποτυγχάνουσα τοῦ σκοποῦ δεύ-

multum extant, item quae in oculis funt pterygia. Curationis tamen eorum indicatio manifefta eft. Siquidem talia omnia amovere oportebit, atque id femper agere ut rationibus quibus id fiat penfitatis optimam femper earum deligas. Sane optimae rationes tripliciter judicantur, tum ex temporis curandi brevitate, tum ex curando citra dolorem, tum ex maxime tuto curando. Rurfus ut tuto cures, tres proprii funt fcopi, unus primusque ut omnino abfolutionem operis confequaris, alter ut ficubi hunc non confequaris, faltem cubantem non laedas, tertius ut morbus non facile revertatur. His confiderationibus fi optimam curationis viam judicaveris, invenietur in omnibus, quae nunc propofuimus, quando potius chirurgiae et potius medicamentorum ope fit curandum. At chirurgiae quidem ftudium in iis praefertim quae nunc funt propofita ad interemptionem eorum feftinat, ut quae quod in animalis corpore toto genere praeter naturam habetur, id prorfus tollendum fibi proponat; quod fi perficere nequeat, proximum illud confilium habet, ut vitium

τερον ἔχει τὸν τῆς μεταθέσεως ἐπὶ τῶν ὑποχυμάτων. ἡ δὲ διὰ τῶν φαρμάκων πρώτῳ μὲν χρῆται σκοπῷ κενῶσαί τε καὶ διαφορῆσαι τὸ παρὰ φύσιν· εἰ δ' οὗτος ἀδύνατος εἴη, διὰ τὴν τοῦ μορίου φύσιν ἢ καὶ τὸ τοῦ πάθους ἀνίατον ἐκπυῆσαί τε καὶ διασῆψαι· δεύτερος δ' ἐπ' αὐτῶν σκοπὸς οὗτος. οὕτω γοῦν κἀπὶ τοῦ γαργαρεῶνος ποιοῦμεν, εἰς τὸ κατὰ φύσιν μὲν πρῶτον ἐπανάγοντες αὐτόν· εἰ δ' ἀποτύχοιμεν τούτου, τελέως ἐκκόπτοντες ἤτοι διὰ χειρουργίας ἢ διὰ φαρμάκων καυστικῶν. ἀλλὰ τὰ μὲν φάρμακα κάλλιον εἰς τὴν περὶ τῶν φαρμάκων ἀναβάλλεσθαι πραγματείαν, ἐπειδὴ τετάρτην ἄλλην ἄμεινον ἔδοξεν ἐπὶ τρισὶ πραγματεύεσθαι· τὴν δὲ χειρουργίαν ἐπὶ τῇ τελευτῇ τάξαι τῆσδε τῆς πραγματείας.

Κεφ. ιδ'. Οὔκουν ἔτι χρὴ διατρίβειν ἐν τοῖσδε· μεταβῆναι δὲ πρὸς τὰ παραπλήσια ἰάσεως δεόμενα τοῖς εἰρημένοις. ἔστι δὲ ταῦτα τά θ' ὑπερβάλλοντα τοῦ προσήκοντος ἐν ἀριθ[334]μῷ τε καὶ πηλικότητι καὶ τὰ κατ' ἄμφω ταῦτα ἐνδέοντα. νυνὶ μὲν οὖν ὠνόμασα τοῦ προσήκοντος· εἰ δὲ

transferat, *veluti* in hypochymatis. Quod vero ex medicamentis petitur, primum huc tendit, ut quod praeter naturam eſt tum vacuet tum diſcutiat, quod ſi per partis naturam aut etiam affectus rebellionem fieri non licet, ut id tum in pus vertat tum putrefaciat, hoc vero ſecundo loco deſtinat. Quippe ita in columella facimus, primum ad naturalem affectum eam revocantes; id ſi conſequi non eſt, prorſus amputantes, idque vel chirurgiae opera vel per cauſtica medicamenta. Verum medicamenta melius eſt in tractationem de iis differamus, quandoquidem tribus jam proditis, aliam quoque quartam adjiciendam ſtatuimus, ac chirurgiam in calce hujus operis apponamus.

Cap. XIV. Non eſt igitur, quod in his amplius immoremur, ſed tranſeundum ad ea quae ſimilem iis quae comprehenſa ſunt curationem deſiderant. Ea ſunt tum quae in numero et magnitudine convenientem modum excedunt, tum quae in ambobus his deficiunt. Dixi hoc loco convenientem, quod ſi conferentem vel conducentem vel ſecun-

καὶ τοῦ συμφέροντος ἢ κατὰ φύσιν ἢ χρησίμου ποτ' εἴποιμι, τὴν αὐτὴν ἕξει δύναμιν ὁ λόγος. εἴρηται μὲν ἑτέρωθι περὶ τῶνδε μακρότερον· ἀναμνῆσαι δὲ καὶ νῦν ἐπὶ κεφαλαίων ἅπαντα ἄμεινον εἶναί μοι δοκεῖ. πρῶτον τῶν κατὰ τὸ σῶμα πάντων ἐστὶν οὗ μάλιστα χρήζομεν, ἡ τῶν μορίων ἀόχλητος ἐνέργεια. ταύτην τε ἔχοντες φύσει διὰ τοῦτο συνήθως λέγομεν ὀρέγεσθαι τοῦ κατὰ φύσιν ἐνεργεῖν. ἐπεὶ δὲ τοῦτο αὐτὸ συνῆπται τῷ κατὰ φύσιν ἔχειν, εἰκότως οὐδὲν ἡγούμεθα διαφέρειν ἢ κατὰ φύσιν ἔχειν εἰπεῖν, ἢ κατὰ φύσιν ἐνεργεῖν. ἀλλὰ καὶ χωρὶς προσθήκης ἐνίοτε λέγομεν ἐφίεσθαι τοῦ κατὰ φύσιν ὑπακουομένου τῇ λέξει τοῦ ἔχειν ἢ ἐνεργεῖν, ἢ ἀμφοτέρων. αὕτη μὲν ἡ αἰτία τοῦ καλῶς εἰθίσθαι τοῖς ἰατροῖς τῇ τοῦ κατὰ φύσιν χρῆσθαι φωνῇ περὶ πάντων ὧν αἱρούμεθα κατὰ τὸ σῶμα. μαθεῖν δ' ἐστὶν ὅτι μὴ πρῶτον μηδὲ δι' (192) αὐτὸ τὸ κατὰ φύσιν ἡμῖν ἐστιν αἱρετέον, ἀλλὰ δευτέρως τε καὶ κατὰ συμβεβηκὸς, ἐν οἷς ἡ φύσις ἀποτυγχάνει. καὶ γὰρ ἕκτος δάκτυλος εὐθὺς ἐξ ἀρχῆς συνεγενήθη

dum naturam vel utilem alibi usurpavero, eadem fermonis vis erit. Ac dictum quidem de his est alibi latius, caeterum redigere in memoriam summatim omnia, etiam hoc loco melius fuerit. Omnium ergo quae in corpore habentur primum, cujus maxime indigemus, est ipsa partium minime impedita functio. Hanc vero, quia possidemus natura, idcirco publice dicimus expetere nos secundum naturam agere. Et quia hoc ipsum cum eo, quod secundum naturam se habet, est conjunctum, merito nihil interesse arbitramur an secundum naturam habere, an secundum naturam agere dicamus. Quin et sine additione interdum dicimus, expetere nos secundum naturam, utique subaudito in dictione vel agere vel ambobus. Atque haec quidem causa est cur medicis recte usurpata vox haec, secundum naturam, sit de omnibus quae in corpore ex sententia nostra esse cupimus. Scire autem licet in iis quibus natura deficit nec primum nec propter se ipsum quod secundum naturam est a nobis expeti, sed secundario et ex accidente. Siquidem sextus digitus nonnul-

τισὶ καὶ λείπων πέμπτος ἐγένετο καί τινα τοιαῦτα ἕτερα, τὰ μὲν ἀριθμῷ, τὰ δὲ μεγέθει τοῦ προσήκοντος ἐσφαλμένα. καὶ εἴπερ συνεχῶς μὲν ταῦτα, σπάνια δ' ἐγίνετο τὰ κατορθώματα, τοὐναντίον ἂν ἐπὶ τῶν τῆς φύσεως ἔργων ἐπράττομεν, οὐ φυλάττοντες ὥσπερ νῦν, ἀλλ' ἀναιροῦντες αὐτά. οὗτος ὁ λόγος ἀεί σοι μνημονευέσθω, διαφέρων εἰς τὴν τῶν ὀνομάτων χρῆσιν, ἐξαπατῆσαι δυναμένων τοὺς ἀσκέπτους ἐμποιῆσαί τε διαφωνίας φαντασίαν, ἐὰν ὁ μέν τις λέγῃ τὸ παρὰ φύσιν ἅπαν ἐκκόπτειν δεῖν· ὁ δὲ τὸ βλάπτον ἢ ἀσύμφορον ἢ λυμαινόμενον ταῖς ἐνεργείαις.

Κεφ. ιέ. Αὖθις οὖν ἀναλαβόντες ὑπὲρ τῶν πραγμάτων λέγωμεν, ἐπειδὴ τὰ τῶν ὀνομάτων ἡμῖν διώρισται, τὴν ἀρχὴν τῷ λόγῳ τήνδε ποιησάμενοι. παράκειται τοῖς εἰρημένοις νοσήμασι τὰ κατ' ἀριθμὸν ἢ μέγεθος ἐξεστῶτα τοῦ προσήκοντος. ἐφ' ὧν ἐκκόπτειν μὲν χρὴ τὸ περιττὸν, ἤτοι κατὰ μέγεθος ἢ κατ' ἀριθμόν· ἀνατρέφειν τε καὶ κατασκευάζειν τὸ λεῖπον, ὅταν γε δυνατὸν ᾖ τοῦτο πρᾶξαι. τὸν γάρ τοι πέμπτον δάκτυλον ἢ τοιοῦτόν τι μόριον ἕτερον οὐχ οἷόν τε

lis ab ipfo ftatim ortu eft congenitus et quintus defecit et alia quaedam fimilia, aliqua in numero, aliqua in legitima quantitate vitiofa. Ac fi quidem haec plurimum, recta vero rara fierent, contra quam nunc de naturae operibus ftatueremus, non tuentes ut nunc, fed auferentes ea. Haec ratio memoria tua nunquam excidat, quum fit ad nominum ufum utilis, quae tum fallere inconfideratos poffunt tum difcordiae phantafiam excitare, fi quis dicat totum quod praeter naturam eft effe tollendum, alter quod nocet aut inutile eft aut incommodat actioni.

Cap. XV. Ergo denuo repetentes de rebus loquamur, quando de nominibus eft nobis definitum, hinc orfi. Conjuncta enarratis jam morbis funt ea quae vel magnitudine vel numero a debito naturae modo funt aliena, in quibus amputare quidem conveniet quod magnitudine vel numero redundat, reficere autem et fingere quod defit, ubi videlicet fieri id licet. Quintum namque digitum aut talem

γεννῆσαι τοῖς ἰατροῖς, ἀλλ᾽ ἔστι μόνης τῆς φύσεως ἔργα τὰ τοιαῦτα πάντα. τὸ μέντοι τελέως ἀφαιρεῖν τὸ κατ᾽ ἀριθμὸν ὑπερβάλλον ἢ ἀποκόψαι τι τοῦ κατὰ τὸ μέγεθος ὑπεραυξηθέντος οὐδ᾽ ἡμῖν ἀδύνατον. ἓν γοῦν ἐστι τῶν ἰατρῶν ἔργων οὐ τὸ φαυλότατον, ὅταν εἰς πολυσαρκίαν ἐκτραπῇ τὸ σῶμα τοσαύτην ὥστε μηδὲ βαδίζειν ἀλύπως δύνασθαι μηδ᾽ ἅψασθαι τῆς ἕδρας διὰ τὸν ὄγκον τῆς γαστρὸς, ἀλλὰ μηδ᾽ ἀναπνεῖν ἀκωλύτως, ἐκτήκειν αὐτὸ καὶ καθαίρειν· ὥσπερ γε κἀπειδὰν ἐν ἀτροφίᾳ γένηται παραπλησίᾳ τοῖς ἐχομένοις φθόῃ, τῆς ἀναθρέψεως αὐτοῦ προνοεῖσθαι. πολλάκις δ᾽ οὐχ ὅλον, ἀλλ᾽ ἕν τι μέρος ἐν ἀτροφίᾳ γίνεται προηγησαμένης ἤτοι παραλύσεως ἢ δυσκρασίας μορίου. καί σοι καιρὸς ἤδη περὶ τῆς τούτων θεραπείας ἐπισκέπτε[335]σθαι τὴν ἀρχὴν ἀπὸ τῶν εἰς τὴν πολυσαρκίαν ἄμετρον ἐμπεσόντων ποιησαμένῳ. δέδεικται δ᾽ ἐν τοῖς περὶ κράσεων ἡ θερμοτέρα τε καὶ ξηροτέρα κρᾶσις ἰσχνὸν ἐργαζομένη τὸ σῶμα. τοιαύτην οὖν σοι ποιητέον ἐστὶ τὴν τῶν παχέων σωμάτων, εἰ μέλλοι γενήσεσθαι σύμμετρος. μεμάθηκας δ᾽ ἐν τῷ κατ᾽ ἐκείνην μὲν τὴν

aliam partem medico certe gignere non licet, fed unius naturae opus funt omnia talia. Verum in totum tollere quod numero redundat aut praecidere aliquid ejus, quod magnitudine modum excesfit, haec nobis quoque licent. Siquidem ex medici officiis unum eft, nec id leviffimum, ubi in corpulentia eo devenit corpus ut nec ingredi fine moleftia nec fedem propter ventris molem contingere, fed nec refpirare libere poffit, hanc liquare ac tollere, quemadmodum quum corpus in ea tabefcit atrophia, qualem phthoe correpti patiuntur, huic quoque reficiendo profpicere. Saepe autem evenit ut non totum corpus, fed una quaedam pars ex atrophia tabefcat, quam vel paralyfis vel partis intemperies praeceffit. Opportuneque jam de curatione horum confiderabimus, orfi ab iis qui corpulentia nimium onerantur. Oftenfum vero in libris eft de temperamentis quod calidior ficciorque temperies exile corpus reddat. Ergo talis tibi concitanda eft craffi corporis temperies, fi ad fymmetriam rediturum fit. Sane docuimus tum in illo opere tum nihilo fe-

πραγματείαν, ἀλλὰ καὶ κατὰ τὴν τῶν ὑγιεινῶν οὐδὲν ἧττον, ὀξέα γυμνάσια καὶ ἡ λεπτύνουσα δίαιτα καὶ φάρμακα τοιαῦτα καὶ τῆς ψυχῆς αἱ φροντίδες ἀποφαίνουσι τήν τε κρᾶσιν ὅλην θερμοτέραν καὶ ξηροτέραν καὶ διὰ ταύτην τὸ σῶμα λεπτότερον. ἐν μὲν δὴ τοῖς γυμνασίοις οἱ ὀξύτατοι δρόμοι μάλιστα ἁρμόζουσιν. ἡ δ᾽ ὕλη τῆς λεπτυνούσης διαίτης ἰδίᾳ γέγραπται καθ᾽ ἓν ὅλον βιβλίον. εἰ δὲ καὶ φαρμάκων δέοιντο τῶν λεπτυνόντων, εἴρηται μὲν καὶ ταῦτα κατὰ τὰς περὶ τῶν φαρμάκων πραγματείας· εἰρήσεται δὲ καὶ νῦν ὅσα δραστικώτατα τῶν τοιούτων ἐστὶν, οἷς ἀξιῶ σε χρῆσθαι καθαίρειν ἐπιχειροῦντα πολυσαρκίαν ἄμετρον. οἷς οὖν εἰώθασιν ἕνεκα παθῶν ἀρθριτικῶν ἔνιοι χρῆσθαι τμητικοῖς τὴν δύναμιν ἱκανῶς οὖσι, τούτοις καὶ σὺ χρῶ, θεραπεύειν ὑπερβάλλουσαν εὐσαρκίαν πειρώμενος. ἔστι δὲ τοιαῦτα πηγάνου τὸ σπέρμα καὶ μᾶλλον τοῦ ἀγρίου σὺν αὐτοῖς τοῖς κορύμβοις, ἀριστολοχία θ᾽ ἡ στρογγύλη καὶ τὸ λεπτὸν κενταύριον, ἥ τε γεντιανὴ καὶ τὸ πόλιον· ὅσα τε τῶν οὐρητικῶν ὀνομαζομένων ἰσχυρὰ, καθάπερ τὸ πετροσέλινον. ἕκαστον γὰρ τῶν τοιούτων καὶ αὐτὸ

eius in opere de tuenda sanitate, quod acuta exercitatio et tenuans victus et id genus medicamenta et animi cogitatio temperamentum totum et calidius et siccius ac propterea corpus exilius reddunt. Igitur in exercitationibus celerrimus cursus est idoneus. Tenuantis vero victus materia seorsum singulari libro est prodita. Quod si medicamenta tenuantia quoque requirant, etiam haec in operibus quae de medicamentis conscripsimus sunt edita, quamquam referentur eorum nunc quoque quae sunt efficacissima, quibus, ubi demere immoderatam corpulentiam studes, utaris suadeo. Ergo quae ad arthriticos affectus quidam exhibere solent, quae valentem incidendi facultatem habent, iis tu quoque, quum obesitatem curabis, utitor. Sunt porro talia rutae semen, praesertimque silvestris una cum ipsis corymbis et aristolochia rotunda, et minus centaurium et gentiana et polium, praeterea ex urinam cientibus ea quae pollentes habent vires, veluti petroselinum. Unumquodque enim talium tum

καθ᾽ αὑτὸ καὶ σὺν ἄλλοις λεπτῦναί τε τοὺς χυμοὺς ἱκανὸν καὶ κενῶσαι, τὰ μέν τοι δι᾽ οὔρων αἰσθητῶς, τὰ δέ τοι καὶ κατὰ τὴν ἄδηλον αἰσθήσει διαπνοήν· ἀλλὰ καὶ οἱ διὰ τῶν κεκαυμένων ἐχιδνῶν ἅλες ἱκανῶς λεπτύνουσι. καὶ πολλοὶ τῶν ἰσχνοτέρων ἢ μέσως εὐσάρκων ὑπὸ τῶν τοιούτων φαρμάκων πόσεως ἀπώλοντο, κατοπτηθέντος αὐτοῖς τοῦ αἵματος. ὥρμησαν δ᾽ ἐπ᾽ αὐτὰ θεασάμενοί τινας ἀπηλλαγμένους ἀρθριτικῶν παθῶν, οὐκ ἐπιλογισάμενοι τὴν κρᾶσιν τῶν ὠφεληθέντων, ὑγροτέραν τε καὶ φλεγματικωτέραν οὖσαν, οἵα πέρ ἐστι καὶ ἡ τῶν παχέων, ἐφ᾽ ὧν ἀκίνδυνος ἡ τῶν τοιούτων χρῆσις φαρμάκων. ἐγὼ γοῦν ἐθεράπευσα τινὰ νεανίσκον ἐτῶν ἐγγὺς τεσσαράκοντα, παχὺν ἱκανῶς γεγονότα, τῇ τε πρὸς τοὺς ἀρθριτικοὺς ἀντιδότῳ καὶ τοῖς ἁλσὶ τῆς θηριακῆς, αὐτῇ τε τῇ θηριακῇ μετὰ τοῦ καὶ τῇ ἄλλῃ διαίτῃ τῇ λεπτυνούσῃ χρῆσθαι καὶ γυμνασίων δρόμοις ὠκέσι. παρεσκεύαζον δ᾽ αὐτὸν ἐπὶ τὸν δρόμον, ἀνατρίβων μὲν πρῶτον ὠμολίνοις τραχέσιν, ἄχρι τοῦ φοινίξαι τὸ δέρμα, τρίβων ἐφεξῆς τρίψει δι᾽ ἐλαίου τῶν διαφορητικῶν τι φαρμάκων ἐχον-

ipfum per fe tum vero aliis mixta, univerfa et extenuare potenter humores et vacuare funt habilia, partim quidem fenfibiliter per urinas, partim per infenfibilem tranfpiratum, fed et fal quod ex combuftis fit viperis potenter extenuat. Multique quum vel graciliores vel mediocris habitudinis effent, ex ejusmodi medicamentorum potione perierunt, fanguine ipforum excocto. Ruerant autem ad ea propterea quod liberatos aliquos articulariis affectibus viderant, minime aeftimantes quod temperies eorum qui fanati fuerant humidior pituitofiorque erat, qualis nimirum obeforum eft, in quibus hujusmodi medicamentorum fecurus eft ufus. Ego namque juvenem quendam quadraginta circiter annos natum admodumque obefum percuravi, ufum tum antidoto, quae adverfus articularia vitia eft compofita, tum fale theriaco ipfaque theriace ac reliquo extenuanti victu et pro exercitatione curfu veloci. Porro praeparavi hominem ad curfum perfricando primum linteis afperis, quoad cutis ruberet, dein ftatim cum oleo quod in fe difcutiens aliquod

τος, ᾧ καὶ μετὰ δρόμον ἐχρώμην αὖθις. ἔστι δὲ ταῦτα σικύου ῥίζα τοῦ ἀγρίου καὶ ἡ ἀλθαία καὶ ἡ γεντιανὴ καὶ ἡ ἀριστολοχία καὶ ἡ τοῦ πάνακος ῥίζα καὶ τὸ πόλιον καὶ τὸ κενταύριον. ἐν δὲ τῷ χειμῶνι καὶ μετὰ τὸ λουτρὸν ἐπαλείφειν συμφέρει τῷ εἰρημένῳ ἐλαίῳ. οὐκ εὐθὺς δὲ τὴν τροφὴν ἐπὶ τοῖς λουτροῖς διδόναι προσήκει, ἀλλὰ κοιμᾶσθαι πρότερον, ἐπιτρέπειν δ', εἰ βούλοιντο καὶ αὖθις λούσασθαι πρὶν ἢ τραφῆναι. κάλλιον δ' ἐστὶ καὶ τὸ ὕδωρ τῶν διαφορητικῶν. εἰ μὲν οὖν αὐτοφυὲς ἔχοιμεν, ἐκείνῳ χρωμένους ὁποῖόν ἐστι καὶ τὸ κατὰ τὴν Λέσβον ἀπὸ τεσσαράκοντα σταδίων τῆς Μιτυλήνης· εἰ δὲ μὴ κατασκευάζοντας αὐτοὺς παραπλήσιον. ἔστι δὲ τὸ κατὰ τὴν Μιτυλήνην καὶ χρόᾳ καὶ δυνάμει τοιοῦτον, ὁποῖον ἂν γένοιτο μιχθέντος ἁλὸς ἄνθους ὕδατι θαλάσσης. τουτὶ γὰρ τὸ ὕδωρ καὶ τοῖς ὑδεριῶσι καὶ τοῖς ἄλλοις οἰδαλέοις ἐπιτήδειόν ἐστιν, ἰσχυρῶς ξηραῖνον· ὡσαύτως δὲ δὴ καὶ τοῖς πολυσάρκοις καὶ μάλιστα ὅταν αὐ[336]τοὺς ἀναγκάζῃ τις ἐν αὐτῷ κολυμβᾷν ὀξύτατα καὶ λουσαμένους πλέον μὴ παραχρῆμα πίνειν ἢ ἐσθίειν, ἀλλ' ἤτοι κοιμᾶσθαι πρότερον

medicamentum habebat, quo etiam poſt curſum rurſus utebar. Talia *medicamenta* ſunt tum cucumeris ſilveſtris radix tum althaea tum gentiana tum ariſtolochia tum panacis radix tum polium tum centaurium. Per hiemem vero etiam a balneo jam dicto oleo hominem reunxiſſe profuerit. Verum cibum exhibere non ſtatim a balneo, ſed interpoſito ſomno conveniet. Quod ſi velit etiam rurſus ante cibum lavari, permittes. Magis etiam ad rem pertinebit, ſi aquae ipſi diſcutienti facultas inſit. Ac ſi quidem talem aliquam ſponte natam habemus, ipſa utemur, cujusmodi in Leſbo viſitur a Mitylene ſtadiis quadraginta; ſin minus, ipſi ſimilem aliquam moliemur. Eſt porro ea quae in Mitylene conſpicitur et facultatibus et colore talis, qualis ſiat, ſi quis ſlorem ſalis aquae marinae miſceat. Haec ipſa aqua etiam hydropicis et reliquis tumefactis idonea eſt valenter deſiccans, ita profecto ut corpulentis, ac praecipue ſi quis ipſos cogat in ea celerrime natare, nec poſt largam lavationem protinus eſſe bibereve, ſed ſomno interpoſito aut omnino ſaltem quiete.

ἢ πάντως γε ἡσυχάζειν. εἰδέναι δὲ χρὴ καὶ προλέγειν τῷ θεραπευομένῳ τὴν πολυσαρκίαν ὡς ἔσθ' ὅτε διὰ κίνησιν ἀθροωτέραν εἰκός ἐστι καὶ πυρέξαι αὐτόν· ὅτι τε μήθ' ὁ πυρετὸς ἀνάρμοστος εἰς τὰ παρόντα γενήσεται, τοῦ ἰατροῦ καλῶς ἅπαντα πράττοντος. εὔδηλον γὰρ ὡς ὅταν ἐπὶ κόπων πυρέξωσιν καὶ οἱ οὕτω θεραπευόμενοι, καταστήσαντες αὐτῶν τὸν πυρετὸν, αὖθις ἐπὶ τὴν αὐτὴν ἰδέαν τῆς ὅλης θεραπείας ἀφιξόμεθα. φεύγειν δ' ἐπ' αὐτῶν χρὴ καὶ τοὺς τροφίμους οἴνους, οἷοί πέρ εἰσιν οἱ παχεῖς· τοῖς δὲ ὑδατώδεσι χρῆσθαι, τουτέστι τοῖς λευκοῖς μὲν τῇ χρόᾳ, λεπτοῖς δὲ κατὰ τὴν σύστασιν, ἢ τοῖς τεθαλαττωμένοις.

Κεφ. ιστ'. Ὅσους δ' ἀνατρέφειν βουλόμεθα καταλελεπτυσμένους, οἶνον μὲν δώσομεν τὸν παχὺν, ἐδέσματα δὲ τὰ παχύχυμα καὶ γυμνάσια τὰ βραχέα καὶ τρῖψιν τὴν μετρίαν· καὶ ἁπλῶς εἰπεῖν, ἅπαντα τοῖς εἰρημένοις ἐναντία πράξομεν. ἐπιτήδειον δ' αὐτοῖς ἐστι καὶ τὸ (193) πιττοῦσθαι δι' ἡμερῶν ἤτοι τριῶν ἢ τεττάρων· κάλλιστον γὰρ τοῦτο φάρμακον εἰς σάρκωσιν, ὥστ' εἰ καί τι μόριον ἔν ποτε πάθῃ, διὰ τούτου

Sane illud eſt ſciendum atque ab eo qui obeſitatem curat praedicendum, quod aliquando ex multo ſimul obito motu et febre hominem corripi eſt credibile, et quod febris ad rem propoſitam non aliena erit, ſi medicus recte omnia faciat. Etenim perſpicuum eſt, ubi ex laſſitudine febricitarint qui ita curantur, quod ſopita eorum febre rurſus ad eandem curationis formulam redibimus. Sane fugere in iis curandis conveniet et vina quae multum nutriunt, cujus generis craſſa ſunt, uti vero vel aquoſis, id eſt colore albis et conſiſtentia tenuibus, vel quibus mare eſt admixtum.

Cap. XVI. At ubi extenuatos reficere volumus, vinum exhibebimus craſſum, cibum vero qui humorem efficiat craſſum, exercitationes paucas, frictionem mediocrem, ac ut ſumma complectar, omnia jam dictis contraria moliemur. His vero etiam picari commodum eſt, trium vel quatuor dierum ſpatio, nam id ad carnem inſtaurandam egregium medicamentum eſt, adeo ut ſi qua pars una quandoque labo-

τοῦ βοηθήματος ἀνατρέφειν αὐτό. καὶ ἡμῖν ἤρκεσεν ἐπὶ πάντων σχεδὸν μόνον τοῦτο· καὶ γὰρ καὶ θερμαίνει καὶ ὑγραίνει πλῆθος αἵματος ἐπισπώμενον. οὔτ᾽ οὖν συνεχῶς χρὴ προσφέρειν αὐτὸ τοῖς κάμνουσι σώμασιν, οὔθ᾽ ὅτε χρὴ καταχρίειν πολλάκις, ἀλλ᾽ ἐν μὲν χειμῶνι δὶς, ἐν θέρει δ᾽ ἅπαξ ἀρκεῖ. τοῖς δ᾽ ἐκ γενετῆς ἔχουσιν ἰσχνότερά τινα μόρια καὶ οἱ ἀνδραποδοκάπηλοι βοηθοῦσι διὰ τοῦ βοηθήματος τοῦδε μετὰ τῆς καλουμένης ἐπικρούσεως, ἔστι δὲ κἀκείνοις συμμετρία τις, ὡς μὴ μᾶλλον τοῦ δέοντος γίγνοιτο μήτ᾽ ἔλαττον, οὔσης τοιᾶσδε. ναρθήκια λεῖα μετρίως ἀληλιμμένα κατὰ τῶν ἰσχνῶν μορίων ἐπαράσσουσιν, ἄχρι περ ἂν ἐξαρθῇ μετρίως· ἐν τούτῳ γὰρ τὸ ὅλον ἐστὶν, ὥσπερ καὶ Ἱπποκράτης ἔλεγεν ἐπὶ καταντλήσεως ὕδατος θερμοῦ, τὸ μὲν πρῶτον ἀείρεται, ἔπειτα δ᾽ ἰσχναίνεται. πάντ᾽ οὖν ἃ εὐσαρκῶσαι βουλόμεθα μόρια καὶ τρίβειν χρὴ καὶ καταντλεῖν καὶ παίειν καὶ πιττοῦν ἄχρι περ ἂν ἐξαρθῇ· γενομένου δὲ τούτου, παραχρῆμα παύεσθαι χρὴ πρὶν ἄρξασθαι διαφορεῖσθαι. τὰ γάρ τοι θερμαίνοντα πάντα

ret, ea hoc praefidio reftituatur. Ac nobis quidem in omnibus ferme hoc unum fatisfecerit, fiquidem humectat et calefacit, fanguinis multitudine accita. Ergo nec affidue id aegrotanti corpori admovere conveniet, nec quum conveniet, faepe illinere, verum in hieme bis, in aeftate femel id fecifle eft fatis. Quibus vero ab ortu graciliores funt partes quaedem, iis etiam mangones puerorum hoc ipfo praefidio fuccurrunt una cum percuffione, quam epicrufin vocant, eft porro et illius commoderatio quaedam, ut nec plus jufto nec minus fiat. Ea talis eft. Ferulas parvas ac leves modice illitas gracilibus partibus incutiunt, donec modice attollantur, quippe in hoc fumma rei eft, ut Hippocrates de pertufione aquae calidae dixit, *primum quidem pars intumefcit, poft gracilefcit.* Ergo quibuscunque partibus bonam corpulentiam reddere ftudemus, has et fricare et perfundere et percutere et picare oportebit tantisper, dum intumefcant; hoc ubi factum eft, protinus defiftere prius quam difcuti coeperint. Etenim, quae calefaciunt omnia ficut attra-

καθάπερ ἕλκειν πέφυκεν, οὕτω καὶ διαφορεῖν. ἐὰν οὖν ἀναμείνῃς διαφορηθῆναι τὸ ἑλχθὲν, οὐδὲν ἕξεις πλέον. οὕτω καὶ πυγάς τις ἀνδραποδοκάπηλος ἔναγχος ηὔξησεν ἐν ὀλίγῳ χρόνῳ παιδὸς ὑπολέπτου, συμμέτρως μὲν τῇ κατακρούσει χρώμενος ἑκάστης ἡμέρας ἢ παρὰ μίαν, συμμέτρως δὲ πιττῶν. ἀλλὰ τοῖς γε τὸ σύμπαν σῶμα λεπτοῖς καὶ λούεσθαι μετὰ τροφὴν ἐπιτήδειον. ὥσπερ δὲ τοῖς λεπτύνουσι βοηθήμασι κίνδυνος ἦν ἀκολουθῆσαι πυρετὸν ὑπερθερμανθέντος ἀμέτρως τοῦ σώματος, οὕτω καὶ τοῖς λουομένοις ἐπὶ τροφαῖς κίνδυνός ἐστι κατὰ τὸ ἧπαρ ἔμφραξιν γενέσθαι, καὶ μάλιστα διὰ τὸ τῶν ἐδεσμάτων εἶδος· ἐμφράττει γὰρ καὶ ἄλλως τὰ παχύχυμα, χρωμένων ἐπὶ πλέον αὐτοῖς. ὅπου δὲ καὶ ἄλλως τοῦτο δρᾷν πέφυκε, πολὺ δὴ μᾶλλον ἐπὶ βαλανείοις ἅμα τροφῇ τοῦτο δράσει. γίνεταί γε μὴν καὶ λίθων ἐν νεφροῖς σύστασις ἐπὶ τῇ τοιαύτῃ διαίτῃ χρονιζούσῃ· [337] διὰ τί δὲ, οὐ πᾶσι γίνεται πρόδηλον. ἐνίους μὲν γὰρ εἰκός ἐστιν ἤτοι πυκνοὺς ἔχειν τοὺς νεφροὺς ἢ στενὰς τὰς ἀναστομώσεις τῶν ἐν ἥπατι φλεβῶν, ἐνίους δὲ τἀναντία. καὶ τούτων

here, ita etiam difcutere funt apta. Si ergo perftes, dum quod attractum eft difcuffum fit, operam luferis. Ad hunc modum mango quidam proxime nates pueri gracilioris brevi auxit, percuffu mediocri quotidie ufus aut *faltem* alternis diebus, item moderata picatione. Caeterum quibus totum corpus eft extenuatum, iis lavari quoque poft cibum eft idoneum. Veluti autem metus erat, ne tenuantibus auxiliis febris fuccederet, corpore immodice per haec calefacto, fic iis qui a cibo lavantur periculum eft ne fibi jecur obftruatur, potiffimum propter ciborum fpeciem, quippe quum aliter quoque obftruere foleant quae humorem craffum gignunt, fi quis his liberalius utatur. Ubi igitur alias id efficere folent, multo profecto promptius idem poft balneum cum alimento facient. Incidit tamen ex tali victu diutius exhibito etiam calculi in renibus generatio, quod vitium cur omnibus non contingat fatis patet. Nam incredibile non eft quibusdam vel denfos admodum effe renes vel peranguftias venarum jecoris ofculationes, quibusdam effe con-

Ed. Chart. X. [337.] Ed. Baf. IV. (193.)

διάγνωσις οὐδεμία σαφής ἐστιν· ἀλλ' ἐπερωτᾷν χρὴ τὸν διαιτώμενον, ὡς εἴρηται, συνεχῶς εἴ τις αὐτῷ βάρους αἴσθησις ἐν ὑποχονδρίῳ δεξιῷ καὶ κατὰ τοὺς ψόας γίγνεται. κἂν αἴσθηταί ποτε τοιούτου τινὸς, αὐτίκα δι' ὀξυμέλιτος διδόναι κάππαριν ἐν ἀρχῇ τῆς τροφῆς, ἄχρι περ ἂν καταστῇ τὸ βάρος. ἐπὶ δὲ τῶν δυσκόλως ἀνατρεφομένων μορίων καὶ πλέον ἤδη κατεψυγμένων ἐχρησάμην ἐνίοτε καὶ θαψίᾳ, ποτὲ μὲν μετὰ μέλιτος ἐπιχρίων τὸ μόριον, ἔστι δ' ὅτε καὶ κηρωτῆς· ἐπισπᾶται γὰρ καὶ αὕτη τοῖς μορίοις οἷς ἂν ἐπιτεθῇ πλῆθος αἵματος. ἐφ' ὧν δὲ ὀλίγον ἐνδεῖ τῷ δέρματι τοῦ αἰδοίου πρὸς τὸ κατὰ φύσιν, ἐπὶ τούτων ἄνευ θαψίας πολλάκις μόνῃ τῇ τάσει τὸ δέον εἰργασάμην, ἶνα χάρτου μαλακὴν καὶ εὔτονον ἐν κύκλῳ περιελίττων ὑποκεχρισμένῳ τῷ δέρματι κόμμεως. εὔδηλον δὲ δήπουθεν ὅτι καὶ τὸ τῆς ἰνὸς πέρας ἐπικολλᾷν χρὴ διὰ κόμμεως τῷ ὑποβεβλημένῳ ἄνω μέρει τῆς ἰνός· ἔν τάχει τε γὰρ ξηραίνεται καὶ ἀλύπως σφίγγει. προϋποτιθέναι δὲ χρὴ τοῦ δέρματος τῆς πόσθης ἐκ τῶν ἔνδον

traria. Horumque dignotio nulla plane certa eſt, ſed percunctandum aſſidue ab eo, qui jam dicto modo eſt cibatus, num quis illi gravitatis ſenſus in dextro hypochondrio et circa lumborum carnes ſit. Quod ſi quid tale aliquando ſenſerit, protinus cappari ex oxymelite in principio cibationis, donec conſtiterit gravitas, dabitur. Ad partes vero quae aegre reficiebantur ac pluſculum jam refrigeratae erant, uſus aliquando et thapſia ſum, alias ea ex melle partem illiniens, alias etiam ex cerato, ſiquidem attrahit ea quoque partibus quibus ſuperpoſita fuerit ſanguinis copiam. Quibus autem exiguum aliquid pudendi praeputio de naturali deeſt quantitate, iis non raro citra thapſiam ſola tenſione debitum modum reddidi, chartae membranulam mollem firmamque cuti gummi illitae circumvolvens. Satis autem conſtat, quod etiam membranulae finem parti ſuperiori ſubjectae agglutinari gummi oportebit, ſiquidem et ſiccatur cito et ſine dolore adſtringit. Porro cuti praeputii ex interna parte rotundum aliquid commoderatum ſupponi prius oportebit, quod et

Ed. Chart. X. [337.] Ed. Baf. IV. (193.)

μερῶν στρογγύλον τι σύμμετρον, ὃ καὶ μετὰ τὸ κολλῆσαι τὴν ἵνα ῥᾳδίως ἐξαιρήσεις. ἔνιοι δὲ τῶν διὰ θαψίας ἐπαγόντων τὴν ποσθὴν τὸ στρογγύλον τοῦτο μολύβδινον ἐποίησαν ὥσπερ τι σωληνάριον· εἶτ᾽ ἔξωθεν αὐτὸ περιτείνοντες τὸ δέρμα τῆς ποσθῆς καταδοῦσιν ἱμᾶντι μαλακῷ. καὶ γένοιτ᾽ ἄν ποτε καὶ τοῦτο χρήσιμον ἐφ᾽ ὧν ἐνδεῖ πολὺ τοῦ δέρματος· εἰ δ᾽ ὀλίγον εἴη τὸ λεῖπον, ἀρκεῖ μόνον, ὡς εἴρηται, τὸ χαρτίον ἐν κύκλῳ περιελιττόμενον· ἐν αὐτῷ δὲ τῷ περιβάλλειν τε τῷ δέρματι καὶ κατακολλᾷν αὐτὸ προϋποκεῖσθαι χρὴ τὸ σωληνάριον. ἐγὼ δὲ εἴωθα, εἰ καὶ μηδὲν τούτων παρῇ, τοῦ χάρτου σύμμετρον ἑλίττων ἐνθεῖναι στήριγμα τοῦ περιβλήματος, ἵν᾽ ὕστερον, ὅταν ἀκριβῶς παγῇ τὸ περιελιττόμενον ἔξωθεν ἐξαρθέντος τοῦ στηρίγματος, εὐκόλως οὐρεῖν ὑπάρχῃ τῷ θεραπευομένῳ. πρόδηλον δ᾽ ὅτι καὶ τοῦτο τὸ πάθημα τοῦ γένους τῶν νοσημάτων ἐστὶν, ὃ κατὰ πηλικότητα τοῦ κατὰ φύσιν ἐξέστηκεν, ἐνίοτε μὲν ἀποσαπείσης τῆς ποσθῆς γινόμενον, ἐνίοτε δὲ ἐξ ἀρχῆς ἔλαττον συγγενόμενον. ὑπάγεται δὲ καὶ χειρουργίας τρόπῳ διττῷ· ποτὲ μὲν ἄνω κατὰ τὴν

poftea quam agglutinata membranula eft facile eximas. Eorum vero qui thapfia praeputium adducunt quidam rotundum id e plumbo fecerunt, veluti tubulum quendam, mox illi extrinfecus praeputii cutim circumtendunt ac molli loro deligant. Fueritque et id nonnunquam utile quibus multa defit cutis, quibus autem exiguum eft quod deeft, iis, ut dictum eft, fola chartulae circumdata fufficiat, ubi autem circumdabitur cuti et agglutinabitur, fubtus imponi tubulum prius oportebit. Ego vero, fi nihil horum praefto fit, modicum chartae involvens immittere pro fulcimento praeputii foleo, ut poftea, quum plane coaluit quod foris eft circumdatum, exempto quod fulciverat facile mejat is qui curatur. Conftat vero hunc quoque affectum ex eo morborum effe genere quod naturalem magnitudinem eft egreffum, interdum putrefcente praeputio oborientem, interdum ab ipfo ortu minorem quam par erat congenitum. Subjicitur autem duplici chirurgiae rationi, interdum in fuperna pudendi

Ed. Chart. X. [337.] Ed. Baf. IV. (193.)

ἀρχὴν τοῦ αἰδοίου τὸ δέρμα τεμνόντων κυκλοτερῶς, ἵνα καλυθείσης αὐτοῦ τῆς συνεχείας ἕλκεσθαι κάτω μέχρι τοῦ σκεπάσαι τὴν καλουμένην βάλανον ὅλην· ἐνίοτε δὲ ὑποδερόντων σμίλη κατὰ τὰ ἔνδον ἀπὸ τῆς κατὰ τὴν βάλανον ῥίζης, εἶθ' ἑλκόντων κάτω, κἄπειτα δεσμευόντων, ὡς εἴρηται, μαλακῷ τινι. λεχθήσεται δὲ περὶ τῶν τοιούτων τρόπων ἐπὶ προήκοντι λόγῳ, καθάπερ γε καὶ περὶ κολοβωμάτων· οὕτως γὰρ ὀνομάζουσι τὰ κατὰ χεῖλος ἢ πτερύγιον ῥινὸς ἢ οὖς ἐλλείποντα. μεθοδεύεται γάρ πως καὶ ταῦτα· πρῶτον μὲν ὑποδερόντων ἑκατέρωθεν τὸ δέρμα, μετὰ δὲ τοῦτο ἐπαγόντων καὶ συναγόντων ἀλλήλοις τὰ χείλη τῶν δερμάτων, ἀφαιρούντων τε τὸ τετυλωμένον ἑκατέρου, κἄπειτα ῥαπτόντων τε καὶ κολλώντων. ἐκ ταὐτοῦ δὲ τοῦ γένους εἰσὶ καὶ αἱ κατὰ τὸν μέγαν κανθὸν ῥυάδες, ἢ μειωθέντος ἐπὶ πλέον ἢ τελέως ἀπολλυμένου τοῦ κανθοῦ. τελέως μὲν οὖν ἀπολλυμένου παντάπασιν ἀνίατον γίνεται τὸ νόσημα, μειωθέντος δὲ διὰ τῶν μετρίως στυφόντων θεραπεύεται μετὰ τοῦ προκαθᾶραι πρῶτον μὲν ὅλον τὸ σῶμα, δεύτερον δὲ τὴν κεφαλήν. ἔστι δὲ μετρίως στύφοντα φάρμακα τά τε διὰ γλαυκίου καὶ κρόκου

parte circulo incifa cute, quo videlicet ejus unitate foluta eatenus deorfum trahatur, quoad glandem totam cooperiat, interdum vero excoriata fcalpro ex interna parte a glandis radice mox deorfum tracta ac deinde, ut dictum eft, molli quopiam deligata. Dicemus autem et de ejusmodi rationibus in fermonis progreffu, ut et de curtis feu colobomatis, nam ita vocant quae in labiis aut narium alis aut aure deficiunt. Nam methodo quadam curantur haec quoque, primum quidem excoriata utrimque cute, deinde adductis conjunctisque inter fe cutium labris, ac utriusque quod callofum eft detracto, mox *quae reliqua funt* adfutis atque agglutinatis. Ejusdem generis funt et in majore oculi angulo rhyades vel impenfius minuto vel prorfus perdito ipfo angulo. At prorfus quidem perdito eo omnino infanabilis relinquitur morbus, minuto vero modice adftringentibus curatur, fi tamen totum corpus primum ante purgaveris, dein caput. Sunt mediocriter adftringentia medicamenta et quae e glaucio com-

καὶ τὰ νάρδινα καλούμενα, [338] καὶ μάλισθ᾽ ὅσα δι᾽ οἴνου σκευάζεται. συνελόντι δὲ εἰπεῖν, ἐπὶ πάντων ἐν οἷς ἀπώλετό τις οὐσία μάλιστα μὲν αὐτὴν ὁμοιοτάτην πειρᾶσθαι χρὴ κατασκευάζειν· εἰ δ᾽ ἀδύνατον εἴη τοῦτο, τῆς γε αὐτῆς χρείας ἐστοχασμένων ἡμῶν· ἔσται δὲ καὶ αὐτὴ κατὰ τοῦθ᾽ ὁμοία. τοῦ γοῦν τῆς κνήμης ὀστοῦ πολλάκις ἀναγκασθέντες ἐκκόψαι συχνὸν, εἰς τὴν χώραν αὐτοῦ φῦσαί τινα ἑτέραν οὐσίαν τὴν φύσιν προκαλούμεθα διὰ τῶν σαρκωτικῶν φαρμάκων, ἥτις ἐν ἀρχῇ μὲν οἷά περ σκληρὰ σάρξ ἐστιν, ὕστερον δὲ πώρου σκληροτέρου λαμβάνει σύστασιν, καὶ τῷ χρόνῳ κρατυνθεῖσα πρὸς τὰς βαδίσεις αὐτοῦ γίνεται ἐπιτηδεία. καὶ σκυταλίδας δὲ δακτύλων ἐκκόπτοντες ὁρῶμεν ἐν τῇ χώρᾳ τῶν ἐκκοπεισῶν ἑτέραν οὐσίαν, οἵαν περ εἴρηκα γεννωμένην. ὅτι δὲ καὶ φλέβας αἰσθητὰς ἐνίοτε γεννωμένας εἴδομεν εἴρηται πρόσθεν. αὗται μὲν οὖν οὐχ ὅμοιαι ταῖς ἀπολωλυίαις, ἀλλ᾽ αἱ αὐταὶ γίγνεσθαι λέγοιντ᾽ ἂν, ὥσπερ γε καὶ ἡ ἐν τοῖς κοίλοις (194) ἕλκεσι σάρξ. ἡ δ᾽ ἐν τῷ τυλοῦσθαι ταύτην οὐλὴ γεννωμένη δέρματι μέν ἐστιν ὁμοιοτάτη, δέρμα δ᾽ οὐκ ἔστι·

ponuntur et croco et quae nardina vocantur, et in primis quae ex vino sunt confecta. Ut vero summa complectar, quibus perit aliquid substantiae, maxime quidem id agendum, ut ei quam simillimam faciendam curemus: si id fieri nequit, saltem aliquid quod eundem praestet usum machinabimur, erit autem profecto et id eatenus simile. Etenim quum ossis tibiae saepe excindere portionem magnam cogimur, ad alteram loco ejus substantiam producendam carnem gignentibus medicamentis naturam ipsam provocamus, quae inter initia velut dura est caro, postmodum calli durioris firmitudinem accipit ac temporis spatio roborata ad ingressum ossis loco fit habilis. Quin etiam ubi internodia digitorum excidimus, in excisorum loco alteram qualem praediximus naturam provenire cernimus. Quod autem venas quoque sensibiles generatas aliquando vidimus prius est dictum, verum has non tam similes iis quae prius perierant quam easdem renasci dixeris, velut in cavis ulceribus carnem. Cicatrix vero quae in hac calli modo durata gignitur, ea cuti qui-

πυκνοτέρα γοῦν αὐτοῦ φαίνεται διά τε τῆς ὄψεως καὶ τῆς ἁφῆς, καὶ μέντοι καὶ τῷ λογισμῷ τεκμαιρομένοις ἐκ τοῦ μὴ φύειν τρίχας. ταῦτ᾽ οὖν ἔχων ἀεὶ πρόχειρα πρὸς τὰς θεραπείας εὐπορήσεις ὧν σε χρὴ πράττειν.

Κεφ. ιζ. Ἐμοὶ δ᾽ ἤδη καιρὸς ἐπ᾽ ἄλλα προϊέναι νοσημάτων εἴδη, κοινωνοῦντα τοῖς προειρημένοις. ὁ μὲν οὖν ἕρπης ὀνομαζόμενος ἐκ τοῦ αὐτοῦ γένους ἐστὶ τοῖς ἡλκωμένοις ἐρυσιπέλασιν, ἡ σαρκοκήλη δὲ τοῖς σκίῤῥοις. ὀφίασις δὲ καὶ ἀλωπεκία καὶ ἡ πτίλωσις ἐκ τοῦ γένους ἐστὶ τῶν νοσημάτων ἐν οἷς ἀπόλωλέ τι τῶν κατὰ φύσιν, ὥσπερ γε καὶ ἡ μυρμηκία τῷ ὅλῳ γένει παρὰ φύσιν ἐστί. τρίτη δ᾽ ἁπάντων αὐτῶν ἡ διαφορά. τινὰ μὲν γὰρ ἐκ μεταβολῆς γίνεται τῶν στερεῶν σωμάτων, ὡς ἡ μυρμηκία καὶ ἡ λεύκη καὶ ὁ ἀλφὸς καὶ ὁ σφάκελος, ἐλέφας τε καὶ ψώρα καὶ λέπρα, τινὰ δ᾽ οὐδ᾽ ὅλως ὄντα πρότερον ὕστερα γίνεται, καθάπερ καὶ ἡ μελικηρὶς, ἀθερώματά τε καὶ στεατώματα· καὶ καθ᾽ ἕτερον τρόπον ἕλμινθες καὶ ἀσκαρίδες καὶ κηρία· καλοῦσι γὰρ οὕτω μὲν μακρὰν καὶ πλατεῖαν ἕλμινθα· καὶ πάντα τὰ πρό-

dem eſt quam ſimillima, cutis tamen non eſt, quum et denſior ea viſu tactuque ſentiatur, et ratione ex eo quod pilos non edat intelligitur. Haec igitur ſi praeſto tibi ad manum ſemper erunt, quae tibi in curationibus peragenda ſint minime requires.

Cap. XVI. Mihi vero jam tempeſtivum eſt ad alias morborum ſpecies tranſire praedictis conſociatas. Ergo qui herpes dicitur, ejusdem eſt generis cum exulcerato eryſipelate, ſarcocele vero cum ſcirrhis. At ophiaſis, alopecia et ptiloſis ex eo ſunt morborum genere, in quibus naturale aliquid amiſſum, aeque ut myrmecia quae toto genere eſt praeter naturam. Porro triplex omnium horum eſt differentia. Quaedam namque ex mutatione conſiſtunt ſolidarum partium, ſicut myrmecia et leuce et vitiligo et ſphacelus et elephas et ſcabies et lepra. Quaedam quum prius omnino non fuerint, poſtmodum ſunt orta, veluti meliceris et atheromata et ſteatomata, atque alio modo helminthes et aſcarides et ceria, ita enim vocant longam latamque helmintha, omnia-

σθεν εἰρημένα, ἃ κατά τινα τῶν ἀποστημάτων εὑρίσκεται, πώροις, ἢ λίθοις, ἢ ὀστοῖς, ἢ θριξὶν, ἤ τισιν ἑτέροις τῶν τοιούτων ἐοικότα. προσέχειν οὖν ἀεὶ χρὴ τὸν νοῦν ἐπὶ πάντων τῶν παρὰ φύσιν ἀκριβῶς ἐπισκοπούμενον ἐκ τίνος γένους ἐστίν· εἴπερ γε τὴν πρώτην ἔνδειξιν ὁρμητήριον ἐσομένην ἁπασῶν τῶν ἐφεξῆς ὀρθῶς εἴπομεν ἐκ τοῦ γένους λαμβάνεσθαι. τὸν γοῦν ἕρπητα χολώδης γεννᾷ χυμός· ὥστε κατά γε τοῦτο ταὐτοῦ γένους ὑπάρχειν ἐρυσιπέλατι, καὶ τοῦτό γ' αὐτοῦ μᾶλλον ἔτι τὸ ἡλκωμένον. διαφέρει δὲ τῇ λεπτότητι τοῦ χυμοῦ· πάνυ γάρ ἐστι λεπτὸς ὁ τὸν ἕρπητα γεννῶν, ὡς μὴ μόνον διὰ πάντων διέρχεσθαι τῶν ἔνδον μορίων, ὁπόσα σαρκώδη τὴν οὐσίαν ἐστὶν, ἀλλὰ καὶ δι' αὐτοῦ τοῦ δέρματος ἄχρι τῆς ἐπιδερμίδος, ἣν μόνην ἀναβιβρώσκει τε καὶ διεσθίει τῷ στέγεσθαί τι πρὸς αὐτῆς· ὡς εἴ γε καὶ ταύτην διεξείη τοῖς ἱδρῶσιν ὁμοίως, [339] οὐκ ἂν ἕλκος εἰργάσατο. κοινὸν γὰρ δὴ τοῦτο τοῖς γιγνομένοις ἐκ χυμοῦ δακνώδους ἕλκεσιν, ἅπερ αὐτόματα

que quae fupra diximus in abfceffibus quibusdam *callosae fubftantiae,* aut lapillis, aut offibus, aut pilis, aut aliis quibusdam id genus fimilia inveniri. Itaque attentum effe femper oportet in omnibus quae praeter naturam habentur atque diligenter advertere ex quo ea genere fint, fi modo illud recte a nobis dictum eft, primam faciendorum indicationem, unde ad omnia quae deinceps funt adminiftranda initium capietur, a genere ipfo fumi. Herpeta namque biliofus procreat humor, quo fit ut eatenus ejusdem fit cum eryfipelate generis, atque hujus quoque magis etiam cum eo quod exulceratum eft. Differt autem ab eryfipelate humoris tenuitate; eft enim admodum tenuis qui herpetem excitat, adeo profecto ut non folum omnes interiores partes quae carnofae fubftantiae funt tranfeat, fed etiam cutim ipfam ad fummam usque cuticulam, quam folam propterea quod ab ea remoratur tum erodit tum exedit, quando fi hanc quoque fudoris vice tranfiret, haud quaquam ulcus excitaret. Quippe id ulcerum, quae ex mordente humore oriuntur.

ἕλκη προσαγορεύουσιν, ἴσχεσθαί τε καὶ βραδύνειν ἐν τῇ διεξόδῳ τὸν ἐργαζόμενον αὐτὰ χυμόν. τῷ δ' ἧττον καὶ μᾶλλον ἕτερον ἑτέρου χυμὸν ἤτοι λεπτὸν ἢ παχὺν ὑπάρχειν αἱ κατὰ τὸ βάθος ἐν τοῖς ἕλκεσιν γίνονται διαφοραί. τούτου τοῦ γένους ἐστὶ καὶ ἡ φαγέδαινα καὶ οἱ ἡλκωμένοι τῶν καρκίνων. ἐφ' ὧν ἁπάντων ἡ μὲν κοινὴ θεραπεία κωλύσαντα τὸν ἐπιῤῥέοντα χυμὸν ἰᾶσθαι τὸ ἕλκος· ἡ δ' ἰδία καθ' ἕκαστον ἔκ τε τῆς τοῦ μορίου φύσεως εὑρίσκεται καὶ τῆς ἰδέας τε καὶ ποσότητος τοῦ χυμοῦ. λεπτότατος μὲν οὖν ἐν τοῖς τοιούτοις χυμοῖς ἐστιν ὁ τὸν ἑλκούμενον ἕρπητα γεννῶν· παχύτατος δὲ ὁ τὸν καρκίνον· ἐφεξῆς δὲ τούτων κατά γε τὸ πάχος ὁ τὰς φαγεδαίνας ὀνομαζομένας. ὧν ἰδέαι τινές εἰσι τά τε χειρώνια καὶ τηλέφια καλούμενα. καὶ ἤδη τινὲς ἄλλαι τοιαίδε προσηγορίαι γεγόνασιν, ἄχρηστοί τε καὶ περίεργοι· πρὸς γάρ τοι τὴν θεραπείαν ἐπίστασθαι χρὴ τό τε πλῆθος τοῦ χυμοῦ καὶ τὴν δύναμιν καὶ τὴν σύστασιν, οἷον εὐθέως ἐπὶ τῶν ἑρπήτων, ἐπειδὴ λεπτός ἐστιν ὁ χυμὸς, ἐκ τοῦ γένους ὢν δηλονότι τῆς ξανθῆς χολῆς, ὅταν ἀναδείρῃ τὴν ἐπιδερμίδα

quae ſpontanea vocant commune eſt, quod humor qui ea facit ſiſtitur in exitu ac tardat. Porro ex eo quod alter humor altero ſit tenuior craſſiorve, ulcerum differentiae, quae ex profunditate ſpectantur, proveniunt. Hujus certe generis eſt et quae phagedaena dicitur et exulcerati cancri. Quorum omnium communis curatio eſt ut prohibeatur primum humoris affluxus, *poſt* ſanetur ulcus, propria vero cujusque tum ex partis invenitur natura tum ex humoris non ſolum ſpecie, ſed etiam quantitate. At tenuiſſimus quidem in ejusmodi humoribus eſt is, qui exulceratum herpetem excitat, craſſiſſimus qui cancrum, proximum ab his locum occupat, quod ad craſſitudinem attinet, qui phagedaenas nominatas *creat*. Harum ſpecies quaedam ſunt quae chironia ac telephia dicuntur. Jam aliae quaedam ejusmodi appellationes ſunt, ſed inutiles et ſupervacuae, ſiquidem ad curationem pernoſci oportet humoris tum copiam tum potentiam tum conſiſtentiam, veluti ſtatim in herpete, quoniam humor tenuis eſt, ut qui ex genere flavae ſit bilis, ubi cuticulam in

διαφορηθεὶς, ἐπιτρέπει συνουλωθῆναι τῷ ἕλκει. ἐὰν μὲν οὖν φθάσῃ τις ἐκκαθάρας τὸ σύμπαν σῶμα, μετὰ τοῦ τοῖς ἀναστέλλουσί τε καὶ ἀποκρουομένοις τοὺς ἐπιῤῥέοντας χυμοὺς χρήσασθαι φαρμάκοις ἰάσατο τὸν ἕρπητα. μηδέτερον δὲ ἐργασάμενος τούτων, ἀλλὰ μόνοις ἀρκεσθεὶς τοῖς ἐπουλοῦσι, τὴν ἡλκωμένην ἐπιδερμίδα ταύτην μὲν ἰάσατο, τὴν συνεχῆ δ᾽ αὐτῇ παθεῖν οὐκ ἐκώλυσεν. εἶτ᾽ αὖθις πάλιν ἐκείνης ἐπουλουμένης ἡ συνεχὴς ἀναδέρεται, καὶ τοῦτ᾽ ἐπὶ πλεῖστον γίγνεται, καθάπερ ἕρποντος τοῦ πάθους ἄχρι περ ἂν ὁ ἐργαζόμενος αὐτὰ χυμὸς ἐκκενωθῇ. γυνὴ γοῦν τις ἐν Ῥώμῃ τῶν ἐπιφανῶν ἕρπητα κατὰ τὸ σφυρὸν ἔχουσα πρῶτον μὲν ἐχρήσατο τῷ διὰ φύκους φαρμάκῳ, τάχιστα δὲ ἐπουλωθέντος αὐτοῦ τὸ συνεχὲς εὐθὺς ἐπιπολῆς ἀνεδάρη δέρμα, καθάπερ ἐξ ἀποσύρματος. ᾧ πάλιν ἐπιτιθέντος τοῦ φαρμάκου τὸ συνεχὲς αὖθις ἡλκώθη. καὶ τοῦτ᾽ οὐκ ἐπαύετο γιγνόμενον, ἀλλ᾽ ἧκεν ὕστερον ἡ ἕλκωσις ἐπὶ τὸ γόνυ, πάντα μᾶλλον αὐτῆς παθεῖν ἑτοίμης οὔσης ἢ καρθαρθῆναι χολαγωγῷ φαρμάκῳ. καὶ τοίνυν ὅπερ εἴωθεν ἐν τοῖς τοιούτοις γίγνεσθαι,

tranfitu perrupit difcuffus, permittit cicatricem ulceri induci. Itaque fi quis toto prius corpore purgato mox quae affluentem humorem reprimant repellantque medicamentis utatur, jam herpetem curaverit. Sin neutrum horum fecerit, fed tantum ea quae cicatricem inducunt adhibuerit, exulceratam cuticulam ita fanaverit, proximae tamen illi quo minus exulceretur non confuluerit. Poftmodum vero illa quoque cicatrice inclufa, quae ipfi continua eft exulceratur, idque longo fpatio ceu ferpente affectu ipfo fit, donec humor qui id facit fit vacuatus. Etenim Romae mulier quaedam illuftris, quum herpetem in malleolo haberet, primum quidem medicamento de alga eft ufa. Hoc quum protinus cicatrix induceretur, proxima illi fumma cutis eft excoriata, veluti ex desquamatis. Cui quum deinde fuperpofitum medicamentum eft, rurfus illi continua eft exulcerata. Idque ita affidue perrexit, donec ad genu exulceratio perveniret, quum interim quidvis potius pati quam medicamento bilem trahente purgari parata effet. Itaque etiam, quod fieri in ta-

διὰ τὸ τοὺς πλείστους αἰτιᾶσθαι τὰ ἀναίτια, καταγνοῦσα τοῦ διὰ φύκους φαρμάκου, τῶν ἄλλων τι προσφέρειν ἐκέλευσεν. ἐχρώμεθα οὖν ἐφεξῆς τῷ διὰ σάνδικος. ὡς δὲ καὶ τοῦτο τὸ μὲν ἡλκωμένον ἐπούλου, τὸ δ᾽ ἑλκούμενον οὐκ ἐκώλυεν, ἀνεληλύθει δὲ τὸ πάθος ἐγγὺς ἤδη τοῦ βουβῶνος ὑπὸ τῆς ἀνάγκης βιασθεῖσα γάλακτος ὀῤῥὸν ὑπέσχετο λήψεσθαι. παρεμβαλόντες οὖν ἡμεῖς αὐτῷ λάθρα σκαμμωνίας ἐλάχιστον, ἄκουσαν αὐτὴν ἐκκαθάραντες ἐθεραπεύσαμεν. οὗπερ οὖν ἕνεκα ταῦτα λέγεται πάλιν ἀναμνήσω. τὸν κοινὸν σκοπὸν ἐπὶ τῶν ὑπὸ ταὐτὸ γένος ἁπάντων νοσημάτων ἐπειδὰν λάβῃς, οὐκ ἀναιρήσεις μὲν αὐτὸν ἐν τοῖς κατὰ μέρος, εἰς διαφορὰν δ᾽ ἄξεις ἕκαστον πρέπουσαν ταῖς τε διαθέσεσι καὶ ταῖς ἐργαζομέναις αὐτὰς αἰτίαις, ὥσπερ ἐπὶ τῶν αὐτομάτων ἑλκῶν ἐδείχθη. κενώσεις γὰρ δηλονότι τὸν πλεονάζοντα χυμὸν ἐνίοτε μὲν τῷ τὴν ὠχρὰν χολὴν ἐκκαθαίροντι φαρμάκῳ· πολλάκις δὲ τῷ τὴν μέλαιναν, ἔστι δ᾽ ὅτε μικτῷ, χολήν τε ἅμα καὶ φλέγμα κενοῦντι, [340] ὥσπερ ἐπὶ θατέρου τῶν ἑρπήτων, ὃν ἀπὸ τῆς πρὸς τὰς κέγχρους ὁμοιότητος ὀνομά-

libus affuevit, quoniam plerique culpant non culpanda, damnato ex alga medicamento aliud admoveri juffit. Deinceps igitur quod ex fandice componitur utebamur. Ut vero id quoque, quod exulceratum jam fuerat, cicatrice obduxit, quod vero exulcerabatur non inhibuit, fed jam ad bubones usque affectus afcenderat ipfa neceffitate coacta ferum fe lactis fumpturam annuit. Immittentes igitur nos clanculum minimum fcammoniae, invitam purgavimus ac fanavimus. Ergo cujus gratia haec dicta fint, denuo repetamus. Poftquam communem omnium quae fub eodem genere morborum funt indicationem acceperis, utique non hanc in particularibus tolles, fed reduces femper ad differentiam, quae tum affectibus tum ipforum caufis fit commoda, ut de fpontaneis oftenfum eft ulceribus. Vacuabis namque cum nimirum qui redundat humorem aliquando quidem medicamento, quod flavam purgat bilem, faepe eo quod nigram, modo eo quod mixtae eft facultatis, quod bilem fimul et pituitam educat, ut in alio herpetum genere, quem a fimili-

ζουσι κεγχρίαν. οὗτος γὰρ οὐκ εὐθέως ἕλκος ἐργάζεται καθάπερ ὁ ἕτερος, ἀλλὰ μικρὰς πάνυ φλυκταίνας ὥσπερ κέγχρους, αἳ καὶ αὐταὶ τοῦ χρόνου προϊόντος εἰς ἕλκος τελευτῶσι. καί τισιν οὐκ ἀλόγως ἔδοξεν ἐπιμεμίχθαι τῇ χολῇ φλέγματος ἐν τῷ τοιούτῳ πάθει. γίγνεται δέ ποτε καὶ χωρὶς τῆς τοῦ παντὸς σώματος ἰσχυρᾶς κακοχυμίας ἐν μέρει ἕλκη, ἃ θεραπεύομεν ῥαδίως ὑπὸ φαρμάκων μικτὴν ἐχόντων δύναμιν ἀποκρουστικήν τε καὶ διαφορητικήν. ἀποκρούεται μὲν οὖν τά τε στύφοντα καὶ τὰ χωρὶς τοῦ στύφειν ψύχοντα· διαφορεῖ δὲ τὰ θερμαίνοντα. καὶ δῆλον ὅτι κατὰ μὲν τὴν γένεσιν τῶν ἑλκῶν ἐπικρατεῖν χρὴ τὰ τὴν ἀποκρουστικὴν δύναμιν ἔχοντα· μηκέτι δ᾿ ἐπιῤῥέοντος τοῦ χυμοῦ τοῦ μοχθηροῦ τῷ μορίῳ, τὴν διαφορητικήν. τὴν μὲν γὰρ ὀλίγην κακοχυμίαν κἂν ἀπώσηταί τις αὐτὴν ἐπί τε τὰ σπλάγχνα καὶ τὰς μεγάλας φλέβας, οὐδὲν ἐργάσεται κακὸν αἰσθητόν· εἰ δὲ ἀξιόλογος ᾖ, εἴς τι κύριον ἐνίοτε κατασκήπτει μόριον, ὅταν γε μὴ διὰ ῥώμην τῆς φύσεως ἐκκαθαιρούσης τὸ σῶμα κενωθῆναι

tudine quam habet cum milio miliarem appellant. Nam is non protinus ulcus facit, quemadmodum alter, fed admodum exiguas puftulas ad fpeciem milii, quae ipfae interpofito fpatio in ulcus abeunt. Adeo non fine ratione quibusdam vifum eft in ejusmodi affectu bilis effe aliquid pituitae admixtum. Incidunt fane nonnunquam et citra vehemens totius corporis humorum vitium in partibus ulcera, quae haud difficulter medicamentis, quae repellendi discutiendique mixtas facultates habent, curantur. Ac repellunt quidem non folum ea quae adftringunt, fed etiam quae fine adftrictione refrigerant, difcutiunt vero quae calefaciunt. Conftatque quod in generatione ulceris exfuperare debebunt, quae repellendi facultatem habent, ubi non amplius confluit in aegrotantem partem vitiofus humor, quae difcutiunt. Siquidem exiguum vitiofi humoris, etiam fi quis ad vifcera et magnas venas retrudat, nullum profecto quod fenfu percipiatur malum committet, at fi ejus non levis quantitas fit, in principem aliquam partem aliquando procumbit, ubi

φθάσῃ διὰ τῶν διαχωρημάτων, ἢ τῶν οὔρων ἢ καὶ διὰ τοῦ (195) περιέχοντος ὅλον τὸ σῶμα δέρματος. ἐπὶ μὲν οὖν τῆς ὠχρᾶς χολῆς αἱ κενώσεις ἑτοιμότεραι, τὸ δὲ φλέγμα, καὶ μάλισθ' ὅσον αὐτοῦ παχύτερόν τε καὶ γλίσχρον ἐστὶν, ὡσαύτως δὲ καὶ ἡ μέλαινα χολὴ δυσκόλως ἐκκενοῦται· καὶ διὰ τοῦτο δεόμεθα καθαίροντος φαρμάκου. κατὰ δὲ τοὺς ἕρπητας, ἐπειδὴ λεπτός ἐστιν ὁ τὸ πάθος ἐργαζόμενος χυμὸς, ἀρκεῖ καὶ λαπάξαι γαστέρα διὰ τῶν ἐπιτυχόντων, ἢ οὖρα κινῆσαι διὰ τῶν μετρίως οὐρητικῶν. ἀλλ' ἐπειδὴ περὶ φαρμάκων μεθόδου γέγραπταί τι κἀν τοῖς ἔμπροσθεν, οὐκ ὀλίγα δὲ καὶ κατὰ τὰς ἰδίας αὐτῶν εἴρηται πραγματείας, ἄμεινον ἂν εἴη μηκέτ' ἐκτείνειν τὸν λόγον· ἱκανὰ γὰρ καὶ ταῦτα τῷ γε προσέχοντι τὸν νοῦν, οὐδὲ γὰρ ἡμεῖς αὐτὰ παρὰ τῶν Μουσῶν ἐμάθομεν. ἀλλ' ἡ τῶν πραγμάτων φύσις ἀνδρὶ συνετῷ καὶ φιλοπόνῳ καὶ γεγυμνασμένῳ τὸν νοῦν ὑπαγορεύει τὸ ποιητέον· ὅταν δὲ καὶ τὰς ὁδοὺς τῆς εὑρέσεως τὶς ὑφ' ἑτέρου διδαχθείσας ἔχῃ, ῥᾷστον αὐτῷ προσέρχεσθαι κατ' αὐτάς. ἱκανὸν δέ σοι μαρτύριον ἔστω τὸ τοὺς τοιούτους ἄνδρας

prius naturae viribus totum corpus expurgantis non fit, vel per dejectiones vel urinas vel cutim totum corpus ambientem vacuatum. Atque flavae quidem bilis vacuatio eft facilior, pituitae vero ac potiffimum ejus quae craffior glutinofiorque eft, itemque nigrae bilis difficilior vacuatio, quo magis purgantis medicamenti ope indigent. In herpete vero, quoniam tenuis humor eft qui hunc affectum creat, abunde eft etiam alvum leviter folviffe vel urinas per moderata diuretica citaffe. Verum quoniam de medicamentorum methodo fcriptum etiam aliquid in fuperioribus eft, non pauca autem et in operibus proprie his dicatis, fatius fit fermonem nihil ultra proferre, nam fatisfacere etiam ei qui attentus erit haec poffunt; neque enim nos ea a Mufis accepimus. Verum homini qui prudens fit et diligens et mente exercitatus ipfa rerum natura quid agendum fit fuggerit: ubi vero etiam inveniendi viam ab alio quis traditam didicerit, huic facillimum eft per eam ultra progredi. Hujus rei amplum tibi teftimonium fit, quod ejusmodi viri artem maxi-

ἔργοις μεγίστοις κοσμῆσαι τὴν τέχνην· ὅσοι δ᾽ ἀσύνετοι, μηδὲν εὑρίσκεσθαι πλέον αὐτοῖς, εἰ καὶ δι᾽ ὅλου τοῦ βίου μυρίων ἔργων ἰατρικῶν αὐτόπται γίγνοιντο. πάμπολλα γοῦν ἐπινοεῖται μέχρι τήμερον, οὐδέπω τοῖς ἔμπροσθεν εὑρημένα· καθάπερ νῦν ἐπὶ Ῥώμης ἐπενόησέ τις ἰᾶσθαι διὰ στόματος ἀκροχορδόνας τε καὶ μυρμηκίας. ἀλλ᾽ ἐπὶ μὲν τῶν ἀκροχορδόνων, ὡς ἂν ἐξεχουσῶν τοῦ δέρματος, οὐδὲν θαυμαστόν· τὸ δὲ τῶν μυρμηκιῶν καὶ μάλισθ᾽ ὅσαι τελέως εἰσὶν ἰσόπεδοι τῷ δέρματι, θαυμαστὸν ἐδόκει. ἀλλ᾽ ὅμως καὶ ταύτας πρῶτον μὲν τῇ θέσει τῶν χειλῶν ὥσπερ βδάλλων ἐπεσπᾶτό τε κἀκ τῆς ῥίζης ἐμόχλευεν· εἶτα τοῖς προσθίοις ὀδοῦσιν παραλαμβάνων ἀθρόως ἐξέσπα. καὶ μὴν καὶ διὰ μυρσίνης σμίλης καὶ διὰ τοῦ καλουμένου σκολοπομαχαιρίου γεγυμνασμένος ταῖς χερσὶ ῥᾳδίως ἄν τις ἐκκόψειεν αὐτὰς, ἰδίαν ἐχούσας περιγραφὴν, ᾗ χωρίζονται τοῦ πέριξ δέρματος. ὡσαύτως δὲ καὶ διά τινος ἰσχυροῦ πτεροῦ, περιτιθεμένου κυκλοτερῶς τῇ μυρμηκίᾳ, ποιούμεθα τὴν ἄρσιν αὐτῆς. χρὴ δὲ σύμμετρον ἔχειν δηλονότι τὴν ἑαυτοῦ κενὴν σύριγγα τὸ πτερὸν τῷ πάχει μυρ-

mis operibus illuſtrarunt, qui vero parum ſunt prudentes, ii nihil praeterea inveniant, etiamſi tota vita infinitos artis effectus conſpexerint. Plurima namque inveniuntur hodie, quae apud majores noſtros non fuere inventa, veluti nunc Romae quidam excogitavit, quemadmodum acrochordonas et myrmecias ore ſanet. Verum de acrochordonibus ut a cute extantibus minus eſt mirum, de myrmeciis vero potiſſimum, quae cum ſumma cute prorſus ſunt aequales, mirum videbatur. Verumtamen has quoque primum labiorum applicatione ceu ſugens trahebat atque a radice evellebat, deinde primoribus apprehenſas dentibus totas ſimul eximebat. Sed et ſcalpro ad myrtacei folii ſpeciem formato et *ferramento eo,* quod ſcolopomachaerion vocant, quiſpiam manibus exercitatus facile eas excidat, propriam habentes circumſcriptionem, qua a circumpoſita cute ſeparantur. Aeque vero et valente aliqua pinna circulo myrmeciae impoſita ipſam educimus. Debebit porro pinnae fiſtula eſſe myrmeciae craſſitu-

μηκίας, ἵνα τε πανταχόθεν αὐτὴν ἀκριβῶς σφίγγῃ, κἄπειτα περιστρέψαι μετὰ τοῦ κάτω βιάζεσθαι· τάχιστά τε γὰρ ἂν οὕτω καὶ σὺν αὐτῇ τῇ ῥίζῃ τὴν μυρμηκίαν ὅλην ἐκβάλλοις. [341] εὔδηλον δὲ καὶ ὅτι τὸ πέρας τοῦ περιγλύφοντος αὐτὴν πτεροῦ λεπτόν τε ἅμα καὶ ὀξὺ καὶ ἰσχυρὸν εἶναι χρή. διὸ τά τε τῶν παλαιῶν ἀλεκτρυόνων πτερὰ εἰς τοῦτο χρήσιμα καὶ μᾶλλον ἔτι τὰ τῶν ἀετῶν. ἀποτέμνειν δ᾽ αὐτῶν χρὴ πρὸς τῇ ῥίζῃ τοσοῦτον, ὡς περιλαβεῖν ἱκανῶς τὴν μυρμηκίαν. εὐθὺς δὲ ἀπὸ τῆς ἀποτομῆς, εἰ καλῶς γίγνοιτο, καὶ τὴν ὀξύτητα παρέξεις αὐτῷ. καὶ τοῦτ᾽ οὖν ὁ λογισμὸς εὗρεν, οὐ περίπτωσις. ὅτι δὲ διὰ τῶν ἑλκόντων σφοδρῶς φαρμάκων ἀνασπασθήσεται καὶ ὅτι διὰ τῶν σηπόντων νεκρωθήσεται, τῷ λογισμῷ μέν τις εὗρε· θαῤῥήσας δὲ χρῆσθαι, πρὸς τῆς πείρας ἐμαρτυρήθη. τινὰ μὲν γὰρ ἄντικρυς ἐστι καὶ πρὸ τῆς πείρας πιστὰ, καθάπερ εἰ τύχοι τὸν ἀρτίως ἐμπεπαρμένον ἐξελεῖν σκόλοπα καὶ τὸ βέλος, ὅσα τε τοῖς ὀφθαλμοῖς ἐμπίπτει ψαμμία. τινὰ δὲ ἐπινοεῖται μὲν ὑπὸ τοῦ λογισμοῦ, βεβαιοῦται δὲ ὑπὸ τῆς πείρας. ἕνεκα δὲ τοῦ ῥᾷον εὑρίσκειν σε

dini par, ut eam undique prorfus conftringat, quae poftea circumacta ac fimul deorfum impulfa celerrime ita myrmeciam etiam cum ipfa radice totam educet. Conftat vero et quod finis ipfi pinnae, quae eam circulo fecabit non tenuis modo, fed etiam acutus et firmus effe debebit. Itaque tum galli veteris pinna tum vel magis aquilae ad hunc ufum eft commoda. Abfcindere vero ab his tantum radice verfus oportet, quatenus reliquae partis fiftula complecti myrmeciam poffit. Sane ex ipfa ftatim abfciffione, fi modo fcite fiat, etiam acumen ipfi comparabis, Atque hoc quidem ratio invenit, non cafus. Jam quod haec vehementer attrahentibus medicamentis furfum velletur et putrefacientibus enecabitur, ratione ab aliquo eft inventum, qui iisdem poftea ufus experientia rem comprobavit. Quaedam namque etiam ante experientiam fiduciam de fe manifefte praebent, veluti quae aculeum ac telum, quod modo infixum fit, eximunt, itemque arenulas, fi quae oculo inciderint. Quaedam ratione certe excogitantur, confirmantur autem ipfa experientia. Quo au-

καὶ κατὰ σαυτὸν ὁδοὺς τοιαύτας εἰς εὐπορίαν ἰαμάτων οὐκ ὀκνήσω προσθεῖναί τι παράδειγμα τῶν ἐκ τοῦ προκειμένου γένους. ὀνομάζομεν δὲ αὐτὸ κατὰ τὸν ἀριθμὸν τῶν μορίων. ἐπειδὴ γὰρ ἔνια μὲν ἐλλείπει, καθάπερ ὀδοὺς ἢ δάκτυλος ἢ ῥινὸς πτερύγιον, ἢ ὠτός τι μόριον, ἢ αἰδοίου δέρμα, τινὰ δὲ πλεονάζει, καθάπερ ἕκτος δάκτυλος, αἵ τ' ἐξοστώσεις καλούμεναι καὶ τῶν ὀδόντων οἱ παραφυόμενοι τοῖς κατὰ φύσιν· ἐξελεῖν μέντοι τὸ περιττὸν οὐδὲν χαλεπὸν, ἕτερον δὲ γεννῆσαι τῷ μηκέτ' ὄντι παραπλήσιον ἐπὶ τινῶν μὲν ῥᾴδιον, ἐπὶ τινῶν δὲ χαλεπὸν, ἐπὶ τινῶν ἀδύνατον. ἐὰν μὲν δὴ σαρκῶδες ᾖ τὸ λεῖπον, οὐ χαλεπῶς ἄν τις αὐτὸ γεννήσειεν· εἴρηται δ' ἔμπροσθεν ἡ μέθοδος ἐπὶ τῶν κοίλων ἑλκῶν. ἐὰν δὲ ὀστοῦν ᾖ, αὐτὸ μὲν ἀδύνατον, ἀντ' αὐτοῦ δὲ ἕτερόν τι σκληρὸν οὐκ ἀδύνατον ἐργάσασθαι. λέλεκται δέ τι καὶ περὶ τῆς τῶν φλεβῶν γενέσεως ἔμπροσθεν, ὡς ἐνίοτε μὲν αἰσθητῶς εἴδομεν ἑτέρας νέας γεννηθείσας, ἐνίοτε δ' ἅπαντα μηχανωμένων οὐκ ἔφυσαν.

tem facilius etiam per te ejusmodi vias ad curationum comparandam copiam invenias, non taedebit aliquod hujus generis exemplum proponere. Nominamus autem id genus in numero partium *vitium*. Quoniam enim quaedam deficiunt, ficut dens vel digitus vel e nafo ala vel auris quaedam pars vel pudendi cutis, quaedam redundant, ut fextus digitus et quae exoftofes dicuntur et dentium ii qui naturalibus adnafcuntur, adimere quidem quod fupervacuum eft fane haud difficile eft, aliud vero producere, quod fimile ei fit quod defit, id in quibusdam quidem eft facile, in quibusdam difficile, in quibusdam *plane* fieri non poteft. Si namque carnofum fit quod deeft, haud magno negocio id reficias, atque ejus rei in cavis ulceribus tradita methodus eft. Sin os fit, ipfum quidem inftaurare non eft, caeterum aliud pro eo durum efficere, id licet. Dictum vero etiam in praecedentibus eft de reficiendis venis, quod aliquando novas alias fenfibiliter progenitas vidimus, aliquando omnia tentantibus non provenerunt.

Κεφ. ιη΄. Εἰ δὲ δάκτυλος ὁ λείπων ἤ τι τοιοῦτον εἴη, παντάπασιν ἀδύνατος ἡ γένεσις αὐτοῦ. λέλεκται δέ τι καὶ περὶ ποσθῆς ἔμπροσθεν, ὅπως ἄν τις αὐτὴν ἐργάσηται. τὰ δ' ἐπὶ ῥινὸς ἢ ὠτὸς ἢ χείλους ἐλλείποντα γεννῆσαι μὲν ἀδύνατον, εὐπρεπῆ δ' ἐργάσασθαι δυνατὸν, ἐὰν ὑποδείρας τις ἑκατέρωθεν τὸ δέρμα, κἄπειτα συναγαγὼν κολλῆσαι δυνηθῇ. καθ' ἕτερον δὲ τρόπον ἐκ τούτου τοῦ γένους ἐστὶ τῶν νοσημάτων ἀθερώματά τε καὶ στεατώματα καὶ μελικηρίδες, ἀσκαρίδες τε καὶ κηρία καὶ ἕλμινθες, οἵ τε κατ' ἄρθρα καὶ πνεύμονα πῶροι, καὶ οἱ κατὰ νεφροὺς καὶ κύστιν λίθοι· κοινὸν γὰρ ἐπὶ πάντων αὐτῶν ἡ τῆς οὐσίας γένεσις οὐκ οὔσης πρότερον. ἔμπαλιν δὲ κατὰ τὰς ἀλωπεκίας καὶ τὰς ὀφιάσεις καὶ τὰς πτιλώσεις, ἔτι τε τὴν φαλάκρωσιν, ἀπώλεια μορίου τινός ἐστι χρησίμως γεγονότος. ὥσπερ οὖν ἐπὶ πάντων τῶν ἄλλων, ἐν οἷς γεννηθῆναί τι βουλόμεθα, τὰς κινήσεις τῆς φύσεως ἀκωλύτους ἐργαζόμεθα, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῶν ἀπολωλυιῶν τριχῶν. ἔργον γὰρ τῆς φύσεώς ἐστιν, ὥσπερ ἡ τῆς σαρκὸς γένεσις ἐν τοῖς κοίλοις ἕλκεσιν, οὕτω καὶ

Cap. XVIII. At si digitus desit vel tale quippiam, restituere id prorsus non licebit. Sane proditum et de praeputio prius est, quemadmodum id quispiam instauret. At quae in naso vel aure vel labio sunt curta, ea quidem ut refecisse non licet, ita decorem aliquem his adjicere licet, siquis divisam utrimque cutim mox in unum conductam queat agglutinare. Alia vero ratione huic morborum generi annumerantur atheromata et steatomata et melicerides et ascarides et ceria et helminthes, praeterea qui in articulos et pulmones incidunt calli, itemque qui in renibus et vesica inveniuntur calculi, quippe in omnibus his communis est substantiae generatio, quae ante non fuit. Contra fit in alopecia et ophiasi et ptilosi, item calvitie, in quibus amissio partis est, quae utilis fuerat. Tanquam igitur in caeteris omnibus, in quibus gigni quippiam volumus, id agimus, ut naturae motus liberos minimeque impeditos reddamus, eodem certe modo et in pilis amissis. Quippe naturae opus est, veluti in cavis ulceribus, generatio carnis, itidem in capite et palpebris

ἡ τῶν τριχῶν ἐπί τε τῆς κεφαλῆς καὶ τῶν βλεφάρων. ἀναμνησθεὶς οὖν ὧν ἔμαθες ἐν τοῖς φυσικοῖς λόγοις περὶ τριχῶν γενέσεως, ἐξ ἐκείνων εὑρήσεις τὰς τῆς ἀπωλείας αὐτῶν αἰτίας. ἐδείχθη δ᾽ ὅτι τῶν διαπνεομένων χυμῶν ὅσον ἰλυῶδές ἐστιν ἐξ ἀρχῆς τ᾽ εὐθέως τὰς τρίχας ἐγέννησε καὶ τοῦ λοιποῦ καθ᾽ ὑπόφυσιν αὐ[342]ξάνει. τοῦτ᾽ οὖν, ὅταν ἤτοι γ᾽ ἀπόληται παντάπασιν ἢ μοχθηρὸν γενηθῇ, φθείρεσθαι τὰς τρίχας ἀναγκαῖόν ἐστι. καὶ γὰρ οὖν καὶ τὰ φυτὰ κατὰ διττὴν αἰτίαν ἀπόλλυται, ποτὲ μὲν ἀποροῦντα τῆς τρεφούσης ὑγρότητος, ἔστι δ᾽ ὅτε οὐκ οἰκείῳ χρώμενα. τελέως μὲν ἀπολουμένου τοῦ τρέφοντος χυμοῦ τὰς τρίχας ἡ φαλάκρωσις γίνεται, μοχθηροῦ δ᾽ ἀποτελεσθέντος αἵ τ᾽ ὀφιάσεις καλούμεναι καὶ αἱ ἀλωπεκίαι. πρῶτον μὲν οὖν εὑρήσεις ἐκ τῆς κατὰ φύσιν αὐτῶν διοικήσεως τὴν παρὰ φύσιν αἰτίαν. ἐφεξῆς δὲ τῆς θεραπείας εὐπορήσεις ἐνδεικτικῶς ὑπὸ τῶν κοινῶν ἀγομένης σκοπῶν ἅπασι τοῖς προειρημένοις, ἐφ᾽ ὧν ἐκ κακοχυμίας ἤτοι γ᾽ ἄλλο τι πάθος ἢ ἕλκος γίνεται· κωλῦσαι μὲν γὰρ χρὴ τὸ ἐπιῤῥέον, ἐκδαπανῆσαι δὲ καὶ διαφορῆσαι τὸ φθάσαν ἐν τῷ πεπονθότι

productio pilorum. Ergo fi recordaberis ea quae in naturalibus libris noftris de pilorum generatione didicifti, ex ipfis amiffionis eorum caufas invenies. Siquidem oftenfum in iis eft quod ex humoribus qui per cutim tranfpirant quod limofum eft, id pilos tum a principio gignit, tum de caetero veluti fuccrefcendo auget. Hoc igitur quoties vel prorfus periit vel redditum eft vitiofum, toties pilos corrumpat eft neceffe. Corrumpuntur namque et ftirpes ipfae duplici de caufa, alias nutriente humore deftitutae, alias non proprio ufae. Ac prorfus quidem perdito eo qui pilos alat humore calvities oritur, eodem vitiato tum quas ophiafes vocant tum alopeciae proveniunt. Ac primum quidem ex ea, quae fecundum naturam eft, ipforum moderatione etiam caufam praeter naturam invefligabis. Deinde curationis rationem invenies, quae per indicationes omnibus praedictis, in quibus vel aliud quodvis vitium vel etiam ulcus ex humoris vitio incidit, communes peragetur, fiquidem et prohibere quod affluit et abfumere ac difcutere quod jam affectam par-

μορίῳ περιέχεσθαι. καθάπερ οὖν ἐπ᾽ ἐκείνων ἑλκῶν κάθαρσις τοῦ λυποῦντος χυμοῦ πρῶτον ἐγίγνοντό σοι, τὸν αὐτὸν τρόπον ἐπὶ τῶν τριχῶν αὐτῶν, ἀπ᾽ αὐτῶν δ᾽ ἄρξη τῆς (196) θεραπείας, ἐπισκεψάμενος ἀκριβῶς ὁποία τις ἡ χρόα γέγονε τοῦ δέρματος, ἐξ οὗ τὰς τρίχας ὁρᾷς ἀπολλυμένας. εἰ μὲν γὰρ λευκοτέρα τοῦ κατὰ φύσιν, ἐπὶ τὴν τῶν φλεγματωδῶν χυμῶν ἀφικνοῦ κάθαρσιν· εἰ δ᾽ ὠχροτέρα πως, ἐπὶ τὴν τῆς τοιαύτης χολῆς, ὥσπερ γε καὶ εἰ μελαντέρα, τὰ τῶν μελανῶν ἀγωγὰ δώσεις φάρμακα. πρὸς δὲ τὴν ἀκριβεστέραν τῆς κακοχυμίας διάγνωσιν οὐ μικρὰ κἀκ τῆς προηγησαμένης διαίτης ὠφεληθήσῃ, μεμαθηκώς γε τίνα μὲν ἐδεσμάτων τὸν μελαγχολικὸν ἀθροίζει χυμὸν, τίνα δὲ τὸν τῆς ὠχρᾶς χολῆς καὶ τοῦ φλέγματος. ὅταν οὖν ἤδη θαῤῥήσῃς ὡς ἐπὶ καθαρωτάτῳ σώματι, τὸν ἐν τῷ πεπονθότι δέρματι περιεχόμενον χυμὸν ἐκδαπανήσεις τοῖς διαφορητικοῖς φαρμάκοις, φυλαττόμενος ἐν αὐτοῖς οὕτω θερμὰ καὶ δριμέα προσάγειν φάρμακα ὡς ἑλκωθῆναι τὸ δέρμα. καὶ μέντοι καὶ τὰ ξηραίνοντα σφοδρῶς φυλάττεσθαι χρὴ, μή πως ἅμα τῷ μοχθηρῷ χυμῷ συνεκδαπανήσῃς καὶ τὸν ἐπιῤῥέοντα χρηστὸν, ὥσπερ ἐπὶ τῇ φαλα-

tem occupavit conveniet. Ergo ceu in ulceribus illis purgationem nocentis humoris primum adhibuisti, eodem modo in pilis ipsis ab hac primum curationem inchoabis, scilicet diligenter prius aestimans quis color cutis sit, cujus cernis corruptos pilos. Nam si his albidior quam secundum naturam sit, pituitosi humoris purgationem exhibebis, sin pallidior, ejusmodi bilis purgationem, ut et si nigrior conspiciatur, quae nigram detrahant bilem offeres. Sane ad vitiosi humoris speciem certius agnoscendam non leve tibi adjumentum praecedens victus conferet, praesertim intelligenti quinam ciborum melancholicum humorem accumulent, quinam pallidam bilem vel pituitam. Ergo quum jam plane purum ex purgatione corpus existimas, eum qui in cute continetur humorem discutientibus medicamentis absumes, sic ut in iis caveas ne adeo calida acriaque medicamenta admoveas ut cutis exulceretur. Quin etiam ea quae valenter siccant cavere conveniet, ne videlicet cum vitiato humore etiam uti-

κρώσει γίνεται. ταῦτ' οὖν ἐννοήσας ἐγὼ πρῶτον ἔμιξα τοῖς τὰς ἀλωπεκίας θεραπεύουσι φαρμάκοις βραχύ τι θαψίας. εἶτα προσέχων καθ' ἑκάστην ἡμέραν, ὅπως ἡ τοῦ κάμνοντος φύσις ὑπ' αὐτοῦ διατίθεται, κἄπειδὰν ἤτοι γε οἰδισκόμενον ἐπὶ πλέον ἢ ἀναδερόμενόν πως ἴδω, τοῦ φαρμάκου μὲν ἀφίσταμαι κατ' ἐκείνην τὴν ἡμέραν, ἐπαλείφω δὲ τετηκότι στέατι τὸ μόριον ἤτοι γ' ὄρνιθος ἢ χηνὸς, ἐπειδὴ λεπτομερέστερα ταῦτά ἐστι καὶ κατὰ βάθος εἰσδύεται. κἄπειτα κατὰ τὴν ὑστεραίαν, εἰ μὲν ἐπιμένοι τι τῶν εἰρημένων, ὁμοίως ἐπαλείφω· μὴ μενόντων δὲ τῷ φαρμάκῳ χρῶμαι· ὅπως δ' εἰς βάθος δύοιτο, προσανατρίβω τὸ δέρμα τῇ σινδόνι μέχρι τοῦ σαφῶς ἐρυθρὸν γενέσθαι. εἴ γε μὴν μετὰ τὸ λουτρὸν χρῆσθαι βούλοιο τῷ τοιούτῳ φαρμάκῳ παρὰ τοῦ βαλανείου, τοῦθ' ἕξεις γινόμενον ὃ πρόσθεν ὑπὸ τῆς ἀνατρίψεως. καὶ τοὺς ἀπολλύντας δὲ τὰς ἐκ τῶν βλεφάρων τρίχας, οὓς ὀνομάζουσι πτίλους, ὁμοίοις μὲν τῷ γένει θεραπεύσεις φαρμάκοις.

Κεφ. ιθ'. Ἐκλέξῃ δ' ὕλην ἐπιτήδειον τοῖς ὀφθαλμοῖς μετὰ τοῦ φροντίζειν δηλονότι καὶ τοῦ μὴ παραῤῥεῖν ἔσω τὸ

lem qui aſſluit abſumas, veluti in calvitie ſit. Haec igitur ego advertens admiſcui primum iis medicamentis alopeciam ſanantibus exiguum thapſiae. Deinde conſiderans quotidie quemadmodum aegrotantis natura ab hac eſſet aſſecta, ubi vel tumefactam pluſculum vel quodammodo excoriatam vidi, illo quidem die a medicamento abſtinui, illevi autem partem vel galli vel anſeris liquato ſevo, propterea quod haec magis tenuium ſunt partium et altius deſcendunt. Deinde poſtero die, ſi quidem aliquid jam dictorum remanſerat, ſimili modo illevi. Sin nihil tale apparuerat, rurſus medicamento ſum uſus, atque ut id alte demitteretur, etiam cutim prius linteo inſricui, quoad maniſeſte rubra fieret. Verum ſi a balneo uti ejusmodi medicamento voles, id ipſum ex balneo factum habebis, quod prius ex frictione. Jam eos quoque, quibus periere ex ciliis pili, quos ptilos nominant, ſimilibus genere medicamentis ſanabis.

Cap. XIX. Deliges autem materiam oculis idoneam, operamque ſimul dabis ſcilicet ut medicamentum intra tu-

φάρμακον εἰς τοὺς χιτῶνας αὐτῶν. ὅθεν ἀμείνω τὰ ξηρὰ, περὶ ὧν ὥσπερ καὶ τῶν ἄλλων ἐν ταῖς ἡμετέραις τῶν φαρμάκων πραγματείαις λέλεκται. νυνὶ γὰρ, ὅπερ ἔφην, ἀρκεῖ μόνα τὰ γένη διεξέρχεσθαι τῶν φαρμάκων, ἄνευ τῶν κατὰ μέρος ὑλῶν, ὅπως μὴ πολλάκις ἀναγκαζοίμην ὑπὲρ αὐτῶν λέγειν. ὅσα μὲν τοίνυν ἀλλότρια τῆς κατὰ φύσιν ἐστὶ διοικήσεως, [343] ἐξαιρεῖν ὅλα αὐτὰ προσήκει· ὅσα δ' οἰκεῖα μὲν, ἀλλὰ διέφθαρταί πως, ἀνασώζειν αὐτὰ, καθόσον ἐνδέχεται. λέλεκται δ' ἔμπροσθεν ὡς ἐπαμφοτερίζει τινά. λέλεκται δὲ ὡς καὶ τῶν ἀλλοτρίων ἔνια ταῖς οὐσίαις ὅλαις ἐστὶν ἀλλότρια, λογικῆς ζητήσεως οὐκ ἐς τὴν θεραπείαν χρησίμης οὔσης κατὰ τοῦτον τὸν τόπον ἐπ' ἐνίων παθῶν. τὸ γάρ τοι πτερύγιον ὅτι μὲν ἀλλότριόν ἐστι τῆς ὑγιεινῆς καταστάσεως εὔδηλον εἶναι νομίζω πᾶσιν· οὐ μὴν ἀλλότριόν γε κατὰ τὴν οὐσίαν ἐστὶν, ὥσπερ ἀθέρωμα καὶ μελικηρίς. ἴασις δὲ καὶ τούτου μικροῦ μὲν ὄντος ἔτι καὶ μαλακοῦ διὰ τῶν ῥυπτόντων φαρμάκων, οἷά πέρ ἐστι καὶ τὰ τραχωματικὰ καλούμενα· μεγάλου

nicas eorum haud obrepat. Itaque ficca tutiora funt, de quibus aeque ac de caeteris in noftris de medicamentis operibus eft proditum. Nunc enim, quod dixi, abunde eft, fola genera medicamentorum praetermiffa particulari materia tranfcurrere, quo minus de iisdem multoties dicere cogar. Ergo quaecunque ab ea quae fecundum naturam eft moderatione funt aliena, ea tota tollere conveniet, quaecunque vero familiaria, fed quodammodo corrupta funt, ea reftituere quatenus licet *oportebit.* Sane dictum prius a nobis eft, aliqua ambiguae naturae effe. Dictum vero eft quod eorum quae aliena funt quaedam tota fubftantia funt aliena logica inquifitione, nec ad curationes in quibusdam affectibus perinde utili. Siquidem pterygium a falubri conftitutione alienum effe patere cuivis arbitror, non tamen idem fubftantiae ratione, quemadmodum atheroma et meliceris eft alienum. Sanatio vero hujus quoque, dum parvum adhuc eft et molle, per medicamenta detergentia perficitur, cujus generis funt quae trachomatica vocant, *palpebrarum fcabri-*

δὲ καὶ σκληροῦ γενομένου διὰ χειρουργίας. ὁμοίως δὲ καὶ τῶν ὑδατίδων τὰς μεγάλας θεραπευτέον· τὰς μικρὰς δὲ τὰ ξηραντικὰ τῶν φαρμάκων ὀνίνησι. τὸ δὲ χαλάζιον, ἔστι γὰρ ἕν τι καὶ τοῦτο τῶν ἐν ὀφθαλμοῖς γινομένων, ὅλῳ τῷ γένει παρὰ φύσιν ὑπάρχον ἐκκόπτεσθαι δεῖται. οὕτω δὲ καὶ τὸ πῦον ὑπὸ τῶν ὑποπύων ὀνομαζομένων ὀφθαλμῶν· ἀλλὰ τοῦτο μὲν ὡς τὰ πολλὰ διαφορεῖται φαρμάκοις. ὑπόχυμα δὲ ἀρχόμενον μὲν διαφορεῖται, σύστασιν δ᾽ ἱκανὴν λαβὸν οὐκέτι. τῶν καθ᾽ ἡμᾶς δέ τις ὀφθαλμικῶν Ἰοῦστος ὄνομα καὶ διὰ κατασείσεως τῆς κεφαλῆς πολλοὺς τῶν ὑποπύων ἐθεράπευσε, καθίζων μὲν αὐτοὺς ὀρθίους ἐπὶ δίφρου, περιλαμβάνων δὲ τὴν κεφαλὴν ἑκατέρωθεν ἐκ τῶν πλαγίων, εἶτα διασείων οὕτως ὥσθ᾽ ὁρᾶν ἡμᾶς ἐναργῶς κάτω χωροῦν τὸ πῦον. ἔμενε δὲ κάτω καίτοι τῶν ὑποχυμάτων μὴ μενόντων, εἰ μὴ πάνυ τις ἀκριβῶς αὐτὰ σφηνώσειε διὰ τὸ βαρὺ τῆς οὐσίας. κουφότερον γάρ ἐστιν, ὡς ἂν εἴποι τις εἰκάζων, ἢ νεφελωδέστερον τὸ ὑπόχυμα τοῦ πύου· πλὴν ὅσα καὶ τούτων αὐτῶν ἔνια, λέγω δὴ τῶν ὑποχυμάτων, ὀῤῥωδεστέρας

*tiem tollentia,* ubi magnum durumque evafit, chirurgiam postulat. Simili ratione et aquularum quae magnae funt chirurgia curabis, quae parvae funt ficcantibus medicamentis juvantur. At chalazion, eft enim id quoque *ex vitiis,* quae oculos infeftant unum, quum toto genere alienum a natura fit, auferri poftulat. Ad eundem modum et pus ab oculis, quos hypopyos vocant, verum id plerumque medicamentis difcutitur. Hypochyma vero jam incipiens difcutitur, ubi diu conftitit, non poteft. Aetate vero noftra ocularius quidam medicus, cui Jufto nomen erat, etiam concuffione capitis multos hypopyos fanavit. Collocans enim eos in fella rectos ac capita eorum utrimque a lateribus apprehendens mox quatiebat adeo, ut manifefte defcendere pus ipfi videremus. Manfit autem horum pus deorfum propter gravitatem fubftantiae, tametfi hypochymatis nequaquam manentibus, nifi admodum ea quis diligenter impingi cogeret. Etenim levius eft ac ut ita quis affimilet, nebulae fimilius hypochyma quam pus, quamquam horum quoque ipforum

ὑγρότητός ἐστιν. ἃ δὴ καὶ περικεντούντων διαλύεται μὲν ἐν τῷ παραυτίκα, χρόνῳ δ' ὕστερον οὐ μακρῷ καθάπερ τις ἰλὺς ὑποχωρεῖ κάτω. τὸ δ' ἐν τοῖς ὀφθαλμοῖς πῦον ὅταν διαφορῆσαι βουλώμεθα, τοῖς διὰ σμύρνης μάλιστα κολλυρίοις χρηστέον, ἃ δὴ καὶ καλοῦσιν ἰδίως διάσμυρνα· τούτων δ' ἧττον, ἄμεινον δὲ τῶν ἄλλων ἐνεργεῖ τὰ διὰ λιβάνου, τὰ δ' ἱκανῶς ξηραίνοντα παραχρῆμα μὲν ἱκανῶς ἐκκενοῖ, τὸ δ' ὑπόλοιπον πήγνυσι δυσλύτως, ὡς ἐπὶ τῶν σκιῤῥουμένων ἔμπροσθεν εἴρηται. πολλάκις δὲ πῦον ἀθρόως ἐκενώσαμεν διελόντες τὸν κερατοειδῆ μικρὸν ὑπεράνω τοῦ χωρίου, καθ' ὃ συμφύονται πρὸς ἀλλήλους ἅπαντες οἱ χιτῶνες. ὀνομάζουσι δὲ ἔνιοι μὲν ἶριν, ἔνιοι δὲ στεφάνην τὸ χωρίον. ὥστε καὶ τοῦτο τὸ πάθημα τοῖς τρισὶν ὑποπίπτει τρόποις τῆς κενώσεως καὶ διὰ χειρουργίας ἀθρόως ἐκκενούσης καὶ διὰ φαρμάκου κατὰ βραχὺ καὶ πρὸς ἀκυρώτερον ἀπαγόμενον τόπον, ὡς ἐν ταῖς κατασείσεσι. τοῦ γένους δ' εἰσὶν, ὡς ἔφην, τῶν ὅλαις ταῖς οὐσίαις παρὰ φύσιν ἐχόντων καὶ αἱ ἀσκαρίδες, αἵ θ' ἕλμινθες,

quaedam, hypochymatum dico, ferofioris humoris funt. Haec autem punctione ad praefens difcutiuntur, interpofito tamen haud longo fpatio ceu limus quidam deorfum feruntur. At quando pus, quod in oculis eft, difcutere placet, collyriis quae myrrham habent maxime utemur, quae et diafmyrna proprie vocant: his certe minus, fed reliquis melius faciunt quae de libano vocant. Quae vero impenfe ficcant, ad praefens certe valenter vacuant, fed quod reliquum eft, ita cogunt ut aegre refolvi poffit, veluti de fcirrhofis tumoribus prius eft comprehenfum. Saepe vero multum fimul puris vacuavimus divifa tunica ea, quae cornu eft fpecie paulo fupra locum, quo committuntur inter fe tunicae univerfae. Nominant porro locum alii irin, alii coronam. Quo fit ut hoc quoque vitium tribus fubjiciatur vacuandi modis, et chirurgiae, quae fimul multum aut totum expellit, et per medicamenta, quae paulatim, et ei quae ad alium ignobiliorem transfert locum, veluti in concuffione. Sunt profecto, ut dixi, ex genere eorum, quae tota fubftantia praeter naturam fint et afcarides et helminthes, five eae teretes fint five etiam

εἴτ' οὖν στρογγύλαι τινές εἰσιν εἴτε καὶ πλατεῖαι. διὸ καὶ τελέως αὐτὰς ἐξαιρεῖν χρὴ τοῦ σώματος. ἐξαιρήσεις δὲ ἀποκτείνας. ἀποκτενεῖς δὲ τοῖς πικροῖς φαρμάκοις· ζῶσαι μὲν γὰρ ἀντέχονται τῶν ἐντέρων, ἀποθανοῦσαι δὲ συνεκκενοῦνται τῇ κόπρῳ. συνεκκενοῦνται δὲ ζῶσαι μὲν ἔτι σκοτωθεῖσαι καὶ ὡς ἂν εἴποι τις ἡμιθνῆτες γινόμεναι. τὰς μὲν οὖν στρογγύλας ἕλμινθας ἱκανὸν ἀποκτεῖναι ἀψίνθιον. ἡ πλατεῖα δὲ ἰσχυροτέρων δεῖται φαρμάκων, ὁποῖόν ἐστι καὶ ἡ πτέρις, ἔτι δὲ καὶ ἡ καλουμένη ἀσκαρίς. ἀλλὰ περὶ μὲν τῆς τῶν φαρμάκων εὐπορίας οὐ νῦν πρόκειται λέγειν. ἐνταῦθα οὖν ἤδη τελευτάτω καὶ οὗτος ὁ λόγος.

latae. Quocirca et prorſus eas expelli e corpore conveniet. Expelles autem ſi prius enecaveris. Necabis autem amaris medicamentis, viventes namque obſiſtunt inteſtinis adhaerentes, at mortuae expelluntur una cum ſtercore. Expelluntur cum hoc etiam vivae, ſed ſtupefactae et ut ita quis dixerit ſemimortuae factae. At teretes quidem abſinthium perimere poteſt. Latae vehementiora medicamenta deſiderant, cujusmodi eſt filix, pari modo quae aſcaris dicitur. Verum de medicamentorum copia dicere non eſt praeſentis propoſiti. Quare hic jam huic quoque libro finem imponamus.

LIPSIAE
LITERIS GUILIELMI HAACK.